Μέμνημαι δὲ τῆς ἐν Λονδινίῳ τῆς Βρετανικῆς ἐπ' αὐτῆς τῆς ἔξω θαλάττης, καὶ ὠκεανοῦ, δεύτερον ἔτος τουτὶ ἐμοῦ, καὶ τῶν σὺν ἐμοὶ παρόντων, καὶ θεωμένων γενομένης αὐτοῖς πομπῆς καὶ πανηγύρεως παρὰ τῶν ἐκεῖ. Καίσαρα δὲ τὸν πρώτως ὑπαγαγόμενον αὐτοὺς, καὶ οὗ φρούρια ἔτι καὶ νῦν ἔστιν ἐκεῖ, τὸ μὲν ἐπὶ τῆς διαβάσεως, τὸ δὲ ἐπ' αὐτοῦ τοῦ τόπου, ἀγνοοῦσι. Καὶ ἔγωγε οἶμαι, καὶ ἐκεῖνα πάντα, καὶ τὴν τῆς Ῥώμης ἀρχὴν, καὶ τὴν τῶν αὐτοκρατόρων μοναρχίαν καὶ ἡγεμονίαν, καὶ τὴν τῶν ἐθνῶν ὑπακοὴν διὰ ταῦτα γεγονέναι, ἵνα ταῦτα ἀκολουθήσῃ. Τί δὲ χρὴ τὴν ἀξίαν τῶν ἀποστόλων καὶ τὴν ἀπονεμομένην αὐτοῖς εὐλάβειαν, καὶ τιμὴν ἐν αὐτοῖς ἐκείνοις, καὶ τοῖς σώμασι, καὶ τοῖς τάφοις αὐτῶν θαυμάζειν καὶ ὁρᾷν; Ἔξεστι γὰρ τοῦτο ὁρᾷν τε καὶ θαυμάζειν, καὶ ἐπὶ τῆς ἀρχῆς τῆς Ἐκκλησίας, καὶ ἐπὶ τοῖς πολλοστοῖς μετ' ἐκείνους δι' αὐτούς· οἶμαι γὰρ μηδέποτε ἐπὶ τῆς ἀρχῆς τῆς Ῥώμης ἐκείνης, λέγω τῆς παλαιᾶς, τοσαῦτα θεσπίσματα τῶν αὐτοκρατόρων ἐκείνων, καὶ τοῦ δήμου καὶ τῆς βουλῆς, καὶ διὰ τοσούτου μέρους τῆς οἰκουμένης φοιτᾷν, ὅσα καὶ ὁσαχοῦ νῦν παρὰ τῆς Ἐκκλησίας. Εἰσὶ δὲ οἱ θεσπίζοντες ἀεὶ καὶ οἱ κύρια ποιοῦντες διὰ τῶν σφραγίδων αὐτὰ, αἱ εἰκόνες, καὶ αἱ κεφαλαὶ Πέτρου καὶ Παύλου, οὐκέτι δυναμένων λέγειν· *Ἀργύριον ἢ χρυσίον οὐκ ἔστι μοι.* Τίς δ' ἂν ἀριθμήσειε τὰ παρ' αὐτῶν διδόμενα; Δόξω μὲν ἴσως τισὶ λέγειν ὑπερβολὰς, οἶμαι δὲ συνελθούσας ὁμοῦ πάσας τὰς ἐγνωσμένας ἡμῖν ἀρχὰς ἐκ τῶν ἀπονεμημένων αὐταῖς ἐξ ἔτους, καὶ ἃ κύριοι κατὰ νόμον διανέμειν, μὴ τοσαῦτα δοῦναι δύνασθαι. Διδόασι δὲ ταῦτα ὁ Πέτρος καὶ ὁ Παῦλος. Καὶ ἀνάγκη δὲ ταῦτα διδόναι· οὐδ' ἂν ἐκεῖνα κατασχοῖεν ἑαυτοῖς οἱ ταῦτα διαδιδόντες. Ἀνάγκη δὲ καὶ τοῖς ἀπὸ Πέτρου καὶ Παύλου, καὶ τοῦ κλήρου τούτων διανέμειν. Καὶ οἵ τε λαμβάνοντες δοκοῦσι παρὰ δεσποτῶν λαμβάνειν· οἵ τε διδόντες ὡσὰν κύριοι διδόασιν. Ἔστι δὲ οὐδεὶς ὁ ἀντιλέγων, πλὴν εἴ τινες κατὰ τὸ δεδόσθαι, ἢ μὴ δεδόσθαι, καὶ τίνι δεδόσθαι ἀλλήλοις ἀμφισβητοῖεν. Καὶ τοῦτο δὲ αὐτὸ δι' ἐκείνους αὖθις ἐπικρίνειν, καὶ τῶν γενομένων παρ' αὐτῶν αὐτοὺς εἶναι κριτὰς καὶ ὁριστάς· πολλάκις δὲ καὶ τῶν παρ' ἄλλων γινομένων εἰς αὐτοὺς τὴν ἔφεσιν διαβαίνειν. Τί δὲ τὰς πνευματικὰς δόσεις, τί δὲ τοὺς τῶν φυλῶν κριτάς; Ἔστι γὰρ ὁρᾷν κατὰ γλώσσας ἐπὶ τοῦ ναοῦ τῶν ἀποστόλων ἐνταῦθα μὲν καθήμενον ἐπὶ θρόνου τὸν ἀκούοντα τοὺς ἀπὸ τῶν Βρετανικῶν νήσων ἐπ' αὐτῷ τούτῳ ἥκοντας ἐξομολογουμένους· ἐνταῦθα δὲ τὸν τοὺς ἀπὸ Ἰβηρίας ἢ Γαλατίας· ἐκεῖ δὲ τὸν τοὺς ἀπὸ Δαλματίας ἢ Δακίας· αὐτοὺς δὲ ἐπὶ τῶν ὁδῶν, ἢ ἐπὶ τῆς πόλεως, ἢ ἐπὶ τῆς ἐκκλησίας συμμιγεῖς, ἄλλους ἄλλην φωνὴν

Et memoria hic repeto pompam et solemne festum, quod Londini in Britannia, ipsius externi maris oceanique insula, ante biennium, me ac comitatu meo præsente et spectante, ab ejus loci incolis hisce apostolis celebrabatur. Cæsarem vero qui primus eos subegit, et cujus castella adhuc ibidem exstant, alterum quidem ad trajectum, alterum vero dicto in loco ignorant. Atque ego quidem existimo et ista omnia, et Romanum imperium, et imperatorum monarchiam ac principatum, gentiumque subjectionem propterea exstitisse, ut hæc deinde sequerentur. Quid vero apostolorum gloriam et venerationem atque honorem in ipsis corporibus eorumque sepulcris eis exhibitum admirari et contemplari attinet? Id enim ex imperio et principatu Ecclesiæ, et propter principes hosce in longa successorum serie videre et admirari licet. Nequaquam enim sub imperio veteris illius Romæ tot imperatorum edicta, tot plebiscita et senatusconsulta per tantam orbis terrarum partem prodiisse existimo, quot nunc longe lateque ab Ecclesia prodeunt. Ea autem semper obsignant et confirmant sigillorum loco effigies et capita Petri et Pauli; qui dicere jam amplius nequeunt: *Argentum et aurum non est mihi* [1].» Quis vero opes ab ipsis collatas enumerare poterit? Videbor forte nonnullis rem nimium verbis extollere: puto tamen omnes orbis principes, quotquot ad nostram notitiam pervenere, simul junctos ex consuetis suis reditibus bonisque, quorum distribuendorum potestas jure ad ipsos spectat, non posse tantum conferre. Conferunt autem hæc Petrus et Paulus: et conferre necessum est: nec servare sibi vellent qui ea conferunt. Necessum autem est Petri et Pauli successores eorumque familiam hæc distribuere. Et qui ea accipiunt, tanquam a dominis accipere videntur: conferentes autem tanquam domini conferunt. Nec quisquam contradicit: nisi quod nonnulli de rata aut irrita collatione invicem litigent. Et hoc ipsum rursus illos dijudicare, et eorum quæ ipsi fecere, judices ac definitores esse oportet; sæpius autem et ab iis quæ alii constituere, provocationem ad eos fieri. Quid autem spirituales largitiones, quid nationum judices commemorem? Nam in templo sanctorum apostolorum pro linguarum diversitate cernere licet hic quidem sedentem in throno, et auscultantem confessiones eorum, qui ex Britannicis insulis hanc ipsam ob causam accesserunt: isthic eorum qui ex Hispania vel Gallia: alibi vero qui ex Dalmatia vel Dacia advenere. Hos autem in plateis, vel per urbem, vel in ecclesia promiscue alios aliam vocem proferentes audias.

[1] Act. III, 6.

Digitized by Google

Quocirca non tunc solum apostoli super duodecim thronos sedebunt, juxta Christi promissionem, judicantes duodecim tribus Israel : sed et hoc tempore illi in multis thronis judicum instar sedent, judicantes orbem terrarum : nec solum in primitiva Ecclesia, sed nunc quoque sua cuique lingua loquuntur, ita ut intelligi queant. Quin etiam decreta et constitutiones sanctorum apostolorum quaquaversum, ut dixi, foras prodeunt : et huc undequaque non solum multorum dierum, sed et mensium itinere confluunt nemine persequente, accusantes semetipsos, quod Plato in Gorgia eos, qui justi evadere cupiunt, facere præcipit, ut sententia istorum recepta injunctam pœnam opere expleant. Nihil enim de iis dico, qui ex præcepto inde ab ultimis terræ finibus vel ultro accurrunt, vel inviti pertrahuntur. Quis vero non obstupescat, dum in publico consistorio papam responsa dantem et oracula fundentem audit ? quis non admiretur dum ista videt ? Sed quid plura de his dicere attinet ? Id vero quod de apostolorum reliquiis dicebam, quantum huic urbi conferant, videre licet ex Commentarijs Chrysotomi in Epistolam Pauli ad hos ipsos Romanos, si recte memini, sub finem, ubi vir non solum ore, sed et animo vere aureus, totum sermonem et aureum illud scriptum concludens, veluti divino furore concitatus, bis terve et sæpius exclamat, Cuperem videre urbem illam, Romam scilicet, in qua hæc et alia de apostolis corporumque eorum sepultura et præsentia referuntur : cuperem illos pedes, cuperem manus, cuperem capita videre. Nec cessat, instar eorum qui impotenti amore laborant, singula membra recensere, et sexcenties eadem dicere.

Sed hæc quidem nunc missa faciamus ; neque enim litterarum modus tam prolixum sermonem admittit : et qualiacunque tandem dixerimus, nihil de iis pro dignitate divisse videbimur : tum vero pauca duntaxat principio dicturus eram : sed non observavi me longius modum excessisse. Hæc autem velut appendicem litterarum mearum animi oblectandi gratia scribere volui : præsertim cum in tuis ad me litteris id quoque inter alia positum repererim, quod parum scribam. Hasce autem litteras dare festino, ne antequam Venetias perveniant, ejus civitatis triremes jam discesserint. Sed profecto in hujusmodi re id longe difficillimum est, recte incipere, et bene finire ; nam tota res extremitatibus definitur, et formam inde accipit. Et multi ut nesciunt unde incipiendum, ita neque ubi finis imponendus sit, quos, postquam cœperint, semper loqui necessum est. Ego autem tanto temporis spatio isto modo apud celsitudinem tuam silui, ut cœpta vix tandem iterum oratione cito desinere nequeam. Sed ut in præteritis intermissæ orationis silentio, ita nunc loquacitati meæ ignosces. Sed cum hujusmodi rebus apud te expositis finis necessario faciendus sit, nolo tamen propterea nostræ

προϊεμένους. Καὶ οὐκ ἄρα ἐπὶ δώδεκα μόνον θρόνων τότε οἱ ἀπόστολοι καθίσονται, κατὰ τὴν ἐπαγγελίαν, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· ἀλλὰ καὶ νῦν οὗτοι κάθηνται ἐπὶ πολλῶν θρόνων, ὥσπερ τινὲς δικασταὶ, κρίνοντες τὴν οἰκουμένην. Καὶ οὐκ ἐπὶ τῆς ἀρχαίας Ἐκκλησίας μόνον, ἀλλὰ καὶ νῦν κατὰ τὴν αὐτῶν φωνὴν πᾶσι συνετὰ φθέγγονται. Καὶ ἔξω τε, ὡς εἶπον, πανταχόσε τὰ τῶν ἀποστόλων ψηφίσματα καὶ θεσπίσματα διαφοιτᾷ. Καὶ δεῦρο πανταχόθεν ἔρχονται πολλῶν ἡμερῶν, ἤδη δὲ καὶ μηνῶν ὁδὸν μηδενὸς διώκοντος αὐτούς, κατεροῦντες μὲν ἑαυτῶν, ὃ Πλάτων ἐν Γοργίᾳ τοῖς βουλομένοις καὶ μέλλουσι δικαίοις εἶναι παραινεῖ, δεξόμενοι τὰς ἐκείνων ἀποφάσεις, καὶ πληρώσαντες τὰς ἐπιτιμίας. Ἐῶ γὰρ τοὺς ἐκ προσταγῆς πόρρωθεν ἀπὸ τῶν ἐσχατιῶν τῆς οἰκουμένης τρέχοντας ἢ ἀγομένους. Τίς δ' οὐκ ἂν ἐκπλαγείη τοῦ πάππα ἀκούων ἐν κοινῷ συνεδρίῳ χρηματίζοντος καὶ χρησμῳδοῦντος ; τίς οὐκ ἂν θαυμάσειε ταῦτα ὁρῶν ; Ἀλλὰ περὶ τούτων τί χρὴ πλείω λέγειν ; Ὃ δὲ ἔλεγον, ὅσον ἐστὶ τὰ τῶν ἀποστόλων λείψανα τῇ πόλει ταύτῃ, πάρεστιν ἀπὸ τῆς Ἐξηγήσεως τοῦ Χρυσοστόμου ἐν τῷ τέλει τῆς πρὸς αὐτοὺς τούτους τοὺς Ῥωμαίους, εἰ καλῶς μέμνημαι, Παύλου Ἐπιστολῆς ἰδεῖν, ἐν ᾧ τὸν ὅλον λόγον, καὶ τὸ χρυσοῦν σύγγραμμα ἐκεῖνο ὁ χρυσοῦς ὄντως οὐ τὸ στόμα μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν ἀνὴρ ἐκεῖνος καταπαύει, ἐν οἷς ὥσπερ ἐνθουσιῶν δὶς καὶ τρὶς καὶ πολλάκις λέγει, Ἐβουλόμην τὴν πόλιν ἐκείνην ἰδεῖν, τὴν Ῥώμην λέγων, ἐν ᾗ τὰ καὶ τὰ, περὶ τῶν ἀποστόλων καὶ τῆς τῶν σωμάτων αὐτῶν ἐν αὐτῇ ταφῆς καὶ παρουσίας φάσκων. Ἐβουλόμην τοὺς πόδας ἐκείνους, ἐβουλόμην τὰς χεῖρας, ἐβουλόμην ἐκείνας τὰς κεφαλὰς ἰδεῖν. Καὶ οὐ παύεται, ὥσπερ οἱ δυσέρωτες, κατὰ μέλη διεξιὼν, καὶ μυριάκις ταὐτὰ λέγων.

Ἀλλὰ ταῦτα μὲν ἐῶμεν ἤδη· οὔτε γὰρ κατ' ἐπιστολὴν τοσαῦτα λέγειν, καὶ ὅσα ἂν εἴποιμεν, οὐδὲν ἂν περὶ τούτων εἴημεν πρὸς ἀξίαν εἰρηκότες· ἄλλως τε ἠρξάμην μὲν ὡς ὀλίγα ἐρῶν, ἔλαθον δὲ ἐμαυτὸν σφόδρα ἐκβὰς τοῦ μέτρου. Οἷα δὲ ἐπιθήκην τῶν ἐμῶν γραμμάτων τοῦτο ποιούμενος, θυμηδίας τινὸς χάριν, ταῦτα ἐβουλήθην γράψαι· μάλισθ' ὅτι ἐν τοῖς σοῖς πρὸς ἐμὲ γράμμασι πρὸς τοῖς ἄλλοις καὶ τοῦτο εὗρον ἐγκείμενον, ὡς ὀλίγα ἐπιστέλλω. Σπεύδω δὲ ταῦτα δοῦναι, μὴ πρὸ τῆς εἰς Βενετίαν αὐτῶν ἀφίξεως αἱ τριήρεις τῆς πόλεως ἐκείνης φθάσωσιν ἀναχθεῖσαι. Ἀλλ' ὄντως ἐν παντὶ πράγματι ἐκεῖνό ἐστι μᾶλλον δύσκολον, οἰκείως τε ἄρξασθαι, καὶ δεόντως τελευτῆσαι. Καὶ τὸ ὅλον δὲ ἁπλῶς τοῖς ἄκροις ὁρίζεται καὶ μορφὴν λαμβάνει. Καὶ πολλοὶ ὥσπερ ὅθεν δεῖ ἄρξασθαι οὐκ ἴσασιν, οὕτως οὐδ' ὅπου δεῖ τέλος ἐπιθεῖναι. Ἀνάγκη δὴ τούτους ἀρξαμένους ἀεὶ λαλεῖν. Ἐγὼ δὲ καὶ τοσοῦτον χρόνον τὸν τρόπον τοῦτον πρὸς τὸ σὸν ὕψος ἐσιώπησα, ὥστε μόλις ποτὲ αὖθις ἀρξάμενος οὐ δύναμαι ταχέως λῆξαι. Συγγνώσῃ δέ μου ὥσπερ ἐν τοῖς φθάσασι τῇ κατὰ τὸν τρόπον τοῦτον μέχρι τινὸς τοῦ λέγειν σιωπῇ, οὕτω νῦν τῇ πολυλογίᾳ. Ἄλλως τε καὶ περὶ τοιούτων πρὸς σὲ λέγοντος ἀνάγκη γε μὴν τέλος ἐπιθεῖναι. Οὐ βούλομαι δὲ

Digitized by Google

δμως διὰ τοῦτο τὴν ἡμετέραν πόλιν ἀδικῆσαι. Ἀδικοίην δ' ἂν αὐτὴν ἐν τούτοις λήξας. Ἐγὼ γὰρ ταῦτα ὁρῶν, ὅσα ἐν οἰκοδομίαις καὶ αὐτοφυέσι κάλλεσι καὶ χειροποιήτοις εἶπον, ἄγαμαι μὲν τῆς ποτε μεγαλοπρεπείας καὶ δυνάμεως τὴν πόλιν, καὶ χαίρω ἐπὶ τούτοις μάλιστα ὅτι σφόδρα ὅμοια τοῖς παρ' ἡμῖν ὁρῶ. Καὶ αὐτὴ δὲ, ὡς οἶσθα, ἡ τινῶν ὁμοιότης μόνη τρέπειν πέφυκεν, ὅταν τινὰ σφόδρα ὅμοια ὁρῶμεν· μάλιστα ὅταν υἱὸν πατρὶ, ἢ θυγατέρα μητρὶ, ἢ ἀδελφοὺς ἀλλήλοις βλέπωμεν ἐμφερεῖς εἶναι· καὶ τούτους μᾶλλον εἰ τύχοιεν ἡμῖν ὀπωσοῦν προσήκοντες. Καὶ νομίζω δὲ ἐπὶ τῆς ἡμετέρας εἶναι, καὶ τοῦτο δὲ οὐκ ὀλίγον, ὃ τρέπειν δύναται ἄνθρωπον μάλιστα φιλόπατριν, τῶν οἰκείων ἀποδημοῦντα. Οἶμαι γὰρ μηδεμίαν πώποτε θυγατέρων μητρὶ οὕτως ἀκριβῶς, ὥσπερ ἐκείνην ταύτῃ, ὁμοίαν γεγενῆσθαι. Ἀλλὰ καὶ τούτων τοιούτων ὄντων (οὐ φθόνος γὰρ οἶμαι μητρὶ θυγατρὸς ἐπαινουμένης· ὥσπερ αὖ οὐδὲ τοὐναντίον δίκαιον θυγατρὶ φθόνον ἐγγίνεσθαι μητρὸς ἐγκωμιαζομένης), ἡγοῦμαι νικῆσαι τὴν ἡμετέραν. Τὰς παλαιὰς γὰρ ὡς ἔνεστι παραβάλλω. Τί γὰρ ἐν ταύτῃ εἴτε τῶν φυσικῶν, εἴτε τῶν τεχνητῶν γέγονεν, ὃ μὴ καὶ παρ' ἡμῖν; καὶ τὰ λείψανα δὲ αὐτὰ τοῖς λειψάνοις ὅμοια. Εἰ γὰρ καὶ ἐπί τινων αὕτη δοκεῖ πλεονεκτεῖν, ἀλλὰ καὶ τούτοις αὖ ἔχομεν ἡμεῖς ἕτερα ἀντιτιθέναι. Πολλὰ δὲ γέγονε καὶ ἔστι παρ' ἡμῖν, ἃ μὴ καὶ παρ' αὐτῇ. Καὶ πλείω δὲ ἀληθῶς ἐπὶ τὸ βέλτιον προήνεκται. Εἰκότως αὕτη μὲν γὰρ πρὸς οὐδὲν παράδειγμα τὸ ὅλον ὡς εἰπεῖν ἴδιον ἀφορῶσα, ἠρκεῖτο τῇ κατὰ πάντων ἁπλῶς ὑπεροχῇ. Ἐκείνη δὲ πρὸς παράδειγμα ταύτην βλέπουσα, καὶ ὥσπερ πρὸς ἀρχέτυπον, ὡς ἔστιν ἀκριβῶς ἰδεῖν ταύτην, γινομένη, πολλὰ πρὸς βέλτιον καὶ λαμπρότερον προήνεγκεν. Ἔργα δὲ ἀνθρώπων ἄλλοις ἀμιλλώμενα δύνανται ἐπὶ τὸ κάλλιον προβαίνειν· καὶ κάλλη δὲ γονέων κάλλεσι τέκνων ὡς ἐπὶ τὸ πολὺ πρὸς τὸ βέλτιον συμβάλλεται, καὶ μεγέθεσι μεγέθη, μάλιστα, ὡς ἀκούομεν, μητέρων, οὐκ ἐπ' ἀνθρώπων, ἀλλ' ἤδη καὶ ἐπ' ἄλλων ζώων. Οὐδὲν τοίνυν θαυμαστὸν, οὕτω μὲν μεγάλην, οὕτω δὲ ἄρα καλὴν οὖσαν, μείζω καὶ καλλίω τετοκέναι· καὶ τοῦτο δὲ τῆς μητρὸς αὖ ἔπαινος γίνεται. Καὶ τὰ τῆς μητρὸς αὖ κάλλη προστίθησι τοῖς τῆς θυγατρὸς, καὶ οὐκ ἔστιν ἄλλην παρ' ἄλλην, ἀλλ' αὐτὴν τρόπον τινὰ παρ' ἑαυτὴν, τὴν νέαν παρὰ τὴν ἀρχαίαν Ῥώμην παραβάλλειν. Ὥστε οὐ χρὴ κακοὺς διαιτητὰς ἐν τοῖς τοιούτοις γίνεσθαι, ἡμᾶς μάλιστα, οἳ καὶ τῶν ἐκείνης ἀγαθῶν καὶ τῶν ταύτης κληρονομοῦμεν, τῆς μὲν υἱοὶ, τῆς δὲ υἱωνοὶ τυγχάνοντες. Ἀλλὰ δεῖ μᾶλλον ἐπ' ἀμφοτέραις καλλωπίζεσθαι, ὥσπερ οἱ τὴν αὐτῶν εὐγένειαν πρὸς πλείους ἔχοντες ἀναφέρειν, καὶ οὐ γονεῖς μόνον μεγάλους καὶ καλοὺς, ἀλλὰ καὶ προγόνους τοιούτους ἢ ἐγγὺς, ἴσως δὲ καὶ ὑπερέχοντας δυνάμενοι καταλέγειν. Γονεῦσι δὲ αὖ εὐχῆς ἔργον, ὡς τις ἔφη, παίδων ἡττᾶσθαι, ὥστε δίκαιον ἡμᾶς ἐν τούτοις ὑποπτεύειν.

Λέγω τοίνυν καλὴν μὲν σφόδρα καὶ ὡραίαν γενέσθαι τὴν μητέρα· καλλίω δὲ πολλῷ ἦν θυγατέρα· μήτε μὴν ταύτην προσήκειν ἄλλης μητρόπολιν καὶ

A civitati injuriam facere. Facerem vero, si in hisce desinerem. Ego enim oculis hæc perlustrans, quæ de structuris et nativis ac arte paratis ornamentis dixi, admiror equidem priscam illius urbis magnificentiam et potentiam, et iisdem delector; præsertim quod iis quæ apud nos exstant, perquam similia esse videam; scis enim vel solam quarumdam rerum similitudinem delectationem conjunctam habere, ubi quædam persimillima videmus, præsertim dum filium patri, vel filiam matri, aut fratres sibi invicem similes esse conspicimus; idque multo magis, si nos propinquitate quadem contingant. Existimo autem nostram urbem habere, et ea quidem non pauca, quæ delectare aliquem possint, præsertim hominem patriæ amantissimum, dum a suis peregre B abest. Neque enim ullam unquam filiam matri adeo per omnia similem fuisse arbitror, quam illa huic. Et hæc licet ita se habeant (nullam enim matri invidiam suboriri puto, dum filia laudatur: ut econtra filiam matris laudibus invidere iniquum est), nostram tamen palmam obtinere existimo: nam veteres quantum licet inter se comparo. Quid enim vel natura, vel ars in hac urbe produxit, quod et apud nos non exsisteret? tum reliquiæ ipsæ reliquiis similes. Si qua enim in re hæc excellere videatur, nobis quoque non desunt alia quæ iis opponamus. Nam multa apud nos fuere, et sunt quoque hodie, quæ in ea non reperias: tum vero plurima in melius provecta fuere. Idque non immerito. Hæc enim ad nullum omnino proprium exemplar respiciens id satis C habebat, ut cæteras omnes excelleret: illa autem hanc exempli instar intuens, et veluti ad primarium exemplar, ut satis superque perspicere licet elaborata, multa et meliora et splendidiora produxit. Nam hominum opera ubi cum aliis certant pulchriora evadere possunt: et parentum pulchritudo pulchritudinem liberorum, ut et magnitudo magnitudinem, majorem ut plurimum producit: quod in matribus præsertim, non hominum duntaxat, sed et aliorum animantium fieri audimus. Quocirca non mirandum est, si cum ea magnitudine et pulchritudine sit prædita, majorem et pulchriorem produxerit. Hæc enim matris laus est, sicut vice versa matris pulchritudo filiæ pulchritudinem auget. Nec aliam cum alia, sed ipsam quodammodo cum semetipsa, novam scilicet D Romam cum veteri comparare licet: ita ut iniquos in hujusmodi rebus arbitros esse nequaquam oporteat, præcipue nos, qui et illius et hujus bonorum participes sumus: illius scilicet filii, hujus nepotes. Sed utraque nobis gloriandum est; quemadmodum illi solent qui nobilitatem suam ad plures referunt, nec parentes solum magnos pulchrosque, sed et majores atque cognatos istiusmodi, aut fortassis etiam meliores possunt recensere. Parentibus autem maximopere exoptandum est, ait ille, uta liberis vincantur, quod in his quoque nos suspicari oportet.

Quocirca admodum quidem pulchram et formosam matrem esse aio: filiam tamen multo pulchriorem, ut nec isti alterius metropolim et matrem,

Digitized by Google

nec huic alterius coloniam filiamque esse, nec unquam, sicut modo dixi, tanta in matre et filia, quanta in hisce, similitudo fuerit. Ita ut hujus pulchritudo, instar ignis aut radii aliunde accensi, ab illa acceperit augmentum. Nam si nihil aliud nobis dicendum suppeteret, situs ille versus utramque continentem, Europam dico et Asiam, et connexio septemtrionalis et meridionalis maris, ita ut hinc continentium, isthinc æquorum, vel potius utrorumque beneficio orbem terrarum gentesque illius, tanquam communi quodam vinculo conjungat, rursumque a se invicem secludat ipsa velut ad portas sita, quibus, quæso, id non utile solum et pulchrum, sed etiam regium non videretur? Nam portus meo judicio cæteris totius orbis magnitudine et securitate antecellens, omnium ubivis locorum contextarum triremium naviumque capax: tum quod tota, ut ita dicam, mari et continenti circumcirca cingitur, ita ut eadem et continens undique, et insula item terrestris simul atque maritima sit. Mœnium quoque corona revera et ambitus, qui nescio an ulla in re Babyloniis cedere possit: et turrium in iisdem frequentia, magnitudo et altitudo; ita ut quælibet earum si vel sola esset, præ quavis alia integra structura admirationem spectatoribus incutere queat: cum vel sola graduum quibus conscenduntur magnitudo, crassities et structura admiratione digna sit: tum vero mœnium, portæ turriumque in illis eminentium splendor: et pro mœnibus antemurale, quod solum alteri civitati pro securo munimento sufficeret: tum adhuc fossarum egestio et structura, earumque latitudo et profunditas, et aquæ in iisdem copia: ut qua tantum parte ea deerat, isthic quoque illius beneficio urbs maritima videatur: quemadmodum vice versa, qua parte maritima est, propter insulas vicinas continenti adhærere videatur: ut quod de Atheniensium civitate quidam dixit, eam et prænavigari et circumnavigari pedibusque circuiri posse, hæc etiam gemino ambitu circueatur, eademque nihilominus propter aquæ copiam maritima sit: hæc, inquam, omnia quid reliquum faciunt quo superari a quoquam possint? quin potius quo saltem accedi de proximo possint et exæquari? Interiora autem urbis mœnibus et exemplari ad quod principo exstructam fuisse dixi, et metropoli matrique tum conditorum gloriæ et potentiæ omnino respondebant.

Duæ enim potentissimæ prudentissimæque gentes, quarum altera tunc temporis imperium obtinebat, altera paulo ante obtinuerat, omni artium et ambitionis deliciarumque genere excellentes, Romani, inquam, et Græci conjunctis studiis hanc perfecerunt, atque ea in re et reliquarum gentium omnium et suorum opera ac ministerio fuerunt usi. Et principio quidem locum urbi condendæ elegerunt dignum sane et urbe quam animo moliebantur et imperio, ut in ea residentes totum terrarum orbem commode regere possent. Elegerunt igitur hanc non solum ad orbis universi gubernationem,

μητέρα εἶναι, μήτε ἐκείνην ἄλλης ἀποικίαν καὶ θυγατέρα· μήτε μὴν ἐν μητρὶ καὶ θυγατρὶ, ὅπερ ἔφην, ὅσην ἐν ταύταις ποτὲ ὁμοιότητα γενέσθαι· τό γε μὴν ταύτης κάλλος, ὥσπερ τινὸς πυρὸς ἢ ἀκτῖνος ἕξαψιν, ἀπ' ἐκείνης ἐπίδοσιν εἰληφέναι. Εἰ γὰρ μηδὲν ἕτερον λέγειν ἔχομεν, ἀλλ' ἡ πρὸς ἀμφοτέρας τὰς ἠπείρους, τήν τε Εὐρώπην λέγω καὶ Ἀσίαν, θέσις, ἀλλ' ἡ συνάφεια τῆς τε ἀρκτῴας καὶ μεσημβρινῆς θαλάσσης, ὥστε τῇ μὲν διὰ τῶν ἠπείρων, τῇ δὲ διὰ τῶν θαλασσῶν, μᾶλλον δὲ δι' ἀμφοτέρων, ὥσπερ ἐν κοινῷ τινι συνδέσμῳ συνάπτειν καὶ κλείειν αὖθις ἀπ' ἀλλήλων, ὥσπερ ἐπὶ πυλῶν ἱσταμένην, τὴν οἰκουμένην, καὶ τὰ ἐπὶ ταύτης ἔθνη, τίσιν οὐκ ἂν δόξειε μόνον χρήσιμον καὶ ὡραῖον, ἀλλὰ καὶ βασιλικὸν εἶναι; Ὅ γε μὴν λιμὴν, νικῶν, οἶμαι, τοὺς ἁπανταχοῦ μεγέθει καὶ ἀσφαλείᾳ, πάσας ἂν τὰς ἁπανταχοῦ ποτε γενομένας τριήρεις καὶ ὁλκάδας οἷός τε ὢν δέξασθαι· τὸ δὲ κύκλῳ καθ' ὅλην ὡς εἰπεῖν ἑαυτὴν θάλασσάν τε καὶ ἤπειρον πανταχόθεν ἔχειν, ὥστε τὴν αὐτὴν πάντη τε ἤπειρον καὶ νῆσον εἶναι, πρόσγειόν τε τὴν αὐτὴν ἅμα καὶ πελαγίαν· ὁ δὲ τῶν τειχῶν στέφανος ἀληθῶς καὶ κύκλος οὐκ οἶδα ἐν τίνι δυναμένων λείπεσθαι τῶν Βαβυλωνίων· ἡ δὲ τῶν ἐν αὐτοῖς πύργων πυκνότης καὶ τὸ μέγεθος καὶ ὕψος, ὥστε ἕκαστον, εἰ καὶ μόνος ἦν δήπου, καθ' ἑαυτὸν ἀντ' ἄλλης τινὸς ὅλης οἰκοδομῆς δύνασθαι θαῦμα παρέχειν τοῖς θεωμένοις. Ὧν δὴ καὶ μόνων τῶν ἀναγουσῶν εἰς αὐτὰ κλιμάκων ἄξιον εἶναι θαυμάσαι τὸ μέγεθος, καὶ τὸν ὄγκον καὶ οἰκοδομήν· αἱ δὲ τῶν τειχῶν πύλαι καὶ ἡ τῶν ἐν αὐτοῖς πύργων λαμπρότης· τὸ δὲ πρὸ τοῦ τείχους τεῖχος ἕτερον, ἑτέρᾳ πόλει μόνον ἂν ἀντὶ ἐρύματος ἀσφαλοῦς ἀρκέσαν· ἡ δὲ τῶν ἐπὶ τούτοις τάφρων διωρυχὴ καὶ οἰκοδομὴ, καὶ τὸ τούτων εὖρός τε καὶ ὕψος, τὸ δὲ πλῆθος τῶν ἐν αὐταῖς ὑδάτων· ὥστε ᾧ μέρει μόνον ἐλείπετο, καὶ ταύτῃ δοκεῖν πελαγίαν τὴν πόλιν εἶναι διὰ τούτων, ὥσπερ αὖ ἐν ᾧ μέρει πελαγία φαίνεται, πρόσγειον διὰ τῶν νήσων· ὥσθ' ὅπερ εἰπέ τις περὶ τῆς Ἀθηναίων πόλεως, καὶ παραπλεῖν αὐτὴν δύνασθαι καὶ περιπλεῖν, καὶ πεζεύειν, ταύτην δὲ δίχα πεζεύειν, καὶ αὖθις πελαγίους εἶναι διὰ ταύτης, τίνι δύναται καταλιπεῖν ὅλως ὑπερβολήν; μᾶλλον δὲ τίνι συγχωρῆσαι δύναται ἐγγὺς αὐτῆς ἐλθεῖν ἢ ἐξισωθῆναι; Τά γε μὴν ἔνδον ἦν ὄντως ἄξια τῶν τειχῶν καὶ τοῦ παραδείγματος πρὸς ὃ τὴν ἀρχὴν, ὡς εἶπον, γέγονε καὶ τῆς μητροπόλεως, καὶ μητρὸς, καὶ τῆς ἀξίας, καὶ δυνάμεως τῶν οἰκισαμένων.

Δύο γὰρ τὰ δυνατώτατα καὶ φρονιμώτατα ἔθνη, τὸ μὲν τότε ἄρχον, τὸ δὲ εὐθὺς ἄρξαν πρὸ ἐκείνου, καὶ πάσῃ τέχνῃ, καὶ φιλοτιμίᾳ, καὶ ἀβρότητι κομῶντα, Ῥωμαῖοί τε καὶ Ἕλληνες, συνελθόντα, ταύτην πεποιήκασι, καὶ πᾶσι δὲ τοῖς ἄλλοις ἔθνεσι, καὶ τοῖς ἐκείνων εἰς αὐτὴν ἐχρήσαντο πρὸς ὑπηρεσίαν. Καὶ πρῶτον μὲν ἐξελέξαντο τόπον ἔδαφός τῇ πόλει, ἄξιον τῆς μελλούσης πόλεως, ἣν ἐβάλοντο κατὰ νοῦν, καὶ τῆς ἡγεμονίας, ὅπως ἐπὶ ταύτης καθήμενοι ἔχωσιν εὐφυῶς κυβερνᾶν πᾶσαν τὴν οἰκουμένην· ἐξελέγοντο δὲ ἄρα ταύτην οὐ μόνον πρὸς κυβέρνησιν τῆς οἰκουμένης πάσης, ἀλλὰ καὶ ἐκ πά-

Digitized by Google

σης, ὡς εἰπεῖν, τῆς οἰκουμένης, ἅτε κύριοι ταύτης ὄντες, καὶ μὴ ἀγνοοῦντες ὃ κατ' ἀρχὰς τῇ Ῥώμῃ καὶ πολλαῖς ἄλλαις τῶν πόλεων ἐνδόξοις ἀπὸ τύχης γενομέναις οὐ συνέβη. Ἀλλὰ κατ' ἄλλας τύχας ἢ αἰτίας ὡς ἔτυχεν ἄλλαι ἀλλαχοῦ γενόμεναι, εἶτα αὐξηθεῖσαι, οὐ δίκαιον ἔκριναν ἐκλιπεῖν αὐτὰς καὶ τὴν οἴκησιν πρὸς τὸ βέλτιον ἀμεῖψαι· ἀλλὰ τὴν μὲν ἀπὸ τῆς τέχνης ὡς οἷόν τε ἦν ἐπήνεγκαν παραμυθίαν, τοῖς δὲ ἀπὸ τῆς χώρας καὶ τῆς θέσεως ἠγάπησαν. Ἔνιαι δὲ καὶ διὰ τέλους ἠνέσχοντο παρὰ τῆς φύσεως τοῦ τόπου ἀηδιῶν πολλῶν· ὥστε μὴ πᾶσιν εἶναι καλὰς, ἀλλὰ τοῖς μεγίστοις ἐλαττοῦσθαι, ὅπερ καὶ ἐπὶ τῶν κατ' ὀλίγον αὐξανομένων οἰκιῶν συμβαίνει. Ἡ δὲ ἡμετέρα πρῶτον αὐτὸ τοῦδαφος, ὡς εἶπον, τοιοῦτον κρινόντων, καὶ αἱρουμένων ἔσχε κατ' ἐκλογὴν, οἷον ἔπρεπε πρὸς πᾶσαν τέρψιν τε καὶ χρείαν, καὶ ἀξίαν τῇ μελλούσῃ τῆς οἰκουμένης ἄρξειν εἶναι. Ὅτι δὲ καλῶς ἔκριναν δείκνυται καὶ ἡμῖν νῦν ἀπὸ τῆς πείρας. Εἶτα τὰς ἁπανταχόθεν τέχνας εἰς καλλωπισμὸν αὐτῆς συνήνεγκαν, εὐθὺς πλούσιοι πλουσίως, καὶ μεγάλοι μεγάλως, καὶ βασιλεῖς βασιλικῶς οἰκοδομοῦντες. Πῶς δὲ ἔμελλον ἀπὸ τοιαύτης πόλεως, καὶ τοιούτων οἰκιῶν ἐλθόντες φαύλως καὶ σμικροπρεπῶς οἰκήσειν; Οἱ δεύτεροι δὲ ἀεὶ ἐμιμοῦντο τοὺς προτέρους, ὅπερ ἐπὶ τῶν οἰκοδομιῶν μάλιστα συμβαίνει. Προπαρεσκεύασε δὲ ἄρα ἡ φύσις αὐτοῖς καὶ τὴν πρὸ τῶν θυρῶν εὐθὺς μαρμαρίνην νῆσον πρὸς τὰς οἰκοδομίας, ὥσπερ εἰδυῖα, οἷα πόλις καὶ παρ' οἵων ἔμελλεν ἐκεῖ κτισθήσεσθαι, καὶ τὴν ὕλην καὶ τὴν ἀποσκευὴν πρὸς τὸ ἐκείνης κάλλος, καὶ τὸ ἀξίωμα συμβαίνουσαν προαποτιθεῖσα. Τοῖς δὲ ἄρα οὐκ ἤρκεσε τοῦ λευκοῦ μαρμάρου οὐδὲ τῶν ἀπὸ Θετταλίας, καὶ Πάρου, καὶ Πελοποννήσου λίθων τούτων τῶν ποικίλων, ἀλλὰ καὶ ἀπὸ Ἀραβίας, καὶ Αἰγύπτου, καὶ Λιβύης, καὶ Μαρμαρικῆς, καὶ αὐτῆς τῆς διακεκαυμένης τὰ πρὸς οἰκοδομὴν ταύτης ὠρύττοντο· ὥστε ἐπήξαντο μὲν εὐθὺς οἰκίας οἵας ἤρκεσαν ἂν πόλεις εἶναι τῷ μεγέθει, ἐδείμαντο δὲ ναοὺς, οἵους ἀπιστεῖσθαι ἀνθρωπίνῃ τέχνῃ καὶ παρ' ἀνθρώπων γεγενῆσθαι, ἤδη καὶ τῆς εἰς Θεὸν εὐσεβείας συμβαλλομένης, καλῶς τοῦτο ποιοῦντες. Εἰ γὰρ τῶν ἱεροσύλων καὶ ἀθέων γεγόνασι τοσοῦτοι καὶ τοιοῦτοι, ποίους τινὰς καὶ πόσους ἐχρῆν εἶναι τοὺς τῶν τὸν ἀληθῆ Θεὸν σεβόντων; καὶ εἰ τοῖς δαιμονίοις παρὰ τῶν ἐκείνοις δουλευόντων δεδόμηται καὶ προσήνεκται τοιαῦτα, τίνα ἔδει τῷ Σωτῆρι χαριστήρια τῆς ἀπ' ἐκείνων ἀπαλλαγῆς προσενεχθῆναι; Ἀλλ' ἐῶ ταῦτα. Ἐῶ δὲ σκεπαστοὺς καὶ φρακτοὺς δρόμους διὰ πάσης ποτὲ τῆς πόλεως δεικνυμένους· ὥστε ἐξεῖναι ἄνευ πηλοῦ καὶ ἀκτῖνος πᾶσαν διιέναι. Ἀφίημι δὲ μονολίθους κίονας, πύργον, ἢ φρούριον ἕκαστον αὐτῶν καλῶς εἶναι δυναμένους. Παραλείπω δὲ στοὰς, καὶ στηλῶν βάσεις, καὶ πυραμίδας. Ἀφίημι δὲ βασιλείων ἄλλων κατ' ἄλλα μέρη τῆς πόλεως πλῆθός τε καὶ μέγεθος, καὶ κάλλος, καὶ θέατρα, καὶ στρατήγια, καὶ ἀγωνιστήρια, καὶ γυμνάσια, καὶ ἱπποδρόμους· ἔτι δὲ νεώρια, καὶ προχώσεις τειχῶν καὶ ὁρμων, καὶ διωρυχὰς, καὶ τοὺς προβεβλημένους

A sed etiam ex orbe universo, tanquam ejusdem Domini, nec ignorantes quid urbi Romæ multisque aliis celeberrimis civitatibus, quæ fortuito cœperunt, in principio non obtigerit. Nam cum aliæ aliis in locis diversos ob casus causasve exstitissent, auctæ deinceps iniquum judicarunt deserere sedem suam, et in melius mutare: sed quantum licuit remedium ab arte adhibuerunt; loci autem situsque qualitatem boni consuluerunt. Aliæ vero multas incommoditates ex loci natura provenientes perpetuo sustinuerunt, ita ut non omni commoditatum genere abundarent, sed maximis destituerentur: quod etiam in ædibus quæ sensim ampliores fiunt, contingit. Nostra autem urbs primo solum ipsum, ut dixi, hujusmodi nacta est ex libere dijudicantium
B eligentiumque arbitrio, quale ad omnem delectationem et commodum, dignitatemque ei quæ orbis imperium habitura esset, conveniebat. Nec falsos fuisse etiam experientia ipsa nobis jam ostendit. Deinde omnes artes ad exornandam eam contulerunt divites statim sumptuose, magnates magnifice, et reges regie ædificantes. Quomodo enim homines ex tali urbe talibusque ædibus profecti incommode et sordide habitare potuissent? posteriores autem semper imitabantur priores, quod in structuris præcipue fieri solet. Quapropter natura Marmoream insulam ante januas ipsas ad ædificandum eis præparavit, veluti non ignara qualis urbs quibusque auctoribus isthic excitari debebat: et materiamatque apparatum ad pulchritudinem dignita-
C temque ejus necessarium jam ante se ponens. At illi nequaquam contenti marmore candido, et Thessalicis Pariisque, et Peloponnesiacis illis variegatis lapidibus, etiam ex Arabia et Ægypto, tum ex Libya et Marmarica, quinimo ex ipsa torrida mundi regione ad hujus exædificationem saxa erui curabant. Ita statim fundabant domus, quæ ob magnitudinem oppida integra esse poterant. Templa autem hujusmodi struebant, ut humana arte et ab hominibus structa vix credas. Quod cum ex pietate in Deum fuerit profectum, recte ab ipsis factum fuit. Si enim sacrilegorum atque impiorum hominum tot ac talia fuerint, quotnam et qualia eorum esse oportebat qui verum Numen colunt?
D et si dæmoniis a suis cultoribus hujusmodi ædificia exstructa atque oblata fuere, quænam Servatori nostro grati animi monimenta offerenda erant quod ab iisdem nos liberasset? Sed omitto hæc, omitto etiam tecta et operta ambulacra, quæ per omnem urbem quondam ostendebantur, ita ut totam sine luto vel æstu liceret peragrare. Omitto etiam columnas ex uno solidoque saxo, quarum singulæ turrim vel castellum aliquod non male constituere possent. Transeo porticus, bases statuarum et pyramides: prætermitto regiarum ædium in diversis urbis partibus multitudinem, magnitudinemque et pulchritudinem, item theatra, castra, prætoria, circos, gymnasia, hippodromos: ut et navalia et moles mœnibus portubusque objectas: tum fossa,

Digitized by Google

et fundamentorum ac murorum substructiones usque ad mare porrectas, et opportunas ex quavis parte navibus recipiendis stationes: quin etiam turres in medio maris et profundo pelago, et in ipso reciprocantium fluctuum vorticoso æstu, et in turribus hisce dulces aquas. Præter hæc sublimes et pensiles per murorum arcus aquaram ductus, quos fluvios aërios appellare possis, ex locis remotioribus ad aliquot dierum itĕr, ut aiunt, perductos: tum perfossa obstantium montium dorsa. Omitto etiam receptacula et cisternas quibus aquæ istæ primum excipiuntur: quæ ad aquæ ductus maris vel stagni instar obtinent: quarum aliæ tectis adopertæ visum latent, aliæ in propatulo et apertæ scaphis navigari possunt. Earumque nonnullæ jam intus sub convexo fornicum, aliæ superius in tectis maximas arbores nutriunt, et vicinis agrorum vel hortorum vicem præstant. Omitto in cisternis illis columnarum et fornicum multitudinem: tum alios subterraneos et effossos canales qui totam urbem tabulati instar pensilem et subtus concavam efficiunt: item cloacas et meatus publicos: quæ omnia etiam in hac urbe longe plurima exstant. Quid vero de balneis dicam: quorum vel numerum si referam, fidem non invenero? tum aquarum copiam, quæ ex fontibus per ædes et publice per urbem derivatur? Quid de suburbiis? quæ, si magnitudinem spectes, aliquot dierum itinere extra urbem protenduntur: si pulchritudinem, commoditatem et apparatum, cum ædificiis urbanis quovis genere certant. Nam inde ab Abydo, et Sesto, et Hellesponto usque ad Bosporum Thracium, et Fana, insulasque Cyaneas, sive ab Asiæ, sive ab Europæ latere Propontidis ambitum, ejusque insulas circa urbem sitas, tum etiam cornu portus, et quidquid inde ad Pharum usque protenditur, quis circuiverit, continua huic urbi suburbia erant. Quorum templa et ædificia si quis enumerare vellet, illi historia, et ea quidem non parva texenda esset. Quin ipsa hæc suburbia non exigua sui parte per murum longum, ut vocant, ab inferiori mari ad mare superius Pontumque Euxinum porrectum, in unam continuam urbem coalescunt: quæ integram posset constituere provinciam: quippe quæ magnitudine sua tantum in se complectitur, quantum in reliquis omnibus simul reperire forsan haud facile esset. Ipse autem murus longus, non solum longus, sed etiam largus altusque murus jure posset cognominari: cum talis ac tantus sit, ut si promiscue ex quibuscunque lapidibus fluminumque glarea, et minutis petris constructus esset, utique admirationem mereretur. Sed ille hujusmodi saxorum mole consiat, et tali arte est exstructus, ut si vel ad paucas orgyas extenderetur, stuporem spectantibus haud immerito afferret: quippe cum mons verius sit, quam murus. Adeo quidem ut si funis vel projecæ trabis instar pensilis esset convenientem longitudini crassitiem obtineret: quæ quidem in istis, ne disrumpantur, requiritur. Cum tamen murus

A τῶν θεμελίων καὶ τῶν τειχῶν ἀπὸ τῆς θαλάττης λίθους, καὶ τοὺς ὑποδεχομένους ἐκ παντὸς μέρους νεωσοίκους, καὶ τοὺς ἐν μέσῳ τῇ θαλάττῃ, καὶ τοῦ πελάγους, καὶ τοῦ βυθοῦ, ἐπὶ τῆς δίνης αὐτῆς καὶ τῆς παλιῤῥοίας πύργους, καὶ τὰ ἐν αὐτοῖς γλυκέα ὕδατα, πρὸς δὲ τούτοις ἀγωγοὺς ὑδάτων, ὑπογείους καὶ κρεμαστοὺς αὖ διὰ τειχῶν, ἀερίους ποταμοὺς λέγεσθαι δυναμένους, πόῤῥωθέν ποθεν ἐκ μακροτάτου διαστήματος ἡμερῶν ὁδὸν, ὡς φασιν, ἀφικνουμένους· καὶ τὰς τῶν μεταξὺ παρεμπιπτόντων ὀρῶν διωρυγὰς, καὶ τὰς ὑποδεχομένας πρότερον τούτους δεξαμενὰς, θαλασσῶν ἢ λιμνῶν λόγον πρὸς ἐκείνους τότε γε ἐχούσας, τὰς μὲν καταστέγους καὶ ἀφανεῖς, τὰς δὲ ἀναπεπταμένας καὶ φανερὰς ὁλκάσι δυναμένας πλεῖσθαι· ὧν ἔνιαι νῦν αἱ μὲν ἐπὶ τοῦ
B κύτους ἔνδον, αἱ δὲ ἄνω ἐπὶ τῶν στεγῶν μέγιστα δένδρα τρέφουσι καὶ τοῖς ἔχουσιν ἀρκοῦσιν ἀντ' ἀγρῶν καὶ κήπων εἶναι· καὶ τὸ πλῆθος τῶν ἐν αὐταῖς κιόνων καὶ ἀψίδων· ἄλλας δὲ αὖ ὑπογείους καὶ ὀρυντὰς πᾶσαν τὴν πόλιν ὑπερῷον καὶ κρεμαστὴν, καὶ τὰ κάτω διάκενον ποιούσας· καὶ τοὺς δημοσίους ὑπονόμους, ἃ καὶ παρὰ τῇδε πλεῖστα. Τί δὲ περὶ λουτρῶν ἂν λέγοιμι, ὧν τὸ ἱστορούμενον ἐν αὐτῇ γενέσθαι πλῆθος ἀπιστεῖται; καὶ τῶν ἀπὸ κρηνῶν ὑδάτων, ἃ κατ' οἰκίαν τε καὶ διὰ τῆς πόλεως ἐχέτο; Τί
C δὲ περὶ τῶν προαστείων, τῷ μὲν μεγέθει ἡμερῶν ὁδὸν οὐκ ὀλίγων διατεινόντων, τῷ δὲ κάλλει, καὶ τῇ χρείᾳ, καὶ τῇ κατασκευῇ τοῖς ἐπὶ τῆς πόλεως κατὰ πᾶν εἶδος ἀμιλλωμένων; Ἀπὸ γὰρ Ἀβύδου, καὶ Σηστοῦ, καὶ Ἑλλησπόντου μέχρι Θρᾳκίου Βοσπόρου, καὶ Ἱερῶν, καὶ Κυανέων, εἴτε ἀπὸ τῆς Ἀσίας, εἴτε ἀπὸ τῆς Εὐρώπης κύκλῳ τὴν Προποντίδα, καὶ τὰς ἐν αὐτῇ κυκλάδας τῇ πόλει νήσους, καὶ τὸ κέρας τοῦ λιμένος, καὶ ὅσον ἄνωθεν μέχρι φάρου περιτοῦσι, συνεχῆ προάστεια ἦν τῇ πόλει· ὧν εἴ τις τοὺς ναοὺς καὶ τὰς οἰκοδομὰς βούλοιτο καταλέγειν, ἱστορίαν ἂν, καὶ ταύτην οὐ σμικρὰν, ἀναγκάζοιτο συγγράφειν· καὶ αὐτὰ δὲ τὰ προάστεια, οὐκ ὀλίγῳ μέρει διὰ τοῦ
D μακροῦ λεγομένου τείχους ἀπὸ τῆς κάτω θαλάττης εἰς τὴν ἄνω καὶ τὸν Εὔξεινον διήκοντος πόλις ἐγίνετο ὑπαρχία δυναμένη εἶναι, τῷ μεγέθει τοσαῦτα περικλείουσα, ὅσα ἐν ὁμοῦ πάσαις ταῖς ἄλλαις ἔργον ἦν ἴσως εὑρεῖν. Αὐτὸ δὲ τὸ μακρὸν τεῖχος οὐ μακρὸν μόνον, ἀλλὰ καὶ πλατὺ τεῖχος δικαίως καὶ ὑψηλὸν κατ' ἐπωνυμίαν ἠδύνατο καλεῖσθαι· τοσοῦτον μὲν δν, ὥστε εἰ καὶ τοῖς τυχοῦσι λίθοις, καὶ ταῖς ἀπὸ τῶν ποταμῶν καὶ χειμάῤῥων βώλοις, καὶ χερμαδίοις ἁπλῶς συνέκειτο, ἄξιον δν θαυμάσαι· τοιούτους δὲ, εἰ δὲ βούλει, τηλικούτους τοὺς λίθους ἔχον, καὶ τοιαύτην τὴν δομησαμένην τέχνην, ὥστε εἰ καὶ ὀλίγων ὀργυιῶν ἦν, δικαίως ἂν παρασχεῖν ἔκπληξιν τοῖς θεωμένοις ὄρος δν μᾶλλον ἢ τεῖχος· ὥστε εἰ κρεμαστὸν ἦν ὥσπερ τι σχοινίον ἢ δοκὸς διατεταμένον, ἀνάλογον τῷ μήκει τὸ πάχος εἶναι, ὥσπερ ἐν ἐκείνοις ζητεῖται πρὸς τὸ μὴ διαῤῥαγῆναι· αὐτό τε καὶ τὸ τῆς πόλεως, ἢ μᾶλλον τὰ τῆς πόλεως, ὥσπερ εἴρηται, ἐπὶ τοσαύτης καὶ οὕτω δυνατωτάτης τότε ἀρχῆς, μεγαλοπρεπείας μᾶλλον χάριν, ὥσπερ ἄλλο τι τῶν κατὰ τὴν πόλιν θαυμαστῶν, γενόμενα ἢ

Digitized by Google

χρείας. Ὅσῳ γὰρ ἧττον μεγέθους τειχῶν τότε ἐδεῖτο, τοσούτῳ πλείω, ἔτι δὲ μείζω ταῦτα περιεβάλετο, οἰομένη πόλιν τε πρώτως ἀπὸ τῶν τειχῶν φαίνεσθαι, καὶ καλεῖσθαι, καὶ πρὸς τὸν ἅπαντα δὲ χρόνον, οὐ πρὸς τὴν παροῦσαν μόνον ἡλικίαν ταῦτα γίνεσθαι· ἐφ' οὗ πολλὰ κατ' ἀνθρώπους δύνασθαι συμβῆναι· καὶ τῶν μεγίστων μὲν εἶναι τὸν παρὰ τῶν πολλῶν φθόνον, μεγίστας δὲ εἶναι καὶ τὰς μεταβολάς· ὥστε οὐ μόνον τῆς δυνάμεως τῶν πεποιηκότων, ἀλλὰ καὶ τῆς εἰς τὸ μέλλον προνοίας καὶ φρονήσεως αὐτῶν μέχρι πολλοῦ σύμβολα διαμένειν.

ille et reliqua urbis munimenta, quæ dixi, validi ac potentissimi imperii tempore, ut cætera admiranda opera illius urbis, potius ad magnificentiam quam usum exstructa fuerint. Quanto enim minus murorum magnitudine tunc indigebat, eo et pluribus et majoribus cincta fuit. Quippe cum crederent urbem primum ex muris apparere, nomenque inde accipere et hosce non præsenti tantum ætati, sed ad omne futurum tempus exstrui: cujus progressu multa hominibus evenire possint; in quibus multorum invidia vel præcipuum locum obtinet, tum etiam maximas rerum mutationes contingere, ita ut hæc non solum potentiæ conditorum, sed etiam providentiæ de futuris et prudentiæ argumenta quam diutissime superessent.

Ἀλλ' οὐδὲ μνήματα, ἢ τάφους, ἢ στήλας, ἢ ἀνδριάντας, ἐπὶ τῆς ἡμετέρας πόλεως ὄντας ἢ γενομένους βουλόμενος ἂν εἰπεῖν ἠπόρουν ἴσως· ἀλλ' ἐλάττω μὲν ἴσως ἔμελλον τῶν παρὰ τούτοις λέγειν, καλλίω δὲ ἔνια καὶ περιφανέστερα πολλῷ τῶν τῇδε. Τί γὰρ ὁ τοῦ κτίστου μὲν καὶ πολιούχου βασιλέως τάφος, καὶ οἱ τῶν ἄλλων τῶν περὶ αὐτὸν ἐπὶ τοῦ βασιλικοῦ πολυανδρίου, ὃ μόνον θαῦμα ἦν ἰδεῖν, πολλοὶ μὲν κύκλῳ σωζόμενοι περὶ τὸν ναὸν τῶν Ἀποστόλων, πολλοὶ δὲ ἤδη καὶ ἀπολωλότες, καὶ ἄλλοι δὲ ἀλλαχοῦ τῆς πόλεως ἐπὶ τῶν προνάων; Τί δὲ ἡ τοῦ νομοθέτου βασιλέως στήλη; Καὶ περὶ τούτου δὲ οὐ ἄλλαι στῆλαι γεγόνασιν, εἰ μέμνημαι, πρὸς ἀνατολὰς πολλαὶ κιόνων ἐξαισίων ἀνεχόντων. Ὅτι δὲ καὶ ἄλλοι πλεῖστοι ἐπὶ τῆς πόλεως τοιοῦτοι ἀνδριάντες ἦταν, δείκνυται ἀπὸ τῶν φαινομένων βάσεων αὐτῶν, καὶ τῶν ἐν αὐτοῖς ἐπιγραμμάτων· ὧν ἄλλαι μὲν ἀλλαχοῦ, πλεῖσται δὲ ἦσαν ἐν Ἱπποδρόμῳ· καὶ ἄλλας καὶ πλείστας εἶδον αὐτὸς πρότερον, ἃς νῦν οἶδα ἀφῃρεθείσας. Εἰσὶ δὲ οἳ λέγουσι καὶ τὸν ἐπὶ τοῦ Ξηροῦ λόφου κίονα, καὶ τὸν ἀντικρὺ τούτου πρὸς ἥλιον ἀνίσχοντα ἐπὶ τοῦ ἑτέρου λόφου, ἀπὸ ταύρου κεκλημένου, βάσεις σφυρηλάτων ἀργυρῶν ἀνδριάντων γεγενῆσθαι, τὸν μὲν τοῦ μείζονος, τὸν δὲ τοῦ ἐλάττονος, οὕτω γὰρ λέγονται, τοῖν Θεοδοσίοιν· οὓς πόσον ἐχρῆν γενέσθαι μεγάλους, καὶ τιμίους, καὶ καλοὺς, φαίνεται ἀπὸ τοῦ κάλλους, καὶ τοῦ ὕψους, καὶ τῆς λαμπρότητος, καὶ τῆς πολυτελείας τῶν κρηπίδων. Ταῦτα δὲ ἐνθυμηθεὶς ἐμνήσθην μεταξὺ καὶ τῆς ἐπὶ τῆς αὐτῆς ὁδοῦ τε καὶ γραμμῆς πρὸς δυσμὰς γενομένης ποτὲ πύλης τῆς πόλεως, πύργους ὅλους ἢ φρούρια εἰσιόντα, εἴπερ οἷόν τε ἦν κινεῖσθαι, καὶ ὁλκάδας αὐτοῖς λέφεσι καὶ ἱστοῖς δυναμένης δέξασθαι, καὶ τῆς ὑπὲρ αὐτῆς λαμπούσης στοᾶς πόρρωθεν καὶ τοῦ μεγέθους τῶν ἐν αὐτῇ μαρμάρων· ἔτι δὲ τοῦ πρὸ αὐτῆς κίονος, ὃς καὶ αὐτὸς στήλην ἀνεῖχε. Καὶ ὁ ἐπὶ τοῦ ἑτέρου δὲ λόφου, τοῦ ὑπὲρ τῆς οἰκίας ἣν νῦν οἰκεῖς, κίων οὕτω καλούμενος, καὶ οἱ ἐπὶ τοῦ στρατηγίου, καὶ ὁ ἐπὶ τὰ δεξιὰ τοῦ ναοῦ τῶν Ἀποστόλων, καὶ πολλοὶ ἕτεροι, βάσεις ἀξίων αὐταῖς ἀνδριάντων ἦσαν. Τί γὰρ ἂν λέγοιμι περὶ τοῦ πρὸς ἕω ἐπὶ τῆς αὐτῆς πλατείας αὖθις εἰς ὕψος μήκιστον αἴροντος τὸν σταυρὸν πορφύρου κίονος, ἐπὶ τῆς αὐλῆς τῶν τοῦ μεγάλου Κωνσταντίνου βασιλείων αὐτοῦ πηξαμένου καὶ ἱδρυμένου, πάντας μὲν ἀνδριάν-

Quod si monumenta, sepulcra, columnas et statuas nostræ urbis commemorare vellem, quæ vel nunc exstant, vel olim fuere, fortassis nec hic materies mihi deficeret; sed quamvis numero forte pauciora, quam hic sint, attamen nonnulla iis longe pulchriora et splendidiora commemorem. Nam quid Cæsaris illius sepulcrum, quem conditorem ac tutelarem ea urbs agnoscit? quid vicina reliquorum monumenta eo loco ubi imperatorum sepulturæ visuntur? res vel solo visu admiranda: quorum non pauca adhuc supersunt circa ædem SS. Apostolorum; multa quoque jam interierunt; alia etiam passim in templorum vestibulis exstant. Quid vero statua illius imperatoris qui legum auctor fuit? quam vicissim multæ aliæ statuæ ab ortu, si recte memini, maximis columnis impositæ undique cingebant. Sed et alias hujus generis statuas quamplurimas per urbem exstitisse bases ipsarum et inscriptiones, quæ adhuc visuntur, ostendunt: quarum aliæ aliis in locis, sed plurimæ in Hippodromo exstabant. Quin et ipse olim multas alias vidi, quas nunc ablatas scio. Nec desunt qui columnam quæ in colle Xerolopho exstat, ut et alteram, quæ exadversum ad solem orientem, in colle qui a Tauro nomen habet, ductas ex argento statuas sustinuisse affirmant: quarum quidem altera majoris, altera minoris Theodosii fuerit, hisce enim nominibus vulgo distinguuntur. Quantas autem, quam pretiosas, et quam pulchras eas fuisse oporteat, id vero ex basium pulchritudine, altitudine, splendore et magnificentia apparet. Verum mihi hæc cum animo revolventi interim in memoriam venit porta urbis, quæ in eadem via, et in eadem linea versus occasum quondam exstabat; adeo ampla, ut turres integras et castra, si moveri potuissent suo loco, navesque onerarias cum armamentis et malis recipere posset: tum etiam porticus supra eam longe lateque resplendens, et marmorum in ipsa porticu magnitudo: ut et columna ante portam, quæ et ipsa statuam olim sustinuit. Quin etiam pila in altero colle, qui ædibus tuis, in quibus nunc habitas, imminet: ut et ilæ quæ in strategio exstant; tum quæ ad dexteram SS. Apostolorum visitur, multæque aliæ dignæ convenientibus statuis bases fuere. Sed quid ego de porphyretica columna commemorem, quæ versus orientem in eadem re-

Digitized by Google

gione exstat, et crucem editissimam sustinet : quæ in area palatii Constantini Magni erecta et dedicata fuit, et cæteras statuas omnes, omnesque columnas superat? nam et cælati operis magnam copiam habemus, quale in columnis illis circumcirca effigiatis visitur, quæ accuratissime effictæ sunt, ad imitationem earum, quæ hic exstant. Sed illud opus superant statuæ istæ, quæ ex lapide porphyretico factæ sellis ad trivium insident, et secundum aliquos ageranomia et principatus nuncupantur: tum etiam altera in eadem via, paulo supra caput rivuli, qui urbem perlabitur, ex candido lapide vel marmore, quæ cubito inniti videtur. Sunt et alia hujus generis multa, quæ ipse quidem non vidi, sed in locis quibusdam abditis exstare audivi. Nam eas quæ sunt ante portam auream omitto. Sed et ipsam hanc portam, et marmoreas illius turres; tum Herculis labores, et Promethei tormentum, atque alia hujus generis summa et admirabili arte in marmore expressa quis digne admirari poterit? Sed quod civitas illa non etiam plura istorum operum habeat, ejus hæc est causa, quod tum condita fuerit, cum etiam hic propter religionem ista neglecta jacerent. Credo quod homines statuarum et signorum similitudinem aversarentur; quinam ergo isthic ea tum facturi essent, quæ hic cum jam exstarent neglecta jacebant? Fecerunt tamen et invenerunt alia: tabulas, inquam, imagines, picturas et tessellatum sive musivum opus, artem revera pulcherrimam et maxime durabilem. Et hic quidem opera illa tessellata admodum rara sunt: quæ profecto solius Græciæ, aut potius illius urbis sunt propria: nam si vel hic vel aliis in locis tale quid visitur, et materiam et artem inde habuit. Quod etiam in re statuaria contigisse existimo; videlicet eam principio isthic cœpisse et huc pervenisse: attamen et hic admirabile accepisse incrementum: quod fortassis etiam de multis aliis quis affirmare posset.

Sed ut cætera quæ sine fabulis et exaggeratione de ista urbe commemorari possent, omittam; templum illud, cui Sophiæ nomen a divina Sapientia conditor imposuit (nequaquam enim humanæ sapientiæ opus est), ubi quis contemplatus fuerit, quænam alia post hæc commemorare, vel mirari poterit, vel quorum deinceps poterit meminisse? Neque enim post homines natos simile quid fuisse, vel unquam futurum existimo. Unde et ipse postquam ejus memini, omnem deinde orationem de hisce rebus omittam. Neque enim quidquam pro rei dignitate de illo dici potest; et postquam ejus memineris, nihil amplius ulla de re dicere licet. Nam ubi hoc animo tecum consideras, ibi nihil aliud cogitari potest. Sed de illo, ut dixi, pro dignitate quidquam dici nequit; et si quis dicere inciperet, plus temporis illi quam cæteris omnibus impendere cogeretur, nec tamen quidquam ut par est diceret. Sed et hoc libenter concedam, neutiquam tamen neque in fine orationis, neque obiter, nec sine certo consilio ut superiora dicendum erat. Verum si nec statim a principio, et certo consilio, neque alteri consilio intenti ullam templi illius partem verbis describere possumus, utique

τας, πάσας δὲ στήλας νικῶντος; ἐπεὶ καὶ τῶν γλυπτῶν τούτων ἔργων, ἔχομεν δὲ πολλὰ, οἷον ἐπὶ τῶν περιγλύφων ἐκείνων κιόνων, ἀκριβῶς εἰς μίμησιν τῶν τῇδε πεποιημένων· ὅμως δὲ ὑπερβαλλομένων καὶ τῶν διὰ μέσου τούτων τῆς πορφυρίτιδος λίθου πεποιημένων ἀνδριάντων, ἐν θρόνοις ἐπὶ τριόδου καθημένων, οἷς ὄνομά τι κατὰ τούτους ἀγορανομίας καὶ ἀρχῆς ἐπιφημίζεται· καὶ ἄλλου δὲ ἐπὶ τῆς αὐτῆς ὁδοῦ μικρὸν ἐκ λευκοῦ λίθου ἢ μαρμάρου, ὑπὲρ κεφαλῆς τοῦ διὰ τῆς πόλεως χειμάρρου, δοκοῦντος εἰς ἀγκῶνα ἀνακεῖσθαι. Καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα, ἃ μὴ ἔτυχον αὐτὸς ἰδὼν, ἀκήκοα δὲ ἐν τόποις τισὶν ἀποκρύφοις εἶναι. Ἐῶ γὰρ τοὺς πρὸ τῆς χρυσῆς πύλης. Ἦν καὶ αὐτὴν καὶ τοὺς ἐν αὐτῇ μαρμαρίνους πύργους τίς ἂν ἀξίως; δύναιτο θαυμάσαι, ἆθλους Ἡρακλέους ἀρίστης καὶ θαυμασιωτάτης τέχνης, καὶ Προμηθέως; βάσανον, καὶ τοιαῦτα ἕτερα ἀπὸ μαρμάρου; Τοῦ δὲ μὴ καὶ πλείω τούτων ἔχειν αἴτιον τὸ τὴν πόλιν ἐκείνην τότε γεγενῆσθαι, ὅτε ταῦτα καὶ ἐνταῦθα διὰ τὴν θρησκείαν ἠμελεῖτο, φευγόντων, οἶμαι, τῶν ἀνθρώπων τὴν τῶν ξοάνων καὶ εἰδώλων ὁμοιότητα. Πῶς τοίνυν ἐκεῖνοι ποιεῖν ἔμελλον, ἃ ἐνταῦθα ἤδη πρότερον ὄντα καθῃρεῖτο; Ἐποίησαν δὲ καὶ ἐξεῦρον ἄλλα· τὰ διὰ τῶν πινάκων, καὶ εἰκόνων, καὶ γραφῶν, καὶ τὰ διὰ ψηφίδων λέγω, τέχνης ὄντως λαμπροτάτης καὶ μονιμωτάτης· ἃ καὶ διὰ τῶν ψηφίδων δήπου σπάνια ἐνταῦθα καὶ ἀληθῶς μόνης τῆς Ἑλλάδος, ἢ τῆς πόλεως ἐκείνης. Ἔπεσι καὶ εἴ τι τοιοῦτον ἐνταῦθα ἢ ἀλλαχοῦ δείκνυται, ἐκεῖθεν τὴν ὕλην ἔσχε καὶ τὴν τέχνην. Ὃ νομίζω καὶ ἐπὶ τῆς ἀνδριαντοποιικῆς συμβῆναι· ἄρξασθαι μὲν καὶ ἐλθεῖν τὴν ἀρχὴν ἐκεῖθεν, ἐπιδοῦναι δὲ θαυμασίως καὶ ἐνταῦθα. Ἴσως δὲ τοῦτο ἂν εἴποι τις καὶ ἐπὶ πολλῶν ἄλλων.

Ἀλλὰ ταῦτα μὲν, ὅπερ εἶπον, ἐῶ· ἐῶ δὲ καὶ τἄλλα, ὅσα τις ἀμύθητα καὶ ἀνυπέρβλητα λέγειν δύναιτο περὶ ἐκείνης· ἀλλὰ ναὸς ἐκεῖνος, ᾧ καλῶς ποιῶν ἐκεῖνος τοὔνομα τῆς τοῦ Θεοῦ Σοφίας ἐπεφήμισε (ἔστι γὰρ ὄντως οὐκ ἀνθρωπίνης σοφίας ἔργον), τίνα ἰδόντα ἐάσει ἕτερα τοῦ λοιποῦ λέγειν, ἢ θαυμάζειν, ἢ ἑτέρων τοῦ λοιποῦ μεμνῆσθαι; Οἶμαι γὰρ μήτε γενέσθαι, μήτε μὴν γενήσεσθαί ποτε ὁμοιόν τε κατ' ἀνθρώπους· ὅθεν δὴ κἀγὼ τούτου μνησθεὶς, ἐάσω λοιπὸν πάντα τὸν περὶ τούτων λόγον. Οὔτε γὰρ περὶ αὐτοῦ ἔστιν ἄξιόν τι τοῦ πράγματος εἰπεῖν, οὔτε τούτου μνησθέντα ἔξεστιν ὅλως λοιπὸν περὶ οὑτινοσοῦν λέγειν. Τοῦτό τε γὰρ κατὰ νοῦν βαλόμενον οὐκ ἔστιν ἕτερον διανοηθῆναι. Καὶ περὶ αὐτοῦ δὲ, ὡς εἶπον, πρὸς ἀξίαν τι λέγειν ὁπωσοῦν ἀμήχανον· καὶ ἀρξάμενον δὲ δεήσει πλείονα περὶ τούτου χρόνον ἢ περὶ τῶν ὑπολοίπων πάντων ἀναλῶσαι, καὶ τέλος μηδὲν ὅμως ἄξιον εἰπεῖν. Ἐγὼ δὲ καὶ σπεύδω, ὡς εἶπον, ταῦτα δοῦναι. Οὐκοῦν ἔδει πρὸς τῷ τέλει τοῦ λόγου, οὐδὲ ἐν παρέργῳ, καὶ οὐκ ἄνευ προνοίας, ὥσπερ ἐπὶ τῶν προειρημένων, ἀλλ' εἰ καὶ ἐξ ἀρχῆς εὐθὺς καὶ μετὰ προνοίας, καὶ μηδὲν ἄλλο προστησάμενοι ἡδυνήθημέν τι τῶν ἐκ ἐκείνῳ ἐπιδείξασθαι, εἴχο-

Digitized by Google

μεν ἂν σφόδρα ἀγαπῆσαι. Τίνος γὰρ λόγου ὕψος ἢ μέγεθος ἐξισώσεται τῷ ἐκείνου ὕψει καὶ μεγέθει; ποῖον δὲ κάλλος τῷ κάλλει; ποῖον δὲ λόγου ἀξίωμα τῷ ἀξιώματι ἐκείνου; ποία δὲ ἁπλότης, ἵν' οὕτως εἴπω, τῇ ἁπλότητι; τίς δὲ δεινότης ῥημάτων καὶ ποικιλία παρισώσεται τῇ ἐκείνου ποικιλίᾳ; τίς μὲν λέξεων ἀκρίβεια τῇ τῶν ὑλῶν διὰ πάντων ἀκριβείᾳ καὶ ὑπεροχῇ; τίς δὲ συνθήκη τῇ ἐκείνων ἁρμονίᾳ καὶ συνθήκῃ; οὗ καὶ ἕν τι μέρος ἢ μόριον λέγω τὸ σμικρότατον ἀπολαβόντες, οὐκ ἔχοιμεν ἂν εἰπεῖν ἀξίως. Οὔτε γὰρ τὰς πύλας μόνον καὶ τὰς ὁδοὺς, οὔτε τοὔδαφος, οὐ τὰ πρόθυρα καὶ τὰ πρὸ τῶν πυλῶν κάλλη, οὐ τοὺς κίονας, οὐ τὰς ψηφῖδας, οὐ τὰς τῶν τοίχων μαρμαρώσεις, οὐ τὴν ὕελον, οὐ τὸν ἐν αὐτῇ χαλκὸν, οὐ τὸν μόλυβδον, οὐ τὸν σίδηρον, οὐ τὴν σάπφειρον, οὐ τὸν χρυσὸν, οὐ τὴν ὕελον αὖθις τὴν ἐν ταῖς ψηφῖσιν, οὐκ ἄλλο ὁτιοῦν μέρος ἀκριβῶς δυναίμεθα καταλέξαι. Τί τοίνυν ἂν τις περὶ τῶν λίθων καὶ τοῦ ὅλου σχήματος, καὶ τῆς ὅλης οἰκοδομῆς καὶ τοῦ πλάτους, καὶ τοῦ ὕψους, καὶ τῆς ὀροφῆς λέγοι; ἣν οὐ μόνον ὡς ἔχει λέγειν, ἀλλ' οὐδὲ ὁρᾷν δυνάμεθα· μᾶλλον δὲ ὁρῶντες, ὅπως ἕστηκεν ἀπιστοῦμεν. Ὥσπερ γὰρ τὴν οὐρανοῦ σφαῖραν θαυμάζομεν στρέφεσθαι ἐφ' ἑαυτῆς, οὕτως ταύτην τὴν ἀμίμητον καὶ οὐρανίαν ἀψῖδα καὶ ὀροφὴν, ὅπως τὴν ἀρχὴν γέγονε καὶ ἕστηκεν ἀποροῦμεν. Καίτοι πλεῖστον τοῦ μεγέθους τῆς ὄψεως ἀνάγκη τὸ ὕψος ἀφαιρεῖν, μᾶλλον δὲ καὶ αὐτοῦ τοῦ ὕψους· ὅμως ἀμήχανον τὸ τῆς ὑπερβολῆς φαίνεται· ὥστε μὴ μόνον τὸν τοσοῦτον ὄγκον, καὶ τὴν τοιαύτην κατασκευὴν θαυμάζειν, ἀλλὰ καὶ τοὺς τοσοῦτον ἔργον ἀπ' οὐδενὸς ὁμοίου παραδείγματος εἰς νοῦν βαλλομένους, καὶ διανοηθέντας, καὶ νομίσαντας δυνατὸν εἶναι ἀληθῶς εἰς ἔργον προελθεῖν, καὶ διαπραξαμένους. Ὁ φημὶ μὲν περὶ τοῦ ὅλου ἁπλῶς ἔργου, μάλιστα δὲ φημὶ περὶ τῆς ὀροφῆς, ἣν ἀνάγκη τὸν ἀρχιτέκτονα ἐκεῖνον εὐθὺς ἀπὸ τῶν θεμελίων, μᾶλλον δὲ καὶ πρὸ τῆς τῶν θεμελίων αὐτῶν καταβολῆς, ὡς νῦν ἔχει, διανοηθῆναι, καὶ θαῤῥῆσαι συστῆναι δύνασθαι· ὃ νῦν ὁρώμενον ἀπιστεῖται. Σφόδρα ἐκεῖνον εἰκὸς τῇ τέχνῃ, καὶ ταῖς ἀναλογίαις ταῖς κατ' αὐτὴν πιστεῦσαι· σφόδρα δὲ εἶναι γεωμετρικὸν ἢ μηχανικόν· καίτοι τί λέγω; ἐκεῖνο γὰρ τὸ ἔργον οὐ τὴν ἐκείνου μόνον, καὶ τῶν ἄλλων δημιουργησάντων, ἀλλὰ καὶ τὴν τοῦ ἀνθρωπίνου γένους, καὶ τὴν τοῦ ζώου τούτου ἁπλῶς ἀγχίνοιαν καὶ μεγαλουργίαν τοὺς ὁρῶντας δύναται ποιεῖν θαυμάζειν· ὅτι τοσοῦτον αὐτῷ φύσει, ὅπερ οὐκ ἄν τις πρότερον ᾠήθη, ἐπινοίας, καὶ μεγαλονοίας, ἢ ἀξίας, καὶ δυνάμεως περίεστιν. Οἶμαι γὰρ οὐδὲν τῶν χειροκμήτων τούτων ἔργων παρ' ἀνθρώποις ὅμοιον οὐδ' ἐγγὺς γενέσθαι. Πολλὰ δὲ καὶ τῆς φύσεως καὶ τῆς διανοητικῆς σοφίας ἐν αὐτῷ δείκνυται θαυμάσια. Τοῦτο τοίνυν τὸ τοσοῦτον καὶ τοιοῦτον ἔργον βέλτιον σιωπῇ θαυμάζειν· ἐπεὶ καὶ ἀπὸ τῆς ὄψεως ἢ τῆς μνήμης μόνης ἀνόους καὶ ἀφώνους τοὺς ἐνθυμουμένους καὶ ὁρῶντας ποιεῖν δύναται· ὥσπερ ἀβλεπτεῖν συμβαίνει τοὺς πρὸς τὸν ἥλιον ἢ πρός τι τῶν λαμπρῶν ὁρῶντας. Καὶ περὶ τῶν ἐκείνῃ δὲ τῇ πόλει λειψάνων ἁγίων καὶ ἁγιασμάτων, ἃ πλεῖστα μὲν ἐξ

A hoc ipsum quam charissimum nobis esse debet. Cujusnam enim orationis sublimitas aut magnitudo illius altitudinem magnitudinemque adæquabit? quæ orationis elegantia illius pulchritudinem? quæ majestas illius majestatem? quæ simplicitas, ut ita dicam, illius simplicitatem? quæ vis et varietas verborum illius varietatem adæquabit? quæ dictionum cura et delectus illius accuratam per omnia perfectionem et excellentiam? quæ orationis structura illius proportionem et structuram? cujus si vel unam partem aut minimam potius particulam sumamus, nequaquam digne describere possumus. Neque enim vel solas portas et aditus, non pavimentum, non vestibula, et portarum ornamenta,
B non columnas, non vermiculata tessellarum opera, non marmoreas parietum incrustationes, non vitrum, non æs in iis consumptum, non plumbum, non ferrum, non sapphirum, non aurum, neque vitrum in tessellarum commissuris, nullam denique aliam partem accurate describere poterimus. Ecquid igitur de lapidibus, quid de tota figura et structura universa, quid de latitudine et altitudine quid de tecti fastigio aliquis dicat? Cujus structuram non solum oratione, sed nec visu assequi valemus: quin potius oculis contuentes nobis ipsis persuadere non possumus quomodo subsistat. Nam ut cœli orbem in se ipso converti miramur, ita etiam qua ratione absis illa et contignatio inimitabilis et cœlestis principio facta fuerit, et quomodo
C substiterit, dubitamus. Et quamvis necessum sit ut altitudo quamplurimum de magnitudine aspectus, vel potius de ipsa altitudine subtrahat; attamen quantum cernitur immensum et vastum quid apparet; ita ut non solum tantam molem talemque structuram aliquis miretur, sed et illos, qui nullo simili exemplo proposito tantum opus animo conceperunt, et mentis conceptum reipsa in opus produci posse existimarunt, et perfecerunt. Et hoc quidem absolute de toto opere intelligo, sed præcipue de tholo: quem necessario architectus ille statim ab ipsis fundamentis, vel potius etiam ante jacta fundamenta talem qualis nunc est, animo concepit, et exstrui posse confidit. Quod nunc dum oculis cernitur fidem excedit. Et vero-
D simile est hominem illum arti et proportionibus artificiosis admodum fuisse consumum, tum etiam geometrica et mechanica scientia fuisse instructissimum. Et quid multis? unum hoc opus sufficit, unde non illius solum et reliquorum architectorum, sed totius humani generis et ingeniosi hujus animantis solertiam et magnificentiam admireris: cui tantum ingenii et tam vastas cogitationes, vel etiam tantum dignitatis et potentiæ, quantum vix quisquam ante credidisset, naturæ beneficio suppetit. Ita enim existimo, nullum humanæ industriæ opus ad hoc ipsum accedere, multo minus æquare: in quo etiam multa tam naturæ quam ingenii ac sapientiæ miracula apparent. Præstat igitur nos tantum ac tale opus silentio admirari: cum vel

Digitized by Google

ipse aspectu vel etiam sola recordatione mentem vocemque illis, qui vel animo, vel oculis contemplantur, adimere possit : quemadmodum ii cæcutire solent, qui solem vel aliam rem lucidam intuentur. Quin etiam de reliquiis sanctorum, et rebus sacris illius urbis, quæ quidem plurimæ a principio fuerunt, eo quod summo semper cum studio ab augustissimis imperatoribus undequaque colligerentur, sed plurimis inde tanquam a communi quodam fonte ad alia loca transmissis nihilominus etiam nunc multæ supersunt, neminem omnino ignorare existimo.

Cæterum nunc illud de utraque urbe dicam, si quis antiquorum illorum opera spectet, tam in hac quam in nostra urbe, illum et voluptatem et utilitatem inde percepturum. Est enim quod mortalium opera admireris, est vicissim cur contemnas et pro nihilo habeas : nam si quis ea spectans, urbis Romæ imperium et potentiam, tum etiam hominum illorum dignitatem, opera ac studia consideret, ac deinde videat, quem finem ista omnia tandem habuerint : ita ut non solum ipsi, verum etiam potentia et imperium, atque ipsæ civitates propemodum emoriantur (nam, ut ille ait, etiam civitates moriuntur) ; quo tandem loco ille res humanas reputaverit ? quomodo ille vel secundis extolletur, vel deprimetur adversis ? aut qua re magnopere gloriabitur ? vel quid tandem ex rebus humanis magni faciet ? Sæpius ego dum triumphales hasce vias transeo, reges ac principes cæterosque ex Armenia aut Perside, vel ex aliis remotissimis regionibus captivos isthac deductos animo recordor. Cogito etiam belli duces de ipsis triumphantes, et quis animus iis fuerit, quam voluptatem perceperint : econtra quo animo fuerint isti. Cogito astantem et circumfusam illius urbis multitudinem, et desuper ex ædibus spectantium turbam : ad hæc concentus instrumentorum, fremitum, acclamationes et plausus, et horum quidem de victoria in tam longinquis regionibus parta voluptatem, contra vero illorum atque amicorum in patria de clade ac tali spectaculo dolorem, et diversam, ut tum credebatur utriusque partis conditionem : atque ut hi miserrimi et infelices, illi felices et beati tam aliis quam sibimetipsis videbantur. Verum nunc omnia ista paria : omnia in pulverem redacta : neque magis Pompeii et Luculli quam Mithridatis aut Tigranis fortunam noveris. Quin etiam domus ipsæ, et statuæ, atque ædificia in pulverem redacta : quæ in tantum adhuc supereminent, in quantum tellus, qua obruta teguntur, non ubique æqualis est, sed in tumulum attollitur. Multas quoque statuas horum felicium ac beatorum victorum una cum tropæis ac laureis in cœno et luto dejectas ac provolutas cernere licet, alias compactas ac divulsas, non paucas calcis operisve tectorii, vel etiam lapidum vicem aliorum ædificationibus nunc præstare videas. At queis melior sors obtigit, illæ deperdita primogenia, ut Aristoteles vocat, lapidum forma, equum conscensuris gradum seu scabellum, vel muri crepidinem, vel asini aut bovis præsepe efficiunt ; disjectæ plerumque, ut dixi, et confractæ. Alias spinæ et sentes, vel arbusta undique ena-

ἀρχῆς γέγονε, σπουδῇ πανταχόθεν τῶν κατὰ καιροὺς ἀοιδίμων βασιλέων ταῦτα συλλεξαμένων, πλείστων δὲ αὖθις ἐκεῖθεν, ὥσπερ ἀπὸ κοινῆς πηγῆς τινος, πανταχόσε διαδοθέντων, πολλὰ ἔτι καὶ νῦν μεμένηκεν, οὐδεὶς ὅλως, οἶμαι, ἀγνοεῖ.

Ἀλλ' ἐκεῖνο λοιπὸν ἂν εἴποιμι περὶ ἀμφοτέρων· ὅτι παρὰ τῆς πόλεως ταύτης, ὥσπερ καὶ παρὰ τῆς ἡμετέρας, ἔστι μὲν τέρψιν σκοποῦντα τὰ τῶν παλαιῶν ἐκείνων, ἔστι δὲ καὶ ὠφέλειαν κομίσασθαι. Καὶ ἔστι μὲν θαυμάσαι τὰ τῶν ἀνθρώπων ἔργα, ἔστι δὲ αὖ καὶ καταφρονῆσαι τούτων, καὶ τὸ μηδὲν αὐτὰ λογίσασθαι. Εἰ γάρ τις ταῦτα ὁρῶν ἐνθυμηθείη τὴν ἡγεμονίαν τῆς Ῥώμης, καὶ τὴν δύναμιν, καὶ τὴν ἀξίαν τῶν ἀνδρῶν ἐκείνων, καὶ τὰ ἔργα, καὶ τὰς σπουδάς· εἶτα ὁρῴη ταῦτα πάντα εἰς ἃ τετελευτήκασιν, ὥστε οὐ μόνον αὐτούς, ἀλλὰ καὶ τὴν δυναστείαν, καὶ ἡγεμονίαν, καὶ τὰς πόλεις αὐτὰς σχεδὸν ἀποθανεῖν (θνήσκουσι γάρ, ὥς που λέγει τις, καὶ πόλεις)· τί λοιπὸν ἂν λογίσαιτο τὰ τῶν ἀνθρώπων ; πῶς δ' ἂν εὐτυχῶν ἐπαρθείη, ἢ δυστυχῶν ταπεινωθείη ; ἐπί τίνι δ' ἂν μέγα φρονήσαιτο ; τί δ' ἂν τῶν ἀνθρωπίνων ὅλως περὶ πολλοῦ ποιήσαιτο ; Πολλάκις τοὺς θριαμβικοὺς δρόμους τούτους ἐπιὼν, διανοοῦμαι μὲν τοὺς διὰ τούτων ἡγμένους ἄρχοντας ἢ δυνάστας, καὶ τοὺς ἄλλους αἰχμαλώτους, πολλάκις ἀπὸ Ἀρμενίων ἢ Περσῶν, ἢ τινων ἄλλων σφόδρα ἀφεστηκότων· διανοοῦμαι δὲ τοὺς θριαμβεύοντας ἐπὶ τούτοις στρατηγοὺς, καὶ τίνα μὲν καρδίαν εἶχον οὗτοι καὶ ἡδονὴν, τίνα δὲ ψυχὴν ἐκεῖνοι. Ἐνθυμοῦμαι δὲ τὸ περιεστὼς καὶ περικεχυμένον τούτοις τῆς πόλεως πλῆθος, καὶ τοὺς θεωμένους ἄνωθεν ἀπὸ τῶν οἰκιῶν, καὶ τὴν τῶν ὀργάνων συμφωνίαν, καὶ τὸν θροῦν, καὶ τὰς εὐφημίας, καὶ τοὺς κρότους· καὶ τὴν τούτων μὲν ἐπὶ τῇ νίκῃ, καὶ οὕτως ὑπερορίῳ ἡδονὴν, ἐκείνων δὲ καὶ τῶν οἰκείων αὐτῶν οἴκοι τὴν ἐπὶ τῇ ἥττῃ καὶ τῇ τοιαύτῃ πομπῇ λύπην, καὶ τὴν νομιζομένην ἐν τούτοις τότε διαφοράν· καὶ ὅπως οὗτοι μὲν τρισάθλιοι καὶ κακοδαίμονες, ἐκεῖνοι δὲ εὐδαίμονες καὶ μακάριοι τοῖς ἄλλοις καὶ ἑαυτοῖς ἐδόκουν. Νῦν δὲ πάντα ἐκεῖνα ἐν ἰσότητι, πάντα δὲ ἐν κόνει· καὶ οὐ μᾶλλον ἂν γνοίης τὴν τοῦ Πομπηΐου, ἢ Λουκούλλου, ἢ τὴν Μιθριδάτου, ἢ Τιγράνου τύχην. Καὶ αὐταὶ δὲ αἱ οἰκίαι, καὶ αἱ στῆλαι, καὶ αἱ οἰκοδομαὶ ἐν κόνει παρὰ τοσοῦτον ὑπερέχουσαι παρ' ὅσον ἡ δεξαμένη ταῦτα γῆ οὐκ ἰσόπεδος, ἀλλ' ἀνεστηκυῖα. Καὶ πολλοὺς τῶν ἀνδριάντων τῶν εὐδαιμόνων ἐκείνων καὶ μακαρίων νικητῶν αὐτοῖς τροπαίοις καὶ στεφάνοις ἔστιν ἰδεῖν ἐν βορβόρῳ, καὶ πηλῷ καλινδουμένους, καὶ ἐρριμμένους· ἄλλους δὲ ἠκρωτηριασμένους καὶ διεσπαρμένους· οὐκ ὀλίγους δὲ τίτανον, ἢ κονίαν, ἢ τῶν οἰκοδομιῶν ἄλλως λίθους γενομένους· ὅσοι δὲ βελτίονος τύχης ἔτυχον, τὴν κατὰ Ἀριστοτέλην πρωτάρχειον τῶν λίθων εὐτυχίαν ἀποβαλόντας, ἵππου ἐπίβαθρον πρὸς ἀναβάσιν, ἢ κρηπῖδα τοίχου, ἢ ὄνου φάτνην, ἢ βοὸς πλη-

Digitized by Google

ροῦντας, ἐσπασμένους, ὅπερ εἶπον, τοὺς πολλοὺς καὶ διερρηγμένους. Τινὰς δὲ ἄκανθαι καὶ ῥάμνοι τινὲς, ἢ θάμνοι ἀνασχοῦσαι καὶ περισχοῦσαι οὐκ ἐῶσι φαίνεσθαι. Μυρίοι δέ εἰσιν ὑπὸ γῆς, πρὶν ἐπὶ λαμπροῦ καὶ μετεώρου, ὥστε τοῖς πολλοῖς φαίνεσθαι, ἐν Καπιτωλείῳ, ἢ ἐν ἀκροπόλει, ἢ ἐν ἀγορᾷ στεθεῖσαι. Καὶ ἐδόκουν οἱ τυχόντες τούτων, εἴτε τοῦ πράγματος, εἴτε τοῦ πρεσβείου λέγω, μεγάλου εὐμοιρῆσαι. Ἴσμεν δὲ οἷα περὶ τῶν νικώντων ἐν Ἰσθμῷ, ἢ ἐν Νεμέᾳ, ἢ Ὀλυμπίᾳ φησὶ Πίνδαρος ἐν ταῖς ᾠδαῖς, ἰσοθέους αὐτοὺς ποιῶν, καὶ μακαρίζων, καὶ ταῦτα μετὰ τοσούτους πόνους σελίνῳ, ἢ δρυΐ, ἢ κοτίνῳ στεφανουμένους. Ἀλλ' οὐ τοιαῦτα τὰ τῶν ἐπὶ στηλῶν· ὥστε, εἴτε ἐν πόλεσιν, εἴτε ἐν ἀνδράσιν, εἴτε ἐν ἄρχουσιν, εἴτε ἐν ἰδιώταις, εἴτε ἐν βασιλεῦσιν αὐτοῖς, ὅτι μὴ ἀρετῆς καὶ ταύτης ἀληθοῦς καὶ θείας ἔχεται, ἀληθῶς μάταια τὰ τῶν ἀνθρώπων. Τούτων τὰ μὲν τέρπει, τὰ δὲ παραμυθεῖται, οὐκ ὀλίγα δὲ καὶ ἀνιᾷ. Δοκῶ δέ πως ἐπὶ τῆς πατρίδος εἶναι· καὶ ἵνα τὸ δοκεῖν τοῦτο πλέον γίνηται, ὅπερ ἐμοὶ μέγιστον καὶ ἥδιστον ἐν ἐκείνῃ, τὴν σὴν ὄψιν προσορᾷν, καί σοι προσλαλεῖν διὰ τῆς σῆς μνήμης, καὶ τῶν πρὸς σὲ γραμμάτων, καὶ τῶν περὶ σοῦ πρὸς ἄλλους λόγων, ὡς οἷόν τε, μηχανῶμαι· ὅθεν ἄλλοις τε πολλοῖς καὶ συνεχῶς, καὶ τούτοις, ὡς ὁρᾷς, μακρὰ πρὸς τὸ σὸν ὕψος διελέχθην. Νομίζω δὲ ἀεὶ καὶ τοὺς ὑπὲρ πατρίδος εἰργασμένους οὐ μόνον πράξαντας, ἀλλὰ παθόντας ὁτιοῦν ἀμοιβὴν αἰωνίαν ἔχειν. Ταύτης μοι τῆς ἀμοιβῆς μέμνησθε, βασιλεῦ. Καὶ εἴη τε αὐτός τε καὶ οἱ σοὶ τὴν ὑφ' ἡλίῳ ἀρίστην γενομένην πόλιν σώζοντές τε καὶ πρὸς εὐδαιμονίαν ἐπανάγοντες. Συμπράττοιμεν δὲ καὶ ἡμεῖς ὑμῖν ἐν ταῖς ὑπὲρ αὐτῆς πράξεσι καὶ πόνοις, οἷα εἰκὸς δεσπόταις φιλανθρώποις καὶ ἀγαθοῖς ὑπηκόους εὔνους τὰ δυνατά. Ταῦτα γὰρ ἐμοὶ παρόντι τε καὶ ἀπόντι, καὶ ὁρῶντι, καὶ ἀκούοντι, καὶ ζῶντι, καὶ ἀποιχομένῳ ἔσται ἡδονή. Τὰ νῦν δὲ ἀνάσχου μου τῆς πολυλογίας, βασιλεῦ. Ἔρρωσο.

A scentia oculis subducunt. Infinitæ terra sepultæ latent, quæ ante in illustri et edito loco, ut omnibus conspicuæ essent, in Capitolio sive arce, vel in foro positæ fuerant: et qui hoc obtinuerunt, veluti rem seu prærogativam maximam adepti, se egregie res suas stabilisse existimabant. Neque ignoramus quantopere Pindarus in suis odis eos extollat, qui Isthmia, vel Nemea, vel Olympia vicerant, quos ille diis pares et beatos prædicat: scilicet quod post tot et tantos labores apio, vel querna fronde, vel oleastro coronari meruissent. Sed honores statuarum nequaquam cum hisce comparari possunt: adeo profecto ut quæcunque civitates aut homines, sive principes, sive privati, vel etiam reges ipsi veram et divinam virtutem non amplecti- B untur, apud eos revera vana sint omnia humana: quorum alia oblectamentum, alia solatium, non pauca dolorem afferunt. Verum ego mihi in patria esse videor: atque ut eo magis mea opinione fruar illud quod in patria summum et jucundissimum habeo, tuum scilicet aspectum et alloquium, quacunque ratione possum crebra tui recordatione et litteris ad te scriptis atque aliorum de te colloquiis mihi ipsi comparo. Itemque cum alias multis ac crebris litteris, tum hisce, ut vides, longissimis celsitudinem tuam sum allocutus. Ego vero sic sentio, eos qui pro patria laborem sustinent, sive ipsi negotia gerant, sive adversa patiantur, præmium æternum reportaturos. Hujus præmii memineris, o imperator, et tu cum tuis urbem omnium sub C sole præstantissimam servate, et ad felicitatem conducite. Nos quoque negotiorum et laborum pro patria socii et coadjutores erimus: ita ut clementissimorum atque optimorum principum subditos ubicunque possunt optima voluntate esse convenit. Ea enim mihi tam præsenti quam absenti, tam videnti quam audienti, tam vivo quam mortuo summa voluptas erit. At tu, optime imperator, nunc orationis prolixitati ignosce. Vale.

Β'.

Μανουὴλ Χρυσολωρᾶς Ἰωάννῃ Χρυσολωρᾷ χαίρειν.

Ἐμοί τε ἡδίων ἐμέλλειν ἡ Ῥώμη φαίνεσθαι, γράμματα ἐν ταύτῃ πυκνὰ τῶν οἰκείων, καὶ σοῦ μάλιστα δεχομένῳ· ὑμῖν τε νομίζω καθ' ἡδονὴν ἔσεσθαι, γράμματα ἐμὰ ἐντεῦθεν κομιζομένοις. Πρῶτον μὲν γὰρ καὶ μόνον αὐτὸ τῆς πόλεως τοὔνομα, ὅπερ κἀμοὶ πρότερον συνέβαινε, πᾶσιν, οἶμαι, τοῖς ἀκούουσιν ἡδονὴν φέρει· ἔπειτα ἐμὲ μὲν τῆς πατρίδος ἀποδημοῦντα, ἐν ἄλλῃ, καὶ αὐτῇ πατρίδι, καὶ ὁμωνύμῳ, διὰ γραμμάτων, ὃ μόνον ἔπεστι, συγγίνεσθαι τοῖς οἰκείοις· ἡμᾶς δὲ πολίτου καὶ οἰκείου ἀφεστηκότος, ἐξ αὐτῆς τῆς μητροπόλεως ἐπιστολὰς λαμβάνειν, πῶς οὐκ ἂν δύναιτο δικαίως τέρπειν; Ἐγωγέ τοι ταύτην ὁσημέραι περιτῶν, καὶ νῦν μὲν τοῦτο ὁρῶν αὐτῆς, νῦν δὲ ἐκεῖνο νομίζων ἐπὶ τῆς ἡμετέρας εἶναι, καί ποτε λανθάνων ἐμαυτὸν τοσοῦτον αὐτῆς πόρρω διατρίβων. Ὅταν γε μὴν

II.

Manuel Chrysoloras Joanni Chrysoloræ salutem.

Mihi quidem jucundior esse incipit Roma, ex quo D litteras crebras a familiaribus, et præsertim abs te, in hac civitate accipio; sicut vobis quoque voluptfore arbitror, si a me quoque ad vos hinc missas receperitis. Et primo quidem ipsum urbis nomen, id quod mihi quoque accidit, in audientium auribus læte sonat. Quo pacto autem non uterque lætemur? ego, cui apud exteros, licet in altera cognomine patria degenti cum familiaribus commercii epistolaris unico solamine uti datur; tibi qui a me contribuli ex hac urbe missas accipis epistolas? Hanc quidem dum quotidie percurro, et modo hoc modo illud oculis perlustro, in nostra mihi videor, quantumvis longe inde distanti, degere. Si quando ineditum escendo locum, collem aliquem puta, unde hæc nostra quoque septemcollis audit, et totam sub

Digitized by Google

pedibus sitam contemplor, non in Italia et Latio, sed in colonia aliqua me esse imaginans, domus nostræ situm circumspicio, hortum pensilem, cypressos et si quid aliud indicio esse potest, quæro, et oculi fidem faciunt ei quod olim de paradisi situ auribus acceperam. Quid enim hic vides quod non apud nostram quoque admirationem moveat? Templa, porticus, hippodromi, palatia, theatra, statuæ quæ omnia mirum in modum e latomiis excisa, transportata ante oculos nostros in aerem consurgunt ! Adde marmoris varia genera, quæ speculorum instar coruscant ; imagines, stelas, statuas, obeliscos, quæ omnia et multitudine et opificio excellunt ; quibus si adjicis monumenta antiqua sepulcralia, hæc urbs illi nostræ præstare videtur. Porro ne silentio prætereamus opera circum parietes musiva ab artificibus elegantissime elaborata. Apud nos quidem statuæ marmoreæ, sarcophagi, cælato opere e Græcia invecti, Phidiæ et Praxitelis opera sunt, ut ex summorum artificum nominibus passim insculptis colligere licet. Horum in conspectu sæpe Synesii dictum mentem subiit ; qui in epistola ad fratrem, ni fallor, e Græcia missa, ubi Athenarum mentionem facit inter alia, Lycæum, dicit, vidi ; vidi Porticum, Pœcilen vidi, jam non Pœcilen ; nam proconsul tabulas asportaverat. Ego ipse ibi litteras Græcas priscæ originis marmoribus insculptas vidi, quas quicunque viderit ex Athenis et reliqua Græcia huc advectas dicet. Sic sexcentas reperio sculpturas aut inscriptiones Græcas, ut tumulum etiam qui Latine inscriptus hunc versum Græco sermone exhibet, « Macte, Prisciane, nemo immortalis. » Huc adde matronarum et libertarum sepulcra, quæ lapicidarum bene famatorum nomina typis Græcis insculpta præ se ferunt, de quibus longum hic instituere sermonem absurdum esset. Id certe ab historicis memoriæ proditum legitur quod hæc urbs olim non minus a Græcis quam ab Italis habitata fuit ; qui quidem maximam partem Græce loqui sciunt, et sic dialecti communitate effecerunt ut multi Græci hocce domicilium elegerint. Et quia tandem incommodi generis diversitas afferre tum potissimum potuisset ubi utrarumque nationum unio res desiderata, necessaria erat ; ubi præter mores eosdem idem quoque animus, eadem ambitio omnes ante jungebat ! Id vero triste dictu ac creditu quod plerique nesciant fidem Christianam utrisque communem ideoque vinculum omnium antiquissimum ejus rei causam fuisse. Sed de his sermo non est hujus loci ac temporis. Sed iterum dicam, quod Roma mirum in modum mihi placebit, si frequentes a vobis epistolas accipiam, et quod vobis ipsis non minus gratum erit, meas ad vos legere. Equidem jam huic officio satisfacio, imo plurimum satisfeci, ex quo huc veni ; sed tuas quoque haud raras accipio. Vale.

ἐπί τινος ὑψηλοῦ γενόμενος, ἀκούεις δὲ τοὺς ἐν αὐτῇ λόφους, ὅθεν καὶ τῇ ἡμετέρᾳ κατὰ μίμησιν ἐπτάλοφον καλεῖσθαι συμβέβηκε, πρὸς ὅλην αὐτὴν ἀπίδῳ, οὐκέτι οἶομαι ἐν Ἰταλίᾳ καὶ Λατίῳ, ἀλλ' ἐπὶ τῆς ἐνεγκαμένης αὐτῆς εἶναι. Καὶ ζητῶ τὴν ἡμετέραν οἰκίαν ἐν ᾧ μέρει τῆς πόλεως ἕστηκε· καὶ τὸν ἐν αὐτῇ κρεμαστὸν κῆπον, καὶ εἴ τι ἕτερον ἐκείνης γνώρισμα, καὶ τὰς ἡμετέρας κυπαρίττους. Καὶ δ πάλαι ἦκουον πρὸς παράδειγμα ταύτης, ἐκείνην τὴν ἀρχὴν γενέσθαι, νῦν ἀκριβῶς ὁρῶ. Τί γὰρ τῶν ἐν ταύτῃ, ἁπλῶς εἰπεῖν, δ μὴ καὶ παρ' ἡμῖν γέγονεν ; Οὐ νεὼ, οὐ στοαί ; οὐχ ἱππόδρομοι ; οὐ βασίλεια ; οὐ θέατρα ; καὶ ἐν αὐτοῖς δὲ τούτοις, οὐ λίθοι καὶ κίονες περιφανεῖς, ἀπιστούμενοι, ὅπως μὲν τὴν ἀρχὴν ἐκ τῶν λατομιῶν ἐτμήθησαν, ὅπως δὲ ἐκομίσθησαν, ὅπως δὲ ἠγέρθησαν ; οὐ μαρμάρων παντοῖα γένη, κάτοπτρα ὑπὲρ πᾶσαν ὕλην δυναμένων εἶναι ; οὐκ εἰκόνες, οὐ στῆλαι ; οὐκ ἀνδριάντες ; οὐκ ὀβελίσκοι ; ἐν ᾧ δὲ αὐτη, τῷ πλήθει τῶν ἀπὸ λίθων ἀνδριάντων λέγω, καὶ τῇ περὶ τούτους τέχνῃ, καὶ τοῖς τῶν παλαιῶν τάφοις, καὶ τῆς ἡμετέρας ; δοκεῖ πλεονεκτεῖν." Ἀνελθήσωμεν τὴν ἀπὸ τῶν ψηφίδων ἐν τοῖς τοίχοις τέχνην, καὶ τὴν ἀπὸ τούτων ὥραν. Ὅπερ, ὥσπερ παρ' ἡμῖν τὸ τῶν λιθίνων ἀγαλμάτων καὶ τῶν περιγλύφων θηκῶν, σπάνιον ἐν τούτοις, καὶ αὐτῶν δὲ τούτων τῶν ἀγαλμάτων, καὶ τῶν θηκῶν πλεῖστα ἀπὸ τῆς Ἑλλάδος, Φειδίου καὶ Πραξιτέλους, καὶ τῶν ὁμοίων ἔργα, ὡς ἔστιν ἀκριβῶς ἰδεῖν ἀπὸ τῶν ἐγκεκολαμμένων ἐν αὐτοῖς γραμμάτων, τὸν τεχνίτην ἐπιδεικνυμένων· ὥστε πολλάκις ταῦτα ὁρῶν ἐνεθυμήθην ἐκεῖνο τὸ τοῦ Συνεσίου. Ἐν τῷ πρὸς τὸν ἀδελφὸν, οἶμαι, ἐκεῖνος, οὐ γὰρ καλῶς μέμνημαι, ἀπὸ τῆς Ἑλλάδος γράφων, καὶ περὶ τῆς εἰς Ἀθήνας ἀποδημίας διηγούμενος, φησὶ μετὰ πολλά (1)· Εἶδον Λύκειον· εἶδον Στοάν· εἶδον Ποικίλην, τὴν οὐκέτ' οὖσαν Ποικίλην. Ὁ γὰρ ἀνθύπατος τὰς σανίδας ἀφείλετο· καὶ πολλὰ καὶ αὐτὸς εἶδον ἐνταῦθα ἐπὶ μαρμάρων γράμματα Ἑλληνικὰ τοῦ ἀρχαίου τύπου. Ἃ πᾶς τις ἂν βεβαίως ἀπὸ τῶν γραφομένων εἴποι ἐξ Ἀθηνῶν αὐτῶν καὶ τῆς ἄλλης Ἑλλάδος δεῦρο κεκομίσθαι· καὶ ἄλλα δὲ μυρία εὑρίσκω ἐνταῦθα Ἑλληνικῶς γραφέντα καὶ τυπωθέντα, οἷον ἐφ' ἑνὸς τάφου μετὰ πολλὰ Λατινικῶς τετυπωμένα· ἔτι προσκείμενον Ἑλληνιστὶ τουτὶ τὸ ἔπος· Εὐψύχει, Πρισκιανὲ, οὐδεὶς ἀθάνατος· καὶ γυναικῶν δὲ παλαιῶν μέχρι καὶ ἀπελευθέρων τάφους· καὶ λιθοξόων δὲ τῇ τέχνῃ σεμνυνομένων ἐπὶ τῶν μιμημάτων αὐτῶν ὀνόματα γράμμασιν Ἑλληνικοῖς ἐγκεχαραγμένα. Ὧν λέγειν εἰς τὸ παρὸν πολλὰ μὴ γελοῖον ᾖ. Ὅθεν φαίνεται, δ καὶ παρὰ τῶν ἱστοριῶν ἀκούομεν, τὴν πόλιν ταύτην τὸ ἀρχαῖον οὐκ ἔλαττον παρ' Ἑλλήνων ἢ παρ' Ἰταλῶν οἰκεῖσθαι· μᾶλλον δὲ καὶ αὐτοὺς τοὺς Ἰταλοὺς τῷ πλείστῳ μέρει Ἑλληνικῶς εἰδέναι φθέγγεσθαι· καὶ τῶν ἀπὸ τῆς Ἑλλάδος πολλοὺς ταύτην αἱρουμένους οἰκεῖν, συνετὰ δύνασθαι λαλεῖν ἐκείνοις. Νῦν δὲ ὅτε ἔδει, καὶ ἀναγκαῖον ἦν μάλιστα ἡνῶσθαι, τί διέστησε τῷ

(1) Εἶδον τὸ Λύκειον, εἶδον τὴν Στοάν, Ποικίλην, τὴν νῦν οὐκέτ' οὖσαν Ποικίλην. Syn. epist. 135.

Digitized by Google

γένει; εἰ καὶ μετὰ τὴν ἐπιγενομένην οὐ τῶν ἠθῶν μόνον, ἀλλὰ καὶ τῶν ψυχῶν καὶ τῶν δοξῶν ἐμέ-νοιαν; τοσούτων συναγόντων αὐτούς; Εἰ δὲ βούλει, τοσούτου πράγματος τῆς εἰς Θεὸν πίστεως αὐτοὺς συνάπτοντος ἀγνοεῖν ἔπεισεν ἀλλήλους. Καὶ τοῦτο δὲ αὐτὸ τοὺς πλείστους ἀγνοεῖν αὐτῶν, ὅτι ἡνωνται ἐν τοῖς μεγίστοις, ὄντως ἄξιον στενάξαι. Ἀλλὰ περὶ τούτων μὲν οὐ τοῦ παρόντος καιροῦ λέγειν. Ὃ δὲ ἔλεγον, ἐμοί τε γλυκίων ἡ Ῥώμη πάντως φανήσεται, συχνὰ παρ' ὑμῶν γράμματα δεχομένῳ· καὶ ὑμῖν ἡδονὴν ἕξει, ἐντεῦθεν ἐμοῦ ἀκούουσι διαλεγομένου. Τὸ μὲν οὖν ἐμὸν αὐτὸς ἤδη ποιῶ, καὶ πεποίηκα δὲ ἐξότου δεῦρο ἀφῖγμαι, διὰ πολλῶν. Ἐκδέχομαι δὲ καὶ τὰ παρ' ὑμῶν ἤδη διὰ πολλῶν. Ὑγίαινε.

Γ.

Μανουὴλ Χρυσολωρᾶς Δημητρίῳ Χρυσολωρᾷ, ἀνδρῶν ἀρίστῳ καὶ περιφανεστάτῳ, χαίρειν.

Ἆρα δύνασαι πιστεῦσαι περὶ ἐμοῦ, ὡς ἐγὼ τὴν πόλιν ταύτην περιιὼν, κατὰ τοὺς ἐρωτολήπτους τούτους καὶ κωμαστὰς τοὺς ὀφθαλμοὺς ὧδε κἀκεῖσε περιφέρω, καὶ τοὺς τῶν οἰκιῶν τοίχους εἰς ὕψος, καὶ τὰς ἐν αὐταῖς θυρίδας περιεργάζομαι, εἴ τί που τῶν καλῶν ἴδοιμι παρ' ἐκείναις; Τοῦτο γὰρ νέος μὲν ὢν, ὡς οἶσθα, οὐκ ἐποίουν, καὶ τοῖς ποιοῦσιν ἐμεμφόμην. Νῦν δὲ ὠμογέρων ἤδη γενόμενος, οὐκ οἶδ' ὅπως εἰς τοῦτο ἐξηνέχθην. Αἴνιγμά σοι δοκῶ λέγειν· ἄκουε δὲ τὴν λύσιν τοῦ αἰνίγματος καὶ τῆς ἀπορίας· ἐγὼ γὰρ οὐ ζώντων σωμάτων κάλλη ἐν ἐκείνοις ζητῶν τοῦτο ποιῶ, ἀλλὰ λίθων, καὶ μαρμάρων, καὶ ὁμοιωμάτων. Φαίης ἂν ἴσως τοῦτο εἶναι ἀτοπώτερον ἐκείνου, καὶ ἐμὲ δὲ πολλάκις τοῦτο λογίσασθαι ἐπῆλθε· τί δήποτε ἵππον μὲν ἢ κύνα ἢ λέοντα καθημέραν ζῶντα ὁρῶντες, οὐ πρὸς θαῦμα ἐγειρόμεθα, οὐδὲ τοσοῦτον αὐτὰ ὀγάμεθα τοῦ κάλλους, οὔτε μὴν τὴν ὄψιν αὐτῶν περὶ πολλοῦ ποιούμεθα, οὐδὲ δένδρον, ἢ ἰχθύν, ἢ ἀλεκτρυόνα, ταυτὸ δὲ καὶ ἐπ' ἀνθρώπων, τινὰ δὲ αὐτῶν καὶ μυσαττόμεθα, ἵππου δὲ εἰκόνα ὁρῶντες, ἢ βοὸς, ἢ φυτοῦ τινος, ἢ ὄρνιθος, ἢ ἀνθρώπου, εἰ δὲ βούλει μυίας, ἢ σκώληκος, ἢ ἐμπίδος, ἢ τινὸς τῶν αἰσχρῶν τούτων, σφόδρα διατιθέμεθα ὁρῶντες τούτων τὰς εἰκόνας, περὶ πολλοῦ ποιούμεθα. Καίτοι οὐ ταῦτα δήπου ἀκριβέστερα ἐκείνων, ἄγε παρὰ τοσοῦτον ἐπαινεῖται, παρ' ὅσον ὁμοιότερα ἐκείνοις φαίνεται. Ἀλλ' ὅμως ταῦτα μὲν καὶ τὰ τούτων κάλλη παρατρέχομεν παρόντα, ταῖς δὲ ἐκείνων εἰκόσιν ἐκπληττόμεθα· καὶ τὸ μὲν τοῦ ζῶντος ὄρνιθος ῥύγχος ὅπως εὐφυὴς κέκαμπται, ἢ τὴν ὀπλὴν τοῦ ζῶντος ἵππου οὐ πολυπραγμονοῦμεν· τὴν δὲ χαίτην τοῦ χαλκοῦ λέοντος, εἰ καλῶς ἤπλωται, ἢ τὰ φύλλα τοῦ λιθίνου δένδρου, εἰ τὰς ἴνας παρεμφαίνει, ἢ τὴν τοῦ ἀνδριάντος κνήμην, εἰ τὰ νεῦρα καὶ τὰς φλέβας ὑποδείκνυσιν ἐπὶ τοῦ λίθου, τοῦτο τοὺς ἀνθρώπους τέρπει, καὶ πολλοὶ πολλοὺς ἂν ἵππους ζῶντας καὶ ἀκεραίους ἀσμένως ἔδωκαν, ὥστε ἕνα λίθινον τὸν Φειδίου ἢ τὸν Πραξιτέλους, καὶ τοῦτον εἰ τύχοι διερρωγότα καὶ λελωβημένον ἔχειν. Καὶ τὰ μὲν τῶν ἀγαλμάτων καὶ ζωγραφιῶν κάλλη οὐκ αἰσχρὸν θεᾶσθαι, μᾶλλον δὲ καὶ εὐγένειάν τινα τῆς θαυμαζούσης ταῦτα διανοίας ὑποφαίνει· τὰ δὲ τῶν γυναικῶν κάλλη ἀκόλαστον καὶ αἰσχρόν. Τί δὴ τούτου τὸ αἴτιον; Ὅτι οὐ σωμάτων κάλλη θαυμάζομεν ἐν τούτοις, ἀλλὰ νοῦ χάλλος τοῦ πεποιηκότος. Ὅτι καθάπερ κηρὸς καλῶς διαπλασθεὶς ἂν ἔλαβε διὰ τῶν ὀμμάτων ἐπὶ τοῦ φαν-

III.

Manuel Chrysoloras Demetrio Chrysoloræ, viro optimo, illustrissimo, salutem.

Nunc putas me amantium atque bacchantium instar urbem hanc percurrendo avidis oculis ædificiorum vestibula et portas perlustrare si quam forte meretriculam ibi reperiam? At hoc, ut bene novisti, nec dum adolescentulus essem, faciebam, imo vituperabam quotquot id facientes obvios haberem. Jam vero, in limine senectæ constitutus, libidinis laqueis detineor. Ænigma me narrare dicis; sed ænigmatis solutionem ac discrimen exspecta. Scito enim quod non corporum viventium, sed lapidum, marmorum, picturarum venustatem quærens id facio. Sed tu unum altero magis absurdum esse dicis; et revera ego ipse ita sæpius sensi. Visi enim, ut fit quotidie, equi aut canis aut leonis nullo modo formam admiramur, ut nec arboris aut piscis, aut galli, aut hominis alicujus aspectus nos tangit. Alia e contra detestamur. Cum vero equi, aut bovis, aut plantæ, aut avis, aut hominis, imo muscæ, vermis, culicis fœdi imaginem videmus, semper animus aliquantisper movetur. Nec tamen hæc quæ modo enumeravimus iis quæ naturaliter exsistunt veriora sunt. Attamen hæc licet pulcherrima nulla habita cura prætermittimus, ubi ab artifice picta videmus, stupemus. Avis vividæ ubi rostrum optime formatum aut equi ungulam viventis videmus, parum curamus; sed perquam juvat videre leonis ænei jubam elegantem, aut arboris saxeæ folia, aut statuæ crus formosum, si nervi et venæ per lapidem ostenduntur; nec desunt qui plures equos viventes pro uno lapideo a Phidia aut Praxitele manufacto, etiamsi non integer, imo aliqua parte læsus fuerit, libentissime darent. Statuarum porro et tabularum pictarum partes bene efformatas videre minime piget, imo spectantis animum notat egregium; feminarum corpora perquam formosa aspectare impudentis et lascivi est. Quid in causa est? Quod non corporum, sed artificis ingeniosi pulchritudinem in iis admiramur, qui ceram compactam in oculos efformat ut animi affectus affabre nunc in saxo, nunc in ligno aut ære, nunc per colorum mistionem indigitet; et quemadmodum uniuscujusque anima ideo corpus regit suum, ut tristitiam, gaudium, iram visibiliter exprimat, sic lapidis naturam rebellem ac duram; sic avis et colorum varietatem artis ope tanta cum felicitate unit, ut animi affectus ibi sub oculos cadant; nam risum artifex, gaudium, iram, tristitiam pro voluntate aut

Digitized by Google

quæ istis opposita sunt, in cruda materia effingit. Hoc igitur potissimum in istis operibus mirum nobis videtur ; et sane si quis in rebus illis naturalibus plasmatorem et opera ipsa pulchra ingenii humani aciem attestantia, contemplabitur, maximopere stupebit. Talia enim cum ardore amplecti vera est philosophia ; hæc enim secundum virtutem et sapientiam primum locum tenent. Talium aspectus nos permovet, et hujusmodi exempla, quando integra et secundum rationem sunt, magis quam rerum naturalium causæ ad mentem aliquam creatricem referri debent. Et si in his auctoris excellentia manifestatur, qui materia præexsistente quomodo libet utitur ; quanto magis divinæ illius mentis præstantia elucet quæ materiam ipsam et rerum formas producit et facit ut mens nostra rerum formas effingat et sic externas faciat ? Sed cur tandem hæc tibi dico qui hæc melius me ipso novisti ? Sed, ut jam dixi, hæcce urbs talibus aliisque divinioribus exemplis animum movere potest ; et quoad morum disciplinam, videmus quod virorum spectatorum, ut puta architectorum, trapezitarum, gubernatorum, magistratuum studium et ambitio prosperrime procedunt, postremo tamen in nihil abeunt, nisi Deus per fidem aliorum nos ad rerum statum meliorem conducit quem, si sanæ mentis sumus, magis admirari et magni facere poterimus. Vale.

Α ταστικοῦ τῆς ψυχῆς τύπον ἀποδέδωκεν ἐπὶ τοῦ λίθου, ἢ τοῦ ξύλου, ἢ τοῦ χαλκοῦ, ἢ τῶν χρωμάτων· καὶ ὥσπερ ἡ ἑκάστου ψυχὴ τὸ αὐτῆς σῶμα οὐκ ὀλίγας μαλακότητας ἔχον διατίθησιν, ὥστε τὴν αὐτῆς διάθεσιν, λύπην, ἢ χαρὰν, ἢ θυμὸν ἐν αὐτῷ ὁρᾶσθαι· οὕτω τὴν τοῦ λίθου φύσιν οὕτως ἀντίτυπον καὶ σκληρὰν, ἢ τοῦ χαλκοῦ ἢ τῶν χρωμάτων τὴν τῶν ἀλλοτρίων τε, καὶ ἔξω διὰ τῆς ὁμοιότητος καὶ τέχνης διατίθησιν, ὥστε ἐν τούτοις τὰ πάθη τῆς ψυχῆς ὁρᾶσθαι. Καὶ ὁ πλέον οὐ γελῶν αὐτὸς, ἀλλ' οὐδὲ χαίρων ὅλως ἴσως, οὐδὲ ὀργιζόμενος, οὐδὲ πενθῶν, οὐδὲ διατιθέμενος, ἢ καὶ κατὰ τὰ ἐναντία τούτοις διατιθέμενος, ταῦτα ἐν ταῖς ὕλαις ἀπομάττει. Τοῦτό ἐστι τοίνυν, ὅπερ ἀγάμεθα ἐν τούτοις, ἐπεὶ καὶ ἐν ἐκείνοις τοῖς φυσικοῖς λέγω, εἴ τις τὸν διαπλάσαντα, Β καὶ καθημέραν διαπλάττοντα, καὶ αὐτὰ δὲ τὰ τῶν πραγμάτων εἴδη παραγαγόντα νοῦν, καὶ τὸ ἐκείνων κάλλος, ὅθεν τὰ τοιαῦτα κάλλη προήχθη, θεωροῖ, εἰς ὑπερβολὴν ἄγαται. Καὶ τοῦτο ἀληθῶς ἐστι τὸ φιλοσοφεῖν, καὶ ἡ τοιαύτη θεωρία, καὶ ὁ τοιοῦτος ἔρως, πρὸς τῷ σεμνὸς καὶ σώφρων εἶναι ἐπέκεινά ἐστι πάσης ἡδονῆς. Ἀναγκαζόμεθα δὲ ἀπὸ τῆς τούτων ὄψεως, καὶ ὥσπερ τῶν ὁμοιωμάτων τούτων, οὕτω πολλῷ μᾶλλον τῶν φυσικῶν, οὕτω καλῶν καὶ κατὰ λόγον ὄντων, νοῦν ἀποδιδόναι δημιουργόν. Καὶ εἰ ἐν τούτοις ἡ εὐγένεια τοῦ πεποιηκότος αὐτὰ φαίνεται, καὶ ταῦτα ἀλλοτρίοις παραδείγμασι, καὶ ἀλλοτρίᾳ, καὶ προϋπαρχούσῃ ὕλῃ κεχρημένου, πόσῳ μᾶλλον ἡ εὐγένεια τοῦ νοῦ ἐκείνου διαδείκνυται, οὗ καὶ αὐτὴν τὴν ὕλην καὶ τὰ εἴδη παράγοντος, καὶ αὐτὸν δὲ τὸν ἡμέτερον νοῦν, ὥστε τὰ τῶν πραγμάτων εἴδη ἀπομάττεσθαι, καὶ τὰ τοιαῦτα ποιεῖν ἔξω δύνασθαι πεποιηκότος; Ἀλλὰ ταῦτα τί ἂν πρὸς σὲ λέγοιμι, βέλτιον ἐμοῦ εἰδότα; Ὃ δὲ ἔλεγον, τὸ μὲν ἐν ἡμῖν θεωρητικὸν διὰ τοιούτων καὶ πολλῶν ἄλλων θειοτέρων ἡ πόλις αὕτη κινεῖν δύναται. Τὸ δέ γε ἠθικὸν ὁρῶ κεν, ὅτι ἡ περὶ τὰ ἔξω ταῦτα τῶν ἀνδρῶν ἐκείνων σπουδὴ καὶ φιλοτιμία, εἴ ἐν οἰκοδομήμασιν, εἴτε ἐν πλούτῳ, εἴτε ἐν ἡγεμονίᾳ, εἴτε ἐν ἀρχαῖς, εἰς τοῦσχατον πάσης εὐδαιμονία; προελθοῦσαι, τέλος, ὥσπερ εἰ μηδὲ ἐγεγόνει τὴν ἀρχὴν εἰς τὸ μηδὲν ὄντως ἀπερρύη, ἐγείραντος διὰ τῆς πίστεως ἀπὸ τούτων ἄλλα τοῦ Θεοῦ ἅπερ ἔδοξεν ἂν τῷ πολλῷ καλλίω, καὶ ἃ δυνάμεθα νοῦν ἔχοντες μᾶλλον θαυμάζειν τε καὶ περὶ πλείονος ποιεῖσθαι. Ὑγίαινε.

ANNO DOMINI MCDXXII.

JOANNES CANANUS.

NOTITIA.

(H. Warton in supplem. ad Cave *De script. eccles.* p. 81.)

Joannes Cananus, natione Græcus, historicus Byzantinus, claruit anno 1422. Scripsit historiam obsidionis urbis Cpolis ab Amurato II, Turcorum rege, anno 1422, die 10 Junii inchoatæ, die 24 Augusti solutæ. Exstat Historia ista gr. lat. interprete Leone Allatio, ad calcem Georgii Acropolitæ. Paris. 1651, fol.

Digitized by Google

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΝΑΝΟΥ

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΟΥ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΓΕΓΟΝΟΤΟΣ ΠΟΛΕΜΟΥ ΚΑΤΑ ΤΟ ,ΣΘΛ' ΕΤΟΣ.

ΟΤΕ Ο ΑΜΟΥΡΑΤ ΠΕΙΣ ΠΑΡΕΠΕΣΕ ΤΑΥΤΗ ΜΕΤΑ ΔΥΝΑΜΕΩΣ ΒΑΡΕΙΑΣ, ΚΑΙ ΠΑΡΟΛΙΓΟΝ ΤΑΥΤΗΝ ΕΚΡΑΤΕΙ, ΕΙ ΜΗ Η ΥΠΕΡΑΓΝΟΣ ΜΗΤΗΡ ΤΟΥ ΚΥΡΙΟΥ ΤΑΥΤΗΝ ΕΦΥΛΑΞΕ.

—

JOANNIS CANANI

DE BELLO CONSTANTINOPOLITANO ANNI AB ORBE CONDITO 6930, CHRISTI 1422,

CUM AMURAT-BEIS FORTISSIMORUM MILITUM EXERCITU IN EAM IRRUPIT, QUAM ET EXPUGNASSET UTIQUE, NISI IMMACULATISSIMA DEI MATER CONSERVASSET.

—

Μυστήριον βασιλέως κρύπτειν καλόν, τὰ δὲ ἔργα τοῦ Θεοῦ ἀνακηρύττειν ἔνδοξον· εἶπε γὰρ ὁ ἄγγελος τῷ Τωβήτ. Τοῦτο νῦν καὶ ἐμὲ λίαν ὠθεῖ καὶ θαρρύνει καὶ τολμηρὸν ποιεῖ κήρυκα, ὅπως τὸ πανθαύμαστον θαῦμα τῆς παναγίας μου διηγήσομαι. Ἐκπίπτει δέ με ἡ ἀπειρία τοῦ λόγου, ἀντωθεῖ δέ με πάλιν καὶ ἕλκει τὸ ἴδιον τῆς ὀρέξεως, τὸ ἀνθρώπινον πάθος. Καὶ ἡττήμαι, καὶ τὴν ἧτταν ὁμολογῶ, καὶ ἀπὸ τούτων τὴν ἱστορίαν ἠρξάμην. Καὶ δέομαι τοὺς ἀναγινώσκοντας ταύτην καὶ τῶν γραμμάτων τὴν πεῖραν ἔχοντας, μήτε τὸν κόρον τοῦ λόγου ἀκηδιάσωσι μήτε τὴν σολοικοβάρβαρον καταγνώσονται φράσιν, ἐπεὶ κἀγὼ τῆς ἀπειρίας μου τῶν γραμμάτων ὁμολογῶ τὴν ἀσθένειαν. Ἀλλὰ οὐδὲ διὰ σοφοὺς ἢ λογίους ἔγραψα ταῦτα, ἀλλὰ διὰ ἰδιώτας καὶ μόνον, ὡς καὶ ἐγὼ ἰδιώτης, ἵνα οἱ ἰδιῶται ὡς ἰδιῶται ἀπεριέργως καὶ ἀκαταγνώστως ἀναγινώσκωσι ταύτην. Διὰ δὲ δὴ ταῦτα πάντα τολμηρὸς ἐγενόμην γραφεύς τε καὶ κῆρυξ, καὶ τὸ πολυθρύλλητον θαῦμα τῆς παναγίας καὶ τὴν καθ' ἡμῶν τῶν Ἀγαρηνῶν ἐπιδρομὴν καὶ τὴν πολιορκίαν τῆς πόλεως ἱστόρησα κατὰ τὴν τοῦ λόγου μου δύναμιν, καὶ ἀπὸ τούτων ἠρξάμην.

Ἐν ἔτει τριακοστῷ δευτέρῳ τῆς ἡγεμονίας τῶν βασιλέων Μανουὴλ τοῦ Παλαιολόγου καὶ τοῦ υἱοῦ αὐτοῦ Ἰωάννου, ἐν τῷ ἑξακισχιλιοστῷ ἐννακοσιοστῷ τριακοστῷ ἔτει, ἰνδικτιῶνος πεντεκαιδεκάτης, δεκάτῃ μηνὸς Ἰουνίου ἡμέρᾳ τρίτῃ, τῆς ἡμέρας ὥρᾳ δευτέρᾳ, κατέδραμεν αὖθις ἄφνω στρατιὰ καθ' ἡμῶν Μουσουλμάνων, δὶς πέντε τὸν ἀριθμὸν χιλιάδες, ἔχοντες καὶ στρατάρχην ἄνδρα μανὸν καὶ αἱματοβόρον, καὶ τὸ ὄνομα τούτου Μιχάλπαϊς ἐκαλεῖτο, καὶ πᾶσαν πόλιν καὶ χώραν τὴν ὑπὸ τὴν βασιλικὴν

A Sacramentum regis abscondere bonum est: opera autem Dei revelare honorificum est, dixit angelus Tobiæ. Hoc itidem nunc me compellens animos addit, et audacem præconem efficit, ad maxime admirandum miraculum sanctissimæ meæ enarrandum. Verumtamen inscitia orationem interrumpit; sed rursus me concitat trahitque desiderium, humanus scilicet affectus. Victus sum, et victoriam confiteor, et ex his historiam ordior: rogoque lectores meos, qui litterarum usu satis imbuti sunt, ne satietatem orationis fastidiant, neque dicendi formulas solœcas ac barbarie plenas condemnent, cum ipse inscitiæ meæ imbecillitatem profitear: imo ipse hæc neque doctis, neque eruditis, sed imperitis, mihi imperito similibus, scribam, ut imperiti imperitorum more incuriose, et absque eo B quod criminis notam inferant, perlegant. Propter hæc omnia audax scriptor factus et præco, omnium ore decantatum ac concelebratum sanctissimæ virginis miraculum et adversum nos Agarenorum irruptionem et urbis obsidionem, pro orationis meæ modulo, scripto tradidi; et ab his exorsus sum.

Anno tricesimo secundo imperii Manuelis Palæologi et Joannis illius filii, orbis conditi sexies millesimo nonagentesimo tricesimo, indictione decima quinta, decimo mensis Junii, feria tertia, diei hora secunda rursus adversum nos Musulmanorum exercitus ad decem millia hominum numeratus, ductore viro væsano et sanguivoro, Michalpei nuncupato, extemplo irrupit, et universas urbes totamque regionem C imperio obnoxiam momento temporis subegit, spoliavitque nos omnibus circa hanc urbem locis bonisque evertit, partim rebus deletis, partim præda

Digitized by Google

surreptis, partim in servitutem abactis ; ex homi- A
nibus hos quidem neci tradidit, alios longe et ultra
Iconium et Aratzapetas Cyphas transmisit, mulie-
ribus vero ad impuritates omnes et turpia sibi ex-
positis, ad vota quisque sua quantum libido tulit,
abutitur ; pueros circumcidendos Maometho offe-
runt ; animalia tum jugum ferre nata tum injugata
trucidata penitus abolerunt ; damna vero quæ ex
concisis fruticibus et vineis devastatis consecuta
sunt, quis unquam aut quæ oratio consequi pote-
rit ? Nam statim atque urbs concludi cœpta est,
præter exspectationem impetu facto nos observavit,
omniaque quæ extra erant in potestatem suam re-
degit. Tantæ vero calamitatis, internecionis et atro-
cissimorum infortuniorum, quibus miseri ac infeli-
ces Romani oppressi sunt, modum, originem et cau-
sam silentio præterire satius esse duxi, enarrare vero
necessarium pugnæ illius acerbissimæ et horridis-
simi conflictus exitum. Primæ etenim Musulmano-
rum copiæ, ut diximus, decimo Junii die irruentes
nos in urbe occlusere. Vicesimo ejusdem alia Mu-
sulmanorum manus adveniens, veluti nubes gran-
dinis plena, et perniciose perstrepens universam
Romanis obedientem regionem devastavit, et veluti
flamma ardens fulguris omnia incendit et func-
stavit, et omne lignum fructiferum et arborem lætos
et uberes fructus ferentem et vitium truncos radi-
citus effodit, reliquaque atrocia ac perniciosa in nos
exaggeravit. Sed primarius copiarum dux eorumque
auctor et dominus, tandem pervenit. Pervenit vero
furens, efferatus, superbus, tumens, inflatus et ja-
ctabundus. Supercilium in cœlum extollens super
omnes se eminere existimabat, et a se gubernari
omnia suspicabatur, totum denique orbem sibi ob-
noxium reputabat : quin imo quamplurimis machi-
nis aliisque bello apprime necessariis advectis, mœ-
nium civitatis partem posse se disjicere, indeque
eam suo dominatui subjicere, Romanos in captivi-
tatem adducere et Christi nomen abolere confide-
bat. Hic innumeris fultus exercituum phalangibus,
nationumque omni genere constipatus, et numero-
sissima tum peditum tum equitum multitudine fre-
tus, omnia ea loca contegebat. Tunc mandato hor-
tatuque Turcarum domini Murat-Bei agger extruitur, plures alios eosque maximos superans : quippe D
ab extremitate una urbis, Chrysiæ nempe portæ,
ad aliam Xyloportæ extendebatur, non plus sagittæ
jactu a mœnibus distans, valide undique construc-
tus ac firmissimus, lignis ingentibus, crassis tabu-
lis et complicatis virgis ac viminibus anteriore
sui parte communitus, ut sagittæ arcuum tzagro-
rumque a Romanis emissæ saxaque bombardarum
excipierentur. In aggeris posteriore parte, ut ille
præceperat, milites omnis generis ex exercitu se-
lecti audaces fortesque permanebant, tum ut pro
more aggerem defenderent, tum ut ab eo defende-
rentur, indeque pugnam retro stantes cum tzagris
et arcubus aliisque machinis, et parvis et ingenti-
bus, prope innumeris, hanc ob causam advectis,

ἐξουσίαν ἐν μιᾷ καιροῦ ῥοπῇ ὑπὸ τὴν ἑαυτῶν ἐποιή-
σαντο, καὶ ἡμᾶς ἀπεστέρησαν τῆσδε τῆς πόλεως
πάντα τὰ πλησίον, καὶ ταύτης ἔφθειραν, ἐλεηλάτη-
σαν, ᾐχμαλώτευσαν, καὶ τοὺς μὲν τῶν ἀνδρῶν κατ-
έσφαξαν, τοὺς δὲ καὶ πόρρω τοῦ Ἰκονίου καὶ Ἀρατ-
ζάπητας Κύφας διαβιβάσαντες, τὰς δὲ γυναῖκας
ἀσελγῶς αἰσχρουργήσαντες, τὰ δὲ βρέφη εἰς περι-
τομὴν τῷ Μωάμεθ προσέφερον, καὶ πᾶν ζῶον ὑπὸ
ζυγὸν καὶ ἄζυγον διέφθειραν καὶ ἠφάνισαν. Τὴν δὲ
ζημίαν τῶν γεννημάτων καὶ τῶν ἀμπελώνων τὴν
λύμην τίς ἄρα καὶ ποία δυνήσεται γλῶσσα ταύτην
ἐξιχνιάσαι ; Καὶ γὰρ ἐν τῷ καιρῷ τῆς συγκλείσεως
ἀπαραπροσδοκήτως κατέδραμον καὶ ἡμᾶς ἀπέκλει-
σαν, καὶ ὑπὸ τὴν δεσποτείαν αὐτῶν πάντα τὰ ἔξω
ἐγένοντο. Τὸ δὲ καὶ πῶς καὶ πόθεν καὶ δι' ἣν αἰτίαν B
ἡ συμφορὰ καὶ φθορὰ καὶ ταῦτα τὰ δεινότατα χαλεπὰ
τοῖς δυστυχοῖς καὶ ἀθλίοις ἐπέβη Ῥωμαίοις σιωπᾷν
ἡμῖν ἄμεινον ἔδοξεν. Τῆς δὲ πικροτάτης μάχης ἐκεί
νης καὶ τοῦ φρικωδεστάτου πολέμου τὸ πέρας χρὴ
διηγήσασθαι. Τὸ μὲν γὰρ πρῶτον στράτευμα τῶν
Μουσουλμάνων ἐκείνων τῇ δεκάτῃ τοῦ Ἰουνίου κατέ-
δραμέ καὶ ἡμᾶς ἀπέκλεισεν, ὡς προέφημεν, τῇ δὲ
εἰκοστῇ τούτου ἑτέρα ἐφάνη στρατιὰ Μουσουλμάνων
ὡς νέφος χαλάζης πλήρης καὶ τετρυγὸς ὀλέθριον,
καὶ πᾶσαν καὶ παντοίαν τὴν ὑπὸ τῶν Ῥωμαίων
ἡμαύρωσαν γῆν, καὶ ὡς φλὸξ ἀστραπῆς καιομένης
πάντα κατέκαυσε καὶ ἐνεπύρισε, καὶ πᾶν ξύλον
κάρπιμον καὶ δένδρον εὔκαρπον καὶ τὰς κουρδούλας
τῶν ἀμπελώνων ἐκ ῥίζης ἀπέτεμον, καὶ πᾶν ἄλλο
δεινὸν καὶ ὀλέθριον καθ' ἡμῶν ἐποίησαντο. Ὁ δὲ C
στρατάρχης ὁ μέγας καὶ πάντων ἐκείνων ἀμηρᾶς
καὶ δεσπότης ἔφθασεν. Ἦλθε μανὸς καὶ ἠγριωμένος,
ἀλαζών, ἐπηρμένος, ὑπέρογκος καὶ γαυριώμενος
καὶ τὴν ὀφρὺν εἰς οὐρανὸν αἴρων, καὶ ὑψηλὸς παρὰ
πάντας ἐνόμιζεν εἶναι, καὶ ὑπελάμβανε παρ' αὐτοῦ
διοικεῖσθαι τὰ πάντα, καὶ ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ
ἄγεται ἅπας ὁ κόσμος. Ἀλλὰ καὶ πάμπολλα ἀγῶν
μηχανικώτατα καὶ μαχιμώτατα ἔργα, προσδοκῶν
δι' αὐτῶν μέρος τοῦ τοίχου χαλάσαι τῆς πόλεως καὶ
ἀπὸ τούτου ταύτην κατακρατῆσαι καὶ τοὺς Ῥω-
μαίους αἰχμαλωτίσαι καὶ τοῦ Χριστοῦ τὸ ὄνομα
ἀποσβέσαι. Ἀλλὰ καὶ στρατιὰς στρατιῶν καὶ γενεὰς
γενεῶν καὶ πλήθη πληθῶν, πεζῶν καὶ ἱππέων, ἔσχε
τοσοῦτον ὥστε ἅπας ὁ κόσμος ἐκεῖνος ἐσκέπετο ὑπ' D
ἐκείνων. Τότε δὲ αὐτοῦ τῇ κελεύσει τοῦ Μουράτ Χεΐ,
τῇ κλήσει τε τοῦ δεσπότου τῶν Τούρκων, ποιοῦνται
παστίαν μίαν. Ἀλλ' αὕτη ἡ μία πολλὰς ὑπερέβην
μεγίστους· καὶ γὰρ ἀπὸ τὸ ἓν ἄκρον τῆς πόλεως τῆς
Χρυσίας ἕως τὸ ἕτερον ἄκρον τῆς Ξυλοπόρτης ἐκρά-
τει. Καὶ ἦν δὲ ἡ παστία πλησίον τοῦ κάστρου ὅσον
τόξου βολήν, καὶ οὐ πλέον. Καὶ ἦν δὲ πᾶσα στερεὰ
καὶ ὀχυρωτάτη ἀπὸ ξύλων μεγίστων καὶ χονδρῶν
σανίδων. Καὶ πλοκοτὰς ἀπὸ βέργας ἔθηκαν ἔμ-
προσθεν τῆς παστίας, ἵνα δέχωνται τὰς σαγίττας
τῶν τόξων καὶ τῶν τζαγρῶν τῶν Ῥωμαίων, καὶ
τῶν βουμπάρδων τὰς πέτρας. Ὄπισθεν δὲ ταύτης
ἐθέσπισεν ἵνα ἵστανται στρατιῶται ἐκ πασῶν γενεῶν
τοῦ στρατεύματος τούτου τολμηροὶ καὶ ἀνδρεῖοι, τὸ
μὲν, ὡς τὸ ἔθος, εἰς προσοχὴν τῆς παστίας τὸ δὲ

Digitized by Google

ἵνα φυλάσσωνται δι' ἐκείνης, οἱ δὲ ἵνα μάχωνται ἐξ ἐκείνης· ὄπισθεν μετὰ τζαγρῶν τε καὶ τόξων καὶ τῶν σκευῶν τῶν μεγάλων καὶ τῶν μικρῶν τῶν ἀπείρων ὧν ἔφερον διὰ τοῦτο. Τὰς δὲ σκευὰς τὰς μεγίστας ἐκείνας, ὁποίας εἶχον τὰς ἐλπίδας ὅτι δι' ἐκείνας τὰ τείχη τῆς πόλεως θέλουν χαλάσειν καὶ ἀπὸ τούτου τὴν πόλιν αἰχμαλωτίσαι, ἔστησαν περιέργως εἰς τόπον ἐν ᾧ σοῦδαν οὐκ εἶχεν ὁμοίαν σουδῶν τῶν ἑτέρων, ἀλλὰ κεχαλασμένη ὑπῆρχεν, καὶ ἔκπαλαι γέμουσαν χῶμαν, καὶ ἄντικρυς ταύτης πύργος εὑρέθην ἐκ συμβάσματος λίαν σεσαθρωμένος καὶ ἐσχισμένος ἀπὸ ἄνωθεν ἕως κάτω. Καὶ προσδοκῶντες οἱ Τοῦρκοι ὅτι τῶν μεγίστων βουμπάρδων αἱ πέτραι τὸν σεσαθρωμένον πύργον ἐκεῖνον θέλουν χαλάσειν, καὶ ἐπεὶ ὁ τόπος σοῦδαν οὐκ ἔχει τοὺς Τούρκους νὰ ἐμποδίσῃ, ἀκωλύτως εἰς τὸ ἔξω κάστρον θέλουσι φθάσειν, καὶ ἐκ τοῦ χαλάσματος τοὺς Ῥωμαίους θέλουν διώξειν, καὶ τὴν πόλιν θέλουν δουλώσειν. Πλὴν εἰς κενὸν ἐκατήντησε τέλος ἡ τῶν ἀσεβῶν προσδοκία, ἐπεὶ ἑβδομήκοντα βοκία τῆς βολῆς τῆς μεγίστης ἐκείνης τὸν σεσαθρωμένον ἐκεῖνον ἔκρουσε πύργον, καὶ οὐδεμίαν βλάβην τοῖς Ῥωμαίοις τοῦτο προὐξένησεν, ἀλλ' οὐδὲ τοῖς Τούρκοις ὠφέλειαν. Ἦν γὰρ ὁ τόπος καὶ σοῦδα καὶ πύργος πλησίον Κυριακῆς τῆς ἁγίας, μέσον Ῥωμανοῦ τοῦ ἁγίου καὶ τῆς Χαρσῆς τε τὴν πύλην, καὶ πλησιέστερον τούτων εἰς τὸν ποταμὸν τὸν ἐπονομαζόμενον Λύκον. Καὶ ταῦτα μὲν περὶ τῶν βουμπάρδων τὴν ἀπραξίαν. Περὶ δὲ τῶν ἄλλων τῶν κατασκευῶν τῶν μαχίμων, τῶν παντοίων ἐκείνων τῶν κατὰ τῆς πόλεως εἰργασμένων εἰς πολιορκίαν ἐκείνης καὶ ἀφανισμὸν τῶν Ῥωμαίων, τίς διηγήσεται ἄρα; πλὴν ἐκ τῶν πολλῶν ὀλίγας διηγήσομαι ἄρτι. Πύργους ξυλίνους μεγίστους μὲ τροχοὺς σιδηροδεσμουμένους πολλοὺς ἐποιήσαντο τότε, ὅσον τὸ ὕψος τῶν πύργων τῆς πόλεως· μᾶλλον καὶ ὑπερεῖχον ἐκείνους. Καὶ ζεύγη βοῶν καὶ βουβαλίων ἀπείρων εἶχασιν ἐξ ἑτοίμου, ἵνα τοὺς πύργους ταυρίσουσι μετὰ σχοινίων καὶ πλησίον τῆς σούδας φέρωσιν καὶ ἐξ ἐκείνων τὸ ἔξω κάστρον πολεμήσωσι καὶ ἀφανίσωσιν. Ἀλλὰ καὶ φαλκούνια ἐποιήσαντο καὶ χελώνας καὶ ἀρκουδάμαξα καὶ ἄλλα πολλὰ ξύλινα καὶ μηχανικώτατα ἔργα, καὶ ἑλεπόλεις ἐκατεσκεύασαν καὶ μηχανικὰς ἀγκάλας μὲ τροχοὺς μικροὺς, καὶ μεγάλας σκεπαστὰς καὶ μεσίας ὑπὲρ ἀριθμὸν διεπράξαντο, καὶ κατέναντι τῶν πόρτων τῆς πόλεως τεράστια μεγάλα εἰργάσαντο, κάστρη ξύλινα ὑπερμεγέθη ἐποιήσαντο μὲ τροχοὺς σιδηροδεσμουμένους, ὥστε τοὺς θεωροῦντας ἐκεῖνα καὶ ἀγνοοῦντας τῶν κάστρων τοὺς πολέμους, καὶ τὸ ἀχρησίμευτον γὰρ ἐκείνων καὶ λίαν ἐξέπληξε καὶ μέγα ἐθρόησε. Ἀλλὰ καὶ τὴν γῆν ἄλλοι ἔσκαπτον ἐκ τῆς παστίας ὄπισθεν, καὶ εἰς βάθος πολὺ ἐκατέβησαν, ὡς ἵνα κάτωθεν ἀπὸ τὴν κάτω ὄψιν τῆς σούδας περάσωσιν ἀθεώρητοι τὴν νύκτα ἄνω ἱσταμένων Ῥωμαίων καὶ μαχομένων, καὶ φθάσωσιν εἰς τὰ τείχη τοῦ καθολικοῦ καὶ μεγίστου κάστρου τῆς πόλεως, καὶ κόψωσι τοῦτο λαθραίως πάντων, καὶ πουντελειάσωσιν κατὰ τὸ ἔθος τῶν πολεμούντων, εἶτα πῦρ εἰς τὰ ξύλα τῶν πουντελείων ἀνάψωσιν, ὅπως τὴν ξυλίνην κατασκευὴν τὴν κρατοῦσαν τὸ κάστρον καταφλέξωσιν, καὶ ἄφνω πεσοῦνται τὰ τείχη τῆς

A consererent. Apparatus vero reliquos, eosque ingentes, quibus se sperabant mœnia urbis posse disjicere indeque civitatem capere, accurate eo in loco erexere in quo nulla fossa aliis consimilis erat, cum ruinis convulsa ab antiquo tempore terra oppleretur. Evenerat quoque ut turris illi adversa maxime putris et ruinosa ab ima sede ad verticem summum diffinderetur. Hinc Turcæ sperabant ingentium bombardarum saxis putrem illam ac fragilem turrim facili sese negotio in planum effusuros, et cum nulla esset fossa quæ retardaret impetus, ex facili in exteriorem urbem illapsuros, deque illa ruina Romanum militem repulsuros civitatemque debellaturos. Verumtamen impiorum confidentiæ exitus non respondit; namque licet B turris putrida machinæ maximæ septuaginta ictibus contusa fuisset, nulla inde Romanis noxa, nullum hostibus emolumentum accessit. Erat vero locus et fossa prope templum sanctæ Cyriacæ, inter sanctum Romanum et portam Charsæ, propius fluminj cui Lyco nomen. Et hæc quidem de bombardarum irritis et sine profectu ictibus. De reliquo vero apparatu bellico, vario quidem illo ac multiplice ad obsidendam urbem Græcosque dissipandos congesto, quis enarraverit? Ipse ex multis pauca admodum in medium proferam. Turres ligneas maximas, rotis ferro colligatis, multas eo tempore compegerunt ad altitudinem urbis turrium, quas etiam superabant; juga boum ac bubalorum innumera, C qui traherent eas funibus et ad fossas eveherent cum opus fuisset, congesserant, ut illis munimenta urbis exteriora oppressa disjicerent. Item phalcunia, testudines, arcudamaxa diversaque alia ligunea ex abdita mechanicorum disciplina instrumenta et obsidionalia fabricarunt; netenon aucalas cum rotis parvis, ingentes etiam et coopertas et medias supra numerum confecerunt, et adversus urbis portas monstrosas magnasque machinas condiderunt, castella ligunea quam maxima rotis ferro circumligatis innixa; ita ut ea intuentes et urbium violentas invasiones ignorantes, licet ex illis nulla consequeretur utilitas, in stuporem acti præ metu occiderent. Alii terram post aggerem suffodientes in profundum ingens sese immerserant, ut subterraneo gressu infra aggerem invisi nocte, Romanis sursum D confligentibus, ad muros ingentis castri urbis pervenirent, illudque clanculum effoderent et pro more obsidentium stipitibus suffulcirent, tum facibus illatis incenderent, ut apparatu ligneo castrum sustinente combusto subito civitatis muri corruerent, sicque illico audacterque Turcarum exercitus in Græcos irruerent, et ex ruina illa fugatis hostibus urbe potirentur. Alii conductus, qui antiquo ævo in civitatis cisternas aquam deferebant, seduli conquirebant, ut per eos si sors se obtulisset clam noctu urbem ingressi, inexspectati cives adorirentur et servitute opprimerent.

Digitized by Google

πόλεως, καὶ ἅμα αὐθὶς τῶν Τούρκων τὰ στρατεύματα θρασέως κατὰ τῶν Ῥωμαίων ἐμβάλλουσιν καὶ ἐκ τοῦ χαλάσματος ἐκείνου δώξουσιν καὶ τὴν πόλιν κρατήσουσιν. Ἄλλοι τοὺς ἀγωγοὺς ἐγύρευον τοὺς ἔκπαλαι τὸ νερὸν εἰς τὰς στέρνας τῆς πόλεως ἔφερον, ὅπως τινὰ ἐξ αὐτῶν ἐπιτύχωσιν, καὶ λαθραίως τῶν Ῥωμαίων διὰ τοῦ ἀγωγοῦ ἐντὸς γενέσθαι τῆς πόλεως νυκτὸς, ἀπαραπροσδοκήτως ταύτην κρατήσουσιν καὶ αἰχμαλωτίσουσιν.

Misit præterea ad omnes Turcarum princeps præconem, qui ita declararet et jurejurando firmaret : « Urbis divitias omnes et universum populum ameras prædam rapinamque Musulmanis concedit: ad pulchram itaque prædam alacres accedite. » Et hæc quidem ille eo consilio, et simul omnes Musulmanorum exercitus, quod et factum est, concurrerent. Namque ut nuntius ille ad Musulmanorum nationes allatus est, reginam urbium in prædam esse datam et servitutem, fere ex universa terra et Musulmanorum nationibus ad lucrum propositum advolarunt, non tantum bellandi prædandique gnari, sed et inexperti aliusque generis ac artificii homines, veluti mercatores, numularii, unguentarii, calceolarii, sed ex Turcis etiam qui se solitariæ vitæ astrinxerant. Ob similem omnes causam accurrerunt, milites prædandi causa, alii ut prædam servituti addictam, alii mulieres, alii viros, alii pueros, alii animalia, alii supellectilem redimerent; solitarii moniales nostras prædam rapinamque sibi concedi a Turcarum principe impetrarent. Hac exspectatione ex universo terrarum orbe innumera prope Musulmanorum multitudo collecta est, ut quicunque copias affluentes intueretur, obstupesceret. Tum et sagittarum abundantia tanta cumulata est, ut prope incredibilis de ea rumor nobis videretur, donec tempore belli id experti credidimus. Hoc vero modo ea abundantia procurata est. Singulæ domus cujuscunque hominis, qui sub potestate et ditione Turcarum erant, sive is in Oriente sive Occidente habitaret, sagittas arcuum non minus decem ad viginti etiam præbuit ; et plures etiam his,cum prælium iniretur, volarunt, quas Turcarum armamentarium et exercitus pharetræ continebant. Convehebat una secum eo tempore imperatoris oratores ferro miseris modis compeditos, quos ipse pro inunda pace ac fœdere postulaverat. Sed tum veluti barbarus immitis atque immisericors vinculis ferreis astrictos in custodiam dederat, innoxiosque tanquam noxios condemnaverat, quibus etiam mortem minitabatur, causatus insulse admodum ; aiebat siquidem : « Græci me impudenter atque irreverenter allocuti sunt, propterea eos in carcerem et vincula conjeci. »

Tum porro quidam ex Musulmanis procero grandique corpore, et apud illos terribilis, quod de progenie et de prosapia Mahometis esset. Hunc illi veluti patriarcham colebant et veluti prophetam venerabantur, æqualemque illi cultum ac Mahometo præstabant. Hic tanta apud eos auctoritate pollebat, ut ameræ Turcarum principis filiam virginem præter illius sententiam raptam

Πλὴν καὶ κήρυκας ἐξαπέστειλε πανταχόθεν ὁ δεσπότης τῶν Τούρκων, καὶ διελάλησαν οὕτως, καὶ εἶπον ἐνόρκως ὅτι τῆς πόλεώς τε τὸν πλοῦτον καὶ τὸν λαὸν ἅπαντα ὁ ἀμηρᾶς εἰς διακομὰν παραδίδη καὶ κοῦρσος τοῖς Μουσουλμάνοις, καὶ φθάσετε εἰς τὸ κέρδος. Ταῦτα μὲν εἶπε, μετὰ τεχνάσματος δὲ τοιούτου ὅπως νὰ συναχθῶσι τὰ στρατεύματα πάντα τῶν Μουσουλμάνων, ὁποῖον καὶ ἐγένετο τότε. Ὡς γὰρ ἐξεχύθη ἡ φήμη εἰς τὰ ἔθνη τῶν Μουσουλμάνων πῶς ἐπαραδόθην ἡ πόλις εἰς διαγρουμὰν καὶ αἰχμαλωσίαν, σχεδὸν ἐκ πάσης γῆς καὶ γενεᾶς Μουσουλμάνων ἔφθασαν πρὸς τὸ κέρδος μὴ μόνον οἱ ἐπιστήμονες εἰς τὰ κούρσι καὶ τοὺς πολέμους, ἀλλὰ καὶ οἱ ἀνεπιστήμονες καὶ σαρλίδες, τουτέστι πραγματεῦται, καταλλάκται, μυροψοὶ καὶ τζαγκάροι, ἀλλὰ καὶ Τουρκῶν πολλοὶ καλογέροι. Ὑπ' αἰτίας τοιαύτης ἐσυνήχθησαν πάντες, οἱ μὲν στρατιῶται διὰ τὸ κοῦρσος, οἱ δὲ σαρλίδες ἵνα ἀγοράσουν τὰ κουρσιμαῖα, ἤγουν τοὺς αἰχμαλώτους, καὶ οἱ μὲν τὰς γυναῖκας, ἄλλοι τοὺς ἄνδρας, ἄλλοι τὰ βρέφη, καὶ ἄλλοι τὰ ζῶα, καὶ ἄλλοι τὰ πράγματα, οἱ δὲ Τουρκοκαλογέροι τὰς καλογραΐας ἡμῶν κέρδος καὶ κοῦρσος εὐεργεσίαν νὰ ἔχουν παρὰ τοῦ δεσπότου τῶν Τούρκων. Διὰ γοῦν τὴν προσδοκίαν ταύτην ἐσυνάχθησαν ἐκ πάσης τῆς γῆς Μουσουλμάνων ἀναρίθμητα πλήθη, ὥστε ἐκατεθαύμαζον πάντες οἱ θεωροῦντες τὴν πλησμονὴν τοῦ φωσάτου. Τότε δὴ καὶ σαγίττας συνῆξαν τοσοῦτον ἀναρίθμητον πλῆθος ὥστε ἐδυσπιστοῦμεν τὸ πρῶτον τὴν φήμην τοῦ λόγου ἕως τοῦ πολέμου τὴν ὥραν. Ἡ δὲ συναγωγὴ τούτων ἐγένετο οὕτως · Πᾶσα οἰκία παντὸς ἀνθρώπου τοῦ εὑρισκομένου εἰς τὴν δεσποτείαν τῶν Τούρκων ἀνατολῆς καὶ δύσεως πάσης δέδωκε τούτων ἑκάστη ἀπὸ δέκα ἕως εἴκοσι σαγίττας τῶν τόξων. Ἀλλὰ καὶ πλείονας τούτων ἐτόξευσαν τοῦ πολέμου τὴν ὥραν, ὁποίας τὸ ἁρματοφυλάκιον εἶχε τοῦ · Τούρκου καὶ τὰ ταρφάσια τοῦ φωσάτου. Εἶχε καὶ μετ' αὐτοῦ τότε σιδηροδεσμουμένους τοὺς ἀποκρισιαρίους τοῦ βασιλέως, ὁποίους αὐτὸς ἠτήσατο μᾶλλον ἵνα πέμψῃ περὶ εἰρήνης τε καὶ ἀγάπης. Αὐτὸς δὲ ὡς βάρβαρος ὠμὸς καὶ ἀπάνθρωπος σίδηρα καὶ φυλακὰς αὐτοὺς κατεδίκασε, καὶ τοὺς ἀναιτίους ὡς ὑπαιτίους ἠπείλει εἰς θάνατον, προβαλλόμενος δὲ τάχα καὶ αἰτίαν, ἀλλὰ ψυχράν · Ἔλεγε γάρ· Διότι με οἱ Ῥωμαῖοι ἀναισχύντως συνέτυχον, διὰ τοῦτο αὐτοὺς εἰς φυλακὴν κατεδίκασα.

Ἀλλὰ καὶ τότε τις τῶν Μουσουλμάνων ὑψηλός τε καὶ μέγας καὶ φοβερὸς παρ' ἐκείνοις, ὡς ὅτι ἐκ σειρᾶς τε καὶ γένους τοῦ Μουχουμὲτ κατήγετο. Τοῦτον καὶ ὡς πατριάρχην αὐτὸν ἐτιμοῦσαν, καὶ ὡς προφήτην αὐτὸν προσεκύνουν, καὶ ἐσέβοντο τοῦτον ὡς αὐτὸν τὸν Μωάμεθ. Τοσοῦτον καὶ τοιοῦτος μέγιστος ἦν ἐκεῖνος ὅτι τὴν θυγατέρα τοῦ ἀμηρᾶ καὶ δεσπότου τῶν Μουσουλμάνων παρθένον οὖσαν ἥρπαξε

Digitized by Google

παρὰ γνώμην ἐκείνου καὶ ἔφθειρε καὶ ἐκράτησε, καὶ ἔσχεν ἐκείνην ἐν τῷ κοιτῶνι καὶ τῷ κλινιδίῳ ἐκείνου, καὶ οὐδεὶς ἐτόλμησεν αὐτὸν σκῶψαι ἢ τι εἰπεῖν πρὸς ἐκεῖνον. Ἀλλὰ καὶ μᾶλλον ὁ ἀμηρᾶς καὶ ἀδελφὸς ὁ τῆς κόρης εἶπεν· « Ἡγίασε ταύτην ἡ συνουσία τοῦ πατριάρχου τοῦ συγγενοῦς τοῦ Μωάμεθ, καὶ τὸ γεννηθὲν ἐξ ἐκείνης ἅγιον ἔστω ὡς ἐξ αἵματος τοῦ Μωάμεθ κατὰ τὸν νόμον καὶ ἁγιασμὸν τοῦ Ῥασοὺλ Μαχουμέτη. » Αὐτὸς δὲ ὁ μέγιστος καὶ πολὺς παρ' ἐκείνοις ὁ εὐγενὴς πατριάρχης, ὃν εἶχον προορατικὸν καὶ προφήτην, τοὔνομα Μηρσαΐτης τῇ Περσικῇ διαλέκτῳ, ἀπέστειλεν ἀποκρισιαρίους ἀπὸ τῆς Προύσης ἧς ἐκατοίκει πρὸς τὸν δεσπότην τῶν Τούρκων, καὶ εἶπεν· « Ὅρα μήπω συνάψῃς πόλεμον μετὰ τῶν Ῥωμαίων καὶ τὸν στρατὸν ἀπολέσῃς καὶ τὰ γένη τῶν Μουσουλμάνων, ἕως ὅτε ἐγὼ νὰ φθάσω καὶ δηλώσω τὴν ὥραν τῆς συμπλοκῆς τοῦ πολέμου, ὡς ὁ μέγας ἡμῖν διδάσκει Ῥασοὺλ ὁ προφήτης. Καὶ γινώσκω δὲ τοῦτο ὡς προορατικὸς καὶ προφήτης. » Ταῦτα δὲ ἀκούσας τῶν Τούρκων ὁ δεσπότης ἔπραξεν ὡς ὡρίσθην, καὶ ἀνέμενε τὸν ψευδοπροφήτην. Καὶ μεθ' ἡμέρας ὀλίγας ἔφθασεν. Ἦλθεν ὁ Μηρσαΐτης καὶ πατριάρχης τῶν Τούρκων μετὰ πεντακοσίους Τουρκοκαλογέρους, ἐπὶ ἡμιόνου καθήμενος, καὶ τῷ σχήματι σοβαρώτατος καὶ τὸ μεγαλεῖον δεινότατος. Τὰ δὲ πλήθη τῶν Μουσουλμάνων εἰς ὑπαπαντὴν ἐξέδραμον τὴν ἐκείνου, καὶ ὡς ἄγγελον ἐξ οὐρανοῦ καταβάντα τὰ μωροθύμαστα γένη τῶν Τούρκων ὑπεδέξαντο τοῦτον, καὶ μὴ μόνον τοὺς πόδας ἐκείνου ἠσπάζοντο καὶ τὰς χεῖρας, ἀλλὰ καὶ τοῦ ἡμιόνου τοὺς χαλινοὺς καὶ τοὺς πόδας οὗ ἐποχεῖτο. Ὁμοίως καὶ ὁ δεσπότης τῶν Τούρκων δουλοπρεπῶς ὑπεδέξατο τοῦτον. Αὐτὸς δὲ σοβαρὸς καὶ μεγαλοπέροχος ἐωρᾶτο τοῖς πᾶσιν. Πλὴν δὲ ἐπηρμένος καὶ γεγαυρωμένος ὡς ὑψηλός τε καὶ μέγας καὶ ὡς ἀπόγονος τοῦ Μωάμεθ ἐκατεδέξατο μόλις, καὶ ἐφθέγξατο ταῦτα· « Γινώσκετε, Μουσουλμάνοι, καὶ σὺ αὐτὸς ὁ πάντων τούτων δεσπότης. Ἐγὼ μὲν ἀπεστάλην παρὰ τοῦ μεγάλου προφήτου Ῥασοὺλ Μαχουμέτη, ἵνα ὑμῖν εἴπω τοῦ πολέμου τὴν ὥραν, ὡς προορατικὸς καὶ προφήτης, ὅπως δουλώσωμεν τοὺς Ῥωμαίους καὶ αἰχμαλωτίσωμεν καὶ τὴν πόλιν. Ἑτοιμάζεσθε δὲ πρὸς τοῦτο ἕως ὅτου νὰ φθάσῃ ἡ ὥρα, ὁποίαν ἐγὼ γινώσκω. » Καὶ ταῦτα εἰπόντος ἀπέβη τοῦ ἡμιόνου οὗ ἐποχεῖτο, καὶ εἰσῆλθεν εἰς τὴν τέντταν τὴν ἱσταμένην ἀπὸ κεντυκλου, καὶ ἤρξατο ἀναγινώσκειν τὰς βίβλους τοῦ Μωάμεθ καὶ τὰ Ῥάμπλια πράττειν. Μετὰ ὑποκρίσεως δὲ ταῦτα ἐποίει, ὡς ἵνα ἀπατῶνται οἱ Τοῦρκοι καὶ προσκυνοῦν καὶ δοξάζουν ὡς προφήτην ἐκεῖνον, καθὰ καὶ ὁ δεσπότης τῶν Τούρκων καὶ πάντες οἱ Μουσουλμάνοι ἀληθῆ καὶ βέβαια κρατοῦσιν πάντα τὰ λαληθέντα ἐκ τούτου, καὶ πάντες τὴν κέλευσιν ἔμενον τὴν ἐκείνου, ἵνα προστάξῃ τοῦ πολέμου τὴν ὥραν καὶ δράμωσι πάντες καὶ κρατήσωσι τὴν πόλιν καὶ τοὺς Ῥωμαίους αἰχμαλωτίσωσι πάντας. Ταύτῃ δὴ ἡ κενὴ καὶ ματαία ἐλπὶς μέγα θράσος καὶ τόλμην καὶ εὐφροσύνην τοῖς Τούρκοις ἐνέπλησε τότε, καὶ ἀπὸ τούτου ἔχαιρον καὶ ἐσπατάλουν.

1. Itaque vesani Mahometis furorem redarguere nunc conari, supervacaneum prorsus esse mihi videtur, quoniam hoc stadium jam antea non pauci decurrerunt : in quibus divinus vir avus noster, optimus et admirabilis Imperator (3) : qui cum pietatis esset regula, et in susceptis pro ea laboribus primas nemini concederet, tum alia multa, quæ ardens illius erga rectam fidem studium luculente nobis declarant, conscripsit : tum illud demum opus his adjunxit, quo Achæmenidarum istorum religiones aliud nihil esse nisi meras nugas evidentissime demonstrat. Sed quia noram, te vere fratrem hanc Impiorum, quos dixi, fraudem egregie præter cæteros odio prosequi : insuperque deliciarum ac velut oblectamenti loco ducere, si quis de illorum ineptiis aliquid enarret, et de iis maxime, quæ arcana venerandaque apud illos habentur : his de causis integro quidem solidoque adversus omnia Turcicæ insaniæ capita opere conscribendo supersedendum esse decrevi : sunt enim, sunt, ut dixi, qui optime hoc, et quantum satis erat, exsecuti fuerint : quorum scripta legere si volueris, per triumphum ductam videre licebit tibi volenti Turcarum dementiam. Ipse tamen satietatem, quantum fieri poterit, effugiens, quæcunque opportuniora et meliora dixisse videtur Muterizes, ea tibi verbis exprimere conabor, sicut etiam quæcunque abs me D seni dicta fuisse meminero. Illius enim verba referam, gratificari tibi volens : siquidem in te injuriosus essem, si ex quibus præsens ipse voluptatem cepisses, ea in scriptis, quibus facile declarari possunt, prætermitterem.

(1) Πῶς οἶει, sicut πῶς δοκεῖς, peculiarem habet emphasin, et significationem τοῦ κατὰ πολὺ, *vehementer plurimum* : profertur quasi admirabunde. Apud Aristophanem *Plut.* v. 742 *Glossator.* Πῶς δοκεῖς] θαυμαστικόν· λίαν· vid. Brunck. ad h. l. *edit. Argentorat.* 1783, in-8, *tom. I, pag.* 265. Ἠσθην ἄλλα πῶς οἶει ; Synes. Epist. 22, *ed.* Dionys. Petav. *Lutet.* 1712, *in-fol. p.* 175.

(2) Voce ὅσον ἦν γιγνόμενον id significari, quod est conveniens, congruum, patet pluribus locis in Stephani Thesauro, tum ex multis similibus loquendi formulis in decursu hujus operis.

(3) Joannem Cantacuzenum imper. intelligit (*a*), nostri Manuelis maternum avum : nam Joannes Palæologus Manuelis pater Helenam Cantacuzeni filiam duxerat. Vide Ducang, *Famil. August. Byzantin.* pag. 239.

(4) Cod. reg. παρόν.

(*a*) Cujus scripta contra Mahometem et ejus asseclas edidimus in tomo CLIV. Edit.

Digitized by Google

2. Quamvis enim umbrosi montes et sonorum mare corpora nostra longo separent intervallo, tamen in vero fraternitatis affectu efficere hoc non possunt : is enim ullo omnino modo claustris contineri nequit. Unde splendidæ illius cœnæ, qua nos convivas excepit senex, participem te fieri volo. Nam forte tibi videbitur illa delicatior, quam sæpius nobis apparavit Satrapes ille gravissimus et perditissimus, qui prodigia quædam ut in somniorum figmentis, raptum videlicet sibi congruentem, paradisumque canibus puellisque infinitis, quæ arborum ramis insiderent, aliisque compluribus nugis refertum narrabat. Duabus vero de causis necesse est, ut quæ abs me sunt dicta tibi referam. Primum, quia neque consentaneum neque fas est, dialogum aliquem fieri, nisi omnium colloquentium sermones contineat. Deinde, in ipsis nonnihil fortasse reperietur iis utile, qui de spe in nobis reposita de improviso respondere volunt, quando Dei osores illi nugando aliquid huic objiciunt. Nam et ille omnem pharetram exinanivit, barbarica manu magnam sagittarum vim emittens : quas quidem Deus leves ac hebetes plane effecit : at contrarium illi accidit, nam confixus est sagittarius iste spiculis nostris : imo et suis, quod quidem acerbius omnino videtur : quanquam Sacrarum Scripturarum interpretationibus testimoniisque neque quantum licebat neque quantum oportebat sumus usi, sed quantum et quando volebat ille. Quippe operæ pretium quidem esse debebat hoc facere : sed præclaro isto invictoque auxilio lubens privatus sum, cum illud primum animo reputarem, quæcunque theologumenon librorum oracula errorem Mahometi, quantus est, nihil nisi merum errorem esse arguant, hæc ab iis, qui contra istum scripserunt, et jam inventa esse, et disposita, et ornatissimis verbis expressa. Deinde, quamvis inter omnes ætatis gentisque suæ homines magnus esset et haberetur senex ille, quod quidem ad liberales disciplinas attinet, et ad eam quæ apud ipsos viget sapientiam, barbarus tamen erat : barbara quoque gens ejus et dictio. Quamobrem, ut debebat accidere, non eam mentem habebat, quæ sacris litteris absconditam divinæque intelligentiæ convenientem sententiam recte posset assequi : itaque non ut oportebat, sed ut ea quæ dicebantur, intelligere poterat, disseruimus. Erant etiam interpretes, qui sermones nostros ultro citroque transmitterent : quæ res volenti mihi sæpe aliquid non omnino terrenum neque abjectum, sed nobilius et sublimius eloqui (nam quæ venerantes colimus, ea sunt hujusmodi) obstare ubique et adversari videbatur : quandoquidem bis et ter eadem dicere oportebat, ut intellectu faciliora fierent. Propterea in multis, ubi sacrarum Scripturarum opus erat subsidio, coactus sum nudus, ut ita loquar,

β'. Εἰ γὰρ δὴ καὶ οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα (1), ἡμῖν γε διϊστῶσι τὰ σώματα, ἀλλ' οὐχ οἷά τε ταυτὶ κἀπὶ τῆς ἀληθοῦς φιλαδελφίας τοῦτο ποιῆσαι· ἀκάθεκτον γὰρ αὕτη χρῆμα πέφυκεν εἶναι. Ὅθεν βούλομαί σε καὶ ταύτης τῆς θοίνης ἡμῖν κοινωνεῖν, ἣ ὁ μὲν γέρων λαμπρῶς εἱστία, ἡμεῖς δὲ ἦμεν οἱ δαιτυμόνες. Ἀβροτέρα γάρ σοι τυχὸν φανεῖται, ἧς πολλάκις ἑστιάτωρ ἡμῖν ὁ σεμνότατος ἐκεῖνος Σατράπης καὶ ἐπιτριπτότατος γέγονε, τερατείαν τινὰ διηγούμενος ἐν ὀνειράτων πλάσματι, καὶ ἁρπαγὴν αὐτῷ πρέπουσαν, καὶ παράδεισον γέμοντα κυνῶν καὶ κορῶν ἀπείρων, κλάδοις δένδρων ἐφιδρυμένων, καὶ ἄλλης φλυαρίας μακρᾶς. Τὰμὰ δὲ πάλιν ἀναγκαῖον εἰπεῖν δυοῖν ἕνεκα. Πρῶτον μὲν γὰρ οὐκ ἀκόλουθον οὐδὲ θέμις, διάλογόν τινα γίγνεσθαι μὴ καὶ τῶν προσδιαλεγομένων τοὺς λόγους ἔχοντα. Ἔπειτ' ἴσως καί τί που χρήσιμον ἐν αὐτοῖς εὑρεθήσεται τοῖς ἐκ τοῦ προχείρου βουλομένοις ἀποκρίνεσθαι περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, ἐπειδάν τι ληροῦντες ταύτῃ προφέρωσιν οἱ θεομίσεις (2). Ἐκεῖνός τε γὰρ πᾶσαν τὴν φαρέτραν ἐκένωσε, βέλη συχνὰ ἐκ τῆς βαρβαρικῆς χειρὸς ἀφιείς· θεός τε ταῦτα κοῦφα τελέως ἀπέφηνεν· οὐ μὴν τὰ ἴσα ὤφθη πεπονθώς, ἀλλ' ἐβλήθη μὲν τοῖς ἡμετέροις βέλεσιν ὁ τοξότης· ἐβλήθη δὲ καὶ τοῖς αὐτοῦ, ὃ δὴ καὶ πικρότερον εἶναι πάντως δοκεῖ· καί τοι γραφικαῖς ἐξηγήσεσι καὶ μαρτυρίαις οὐχ ὅσον ἐξῆν τε καὶ ἐχρῆν, ἐχρησάμεθα, ἀλλ' ὅσον τε καὶ ὅτε τοῦτο ἐκείνος ἐβούλετο. Ἔδει δὲ τοῦτο προῦργου ποιεῖσθαι· ἀλλ' ἐκὼν ἀφῆρημαι τὴν ἅμαχον ταυτηνὶ καὶ καλὴν συμμαχίαν, ἐκεῖνο πρῶτον ἐνθυμηθείς, ὡς ὅσα τῶν λογίων ἐλέγχει τὴν τοῦ Μωάμεθ πλάνην αὐτὸ τοῦτο πλάνην οὖσαν, εὕρηται, καὶ τέταχται, καὶ ἀπήγγελται (3) κοσμίως τοῖς κατ' αὐτοῦ γεγραφόσιν. Ἔπειθ' ὅτι, καίπερ ὢν καὶ νομιζόμενος μέγας ὁ γέρων ἐν τοῖς κατ' αὐτὸν ἅπασιν, ὅσα γε εἰς λόγους καὶ σοφίαν τὴν κατ' αὐτούς, βάρβαρος ὅμως ἦν· ὅτε καὶ τὸ γένος αὐτῷ ἅπαν, καὶ ἡ φωνή. Καὶ εἶχεν ἂν εἰκότως διὰ ταῦτα τὸν νοῦν οὐχ οἷον ἐφικέσθαι καλῶς δύνασθαι πρὸς τὴν ἐγκεκρυμμένην τοῖς γράμμασι θεοπρεπῆ διάνοιαν· ἀνθ' ὧν οὐχ ὡς ἐχρῆν, διειλέγμεθα, ἀλλ' ὡς οἷός τ' ἦν ἐκεῖνος· δέχεσθαι τὰ λεγόμενα. Καὶ γὰρ καὶ ἑρμηνεῖς ἡμῖν τοὺς λόγους διαπορθμεύοντες ἦσαν· ὃ πολλάκις βουλομένῳ μοι λέγειν μὴ πάντη γήϊνον μηδὲ χαμερπὲς, ἀλλὰ γενναιότερόν τι καὶ ὑψηλότερον (τοιαῦτα γὰρ ἃ πρεσβεύομεν), ἐμποδὼν ἐφαίνετό τε πανταχῇ καὶ προσίστατο· δὶς γὰρ ἔδει καὶ τρὶς ταὐτὰ (4) λέγειν, ἵν' εὔληπτα γένοιτο. Διὰ δὴ ταῦτα ἐν οὐκ ὀλίγοις, οἷς ἔδει τῆς ἀπὸ τῆς γραφῆς συμμαχίας, αὐτὸς ψιλὸς, ὡς εἰπεῖν, τῆς ἀπὸ τῶν λογίων ῥοπῆς καὶ τῶν ἐκεῖθεν ὅπλων συμπλακῆναι ἠνάγκασμαι, λογισμοῖς δ' ἀντὶ τούτου καὶ παραδείγμασιν, ὡς τὰ πολλὰ, χρῆσθαι διαλεγόμενος, καὶ τούτοις καταλλήλοις τῇ τῶν ἀκουόντων ἰσχύϊ. Πολλὴν μὲν οὖν μοι τοῦτο τὴν ζημίαν προὐξένησεν, ἤνεγκε δ' οὖν τι καὶ χρήσιμον.

(1) *Homer.* Iliad. *A.* 157.
(2) Cod. Coislin. θεομισεῖς.
(3) Alludere videtur ad tres illas priores Eloquentiæ partes : inventionem, dispositionem, elocutionem.
(4) Codd. ambo, ταῦτα.

Digitized by Google

Δύναιτο γὰρ ἄν τις, οἶμαι, ῥᾳδίως μεμνῆσθαι καὶ λόγων ἐκείνων ἄπειρος ὤν, οἷς γε πρὸς ἀλλήλους ἐχρησάμεθα, καὶ χρῆσθαι τούτοις· δεῖσαν εὐχερέστερόν τε καὶ προχειρότερον, ἢ ταῖς τῶν Γραφῶν ἐξηγήσεσι. Τοῖς γὰρ ἀπὸ τούτων τελέως διαλέγεσθαι θέλουσι, δεῖ μὲν καλῶς ἐκείνας ἐξησκηκέναι, δει δὲ φρενῶν ὀξυτέρων, δεῖ δὲ ῥοπῆς θειοτέρας, ἃ συνελθεῖν κατ' αὐτὸ χαλεπόν. Ταῦτα μὲν οὖν, ὦ φιλτάτη κεφαλή, ὥσπερ τινὰ κρηπῖδα τῷ λόγῳ δεῖν ᾠήθην προϋποθέσθαι, ἵν' ἔχοις ῥᾷον τὴν τόθ' ἡμῶν συμβᾶσαν διάλεξιν ἐκλαμβάνειν, ἥτις ὧδέ πως ἔσχεν.

A oraculorum auxilio et armis, quæ inde assumi potuissent, confligere, atque hujus armaturæ loco ratiocinationibus in colloquendo plerumque uti, et exemplis, iisque ad audientium captum accommodatis. Id mihi magnum quidem damnum, aliquam vero etiam utilitatem attulit. Quandoquidem vel imperitus quispiam illorum, quos invicem contulimus, meminisse possit sermonum, iisque, cum oportuerit, facilius promptiusque uti, quam e sacra Scriptura petitis argumentis. Qui enim divinos libros in disserendo recte adhibere velint, iis cum præclara illorum exercitatione, tum subtiliori mente et diviniore adjumento est opus : quæ certe omnia in unum et idem difficile est convenire. Habes, mi optime frater, quæ quasi quædam operis fundamenta præstruenda esse existimavi, ut factum tunc inter nos facilius possis sermonem intelligere, qui hoc fere modo se habuit.

DIALOGUS PRIMUS.

De Angelis et Animabus.

α'. Ἐκαθήμην μετὰ δεῖπνον πρὸς τῇ πυρᾷ, καὶ ταυτὸν ὁ γέρων εἰωθότως ἐποίει, ἄλλοις ἅμα τῶν ἡμετέρων, καὶ τοῖς αὐτοῦ παισίν· ἦσαν γὰρ οἱ δύο υἱεῖς, νοῦ τε καὶ σοφίας μετέχοντες, καὶ οὐ σμικρὸν ἐνίοτε τοῦ πατρικοῦ συναντιλαμβανόμενοι λόγου. Καί μοί φησιν ὁ πρεσβύτης· Εἰ μὴ μέλλοιμι δόξειν ἐπαχθὴς (1), δεήσομαί σου ἀκοῦσαί μου, καὶ λόγον μεταδοῦναι, περὶ ὧν ἂν ἐροίμην· σχολὴν γὰρ ἤδη ἄγεις. Ἔφην δ' ἐγώ· Ἀλλ' εἰ καὶ μὴ ἐσχόλαζον, ἡδέως ἄν σου ἀκούσαιμι· βούλομαι γάρ σοι χαρίζεσθαι. Καὶ ὃς ἀρξάμενος ἔφη·

B 1. Sedebam ad focum post cœnam, idemque pro more faciebat senex, una cum aliis ex nostro comitatu, et cum suis filiis : hi erant duo, ingenio sapientiaque præditi, nec parum aliquando sermonem patris adjuvabant. Tum senex, Nisi molestus esse videar, inquit, te rogabo ut me audias, sermonemque de quibus interrogaro impertiare : nactus enim te sum otiosum. At ego, Etiamsi quam minime otiosus essem, inquam, tamen lubenter te audirem : nec quidquam tantum cupio, quam tibi gratificari. Tunc dicere exorsus est :

β'. Ἔρως ἦν μοι διηνεκὴς, τοῦ τὴν καθ' ὑμᾶς λατρείαν διδάξοντός με τυχεῖν. Καὶ Χριστιανῶν (2) μὲν οὐδέσιν οὐδεπώποτ' ἐνέτυχον, οἳ λόγου τε μετεῖχον, καὶ πεῖραν ταύτης τοσαύτην εἶχον, ὥστε μοί τι σαφὲς, καὶ οἷον ἂν βουλοίμην, δύνασθαι φράζειν. Περσῶν δὲ, καὶ Ἀράβων, καὶ Τούρκων, οἳ παρὰ τῶν ὑμετέρων, ὡς ἔλεγον, ἐδιδάχθησαν ἃ πρεσβεύετε, πολλῶν πολλὰ λεγόντων ἀκήκοα· οἷς οὐ πάνυ τοι πιστεύειν ἠξίουν· τοῦτο μὲν, ὡς ἐναντίας οὔσιν ὑμῖν θρησκείας, τοῦτο δ' ὡς διαφωνοῦσι, καὶ μὴ ταυτὰ λέγουσιν. Ἄλλος γὰρ ἄλλο τι περὶ τοῦ αὐτοῦ πράγματος ἀκηκοέναι διϊσχυρίζετο· πάντες δὲ παντάπασιν ἀλλήλοις ἀσύμβατα ἔλεγον. Ἀλλ' ἤδη τύχῃ ἀγαθῇ τοιούτου ξένου σου τυχὼν, σφόδρα εὐελπίς εἰμι, νῦν γοῦν ἐκείνου τεύξεσθαι, οὗπερ ἄνωθεν ἤρων. Ὅθεν δὴ καὶ δέομαί σου μὴ τῆς ἐφέσεως ἁμαρτεῖν, μηδὲ τῶν ἐλπίδων ψευσθῆναι, ἀλλὰ καθαρῶς ἀκοῦσαι παρὰ σοῦ πάνθ' ἃ φρονεῖτε· κἀγὼ δὲ βουλομένῳ σοι πάντ' ἐρῶ τὰ ἡμέτερα, ἃ δοκῶ μοι καλῶς εἰδέναι. Ἐνδέχεται δέ σοι μισθὸν γενέσθαι τῶν πόνων, οἷον ἂν αὐτὸς εὕροιο. Εἰ γὰρ δὴ τὰ παρὰ σοῦ λεχθησόμενα ἀληθείας ἐχόμενα φανεῖται,

C

D

2. Semper, inquit, ego optavi, ut in unum aliquem inciderem, qui vestram me religionem edoceret. Etenim e Christianis quidem nullos unquam reperi, qui tantum ingenii, tantamque suæ religionis peritiam haberent, ut de illa mihi clarum aliquid, quale vellem, eloqui possent. Plura vero e pluribus Persis, Arabibus, Turcisque audivi, qui a vestris, ut aiebant, religionis vestræ capita placitaque edocti fuerant : quibus tamen non plane credere volebam : tum quia contrariam vestræ religionem colunt, tum quia inter se dissentiunt, nec eadem dicunt. Nam alius aliud eadem de re audisse se affirmabat : omnes autem ea dicebant, quæ inter se invicem omnino cohærere non possent. Sed jam, quod felix faustumque sit, talem te hospitem nactus valde spero fore, ut quod jam pridem desiderabam, nunc certe consequar. Unde obsecro, ut voti compos fiam, neque mea me spes fallat, sed et quæ sentiatis, a te omnino liquido audiam : quin ego tibi, si quidem velis, omnia nostra eloquar, quæ pulchre mihi videor scire. Et potest fieri, ut quam utique optares, eam laboris tui mercedem feras. Si enim

(1) Cod. Coisl. ἐπαχθεὶς.

(2) Cod. Coisl. Χριστιανοῖς.

Digitized by Google

quæ a te dicta fuerint, veritate niti videbuntur, necesse profecto est, ut aliter se habere a me dicta appareant. Jam vero quis ita demens est, ut quod non est verum vero præferat? Hoc autem verum esse quod dixi, illo argumento demonstratur: nobis nefas est cum Christianis disputare, qui secum, ut aiunt, multam persuadendi vim habent. Ac nisi acerrimus essem veritatis amator, non sane legem illam negligerem, quæ id facere prohibet, nec ad tantum certamen temere suscipiendum accingerer.

3. Sed tu quidem, inquam, cum sis vestrorum dogmatum magister, quæ polliceris optime potes implere: mihi vero et mecum militantibus alia quædam genus vitæ præscribit: quapropter, si quidem nostra discere studes, ejusmodique facere quidpiam cogitas, ad eos potius accedere te oportebat, quorum officium est hæc docere: ii magno sunt numero: nostris in urbibus habitant. Tamen ne sic quidem nos disserere pigeat de quibuscumque interrogaveris: quanquam hoc simpliciter apud omnes facere non liceat. Nam hæc data nobis lex est, ut semper quidem ad rationem nostræ spei reddendam parati simus (2): neque enim trepidare, neque invadentes timere debetis, qui Dei miles est, et ipsa veritate armatus: neque hoc solum, sed ubique etiam terrarum et quotidie licet Evangelium prædicare. Sed tamen fidei thesaurum ad omnes promiscue ac temere sic exhaurire, licitum non est. Nos autem ea tu ratione captos habes, qua nobis persuasisti, ut laborum mercedem a Deo nos consecuturos esse speremus. Dic igitur, facto initio, undecumque libuerit.

4 Ego primum quidem, inquit (hoc enim quemdam ordinem habet), quidnam de angelorum natura, et de cœli terræque et universi hujus mundi coagmentatione sentiatis, scire sane aveo: deinde cætera una tecum expendere usque ad ipsam resurrectionem, eamque, quæ tunc erit, conditionem rerum, et faciendam unicuique pro suis facinoribus retributionem, quæ ultimus erit finis eorum quæ moventur. Sin autem de Deo primum et de quibus invicem disseruimus dicere tibi placeat, fiat etiam quod tibi videtur. Imo enim, inquam, ab illo potius oportet incipere, quod prius dixisti: quandoquidem post id facilius quam antea de Deo dicere aliquid poterimus: nam his demum eum cognoscimus. Etenim ipse Abraham (ut a vobis non puto ignorari) creatis ex rebus ad prorsus incogniti incomprehensibilisque Dei verique omnium opificis cognitionem pervenit. Optime vero, inquit: nam nos quoque illius historiam scimus, eaque tuo sermoni luculente adstipulatur: quare unde tu dixisti nobis est auspicandum. Et hæc quidem ambo præstituimus.

5. Deinde ipsum interrogavi, an Moysis librum amplecterentur: ille vero, Omnium veterum maxime, inquit. Igitur etiam prophetarum libros admittitis? inquam. Sane quidem, inquit: apud nos etiam scripti

A ἀνάγκη δήπου τἀμὰ ἄλλως ἔχοντα δόξαι. Καὶ τίς οὕτως ἀνόητος, ὡς προτιμῆσαι τἀληθοῦς τὸ μὴ τοιοῦτον; Τουτὶ δὲ δῆλον, ἀποδειχθὲν ἐκεῖθεν· οὐδὲ γὰρ ἡμῖν θεμιτὸν Χριστιανοῖς διαλέγεσθαι, πολὺ τὸ πείθειν ἔχουσι μεθ' ἑαυτῶν, ὥς φασι. Καὶ εἰ μὴ σφόδρα ἦν αὐτὸς τῆς ἀληθείας ἐραστής, οὐκ ἂν ἠμέλουν, οὐδ' ὠλιγώρουν τοῦ τοῦτο πράττειν εἴργοντος νόμου, οὐδὲ πρὸς τὸν (1) τοσοῦτον ἀγῶνα τηνάλλως ἂν ποτ' ἀπεδυόμην.

B γ'. Ἀλλὰ σὺ μὲν, ἔφην, διδάσκαλος τῶν καθ' ὑμᾶς δογμάτων τυγχάνεις ὤν, καὶ δύναιο ἂν καλῶς ἅπερ ἐπαγγέλλῃ τελέσαι· ἔμοιγε δὲ καὶ τοῖς ἅρτι μετ' ἐμοῦ στρατευομένοις ἄλλ' ἄττα ἡ τάξις ἐπαγγέλλεται· ἀνθ' ὧν σπουδαῖόν τε ὄντα καὶ τηλίκον δέ τι πρᾶξαι διανοούμενον, ἔδει σε δήπου φοιτᾷν πρὸς ἐκείνους, οἷς ἔργον ταῦτα διδάσκειν· πολλοὶ δὲ ἄρα εἰσὶν· ἔχουσι δὲ τούτους αἱ ἡμέτεραι πόλεις. Πλήν γε καὶ ἡμῖν οὐκ ἀποκνητέον, περὶ ὧν ἂν ἐροιο λέγειν· καίτοι περ οὐ θέμις ἁπλῶς πρὸς πάντας τοῦτο ποιεῖν. Ἑτοίμους μὲν γὰρ ἀεὶ παρασκευάζειν ἡμᾶς αὐτοὺς πρὸς ἀπολογίαν περὶ τῆς ἐν ἡμῖν ἐλπίδος, νόμος ἡμῖν· οὐδὲ γὰρ φοβεῖσθαι δεῖ, οὐδ' ὀρρωδεῖν ἐπιόντας, στρατιώτην ὄντα Θεοῦ, καὶ τῇ ἀληθείᾳ καθωπλισμένον· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ πανταχοῦ τῆς γῆς, καὶ καθημέραν κηρύττειν τὸ Εὐαγγέλιον ἔξεστι. Τὸν μέντοι γε τῆς πίστεως θησαυρὸν οὑτωσὶ πρὸς ἅπαντας ἀφειδῶς καὶ ὡς ἂν πως τύχοι κενοῦν, οὐ μόνον ἐφεῖται ποιεῖν. Σὺ δ' οἷς μισθὸν ἐλπίζειν ἔπεισας τῶν πόνων παρὰ Θεοῦ, λαβὼν C ἡμᾶς ἔχεις. Καὶ δῆτα λέγε λοιπὸν, ἐξ οὗπερ ἂν ἐθέλοις πρῶτον ἐνάρξασθαι.

δ'. Ἔφη τοίνυν· Ἐγὼ βουλοίμην ἂν πρῶτον μαθεῖν, εἴπερ οὐκ ἐπαχθές σοι (τάξιν γὰρ ἔχον τοῦτό μοι φαίνεται), τίνα δὴ ἄττα φρονεῖτε περὶ τῆς τῶν ἀγγέλων φύσεως, καὶ τῆς οὐρανοῦ καὶ γῆς, καὶ παντὸς τοῦ κόσμου τοῦδε συστάσεως· εἶτα πάντα συνεξετάσαι μέχρι δὴ τῆς ἀναστάσεως αὐτῆς, καὶ τῆς τότε καταστάσεως, καὶ ἀμοιβῆς ἑκάστῳ τῶν πεπραγμένων, ὅπερ ἔσχατόν ἐστι τέλος τῶν κινουμένων. Εἰ δέ σοι φίλον πρώτως λέγειν περὶ Θεοῦ, καὶ ὧν ἀλλήλοις διαφερόμεθα, γενέσθω δὴ τὸ δοκοῦν. Κἀγὼ πρὸς ταῦτα ἔφην· Ἀρκτέον, ὅθεν ἔφησθα πρῶτον· ῥᾷον γὰρ ἂν μετὰ ταῦτα ἔχοιμέν τι λέγειν D περὶ Θεοῦ, ἢ πρὸ τούτων· τούτοις γὰρ ἐκεῖνον πάντως γνωρίζομεν. Καὶ γὰρ καὶ Ἀβραὰμ (οὐδὲ γὰρ ἀγνοεῖν ὑμᾶς οἶμαι τοῦτο) ἀπὸ τῶν κτισμάτων ἦλθεν εἰς γνῶσιν τοῦ παντάπασιν ἀγνώστου καὶ ἀκαταλήπτου Θεοῦ, καὶ πάντων ὄντως δημιουργοῦ. Ναὶ, καλῶς, ἔφη, λέγεις· καὶ γὰρ καὶ τὴν ἱστορίαν ἴσμεν, καὶ λαμπρῶς αὕτη σοι τῷ λόγῳ συνηγορεῖ· ὅθεν τοίνυν ἔφης αὐτὸς, ἀρκτέον ἡμῖν ἂν εἴη. Καὶ ταῦτα μὲν ἀμφότεροι προὐπεθέμεθα.

ε'. Ἔπειτα ἠρόμην ἐγὼ, εἰ τὴν τοῦ Μωσέως βίβλον ἀσπάζοιντο· ὁ δὲ, Μάλιστά γε, φησὶ, πασῶν τῶν παλαιῶν. Εἶπον δέ· Οὐκοῦν καὶ τὰς τῶν προφητῶν ἀποδέχεσθε; Πάνυ γε, ἔφη· καὶ γὰρ καὶ

(1) Τὸν deest in Regio.

(2) Alludit ad I Epist. S. Petri, cap. III, vers. 15.

Digitized by Google

γεγραμμέναι παρ' ἡμῖν οὖσαι τυγχάνουσιν, ἡμετέροις ἑρμηνεῦσιν ἀντιγραφεῖσαι. Βούλει οὖν, ἔφην, ἅπερ λέγουσι, στέργειν; Ναί, φησί· πῶς γὰρ οὔ; ὅτε καὶ τὸ Εὐαγγέλιον παρ' ἡμῖν ἐστι, καὶ ὑπερφυῶς τι θεῖον χρῆμα νομίζομεν τοῦτο, καὶ δῶρον οὐράνιον. Ἐκεῖθεν γὰρ καὶ τοῦτο κάτεισι, νόμους τοῖς ἀνθρώποις κομίζον. Πλήν τις λόγος λέγεται καὶ πιστεύεται παρ' ἡμῖν, ὡς καὶ αὐτὸ δὴ τοῦτο, καὶ πᾶσαν τὴν Παλαιὰν, ἅμα καὶ τῇ βίβλῳ Δαβὶδ, οἱ ὑμέτεροι πάλαι διερμηνεῖς, οἳ τὴν πρώτην ταῦτ' ἐξελλήνισαν, ἀφειδῶς πρὸς τὰ δοκοῦντα συνιστᾷν τὸ ὑμέτερον σέβας ταῦτα διηρμηνεύκασι, τῶν πρωτοτύπων ὀλιγωρήσαντες. A

ς'. Ἀλλὰ τοῦτο μὲν, ὦ τᾶν, ἔφην, πρῶτον μὲν οὐκ εὐπρεπὲς ἂν εἴη λέγειν, οὐδ' ἄξιον, οἶμαι, πιστεύεσθαι· ἀνθ' ὧν ὑμεῖς, οἱ πρὸς κρίσιν ἡμῖν ἀντικαθιστάμενοι, μάρτυρες. Ἐκεῖθεν δ' ἂν σοι γένοιτο μαθεῖν ἀκριβέστερον τἀληθές. Εἰ γὰρ δὴ καιροῦ ποτε καὶ διερμηνέων ἀγαθῶν εὐπορήσαις, καὶ βιβλίων Ἑβραϊκῶν, γνοίης ἂν καλῶς τὸν ταῖς Γραφαῖς λυμηνάμενον. Σκόπει δέ μοι καὶ τὴν πάντα καλῶς οἰκονομοῦσαν πρόνοιαν, ὅπως τοῖς ἀναίδην ἐπιπηδῶσι τοῖς πράγμασι, καὶ εὐχερῶς διαβάλλουσιν, ἐμφράττει τελέως τὰ στόματα. Ὅτε γὰρ τὴν θείαν ἔδει πᾶσαν Γραφὴν Ἑλληνίδι μεταδοθῆναι φωνῇ, οὐχ ὡς ἔτυχέ πως, εὖ ἴσθι, οὐδ' οἱ τυχόντες, ἀλλ' ὅς γε τῆς Ἑῴας μικροῦ δεῖν πάσης ἐκράτει (ἦν δ' εἰδώλοις λατρεύων, καὶ οὐκ εὐαρίθμητον χρόνον ἄρξας πρὸ τοῦ Χριστοῦ, Πτολεμαῖος ὄνομα τάνδρὶ) τοῦτο (1) τηνικαῦτα εἰργάσατο. Σοφοὺς γὰρ ἄνδρας διερμηνέας τὸν ἀριθμὸν δύο πρὸς τοῖς ἑβδομήκοντα ἐκ τῶν Ἰουδαίων μεταπεμψάμενος, τούτοις τοῦτ' ἐπίστευσε τοὔργον· οὓς ὁ τῆς ἐκείνων τότε μητροπόλεως ἐξηγούμενος, θεόθεν πάντως κινούμενος, Ἐλεάζαρος δ' οὗτος προσηγορεύετο, ἐξ ἀφ' ἑκάστης φυλῆς ἐκλεξάμενος, ἔπεμψε. Διὰ δὴ τοῦτο οὐδ' αὐτὸ τὸ τῶν Ἰουδαίων ἀναιδέστατον γένος τολμῶσί τι προφέρειν αὐτοῖς, οὐδ' ὀντινοῦν προστρίψαι μῶμον τῷ πράγματι· λέξεις δέ τινάς που τῶν γεγραμμένων ὑπαλλάττειν ἐπιχειροῦσιν, αἳ καὶ ὥσπερ οὗτοι λέγουσι λαμβανόμεναι, τῆς ἀληθοῦς ἐννοίας οὐδὲν ὅμως ἀπάδουσιν (2). B C

ζ'. Σὺ δέ μοι λέγε, τίνος κελεύσαντος ἄρχοντος, καὶ ὅθεν τούτοις γέγονε τὰ πρωτότυπα κτήσασθαι, οἳ τῇ τῶν Ἀράβων εἰσὶν ἐκδεδωκότες διαλέκτῳ τὰ τῆς Γραφῆς; καὶ πότε; καὶ τίνες δὴ οὗτοι, καὶ ὁποῖοί τινες ἦσαν, καὶ πόσοι τὸν ἀριθμόν; Ἀλλ' οὐκ ἂν ἔχοις· πάντων γὰρ ἐξῆς ἀμοιρεῖς, οἷς τὰ καθ' ἡμᾶς τὸ βέβαιον ἔχει· τὸ δ' ὑποψίαν παρέχειν καὶ μόνον ἅπασιν ἱκανόν. Μετὰ γὰρ τὴν τῆς θρησκείας τοῦ Μωάμεθ φανέρωσιν ὑμεῖς αὐτοὶ πάντως μόνοι εἰς τὴν ὑμετέραν φωνὴν ἡμείψατε τὴν Γραφὴν, ὅπερ ἐναντίως ἔχον τοῖς παρ' ἡμῖν ἀποδέδεικται. Ὅθεν τίς ἂν νοῦ μετέχων τοῖς ἡμετέροις ἀπιστῶν τοῖς ὑμετέροις πιστεύσειεν; Εἰ μὲν οὖν ἦσθα πιστεύων τοῖς γεγραμμένοις, οὐκ ἂν ἡμῖν ἦσαν D

habentur, a nostris interpretibus translati. Vis igitur, inquam, in iis acquiescere, quæ dicunt? Libenter, inquit: cur non faciam? quandoquidem Evangelium quoque apud nos est, et in primis divinum aliquid esse existimamus ac cœleste donum. De cœlo enim lapsum est, ad leges humano generi ferendas. Aliquis tamen rumor serpit fidemque obtinet apud nos, hoc ipsum Evangelium, et omne vetus Testamentum, una cum Davidis libro, a vestris interpretibus, cum hosce libros Græce primum verterunt, sic fuisse translata, ut neglecta prioris textus auctoritate ad ea nimis attenderent, quæ vestram religionem confirmare viderentur.

6. Sed, inquam, optime vir, primum quidem hæc oratio neque honesta est, neque, ut opinor, fide digna: nam qua de re contra nos in judicio decertatis, ejusdem rei vultis esse testes. Sed accuratius possis inde veritatem discere. Nam si temporis unquam, bonorumque interpretum, Hebraicorumque librorum copia tibi fieret, pulchre tum cognosceres, sacras quis corruperit Scripturas. Considera etiam, quæso, divini Numinis omnia præclare dispensantem providentiam, quomodo illorum ora obstruat, qui hunc rerum ordinem oppugnant et libenter reprehendunt. Cum enim divinas omnes Scripturas in linguam Græcam verti oporteret, non temere utique nec vulgaris notæ homines hoc fecerunt, sed qui totius fere Orientis imperium tenebat Ptolemæus rex, antiquis diis tamen serviens, et multo ante Christum regnans. Nam postquam doctos ex Judæis viros numero duos et septuaginta interpretes accersivisset, iis hoc opus faciendum credidit: quos illorum tunc metropoleos moderator ac rector Eleazarus, instinctu divino motus, senos ex unaquaque tribu electos miserat. Quamobrem ne ipsa quidem Judæorum impudentissima natio quidquam ipsis objicere audet, neque ullam unquam reprehensionis labem illi facto aspergere: sed Scripturarum quasdam forte dictiones leviter immutare conantur, quæ etiamsi accipiantur prout hi dicunt, nihil tamen discrepant a vero sensu.

7. Tu vero dic mihi, obsecro, cujusnam principis jussu et quo ex loco Scripturæ textum arripuerunt ii, qui divinos libros ediderunt Arabica lingua? quando fecerunt? quinam, quales, quot erant? At enim hæc expedire non potes: omnibus omnino destitueris subsidiis, quibus nostra versio firmatur; solam vero suspicionem movere, vel omnibus licet. Siquidem post Maomethicæ religionis ortum ipsi certe soli sacræ Scripturæ libros vestram in linguam transtulistis, quod contra versioni nostræ accidisse demonstravimus. Quæ cum ita sint, quis, quæso, mentis compos nostris libris diffidat, vestris fidem habeat? Quamobrem, si Scripturis crederes, non multum hercle nobis negotii facesseretur: Scriptura enim omnis

(1) Cod. Coislin. οὗτος.

(2) Septuaginta versionem, ubi ab Hebraico textu dissidet, a dolo semper, ab errore plerumque vindicari posse, innumeri demonstraverunt: inter alios Ludovicus Cappellus in *Critica sacra*, Parisiis, *Seb. Cramoisy*, 1650, in fol.

Digitized by Google

(mihi crede) vestram apertissime oppugnat religionem. Quam quomodo admirati et amplexi ab initio fueritis, etsi multi multum mirentur, mihi tamen non idem usu venit. Eam enim cum plurium deorum signorumque adoratione commutastis : unde non ideo præcise vituperandi estis, sed quia postea non eamdem servastis legem, nempe ut iterum ab isthac vestra religione ad præstantiorem aliam transiliretis. Sed quoniam Scripturis fidem interim derogas, hac lege utamur, ut si quem Scripturæ locum ab altero allatum alter admittet, recte in disputatione nostra e sacris oraculis petitum auxilium, quoad fieri possit, adhibeatur. Ubi aliter accidet, quod reliquum est, ratiocinatione utendum erit, proque facultate probabilibus enitendum argumentis, ut qua parte stet veritas reperiamus : si tamen, hospes, hoc tibi quoque ita videatur. Quæ cum ego dixissem, annuit ille, et brunchin modum disserere inter nos convenit.

8. Tum is, Tibi etiam, inquit, nostro de sermone considerandum est, quomodo eum integrum ab angelis incipiens contexas. Ego vero, si quid eorum, quæ dicuntur, non probavero, statim exponam, et de illo, quod nostris placitis dissonum cognovero, quid ipsi sentiamus insuper enarrabo. Esto, inquam, vir optime : utcunque vobis libuerit, facere conabor. Et primum quidem angelos aliquid creatum esse dicimus, et, ut cætera omnia, ob Creatoris bonitatem creatos (nam quibus ad subsistendum non indigebat, eos, nisi fuisset summe bonus, nunquam creasset), simplici eademque natura præditos omnes, etiamsi ordine, et ministerii gradu, et ad Deum appropinquatione alius alium antecedat, luminosos et lumen, et sive difficulter mobiles ad malum, sive etiam post dæmonis defectionem lapsumque omnino non mobiles. Etenim moto illo (scitis jam istud, opinor), hi plane immoti permanserunt : meritoque sane conjiciat quis, quemadmodum juste derelicti sint et ad pejora perpetuo ferantur, qui semel male moti fuerint; ita hos, quod firmi manserint, hoc majoris progressus donum a Deo accepisse, ut quanquam eorum natura suo loco maneret, ipsi tamen idem quod lapsi nunquam pati possent. Neque id tantum, sed et bonos esse hoc existimamus. Nam suam naturam naturæ opificis omnium Dei magis cognatam esse intelligimus quam cæteras res ab eadem creatas. Quare immortales etiam esse credimus, ut illorum, quibus ad vitam indigemus, minime indigos.

9. Ilic senex, Est istud quidem verum, inquit,

A πολλὰ πράγματα· διαῤῥήδην γὰρ (εὖ ἴσθι) μάχεται τὰ τῆς Γραφῆς πάντα τῇ καθ' ὑμᾶς θρησκείᾳ. Ἣν ὅπως τε ἠγάσθητε καὶ παρειλήφατε τὴν ἀρχὴν, πολλῶν πολὺ θαυμαζόντων, αὐτὸς οὐ τοῦτο πάσχω. Πολυθεΐας γάρ τοι καὶ εἰδώλων ἀντηλλάξασθε ταύτην· ἀνθ' ὧν οὐ παρὰ τοῦτο δίκαιοι διαβάλλεσθαι, ἀλλ' ὅτι μὴ τὸν αὐτὸν ἐτηρήσατε νόμον, ὡς ἀπὸ ταύτης μεταπηδῆσαι πάλιν ἐπὶ τὴν κρείττω. Ἐπειδὴ δὲ ταῖς Γραφαῖς οὐ βούλει πείθεσθαι τέως, ἔνθα μέν τι λέγοντος θατέρου τῆς Γραφῆς, ὁ ἕτερος ἡμῶν ἀποδέχοιτο, καλὸν τῆς τῶν λογίων βοηθείας μετασχεῖν ἡμῖν, ὡς οἷόν τε, τὴν διάλεξιν. Ἔνθα δ ἂν ἄλλως τοῦτο συμβαίη, ὃ λοιπὸν, τοῖς λογισμοῖς (1) χρηστέον, καὶ τῷ εἰκότι πειρατέον εἰς B δύναμιν, ὅπη ἂν ἔχῃ τάληθὲς εὑρεῖν· ἐὰν ᾖ, φημὶ, καὶ σοὶ τουτὶ ἡδομένῳ. Καὶ ὃς ἐπῆνεσε τὸ ῥηθὲν, καὶ συνέδημεν τὸν τρόπον τοῦτον διαλεχθῆναι.

η'. Καί σοι σκεπτέον, ἔφη, περὶ τοῦ λόγου, ὅπως τοῦτο ὑφανεῖς ἄρτιον, ἀπὸ τῶν ἀγγέλων ἀρξάμενος. Ἐγὼ δὲ ὅ τι τῶν λεγομένων οὐκ ἀποδέξομαι, λέξω, καὶ προσθήσω τὴν ἡμετέραν δόξαν εἰπεῖν περὶ ἐκείνου γε, ὅπερ ἂν ἀπᾷδον γνοίην τῶν ἡμετέρων δογμάτων. Εἶεν, ἔφην, ὦ βέλτιστε· ὡς ἂν ᾖ βουλομένοις ὑμῖν πρᾶξαι πειράσομαι. Καὶ δῆτα τοὺς ἀγγέλους ἡμεῖς τὸ πρῶτον εἶναι λέγομεν δημιούργημα, καὶ τούτους δὲ καὶ πάντα δεδημιουργῆσθαι δι' ἀγαθότητα τοῦ Δημιουργοῦ (ὧν γὰρ οὐκ ἐδεῖτο πρὸς τὸ συνίστασθαι, οὐκ ἂν ποτ' ἐγένετο τούτων δημιουρC γὸς, μὴ ὑπεράγαθος ὤν) ἁπλοῦς τὴν φύσιν πάντας, καὶ τὴν αὐτὴν ἔχοντας, κἂν ἄλλος ἄλλου τάξει προέχῃ, καὶ βαθμῷ διακονίας, καὶ τῇ πρὸς τὸ Θεῖον ἐγγύτητι, φωτοειδεῖς, καὶ φῶτα, καὶ ἤτοι δυσκινήτους πρὸς τὸ κακὸν, ἢ ἀκινήτους μετὰ τὴν τοῦ Σατὰν ἀποστασίαν καὶ ἔκπτωσιν. Ἀνθ' ὧν ἐκείνου κινηθέντος (ἴστε γὰρ, ὡς ἐγῷμαι) ἀκίνητοι τελέως οὗτοι διέμειναν· εἰκάσειε γὰρ ἄν τις δικαίως, ὡς καθάπερ οἱ κακῶς κινηθέντες δικαίως ἐγκατελείφθησαν, καὶ πρὸς τὰ χείρω κινοῦνται διηνεκῶς, οὕτως οὗτοι πάγιοι μείναντες δῶρον θεόθεν ἔλαβον ἐπιδόσεως, τῆς φύσεως αὐτῶν κατὰ χώραν μενούσης, μὴ ταυτὸ τοῖς ἑπταικόσι ποτὲ παθεῖν. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἀγαθοὺς τούτους δοξάζομεν. Συγγενεστέραν γὰρ φύσιν τῇ πάντων δημιουργῷ τῶν D ἄλλων τῶν ὑπὸ ταύτης κτισθέντων νοοῦμεν. Διὸ καὶ ἀθανάτους εἶναι πιστεύομεν, ἀνενδεεῖς τελέως ὑπάρχοντας ὧν ἡμεῖς δεόμεθα πρὸς τὸ ζῆν.

θ'. Πάντα μὲν, ὁ γέρων ἔφη, τὰ εἰρημένα καλά·

(1) In hunc fere modum de non credentium persuasione Photius Amphiloch. quæst. xciv, Cod. Coislin. 270, fol. 104 *recto* : Τοῖς τε γὰρ ἤδη χρόνῳ πεπιστευκόσι, καὶ μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ καθ' ἡμᾶς μυστηρίου παραδεχομένοις, ὡσαύτως δὲ καὶ τοῖς τελείως τῇ ἀπιστίᾳ κεκρατημένοις, καὶ μὴ θέλουσι διὰ τῶν σημείων πρὸς τὴν εὐσέβειαν χειραγωγηθῆναι, κενὸν καὶ μάταιον ἡ τῶν σημείων ἐπίδειξις. Τοῖς δέ γε ἐν τῇ ἀπιστίᾳ τεθραμμένοις, εἶτα ἠρέμα πως τοὺς λογισμοὺς πρὸς τὴν εὐσέβειαν ἐνδιδόναι διανισταμένοις, τούτοις οἰκεία καὶ πρόσφορος τῶν παραδόξων ἔργων ἡ φανέρωσις. Amphilochia Photii, a multis laudata et tentata, sed ad hoc tempus nunquam edita, exstant in quatuor bonis codicibus Bibliothecæ Cæsar. Parisiensis : Coisliniano *n.* 270, optimæ notæ, Photio fere coævo, de quo Montefalcon. Biblioth. Coisl. *Paris.* 1715, fol. *pag.* 325 ; altero Regio *n.* 1228, sæc. XI : tertio item Regio 1229, descripto ex cod. montis Atho jussu Chrysanthi Notaræ, qui erat Hierosolymis patriarcha a. 1707 : vid. Le Quien *Orient. Christ. t. III*, col. 526 : quarto *n.* 60 supplementi, duobus tomis, descripto avorum nostrorum ætate ex Regio 1228, quem supra dixi.

Digitized by Google

πλὴν ἔτι βουλοίμην τι τούτων ἀκοῦσαι σαφέστερον· ἀλλὰ τοῦτο μὲν ὁδῷ βαδίζων ὁ λόγος τυχὸν ἡμῖν ἀποδώσει. Ἀθανάτους μέντοι τούτους πῶς ἄρ' ἐνδέχεται εἶναι; Δεῖ γὰρ φύσιν ἅπασαν, ἥτις οὐ μέλλει πάντη διαφθαρήσεσθαι, ἀρχὴν λαβοῦσάν ποτε, καὶ τέλος ταύτην λαβεῖν· ἵν' ὥσπερ ἐν κύκλῳ τῇ γενέσει, καὶ φθίσει, καὶ ἀναβιώσει εἰς ταυτόν ποτ' ἐλθοῦσα, ἀλλοιωθεῖσά τε καὶ ἀναστάσεως κρείττονος ἀπολαύσασα, φθορᾶς ἁπάσης ἀνωτέρα γένηται τοῦ λοιποῦ. Οὐκοῦν, ἔφην, ὦ 'γαθέ, καὶ τοὺς ἀγγέλους αὐτοὺς θνητοὺς εἶναι δοξάζετε; Καὶ ὃς ἔφη, Ναί. Ἦ πολύ τοι, ἔφην ἐγὼ, ἐναντίως ἔχουσί γε ἡμῖν αἱ περὶ τῶν ἀγγέλων δόξαι· ζωῆς γὰρ καὶ θανάτου τίς ἂν γένοιτο μείζων διαφορά; Τίς οὖν σε πεῖσαι δυνήσεται, ὡς ἄλλως ἔχει, ἃ λέγεις, πιθανόν τε λέγειν δοκοῦντα, καὶ τὴν ἀπὸ τῶν Γραφῶν οὐκ ἐθέλοντα δέξασθαι μαρτυρίαν, καὶ προσέτι φωνῇ διαλεγόμενον, ἥτις ἀλλοτρία οὖσα τῷ προσδιαλεγομένῳ σοι, τὰ λεχθησόμενα παραινεῖ ἐπιτηδες ταπεινότερα, ἢπερ ἐστὶ, ποιεῖν φαίνεσθαι.

ι'. Πειρατέον καὶ οὕτως, ἔφη, τάληθὲς εὑρεῖν. Πολλοῦ μὲν γὰρ, εὖ ἴσθι, πριαίμην ἄν, εἴ τίς μοι παρεῖχεν ἀμέσως σοι δύνασθαι διαλέγεσθαι. Πλὴν ἐγχωρητέον, ὡς ἐγχωρεῖ, καὶ οὕτως, ὅπη ἂν ἔχοι, τάληθὲς εὑρεθήσεται. Ἀπόκριναι δή μοι, ἔφην. Ἄναρχον εἶναι λέγεις πᾶσαν ψυχὴν, καὶ μηδὲ ἐκτίσθαι ποτὲ, μηδ' εἶναι, ὅτε οὐκ ἦν; ἢ γεγονέναι ταύτην ποτὲ, καὶ κτίσμα εἶναι, καὶ ἀρχὴν εἰληφέναι; Τίς δ' ἂν τὸ πρῶτον εἴποι; φησίν. Καλῶς λέγεις, ἔφην· δοκῶ δέ μοι, ὡς καὶ πρώτους τῶν ἄλλων πάντων κτισμάτων δοξάζεις τοὺς ἀγγέλους ἐκτίσθαι, καὶ κρεῖττω φύσιν εἶναι πασῶν τῶν μετ' αὐτοὺς γεγεννημένων, καὶ συγγενεστέραν τῇ πρώτῃ (1). Ἄρτι γὰρ ἐμοὶ τοῦτ' εἰπόντι, οἷς οὐκ ἀντέφης, οἶμαι, συνέθου. Ναὶ οὕτως, ἔφη ὁ γέρων, ἔχει. Οὐκοῦν, ὦ βέλτιστε, ἔφην, καὶ τὴν ψυχήν σου θανεῖν δεῖ, καὶ πᾶσαν ἄλλην, καὶ πολλῷ γε μᾶλλον ταύτας ἢ τοὺς ἀγγέλους, ἐπεὶ πολλοῦ γε καὶ δεῖ ψυχὰς ἀγγέλοις παρισωθῆναι· πολὺ γὰρ δήπου ταύτας ἐκείνων ἥττους γνωρίζομεν. Καὶ ὁ Πέρσης· Ἀλλ' οὐ δοξάζειν παρειλήφαμεν οὕτω· καὶ γάρ τοι αἱ ψυχαὶ διαμένουσιν ἀθάνατοι, μετὰ τὸ ταύτας τῶν σωμάτων ἀπαλλαγῆναι. Εὖ ποιῶν ταῦτα λέγεις, εἶπον ἐγώ. Πλὴν, πῶς αὗται μὲν, καίπερ ἐνδεῶς πρὸς τὴν τῶν ἀγγέλων ἔχουσαι τελειότητα, φθορᾶς εἰσιν ὑψηλότεραι; ἡ δὲ τούτων ὑπέρκειται φύσις, φθορὰν καὶ θάνατον ὑποστήσεται; Τὸ γὰρ τὸ δεύτερόν τε καὶ ἧττόν τι πάσχειν, ὅπερ οὐ τὸ πρῶτον καὶ κρεῖττον φαίνεται πάσχον, οὐδὲν θαυμαστόν· οὗ δ' ἂν εἴη τὸ δεύτερόν τε καὶ ἧττον ὅλως ἐλεύθερον, σχολῇ γ' ἂν τούτῳ δουλεύσειεν ὃ πολύ τοι ἐκείνου εὐγενέστερον ὁμολόγηται. Ἢ οὐ δοκεῖ σοι;

A quodcunque dicis : nisi quod unam rem aliquanto clarius velim intelligere : sed illud in sermonis progressu fortasse nobis continget. Attamen, quomodo fieri potest, ut angeli sint immortales? Oportet enim hercle omnem naturam, quæ non omnino interitura sit, quemadmodum aliquando initium accepit, ita finem etiam aliquem habere : ut quasi in circulo per generationem, interitum et resurrectionem ad idem tandem aliquando perveniat, et immutata, præstantiorique resurrectione fruens, interitu omni superior in posterum evadat. Tum ego, Igitur, o bone, angelos ipsos etiam mortales esse opinamini? Nos vero maxime, inquit. Næ multum differt, inquam, nostra de angelis opinio : quidnam enim discrimen esse possit majus illo, quod inter vitam et B mortem intercedit? Et quis, quæso, persuadere tibi poterit, aliter se habere ea quæ dicis, præsertim cum tu tibi probabile aliquid dicere videaris, sacræque Scripturæ testimonium nolis admittere? præterquam quod lingua uteris mihi tecum colloquenti aliena, quæ nativa vi sua efficit, ut res dicendæ humiliores, quam revera sunt, esse videantur.

10. Sic etiam, inquit, veritatem conemur invenire. Nam magno quidem, mihi crede, emerem, si quis hoc mihi tribueret, ut absque ullius interventu colloqui tecum possem. Sed tamen, quoad ejus facere poterimus, rem aggredi par est, et sic veritas, quomodocunque se habeat, reperietur. Age vero, inquam : responde, si tibi videtur. Omnem animam C utrum initii expertem esse dicis, neque unquam creatam, nec ullum omnino assignari ei posse tempus, quo non esset? an contra olim factam creatamque esse, et exsistendi sumpsisse initium? Quis, inquit, prius illud dixerit? Opinor, inquam : sed, ut mihi videtur, cæterarum etiam omnium creaturarum primos angelos creatos fuisse opinare, eorumque naturam omnibus quæ post ipsos factæ sunt præstantiorem esse, primæque illi magis cognatam. Modo enim hoc mihi dicenti cum non contradixeris, assensus es, arbitror. Recte tu quidem arbitrare, inquit. Vide, inquam, optime vir, quantum fallare : an non tuam etiam animam, onmemque aliam interire oportet? multoque magis has D quam angelos, quoniam multo hercle abest, ut animæ angelis exæquentur : has enim illis longe inferiores esse constat. Non tamen ita est, inquit : non illam nos disciplinam a majoribus accepimus : animæ, postquam corporibus liberatæ sunt, permanent immortales. Bene facis, inquam, quod hoc dicis. Sed, quo tandem modo animæ quidem, etsi angelorum perfectione inferiores, supra omnem interitus aleam positæ sunt, animis autem superior natura corruptionem mortemque patietur? Mirum quippe non est, secundam inferioremque substantiam pati

aliquid, quod prima et superior non patiatur : sed qua ab re secunda inferiorque natura soluta sit et libera, ei ipsi rei ægre obnoxia esse possit natura, quam longe secunda nobiliorem esse confitemur. Annon tibi ita videtur?

(1) Nempe divinæ.

Digitized by Google

11. Mihi quidem, inquit, summa ratione dicta videntur, quæ dixisti. Animam post separationem a corpore non amplius morituram esse dicimus, hoc potissimum argumento adducti, quod utrumque simul, anima videlicet et corpus, non horum alterum, est homo : qui dum mortuus est, mortis quodammodo particeps fit anima. Si enim hoc aliter fieret, hominem mortuum esse nequaquam recte diceretur, sed hujus aut illius hominis corpus. Nunc autem non hoc omnino, sed hominem mortuum esse dicimus, quod utrumque simul significat : itaque, ut jam supra dixi, omnium quæ corpori accidunt facta particeps anima, mortem quoque illa qua demonstratum est ratione cum eo communem habet. Sed inde usque anima immortalis permanet, quoniam in corporis morte fuit immutata. Versuta illa quidem, inquam, sed fallax tamen, opinor, conclusiuncula. Nam quid demum dicemus esse mortem? quid vitam? Nonne hoc quidem vitam, corpori animam inesse, illud mortem, ambo hæc a se invicem esse disjuncta? Id ipsum, inquit, si proprie loquamur ; sed multa etiam alia multis aliis modis mori dicimus, quæ nimirum sive tempore veterascunt sensimque et latenter consumuntur, sive casibus quibusdam marcescunt, ideoque, quod accedenti corruptioni in perpetuum resistere non possunt, penitus evanescunt.

ια'. Σφόδρα μοι δοκεῖ εὔλογον εἶναι, ἔφη, ὃ λέγεις. Τὴν δὲ ψυχὴν μετὰ τὸν τοῦ σώματος χωρισμόν φαμεν μηκέτι τεθνήξεσθαι, διὰ τόνδε τὸν λόγον, ὅτι τὸ συναμφότερόν ἐστιν ἄνθρωπος, ψυχὴ δηλονότι καὶ σῶμα, οὐχὶ τὸ ἕτερον τούτοιν· ὃς ἐπειδὰν ἀποθάνῃ, κοινωνεῖ πως τοῦ θανάτου καὶ ἡ ψυχή. Εἰ γὰρ ἄλλως ἦν τοῦτο, οὐδαμῶς ἦν εὔλογον λέγειν τὸν ἄνθρωπον τεθνηκέναι, ἀλλὰ, τὸ σῶμα τοῦ δεῖνος. Νῦν δὲ πάντως οὐ τοῦτο, ἀλλὰ τὸν ἄνθρωπον λέγομεν τεθνηκέναι, ὃ δὴ σημαίνει τὸ συναμφότερον· ὥσθ' ὅπερ ἔφθην εἰπών, πάντων ἡ ψυχὴ τῷ σώματι κοινωνοῦσα κοινωνεῖ πως τούτῳ καὶ τοῦ θανάτου τὸν εἰρημένον τρόπον. Καὶ λοιπὸν ἀθάνατος καὶ αὕτη διαμένει, ἀνθ' ὧν ἐν τῷ τοῦ σώματος ἠλλοίωται θανάτῳ. Ποικίλον, ἔφην, λέγεις· πλὴν οἶμαι τοῦτο σόφισμα εἶναι. Τί ποτε γὰρ τὸν θάνατον εἶναι φῶμεν (1); καὶ τί δὴ τὴν ζωήν; οὐ τοῦτο μὲν ζωὴν εἶναι φήσομεν, τὸ ψυχὴν ἐνεῖναι τῷ σώματι, ἐκεῖνο δὲ θάνατον, τὸ ταῦτα ἀμφότερα ἀλλήλων διακεκρίσθαι; Ναί, κυρίως, ἔφη· λέγεται δὲ καὶ ἄλλα θνήσκειν πολλὰ πολλοῖς τισιν ἄλλοις τρόποις, ἢ χρόνῳ δηλονότι παλαιούμενά τε καὶ λεληθότως ἀναλισκόμενα, ἢ συμπτώμασί τισι μαραινόμενα, καὶ τῷ πρὸς τὴν ἐναντίαν φθορὰν ἀντέχειν ἀεὶ μὴ δύνασθαι, τελείως ἀφανιζόμενα.

12. Intelligere mihi videor, inquam, quæ dicis. Namque omne animatum, et contra, quocunque tandem modo corruptum fuerit, hoc tu mori dicis, remque ipsam mortis nomine appellas. Non prorsus, inquit, in hac sum sententia, quam dicis : illa enim, ubi semel corrupta fuerint, nunquam reviviscent. Igitur, inquam, neque nostra corpora resurgent? Atqui scias velim, inquit Persa, eorum qui apud nos eruditi habentur, quosdam ita opinari : oportet enim vera fateri. Et difficile sane est ab illis non supplantari refellique eos, quicunque cum ipsis concertare velint : eos dico qui non fide, tanquam scuto aliquo, protecti accesserint, sed ratiocinationibus tantum armati. Verumtamen qui nobis legem dedit, is corporum resurrectionem nos exspectare jussit, cui nec fidem derogare licet, nec adversari. Nos vero, inquam, humana corpora resurrectura esse vel maxime credimus : quod si alter ex nobis nunc non concederet, hunc alter quomodo, quæso, ad auctoritatem suam posset adducere? Nemo possit inquit, persuadere ei qui resurrectionem esse non credat, manifestasque hac de re demonstrationes postulet.

ιβ'. Μανθάνω, οἶμαι, ἔφην, ἃ λέγεις. Ἅπαν γὰρ ἔμψυχόν τε καὶ μὴ, ὅπως δήποτε τελέως διαφθαρὲν, τοῦτο δὴ θνήσκειν λέγεις, καὶ τὸ πρᾶγμα θάνατον ὀνομάζεις. Οὐδ' ὁπωστιοῦν ᾖ φῂς, ἔφη, λέγω· ταῦτα γὰρ οὐδ' ἀναβιώσεταί ποτε διαφθαρέντα. Οὐκοῦν οὐδὲ τὰ σώματα ἡμῖν ἀναστήσεται; ἔφην. Ἀλλ' εἰσὶν, εὖ ἴσθι, ἔφη ὁ Πέρσης, οἵ γε οὕτω τοῦτο δοξάζουσι τῶν παρ' ἡμῖν λογίων· δεῖ γὰρ τἀληθῆ; ἡμᾶς λέγειν. Καὶ χαλεπὸν ἀμέλει μὴ πάντας τούτους ὑποσκελίσαι τοὺς εἰς χεῖρας τούτοις ἐλθόντας· λέγω δὴ τοὺς μὴ τὴν πίστιν προβαλλομένους, ἀλλὰ λογισμοῖς ὡπλισμένους. Πλὴν ἡμῖν ὁ δοὺς τὸν νόμον ἀνάστασιν τῶν σωμάτων ἐκέλευσε προσδοκᾶν, ὅπερ ἀπιστεῖν οὐκ ἔνι, οὐδ' ἀντιτείνειν ἐφεῖται. Παντός γε μᾶλλον ἡμεῖς πιστεύομεν, ἔφην, ὡς τὰ τῶν ἀνθρώπων ἀναστήσεται σώματα· εἰ δ' ὁ ἕτερος ἡμῶν τοῦτό γε νῦν ἠπίστει, πῶς ἂν ῥᾳδίως εἶχεν ὁ ἕτερος πρὸς τὴν πίστιν τοῦτον χειραγωγῆσαι; Οὐδεὶς ἄν, ἔφη, τοῦτον ἀναπεῖσαι δυνηθείη ποτὲ, ὅλως ἀπιστοῦντα τῷ πράγματι, καὶ περὶ αὐτοῦ τὰς ἀποδείξεις ἐναργεῖς ἀπαιτοῦντα.

13. Vide igitur, vir optime, inquam, quam optimo jure nobis ad demonstrandam angelorum immortalitatem satis omnino esse possit, doctores nostros nostramque fidem proferre, sicque omni negotio ac labore defungi : non oportet enim, ut vobis quidem id facere liceat, nobis autem ancora hujus-

ιγ'. Ἄθρει τοίνυν, εἶπον, ὦ βέλτιστε, ὡς ἥρκει πάντως (2) ἡμῖν ἀθανάτους τοὺς ἀγγέλους δεῖξαι προκείμενον ἔχουσι, τοὺς διδασκάλους καὶ τὴν πίστιν προβαλομένοις, πραγμάτων ἀπηλλάχθαι καὶ πόνων· οὐδὲ γὰρ ὑμῖν μὲν ἔξεστι τοῦτο ποιεῖν, ἡμεῖς δὲ ταύτης ἀφῃρήμεθα τῆς ἀγκύρας. Πίστει γὰρ

(1) Coislin. φήσαιμεν.

(2) Cod. ambo, πάντας.

Digitized by Google

ἡμεῖς μᾶλλον ἢ μεθόδῳ καὶ τέχνῃ καὶ λογισμοῖς A modi auferatur. Nam fide magis quam arte, methodo
ἑδραιούμεθα· πλὴν ἕως ἐφεῖται, χρῆσθαι τῷ εἰκότι et ratiocinationibus stamus : sed tamen quantum
πάνυ καλόν. Ἔνθα μὲν γὰρ πίστις οὐ προηγεῖται, licet probabilitatibus uti sane laudabile est. Ubi
ἀναντιῤῥήτου τε πάντη καὶ ὁμολογουμένης δεόμεθα enim fides non præit, indubitata nullique omnino
ἀποδείξεως· ἔνθα δὲ πίστις τὸ πᾶν ἰσχύει, ἐναργέσι contradictioni obnoxia demonstratione indigemus :
μὲν ἀποδείξεσι τόπος οὐκ ἔνι. Ἀντίκεινται γὰρ fides vero ubi omnem vim habet, manifestis quidem
ἀλλήλοις ἥ τε πίστις καὶ ἡ ἀπόδειξις, καὶ οὐκ ἂν ποτε demonstrationibus locus non est. Nam adversantur
συνέλθοι κατὰ ταυτὸν ἀμφότερα· τὸ δὲ εἰκὸς τῇ πί- sibi fides et demonstratio, nec unquam in idem am-
στει προμαρτοῦν ἐκ περισσείας (1) γίνεται λιμὴν bo convenire possunt : sed probabile argumentum,
τοῖς πιστεύουσι, καὶ γαλήνην λογισμοῖς ἐμποιεῖ, fidem ex abundanti comitans, credentibus fit por-
ἀγκύρας ἐπ' ἰσχυρᾶς, λέγω δὴ τῆς πίστεως, τὰς tus quidam : ratiocinationibus eorum quietem pa-
τῆς σωτηρίας ἐλπίδας ἀναθεμένοις. Ἔνθα γοῦν rit, quoniam spem suæ salutis in forti ancora, hoc
ἐφεῖται, πάνυ γε καλὸν τούτῳ χρῆσθαι· ὃ δὴ καὶ est fide, reponunt. Igitur ubi licitum est, probabili
ποιῶμεν, εἰ βούλει, ἐπαναλαβόντες ἤδη τὸν λόγον. argumento uti quam maxime decet : quod nos
etiam, si placet, faciamus, atque ad eam partem sermonis, ex qua egressi sumus, revertamur.

ιδ'. Εἶπας τοίνυν κυρίως μὲν θάνατον εἶναι τὸν B 14. Mortem igitur proprie esse dixisti discessum
τῆς ψυχῆς ἀπὸ τοῦ σώματος χωρισμόν· καταχρηστι- animi a corpore : per abusionem vero, inquiebas,
κῶς δὲ καὶ ἄλλα θνήσκειν λέγεσθαι, καί τινα μὲν alia etiam mori dicuntur, quorum quædam non sunt
τούτων μηκέτ' εἶναι μηδ' ἀναβιώσεσθαι μέλλειν, κα- amplius, neque, postquam corrupta sunt, revivi-
ταφθορὰν ὑποστάντα· ἕνια δὲ πάλιν ἀλλοιωθέντα, scent : quædam contra immutata, melioremque sic
καὶ ταύτῃ κρείττονος καταστάσεως ἀπολελαυκότα, adepta constitutionem, morti corruptionique non
μηκέτι ταῦτα δουλεύσειν θανάτῳ τε καὶ φθορᾷ. Τὴν amplius erunt subjecta. Hoc porro immutationis
δὲ ἀλλοίωσιν ταύτην θάνατόν σοι φίλον προσαγο- genus mortem appellare tibi placet et resurrectionem,
ρεύειν καὶ ἀναβίωσιν, ἧς καὶ τὰς ψυχὰς μεθέξειν cujus animas quoque fore aliquando participes ne-
ἀναγκαῖόν σοι φαίνεται· ἵν' ἐπειδήπερ ἀρχὴν εἰλή- cessarium tibi videtur : ut quoniam ortum habue-
φασι, τέλος ἀκολούθως ἐκδεχομένην, ἀπαθανατισθῶσι rint animæ, ideoque finem quoque habere possunt,
διὰ τῆς ἀνακαινίσεως, καὶ δευτέρας ταύτης καταστά- renovatione illa demum immortales fiant, sicque in
σεως τύχωσιν, ἐπιεικῶς ἀμείνονος τῆς προτέρας. alterum quemdam statum perveniant, priore longe
Ταυτὶ δὲ ἔφησθα πάντως τῷ εἰκότι χρώμενος· οἷς melliorem. Hæc autem dixisti, verisimili prorsus
γὰρ τοῖς σώμασιν αἱ ψυχαὶ κοινωνοῦσι καὶ τῶν ἀγα- argumento utens : cum quibus enim corporibus
θῶν, καὶ τῶν μὴ τοιούτων, καὶ ἁπλῶς πάντων ἐξῆς, C bona, mala cæteraque omnino omnia communia
καὶ τοῦ θανάτου αὐτοῖς κοινωνήσουσι. Ταῦτα ἦν, ὦ habuerunt animæ, cum iisdem communem etiam
γαθὲ, εἴ γε μὴ παντάπασιν ἐπιλέλησμαι, ἃ δι' ἄλ- mortem habebunt. Hæc fere sunt, hospes, nisi admo-
λων ὀνομάτων (συνέτεμον γὰρ τὸν λόγον) περὶ τῶν dum me meæ memoriæ sensus fallit, quæ aliis verbis
ψυχῶν σοι, καὶ τοῦ θανάτου, καὶ τῆς ἀλλοιώσεως εἴ- (nam contraxi orationem tuam) de animarum mor-
ρηται· εἰ δ' ἐπελαθόμην, αὐτὸς ἀνάμνησον. Καὶ ὁ te mutationeque dixisti : quorum si quid mihi excidit,
Πέρσης, Ἀλλὰ ταῦτά ἐστιν, ἔφη. in memoriam revoca. Ego vero nihil aliud dixi, inquit.

ιε'. Εἰπὲ δὴ πρῶτον, ἔφην ἐγὼ, ποίῳ δή τινι θα- 15. Igitur, inquam, dic mihi primum, si placet,
νάτῳ δουλεύσειν ὑπόχρεως εἶναι λέγεις τοὺς ἀγγέ- quali tu tandem morti obnoxios fore angelos affir-
λους; τῷ κυρίως, ἢ τῷ μή; Καθαρῶς μὲν, ἔφη ὁ γέ- mas, utrum proprie dictæ illi, an secus? Liquido
ρων, οὔτε λέγεταί τι, οὔτε μὴν γέγραπται περὶ quidem, inquit, hac de re neque dicitur quidquam,
τούτου, πλὴν, ὅτι καὶ οἱ ἄγγελοι τεθνήξονται. Δοκῶ neque scribitur, præter hoc, quod angeli quoque
δέ μοι, καὶ μάλιστ' ἐξ ὧν σοι νῦν δὴ εἴρηται, ὡς εὖ morientur. Mihi vero ex iis maxime, quæ modo di-
ἂν ἔχοι λέγειν, ὅτιπερ τὸν οὐ κυρίως ἀποθανοῦνται cebas, rationi consentaneum videtur, ut statuamus,
θάνατον οἱ (2) ἄγγελοι. Καὶ πῶς σε ἄλλως, εἶπον D improprie dictam mortem angelos subituros. Nec,
ἐγὼ, ἐνδέχεται ἐννοεῖν τε καὶ λέγειν, ἄνδρα νοῦν inquam, pro prudentia illa et doctrina, quæ est in
ἔχοντα καὶ σοφόν; Ὅσα μὲν γὰρ ἐκ πλειόνων τε καὶ te summa, aliter potes sentire et loqui. Quæcunque
διαφόρων τὴν ὕπαρξιν ἔχει, εὔδηλον ὡς συντέθειται, ex pluribus diversisque rebus exsistentiam trahunt,
καὶ δεῖ ποτε ταῦτα διαλυθῆναι. Σύνθεσις γὰρ, φασὶν, ea quidem composita esse aliquandoque dissolutum
ἀρχὴ διαστάσεως. Εἰ δὲ δὴ καὶ ἐξ ἐναντίων συντέ- iri manifesto liquet. Nam dissolutionis initium, ut
θειται καὶ φύσει πολεμίων, οἷα δὴ τὰ πρῶτα στοι- aiunt, est compositio. Jam vero si quædam vel ex
χεῖα (ἐξ ὧν τὰ σώματ' ὑμῖν, Θεοῦ δυνάμει τε καὶ contrariis composita fuerint naturaque inter se pu-
κελεύσει), θαῦμα, ὅτι καὶ συνῆλθε τὴν ἀρχὴν κατὰ gnantibus, cujusmodi sunt prima elementa (e qui-
ταυτὸν, καὶ ὁπωσοῦν συνέστη, καὶ διαρκεῖ, τὰ μὲν bus nostra corpora Dei numine jussuque constant),
ἐπὶ πλεῖον, τὰ δὲ ἐπ' ἔλαττον· ὃ δὲ καὶ ἔκπληξιν mirum certe accidit, ea in unum ab initio locum
ἐμποιεῖν οἷόν τε νοῦ μετέχουσιν, ἐκεῖνο πάντως ἂν convenisse, aliquoque tandem modo utcunque con-

(1) Cod. reg. περιουσίας.

(2) Οἱ deest in reg

stitisse, et alia longiori, alia breviori temporis intervallo permanere : id, qui sunt rationis compotes, nisi admiratione obstupefacti contemplari non possunt. Quod enim ad omnia corrumpenda natum est bellum, hic mutato ordine conservandis rebus videtur inservire. Nam consideremus, qua ratione bellum et pugna finem habeant : necesse est, alterum sit de duobus, ut vel ad pactionem res veniat, vel ad victoriam, ut alter quidem vincat, alter vincatur. Atqui ut ad pactionem inter se elementa veniant, fieri nequaquam potest : neque enim suam ipsa naturam abnegare possunt. Atque ab altero quidem alterum vinci necessarium foret : Deus autem hoc fieri prohibet. Nam elementum, quod in ipsis victoriæ compos foret, id et victum elementum tolleret, et una cum illo quod consumpsisset, sicut flamma cum materia, ipsum exstingueretur : adeo ut belli ope sola elementa perdurent, hujusmodique modo, eoque admirabili conserventur.

A εἴη. Τὸ γὰρ πάντα πεφυκὸς διαφθείρειν, ὁ πόλεμος, ἄνω ποταμῶν ἐπὶ τούτοις συστατικὸν ἀναφαίνεται. Σκοπῶμεν δὲ, ὅπως πολέμου τέλος καὶ μάχης δυοῖν θάτερον, ἢ σπείσασθαι ἢ κρατῆσαι· θάτερον μὲν κρατῆσαι, θάτερον δὲ ἡττηθῆναι. Καὶ σπείσασθαι μὲν τὰ στοιχεῖα ἀλλήλοις παντελῶς ἀδύνατον· μηδὲ γὰρ τὴν ἑαυτῶν φύσιν ἀρνήσασθαι δυνατόν. Κρατῆσαι δὲ πάντη θάτερα τῶν ἑτέρων ἀναγκαιότατον μέν· θεὸς δὲ εἴργει τοῦτο γενέσθαι. Τὸ γὰρ κρατῆσαν ἐν αὐτοῖς ἀνάγκη διαφθείραι τὸ κρατηθὲν, καὶ τούτῳ συμφθαρῆναι τὸ ἀναλῶσαν, καθάπερ ὕλῃ τὸ πῦρ· ὥστε τὰ στοιχεῖα μόνα (1) τῷ πολεμεῖν διαμένει, καὶ τῷ παραδόξῳ τούτῳ διασώζεται τρόπῳ.

16. Unde mirum esse dixi, quod ex ejusmodi principiis ab initio nostra corpora constiterint, et vel brevi quopiam tempore permaneant. Angelorum vero natura simplex elementisque præstantior, neque ab iis, elementis dico, exsistentiam habet (quo enim, obsecro, pacto consentaneum esset, ex post factis ipsos esse factos?), neque alia quapiam re indiget, ut consistat aut bene se habeat. Igitur haud recte opinetur quis, angelos corruptioni subjectos esse posse. Si enim composita, ec ipso quod composita sunt, mortem quidem obeunt finemque habent, ideoque aliis corruptibilibus ad consistendum indigent, palam est immortalia esse quæ sunt hisce contraria. Est ergo angelorum natura immortalis. Nam a Deo exsistentiam habent, et sola hujus participatione vivunt, moventur, sunt. Hujusmodi autem natura quomodo ægrotabit? quomodo senescet? quomodo veterascet? quomodo morietur? Eadem ratione animas quoque immortales esse existimandum est. Natura enim sunt simplices, rationisque participes, soloque Dei interventu (si sic quod Græci μέθεξιν vocant appellari placet) exsistunt. Quin etiam corruptibilium mortaliumque rerum quæcunque corruptionem ac mortem superabunt, hanc immortalitatem incorruptibilis naturæ participatione adipiscuntur. Quænam igitur ratio esse potest, ut angelis, qui substantiis mortalibus præstantiores sunt, mortem attribuamus? Sin autem horum naturam in melius mutari dicis, atque hoc mortem vocare tibi placet, nomine non pulchro pulcherrimam rem abs te appellari scito : nam quæ in melius fit immutatio, ea vitæ potius quam mortis appellationem accipere deberet. Sed nulla erit mihi tecum de verbo controversia : nec longum ego de illa re sum sermonem facturus, dummodo a vera opinione intentio sententiaque tua non sit aliena.

B ις'. Καὶ θαυμαστὸν, ὅπερ εἶπον, ὅτι καὶ συνέστη τὴν ἀρχὴν τὰ σώματα ἡμῖν ἀπὸ τῶν τοιούτων, καὶ διαρκεῖ βραχύν τινα χρόνον. Οἱ δὲ ἄγγελοι φύσις ἁπλῆ καὶ τῶν στοιχείων κρείττων, καὶ οὔτε παρὰ τούτων ἔχει τὴν ὕπαρξιν (πῶς γὰρ ἀκόλουθον ἐκ τῶν ὑστερογενῶν;), οὔτε τινὸς αὖθις δεῖται, ὥστε καὶ συνίστασθαι ἢ εὖ εἶναι. Οὐκ ἄρ' εὖ ἔχει τούτους δοξάζειν οἷούς τε εἶναι φθορᾷ δουλεῦσαι. Εἰ γὰρ τὰ σύνθετα θνητὰ καὶ λῆξιν ἐκδεχόμενα, τούτῳ αὐτῷ τῷ σύνθετα εἶναι, καὶ διὰ τοῦτο δέονται φθαρτῶν ἑτέρων, ὥστε συνίστασθαι, σαφὲς ἂν εἴη πάντως, ὡς τἀναντία τούτοις ἀθάνατα. Ἡ τῶν ἀγγέλων ἄρα φύσις ἀθάνατος. Θεόθεν γὰρ τὴν ὕπαρξιν ἔχουσι, καὶ τῇ τούτου μόνῃ μεθέξει ζῶσι (2), καὶ κινοῦνται, καὶ C εἰσίν (3). Ὅθεν ἡ τοιαύτη φύσις πῶς μὲν νοσήσει; πῶς δὲ γηράσει (4); πῶς δὲ παλαιωθήσεται; πῶς δὲ τεθνήξεται; Τοῦτον δὲ τὸν τρόπον καὶ τὰς ψυχὰς ἀθανάτους ὑποληπτέον. Ἁπλαῖ γὰρ δὴ καὶ αὗται τὴν φύσιν, καὶ λογικαὶ, καὶ τῇ τοῦ Θεοῦ μεθέξει μόνῃ συνίστανται. Καὶ μὴν καὶ τῶν φθαρτῶν τε καὶ θνητῶν, ὅσα μέλλει πάντως γενήσεσθαι κρείττω φθορᾶς καὶ θανάτου, τῇ τοῦ ἀφθάρτου μετοχῇ τοῦτο ἂν πάθοι. Ὥστε τίν' ἔχει λόγον, θάνατον ἀγγέλοις περιάπτειν ἀμείνοσι τῶν θνητῶν (5) ὑπάρχουσιν; Εἰ δὲ δὴ τὴν τοῦτων φύσιν φῂς ἀλλοιοῦσθαι πρὸς τὸ βέλτιον, καί σοι φίλον θάνατον τοῦτο καλεῖν, ἴσθι μὲν, ὡς οὐ καλῷ κάλλιστον πρᾶγμα προσαγορεύεις ὀνόματι· τὴν γὰρ ἐπὶ τὸ κρεῖττον ἀλλοίωσιν ζωῆς προσηγορίαν δέχεσθαι μᾶλλον ἢ θανάτου προσῆκε. Λέξεως D δ' ἕνεκεν οὐ διοίσομαι· ἀλλ' οὐδὲ πολύν τινά ποτε ποιήσομαι λόγον, ὅταν σοι τῆς ἀληθοῦς ὁ νοῦς ἔχηται δόξης.

17. Ilic Persa, Optime, inquit, omnium tu mihi abs te dictorum probasti rationem, orationeque tua, cum angelos, tum animas, immortales esse demonstrasti. Amborum tamen natura non omnis omnino passionis expers esse mihi videtur : nec enim sem-

ιζ'. Σφόδρα πάντα, ἔφη ὁ Πέρσης, ἔχεταί σοι λόγου τὰ εἰρημένα, καὶ ἀθανάτους τοὺς ἀγγέλους ὁ λόγος ἀπέφηνε, καὶ δὴ καὶ τὰς ψυχάς. Ἡ φύσις μέντοι καὶ ἀμφοῖν οὐκ ἀπαθὴς παντάπασιν οὖσά μοι φαίνεται· οὐδὲ γὰρ ἀεὶ ὡσαύτως ἔχουσα, καὶ κατὰ

(1) Forte μόνῳ.
(2) Cod. Coisl. ζῶσα.
(3) Alludit ad S. Pauli dictum, Act. Apost. XVII, 28 *In ipso enim vivimus, movemur et sumus.*
(4) Cod. Coisl. γε κρατήσει.
(5) Sic correxi : in mss. legitur τῶν ὄντων.

Digitized by Google

ταυτά, καὶ ἀκίνητος. Ναὶ, ἔφην ἐγώ· τὸ γὰρ μηδαμῇ μηδαμῶς τροπὴν ἢ κίνησιν ἠντινοῦν ὑπομένειν δύνασθαι, τοῦτο δὴ τῇ θείᾳ καὶ ἀνάρχῳ καὶ δημιουργῷ φύσει μόνῃ δοτέον. Τοιαῦτα δήπου λέγοντι, ἔφη, σοὶ μὲν ἔγωγε χαίρων ὁμολογῶ· ἐμοὶ δὲ πάλιν οὐκ ἀπειθήσουσιν, οἷς ἂν καὶ μεταδοίην τοῦ λόγου· οὐ γὰρ ἀντιτείνειν ἐπιχειρήσουσι. Καὶ γὰρ νομίζω, μηδένα οὕτως εἶναι θρασὺν τῶν εἰς ἐμὲ φοιτώντων (φοιτῶσι δὲ ἄρα πάντες, ὅσοις τῶν ἐμοὶ πολιτῶν δογμάτων τε μέλει, καὶ νόμων, καὶ λόγων τῶν ἡμετέρων), μηδένα τοίνυν τούτων σκαιὸν καὶ ἀνόητον εἶναι τοσοῦτον, ὥστε καὶ τολμῆσαί μοι πρὸς λόγους ἐλθεῖν. Ἴσασι γὰρ, ὡς μῦς πίττης, φασὶν (1). Ἱκανῶς μοι τοιγαροῦν τὸν περὶ τῶν εἰρημένων ἀποδέδωκας λόγον· καὶ χάριν σοι τῶν πόνων ὁμολογῶν, δέομαί σου χωρεῖν ἐπὶ τὰ πρόσω. Ταυτὶ μὲν οὖν τὰ τῆς πρώτης νυκτός. Τῇ δ' ὑστεραίᾳ μοι προσελθὼν ὁ γέρων ἅμ' ἡλίῳ σὺν τοῖς υἱέσιν, ἐδέοντό μου, μὴ μέλλειν, ἀλλὰ τὸ τάχος ἄρξασθαι, ὅθεν ὁ λόγος ἡμῖν ἐτελεύτησεν.

A per eodem similique modo se habet, neque immota consistit. Ita plane, inquam : etenim nullam prorsus mutationem motionemve pati posse, hoc soli divinæ, rerumque omnium procreatrici initioque carenti naturæ, concedendum est. Tibi sane, inquit, assentior hæc dicenti : nec aliter atque ego sentient, quibuscum posthac hunc sermonem communicaro : nec enim obsistere conabuntur. Ex iis enim, qui frequentant domum meam (frequentant autem, quicunque nostrorum civium dogmatibus, legibusque disciplinisve nostris studeant), ex his igitur neminem ita esse audacem opinor, aut ita hebetem, aut insipientem, ut mecum in controversiam venire audeat. Norunt enim, ut mus picem, quod aiunt. Itaque tua de his rebus B oratio abunde mihi fecit satis : meritamque adeo tibi habeo pro cura tua gratiam, pergasque obsecro ad ea quæ sequuntur. Et hunc quidem in modum se habuerunt, quæ prima nocte acta sunt. Postridie autem ejus diei, cum senex una cum filiis oriente sole ad me accessisset, rogaverunt omnes, ut quo in loco finem disputandi fecissem, sine mora inde ad reliqua pergerem.

DIALOGUS II.

De cœlo, terra, et de iis quæ ibi continentur; item de Adami lapsu, Christique judicio et Moamethis paradiso.

α'. Ἔστω τοίνυν, ἔφην ἐγώ. Τίνα δὴ οὖν ἄττα φρονεῖς περὶ οὐρανοῦ, καὶ γῆς, καὶ πάντων τῶν ἐν αὐτοῖς; τούτων γὰρ οἶμαί σε τὸν λόγον ἐπιζητεῖν· εἴ τι οὖν σοι φίλον πρῶτον εἰπεῖν, ἢ ἐρέσθαι, ἔξεστι φράζειν. Ταῦτα εἰπόντος ἐμοῦ, ὁ γέρων κεκυφὼς ἐκάθητο,

Κατὰ χθονὸς ὄμματα πήξας (2)·

καὶ ἐῴκει δή πως φροντίζοντί τε καὶ διαπορουμένῳ. Ἦν γὰρ, ὡς ἔφθην εἰπὼν, ἔμπειρός τε λόγων, καὶ νόμων, καὶ δογμάτων τῶν κατ' αὐτοὺς, καὶ τὴν κορυφὴν, ὡς ἐλέγετό τε καὶ ἐνομίζετο, τῆς σφῶν αὐτῶν σοφίας κατειληφώς· ἦν δὲ τὰ τοιαῦτα σοφὸς ἐν τῇ γενεᾷ, φησὶ (3), τῇ ἑαυτοῦ. Διὰ τοῦτο τοίνυν, οἶμαι, στενοχωρούμενος, τοῖς Πυθαγόρου ἐῴκει μαθηταῖς, πολὺ τὴν σιωπὴν ἀσπαζόμενος. Ὡς οὖν ἐφ' ἱκανὸν οὐκ ἀνέκυπτεν, ὁ πρεσβύτερός φησι τοῦν υἱοῖν, βλέψας εἰς ἐμέ· Ἀλλ' εἴ τοί σοι οὐκ ἐπαχθὲς, καὶ περὶ τούτων γε ἡμῖν αὐτὸς ἀπόδος τὸν λόγον. Ἔφην ἐγὼ πρὸς αὐτόν· Καὶ (4) τίνα δὴ τοῦτον (5) ἀπαιτεῖς λόγον; τὸν ὅπως ἕκαστα στοιχεῖα φύσεως ἔχει, καὶ ᾧ δὴ ταῦτ', ἀλλήλοις πολέμιά τε ὄντα, καὶ

C 1. Esto igitur, inquam. Quænam vero sentis de cœlo, de terra, omnibusque quæ in illis continentur? horum enim, opinor, rationem exquiris. Quibus de rebus si quid dicere velis, aut interrogare, facio tibi, hospes, potestatem. Quæ cum dixissem, demisso vultu sedit senex, et

Humi sua lumina fixit,

hærereque in aliqua re videbatur, cogitareque nescio quid attente admodum. Erat enim, ut superius demonstravimus, doctrinarum, et legum, dogmatumque peritus, quæ apud istos vigent, secundumque omnium sermonem et opinionem altissimum inter ipsorum magistros gradum consecutus, et quod ad hæc attinet, *in generatione sua sapiens* [1], ut Deus cecinit. Quam ob rem, opinor, animo angebatur, silentiumque mirum in modum amplectens D Pythagoræ discipulorum similis apparebat. Itaque cum aliquantum temporis caput non erigeret, filius natu major in me intuens, Nisi molestum est, inquit, de his ipse nobis rationem reddas. Quamnam vero, inquam, rationem vis reddi? an ut tibi ex-

[1] Luc. xvi, 8.

(1) Plenius apud Erasmum Chiliad. II, centur. III, prov. 68 : Μῦς ἄρτι πίσσης γενόμενος, « in eos, qui cum antea fuerint audaculi et confidentes, postea degustato periculo plane timidi videntur. »

(2) Iliad. Γ, vers. 217.

(3) Φησὶν, subintelligo, ὁ ἱερὸς λόγος, ἡ ἁγία Γραφὴ, aut ejusmodi aliquid : nam hoc φησὶ sæpe utuntur Græci, ut sacræ Scripturæ verba proferri a se innuant.

(4) Καὶ deest in Reg.

(5) Forte τούτων *rationem de his rebus*, ut supra lin. 3.

Digitized by Google

plicem, quænam sit singulorum elementorum natura? quomodo hæc, etiamsi pugnent inter se, naturaque longe discrepent, in idem tamen conveniant quodammodo, vicinaque sint? alia quidem *immediate*, ut ita dicam, quibuscunque videlicet cognatio quædam et occulta *identitas* inest? alia *mediate* ea dico, quæ diversi omnino sunt generis, et prorsus aliena? quæ tamen similium qualitatum interventu latenter, ut quispiam dixerit, et occulte inter se reconciliantur: unde singula singulis, quod est dictu mirabile, contrariam ipsis naturam communicant, commistionemque et unitatem cum dissimilibus faciunt, quod omnem hercle admirabilitatis excessum superat: siquidem id dissimilitudinis specie dulcem quemdam concentum efficit, quem nemo pro rei dignitate satis possit admirari. Num igitur horum tibi, hospes, rationem explicari nunc postulas? vel eam, qua ratione opifex ædificatorque omnium Deus ex nihilo hæc produxerit? vel eam, quæ horum omnium creationem enarret, et quid primum, quid medium, quid ultimum factum fuerit? Istuc tertium opinor, inquit, pater expetit. Qui cum filii dictum assensu suo comprobasset, tum ergo rursus ita sum exorsus dicere:

A μακρὰν ἀλλήλων τῇ φύσει διεστηκότα, εἰς ταυτὸν συνέρχεταί πως, καὶ γειτνιάζει; καὶ τὰ μὲν ἀμέσως, ὅσοις δηλονότι συγγένειά τις ἔνεστι, καὶ ταυτότης ἐγκεκρυμμένη; τὰ δ' αὖ ἐμμέσως, λέγω δὲ νῦν τὰ πάντη ἔκφυλά τε (1) καὶ ἀλλότρια; ἃ τῶν ὁμοίων μεσιτευουσῶν ἀμφοτέροις ποιοτήτων, λεληθότως, ὡς ἂν τις εἴποι, καὶ κρυφίως καταλλάττεται· καὶ κοινωνεῖ ἕκαστον ἑκάστῳ τῆς ἐναντίας αὐτῷ φύσεως θαυμασίῳ τρόπῳ, καὶ μεταδίδωσιν ἡρέμα τῆς πρὸς τὰ ἀνόμοια συγκράσεώς τε καὶ ἑνώσεως, ὃ δὴ πᾶσαν θαύματος ὑπερβολὴν εἴσω πίπτουσαν ἀποφαίνει, τῇ δοκούσῃ ἀνισότητι εὔηχόν τινα ἁρμονίαν ἀποτελοῦν, καὶ οὐκ ἀξίως δυναμένην θαυμάζεσθαι. Τούτων οὖν τὸν λόγον νῦν ἀπαιτεῖς; ἢ ἐκεῖνον, καθ' ὃν ὁ πάντων δημιουργὸς ἐκ τοῦ μὴ ὄντος ταῦτα παρήγαγεν; B ἢ τὸν ἱστοροῦντα τούτων τὴν ποίησιν, καὶ ποῖον μὲν πρῶτον, ποῖον δὲ μέσον, ποῖον δ' ὕστατον γέγονε; Καὶ ὅς, Τὸν τρίτον οἶμαι, ἔφη, τὸν πατέρα ἀπαιτεῖν. Οὗ συνθεμένου τῷ παιδὶ, καὶ ὁμολογήσαντος, ἔφην ἐγώ·

2. Rectum quidem mea sententia, optimi viri, consilium iniistis, quod inclinastis ad id, quod non perdifficile est, vel omnino extra facultatem nostram positum: multo enim hercle sermone indigeret priorum quæstionum explicatio, multumque nobis facesseret negotii, philosophorum etiam lingua et auditu opus haberet. Illam porro rationem, qua hæc omnia produxerit Deus, sapientiamque illam, qua universum hunc mundum ædificarit, solus ipse noverit: nec quidquam est profecto, cujus in C cognitionem devenire minus possimus. Quid enim? novitne domus, novitne navis artem, qua facta est? Et tamen ambæ nihil præter hanc vel illam formam (non acceptam initio exsistentiam, non statum, non conservationem) manu cogitationeque nostra acceperunt. Deus autem, quod omnia ex nihilo produxit, et in rerum natura conservat, non minorem inde admirationem movet, quam quia quamdam sine ulla specie, atque carentem qualitate materiam, certa aliqua forma posterius insignivit. Et, si nostra non cognoscimus, aliena quomodo recte nosceremus? Sed tamen hoc certo scimus, divinum Numen ob solam bonitatem suam angelos creavisse, omnemque alium ordinem, qui natura sentiente teneatur: deinde hunc, quem videmus, mundum produxisse, certaque specie ac forma decorasse, providentiaque sua adhuc conservare æternisque concordiæ vinculis, naturalique conjunctione, quæ supra omnem hominum rationem captumque putanda est, cuncta continere. Reliquum est igitur, ut quo hæc ordine fabricata fuerint, eloquamur. An non vobis ita videtur? Nobis quidem videtur, inquiebant, idque interim audiamus: quæ vero supra nos sunt, eorum cognitionem Deo relinquamus.

β'. Εὖ μοι βεβουλεῦσθαι δοκεῖτε, πρὸς τὸ μὴ πάνυ χαλεπὸν ἢ ἀδύνατον νεύσαντες· τῶν μὲν γὰρ προτέρων ζητημάτων ὁ λόγος πολὺς ἂν εἴη, καὶ πολλὰ παρέχων ἡμῖν πράγματα, φιλοσόφων, καὶ γλώττης, καὶ ἀκοῆς δεόμενος. Λόγον δὲ πάλιν ἐκεῖνον, καθ' ὃν πάντα παρήγαγεν ὁ Θεὸς, καὶ σοφίαν, ᾗ ταῦτα δεδημιούργηκεν, αὐτὸς ἂν μόνος εἰδείη· ἡμῖν δὲ ἆρα τόδε παντὸς μᾶλλον ἀδύνατον. Οὐ γὰρ οἶδεν ἡ οἰκία, οὐδ' ἡ ναῦς, τὴν τέχνην, ᾗ γέγονε· καίτοι καὶ ἀμφότερα ταῦτα τοῦτο ἢ ἐκεῖνο τὸ εἶδος μόνον (οὐ μὴν καὶ τὸ τὴν ἀρχὴν ὑποστῆναι, καὶ συντηρεῖσθαι, καὶ διασώζεσθαι) παρὰ τῆς ἡμετέρας χειρός τε καὶ διανοίας ἀπείληφε· Θεὸς δὲ πάντα παραγαγὼν ἐξ οὐκ ὄντων, καὶ συντηρῶν ἐν τῷ εἶναι, οὐχ ἧττόν γε ἐκ τούτου θαυμάζεται, ἢ ἀπὸ τοῦ τὴν ἀνείδεον ὕλην, ἣν ὑπεστήσατο, εἰδοποιῆσαι μεταγενέστερον. Καὶ, εἰ τὰ καθ' ἡμᾶς οὐ γινώσκομεν, πῶς ἂν καλῶς περὶ τῶν ἄλλων εἰδείημεν; Πλήν γε τοῦτο παντὸς μᾶλλον ἴσμεν, ὡς δι' ἀγαθότητα μόνην τούς τε ἀγγέλους προϋπεστήσατο, καὶ πᾶσαν ἄλλην διακόσμησιν νοητήν· εἶτα καὶ τήνδε τὴν ὁρωμένην παρήγαγέ τε, καὶ εἰδοποίησε, καὶ προνοεῖ, καὶ συνέχει πάντα δεσμοῖς φιλίας ἀῤῥήτοις (2), καὶ συμφυΐᾳ, λόγον νικώσῃ καὶ νοῦν ἀνθρώπειον. Λείπεται τοίνυν φράζειν, D ᾗτινι ταῦτα τάξει δεδημιούργηται. Ἢ πῶς λέγετε; Ἀλλὰ τοῦτο, ἔφασαν οἵδε, τέως ἀκούσωμεν· τὴν δὲ τῶν ὑπὲρ ἡμᾶς γνῶσιν Θεῷ καταλίπωμεν.

3. Verum de illis, inquam, nihil nostrum audies. Nam quæ Deus Moysi scribenda mandavit, hæc ego tibi narrabo. Quorum si quid aliter credatis, dicas. Neque tamen illud abs te ignorari volo,

γ'. Ἀλλ' οὐδὲν ἀκούσῃ περὶ τούτων, ἔφην, ἡμέτερον· ἃ γὰρ Μωϋσῇ Θεὸς προσέταξε γράψαι, ταῦτά σοι διηγήσομαι. Εἴ τι γοῦν τούτων ὑμῖν ἄλλως πιστεύεται, φράσον. Πλήν σε γινώσκειν ἐθέλω, ὡς οἱ

(1) Τε deest in Reg.

(2) Sic ambo; forte ἀῤῥήκτοις.

Digitized by Google

τὰ πρωτότυπα κεκτημένοι, τοὺς Ἰουδαίους λέγω, καίπερ ἐχθροὶ τῆς πίστεως ὄντες, περὶ τῶν τῆς κτίσεως λόγων οὐδὲν πρὸς ἡμᾶς διαφέρονται. Ἀλλὰ καὶ ἡμῖν διαφερόντως ἐκεῖνοι ἐχθροὶ τυγχάνουσιν ὄντες, ἔφην, πρὸς μέντοι τοῦτο ξυμβαίνουσιν. Οὐκοῦν, ἔφην ἐγώ, εἰ καὶ ἀμφοτέροις ἡμῖν οἵδε κατὰ τοῦτο συμβαίνουσι, καὶ ἀλλήλοις ἡμεῖς ξυμβησόμεθα. Δῆλον δή, ἔφη ὁ γέρων. Ἅμα δὲ καὶ οἱ παῖδες τόν τε λόγον ἐπῄνουν, καὶ τὴν ἱστορίαν ἀπῄτουν, ἣν δὴ κατ' ἀκρίβειαν, ὡς οἷόν τ' ἦν, ἀποδέδωκα. Εὕρισκον μέντοι τούτους τὰ πλείω γε συγκεχυμένως εἰδότας, καὶ ὡς ἦν εἰκὸς διάνοιαν ἄθεον, καὶ οὐχ οἵαν θειοτέρά τινα δέξασθαι πράγματα, καὶ σαρκικῆς δυνάμεώς τε καὶ γνώσεως ὑψηλότερα, ἢ ἀλλότρια. Οἷς γὰρ δὴ τῶν λεγομένων τὰ σφῶν βιβλία ξυνέβαινε, τούτοις εὐθὺς ὡμολόγουν, φιλονεικίας πάσης ἀπηλλαγμένοι· τοῖς δὲ λοιποῖς ὀψὲ καὶ μόλις. Πάντα δ', ἵνα θᾶττον ἐπί τι καιριώτερον ἔλθοιμι, τελευτῶντες ἅπαντες ἀπεδέχοντο. Οὐ μὴν ἀλλὰ καὶ τὸν περὶ τῆς ἐντολῆς καὶ τὸν τῆς παραβάσεως λόγον, τῆς προπατορικῆς λέγω, καὶ τῆς διὰ ταύτην ἀρᾶς καὶ ἐξορίας, καὶ τῆς τοῦ Ἄβελ τελευτῆς, καὶ δὴ καὶ τοῦ κατακλυσμοῦ, καὶ τῆς τοῦ Νῶε κιβωτοῦ, καὶ τῆς ἐν Αἰγύπτῳ παροικίας τοῦ Ἰσραὴλ, καὶ τῆς ἐκεῖθεν ἐξόδου, καὶ τῆς διαβάσεως τῆς ἐν Ἐρυθρᾷ, καὶ τῆς ἐν ἐρήμῳ διόδου, καὶ τῶν ἐν πᾶσι τούτοις ἔργων Θεοῦ· πάντων τοίνυν τούτων τὴν ἱστορίαν, καί τινας ἄλλας τῶν ἐν τῇ θείᾳ Γραφῇ ἴσασι μὲν, νενοθευμένως δ' οὖν ὅμως· νῦν γὰρ ἐν οἷς ἐχώλευον, ἕκαστα λέγειν περίεργον. Καὶ μὴν καὶ τὴν Ἐνὼχ μετάθεσιν ἴσασι, καὶ ἅρμα τοῦ Ἠλίου (1), καὶ ζῇν αὐτοὺς ἔτι λέγουσι· καὶ πρός γε ἔτι Ἀβραὰμ οὐκ ἀγνοοῦσιν, οὐδὲ Δαβὶδ, οὐδὲ τὸ εἶναι τούτων παῖδα τὸν Ἰησοῦν. Καλὸν δὲ οἶμαι λέγειν καὶ τὴν τιμὴν, ἣν Ἐνώχ τε καὶ Ἠλίαν εὑρέσθαι φασὶ, καὶ διὸ τῶν πάντων ἀνθρώπων ὅρων ζωῆς γεγόνασι κρείττους, καὶ νόμου σώματος καὶ σαρκός. Ζῆν γὰρ αὐτοὺς, φασὶν, ἠθέλησεν ὁ Θεὸς, ὥστε τὰ ἱμάτια ῥάπτειν τῶν ὅσοι δήπου μέλλουσι τοῦ παραδείσου τεύξεσθαι· οὗτοι δὲ ἄρ' εἰσὶν οἱ τοῖς τοῦ Μωάμεθ ἕπονται νόμοις, ὥς γε ἡμεῖς λέγομεν. Θεὸς δὲ μόνος ἐπίσταται τἀληθές.

cos qui sacræ Scripturæ primos textus possederunt, Judæos dico, quantumvis nostræ religionis hostes, ubi de doctrina creationis agitur, nequaquam a nobis dissentire. At enim, inquit, quamvis maximas etiam nobiscum inimicitias gerant, hac tamen de re nobis consentiunt. Tum ego : Itaque si nobis ambobus hac de re consentiunt, nos etiam invicem consentiemus. Ita est, inquit senex. Quem sermonem simul etiam filii collaudabant, narrationemque de creatione exposcebant, quam ego quam accuratissime poteram exposui. Eos tamen plerumque deprehendi confuse rem tenere, et ut necesse erat a Deo non illustratæ menti contingere, quæ diviniora vaticinia, carnalique facultate ac notitia vel altiora, vel aliena, capere nequeat. Nam quæ dicta suis libris congruebant, iis illi statim absque ulla contentione assentiebantur ; reliquis tarde et difficulter. Sed, ut ad aliquid majoris momenti confestim veniam, omnes omnia suo assensu tandem aliquando comprobabant. Attamen historiam de Dei mandato et de peccato, primi parentis dico, de maledictione ob hanc prolata, et de exsilio, de Abelis morte, porro de diluvio, de arca Noe, de Israelis in Ægyptum migratione, de exitu inde, de maris Rubri transitu, itinereque per solitudines, de operibusque, quæ in his omnibus Numen patravit divinum : horum igitur omnium historiam nonnullasque alias in sacra Scriptura memoratas norunt quidem, adulteratas tamen : sed nunc singula in quibus claudicabant, enumerare supervacaneum. Quin Enochi etiam translationem sciunt, Eliæque currum, eosque adhuc vivere perhibent : ad hæc neque Abrahamum ignorant, neque David, neque ex his ortum esse Jesum. Nec alienum opinor abs re, eum honoris gradum referre, quem Enochum Eliamque consecutos esse dicunt, causamque, cur communes hominum vitæ terminos, corporisque et carnis legem superarint. Eos enim, inquiunt, vivere voluit Deus, ut vestes suerent eorum, qui paradisum consecuturi essent : hi autem sunt ii, qui Moamethis legem sequuntur, ut nos quidem dicimus. Sed Deus solus veritatem novit.

δ'. Ἀκεσταὶ τοίνυν οἵδε ἦσαν, ἔφην, ὦ βέλτιστε, καὶ ἀκούμενοι μισθοῦ διέζων, ἐνθάδ' ἀνθρώποις συνδιαιτώμενοι ; Οὔ, φησὶν ὁ Πέρσης, οὐδαμῶς· ἀλλ' ὁ Θεὸς αὐτοῖς μετὰ τὴν ἐνθένδε μετάστασιν τοῦτ' ἐπεχείρισε τοὔργον. Εἶπον δ' ἐπὶ τούτοις ἐγὼ, ὃν ποτ' ἔφη λόγον ὁ θαυμάσιος ἡμῖν δεσπότης καὶ βασιλεὺς (2) (τὸν φύσαντα λέγω), ὃν πολλοῖς μὲν ἀγαθοῖς ἐκόσμησεν ὁ Θεὸς, καὶ μᾶλλον βασιλεύοντα τοῖς πλεονεκτήμασιν ὧν ἦρξεν ὄντων γενναίων ἔδειξεν, ἢ τῷ σχήματι· πολλῷ δ' ἀμείνονός τε καὶ κρείττονος (εὖ οἶδα καὶ πάνυ πέπεισμαι) μετέδωκεν αὐτῷ βασιλείας, κατὰ καιρὸν τῶν τῇδε πρὸς αὐτὸν κεκληκώς. Πείθομαι γὰρ, ὡς τὴν νῦν παροῦσαν ἡμῖν, εἴτ' ὀργὴν, εἴτε παιδείαν, ἐπαγαγεῖν βουλόμενος, φθάσας ὃν ἐφίλει

4. Hic ego : Sartores igitur, optime vir, erant, vestesque pacta mercede sarciebant, quandiu cum hominibus hic vixerunt ? Dii meliora, inquit Persa : sed postquam ex hoc mundo translati sunt, hoc ipsis Deus opus faciendum tradidit. Quæ cum dixisset, sermonem retuli ego olim habitum a mirabili nostro domino imperatoreque (patrem dico), quem multis quidem bonis ornaverat Dei numen, præclarisque potius virtutum dotibus generosis, quibus præerat, civibus imperantem ostendit, quam imperatoriæ dignitatis majestate : multoque melioris præstantiorisque regni (certo scio et persuasum habeo, frater) participem effecit, quando eum ex hoc mundo ad se vocavit. Et opportune quidem,

(1) Cod. reg. τὸ Ἠλιού (sic).
(2) Joannes Palæologus, imp. solus ab a. 1357, mortuus a. 591

Digitized by Google

mi frater. Facile enim hoc mihi persuadeo, Deus, A cum præsentem hanc, sive iram, sive castigationem, nobis vellet immittere, dilectum sibi principem tam gravibus e malis prius eripuit: nisi si quis illud dicere malit (dicet autem quisquis eum recte norit): Si superstes fuisset magnus imperator, a principio fortasse non longius serpsisset calamitas: vel etiamsi vehementissimo nos impetu invasisset, quis, dii boni, illo imperii clavum tenente, tempestatem aliquam fluctuumque et ventorum alios super alios impetus timuisset? Verum illius quicunque mentionem fecerit, is ut quasi in mare immensum laudum incidat necesse est: cumque nulla lingua digna inveniri possit virtutibus ejus, operisque propositi scopus alio nos trahat, ad istum, frater, revertamur sermonem, qui et jucundus urbanusque omnibus visus est, et magnos tum risus concitavit de Barbaris.

προαφήρπασε τῶν δεινῶν· εἰ δέ τῳ φίλον, λέγειν ἐκεῖνο (1) (ἐρεῖ δὲ ἄρα πᾶς τις, ὅς γε καλῶς ἐκείνου πεπείρατται)· εἰ περιῆν ὁ μέγας βασιλεύς, ἴσως οὐδὲ τὴν ἀρχὴν ἂν παρεισέδυ τὰ δεινά· εἰ δὲ καὶ μετὰ πολλῆς ἐπέθετο τῆς σφοδρότητος, τίς ἂν ἔδεισέ τινα ζάλην καὶ κυμάτων καὶ πνευμάτων ἐπ' ἀλλήλους ἐπιφοράς, ἐκείνου γε τοὺς οἴακας ἔχοντος ἐν χεροῖν; Ἀλλ' ἐκείνου μέν τις μνησθείς, εὐθὺς εἰς ἐγκωμίων ἐμπίπτειν ἀναγκάζεται πέλαγος· μήτε δὲ γλώττης οὔσης τῶν ἐκείνου καλῶν ἀξίας, καὶ τοῦ προκειμένου σκοποῦ πρὸς ἄλλα μεθέλκοντος, τοῦ προτέρου πάλιν ἀψώμεθα λόγου, ὃς ἡδύς τε καὶ ἀστεῖος πᾶσιν ἔδοξεν εἶναι, καὶ λαμπρὸν τῶν ἀσεβῶν ῥηθεὶς κατέχει γέλωτα.

5. Meministi, opinor, mi optime frater, fontem B illum et quercum, sub qua consederat æstatis ardore divinus princeps, cibum capturus ex venatione, a l quam ipsum vocaverat satrapes ille, qui genuit istud in Christianos nunc emissum fulmen, ex malorum acerbitate sic nominatum. Tunc igitur ille, ut scis, longum sermonem habuit, quod Enochum et Eliam demonstrare vellet in cœlum esse raptos, omnibusque ibi vestimenta suere: qua de causa splendide eos extollebat, delatumque ipsis honorem admirabatur. Cui imperator subridens dixit: Itane vero tu id honoris divinique muneris loco ducis, sudorumque et laborum pro virtute susceptorum præmium arbitrare? unde hoc, obsecro? quippe id hominibus in Dei offensionem graviter C lapsis pro alia quapiam ultione ac pœna satis esse possit. Pone tibi ante oculos unumquemque sartorum: nullus profecto est, opinor, qui a Deo data sibi optione, utrum ex hoc mundo rapi vellet, alicubique vivere, tamque vilem artem continuo labore tractare, aut semel mori, deinde resurgere, vestimentisque indui, quæ paradisi futurarumque in eo deliciarum pignus forent: quin alterum hoc manifesto eligat: quin acum illico abjiciat, artemque non bene scire se juret, illamque translationem tanquam opprobrii et laborum, non autem quietis neque honoris occasionem vehementer aspernetur.

ε'. Οἶμαί σε μεμνῆσθαι τῆς κρήνης (2) καὶ τῆς δρυὸς, ὑφ' ἣν ποτ' ἐκάθισεν ὁ παντάριστος βασιλεὺς θέρους ὥρᾳ, τροφῆς μεταληψόμενος ἀπὸ θήρας, εἰς ἣν αὐτὸν κεκληκὼς ἦν ὁ σατράπης ἐκεῖνος (3), ὃς τὸν νῦν Χριστιανοῖς ἐπικείμενον ἔφυσε (4) τὸν κεραυνὸν καλούμενον (5) ἐκ τῆς ὀξύτητος τῶν κακῶν. Τότε τοίνυν ἐκεῖνος, ὡς οἶσθα, λόγον ἐποιήσατο μακρὸν, τὸν Ἐνὼχ καὶ τὸν Ἠλίαν μετατεθέντας δεικνύναι βουλόμενος εἰς τὸν οὐρανὸν, πᾶσι δὲ τὰ ἱμάτια βάπτοντας, καὶ ἐξαίρων διὰ τούτων μάλα λαμπρῶς, καὶ θαυμάζων γε αὐτοὺς τῆς τιμῆς. Ὦ μειδιάσας ἔφη ὁ βασιλεύς· Εἶτα σὺ τοῦτο τιμὴν νομίζεις, καὶ δῶρον θεῖον, καὶ ἀμοιβὴν ἱδρώτων ἀρετῆς; πόθεν; ὃ καὶ τοῖς προσκεκρουκόσιν ἐπιεικῶς τῷ Θεῷ ἀντ' ἄλλης γέ τινος εἰσπράξεως καὶ δίκης ἥρκεσεν ἄν. Οἶμαι γὰρ, ὡς πᾶς ἀκεστὴς, αἱρέσεως αὐτῷ προτεθείσης παρὰ Θεοῦ, μετατεθῆναι μὲν τῶν τῇδε, ζῆν δέπου, καὶ μοχθεῖν ἀνέχεσθαι διηνεκῶς, καὶ χυδαίαν οὕτω τέχνην μεταχειρίζειν· ἢ ἅπαξ ἀποθανεῖν, εἶτ' ἀναστῆναι, καὶ ἱμάτια ἀμφιάσασθαι, ἀῤῥαβῶνα παραδείσου καὶ τῆς ἐν ἐκείνῳ τρυφῆς· σαφῶς ἂν τὸ δεύτερον ἕλοιτο· ῥίψαι γὰρ ἂν εὐθὺς αὐτὸν τὴν ἀκέστραν, καὶ ὀμνύναι μὴ καλῶς εἰδέναι τὴν τέχνην, καὶ ἀπώσασθαι σπουδῇ τὴν μετάθεσιν, ὡς ἀφορμὴν αἰσχύνης καὶ πόνων, οὐκ ἀναπαύλης οὖσαν, οὐδὲ τιμῆς.

6. Quæ cum audisset arrisit senex, et ad suos respiciens, Per Deum immortalem, inquit, ita tamen alicubi scripta est hæc res, nobisque antiqui- D tus tradita: nunc autem mihi nimio quantum absurda videtur. Tum filii: Sed credin' vere fuisse dictam a majoribus nostris? nam qui sartoribus indigeret Deus cuncta nutu suo trahens? nisi forte lino etiam et textoribus amicula nobis contexturis: nec enim auri ramentis indigebit, negotiandoque lucrari aliquid cogetur, ut a mercatoribus emat, quæ conficiendis vestibus inserviunt. Sed nullus

ς'· Τούτων τοίνυν ἀκούσας τῶν λόγων ἐγέλασέ τε ὁ γέρων, καὶ, Νὴ τὸν Θεὸν, ἔφη, βλέψας εἰς τοὺς αὐτοῦ, οὕτω μὲν ὁ λόγος οὗτος καὶ γέγραπταί που, καὶ κάτεισιν ἄνωθεν εἰς ἡμᾶς· δοκεῖ δὲ νῦν ἀτόπῳ λίαν ἐοικώς. Καὶ οἱ παῖδες· Ἦ δοκεῖ που ἀληθῶς ἄλλως εἰρῆσθαι τοῖς ἀρχαίοις οὗτος ὁ λόγος; πῶς γὰρ ἂν καὶ ἀκεστῶν δεήσειε τῷ Θεῷ, ὃς ἄγει πάντα τῷ νεύματι; εἰ μὴ καὶ λίνου ὑφαντῶν δεήσεται, οἵτινες τὰς ἀμπεχόνας ὑφανοῦσιν ἡμῖν· οὐ γὰρ δεήσεταί που καὶ χρυσοῦ ψηγμάτων, καὶ εἰς ἀνάγκην ἥξει τοῦ χρηματίζεσθαι, ἵν' ἀπὸ τῶν πιπρασκόντων τὰ πρὸς

(1) Cod. Coisl. ἐκεῖνον· suppl. ἔξεστι s. ἔνι.
(2) Cod. Reg. κρίνης.
(3) Sultan Murat-Chan, seu Amurathes I, rerum potitus a 1360-1389.

(4) Cod. Coislin. ἔφησε, (forte ἐφῆκε). Reg. ἔφυσε. quod in textum recepi.
(5) Alludit ad nomen Ildirim-Chan-Gasi Bajazetis, rerum potiti a. 1389-1402.

Digitized by Google

τὴν κατασκευὴν τῶν ἱματίων ὠνήσηται. Ἀλλ' οὐδ' ἂν εἷς ἀνθρώπων φθέγξαιτό τι τοιοῦτον· οὐδὲ γὰρ σωφρονούντων. Εἰ δ' ὑπὲρ λόγον ἡ κτῆσις τῶν ἐνδυμάτων καὶ ἡ διαμονὴ (διαμένουσι γὰρ, τὸ παραδοξότατον, ἄφθαρτα, ἢ [1] πιστεύομεν), πῶς οὐκ ἀτοπώτατον πάντων μὴ τὸ πᾶν ἰσχύειν λέγειν περᾶναι τὸν ἀριστοτέχνην Θεὸν, ἀλλὰ καὶ ἀκεστὴν ἐπιζητεῖν, ὃς εἰδοποιήσει (2) τὴν ὕλην; ὥσπερ οὐκ ἐνὸν καὶ τόδε πρὸς τοῖς ἄλλοις τελέσαι μόνῳ βουλήματι.

A homo tale quidpiam dixerit : esset enim a ratione et sapientia remotissimum. Quod si humanum captum superat vestimentorum hæc gestio et conservatio (permanent enim, quod vel omnium maxime mirandum, incorrupta, ut nos quidem credimus), quomodo, quæso, non valde absurdus esset is, qui præpotentem optimumque opificem ædificatoremque mundi Deum non omnia perficere posse diceret, sed sartorem etiam requirere, qui materiam forma insigniat? quasi non posset, ut cætera, sic hoc quoque voluntate sola sua efficere.

ζ'. Καὶ ὁ Πέρσης ἥσθη τε διαφερόντως τοῖς τῶν υἱέων λόγοις, καὶ, Καλῶς μοι δοκοῦσιν, εἶπεν, οἱ νέοι βεβοηθηκέναι τοῖς ὑπὸ σοῦ λεγομένοις, εὖ καὶ δίκαια πράξαντες, τῆς πρὸς αὐτούς μοι παραινέσεως μνημονεύοντες. Ἥδομαι γὰρ, πῶς οἶει, ὅτι καὶ τοῦ φύσαντος ἐμοῦ τἀληθὲς προτιμῶσι. Ναὶ ὄντως, ἔφην, ὦ βέλτιστε· οὗτοί τε γάρ μου τῷ λόγῳ λαμπρῶς συνεῖπον· σύ τε δίκαιος ἥδεσθαι, οἷς οἱ παῖδές σοι τῆς ἀληθείας ἄγουσιν οὐδὲν τιμιώτερον. Πλὴν μοι τὸν παράδεισον φράζε, καὶ τὴν αὐτοῦ διατριβὴν, καὶ τὴν ἀπόλαυσιν πᾶσαν, καὶ πρός γε ἔτι τὴν δόξαν, ἧς μεθέξουσιν ἅπαντες, ὅσοι δὴ τὰ ἱμάτια ἀμφιέσονται· οἷς καὶ θαῦμα μέμικται, εἴπερ ἀληθές ἐστιν, ὡς ἄρα κρείττω ταῦτά γε διαμενοῦσι φθορᾶς· πολύ μοι γὰρ, εὖ ἴσθι, ταῦτα παρέχει διαπιστεῖν. Δίδαξον δέ με πρὸς τοῖς ἄλλοις καὶ τόδε· πάντες ἀμφιέσονται ταῦτα, ὅσοι δὴ τῆς ὑμετέρας θρησκείας; ἢ ἔνιοι μὲν αὐτῶν, ἔνιοι δὲ οὔ; καὶ εἰ ἔστιν ἀπολαῦσαι μειζόνων ἀγαθῶν φανέντας ἄνδρας ἀγαθοὺς καὶ βεβιωκότας βίον φίλον Θεῷ, ἢ μέχρι καὶ τοῦ παραδείσου στήσεται τούτοις ἡ εἴτε χάρις εἴτ' ἀμοιβὴ τῆς τῶν τρόπων ἀρετῆς; καὶ διὰ τὰ ἔργα τούτοις, ἢ διὰ τὴν πίστιν ἔσται ταυτὶ τἀγαθά;

7. Quæ cum dixissent, summam mihi e filiorum sermonibus voluptatem capere visus est Persa, et, Næ medius fidius, inquit, pulchre tuis dictis adolescentes isti sunt patrocinati, idque recte ac jure merito, quod meam ad ipsos adhortationem meminerunt. Nam quod veritas ab illis vel mihi patri antefertur, vehementer lætor. Ita est, inquam, optime vir : isti luculenter meæ suffragati sunt orationi : filiosque tuos veritate nihil antiquius ducere merito lætare. Sed enim nunc de paradiso mihi narra, et de beatorum in eo statu, et de voluptatibus quas percipiunt : item de muneribus coronisque eorum qui vestibus illis, quas dixisti, induentur : quibus tamen vestibus aliquid admistum esse oportet miraculi, si quidem verum est, corruptionis expertes eas esse permansuras : quocirca de tota re, mihi crede, addubitare nimio plus incipio. Illud autem me præter cætera edoceas obsecro : an hujusmodi vestibus induentur omnes quicunque religionem vestram profitentur? vel partim quidem induentur, partim vero non item? an majoribus quibusdam bonis frui possunt, qui viros probos se demonstrarunt, gratamque Deo vitam vixerunt, vel ipso paradiso circumscribetur illa aut gratia aut virtutum remuneratio? denique, an propter opera, vel propter fidem, hæc eis obtingent bona?

η'. Ἀλλά σοι πάντα πειράσομαι, φησὶ, διηγήσασθαι, ἢν ὁ καιρὸς ἐπιτρέψῃ. Καὶ γὰρ τὸ λέγειν τοιαῦτα, ἢ ἀκούειν ἄλλου τοῦ λέγοντος, ἔμοιγε καὶ μέλιτος ἥδιον. Ῥητέον δ' ἂν εἴη πρῶτον περὶ τοῦ πρώτου. Ἴσθι τοίνυν, ὡς ἐλίγοι κομιδῇ μετεῖχον ἂν τῆς μακαρίας ζωῆς καὶ τῶν ἐν παραδείσῳ καλῶν, εἴπερ ὁ Χριστὸς ἀκριβῶς τῶν ἡμῖν πεπραγμένων τὰς εὐθύνας ἀπῄτει. Αὐτὸς γὰρ καθεδεῖται πάντων κριτὴς δικαιότατος· ἴσμεν τοῦτο πάνυ καλῶς· πνοή τε γάρ ἐστι, καὶ ψυχὴ, καὶ Λόγος ζῶντος Θεοῦ, καὶ ἐκ Παρθένου τεχθεὶς, φυλάξας ταύτην καὶ μετὰ τόκον, ὡς δὴ καὶ πρότερον ἦν· ἀλλὰ τὸν Μωάμεθ πλεῖστα φιλῶν, ὑπὲρ τῶν ἐπταικότων παραιτούμενον, αἰσχυνθήσεται, καὶ οὐκ ἀποπέμψει τοῦτον κενὸν ἐλπίδων· ὅθεν οἱ πάντες σχεδὸν σωθήσονται, λέγω δὴ τοὺς ἡμετέρους. Ὁ δὲ δὴ τρόπος τῆς σωτηρίας καὶ ὁ παράδεισος οὕτως ἔχει. Τάφρος αὐτὸν τὸν παράδεισον περικυκλοῦσα βαθεῖα, ἥτις γε αὐτόματος γέγονε, τοῖς πᾶσι τοῦτον ἄβατον ἀπεργάζεται· καὶ γάρ τοι πίττης πλήρης ἐστὶν, ἥτις δὴ πυρὶ ἀσβέστῳ ἐκπυρουμένη τὸν πάντα χρόνον σφόδρα τε

8. Conabor, inquit, si quidem per tempus licuerit, enarrare tibi hæc omnia. Etenim de hujusmodi rebus vel dicere, vel aliquem dicentem audire, vel melle mihi est dulcius. Primum autem de primo. Scire igitur te velo, felicis illius vitæ, bonorumque quæ in paradiso percipientur, participes fore admodum paucos, si Christus accuratam actionum nostrarum rationem a nobis exigeret. Ipse enim sedebit omnium justissimus judex : pulchre id scimus : spiritus enim est, et anima, et Verbum viventis Dei, natus ex Virgine, quam post partum etiam, ut erat ante, conservavit : sed Moamethi, quem eximie diligit, pro lapsis intercedentis deprecantisque rationem habebit, neque eum sua spe frustratum dimittet : unde omnes fere, nostros dico, servabuntur. Salutis autem ratio et paradisus sunt hujusmodi. Paradisum fossa circumdat profunda, nativa, aditu omnes arcens : ea fossa pice repleta est, quæ inexstinguibili flagrans flamma perpetuo bullit, omnique tempore circumfluit in fossa, infandumque exhibet auribus fragorem, et horribile

(1) Cod. Coisl. ἤ.

(2) Forte, εἰδοποιήσῃ.

Digitized by Google

quoddam spectaculum oculis. Est porro paradisi porta una, pons unus : is pons gladius est mirum quantum acutus, super quem nudis pedibus transire oportet, ut quis paradisi fiat particeps : alio modo eo pervenire non licet. Quibuscunque igitur leve corpus erit, et aligerum, ut ita dicam, hi nulla re læsi transibunt, ad beatorumque regionem pervenient : quicunque autem peccatorum pondus secum circumferunt (sunt autem ii numero plures), acie hi læsi deorsum præcipitabuntur. Sed pro iis tamen, ut dixi, propheta noster amantem sui judicem deprecabitur, obtinebitque quæ volet : id quomodo fiet, jam nunc dicam.

9. Postquam totum confectum fuerit judicii negotium, Jesus Moametho, quem singulariter diligit, hanc optionem dabit : utrum malit eos qui eadem fide fuerint, etiamsi ex alio genere, diversaque superstitione ad nos accesserint, ex fossa eripere fruendisque paradisi deliciis donare : an eos qui genere ipsum attingant, quamvis non ejusdem religionis cultores esse deprehendantur. Tum Moamethus discipulos potius eliget quam propinquos : Christique auctoritate fretus ad fossam cito devolabit, et stans in crepidine inclinato capite suam ipse comam prehendi sinet, et uno quoque capillorum (non dubito quin mirere quod audies) incredibilem discipulorum numerum, qui facinorum pœnas pendunt, e fossa tollet. Atque ita fit, hospes, ut servatus fuerit quicunque in Moamethum sincere sperarit, beatus ille ab immortalitate et honore, beatus a deliciis quibus perfruetur in paradiso, quas jam nunc tempus est ut dicendo persequar. Sed, dii boni, quidnam ex illis rebus primum enarrabo? omnia sunt divine pulchra : singula suadent, ut, cujuscunque prius memineris, id primum humana celebret lingua.

10. Florum enim varietas, fructuum abundantia, omnis generis frugum nobilitas, plantarum semper virentium gratia, cespes nullo unquam modo arescens, aquarum limpidissimarum effusio et murmur, suavius quam Sirenum cantus aures permulcens, omnia denique quæ olfactum aliumve quemvis sensum oblectare possunt, in summa, quidquid venustum, quidquid magnum, quidquid splendidum a Dei immortalis manu constructum est, id omne, hospes, in ornamentum cedit paradiso : id omne cum mirabiliter exornat : id omne locum facit qualibet tristitia superiorem. Duo porro amnes perennes, maximi, latera ejus alluentes, eum complectuntur, et cœlestem, ut ita dicam, concentum edunt : paradisumque scindentes mediumi, postea ipsi divisi in multas partes dilabuntur, denuoque in unum confluunt, in seque præcipitant, quasi animati perpetuam aliquam saltationem exercerent, spectatoribusque exhiberent. Nec eorum alteruter aquam habet: ambo, ut cum inspexeris et audieris, ita cum gustaris, incredibili te voluptate permulcent : melle alter, lacte alter manat : remunerationisque ambo

(1) Cod. reg. δσφησιν

ζεῖ, καὶ περιῤῥεῖ ἐν τῇ τάφρῳ διηνεκῶς, καὶ δοῦπον ἀποφράδα παρέχει ταῖς ἀκοαῖς, καὶ φρικτήν τινα θέαν τοῖς ὀφθαλμοῖς. Μία δέ τις θύρα τῷ παραδείσῳ, καὶ γέφυρα μία· ἥδ' ἐστὶ ξίφος τομώτατον πῶς οἶει, ὃ δεῖ γυμνοῖν τοῖν ποδοῖν διελθόντας τοῦ παραδείσου μετέχειν· ἄλλως δ' οὐκ ἔνεστιν ἐκείνου τυχεῖν. Ὅσοις τοίνυν τὸ σῶμα κοῦφον, καὶ ὑπόπτερον, ὡς ἂν εἴποι τις, μηδὲν παραβλαβέντες διαβήσονται, καὶ τεύξονταί γε τοῦ χώρου τῶν μακαρίων· ὅσοι δ' ἄχθος ἁμαρτιῶν περιφέρουσιν (εἰσὶ δ' ἂρ' οἱ πλείους), τῷ σιδήρῳ τεμνόμενοι κατενεχθήσονται. Ἀλλὰ περὶ τούτων, ὡς ἔφην, ὁ ἡμέτερος προφήτης τὸν φιλοῦντα κριτὴν παραιτήσεται, καὶ τῆς αἰτήσεως ἐπιτεύξεται· τὸ δ' ὅπως, ἔρχομαι λέξων.

Θ'. Μετὰ τὸ τέλος πάντα σχεῖν τὰ τῆς κρίσεως, προθήσει τῷ Μωάμεθ ὁ διαφερόντως αὐτὸν φιλῶν Ἰησοῦς αἵρεσιν τήνδε· ἢ τοὺς ὁμοπίστους αὐτῷ, εἰ δὴ καὶ ἐξ ἄλλου γένους καὶ θρησκείας προσεληλύθεσαν, ἐξελέσθαι ἐκείνης τῆς τάφρου, καὶ τῆς ἐν τῷ παραδείσῳ δοῦναι τρυφῆς ἀπολαύειν· ἢ τοὺς αὐτῷ προσήκοντας κατὰ γένος, εἰ καὶ τῆς αὐτῆς αὐτῷ θρησκείας οὐχ εὑρηνται. Ὁ δὲ τοὺς φοιτητὰς μᾶλλον ἢ τοὺς ἐκ γένους αἱρήσεται· καὶ λαβὼν τοὐνδόσιμον ταχὺ δραμεῖται παρὰ τὴν τάφρον, καὶ πρὸς ταῖς ταύτης ὄχθαις στάς, κλίνας κάτω τὴν κεφαλήν, δώσει τῆς κόμης λαβέσθαι, καὶ ἑκάστῃ τῶν τριχῶν (θαυμάσεις εὖ οἶδ' ὅτι ἀκούσας) μυριάδας ἀνελεῖται τῶν αὐτοῦ, τινόντων δίκην τῶν πεπραγμένων. Τοῦτον τοίνυν ἀμηγέπη τὸν τρόπον πᾶς ὁ καθαρῶς ἐλπίσας εἰς τὸν Μωάμεθ σωθήσεται, μακάριος μὲν τῆς ἀθανασίας καὶ τῆς τιμῆς, μακάριος δὲ τῆς ἐν τῷ παραδείσῳ τρυφῆς, ἣν δὴ καιρὸς ἂν εἴη διεξιέναι. Τί δὲ πρῶτον τῶν ἐκεῖ διηγήσομαι; πάντα γὰρ καλὰ λίαν· καὶ τὴν γλῶτταν ἕκαστον πείθει, ὅτου τις ἂν πρώτου μνησθῇ, περὶ αὐτοῦ γε πρῶτον εἰπεῖν.

ι'. Αὐτίκα τοίνυν ἀνθέων τε ποικιλία, καὶ καρπῶν ἀφθονία, καὶ παντοδαπῶν ὡραίων εὐγένεια, καὶ φυτῶν ἀειθαλῶν χάρις, καὶ πόα μηδαμῶς μηδέποθ' ὑπομένουσα φθίσιν, καὶ διειδεστάτων ὑδάτων ῥοὴ σὺν ἠχῳ τῶν Σειρήνων ἄμεινον τὴν ἀκοὴν γοητεύοντι, καὶ πάνθ' ἃ τὴν ὄσφρησιν (1) θέλγει καὶ τὴν ἄλλην αἴσθησιν πᾶσαν, καὶ ὅλως, εἴ τι χαρίεν, καὶ μέγα, καὶ λαμπρὸν, ἅτε δὴ χειρὶ Θεοῦ κατεσκευασμένον, τῷ παραδείσῳ γίγνεται κόσμος· καὶ ὡραΐζει τοῦτον πῶς οἶει· καὶ ποιεῖ χωρίον λύπης ἀνώτερον. Καὶ δῆτα ποταμοί τινες δύο, ἀέννοοί τε καὶ παμμεγέθεις, κυκλοῦσί τε αὐτὸν περιῤῥέοντες, καὶ κομιδῇ δαιμόνιον ὥσπερ ἀναπέμπουσι μέλος· εἶτα τοῦτον τέμνοντες μέσον, καὶ αὖ οἷδε τεμνόμενοί τε καὶ εἰς πολλὰ διαιρούμενοι, καὶ πάλιν εἰς ταυτὸ συνερχόμενοι, καὶ εἰς ἀλλήλους ἐμβαλόντες, καθάπερ ἔμψυχοί τινες χορείαν ἐξελίττειν διηνεκῆ δόξαιεν ἂν τοῖς ὁρῶσι. Τούτοιν οὐδέτερος ὕδωρ· ἑκάτερος δ', ὥσπερ τρυφή τις ἄκρα θεώμενός τε καὶ ἀκουόμενος, τὸν ἴσον τρόπον καὶ μεταλαμβανόμενες· μέλι μὲν γὰρ ὁ ἕτερος, γάλα δ' ὁ λοιπὸς ὧν τυγχάνει· οἳ δὴ μισθός ἐστον (2) καὶ ἀντίδοσις τοῖς ἐνταῦθα καθαρεύουσιν οἴνου. Βαθαὶ

(2) Cod. Coisl. ἐστι.

Digitized by Google

τῆς εὐεργεσίας! οἷς πρόσκαιρον ἀκόλαστον ἡδονὴν ἀπεκρούσαντο, αἰωνίου σώφρονος ἀπολαύσουσιν.

ια'. Τί χρὴ καταλέγειν τὰς ἡμῖν ἐπηγγελμένας θείας τρυφάς; Ἂν τε γάρ τις φίλιππος ᾖ, καὶ θήρᾳ χαίρων, καὶ τόξοις, καὶ κυσὶ, καὶ χειροήθεσι πτηνοῖς (τουτοισὶ φημι τοῖς θηρευτικοῖς, οἷς τὰ ἐδώδιμα χειρούμεθα), ἄν τε τὴν ἐσθῆτα φιλότιμος, καὶ τῷ συνεῖναι κόραις ἐντρυφῶν, καὶ πᾶσιν, ἵνα συνέλω, ἅπερ εἰς ἡδονὴν ὁ νοῦς ἡμῖν δυνήσεται πλάσαι, πάρεστιν εὐθὺς βουληθεῖσιν· οὐ γάρ ἐστιν οὗ δεηθέντων ἐκεῖνο μὴ φθάσοι τὴν ἔφεσιν, πολλῷ τῷ περιόντι ταύτην νικῶν. Τοσαύτην γε τὴν ἀμοιβὴν ἀπολήψονται παρὰ τοῦ δικαίου Δεσπότου καὶ ἀγαθοῦ, ὅσοι δήπουθεν καλῶς τὰ διατεταγμένα τηρήσουσιν. Ἀλλ' ἡ τῶν προσκαίρων ἀπάτη πείθει τοὺς πολλοὺς κατολιγωρεῖν τῆς ἀπορρήτου δόξης ἐκείνης καὶ τῆς τρυφῆς, καὶ πρόσκαιρον καὶ μικρὰν ἡδονὴν τῆς ὡς ἀληθῶς μεγίστης τε καὶ ἀϊδίου ἀνταλλάττεσθαι· οὔ τί γένοιτ' ἂν εὐηθέστερόν τε καὶ σχετλιώτερον; Ἰδού σοι κατὰ σκοπὸν (ὡς δοκῶ μοι), τὴν ἀπόκρισιν ἀποδέδωκα, περὶ ὧν αὐτὸς ἐπυνθάνου· εἰ δέ τι καὶ ἐπὶ πλέον ἀκούειν ἐθέλεις, εἰπὲ, καὶ ἐν χεροῖν τὸ ποθούμενον. Ἤδη γὰρ πάρειμί σοι πρόθυμος, πᾶν ὅπερ ἂν κελεύσειας (1) ἐκτελέσων.

ιβ'. Ἀλλ' ἄλις, ἔφην, διεξῆλθες τὰ τῆς Ἐδέμ· ὅπως δ' ἀμυνεῖς γενναίως τοῖς εἰρημένοις, περὶ ὧν ἂν ἔχοιμι νῦν προφέρειν· οὐδὲ γὰρ πάντ' ἐλέγχειν βουλήσομαι τὰ προειρημένα σοι, οὐδ' ἐκεῖνά γε πάντως, ὅσ' ἐκ τούτων μοι δοκοῦσιν ἀνίσχειν τὰ ἀτοπήματα· ἦν γὰρ ἄν, ταυτὶ βουληθεὶς, εἰς λόγων πέλαγος ἐμπεσών· οὕτω μοι πολλὰ φαίνεται. Ταυτὶ μὲν οὖν σιωπήσομαι· πειράσομαι δέ σοι δεῖξαι, ὡς ἀνοϊδός τε ὤν, σαθροὺς τοὺς θεμελίους τῶν εἰρημένων σοι· κἂν τοῦτο γένηται, οὐδείς σοι πάντως τῶν λοιπῶν ἔσται λόγος. Οὐδὲ γὰρ μελήσει σοι τῆς οἰκοδομῆς, ἀνατετραμμένης τῆς ὑποβάθρας. Ἔφησθα τοίνυν, ὡς ὁ Χριστὸς καθεδεῖται πάντων κριτὴς δικαιότατος μετὰ τὴν τούτων ἀνάστασιν. Εἶτα λέγεις, αὐτὸν αἰσχυνθήσεσθαι τὸν Μωάμεθ παραιτούμενον, ὡς ὄντα λίαν τούτῳ πεφιλημένον· καὶ τὴν ὑπὲρ τῶν ἐκείνου μαθητῶν τε καὶ ὀπαδῶν ψῆφον πρὸς χάριν οἴσειν διισχυρίζῃ. Τὸ δὲ πρὸς χάριν οὐ δίκαιον· ὅτε καὶ τὸ δίκαιον οὐκ ἂν ποτε εἴη χάρις. Ὅθεν οὐδαμῶς συμβαίνει τὰ εἰρημένα, ἀλλὰ καὶ διαφερόντως ἀλλήλοις διαφέρεται. Τὸ γὰρ ἴσην δοῦναι δίκην τοὺς ἐν τάφρῳ τε καὶ τῇ πίττῃ, ὡς ἴσα δήπουθεν πεπλημμεληκότας· εἶτα, τοὺς μὲν αὐτῶν ἄχρι τοῦ παντὸς ἐᾶσαι κολάζεσθαι, ὡς μὴ δυνηθέντας λαβέσθαι τῶν τοῦ Μωάμεθ τριχῶν, τοῖς δὲ τυχοῦσι τούτων, καὶ ἀνελθοῦσι, καὶ αὐτὸν δὴ τὸν παράδεισον δοῦναι κληρονομῆσαι (ὃς τοῖς ἀριστεῦσι μόνοις ἆθλόν τε καὶ γέρας ἀφώρισται), ποῦ δὴ ταῦτ' ἐστὶ τὰ δίκαια τιμῶντος ἀνδρός; μήτοι γε κριτοῦ τοιούτου, καὶ ψυχῆς τε καὶ πνοῆς καὶ Λόγου Θεοῦ, τοῦτο

(1) Cod. Coisl. κελευσει.

loco erunt iis qui in hac vita vino se abstinuerint. Quantum, bone Deus, beneficium! illi quod brevem et intemperantem voluptatem rejecerunt, ideo sempiterna temperantique perfruentur.

11. Quid opus est amplius promissas nobis divinas delicias recensere? Si quis equis studet, sive venatione gaudet, arcuque, canibusve, aut alitibus mansuetis (de venatoriis illis loquor, quibus bestias victum nobis suppeditantes capimus), sive vestium splendorem affectat, puellarumque congressu delectatur, omnia denique, ut breviter dicam, quæcunque in voluptate mens effingere nobis potest, ea volentibus statim adsunt: nec enim ullam rem desiderant, quæ non ipsorum etiam desideria prævertat, abundantissimeque superet. Hujusmodi, hospes, remunerationem ab justissimo optimoque Deo omnium rerum Domino accipient, qui ejus præcepta recte servarint. At enim rerum terrestrium error plerisque persuadet, ut ineffabiles illas delicias gloriamque negligant, brevemque ac parvam voluptatem vere maxima et sempiterna illa chariorem habeant: quo quid stolidius fieri, quid miserabilius possit? Hæc mihi fere in mentem veniebant, quibus congruum (ut opinor) voluntati tuæ responsum redderem de illis rebus, de quibus interrogabas: quod si quid amplius audire velis, dicas per me licet, et quod optas in manu erit. Adsum enim tibi, hospes, ad quodcunque jusseris exsequendum.

12. Satis tu mihi, inquam, quæ ad Eden pertinent, dicendo percurristi: sed vide sis, hospes, ut dicta tua fortiter defendas adversus ea saltem, quæ nunc tibi possim objicere: nec enim omnia abs te dicta volo redarguere, nec in universum illa subinsulsa, quæ sequi videntur ex principiis tuis: nam si vellem, in quoddam quasi verborum pelagus inciderem: adeo multa mihi videntur. Illa igitur silentio prætermittam: tibi vero, quantum in me erit, ostendere conabor, quam infirma, hospes, mihi videantur dictorum tuorum fundamenta: quod si factum fuerit, cæterorum nullam omnino rationem habere poteris. Nam eversa basi, de ædificio, credo, non curabis. Dixisti igitur, Christum post hominum resurrectionem justissimum omnium judicem esse sessurum. Deinde dicis fore, ut Moamethi, quem eximie diligit, pro hominibus deprecantis rationem habeat, eumque a gratia flexum de illius discipulis sectatoribusque sententiam laturum esse affirmas. Hoc autem, a gratia flexum, justum non est: quia, quod justum est, gratia esse nequit. Unde quæ dixisti nequaquam congruunt, sed vehementer etiam inter se pugnant. Nam primum quod ii, qui in fossa et pice detinentur, æquales pœnas persolvunt, utpote qui æqualiter peccaverint: tum, eorum quosdam ad æternum supplicium detrudere, quod Moamethi capillos prehendere non potuerint: deinde, cæteris, qui eos prehenderint et ascenderint, hæreditatis loco paradisum dare (qui præstantibus tantum viris ut præmium et corona reservatus est): suntne hæc viri

Digitized by Google

jus et æquum æstimamis? nedum hujusmodi judicis qui paulo ante Dei anima, spiritus et Verbum a vobis nominabatur? Atqui si Moamethus cognatos suos potius quam discipulos malis eripere voluisset, certe in æternis suppliciis discipuli remansissent : nunc vero, propinquis dimissis, cum qui eadem religione essent ex tenebricosa illa flamma voluerit educere, ne hoc quidem perfecit.

15. Nam habito quidem ad quosdam respectu ex animi sententia rem confecit : cæteri autem in gurgite derelicti sunt, etiamsi omnes ille ex fossa extrahere voluerit. Sed fac, secundum propositum et voluntatem Moamethi hoc accidisse ,quoniam, obsecro, justo judicio fieri potuit ? Omnes enim eadem religione erant, nimiamque aliquam peccatorum multitudinem ferebant. Proinde vel omnes propter fidem liberare oportebat, vel omnes pœnæ tradere propter peccatorum magnitudinem. Nunc vero, quia criminibus similibus obstrictos non eodem modo remunerat, certe aut his gratificatur, aut illos injuria afficit, aut (quod tertium superest) non potuit perficere id quod volebat: quanquam hac quoque via omnes e malis liberari necesse erat. Nempe Alin, ut prophetam et Dei amicum, plurimos supplicio eripere beatæque vitæ participes efficere decebat, idemque facere Fatmen, tui prophetæ filiam, quæ multos ipsa conjugi suo Ali prophetas peperit. Ita unusquisque eorum quantum ab judice diligitur, tantum poterit apud ipsum : adeo ut alius quidem plures, alius pauciores, quilibet tamen a Deo dilectus aliquos e sontibus liberare possit, tanto quisque (opinor) numero, quantum dilectus est. Hoc sequitur ex iis quæ dixisti. Nam si tuus propheta eo, quod a Deo valde diligitur, infinitum eorum qui puniuntur numerum servabit, cæteri quoque prophetæ omnes idem facere possunt; nullus enim eorum est, quem non ipse judici omnium hominum amicum esse affirmes.

14. Igitur, si vera tibi justaque dicere videor, nec, ut certe scio, meis dictis infensius adversaris (non enim mecum præter rem contendere voles : id ex multis tuis et præclaris virtutibus conjicio) : quid facere non posset infinita illa vestrorum prophetarum multitudo, pro iis qui puniuntur amicum judicem deprecans? quid non, quicunque antiqua lege servabuntur, si vera est, nec subinanis, tua opinio? Cedo, quæso, ubi collocabis Moysen, tantum virum? ubi David regem? ubi cum illo reliquam omnem seriem generis, ex qua secundum carnem Christus est natus? Num solus Moamethus dolore fractus pro iis qui puniuntur intercedet? hi vero lapidei quodammodo erunt, suppliciisque affectos homines absque ullo doloris sensu aspicient? nonne pulcherrimum illius factum, quod bene successerit, ad miserationem eos etiam commovebit? non persuadebit, ut si quid orarint, rei

A δὴ τὸ πρὸ μικροῦ ὑφ' ὑμῶν εἰρημένον, Καὶ μὴν εἰ ὁ Μωάμεθ εἵλετο τοὺς συγγενεῖς ἢ τοὺς φοιτητὰς αὐτοῦ τῶν δεινῶν ἐξελέσθαι, ἔμειναν ἂν οἱ φοιτηταὶ ἀπέραντα κολαζόμενοι· νῦν δὲ, χαίρειν ἐάσας τοὺς αὐτῷ προσήκοντας, τοὺς δὲ τῆς αὐτῆς θρησκείας αὐτῷ τῆς σκοτεινῆς φλογὸς ἐκείνης ἐθελήσας ἐξαγαγεῖν, οὐδὲ γοῦν τοῦτο κατέπραξεν.

ιγ'. Πρὸς μὲν γὰρ τοὺς ἐξέβη τούτῳ τὸ πέρας κατὰ τὴν πρόθεσιν· οἱ δ' ἐναπελείφθησαν τῷ βαράθρῳ, τούτου πάντας βουληθέντος ἐξελέσθαι τῆς τάφρου. Εἰ δὲ κατὰ γνώμην τούτου γέγονε ταῦτα, τίνι δικαίᾳ γέγονε ψήφῳ; Πάντες γὰρ καὶ τῆς αὐτῆς θρησκείας ὄντες ἐτύγχανον, καὶ σὺ φορητόν τι πλῆθος ἁμαρτιῶν φέροντες. Ἢ γοῦν τοὺς πάντας ἀνελέσθαι ἐχρῆν διὰ τὴν πίστιν, ἢ τοὺς ἅπαντας ἐᾶσαι κολάζεσθαι διὰ τὸ τῶν ἁμαρτιῶν μέγεθος. Νῦν δὲ τοῖς ἴσοις ἐνεχομένους οὐ τοῖς αὐτοῖς ἀμειβόμενος, ἢ τουτοισὶ χαριζόμενος, ἢ ἐκείνους ἀδικῶν φαίνεται, ἢ (τό γε τρίτον) μὴ δυνηθεὶς, ὅπερ ἐβούλετο, πρᾶξαι. Καίτοι γε καὶ τῇδε πάντας ἐχρῆν τῶν κακῶν ἐλευθερωθῆναι. Τὸν γὰρ Ἀλῆν, προφήτην τε καὶ φίλον ὄντα Θεοῦ, πλείστους τῶν δεινῶν ἁφαρπάσαι (1) καὶ τῆς μακαρίας δεῖξαι μετόχους ζωῆς, καὶ πρός γε ἔτι τὴν Φατουμᾶν (2) τοῦτο δρᾶσαι, θυγατέρα μὲν οὖσαν τοῦ σοῦ προφήτου, πολλοὺς δὲ πάλιν προφήτας φύσασαν ἐκ τοῦ συζύγου ταύτης Ἀλῆ. Ἕκαστος γὰρ καθ' ὅσον φιλούμενός ἐστι τῷ κριτῇ, κατὰ τοσοῦτον δυνήσεται παρ' αὐτῷ· ὥσθ' ὁ μὲν πλείους, ὁ δὲ ἐλάττους, πᾶς τις δὲ ὅμως δυνήσεται τῶν τῷ Θεῷ φιλουμένων τινὰς τῶν ὑποδίκων ἐλευθερῶσαι, καὶ τοσούτους ἕκαστος (οἶμαι), καθόσον ἐστὶ φιλητός. Τοῦτο δὲ ἀπὸ τοῦ σοῦ συμπεραίνεται λόγου. Εἰ γὰρ τῷ φιλεῖσθαι ἐπιεικῶς ἀριθμὸν ἀμύθητον σώσει κολαζομένων ὁ σὸς προφήτης, ταυτὸν ἂν δράσαιεν καὶ οἱ ἄλλοι πάντες προφῆται· οὐδεὶς γὰρ δήπουθεν τούτων, ὃν οὐκ ἂν αὐτὸς φήσαις φίλον εἶναι τῷ κριτῇ τῶν πάντων ἀνθρώπων.

ιδ'. Εἰ τοίνυν σοι δοκοῦμεν ἀληθῆ καὶ δίκαια λέγειν, καὶ οὐκ ἀντιτείνεις, εὖ οἶδα (οὐδὲ γὰρ ἀκαίρως καταδέξῃ φιλονεικεῖν· πολλοῖς σοῖς τοῦτο τεκμαίρομαι)· τί οὐκ ἂν ἰσχύσαιεν πρᾶξαι αἱ τῶν ὑμετέρων προφητῶν μυριάδες (3), ὑπὲρ τῶν κολαζομένων τὸν φίλον κριτὴν παραιτούμενοι; οὐ μὴν ἀλλὰ καὶ πάντες οἱ ἐν τῷ νόμῳ σωθήσονται, εἴπερ ἡ δόξα σου ἀληθὴς καὶ οὐ ψευδής τις, οὖσα τυγχάνει; Ποῦ γὰρ θήσεις, εἰπέ μοι, καὶ Μωϋσῆν τὸν τοσοῦτον; καὶ Δαβὶδ τὸν βασιλέα; καὶ σὺν αὐτῷ τὴν ἄλλην πᾶσαν σειρὰν τοῦ γένους, ἐξ ἧς τὸ κατὰ σάρκα Χριστός; Ἢ ὁ μὲν Μωάμεθ ὑπὲρ τῶν κολαζομένων καμφθεὶς παραιτήσεται, οὗτοι δὲ λίθινοί τινες ἔσονται, ἀναλγητὶ τοὺς ἐν τῇ κολάσει θεώμενοι; καὶ οὐδὲ τὸ ἐκείνου κατόρθωμα ἐρεθίσει τούσδε πρὸς ἔλεον, οὐδὲ πείσει πάντως θαῤῥεῖν ὡς οὐχ ἁμαρτήσουσι δεησόμενοι; Ἀλλ' οὐκ ἂν εἴποις, ὅταν γε μὴν πρὸς τοῖς ἄλλοις ἅπασι πρεσβευταῖς

(1) Supple, ἐχρῆν.
(2) Cod. Coisl. Φατουσᾶν.
(3) Hic in codd. miniatis litteris scriptum est ad oram : Σημείωσαι· οἱ Τοῦρκοι λέγουσιν εἶναι τοὺς προφήτας αὐτῶν ρμδ'. Id est : *Nota : Turcæ dicunt, suos prophetas numero esse CXLIV.*

Digitized by Google

(τοῖς ἡμετέροις λέγω), καὶ τὴν τοῦ Σωτῆρος μητέρα ἐνθυμηθῇς, συγγνώμην γε ἐξαιτουμένην ὑπὲρ τῶν εἰς γέενναν ἐμβληθέντων· ἥτις δὴ μήτηρ ἀπόχρη καὶ μόνη τὸ πᾶν ἐργάσασθαι, εἴπερ εἰκὸς ἦν τοῦτο γενέσθαι. Τί ἂν εἴποις; ἢ δῆλον, ὡς οὐδεὶς τῶν φαύλων ἀνθρώπων δίκην τίσειεν ἄν, ἀλλ' ἅπαντες μὲν ἀνδροφόνοι καὶ μέθυσοι, ἅπαντες δ' ἅρπαγες, καὶ ἀκόλαστοι, καὶ λωποδύται, καὶ ἱερόσυλοι, καὶ ὁ τῶν τοιούτων ὁμὸς τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσουσι; Τὸ γὰρ ἑτέρως φρονεῖν ἐπιεικῶς ἀνάρμοστον. Δυοῖν δὲ θάτερον, φίλ' ἑταῖρε, λέγειν ἀνάγκη· ἢ τὰ δίκαια τηροῦντος τοῦ κριτοῦ, μηδένα τῶν εἰς κόλασιν ἐμβληθέντων ἐκεῖθεν ἐξελθεῖν τῇ τοῦ Μωάμεθ φιλίᾳ (τὸ γὰρ ὑμέτερον λέγω δόγμα)· ἢ καὶ πρὸς πάντας τοὺς ἐκεῖ ἴσως ἐκεῖνον διατεθῆναι, καὶ μηδοντινοῦν κολασθῆναι. Ταύτῃ γὰρ ἂν ἧν περισώζων καὶ τὸ φιλάνθρωπον αὐτοῦ, καὶ τὸ πρὸς τὴν ἑαυτοῦ μητέρα καὶ πάντας δίκαιον· ἄλλως δ' ἂν πάντως χωλεῦον ἦν που κατά τι ἢ τὸ φιλάνθρωπον αὐτοῦ, ἢ τὸ δίκαιον, ἢ καὶ πάνθ' ὁμοῦ, φασί, χρήματα· καθαπερεὶ γὰρ φύρεται καὶ συγχεῖται τὰ τοῦ Θεοῦ πράγματα τῷ προειρημένῳ σοι λόγῳ. Εἰ γὰρ οὐδὲν τῶν ἀγαθῶν οἱ φαῦλοι χείρους ἐφαίνοντο, μάταιον μὲν τὸ φεύγειν ἥττω φανῆναι τῶν ἡδονῶν, μάταιον δὲ τὸ περὶ πλείστου ποιεῖσθαι κρείττω γενέσθαι θυμοῦ, κενὸν δὲ ἄρα καὶ τὸ τῶν ἀλλοτρίων ἀπέχεσθαι. Τούτων δὲ οὕτως ἐχόντων παρέλκον ἂν γένοιτο καὶ τὸ τὸν Χριστὸν κατελθεῖν ἐκ τῶν οὐρανῶν, κρῖναι πᾶσαν τὴν γῆν, ὅπως δικαίαν ἀμοιβὴν τῶν πεπραγμένων ἕκαστος λάβοι. Πόθεν ἂν οὖν δίκαιον, ὦ ἀγαθέ, νοῦν ἔχοντ' ἄνδρα τοιαῦτα λέγειν;

compotes fore se quoque confidant? Sed hoc nequaquam dixeris, dummodo præter omnes cæteros deprecatores (nostros dico) in mentem tibi veniat Servatoris ipsius mater, pro dejectis in gehennam supplicans: quæ quidem mater sola huic toti negotio conficiendo, si quidem ullo omnino modo fieri posset, prorsus sufficeret. Jam vero quid dicis? nonne palam est, improborum hominum sic neminem esse pœnas daturum, sed homicidas omnes, ebriosos, raptores, libidinosos, grassatores, sacrilegos, totumque hujusmodi gregem sempiternis bonis esse fruituros? Siquidem aliter sentire non potes. Necesse est enim, dulcissime amice, ut alterum dicas de duobus: aut, judice æquitatem servante, neminem ex illis, qui in pœnis hæserint, propter Moamethi amicitiam inde liberari (vestrum dogma refero): aut erga omnes, qui ibi fuerint, æqualiter cum affectum esse, nec ullum omnino pœnas dare. Qua re et suam judex erga homines amicitiam, et erga propriam matrem cunctosque justitiam tueretur: alioquin vel humanitas ejus vel justitia ex aliqua parte claudicaret, vel omnia simul, ut aiunt: nam iis, quæ modo dixisti, confunditur quasi et perturbatur tota de Deo disputatio. Etenim si improborum nulla re deterior esse videretur quam proborum conditio, inepte sane faceret, qui fugeret voluptatis invidiosum nomen, inepte qui magni faceret iracundiam cohibere, ridicule qui alienis abstineret. Quin si hæc ita essent, supervacanea hercle foret Christi e cœlis descensio, ut omnem terram judicet, singulique suorum factorum remunerationem accipiant. Itaque, mi humanissime hospes, quænam potest subesse causa, ut vir, in quo est summa ratio, sic loquatur?

ιε'. Βούλομαι δέ τι νῦν εἰπεῖν καὶ περὶ τῆς ἐν τῷ παραδείσῳ τρυφῆς, καὶ τῆς ἐν ἐκείνῳ διαίτης τε καὶ ζωῆς· ἣν δὴ θείαν μὲν καὶ μακαρίαν εἶναί φατε, οἷς δὲ αὖθις λέγετε, πόρρω που θειότητος ταύτην καὶ μακαριότητος ἀποφαίνετε. Εἰ σὺ δὲ βούλοιο πρῶτον ἀπολογήσασθαι, περὶ ὧν σου ταυτηνὶ τὴν δόξαν διεβεβλήκειν, ἄσμενοί σου λέγοντος ἀκουσόμεθα. Καὶ ὃς ἔφη· Ἀλλ' οὐκ εὐχερῶς ἂν ἔχοιμι νῦν, οὐδ' ἐκ τοῦ προχείρου σοι τὴν ἀπολογίαν διδόναι. Πλὴν οὕτω παρειλήφαμέν τε καὶ ἐδοξάζομεν· τά σοι δὲ νῦν εἰρημένα (οὐδὲ γὰρ ψεύσομαί γε) τοῦ ὀρθοῦ μοι μᾶλλον ἐχόμενα λόγου ἢπερ τὰ ἡμέτερα φαίνεται. Καιρός σοι τοίνυν λέγειν τὰ κατὰ νοῦν περὶ τῆς Ἐδέμ. Καὶ ὁ παῖς, λαβὼν τοὐνδόσιμον παρὰ τοῦ πατρὸς, βοήσας τι βαρβαρικώτερον καὶ θρασύτερον, ἔφη· Οὐ σύ γε φθάσας εἴρηκας πρὸς ἡμᾶς, τὸν Θεὸν δι' ἀγαθότητα μόνην δεδημιουργηκέναι τὰ σύμπαντα; Νῦν δ' ὑμῶν αὐτοῦ τὴν δικαιοσύνην, τὴν ἀγαθότητα σεσιώπηκας· ὁ δ' οὐχ ἧττον ἀγαθός ἐστιν ἢπερ δίκαιος. Εἰ οὖν δὴ σῶσαι πάντας θελήσει δι' ἣν καὶ πάντας δεδημιούργηκεν ἀγαθότητα, ὑπεύθυνος ἡμῖν ἔσται τῶν αὐτῷ πεπραγμένων; Οὐδ' οὐτινοσοῦν, ὦ τᾶν, ἔφην, τῶν αὐτῷ πεπραγμένων ὑπεύθυνος ἂν εἴη Θεός· τίνι γὰρ ἂν ἑαυτοῦ μείζονι ἀποτίσειε λόγον; λαμπρᾶς μανίας ἡ δόξα· ἀσεβὲς τὸ ἐνθύμημα. Τὰ γὰρ δὴ παρὰ

κ'. Ἀποδεδεῖχθαί μοι τοῦτο δοκεῖ· λέγε τοίνυν, τὰ σοὶ δοκοῦντα περί τε τοῦ παραδείσου, καὶ τῆς ἐν αὐτῷ καταστάσεως καὶ τρυφῆς. Πάντως δὲ, εἰ μὲν ὀρθοῦ σοι λόγου τὰ ἡμέτερα ἐχόμενα φαίνεται, οὐκ ἂν μακρῶν δέοιο λόγων· ἄλλως δέ σοι δοκούντων, μὴ φείδου ῥημάτων, μηδ' ὑπολογίσαιο πόνους, ἔνθα προσδόκιμός ἐστι καρπὸς ἀληθείας, ὃν οἷδε φέρειν διάλεξις καθαρὰ φιλονεικίας ἀπάσης. Ἀλλ' ἡμεῖς σοι ξένοι, καὶ παρά σοι καλὴν εὑρηκότες ὑποδοχὴν, καὶ γνώμην τὴν αὐτὴν, καὶ τιμὴν (καὶ οὐδὲν οὐδ' ἐν λόγοις οὐδ' ἐν ἔργοις ἡμᾶς παρελύπησας), δεῖ οὖν ἡμᾶς τοῖς ἴσοις, ὡς ἔνεστι, σὲ σπεύδειν ἀμείβεσθαι. Ἐμοὶ δ' ὑπονοεῖν ἔπεισιν, ὡς ἄρα σέ που καὶ ἀποκναίσει τὰ παρ' ἐμοῦ λεγόμενα. Ἀνίας πλησθεὶς ἐφάνη τοῖς εἰρημένοις ὁ Πέρσης, καὶ μηνύων τῷ προσώπῳ τὴν τῆς ψυχῆς διάθεσιν ἔφη· Οὐ χρὴ τοιοῦτον ὑπονοεῖν· ἐπὶ τοσοῦτον γὰρ αὐτῷ τὰ τῆς εὐφροσύνης ἐκτείνεσθαι, ἐφ' ὅσον με τῆς ἀληθείας ἐχόμενον καθορᾷ· δεῖ δὴ μηδὲν ὑποστειλάμενον λέγειν. Καὶ γὰρ κἀκεῖνος ταυτὸ ποιεῖν καὶ ποιῶν διατελέσειν διαλεγόμενος, ὅτε δέ με καὶ ἐπαγγειλάμενον ἔχει, καὶ ἀπαιτεῖ τὴν παῤῥησίαν, ἀλλ' οὐκ αἰτεῖ, δίκαιος ἂν εἴην (1), καὶ αὐτὸς τὰ ὑπεσχημένα φυλάττειν, καὶ μὴ δυσχεραίνειν πρὸς τὴν μετὰ θάῤῥους ἀπόκρισιν· ὃ δὴ κατ' ἀρχὰς ἐπαγγείλαντι δώσειν αὐτὸς ὑπεσχόμην. Οὐκοῦν γε εἶπον καὶ αὐτὸν πράως ἀκούειν λοιπόν· οὐ γὰρ ἵν' ἐξελέγξω εἰς ἀγῶνας ἐμαυτὸν καθῆκα ἄλλῳ προσήκοντας σχήματι, ἀλλ' ὅπως σοι τελέσω τὸ βούλημα· ὅτι καί τις ὑποσαίνει τῶν χρηστοτέρων ἐλπίς. Ὅθεν πάντων εἵνεκα οὐδ' οὑτινοσοῦν ἂν εἴην δίκαιος φείσασθαι, ὅσαπερ πρὸς τοῦτο φέρειν ὑπολαμβάνω. Δίκαια, πάντες ἔφασαν, λέγεις· καί σου δεόμεθα, καθάπερ ἔφης, ποιῆσαι. Ἐνταῦθα μὲν οὖν πρὸ δείλης ἐῴας τὰ τῆς δευτέρας ἡμῖν διαλέξεως ἐτελεύτησεν.

A judex esse, vereque appellari. Ad hæc cum silerent juvenes, illo modo senex locutus est :

20. Demonstratum mihi videtur hoc quidem : die ergo sodes, quid tu de paradiso sentias, et de futura hominum in illo conditione et deliciis. Quod si rectæ consentanea rationi nostra tibi videbuntur dogmata, non longa hercle opus tibi erit oratione : sin de his aliter tibi videatur, verbis non parcas, nec ullam laborum rationem habeas, nempe unde spes est eum veritatis fructum perceptum iri, quem colloquium a pertinaci concertatione liberum ferre potest. Nos vero, inquam, hospites tui, liberale apud te hospitium, paremque in te animi candorem et dignitatem nacti (nec enim verbis nec factis honorificentius tractari potuissemus), quid est hospes, quare non quantum possimus par pari reddere conemur. Sed enim submoleste forte laturum te suspicor meum sermocinandi genus. Quæ cum ego dixissem, contristabatur Persa, vultuque sensum animi indicante, Nihil ejusmodi, inquit, vereri oportet : eatenus benevolentiam suam porrigi, quatenus me veritati adhærere cerneret : quamobrem, inquit, loqui nihil præ verecundia reticendo. Ipse etiam idem et facere se et in serie disputationum semper factorum affirmabat : cumque eam, quam illi eram pollicitus, plenam loquendi libertatem non peteret tantum, quantum vicissim repeteret, æquum esse intellexi, me quoque promissa servare, nec moleste ferre liberum responsum : quod jam in principio, cum se daturum diceret, spoponderam. Deinceps igitur, inquam, tu quoque benigne me audies : nec enim ut redarguerem te descendi in hoc certamen, conveniens alius personæ paulo fortasse magis quam mihi : at descendi ut morem tibi gererem : et præterea nescio quæ optimarum rerum spes mihi injicitur. Quibus omnibus de causis non attinet ulli rei parcere, quam ad hoc conferre posse arbitror. Rectissime tu quidem istud, inquiunt omnes : petimusque a te, ut quod pollicitus es, repræsentes. Quæ cum essent dicta, ante matutinum crepusculum secundus dialogus sic conclusus est.

(1) Videtur hic ἔφην, sive πρὸς ἐμαυτὸν ἐλογισάμην, sive tale aliquid, ab lectore subintelligi debere.

MONITUM

AD

MANUELIS PALÆOLOGI IN FRATREM SUUM ORATIONEM FUNEBREM.

(Combefis. *Auct. Bibl. PP.*)

Luculentissima oratione, cum suam fratrisque pietatem egregie testatam, meliori ævo ac fortuna dignus imperator, facit, ejusque alias virtutes celebrat, tum occidentis in Oriente Romani imperii, Orientisque ac

Digitized by Google

mirum quantum promoventis Osmanici, speciem proponit. Plura edisserit ex quibus politicus imperio regnoque possit consulere, eique, a Christiani nominis communi eodem hoste, quo deletum est Orientale imperium, vel modo cavere, cum is bellum in Christianos instauratum, novis jam victoriis, ac ab anno altero, celebrare cœpit. Fecere, cum Græcorum discordiæ mutuæ, tantæque illæ de summa imperii concertationes, tum dynastarum aliorum, iisdem ac sibi mutuo haud satis convenientium, mala studia ut ne aliorum neglectum dicam, haud putantium ipsorum rem agi, cum arderet proximus paries, ut sic nostris accisis rebus, coactaque in easa ngustias Christiana republica, formidabile adeo imperium in mundi partes omnes bestia proferret, ac tam multis provinciis Christiani imperii lumen exstingueret. O utinam vel sero tandem, funesta adeo imago, terrorem quem est nata, nostris imprimat, multamque illam, sed tardiorem in hostem nonnihil hactenus remotiorem, eorum virtutem provocet! Hoc tibi, Gallia, Ludovici Justi ac Adeodati tui auspiciis, gloriæ tantis cumulis, tantaque imperii prolatione, divina virtus pugnaverit, pugnetque, quo ipsa iterum, in ejusdem ac Christiani nominis hostes illos, tua illa victricia signa, inferas. Ut sub Manuele, ac eo abs te rogante auxilium, sic habuisses, parque illud tuum a Deo datorum ac conservatorum fratrum, uti modo tibi præfulsisset, haberet forte suos adhuc Græcia imperatores, lunæque illa cornua, bestiæ domitrix contrivisses. Nunc itaque fauste conteras, majorique gloria instaures deperdita, quam eras sospiratura hactenus integra.

Hujus in Peloponneso a Manuele habitæ funebris orationis, ubi ad confirmandum Theodoro juniori imperium a decessu patrui eo concessisset, in hæc verba meminit Laonicus *Historiæ Turcicæ* lib. IV : Ἐπάνειμι ἐπὶ Θεόδωρον, τὸν βασιλέως παῖδα, ἡγεμόνα Σπάρτης τε καὶ τῆς ἄλλης Πελοποννήσου, ὃς ὑπὸ Θεοδώρου τοῦ πατρώου ἐξετρέφετο, ἅμα καὶ ἐπαιδεύθη. Μετὰ δὲ ταῦτα, κατελείφθη ἐς τὴν ἀρχὴν αὐτοῦ ἡγεμών. Ἐς τοῦτο δὲ ἀφικόμενος ὁ πατὴρ αὐτοῦ Ἐμμανουὴλ ὁ Βυζαντίου βασιλεὺς, τόν τε παῖδα καθίστη ἐς τὴν ἀρχὴν, καὶ ἐπὶ τῷ ἀδελφῷ ἤδη τετελευτηκότι λόγον ἐπιτήδειον ἐξετραγῴδει, διεξιὼν ἐπὶ τῷ τάφῳ αὐτοῦ, ἀπολοφυρόμενός τε ἅμα τὸν ἐπιτήδειον ἀδελφόν· *Porro redeo ad Theodorum imperatoris filium, Spartæ ac reliquæ Peloponnesi principem, qui a Theodoro patruo educatus, ac disciplinis institutus, ejus postea demortui principatum accepit. Qua de re Emmanuel pater Byzantinus imperator Peloponnesum veniens cum filium præfecit provinciæ, egregiamque super fratre jam defuncto orationem funebrem declamavit, eam recitans ad ejus sepulcrum, fratremque ac necessarium lugens.* Plura subinde de nostro ac seniori Theodoro perstringit, ne vitia quidem dissimulans, quibus ille non omnino caruit. Habet creatum despotam ac ducem Peloponnesi, cum jam filii Cantacuzeni obiissent ἐν Σπάρτῃ, *Spartæ* : quod interpres male omisit. Manuel alterum tantum, et qui esset præfectus Peloponneso, significat mortuum sine liberis alio superstite, cujus essent probati mores, sed quem filius, ac consobrinus Theodori rerum summam post patruum in Peloponneso ambiens, secus ageret.

ΠΡΟΘΕΩΡΙΑ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΛΟΓΟΥ (*).

ARGUMENTUM ORATIONIS.

Exordium quidem vehementius lugubre, ac quale maxime fratrem, super fratris funere orantem, deceat. Ubi autem oratorem agens, divinissimus imperator, parum quid etiam generis meminit, haud in eo diutius moratur. Porro devectus sermone ad viri acta, nec pauca illa, nec ut brevi oratione explicanda forent, excusans, ut quia eorum splendor omnibus pateat, nec a quoquam negetur, haud necesse sit singula enarrare, eo ipso etiam valde exornat : sicque deinceps ejus aggressus laudes, primum de ejus pueritia disserit, utque omnino habuerit moribus, ac qualis vir factus, fuerit universis : tum vero ad acta ac res gestas procedit : primumque eorum mentionem facit, quæ quondam in patrem, eumdemque ipsum, ac propinquos alios, cum ii rebus adversis uterentur, ab eo gesta sunt, narratque ut ille in rebus habuerit : tum gradum

A Περιπαθὲς μὲν τὸ προοίμιον, καὶ οἷον γένοιτ' ἂν ἀδελφῷ μάλιστα πρέπον, ἐπιτάφιον ἐπ' ἀδελφῷ διεξιόντι· πατρίδος δὲ καὶ γένους βραχύ τι μνησθείς, ὁ τάδε λέγων θειότατος βασιλεὺς, οὐκ ἐπὶ πλέον ἐνδιατρίβει τῷ περὶ τούτων χωρίῳ. Ἐπιγενόμενος μὲν ἐπὶ τὰς τοῦ ἐπαινουμένου πράξεις, οὔσας οὐκ ὀλίγας, οὐδὲ βραχέων τῶν λόγων δεομένας· ἀπολογίαν δὲ πορισάμενος, ὡς διὰ τὸ πᾶσι τούτων περιφανὲς, καὶ μηδ' ὑφ' ἑνὸς ἀρνούμενον, οὐκ ἀναγκαῖον εἴη καθέκαστον διεξιέναι περὶ αὐτῶν, αὐτῷ τούτῳ καὶ μάλα σεμνύνει. Ἔπειθ' οὕτω τῶν κατ' αὐτὸν τὸν ἐπαινούμενον λόγων ἁψάμενος, πρῶτον μὲν περὶ τῆς ἐκ παιδὸς τροφῆς, καὶ τοῦ ὅλου ἤθους διέξεισι, καὶ οἷος τοῖς ὅλοις ἦν ὁ ἀνὴρ· εἶτ' ἐπὶ τὰς πράξεις τε καὶ τὰ ἔργα χωρεῖ. Καὶ πρῶτον μὲν ἐκείνων μέμνηται, ἃ ποτε περί τε τὸν πατέρα, καὶ ἑαυτὸν, καὶ τῶν ἄλλων οἰκείων τοὺς τότε δεδυστυχηκότας,

B

(*) Auctore, juxta cod. 88 ap. Lambecium, Gemistio Plethone.

Digitized by Google

ἐπέπραχτο αὐτῷ, καὶ ὡς προσηνέχθη τοῖς τότε πράγ- A
μασι· μετὰ δὲ ταῦτα, ἐπὶ τὰ Πελοποννησιακὰ ἤδη
χωρήσας, πρώτης μὲν τῆς εἰς τὴν χώραν ἀφίξεως
μέμνηται, ὡς καὶ προσδοκηθεῖσα μόνον ὤνησε πρὶν
γενέσθαι, καὶ ὡς ἀφίκτο, καὶ ὡς παρὰ τῶν ἐγχω-
ρίων ἀσμένως ὑπεδέχθη. Οὗ δή, καὶ τῶν περὶ τοῦ
τε σφῶν θείου, καὶ ἀνεψιοῦ ἀψάμενος λόγων, εὖ μά-
λα φυλάττεται, τὸ μηδὲν ἐς αὐτοὺς ἀπηχὲς καθ'
ὅσον οἷόν τε, μηδὲ φορτικὸν εἰπεῖν. Ἔπειτα τῆς
Ἰλλυριῶν αὐτόθι μετοικίσεως, ὡς δύσκριτόν γε ὄν,
εἴτε παραδεκτέον αὐτοὺς ἐς τὴν χώραν, εἴτε μή· ὁ
δ' ἐδέξατό τε οὐ δοκοῦν οὕτω τοῖς πολλοῖς, αὐτὸς μάλα
εὐστόχως βεβουλευμένος περὶ τοῦ συνοίσοντος, καὶ
ἐς δέον τούτοις ἐχρήσατο· καὶ μετὰ τοῦτο τῆς τῶν
προσοίκων ἐχθρῶν ἥττης, καὶ τῆς περίκυκλος συλ- B
λήψεως, δι' ὧν ἐγκρατεστέραν ἀποφαίνει καταστή-
σαντα τὴν ἀρχήν. Εἶτα παρελθὼν ἐπὶ τοὺς ὡς τοὺς
βαρβάρους αὐτομόλους ἥκοντας, καὶ πρῶτον κοινῇ
περὶ τῶν τοιούτων ἐπεξελθών, φειδοῖ τοῦ μηδενὸς
ἂν ὀνομαστὶ καθάψασθαι, ἔπειτ' ἐπ' αὐτὸν τὸν βάρ-
βαρον χωρεῖ, καὶ οἷς κατ' ἀμφοῖν ἐπεχείρησεν, ὑπὸ
τῶν ὡς αὐτὸν ἡκόντων αὐτομόλων ἐναγόμενος· ἐνίων
δὲ καὶ εἵκοθεν μετακαλουμένων. Ἔπειτα τῆς ὡς αὐ-
τὸν ἀφίξεως μέμνηται, τῆς τε τούτου καὶ ἑαυτοῦ,
ἀνάγκης τε γεγενημένης, καὶ παρὰ τὰ δεδογμένα
σφίσιν, οὕτω δὴ συμπεπτωκυίας· τοῦ τε παρὰ ταύ-
την κινδύνου, καὶ τῶν ἄλλων τῶν ἐκεῖσε ἀπηντηκό-
των δυσχερῶν· καὶ ὡς αὐτὸς μὲν βασιλεὺς γνώμῃ
τοῦ βαρβάρου ἐπὶ τὴν μεγάλην αὖ πόλιν παρὰ δό-
ξαν ἀνασώζεται· ὁ δ' ἤδη δοκῶν ἐν ἀφύκτοις ἔχε- C
σθαι, μάλα ἀνδρείως τε καὶ εὐμηχάνως ἐκεῖθεν ἐπὶ
Πελοπόννησον ἀποδιδράσκει, καὶ ὡς ἡ ἐπάνοδος τού-
του πάντα ἤδη, οὐ τὰ ἐν Πελοποννήσῳ μόνον, ἀλλὰ
καὶ τῶν ὅσα ἐντὸς πυλῶν, τὰ πλεῖστα κινδυνεύοντα
διέσωσε· καὶ ὡς τοῦ βαρβάρου ἐκ μὲν τῆς Ἑλλά-
δος ἀνακεχωρηκότος, πέμψαντος δὲ ἐπὶ τὴν Πελο-
πόννησον οὐκ ὀλίγην οὐδὲ φαύλην στρατιὰν, ὁ δ' οὐ
πλήθει ἀντιπάλῳ στρατιᾶς, ἐπινοίᾳ δὲ στρατηγίᾳ
πρεπούσῃ κεχρημένος, κεκωλύκει ταύτην τῆς χώρας
ἐπιβῆναι· καὶ ὡς διὰ τοῦτο τοῦργον καὶ τὰ παρα-
κεχωρημένα τῷ βαρβάρῳ, καὶ ἤδη ἐχόμενα, ἀπει-
λήφει τε καὶ ἐπανέσωσε τῇ ἀρχῇ. Εἶτ' ἐπὶ τὸν κοι-
νὸν τοῦ βαρβάρου πόλεμον μετεληλυθὼς, καὶ ὡς
πολλαῖς μὲν Χριστιανῶν συμφοραῖς, πολλαῖς δ' ἄλ-
λων βαρβάρων ἐνευτυχηκότος, χαλεπῶς ἐντεῦθεν τὰ D
Ῥωμαίων πράγματα ἔσχε, μνησθεὶς καὶ προσέτι
τοῦ γε ἑαυτοῦ διὰ ταῦτα ἀπόπλου τε καὶ ἀποδημίας
τῆς εἰς τὰ ἑσπέρια, ἔπειτα τὰ τούτῳ ἐν ἐκείνοις τοῖς
καιροῖς πεπραγμένα διέξεισι· καὶ πρῶτον μὲν, ὡς
Κόρινθον ἐν προφανεῖ οὖσαν κινδύνῳ Φρερίοις ἐγχει-
ρίσας, αὐτήν τε ἔσωσε τῆς τῶν βαρβάρων χειρὸς,
καὶ τοῖς ὅλοις πράγμασιν οὐ σμικρὰν ἐντεῦθεν τὴν
βοήθειαν ἐμηχανήσατο· ἔπειθ' ὡς χρόνῳ ὕστερον,
καὶ τῆς ἄλλης ἁπάσης ἀρχῆς τοῖς αὐτοῖς δόξας πα-
ραχωρεῖν, τὸν πρὸς τὸν βάρβαρον πόλεμον, κάλλιον
ἢ ὡς ἄν τις προσεδόκησε κατέθετο, καὶ τὴν χώραν
ἀπολαβὼν αὖθις κατέστησεν, οὐδὲ Φρερίους οὔτε

faciens ad Peloponnesiaca, primum meminit ejus in provinciam adventus, ut sola exspectatio juverit cum res tantum in procinctu esse : utque reipsa advenerit, sitque lætanter ab indigenis susceptus : quo loco, cum cœpisset de avunculo ac consobrino dicere, optime cavet, ne quid in eos, quoad fieri potest, absonum, aut grave dicat. Postmodum Illyriis ad eum commigrantibus, ut cum dubium esset, num essent recipiendi in provinciam, necne, eos ipse, cum multi secus putarent, optime conjectans, ac quod conducens esset, consulens, receperit, sitque eorum opera opportune usus : post vero, relatam de vicinis hostibus victoriam memorat, ac captum principem, quibus ostendit corroborasse imperium. Tum transiens ad eos, qui ad Barbaros perfugissent, ac ubi primum aliqua de illis communi sermone locutus esset, nullum ex nomine pro modestia notat : pergitque deinde ad ipsum Barbarum, ac ea quæ ille in ambos molitus esset, inducentibus perfugis, cum et quædam a se etiam illum provocarent. Ad hæc, meminit, ut cum ipse, tum frater illum convenerint, cum necessitas tulisset, ac secus illi constitutum haberent ; periculi item inde conflati, ac tristium aliorum quæ illic occurrerunt ; utque, ipse quidem imperator ex Barbari voluntate, Constantinopolim iterum præter opinionem sospes reversus sit ; frater autem, qui jam ineluctabili laqueo teneri videretur, summa inde fortitudine ac solertia profugerit in Peloponnesum, eoque reversus, omnia jam, nedum quæ in Peloponneso, sed et si qua intra januas erant (1), maximam partem in periculum adducta, sospitaverit, utque cum Barbarus, ipse quidem ab Hellade movens, non exiguum aut imbellem exercitum in Peloponnesum misisset, prohibuerit ille, non numeroso quidem exercitu hosti occurens, sed duci exercitus congruo stratagemate, rem conficiens, ut ne in provinciam invaderet ; utque demum eo facinore, jam concessa Barbaro et ab eo occupata, receperit, ac imperio vindicarit. Post hæc reversus ad commune illud bellum Barbari, factaque mentione ut ex crebris cladibus eo victore cum Christianis, tum Barbaris aliis illatis, res Romanorum graviter affectæ essent, nec non susceptæ ab ipso navigationis ac itineris ad Occiduas partes, narrat postea, gesta interim a fratre : ac primum quidem, ut Corintho, quæ versaretur in manifesto periculo, concredita fratribus, cum eamdem ipsam a Barbarorum salvarit manu, tum inde rebus universis non modicam opem compararit : ad hæc, ut cum postea visus esset, reliquam totam provinciam illis cedere, res cum Barbaro omni melius spe composuerit, utque recepta provincia, iterum res ejus stabilierit, cum nulla injuria Fratres affecisset, autve omnino damni aliquid intulisset. In his porro diutius versatur sermo, quod tollendæ opinionis causa, per ignorantiam veritatis rei, ut omnino

(2) Ipsi Bajazeti assistentes inque ejus exsistentes curia.

Digitized by Google

habuisset, apud nonnullos obtinentis, plane præstaret, horum quoque meminisse, nedum aliorum, quæ essent perspicue bona, quam silentio dissimulare. Siquidem enim nunc tacerentur, ut quis postmodum tentaret meminisse ad calumniam, utique posset apud aliquos gestæ rei ignaros, tanquam vera dicens habere fidem, velut non fuissent tacenda hic, ut qua de his dici potuissent: cum relata, ac palam exposita ut gesta essent, in gloriam potius, ex eo quod forsan secus videbatur, cessura essent. Deinde procedit ad comparandum cum antiquis, quando et morbi mentione facta, iterum lugubrior, orationem componit; simulque ostendit, nihil minorem fortitudinem in morbo ostendisse, quam rebus gerendis: cumque hic subdito quoque auditorum cœtui annuisset, ut et ipsi aliquid sibi congruum, pro pluribus ac magnis beneficiis, quibus ille eos demeruisset, loquerentur, eamdem rursus næniam resumit. Id porro facit, cum remissione aliqua egens, impedita voce præ doloris vi; tum vero, quia etiam multos alios cupiat audire lamentantes, ob impensius illud ac insanum in fratrem philtrum, pluribus ac magnis de causis, quas ipse edisserit. Quamobrem etiam affectuosius quoque ac lugubrius iterum orditur, tanquam omnino neque narrationem, neque laudes potuerit aggredi, priusquam fuisset indultum lamentis. Postmodum tamen ad consolandum descendens, finem dicendi facit, congruis ac aptis laudibus cuique loco intextis, ut neque excedat quod sit probabile, nec eorum aliquid deficiat, quæ dicto opus, ac congrua erant, ut in singulis quisque arte legens perspexerit.

A ἀδικήσας, οὔτε τι βλάψας ὅλως. Ἐπὶ πλέον δέ που τούτοις ὁ λόγος ἐνδιατρίβει ὑπὲρ τοῦ τὴν ὑπ' ἀγνοίας τοῦ ἀληθοῦς ὡς ταῦτα ἐπράχθη κρατοῦσαν παρ' ἐνίοις δόξαν ἀνελεῖν, ἄμεινον ὂν ἐπιμνησθῆναι, καὶ τούτων πρὸς τοῖς ἄλλοις τοῖς ἐκ τοῦ φανεροῦ καλοῖς ἢ σεσιγηκέναι. Καὶ γὰρ ἂν νῦν σεσιγημένων, εἴ ποτέ τις ἐπὶ διαβολῇ μνησθῆναι τολμήσειε, τάχ' ἂν τισι τῶν τἀληθῆ μὴ εἰδότων, καὶ ἐπαληθεύειν δόξειεν, ὡς οὐκ ἂν ἐν τῷ παρόντι σεσιγημένων, εἴ τι ἐνῆν λέγειν περὶ αὐτῶν. Εἰρημένα δὲ καὶ φανερὰ καταστάντα ὡς ἐπράχθη, καὶ εἰς εὐδοξίαν μᾶλλον ἐκ τοῦ ὡς ἑτέρως ἴσως δοκοῦντος περιέστηκεν. Εἶτ' ἐπὶ τὰς πρὸς τοὺς παλαιοὺς παραθέσεις χωρεῖ, ἡνίκα καὶ τῆς νόσου μνησθείς, ἐς τὸ περιπαθέστερον αὖ ἀποκλίνει· ἀποφαίνων ἅμα οὐδὲν ἐλάττω τῆς ἐν
B τοῖς ἔργοις ἀνδρίας τὴν παρὰ τὴν νόσον ἐπιδεδειγμένον. Κἀνταῦθα δούς τι καὶ τοῖς παροῦσι τῶν ὑπηκόων φθέγξασθαι προσῆκον ἐκείνοις αὐτοῖς, πολλῶν καὶ μεγάλων εὐεργεσιῶν ἕνεκα ὧν εὖ πεπόνθασι παρ' αὐτοῦ, τὸν αὐτὸν αὖθις ἐπαναλαμβάνει θρῆνον. Τοῦτο δὲ ποιεῖ, ἅμα μὲν, ὡς ἀναπαύλης δεηθείς, διὰ τὸ τοῦ πάθους μέγεθος ἐπεχόμενος τὴν φωνήν, ἅμα δὲ, καὶ ὡς ἐπιθυμήσας καὶ ἑτέρων πολλῶν θρηνούντων ἀκοῦσαι, διὰ τὸ περὶ τὸν ἀδελφὸν μανικὸν φίλτρον, πολλῶν καὶ μεγάλων αἰτιῶν ἕνεκα, ὡς αὐτὸς διέξεισι βασιλεύς. Οὗ χάριν καὶ ἀπὸ περιπαθοῦς εὐθὺς ἐνήρξατο προοιμίου, ὡς μὴ τὸ παράπαν δυνηθεὶς τῶν τε διηγήσεων, τῶν τε ἐπαίνων ἅψασθαι πρὸ τῶν θρήνων. Οὐ μὴν ἀλλ' ἐπὶ παραμυθίαν ὅμως
C μεταβάς, ἀποπαύεται, ἐπιπλεκομένων ἑκάστῳ χωρίῳ τῶν ἀεὶ προσηκόντων τε καὶ προσαρμοττόντων ἐπαίνων, ὡς μήτε τὸ πιθανὸν ὑπερβάλλειν, μήτε ἐλλείπειν τι τῶν ἐόντων τε καὶ ἅμα δεόντων ῥηθῆναι, ὡς ἐπὶ τῶν καθ' ἕκαστον ἔστι τῷ κατὰ τέχνης ἀναγινώσκοντι θεωρεῖν.

Digitized by Google

ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΦΙΛΟΧΡΙΣΤΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡΟΥ

ΜΑΝΟΥΗΛ ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ

ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ

ΕΙΣ ΤΟΝ ΑΥΤΑΔΕΛΦΟΝ ΑΥΤΟΥ ΔΕΣΠΟΤΗΝ ΤΟΝ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΝ

ΚΥΡΟΝ ΘΕΟΔΩΡΟΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

Ῥηθεὶς ἐπιδημήσαντος εἰς Πελοπόννησον τοῦ βασιλέως.

—

PIISSIMI AC CHRISTI AMANTIS IMPERATORIS

DOMINI

MANUELIS PALÆOLOGI

FUNEBRIS ORATIO

IN PROPRIUM EJUS FRATREM DESPOTAM PORPHYROGENNETAM

DOMINUM THEODORUM PALÆOLOGUM

Dicta cum imperator esset in Peloponneso.

—

Ἀλλὰ τί καὶ φθέγξομαι πρὸς ὑμᾶς, ὦ παρόντες, μήτ' αὐτὸς λέγειν ἰσχύων, μήθ' ὑμᾶς ὁρῶν δυναμένους καθαρὰν τὴν ἀκοὴν ὑποσχεῖν τοῖς λόγοις ; Ἐμέ τε γὰρ ἀφωνία κατέσχεν ὑπὸ τῆς μεγίστης ταύτης συμφορᾶς, ὑμᾶς τε τοῦτ' οἶδα παθόντας, οὓς ὁ νῦν θρηνούμενος διαγέγονεν εὖ ποιῶν. Ἐπεὶ δὲ πάντως οὐ συγχωρήσετε σιωπᾷν, ἐλπίζοντές τε ῥηθήσεσθαι παρ' ἡμῶν, ὅπερ ἂν ἴσως συμβαίη τῇ παρούσῃ συμφορᾷ, ἐροῦμεν ὡς ἐφικτόν· ἐπεὶ καὶ τοῦτό γε τεχμαιρόμεθα, ὡς ἐμοί γέ πη χαλεπαίνετε, τῷ μὴ καὶ θᾶττον εἰρῆσθαι γιγνόμενόν τι. Δῆλοι γάρ ἐστε τοῖς ὅλοις, τὴν τοῦ λόγου μέλλησιν μόνον οὐχὶ διαβάλλοντες, τῇ γλώττῃ μὲν οὐδαμῶς, οὐ γὰρ συγχωρεῖ τὸ πάθος, ἐνακμάζον ταῖς ψυχαῖς, τῷ δὲ ἀτενὲς εἰς ἡμᾶς ὁρᾷν, καὶ τοῖς κοπετοῖς, καὶ ὀλοφυρμοῖς, καὶ τοῖς ἄλλοις ἅπασιν.

Ἡ μὲν οὖν ἀπαίτησις εὔλογος ἂν καὶ παρ' ὑμῶν γένοιτο, καὶ παρ' ἡμῶν τέλος λάβοι· δικαία γὰρ δοθῆναι, πρὶν αἰτηθῆναι· μᾶλλον δὲ ἀποδοθῆναι, καὶ πρὸ τοῦ ταύτην ἀπαιτηθῆναι. Καὶ ἔγωγε τὴν πρώτην ἂν ἀποδεδώκειν τὸ χρέος, εἰ οἷός τι ἦν ἀποδοῦναι· οὐκ εὐχερῶς δ' ἂν δυνηθείην, τῷ τῆς μεγίστης ταυτησὶ συμφορᾶς βεβλημένος πάθει. Ἀφ' ἧς γὰρ καταγόμενος ταῖς ναυσὶν, εἶδόν τι μέρος τῆσδε τῆς γῆς, ἣν ποτ' ἐκεῖνος πεπάτηκε, θηρῶν πάντως ἢ στρατηγῶν, τὸ μὲν δάκρυον προχεῖται κρουνηδόν· ἀφωνία δὲ κατέχει, καὶ οὐκ ἐᾷ φθέγγεσθαι. Αὐτὸς γὰρ οὗτος ὁ χῶρος, ὃν ἐκεῖνος εὖ ποιῶν διατετελέ-

Enimvero quid ad vos etiam loquar, auditores, qui nec ipse valeam dicere, vosque videam non valentes puram sermonibus aurem accommodare? Cum me enim calamitatis hujus immensitate attonitum vox fugit ; tum vos eadem quoque ratione scio affici, quos vir in præsentiarum lamentis prosequendus, præclare adeo demeruit. Quia tamen haud omnino estis silentii facultatem facturi, qui forte aliquid præsenti congruum calamitati audituros speretis, utique pro virili quoque dicendum sit. Nam et mihi videor videre succensentes, quod non citius operæ pretium aliquid dixerim. Quippe omnibus liqueat, ut tantum non detis crimini sermonem hactenus distulisse : haud quidem id lingua ; non enim dolor vigens animis, sinit ; sed vultibus in nos intentis, planctibusque, et ejulatibus, ac omnibus aliis.

Cum sane hæc a vobis merito exigantur, tum a nobis opere compleantur; quæ sit justum præstare, vel si nemo exigat : seu potius reddere, antequam etiam aliquis repetat. Equidem a prima jam die debitum redditurus eram, ut per facultatem licuisset : haud vero, quem grave adeo vulnus diræ hujus calamitatis incessit, possim facile. Ex quo enim applicatis navibus, vestræ hujus oræ, quam ille quondam aut omnino venatu, aut copias ducens, ambulavit, partem aliquam aspexi, profluunt lacrymæ fluminis instar, osque mutum sermone interdicit. Illa enim hæc regio quam sic ille

Digitized by Google

jus et æquum æstimamus? nedum hujusmodi judicis qui paulo ante Dei anima, spiritus et Verbum a vobis nominabatur? Atqui si Moamethus cognatos suos potius quam discipulos malis eripere voluisset, certe in æternis suppliciis discipuli remansissent : nunc vero, propinquis dimissis, cum qui eadem religione essent ex tenebricosa illa flamma voluerit educere, ne hoc quidem perfecit.

15. Nam habito quidem ad quosdam respectu ex animi sententia rem confecit : cæteri autem in gurgite derelicti sunt, etiamsi omnes ille ex fossa extrahere voluerit. Sed fac, secundum propositum et voluntatem Moamethi hoc accidisse ,quonam, obsecro, justo judicio fieri potuit ? Omnes enim eadem religione erant, nimiamque aliquam peccatorum multitudinem ferebant. Proinde vel omnes propter fidem liberare oportebat, vel omnes pœnæ tradere propter peccatorum magnitudinem. Nunc vero, quia criminibus similibus obstrictos non eodem modo remunerat, certe aut his gratificatur, aut illos injuria afficit, aut (quod tertium superest) non potuit perficere id quod volebat: quanquam hac quoque via omnes e malis liberari necesse erat. Nempe Alin, ut prophetam et Dei amicum, plurimos supplicio eripere beatæque vitæ participes efficere decebat, idemque facere Fatmen, tui prophetæ filiam, quæ multos ipsa conjugi suo Ali prophetas peperit. Ita unusquisque eorum quantum ab judice diligitur, tantum poterit apud ipsum : adeo ut alius quidem plures, alius pauciores, quilibet tamen a Deo dilectus aliquos e sontibus liberare possit, tanto quisque (opinor) numero, quantum dilectus est. Hoc sequitur ex iis quæ dixisti. Nam si tuus propheta eo, quod a Deo valde diligitur, infinitum eorum qui puniuntur numerum servabit, cæteri quoque prophetæ omnes idem facere possunt; nullus enim eorum est, quem non ipse judici omnium hominum amicum esse affirmes.

14. Igitur, si vera tibi justaque dicere videor, nec, ut certe scio, meis dictis insensius adversaris (non enim mecum præter rem contendere voles : id ex multis tuis et præclaris virtutibus conjicio) : quid facere non posset infinita illa vestrorum prophetarum multitudo, pro iis qui puniuntur amicum judicem deprecans ? quid non, quicunque antiqua lege servabuntur, si vera est, nec subinanis, tua opinio? Cedo, quæso, ubi collocabis Moysen, tantum virum? ubi David regem? ubi cum illo reliquam omnem seriem generis, ex qua secundum carnem Christus est natus? Num solus Moamethus dolore fractus pro iis qui puniuntur intercedet? hi vero lapidei quodammodo erunt, suppliciisque affectos homines absque ullo doloris sensu aspicient? nonne pulcherrimum illius factum, quod bene successerit, ad miserationem eos etiam commovebit? non persuadebit, ut si quid orarint, rei

A δὴ τὸ πρὸ μικροῦ ὑφ' ὑμῶν εἰρημένον, Καὶ μὴν εἰ ὁ Μωάμεθ εἵλετο τοὺς συγγενεῖς ἢ τοὺς φοιτητὰς αὐτοῦ τῶν δεινῶν ἐξελέσθαι, ἔμειναν ἂν οἱ φοιτηταὶ ἀπέραντα κολαζόμενοι· νῦν δὲ, χαίρειν ἐάσας τοὺς αὐτῷ προσήκοντας, τοὺς δὲ τῆς αὐτῆς θρησκείας αὐτῷ τῆς σκοτεινῆς φλογὸς ἐκείνης ἐθελήσας ἐξαγαγεῖν, οὐδὲ γοῦν τοῦτο κατέπραξεν.

ιγ'. Πρὸς μὲν γὰρ τοὺς ἐξέβη τούτῳ τὸ πέρας κατὰ τὴν πρόθεσιν· οἱ δ' ἐναπελείφθησαν τῷ βαράθρῳ, τούτου πάντας βουληθέντος ἐξελέσθαι τῆς τάφρου. Εἰ δὲ κατὰ γνώμην τούτου γέγονε ταῦτα, τίνι δικαίᾳ γέγονε ψήφῳ; Πάντες γὰρ καὶ τῆς αὐτῆς θρησκείας ὄντες ἐτύγχανον, καὶ οὐ φορητόν τι πλῆθος ἁμαρτιῶν φέροντες. Ἢ γοῦν τοὺς πάντας ἀνελέσθαι ἐχρῆν διὰ τὴν πίστιν, ἢ τοὺς ἅπαντας ἐᾶσαι κολάζεσθαι διὰ τὸ τῶν ἁμαρτιῶν μέγεθος. Νῦν δὲ τοῖς ἴσοις ἐνεχομένους οὐ τοῖς αὐτοῖς ἀμειβόμενος, ἢ τουτοισὶ χαριζόμενος, ἢ ἐκείνους ἀδικῶν φαίνεται, ἢ (τό γε τρίτον) μὴ δυνηθείς, ὅπερ ἐβούλετο, πρᾶξαι. Καίτοι γε καὶ τῇδε πάντας ἐχρῆν τῶν κακῶν ἐλευθερωθῆναι. Τὸν γὰρ Ἀλῆν, προφήτην τε καὶ φίλον ὄντα Θεοῦ, πλείστους τῶν δεινῶν ἁφαρπάσαι (1) καὶ τῆς μακαρίας δεῖξαι μετόχους ζωῆς, καὶ πρός γε ἔτι τὴν Φατουμᾶν (2) τοῦτο δρᾶσαι, θυγατέρα μὲν οὖσαν τοῦ σοῦ προφήτου, πολλοὺς δὲ πάλιν προφήτας φύσασαν ἐκ τοῦ συζύγου ταύτης Ἀλῆ. Ἕκαστος γὰρ καθ' ὅσον φιλούμενός ἐστι τῷ κριτῇ, κατὰ τοσοῦτον δυνήσεται παρ' αὐτῷ· ὥσθ' ὁ μὲν πλείους, ὁ δὲ ἐλάττους, πᾶς τις δὲ ὅμως δυνήσεται τῶν τῷ Θεῷ φιλουμένων τινὰς τῶν ὑποδίκων ἐλευθερῶσαι, καὶ τοσούτους ἕκαστος (οἶμαι), καθόσον ἐστὶ φιλητός. Τοῦτο δὲ ἀπὸ τοῦ σοῦ συμπεραίνεται λόγου. Εἰ γὰρ τῷ φιλεῖσθαι ἐπιεικῶς ἀριθμὸν ἀμύθητον σώσει κολαζομένων ὁ σὸς προφήτης, ταυτὸν ἂν δράσαιεν καὶ οἱ ἄλλοι πάντες προφῆται· οὐδεὶς γὰρ δήπουθεν τούτων, ὃν οὐκ ἂν αὐτὸς φήσαις φίλον εἶναι τῷ κριτῇ τῶν πάντων ἀνθρώπων.

ιδ'. Εἰ τοίνυν σοι δοκοῦμεν ἀληθῆ καὶ δίκαια λέγειν, καὶ οὐκ ἀντιτείνεις, εὖ οἶδα (οὐδὲ γὰρ ἀκαίρως καταδέξῃ φιλονεικεῖν· πολλοῖς σοῖς τοῦτο τεκμαίρομαι)· τί οὐκ ἂν ἰσχύσαιεν πρᾶξαι αἱ τῶν ὑμετέρων προφητῶν μυριάδες (3), ὑπὲρ τῶν κολαζομένων τὸν φίλον κριτὴν παραιτούμενοι; οὐ μὴν ἀλλὰ καὶ πάντες οἱ ἐν τῷ νόμῳ σωθήσονται, εἴπερ ἡ δόξα σου ἀληθὴς καὶ οὐ ψευδής τις, οὖσα τυγχάνει; Ποῦ γὰρ θήσεις, εἰπέ μοι, καὶ Μωϋσῆν τὸν τοσοῦτον; καὶ Δαβὶδ τὸν βασιλέα; καὶ σὺν αὐτῷ τὴν ἄλλην πᾶσαν σειρὰν τοῦ γένους, ἐξ ἧς τὸ κατὰ σάρκα Χριστός; Ἡ ὁ μὲν Μωάμεθ ὑπὲρ τῶν κολαζομένων καμφθεὶς παραιτήσεται, οὗτοι δὲ λίθινοί τινες ἔσονται, ἀναλγητὶ τοὺς ἐν τῇ κολάσει θεώμενοι; καὶ οὐδὲ τὸ ἐκείνου κατόρθωμα ἐρεθίσει τούσδε πρὸς ἔλεον, οὐδὲ πείσει πάντως θαρρεῖν ὡς οὐχ ἁμαρτήσουσι δεησόμενοι; Ἀλλ' οὐκ ἂν εἴποις, ὅταν γε μὴ πρὸς τοῖς ἄλλοις ἅπασι πρεσβευταῖς

(1) Supple, ἐχρῆν.
(2) Cod. Coisl. Φατουσᾶν.
(3) Hic in codd. miniatis litteris scriptum est ad oram : Σημείωσαι· οἱ Τοῦρκοι λέγουσιν εἶναι τοὺς προφήτας αὐτῶν ρμδ'. Id est : *Nota : Turcæ dicunt, suos prophetas numero esse CXLIV.*

Digitized by Google

(τοῖς ἡμετέροις λέγω), καὶ τὴν τοῦ Σωτῆρος μητέρα ἐνθυμηθῇς, συγγνώμην γε ἐξαιτουμένην ὑπὲρ τῶν εἰς γέενναν ἐμβληθέντων· ἥτις δὴ μήτηρ ἀπόχρη καὶ μόνη τὸ πᾶν ἐργάσασθαι, εἴπερ εἰκὸς ἦν τοῦτο γενέσθαι. Τί ἂν εἴποις; ἢ δῆλον, ὡς οὐδεὶς τῶν φαύλων ἀνθρώπων δίκην τίσειεν ἄν, ἀλλ' ἅπαντες μὲν ἀνδροφόνοι καὶ μέθυσοι, ἅπαντες δ' ἅρπαγες, καὶ ἀκόλαστοι, καὶ λωποδύται, καὶ ἱερόσυλοι, καὶ ὁ τῶν τοιούτων ἑσμὸς τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσουσι; Τὸ γὰρ ἑτέρως φρονεῖν ἐπιεικῶς ἀνάρμοστον. Δυοῖν δὲ θάτερον, φίλ' ἑταῖρε, λέγειν ἀνάγκη· ἢ τὰ δίκαια τηροῦντος τοῦ κριτοῦ, μηδένα τῶν εἰς κόλασιν ἐμβληθέντων ἐκεῖθεν ἐξελθεῖν τῇ τοῦ Μωάμεθ φιλίᾳ (τὸ γὰρ ὑμέτερον λέγω δόγμα)· ἢ καὶ πρὸς πάντας τοὺς ἐκεῖ ἴσως ἐκεῖνον διατεθῆναι, καὶ μηδοντινοῦν κολασθῆναι. Ταύτῃ γὰρ ἂν ἦν περισώζων καὶ τὸ φιλάνθρωπον αὐτοῦ, καὶ τὸ πρὸς τὴν ἑαυτοῦ μητέρα καὶ πάντας δίκαιον· ἄλλως δ' ἂν πάντως χωλεῦον ἦν που κατά τι ἢ τὸ φιλάνθρωπον αὐτοῦ, ἢ τὸ δίκαιον, ἢ καὶ πάνθ' ὁμοῦ, φασί, χρήματα· καθαπερεὶ γὰρ φύρεται καὶ συγχεῖται τὰ τοῦ Θεοῦ πράγματα τῷ προειρημένῳ σοι λόγῳ. Εἰ γὰρ οὐδὲν τῶν ἀγαθῶν οἱ φαῦλοι χείρους ἐφαίνοντο, μάταιον μὲν τὸ φεύγειν ἥττω φανῆναι τῶν ἡδονῶν, μάταιον δὲ τὸ περὶ πλείστου ποιεῖσθαι κρείττω γενέσθαι θυμοῦ, κενὸν δὲ ἄρα καὶ τὸ τῶν ἀλλοτρίων ἀπέχεσθαι. Τούτων δὲ οὕτως ἐχόντων παρέλκον ἂν γένοιτο καὶ τὸ τὸν Χριστὸν κατελθεῖν ἐκ τῶν οὐρανῶν, κρῖναι πᾶσαν τὴν γῆν, ὅπως δικαίαν ἀμοιβὴν τῶν πεπραγμένων ἕκαστος λάβοι. Πόθεν ἂν οὖν δίκαιον, ὦ ἀγαθέ, νοῦν ἔχοντ' ἄνδρα τοιαῦτα λέγειν;

A compotes fore se quoque confidant? Sed hoc nequaquam dixeris, dummodo præter omnes cæteros deprecatores (nostros dico) in mentem tibi veniat Servatoris ipsius mater, pro dejectis in gehennam supplicans: quæ quidem mater sola huic toti negotio conficiendo, si quidem ullo omnino modo fieri posset, prorsus sufficeret. Jam vero quid dicis? nonne palam est, improborum hominum sic neminem esse pœnas daturum, sed homicidas omnes, ebriosos, raptores, libidinosos, grassatores, sacrilegos, totumque hujusmodi gregem sempiternis bonis esse fruituros? Siquidem aliter sentire non potes. Necesse est enim, dulcissime amice, ut alterum dicas de duobus: aut, judice æquitatem servante, neminem ex illis, qui in pœnis hæserint, B propter Moamethi amicitiam inde liberari (vestrum dogma refero): aut erga omnes, qui ibi fuerint, æqualiter eum affectum esse, nec ullum omnino pœnas dare. Qua re et suam judex erga homines amicitiam, et erga propriam matrem cunctosque justitiam tueretur: alioquin vel humanitas ejus vel justitia ex aliqua parte claudicaret, vel omnia simul, ut aiunt: nam iis, quæ modo dixisti, confunditur quasi et perturbatur tota de Deo disputatio. Etenim si improborum nulla re deterior esse videretur quam proborum conditio, inepte sane faceret, qui fugeret voluptatis invidiosum nomen, inepte qui magni faceret iracundiam cohibere, ridicule qui alienis abstineret. Quin si hæc ita essent, su- C pervacanea hercle foret Christi e cœlis descensio, ut omnem terram judicet, singulique suorum factorum remunerationem accipiant. Itaque, mi humanissime hospes, quænam potest subesse causa, ut vir, in quo est summa ratio, sic loquatur?

ιε'. Βούλομαι δέ τι νῦν εἰπεῖν καὶ περὶ τῆς ἐν τῷ παραδείσῳ τρυφῆς, καὶ τῆς ἐν ἐκείνῳ διαίτης τε καὶ ζωῆς· ἣν δὴ θείαν μὲν καὶ μακαρίαν εἶναί φατε, οἷς δὲ αὖθις λέγετε, πόρρω που θειότητος ταύτην καὶ μακαριότητος ἀποφαίνετε. Εἰ σὺ δὲ βούλοιο πρῶτον ἀπολογήσασθαι, περὶ ὧν σου ταυτηνὶ τὴν δόξαν διεβεβλήκειν, ἄσμενοί σου λέγοντος ἀκουσόμεθα. Καὶ ὃς ἔφη· Ἀλλ' οὐκ εὐχερῶς ἂν ἔχοιμι νῦν, οὐδ' ἐκ τοῦ προχείρου σοι τὴν ἀπολογίαν διδόναι. Πλὴν οὕτω παρειλήφαμέν τε καὶ ἐδοξάζομεν· τά σοι δὲ νῦν εἰρημένα (οὐδὲ γὰρ ψεύσομαί γε) τοῦ ὀρθοῦ μοι μᾶλλον ἐχόμενα λόγου ἢπερ τὰ ἡμέτερα φαίνεται. Καιρός σοι τοίνυν λέγειν τὰ κατὰ νοῦν περὶ τῆς Ἐδέμ. Καὶ ὁ παῖς, λαβὼν τοὐνδόσιμον παρὰ τοῦ πατρὸς, βοήσας τι βαρβαρικώτερον καὶ θρασύτερον, ἔφη· Οὐ σύ γε φθάσας εἴρηκας πρὸς ἡμᾶς, τὸν Θεὸν δι' ἀγαθότητα μόνην δεδημιουργηκέναι τὰ σύμπαντα; Νῦν δ' ὑμνῶν αὐτοῦ τὴν δικαιοσύνην, τὴν ἀγαθότητα σεσιώπηκας· ὁ δ' οὐχ ἧττον ἀγαθός ἐστιν ἢπερ δίκαιος. Εἰ οὖν δὴ σῶσαι πάντας θελήσει δι' ἣν καὶ πάντας δεδημιούργηκεν ἀγαθότητα, ὑπεύθυνος ἡμῖν ἔσται τῶν αὐτῷ πεπραγμένων; Οὐδ' οὐτινοσοῦν, ὦ τᾶν, ἔφην, τῶν αὐτῷ πεπραγμένων ὑπεύθυνος ἂν εἴη Θεός· τίνι γὰρ ἂν ἑαυτοῦ μείζονι ἀποτίσειε λόγον; λαμπρᾶς μανίας ἡ δόξα· ἀσεβὲς τὸ ἐνθύμημα. Τὰ γὰρ δὴ παρὰ

15. Dicam nunc de paradisi deliciis, et de traducenda ibi vita: quam divinam quidem et beatam esse dicitis, sed vestris ipsi sermonibus a divinitate et felicitate procul abesse demonstratis. Si tamen illam tuam opinionem ante defendere volueris, et quas contra objeci reprehensiones infirmare, valde sum cupidus te in ejusmodi oratione audiendi. At enim, respondit, meæ opinionis nunc neque perfacilis est, neque sine commentatione suscipi potest defensio. Nos sic a majoribus accepimus, sic credidimus: quæ tamen tu dixisti, rectæ ea ratiD oni magis consentanea videntur (vere tecum agam), quam quæ nos dicimus. Quapropter, si quid in animo habes de Eden dicere, jam nunc explica. Quæ cum Persa dixisset, filius ejus, a patre accepta loquendi facultate, barbarum quid et audacius clamans, Nonne tu, inquit, nobis antea dixisti, ob solam bonitatem Deum omnia creasse? Nunc vero celebrata illius justitia de bonitate silnisti: sed hic non minus bonus est quam justus. Quare si ob eam, per quam omnes creavit, bonitatem, omnes etiam servare voluerit, an ideirco reddendis factorum suorum rationibus erit obnoxius? Dii meliora, inquam, adolescens: nulli omnino in factorum suorum rationibus reddendis obnoxius esse potest Deus: cuinam enim se majori

Digitized by Google

rationem redderet? Insana hujusmodi opinio: impia cogitatio. Nam quæ a Deo proficiscuntur, pulchra sunt omnia et bona. Qui autem nihilominus de aliquo ex ipsius factis quærere, investigare et dicere conantur, hoc justa ratione ut faciant oportet, nec id illi attribuere, quod ne homini quidem probo conveniret. Quoniam igitur id quod dixistis Dei justitiæ repugnare demonstratum est, non recte, opinor, diceretur, Deum, utpote benignum erga homines, ejusmodi res facere debere. Nulla ex parte enim justitiæ adversatur ejus benignitas. Hoc tibi simul ac patri persuasum esse opinabar, ad aliaque pergere volebam: tu autem quoniam contra me surrexisti, aliquid supra dictis addendum esse arbitror, demonstrandumque, eos etiam qui in meliore religione deflexissent de legis via, punitum iri: qui utrum multi an pauci sint, nihil ad rem. Hoc enim semel demonstrato, inutilis erit capillorum virtus Moamethi sancte venerandi.

16. Sapientia præstas tu, eorumque, qui juris dicendi potestate decorati sunt, nemini fortasse primas concedis: id a patre audivimus. Si quis igitur peccati convictus fuerit, dic, quæso, num pœnas repetis ab illo? Ego vero repeto, inquit. Et Deo gratum, sancteque esse factum putas, necne? Qui, quæso, facerem, respondit, nisi intelligerem ita esse? Rectissime, inquam: et ipsum quidem Deum jam in hac vita complures videmus punire ex iis qui in ipsum credunt, si minus ad ejus voluntatem vixerint. An non ita est? Est vero, inquit. Adeo, inquam, ut vel pie et sancte te geras, peccatores puniens? Ille, Quis, quæso, hæc non scit? Quænam est igitur, inquam, tua consuetudo? Utrum si qui peccaverunt alios plectis, et ab aliis pœnas non sumis? an omnes injuria affectos vindicas, et injuste agentibus congruum supplicium infers? At justam legitimamque de omnibus omnino sententiam ferre te semperque laturum esse palam est, nisi forte velis ut personarum acceptor in jus vocari. Quare quomodo justus erit Deus, si alios quidem in hac vita punit, de aliis neque in hoc neque in illo sæculo pœnas sumit? idque cum æqualem tu te ipse omnibus exhibeas: item, cum constet, a multis jus, et legem, et ipsa naturæ præcepta adeo contemni, ut ob ardentem avaritiam obvia quæque impune diripiant, ferinamque quasi propter suam erga humanum genus inhumanitatem vitam vivant, utque ad monstrosas usque libidines eorum malitia extendatur, quoniam voluptatibus omnino sunt dediti et veluti affixi: qui tamen nullas tantæ perversitatis pœnas dederint. Et quod hic caput est, illi ipsi homines in beatis vulgo habiti, extrema senectute in pace summoque honore vita excesserunt, alienasque operas opesque suis

(1) I. e. *justa, recta, convenienti.* Est locutio nostro familiaris, sicut illa, πῶς οἶει, et verbum ἀποφαίνειν. Vid. paulo post lin. 36, τὴν γινομένην ψῆφον ἐκφέρεις.

(2) Conf. infra col. 171 A.

A Θεοῦ καλά τε πάντα καὶ ἀγαθά. Πειρωμένοις μέντοι λέγειν, καὶ ζητεῖν, καὶ ἐρευνᾶν περί τινος τῶν αὐτῷ πεπραγμένων, τῷ γιγνομένῳ (1) δεῖ τοῦτο λόγῳ ποιεῖν, καὶ μὴ περιάπτειν ἐκείνῳ, ἃ μηδ' ἂν ἀνθρώπῳ χρηστῷ προσῆκεν. Ὅτε τοίνυν δέδεικται τὸ ὑφ' ὑμῶν εἰρημένον τῇ τοῦ Θεοῦ δικαιοσύνῃ μαχόμενον, οὐκ εὔλογον, οἶμαι, εἰπεῖν, ὡς ἔδει τοῦτο πρᾶξαι τὸν Θεὸν, ἅτε δὴ φιλάνθρωπον ὄντα. Τῇ γὰρ ἐκείνου δικαιοσύνῃ οὐδαμόθεν ἀντιπίπτει τὸ φιλάνθρωπον (2). Ἐγὼ μὲν οὖν ᾠμην πεπεῖσθαί σε ἅμα τῷ πατρὶ, καὶ ἐβουλόμην χωρεῖν ἐπ' ἄλλα· σοῦ δ' ἐπιπηδήσαντος τοῖς ἐμοῖς, δεῖν ᾠήθην προσθεῖναι τοῖς εἰρημένοις, καὶ δεῖξαι κολασθήσεσθαι μέλλοντας καὶ τοὺς ἐν τῇ κρείττονι πίστει τῆς ὁδοῦ τοῦ νόμου παρατραπέντας· πολλοὺς δὲ ἢ ὀλίγους, οὐδὲν B πρὸς τὸ ζητούμενον διαφέρει. Τούτου γὰρ, οἶμαι, δειχθέντος, μάταιος ἡ τῶν τριχῶν ἀρετὴ τοῦ σεμνοτάτου Μωάμεθ.

ις'. Σοφὸς εἶ σὺ, καὶ τῶν ἐπὶ τὸ δικάζειν σεμνυνομένων οὐδενί που τῶν πρωτείων ἴσως παραχωρῶν· τοῦτο παρὰ τοῦ πατρὸς ἀκηκόαμεν. Λαμβάνεις οὖν δίκην, ἤν ἁμαρτάνων τις ἐλεγχθῇ; Πάνυ γε, φησί. Καὶ θεοφιλὲς εἶναι νομίζεις καὶ ὅσιον, ἢ οὔ; Πῶς γὰρ ἂν τοῦτ' κατέπραττον, ἔφη, εἰ μὴ τοιοῦτον ἐγίνωσκον; Ὀρθῶς λέγεις, εἶπον· καὶ γὰρ καὶ ὁ Θεὸς αὐτὸς πολλοὺς ἐνταῦθα φαίνεται τιμωρούμενος τῶν εἰς αὐτὸν πιστευόντων, μὴ κατὰ τὸ αὐτῷ δοκοῦν πεπολιτευμένους. Ἢ οὐχ οὕτως; Ἀλλ' C οὕτως, ἔφη. Ὥσθ' ὅσιόν τι πράττεις, εἶπον ἐγὼ, τιμωρούμενος τοὺς ἐξαμαρτάνοντας; Τίς οὐκ οἶδε ταῦτα; φησί. Τί δὲ, ἔφην, πράττων διατελεῖς; ἐνίοις μὲν ἐπεξέρχῃ τῶν ἀδικούντων, παρὰ δὲ τῶν οὐ λαμβάνεις δίκην; ἢ τοῖς μὲν ἠδικημένοις πᾶσιν ἀμύνεις, τοῖς δὲ ἀδικίᾳ συζῶσι κατάλληλον ἐπάγεις τὸ τίμημα; Δῆλον ὅτι πᾶσιν ἐξῆς τὴν γιγνομένην ψῆφον ἐκφέρεις, καὶ ἐξοίσεις γε ἀεὶ, εἴγε μέλλεις μηδαμῶς προσωπολήπτου γραφὴν ἀποίσεσθαι. Πῶς οὖν δίκαιος ὁ Θεὸς, εἰ τοὺς μὲν ἐνθάδε κολάζει, παρὰ δε τῶν μήτ' ἐνταῦθα μήτ' ἐκεῖ δίκην λήψεται; καὶ ταῦτα, σοῦ γε σαυτὸν παρέχοντος ἅπασιν ἴσον· ἤπου γε πολλοὺς ἴσμεν ἐπὶ τοσοῦτον ὀλιγωροῦντας τοῦ δικαίου, καὶ τοῦ νόμου, καὶ τῶν θεσμῶν τῆς φύσεως, ὡς διὰ πλεονεξίαν πολλὴν Μυσῶν μὲν D λείαν (3) τὰ προστυχόντα ποιεῖσθαι, θηρίων δὲ βίον ζῆν τῇ πρὸς τὸ γένος ἀπανθρωπίᾳ, ἐπεκτείνεσθαι (4) δέ πως τούτοις τὰ τῆς κακίας ἄχρι καὶ τῶν ἀλλοκότων ἀσελγημάτων, τῷ ταῖς ἡδοναῖς παντάπασι προσηλῶσθαι, καὶ μηδεμίαν δεδωκότας δίκην τῆς τηλικαύτης παρατροπῆς. Καὶ τὸ ὑπερβάλλον ἐνταῦθα, ὅτι καὶ μακαριζόμενοι παρὰ τῶν πολλῶν, ἐν γήρᾳ τε πάνυ βαθεῖ, καὶ ἐν εἰρήνῃ, καὶ ἐν τιμῇ τοῦ τῇδε βίου μετέστησαν, πόνους ἀλλοτρίους καὶ θησαυροὺς τοῖς ἑαυτῶν καταλιπόντες παισί· τού-

(3) Codd. ambo λίαν. Cod. Coislin. μισεῖν μὲν λίαν, ut sit sensus: *ut vulgares culpas committere oderint.*

(4) Cod. Coisl. ἀπεκτείνεσθαι.

Digitized by Google

τους γε βιαίους ὄντας οὐκ εὐαρίθμητοί τινες τῶν ὑπ' αὐτῶν ἠδικημένων τὰ μέγιστα προσκυνοῦντες διετέλεσαν, λύτρα τε οἶμαι καὶ σῶστρα τῆς ἑαυτῶν ἐλευθερίας τε καὶ ζωῆς ὥσπερ ἀντεισφέροντας τὴν τιμήν· καίτοι πολλοὺς ἂν εὕροις καὶ τῶν ἠδικημένων παρὰ κακίστων, σπουδαίους τε ἄνδρας καὶ ἀγαθοὺς, καὶ ἐπιεικείᾳ πολλῇ συζήσαντας.

ιζ'. Ὅτε τοίνυν ταῦθ' οὕτως ἔχει, καὶ σὺ μὲν πᾶσιν ἀπονέμεις τὰ δίκαια, Θεὸς δ' οὐ τοῦτο φαίνεται τὸ τήμερον πράττων, εἰ οὐδ' ἐκεῖ δίκην τίσειαν οἱ τὸν Θεὸν ἀτιμάσαντες τῇ παραβάσει τῶν ἐντολῶν, σύ γε Θεοῦ δικαιότερος. Ὁρᾷς τῆς ἀτοπίας τὸ μέγεθος, καὶ οἳ (1) κακῶν σου προῦβη τὸ δόγμα; Τὴν δὲ αἰτίαν εἰ θέλεις μαθεῖν, ἤδη πάρεστι. Τισὶ μὲν γὰρ ἁμαρτήμασιν ἐνθάδ' ἐπάγεται τὰ δεινὰ, ἵνα μὴ τῇ κολάσει διαπιστῶμεν· ὅπου γὰρ καὶ νῦν εἰσιν οἱ μὴ πιστεύειν βουλόμενοι, εἰ μηδεὶς ἐδίδου δίκην ἐνταῦθα, τίς ἂν ἐπίστευε δώσειν ἐξαμαρτήσας, καὶ ἄλλοις δ' εἰς τὸ μέλλον ταυτὶ ταμιεύεσθαι; Καὶ τοῦτο πάντες πιστεύουσιν. Ἐκ γὰρ δὴ τοῦ φαινομένου καὶ τὸ φανὲς οὐκ ἀμφίβολον. Ἔσται ἄρα κρίσις καὶ ἔκτισις ἁμαρτιῶν ἀπαραίτητος, καθάπερ δὴ καὶ ἀμοιβαὶ τοῖς ἀγαθοῖς μετὰ τὴν ἐνθένδε ζωήν. Ἀλλ' ἐρεῖ τις ἴσως ὑμῶν, ὡς ἂν μὲν οἱ φαῦλοι κακῶν, οἱ δὲ σπουδαῖοι χρηστῶν ἀπολαύσωσι, τὸ μὲν δίκαιον τοῦ κριτοῦ φανερὸν, τὸ δὲ φιλάνθρωπον ποῦ; Καὶ ἡ ἐρώτησις αὕτη οὐκ ἔξω λόγου τοῦ πρέποντος. Δεῖ γὰρ αὐτὸν ἐνεργείᾳ εἶναι ὅπερ ἐστὶν, αὐτοδικαιοσύνη τε καὶ αὐτοαγαθότης· ἐπεὶ δὲ δεῖ κατ' ἄμφω τὸν Θεὸν ἐνεργὸν εἶναι, ἐξεῦρεν, ὅπως τὸ φιλάνθρωπον δείξας καὶ τὸ δίκαιον ἐπιδείξεται. Εἰς μὲν οὖν τόνδε τὸν κόσμον ἀφθόνως τε καὶ δαψιλῶς τὴν ἄῤῥητον ὕει φιλανθρωπίαν πᾶσιν ἁπλῶς, ὡς ἔξεστιν ἐκ τῶν πραγμάτων αὐτοῦ σκοπεῖν· τὴν δικαιοσύνην δὲ τῇ παλιγγενεσίᾳ (2) τετήρηκεν. Οὔπω λέγω, ὡς καὶ ἡ κόλασις αὐτὴ πολλῇ φιλανθρωπίᾳ τε καὶ χρηστότητι καὶ κατεσκεύασται, καὶ ἠπείληται.

A liberis reliquerunt : hosque violentos non pauci de iis, quos maximis injuriis affecerant, perofficiose semper coluerunt, hunc iis honorem, opinor, conservatæ quasi libertatis et vitæ præmium rependentes ; atqui multos ex illis, quibus a pessimis hominibus illatæ injuriæ sunt, honestos probosque viros magnaque æquabilitate vixisse reperias.

17. Quæ cum ita sint, quoniam tu quidem justitiam aliquam omnibus tribuis, Deus autem secundum ea quæ hodie fiunt parum juste agere videtur, si neque in futura vita pœnas luunt, qui cum præceptorum suorum violatione aspernati sunt, tu profecto es Deo justior. Vides nunc quanta ex his sequatur absurditas, et quonam mali processerit opinio tua ? Cujus rei causam discere si velis, in B promptu est. Quibusdam peccatis jam in hac vita pœnæ infliguntur, nempe ne omnino de punitione diffidamus : cum enim vel nunc sint, qui illud de futura vindicta credere nolint, si nemo ullas hoc in sæculo lueret, quis, obsecro, et se commissi peccati pœnas esse daturum, et aliis eas in futurum tempus reservari crederet ? Jam vero illud omnes fere credunt. Nam intuitu apparentis rei dubitatio tollitur de re non apparente. Erit igitur judicium, nullisque precibus deprecanda malorum punitio, item ut probis remuneratio, post hanc vitam. Dicet forte aliquis vestrum : At si scelerati malis afficientur, boni bonis, justitia quidem judicis palam fit, clementia autem ejus erga homines ubi apparebit ? C Nec a ratione aliena est hæc interrogatio. Oportet enim Deum actu et effectu esse id quod est, summam ipsamque justitiam et bonitatem : et quoniam secundum ambas has virtutes agere cum necesse est, viam invenit, qua via et bonitatem ostenderet, et nihilominus patefaceret justitiam. In hunc mundum enim dici non potest quam abunde et liberaliter suam erga homines benignitatem omnibus imbris instar profundit, ut ex ipsius operibus intelligi potest : justitiam novæ post mortem vitæ reservavit. Atque non memoro nunc, quanta bonitate et clementia ipsa punitio et constituta est, et prænuntiata.

ιη'. Ταῦτ' ἐμοῦ εἰρηκότος, σιγήσαντος τοῦ πρώτου, βλέψας ὁ νεώτερος υἱὸς εἰς τὸν αὐτοῦ πατέρα εἶπέ τι πρὸς αὐτὸν τῇ τῶν Ἀράβων φωνῇ· καὶ ὃς ἀποδεξάμενος, ὡς ἔοικε, τὸ ῥηθὲν, πρὸς ἡμᾶς διὰ τῆς τῶν Τούρκων μετέδωκε, τοῖς ἑρμηνεῦσι συνήθως εἰς τοῦτο χρησάμενος. Τὸ δὲ ἦν ἐκεῖνο τὸ λεχθὲν παρ' ἐμοῦ, ὡς ἄρα παρέλκον ἂν εἴη καὶ περιττὸν, τὸ τὸν Χριστὸν ἥξειν κρινοῦντα πᾶσαν τὴν γῆν, εἰ μέλλοι πάντας σώσειν ἑξῆς· καὶ ὅτι καὶ τὸ δίκαιος εἶναι τὸν τρόπον τοῦτον ἀπόλλυσι. Ταῦτα δὲ, ἔφη ἐκεῖνος, οὐχ ἱκανῶς ἀποδέδεικται. Κρινεῖ γὰρ ἀμέλει, καὶ παραδώσει κολάσεσι τοὺς ἀντινομοθετοῦντας ταῖς τοῦ Μωάμεθ παραδόσεσιν ἅπαντας. Πρὸς ὃν περ ἔφην αὐτός· Ἥδιστόν μοι δοκεῖ, καὶ πολὺν καρπὸν δυνάμενον ἐνεγκεῖν, τὸ τὸν προσδιαλεγόμενον εἰπεῖν τὸ παριστάμενον· κἂν ἄλλως τοῦτο

18. Quæ cum ego dixissem, filiusque natu major sileret, minor in patrem intuens aliquid ei Arabico sermone dixit ; quod ille, ut videbatur, comprobavit, ad nosque Turcica lingua transmisit, interpretibus D ex more adhibitis. Id erat illud ipsum quod dixeram, inutilem prorsus Christi ad omnen terram judicandam et supervacuum esse adventum, si quidem omnes omnino ille sit servaturus ; verendumque esse, ne justi nomen hoc modo amittat. Hæc enim, inquit ille, non satis demonstrata sunt. Judicabit certe videlicet, suppliciisque eos omnes tradet, qui disciplinam Moamethi institutis contrariam docuerint. Ad quem tunc ego : Per mihi, per inquam gratum est, magnumque utilitatis fructum videtur præbere, si quocum colloquor is quidquid sibi in mentem venit eloquitur : quod si aliter facere volu-

(1) Cod. Coisl. εἰ.

(2) Παλιγγενεσία hic non baptisma, sed futura post resurrectionem vita, ex Matth. XIX, 28, Ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ.

Digitized by Google

erit, non videbit, disputationis frustra a se suscipi laborem. Nam vulnus quod occultatur ad sanitatem pervenire nequit. Tibi autem de ejusmodi filiis gratulor : etenim pulchre, quæ hic dicuntur, assequi videtur adolescens : ipsum tamen scire volo, *impios in judicio non esse resurrecturos*, ut ait David. Quem si admittis testem, vanus erit hic sermo, justum judicem judicaturum esse paganos, suppliciisque eos esse traditurum : at servaturum omnes sine discrimine, qui male vixerint quidem, sed recta tamen in fide fuerint. Quod si Davidis auctoritatem rejicis, quod reliquum est faciamus, armisque nostris (probabilibus rationum momentis dico) pro nostra sententia propugnemus. Quocirca pleraque dicere omitto : illud unum addo supra dictis, quod vel solum homini non plane contentionis cupido persuadere possit.

19. Fac aliquem structarum regi insidiarum reum esse : si res in dubio versetur, defensionis ei dabitur locus : actori et reo eumdem clepsydrarum numerum concedet, ambobus æque aures præbebit judex, nec ulla re superior erit is qui pro rege dicit. Sin autem manifestissimum crimen est, adeo ut neque argumentis neque ullo testimonio indigeat, nullam omnino deprecationem tentabit reus, sed contra se ipse lata sententia ad laqueum festinabit aliquando, mortemque tantum non invocabit : ideo quod pudorem, gravissimasque conscientiæ reprehensiones et intolerabiles stimulos ferre nequeat. Quapropter nemo unquam in tribunali consedit, ut hostem captum redargueret, mortisque pœna dignum esse convinceret. Hæc enim pœna peccati naturam sequitur, et lege ac tempore confirmatur. Tribunal autem, et judicium, et argumenta, et multa de ipsa re inquisitio eo pertinent, ne ferendæ sententiæ dominus, homo cum sit, benevolum virum pro inimico imprudens interficiat. At enim hoc, optime adolescens, locum non habebit apud illum judicem, qui pro testibus probationibusque nulli exceptioni obnoxiis uniuscujusque conscientia utitur. *Omnia nuda* [1], omnia aperta sunt oculis illius, qui eo in tribunali sedebit : illum nemo tunc decipere conabitur. Omnibus enim, quibus nunc ignotus est, manifestus erit. Itaque futurum judicium non incredulorum causa fiet. Jam vero si quæ diximus tibi persuadent, nec ea prorsus nugatoria existimas, quod superest nunc dicamus : vel nimirum propter fideles, lapsos, vel omnino nullum fore judicium. Atqui futurum esse judicium in confesso est : igitur fieri non potest, ut omnes qui piam fidem colunt serventur : alioquin Christus non posset

[1] Hebr. IV, 13.

(1) Psal. I, 5. Sic paulo post, p. 380, lin. 22 : Ἡ κρίσις ἡ μέλλουσα οὐ τῶν ἀπίστων εἵνεκα · quod videtur ad illud Evangelii alludere : *Qui enim non credit, jam judicatus est*, Joan. III, 18. Nec enim, opinor, impiorum resurrectionem omnino negat Manuel, sed illud dicit : Ad integram damnationem resurgent quidem impii : ad judicium autem proprie dictum, ideo quod jam sunt judicati, non venient.

(2) Cod. Reg. φαύλους.

A ποιεῖν βουληθῇ, λήσει τοὺς πόνους ἀναλώσας ἐπὶ κενῷ. Τραῦμα γὰρ κεκαλυμμένον ὑγείας οὐκ ἐπιτεύξεται. Σοὶ δὲ συγχαίρω τοιούτους φύσαντι · δοκεῖ μοι γὰρ οὗτος ὁ νέος καλῶς γε ἐπιβάλλειν τοῖς λεγομένοις · πλὴν γινώσκειν αὐτὸν ἐθέλω, ὡς οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει (1) · ὁ Δαβὶδ οὕτω λέγει. Ὃν εἰ μάρτυρα παραδέχῃ, μάταιος ὁ λόγος οὗτος, ὅτι τοὺς ἀπίστους κρινεῖ, καὶ παραδώσει τούτους κολάσεσιν ὁ δίκαιος κριτής · σώσει δὲ πάντας ἐξῆς τοὺς φαύλως (2) μὲν βεβιωκότας, ὀρθῇ δὲ πίστει συζήσαντας. Εἰ δὲ τὸν Δαβὶδ παραγράφῃ, ὃ λοιπόν ἐστι ποιῶμεν, καὶ ἐκ τῶν καθ' ἡμᾶς (τούτων φημὶ δὴ τῶν εἰκότων) συμμαχῶμεν ἤδη τῷ λόγῳ. Παρεὶς οὖν λέγειν τὰ πλείω, ἐκεῖνό γε προσθήσω τοῖς εἰρημένοις, ὃ δὴ καὶ μόνον ῥηθὲν ἱκανὸν πεῖσαι B τὸν μὴ πάντη φιλόνεικον.

ιθ'. Ἦν οὖν τις βασιλέως ἐπιβουλῆς φεύγῃ, καὶ ᾖ τὸ πρᾶγμα ἀμφίβολον, ἀπολογίας τόπος τούτῳ δοθήσεται · καὶ ἴσον ἀμφοῖν ἔσται τὸ ὕδωρ, καὶ τὸ ὑποσχεῖν τὰ ὦτα τὸν δικαστὴν, τῷ φεύγοντί τε καὶ τῷ διώκοντι · πλεονεκτήσει δὲ οὐδαμῶς ὁ τοῦ βασιλέως ὑπερμαχῶν. Ἦν δ' ᾖ σαφέστατον τοὔγκλημα, ὡς μήτ' ἐλέγχων δεῖσθαι μήτε μαρτυρίας ἡστινοσοῦν, οὐδὲ γοῦν πειράσεται τὴν ἀρχὴν παραιτήσασθαι, ἀλλὰ καθ' αὑτοῦ τὴν ψῆφον ἴδοις ἂν τὸν τοιοῦτον ἐξενεγκόντα ἔστιν οὗ, καὶ ἐπὶ βρόχον ἐπειγόμενον, καὶ μονονοὺ τὴν τελευτὴν ἐπικαλούμενον (3), τῷ τὴν αἰσχύνην μὴ φέρειν, καὶ τοὺς βα- C ρεῖς ἐλέγχους τοῦ συνειδότος, καὶ τοὺς ἀφορήτους τούτου νυγμούς. Διά τοι τοῦτο οὔκουν ἐπὶ βήματος πώποτέ τις ἐκάθισεν, ὥστε τὸν ἐχθρὸν ἐξελέγξαι, ὡς ἄρα δίκαιός ἐστι θανάτου δέξασθαι τίμημα. Τοῦτο γὰρ τῇ φύσει τοῦ πταίσματος ἕπεται, νόμῳ τε καὶ χρόνῳ βεβαιωθέν. Βῆμα δὲ, καὶ κρίσις, καὶ ἔλεγχοι, καὶ ἡ πολλὴ τοῦ πράγματος βάσανος, ἵνα μὴ τὸν εὔνουν ἀντὶ τοῦ δυσμενοῦς λάθῃ φονεύσας ἄνθρωπος ὢν ὁ τῆς ψήφου κύριος. Τοῦτο δ', ὦ καλὲ νεανία, χώραν οὐχ ἕξει παρ' ἐκείνῳ τῷ κριτῇ, ὃς ἀντὶ μαρτύρων ἔχει καὶ ἀπαραγράπτων ἐλέγχων ἑκάστου τὸ συνειδός. Πάντα γὰρ γυμνὰ καὶ ὅλα τοῖς ὀφθαλμοῖς τοῦ ἐπὶ τοῦ βήματος ἐκείνου καθιεῖσθαι μέλλοντος · ὃν οὐδ' ἂν εἷς τηνικαῦτα πειραθείη (4) παραλογίσασθαι. Πᾶσι γὰρ ἔσται δῆλος, D οἷς νῦν ἐστιν ἀγνοούμενος. Ἡ κρίσις τοίνυν ἡ μέλλουσα οὐ τῶν ἀπίστων εἵνεκα. Καὶ εἴ σε τὰ λεγόμενα πείθει, πάντως δὲ οὐ λῆρον ταῦτα ἡγήσῃ, δ λοιπὸν ἤδη λέγωμεν · ὡς ἢ διὰ τοὺς ἑπταικότας πιστοὺς, ἢ οὐδαμῶς ἔσται δίκη. Ἀλλὰ μὴν ὡς ἔσται κρίσις προωμολόγηται · τὸ πάντας ἄρα σωθῆναι τοὺς εὐσεβεῖς (5) οὐκ ἐνδέχεται · ἢ γὰρ ἂν οὐκ

(3) Cod. Reg. προκαλούμενον, *provocabit*.

(4) Cod. Coisl. παραθείη.

(5) Εὐσεβεῖς sæpe appellantur a theologis Græcis non qui innocenter vixerunt, sed qui veram fidem sunt professi, perversis licet moribus : ἀσεβεῖς contra hæretici et pagani, quantumvis justi forte et probi. Conf. Suiceri *Thesaur. eccles.* tom. I, c. 545.

Digitized by Google

ἦν τὸν Χριστὸν κριτὴν εἶναι, καὶ ἀληθῶς ὀνομάζεσθαι. Τῶν τοίνυν νέων ἐπὶ τούτῳ σιγὴν ἀγόντων, ἔφη ὁ γέρων·

κ'. Ἀποδεδεῖχθαί μοι τοῦτο δοκεῖ· λέγε τοίνυν τὰ σοὶ δοκοῦντα περί τε τοῦ παραδείσου, καὶ τῆς ἐν αὐτῷ καταστάσεως καὶ τρυφῆς. Πάντως δὲ, εἰ μὲν ὀρθοῦ σοι λόγου τὰ ἡμέτερα ἐχόμενα φαίνεται, οὐκ ἂν μακρῶν δέοιτο λόγων· ἄλλως δέ σοι δοκούντων, μὴ φείδου ῥημάτων, μηδ' ὑπολογίσαιτο πόνους, ἔνθα προσδόκιμός ἐστι καρπὸς ἀληθείας, ἵν οἷδε φέρειν διάλεξις καθαρὰ φιλονεικίας ἀπάσης. Ἀλλ' ἡμεῖς σοι ξένοι, καὶ παρά σοι καλὴν εὑρηκότες ὑποδοχὴν, καὶ γνώμην τὴν αὐτὴν, καὶ τιμὴν (καὶ οὐδὲν οὐδ' ἐν λόγοις οὐδ' ἐν ἔργοις ἡμᾶς παρελύπησας), δεῖ οὖν ἡμᾶς τοῖς ἴσοις, ὡς ἔνεστι, σὲ σπεύδειν ἀμείβεσθαι. Ἐμοὶ δ' ὑπονοεῖν ἔπεισιν, ὡς ἄρα σέ που καὶ ἀποκναίσει τὰ παρ' ἐμοῦ λεγόμενα. Ἀνίας πλησθεὶς ἐφάνη τοῖς εἰρημένοις ὁ Πέρσης, καὶ μηνύων τῷ προσώπῳ τὴν τῆς ψυχῆς διάθεσιν ἔφη· Οὐ χρὴ τοιοῦτον ὑπονοεῖν· ἐπὶ τοσοῦτον γὰρ αὐτῷ τὰ τῆς εὐφροσύνης ἐκτείνεσθαι, ἐφ' ὅσον με τῆς ἀληθείας ἐχόμενον καθορᾷ· δεῖ δὴ μηδὲν ὑποστειλάμενον λέγειν. Καὶ γὰρ κἀκεῖνος ταυτὸ ποιεῖν καὶ ποιῶν διατελέσειν διαλεγόμενος, ὅτε δέ με καὶ ἐπαγγειλάμενον ἔχει, καὶ ἀπαιτεῖ τὴν παῤῥησίαν, ἀλλ' οὐκ αἰτεῖ, δίκαιος ἂν εἴην (1), καὶ αὐτὸς τὰ ὑπεσχημένα φυλάττειν, καὶ μὴ δυσχεραίνειν πρὸς τὴν μετὰ θάῤῥους ἀπόκρισιν· ὃ δὴ κατ' ἀρχὰς ἐπαγγειλαντι δώσειν αὐτὸς ὑπεσχόμην. Οὐκοῦν γε εἶπον καὶ αὐτὸν πράως ἀκούειν λοιπόν· οὐ γὰρ ἵν' ἐξελέγξω εἰς ἀγῶνας ἐμαυτὸν καθῆκα ἄλλῳ προσήκοντας σχήματι, ἀλλ' ὅπως σοι τελέσω τὸ βούλημα· ὅτι καί τις ὑποσαίνει τῶν χρηστοτέρων ἐλπίς. Ὅθεν πάντων εἵνεκα οὐδ' οὑτινοσοῦν ἂν εἴην δίκαιος φείσασθαι, ὅσαπερ πρὸς τοῦτο φέρειν ὑπολαμβάνω. Δίκαια, πάντες ἔφασαν, λέγεις· καί σου δεόμεθα, καθάπερ ἔφης, ποιῆσαι. Ἐνταῦθα μὲν οὖν πρὸ δείλης ἐῴας τὰ τῆς δευτέρας ἡμῖν διαλέξεως ἐτελεύτησεν.

A judex esse, vereque appellari. Ad hæc cum silerent juvenes, illo modo senex locutus est :

20. Demonstratum mihi videtur hoc quidem : dic ergo sodes, quid tu de paradiso sentias, et de futura hominum in illo conditione et deliciis. Quod si rectæ consentanea rationi nostra tibi videbuntur dogmata, non longa hercle opus tibi erit oratione : sin de his aliter tibi videatur, verbis non parcas, nec ullam laborum rationem habeas, nempe unde spes est eum veritatis fructum perceptum iri, quem colloquium a pertinaci concertatione liberum ferre potest. Nos vero, inquam, hospites tui, liberale apud te hospitium, paremque in te animi candorem et dignitatem nacti (nec enim verbis nec factis honorificentius tractari potuissemus), quid est hospes, quare non quantum possimus par pari reddere conemur. Sed enim submoleste forte laturum te suspicor meum sermocinandi genus. Quæ cum ego dixissem, contristabatur Persa, vultuque sensum animi indicante, Nihil ejusmodi, inquit, vereri oportet : eatenus benevolentiam suam porrigi, quatenus me veritati adhærere cerneret : quamobrem, inquit, loqui nihil præ verecundia reticendo. Ipse etiam idem et facere se et in serie disputationum semper factorum affirmabat : cumque eam, quam illi eram pollicitus, plenam loquendi libertatem non peteret tantum, quantum vicissim repeteret, æquum esse intellexi, me quoque promissa servare, nec moleste ferre liberum responsum : quod jam in principio, cum se daturum diceret, spoponderam. Deinceps igitur, inquam, tu quoque benigne me audies : nec enim ut redarguerem te descendi in hoc certamen, conveniens alius personæ paulo fortasse magis quam mihi : at descendi ut morem tibi gererem : et præterea nescio quæ optimarum rerum spes mihi injicitur. Quibus omnibus de causis non attinet ulli rei parcere, quam ad hoc conferre posse arbitror. Rectissime tu quidem istud, inquiunt omnes : petimusque a te, ut quod pollicitus es, repræsentes. Quæ cum essent dicta, ante matutinum crepusculum secundus dialogus sic conclusus est.

(1) Videtur hic ἔφην, sive πρὸς ἐμαυτὸν ἐλογισάμην, sive tale aliquid, ab lectore subintelligi debere.

MONITUM

AD

MANUELIS PALÆOLOGI IN FRATREM SUUM ORATIONEM FUNEBREM.

(Combefis. *Auct. Bibl. PP.*)

Luculentissima oratione, cum suam fratrisque pietatem egregie testatam, meliori ævo ac fortuna dignus imperator, facit, ejusque alias virtutes celebrat, tum occidentis in Oriente Romani imperii, Orientisque ac

Digitized by Google

erit, non videbit, disputationis frustra a se suscipi laborem. Nam vulnus quod occultatur ad sanitatem pervenire nequit. Tibi autem de ejusmodi filiis gratulor : etenim pulchre, quæ hic dicuntur, assequi videtur adolescens : ipsum tamen scire volo, *impios in judicio non esse resurrecturos*, ut ait David. Quem si admittis testem, vanus erit hic sermo, justum judicem judicaturum esse paganos, suppliciisque eos esse traditurum : at servaturum omnes sine discrimine, qui male vixerint quidem, sed recta tamen in fide fuerint. Quod si Davidis auctoritatem rejicis, quod reliquum est faciamus, armisque nostris (probabilibus rationum momentis dico) pro nostra sententia propugnemus. Quocirca pleraque dicere omitto : illud unum addo supra dictis, quod vel solum homini non plane contentionis cupido persuadere possit.

19. Fac aliquem structarum regi insidiarum reum esse : si res in dubio versetur, defensionis ei dabitur locus : actori et reo eumdem clepsydrarum numerum concedet, ambobus æque aures præbebit judex, nec ulla re superior erit is qui pro rege dicit. Sin autem manifestissimum crimen est, adeo ut neque argumentis neque ullo testimonio indigeat, nullam omnino deprecationem tentabit reus, sed contra se ipse lata sententia ad laqueum festinabit aliquando, mortemque tantum non invocabit : ideo quod pudorem, gravissimasque conscientiæ reprehensiones et intolerabiles stimulos ferre nequeat. Quapropter nemo unquam in tribunali consedit, ut hostem captum redargueret, mortisque pœna dignum esse convinceret. Hæc enim pœna peccati naturam sequitur, et lege ac tempore confirmatur. Tribunal autem, et judicium, et argumenta, et multa de ipsa re inquisitio eo pertinent, ne ferendæ sententiæ dominus, homo cum sit, benevolum virum pro inimico imprudens interficiat. At enim hoc, optime adolescens, locum non habebit apud illum judicem, qui pro testibus probationibusque nulli exceptioni obnoxiis uniuscujusque conscientia utitur. *Omnia nuda* [1], omnia aperta sunt oculis illius, qui eo in tribunali sedebit : illum nemo tunc decipere conabitur. Omnibus enim, quibus nunc ignotus est, manifestus erit. Itaque futurum judicium non incredulorum causa fiet. Jam vero si quæ diximus tibi persuadent, nec ea prorsus nugatoria existimas, quod superest nunc dicamus : vel nimirum propter fideles, lapsos, vel omnino nullum fore judicium. Atqui futurum esse judicium in confesso est : igitur fieri non potest, ut omnes qui piam fidem colunt serventur : alioquin Christus non posset

[1] Hebr. IV, 13.

ποιεῖν βουληθῇ, λήσει τοὺς πόνους ἀναλώσας ἐπὶ κενῷ. Τραῦμα γὰρ κεκαλυμμένον ὑγείας οὐκ ἐπιτεύξεται. Σοὶ δὲ συγχαίρω τοιούτους φύσαντι· δοκεῖ μοι γὰρ οὗτος ὁ νέος καλῶς γε ἐπιβάλλειν τοῖς λεγομένοις· πλὴν γινώσκειν αὐτὸν ἐθέλω, ὡς οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει (1)· ὁ Δαβὶδ οὕτω λέγει. Ὃν εἰ μάρτυρα παραδέχῃ, μάταιος ὁ λόγος οὗτος, ὅτι τοὺς ἀπίστους κρινεῖ, καὶ παραδώσει τούτους κολάσεσιν ὁ δίκαιος κριτής· σώσει δὲ πάντας ἐξῆς τοὺς φαύλως (2) μὲν βεβιωκότας, ὀρθῇ δὲ πίστει συζήσαντας. Εἰ δὲ τὸν Δαβὶδ παραγράφῃ, ὃ λοιπόν ἐστι ποιῶμεν, καὶ ἐκ τῶν καθ' ἡμᾶς (τούτων φημὶ δὴ τῶν εἰκότων) συμμαχῶμεν ἤδη τῷ λόγῳ. Παρεὶς οὖν λέγειν τὰ πλείω, ἐκεῖνό γε προσθήσω τοῖς εἰρημένοις, ὃ δὴ καὶ μόνον ῥηθὲν ἱκανὸν πεῖσαι τὸν μὴ πάντῃ φιλόνεικον.

ιθ'. Ἂν οὖν τις βασιλέως ἐπιβουλῆς φεύγῃ, καὶ ᾖ τὸ πρᾶγμα ἀμφίβολον, ἀπολογίας τόπος τούτῳ δοθήσεται· καὶ ἴσον ἀμφοῖν ἔσται τὸ ὕδωρ, καὶ τὸ ὑποσχεῖν τὰ ὦτα τὸν δικαστὴν, τῷ φεύγοντί τε καὶ τῷ διώκοντι· πλεονεκτήσει δὲ οὐδαμῶς ὁ τοῦ βασιλέως ὑπερμαχῶν. Ἂν δ' ᾖ σαφέστατον τοὔγκλημα, ὡς μήτ' ἐλέγχων δεῖσθαι μήτε μαρτυρίας ἡστινοσοῦν, οὐδὲ γοῦν πειράσεται τὴν ἀρχὴν παραιτήσασθαι, ἀλλὰ καθ' αὑτοῦ τὴν ψῆφον ἴδοις ἂν τὸν τοιοῦτον ἐξενεγκόντα ἔστιν οὗ, καὶ ἐπὶ βρόχον ἐπειγόμενον, καὶ μονονοὺ τὴν τελευτὴν ἐπικαλούμενον (3), τῷ τὴν αἰσχύνην μὴ φέρειν, καὶ τοὺς βαρεῖς ἐλέγχους τοῦ συνειδότος, καὶ τοὺς ἀφορήτους τούτου νυγμούς. Διά τοι τοῦτο οὐκουν ἐπὶ βήματος πώποτέ τις ἐκάθισεν, ὥστε τὸν ἐχθρὸν ἐξελέγξαι, ὡς ἄρα δίκαιός ἐστι θανάτου δέξασθαι τίμημα. Τοῦτο γὰρ τῇ φύσει τοῦ πταίσματος ἕπεται, νόμῳ τε καὶ χρόνῳ βεβαιωθέν. Βῆμα δὲ, καὶ κρίσις, καὶ ἔλεγχοι, καὶ ἡ πολλὴ τοῦ πράγματος βάσανος, ἵνα μὴ τὸν εὔνουν ἀντὶ τοῦ δυσμενοῦς λάθῃ φονεύσας ἄνθρωπος ὢν ὁ τῆς ψήφου κύριος. Τοῦτο δ', ὦ καλὲ νεανία, χώραν οὐχ ἕξει παρ' ἐκείνῳ τῷ κριτῇ, ὃς ἀντὶ μαρτύρων ἔχει καὶ ἀπαραγράπτων ἐλέγχων ἑκάστου τὸ συνειδός. Πάντα γὰρ γυμνὰ καὶ δῆλα τοῖς ὀφθαλμοῖς τοῦ ἐπὶ τοῦ βήματος ἐκείνου καθιεῖσθαι μέλλοντος· ὃν οὐδ' ἂν εἷς τηνικαῦτα πειραθείη (4) παραλογίσασθαι. Πᾶσι γὰρ ἔσται δῆλος, οἷς νῦν ἐστιν ἀγνοούμενος. Ἡ κρίσις τοίνυν ἡ μέλλουσα οὐ τῶν ἀπίστων εἵνεκα. Καὶ εἴ σε τὰ λεγόμενα πείθει, πάντως δὲ οὐ λῆρον ταῦτα ἡγήσῃ, ὅ λοιπὸν ἤδη λέγωμεν· ὡς ἢ διὰ τοὺς ἐπταικότας πιστοὺς, ἢ οὐδαμῶς ἔσται δίκη. Ἀλλὰ μὴν ὡς ἔσται κρίσις προωμολόγηται· τὸ πάντας ἄρα σωθῆναι τοὺς εὐσεβεῖς (5) οὐκ ἐνδέχεται· ἢ γὰρ ἂν οὐκ

(1) Psal. I, 5. Sic paulo post, p. 380, lin. 22 : Ἡ κρίσις ἡ μέλλουσα οὐ τῶν ἀπίστων εἵνεκα · quod videtur ad illud Evangelii alludere : *Qui enim non credit, jam judicatus est*, Joan. III, 18. Nec enim, opinor, impiorum resurrectionem omnino negat Manuel, sed illud dicit : Ad integram damnationem resurgent quidem impii : ad judicium autem proprie dictum, ideo quod jam sunt judicati, non venient.

(2) Cod. Reg. φαύλους.

(3) Cod. Reg. προκαλούμενον, *provocabit*.

(4) Cod. Coisl. παραθείη.

(5) Εὐσεβεῖς sæpe appellantur a theologis Græcis non qui innocenter vixerunt, sed qui veram fidem sunt professi, perversis licet moribus : ἀσεβεῖς contra hæretici et pagani, quantumvis justi forte et probi. Conf. Suiceri *Thesaur. eccles.* tom. I, c. 545.

Digitized by Google

ἦν τὸν Χριστὸν κριτὴν εἶναι, καὶ ἀληθῶς ὀνομάζεσθαι. Τῶν τοίνυν νέων ἐπὶ τούτῳ σιγὴν ἀγόντων, ἔφη ὁ γέρων·

κ'. Ἀποδεδεῖχθαί μοι τοῦτο δοκεῖ· λέγε τοίνυν, τὰ σοὶ δοκοῦντα περί τε τοῦ παραδείσου, καὶ τῆς ἐν αὐτῷ καταστάσεως καὶ τρυφῆς. Πάντως δὲ, εἰ μὲν ὀρθοῦ σοι λόγου τὰ ἡμέτερα ἐχόμενα φαίνεται, οὐκ ἂν μακρῶν δέοιο λόγων· ἄλλως δέ σοι δοκούντων, μὴ φείδου ῥημάτων, μηδ' ὑπολογίσαιο πόνους, ἔνθα προσδόκιμός ἐστι καρπὸς ἀληθείας, ὃν οἷδε φέρειν διάλεξις καθαρὰ φιλονεικίας ἀπάσης. Ἀλλ' ἡμεῖς σοι ξένοι, καὶ παρά σοι καλὴν εὑρηκότες ὑποδοχὴν, καὶ γνώμην τὴν αὐτὴν, καὶ τιμὴν (καὶ οὐδὲν οὐδ' ἐν λόγοις οὐδ' ἐν ἔργοις ἡμᾶς παρελύπησας), δεῖ οὖν ἡμᾶς τοῖς ἴσοις, ὡς ἔνεστι, σὲ σπεύδειν ἀμείβεσθαι. Ἐμοὶ δ' ὑπονοεῖν ἔπεισιν, ὡς ἄρα σέ που καὶ ἀποκναίσει τὰ παρ' ἐμοῦ λεγόμενα. Ἀνίας πλησθεὶς ἐφάνη τοῖς εἰρημένοις ὁ Πέρσης, καὶ μηνύων τῷ προσώπῳ τὴν τῆς ψυχῆς διάθεσιν ἔφη· Οὐ χρὴ τοιοῦτον ὑπονοεῖν· ἐπὶ τοσοῦτον γὰρ αὐτῷ τὰ τῆς εὐφροσύνης ἐκτείνεσθαι, ἐφ' ὅσον με τῆς ἀληθείας ἐχόμενον καθορᾷ· δεῖ δὴ μηδὲν ὑποστειλάμενον λέγειν. Καὶ γὰρ κἀκεῖνος ταυτὸ ποιεῖν καὶ ποιῶν διατελέσειν διαλεγόμενος, ὅτε δέ με καὶ ἐπαγγειλάμενον ἔχει, καὶ ἀπαιτεῖ τὴν παῤῥησίαν, ἀλλ' οὐκ αἰτεῖ, δίκαιος ἂν εἴην (1), καὶ αὐτὸς τὰ ὑπεσχημένα φυλάττειν, καὶ μὴ δυσχεραίνειν πρὸς τὴν μετὰ θάῤῥους ἀπόκρισιν· ὃ δὴ κατ' ἀρχὰς ἐπαγγειλαντι δώσειν αὐτὸς ὑπεσχόμην. Οὐκοῦν γε εἶπον καὶ αὐτὸν πράως ἀκούειν λοιπόν· οὐ γὰρ ἂν ἐξελέγξω εἰς ἀγῶνας ἐμαυτὸν καθῆκα ἄλλῳ προσήκοντας σχήματι, ἀλλ' ὅπως σοι τελέσω τὸ βούλημα· ὅτι καί τις ὑποσαίνει τῶν χρηστοτέρων ἐλπίς. Ὅθεν πάντων εἵνεκα οὐδ' οὑτινοσοῦν ἂν εἴην δίκαιος φείσασθαι, ὅσαπερ πρὸς τοῦτο φέρειν ὑπολαμβάνω. Δίκαια, πάντες ἔφασαν, λέγεις· καί σου δεόμεθα, καθάπερ ἔφης, ποιῆσαι. Ἐνταῦθα μὲν οὖν πρὸ δείλης ἐᾷ τὰ τῆς δευτέρας ἡμῖν διαλέξεως ἐτελεύτησεν.

judex esse, vereque appellari. Ad hæc cum silerent juvenes, illo modo senex locutus est :

20. Demonstratum mihi videtur hoc quidem : die ergo sodes, quid tu de paradiso sentias, et de futura hominum in illo conditione et deliciis. Quod si rectæ consentanea rationi nostra tibi videbuntur dogmata, non longa hercle opus tibi erit oratione : sin de his aliter tibi videatur, verbis non parcas, nec ullam laborum rationem habeas, nempe unde spes est cum veritatis fructum perceptum iri, quem colloquium a pertinaci concertatione liberum ferre potest. Nos vero, inquam, hospites tui, liberale apud te hospitium, paremque in te animi candorem et dignitatem nacti (nec enim verbis nec factis honorificentius tractari potuissemus), quid est hospes, quare non quantum possimus par pari reddere conemur. Sed enim submoleste forte laturum te suspicor meum sermocinandi genus. Quæ cum ego dixissem, contristabatur Persa, vultuque sensum animi indicante, Nihil ejusmodi, inquit, vereri oportet : eatenus benevolentiam suam porrigi, quatenus me veritati adhærere cerneret : quamobrem, inquit, loqui nihil præ verecundia reticendo. Ipse etiam idem et facere se et in serie disputationum semper factorum affirmabat : cumque eam, quam illi eram pollicitus, plenam loquendi libertatem non peteret tantum, quantum vicissim repeteret, æquum esse intellexi, me quoque promissa servare, nec moleste ferre liberum responsum : quod jam in principio, cum se daturum diceret, spoponderam. Deinceps igitur, inquam, tu quoque benigne me audies : nec enim ut redarguerem te descendi in hoc certamen, conveniens alius personæ paulo fortasse magis quam mihi : at descendi ut morem tibi gererem : et præterea nescio quæ optimarum rerum spes mihi injicitur. Quibus omnibus de causis non attinet ulli rei parcere, quam ad hoc conferre posse arbitror. Rectissime tu quidem istud, inquiunt omnes : petimusque a te, ut quod pollicitus es, repræsentes. Quæ cum essent dicta, ante matutinum crepusculum secundus dialogus sic conclusus est.

(1) Videtur hic ἔφην, sive πρὸς ἐμαυτὸν ἐλογισάμην, sive tale aliquid, ab lectore subintelligi debere.

MONITUM

AD

MANUELIS PALÆOLOGI IN FRATREM SUUM ORATIONEM FUNEBREM.

(Combefis. *Auct. Bibl. PP.*)

Luculentissima oratione, cum suam fratrisque pietatem egregie testatam, meliori ævo ac fortuna dignus imperator, facit, ejusque alias virtutes celebrat, tum occidentis in Oriente Romani imperii, Orientisque ac

Digitized by Google

mirum quantum promoventis Osmanici, speciem proponit. Plura edisserit ex quibus politicus imperio regnoque possit consulere, eique, a Christiani nominis communi eodem hoste, quo deletum est Orientale imperium, vel modo cavere, cum is bellum in Christianos instauratum, novis jam victoriis, ac ab anno altero, celebrare cœpit. Fecere, cum Græcorum discordiæ mutuæ, tantæque illæ de summa imperii concertationes, tum dynastarum aliorum, iisdem ac sibi mutuo haud satis convenientium, mala studia ut ne aliorum neglectum dicam, haud putantium ipsorum rem agi, cum arderet proximus paries, ut sic nostris accisis rebus, coactaque in easa ngustias Christiana republica, formidabile adeo imperium in mundi partes omnes bestia proferret, ac tam multis provinciis Christiani imperii lumen exstingueret. O utinam vel sero tandem, funesta adeo imago, terrorem quem est nata, nostris imprimat, multamque illam, sed tardiorem in hostem nonnihil hactenus remotiorem, eorum virtutem provocet! Hoc tibi, Gallia, Ludovici Justi ac Adeodati tui auspiciis, gloriæ tantis cumulis, tantaque imperii prolatione, divina virtus pugnaverit, pugnetque, quo ipsa iterum, in ejusdem ac Christiani nominis hostes illos, tua illa victricia signa, inferas. Ut sub Manuele, ac eo abs te rogante auxilium, sic habuisses, parque illud tuum a Deo datorum ac conservatorum fratrum, uti modo tibi præfulsisset, haberet forte suos adhuc Græcia imperatores, lunæque illa cornua, bestiæ domitrix contrivisses. Nunc itaque fauste conteras, majorique gloria instaures deperdita, quam eras sospiratura hactenus integra.

Hujus in Peloponneso a Manuele habitæ funebris orationis, ubi ad confirmandum Theodoro juniori imperium a decessu patrui eo concessisset, in hæc verba meminit Laonicus *Historiæ Turcicæ* lib. IV : Ἐπάνειμι ἐπὶ Θεόδωρον, τὸν βασιλέως παῖδα, ἡγεμόνα Σπάρτης τε καὶ τῆς ἄλλης Πελοποννήσου, ὃς ὑπὸ Θεοδώρου τοῦ πατρώου ἐξετρέφετο, ἅμα καὶ ἐπαιδεύθη. Μετὰ δὲ ταῦτα, κατελείφθη ἐς τὴν ἀρχὴν αὐτοῦ ἡγεμών. Ἐς τοῦτο δὲ ἀφικόμενος ὁ πατὴρ αὐτοῦ Ἐμμανουὴλ ὁ Βυζαντίου βασιλεὺς, τόν τε παῖδα καθίστη ἐς τὴν ἀρχὴν, καὶ ἐπὶ τῷ ἀδελφῷ ἤδη τετελευτηκότι λόγον ἐπιτήδειον ἐξετραγῴδει, διεξιὼν ἐπὶ τῷ τάφῳ αὐτοῦ, ἀπολοφυρόμενός τε ἅμα τὸν ἐπιτήδειον ἀδελφόν· *Porro redeo ad Theodorum imperatoris filium, Spartæ ac reliquæ Peloponnesi principem, qui a Theodoro patruo educatus, ac disciplinis institutus, ejus postea demortui principatum accepit. Qua de re Emmanuel pater Byzantinus imperator Peloponnesum veniens cum filium præfecit provinciæ, egregiamque super fratre jam defuncto orationem funebrem declamavit, eam recitans ad ejus sepulcrum, fratremque ac necessarium lugens.* Plura subinde de nostro ac seniori Theodoro perstringit, ne vitia quidem dissimulans, quibus ille non omnino caruit. Habet creatum despotam ac ducem Peloponnesi, cum jam filii Cantacuzeni obiissent ἐν Σπάρτῃ, *Spartæ* : quod interpres male omisit. Manuel alterum tantum, et qui esset præfectus Peloponneso, significat mortuum sine liberis alio superstite, cujus essent probati mores, sed quem filius, ac consobrinus Theodori rerum summam post patruum in Peloponneso ambiens, secus ageret.

ΠΡΟΘΕΩΡΙΑ ΤΟΥ ΠΑΡΟΝΤΟΣ ΛΟΓΟΥ (*).

ARGUMENTUM ORATIONIS.

Exordium quidem vehementius lugubre, ac quale maxime fratrem, super fratris funere orantem, deceat. Ubi autem oratorem agens, divinissimus imperator, parum quid etiam generis meminit, haud in eo diutius moratur. Porro devectus sermone ad viri acta, nec pauca illa, nec ut brevi oratione explicanda forent, excusans, ut quia eorum splendor omnibus pateat, nec a quoquam negetur, haud necesse sit singula enarrare, eo ipso etiam valde exornat : sicque deinceps ejus aggressus laudes, primum de ejus pueritia disserit, utque omnino habuerit moribus, ac qualis vir factus, fuerit universis : tum vero ad acta ac res gestas procedit : primumque eorum mentionem facit, quæ quondam in patrem, eumdemque ipsum, ac propinquos alios, cum ii rebus adversis uterentur, ab eo gesta sunt, narratque ut ille in rebus habuerit : tum gradum

A Περιπαθὲς μὲν τὸ προοίμιον, καὶ οἷον γένοιτ' ἂν ἀδελφῷ μάλιστα πρέπον, ἐπιτάφιον ἐπ' ἀδελφῷ διεξιόντι· πατρίδος δὲ καὶ γένους βραχύ τι μνησθείς, ὁ τάδε λέγων θειότατος βασιλεὺς, οὐκ ἐπὶ πλέον ἐνδιατρίβει τῷ περὶ τούτων χωρίῳ. Ἐπιγενόμενος μὲν ἐπὶ τὰς τοῦ ἐπαινουμένου πράξεις, οὔσας οὐκ ὀλίγας, οὐδὲ βραχέων τῶν λόγων δεομένας· ἀπολογίαν δὲ πορισάμενος, ὡς διὰ τὸ πᾶσι τούτων περιφανὲς, καὶ μηδ' ὑφ' ἑνὸς ἀρνούμενον, οὐκ ἀναγκαῖον εἴη καθέκαστον διεξιέναι περὶ αὐτῶν, αὐτῷ τούτῳ καὶ μάλα σεμνύνει. Ἔπειθ' οὕτω τῶν κατ' αὐτὸν τὸν ἐπαινούμενον λόγων ἁψάμενος, πρῶτον μὲν περὶ τῆς ἐκ παιδὸς τροφῆς, καὶ τοῦ ὅλου ἤθους διέξεισι, καὶ οἷος τοῖς ὅλοις ἦν ὁ ἀνήρ· εἶτ' ἐπὶ τὰς πράξεις τε καὶ τὰ ἔργα χωρεῖ. Καὶ πρῶτον μὲν ἐκείνων B μέμνηται, ἃ ποτε περί τε τὸν πατέρα, καὶ ἑαυτὸν, καὶ τῶν ἄλλων οἰκείων τοὺς τότε δεδυστυχηκότας,

(*) Auctore, juxta cod. 88 ap. Lambecium, Gemistio Plethone.

Digitized by Google

ἐπέπρακτο αὐτῷ, καὶ ὡς προσηνέχθη τοῖς τότε πράγμασι· μετὰ δὲ ταῦτα, ἐπὶ τὰ Πελοποννησιακὰ ἥδη χωρήσας, πρώτης μὲν τῆς εἰς τὴν χώραν ἀφίξεως μέμνηται, ὡς καὶ προσδοκηθεῖσα μόνον ὤνησε πρὶν γενέσθαι, καὶ ὡς ἀφίκτο, καὶ ὡς παρὰ τῶν ἐγχωρίων ἀσμένως ὑπεδέχθη. Οὗ δὴ, καὶ τῶν περὶ τοῦ τε σφῶν θείου, καὶ ἀνεψιοῦ ἀψάμενος λόγων, εὖ μάλα φυλάττεται, τὸ μηδὲν ἐς αὐτοὺς ἀπηχὲς καθ' ὅσον οἷόν τε, μηδὲ φορτικὸν εἰπεῖν. Ἔπειτα τῆς Ἰλλυριῶν αὐτόθι μετοικίσεως, ὡς δύσκριτόν γε ὄν, εἴτε παραδεκτέον αὐτοὺς ἐς τὴν χώραν, εἴτε μή· ὁ δ' ἐδέξατό τε οὐ δοκοῦν οὕτω τοῖς πολλοῖς, αὐτὸς μάλα εὐστόχως βεβουλευμένος περὶ τοῦ συνοίσοντος, καὶ ἐς δέον τούτοις ἐχρήσατο· καὶ μετὰ τοῦτο τῆς τῶν προσοίκων ἐχθρῶν ἥττης, καὶ τῆς περιγκιπος συλλήψεως, δι' ὧν ἐγκρατεστέραν ἀποφαίνει καταστήσαντα τὴν ἀρχήν. Εἶτα παρελθὼν ἐπὶ τοὺς ὡς τοὺς βαρβάρους αὐτομόλους ἥκοντας, καὶ πρῶτον κοινῇ περὶ τῶν τοιούτων ἐπεξελθὼν, φειδοῖ τοῦ μηδενὸς ἂν ὀνόματι καθάψασθαι, ἔπειτ' ἐπ' αὐτὸν τὸν βάρβαρον χωρεῖ, καὶ οἷς κατ' ἀμφοῖν ἐπεχείρησεν, ὑπὸ τῶν ὡς αὐτὸν ἡκόντων αὐτομόλων ἐναγόμενος· ἐνίων δὲ καὶ εἴκοθεν μετακαλουμένων. Ἔπειτα τῆς ὡς αὐτὸν ἀφίξεως μέμνηται, τῆς τε τούτου καὶ ἑαυτοῦ, ἀνάγκης τε γεγενημένης, καὶ παρὰ τὰ δεδογμένα σφίσιν, οὕτω δὴ συμπεπτωκυίας· τοῦ τε παρὰ ταύτην κινδύνου, καὶ τῶν ἄλλων τῶν ἐκεῖσε ἀπηντηκότων δυσχερῶν· καὶ ὡς αὐτὸς μὲν βασιλεὺς γνώμῃ τοῦ βαρβάρου ἐπὶ τὴν μεγάλην αὖ πόλιν παρὰ δόξαν ἀνασώζεται· ὁ δ' ἤδη δοκῶν ἐν ἀφύκτοις ἔχεσθαι, μάλα ἀνδρείως τε καὶ εὐμηχάνως ἐκεῖθεν ἐπὶ Πελοπόννησον ἀποδιδράσκει, καὶ ὡς ἡ ἐπάνοδος τούτου πάντα ἤδη, οὐ τὰ ἐν Πελοποννήσῳ μόνον, ἀλλὰ καὶ τῶν ὅσα ἐντὸς πυλῶν, τὰ πλεῖστα κινδυνεύοντα διέσωσε· καὶ ὡς τοῦ βαρβάρου ἐκ μὲν τῆς Ἑλλάδος ἀνακεχωρηκότος, πέμψαντος δὲ ἐπὶ τὴν Πελοπόννησον οὐκ ὀλίγην οὐδὲ φαύλην στρατιὰν, ὁ δ' οὐ πλήθει ἀντιπάλῳ στρατιᾷς, ἐπινοίᾳ δὲ στρατηγίᾳ πρεπούσῃ κεχρημένος, κεκωλύκει ταύτην τῆς χώρας ἐπιβῆναι· καὶ ὡς διὰ τοῦτο τοὔργον καὶ τὰ παρακεχωρημένα τῷ βαρβάρῳ, καὶ ἤδη ἐχόμενα, ἀπειλήφει τε καὶ ἐπανέσωσε τῇ ἀρχῇ. Εἶτ' ἐπὶ τὸν κοινὸν τοῦ βαρβάρου πόλεμον μετεληλυθὼς, καὶ ὡς πολλαῖς μὲν Χριστιανῶν συμφοραῖς, πολλαῖς δ' ἄλλων βαρβάρων ἐνευτυχηκότος, χαλεπῶς ἐντεῦθεν τὰ Ῥωμαίων πράγματα ἔσχε, μνησθεὶς καὶ προσέτι τοῦ γε ἑαυτοῦ διὰ ταῦτα ἀπόπλου τε καὶ ἀποδημίας τῆς εἰς τὰ ἑσπέρια, ἔπειτα τὰ τούτῳ ἐν ἐκείνοις τοῖς καιροῖς πεπραγμένα διέξεισι· καὶ πρῶτον μὲν, ὡς Κόρινθον ἐν προφανεῖ οὖσαν κινδύνῳ Φρερίοις ἐγχειρίσας, αὐτήν τε ἔσωτε τῆς τῶν βαρβάρων χειρὸς, καὶ τοῖς ὅλοις πράγμασιν οὐ σμικρὰν ἐντεῦθεν τὴν βοήθειαν ἐμηχανήσατο· ἔπειθ' ὡς χρόνῳ ὕστερον, καὶ τῆς ἄλλης ἁπάσης ἀρχῆς τοῖς αὐτοῖς δόξας παραχωρεῖν, τὸν πρὸς τὸν βάρβαρον πόλεμον, κάλλιον ἢ ὡς ἄν τις προσεδόκησε κατέθετο, καὶ τὴν χώραν ἀπολαβὼν αὖθις κατέστησεν, οὐδὲ Φρερίους οὔτε

A faciens ad Peloponnesiaca, primum meminit ejus in provinciam adventus, ut sola exspectatio juverit cum res tantum in procinctu esse : utque reipsa advenerit, sitque lætanter ab indigenis susceptus : quo loco, cum cœpisset de avunculo ac consobrino dicere, optime cavet, ne quid in eos, quoad fieri potest, absonum, aut grave dicat. Postmodum Illyriis ad eum commigrantibus, ut cum dubium esset, num essent recipiendi in provinciam, necne, eos ipse, cum multi secus putarent, optime conjectans, ac quod conducens esset, consulens, receperit, sitque eorum opera opportune usus : post vero, relatam de vicinis hostibus victoriam memorat, ac captum principem, quibus ostendit corroborasse imperium. Tum transiens ad eos, qui ad Barbaros B perfugissent, ac ubi primum aliqua de illis communi sermone locutus esset, nullum ex nomine pro modestia notat : pergitque deinde ad ipsum Barbarum, ac ea quæ ille in ambos molitus esset, inducentibus perfugis, cum et quædam a se etiam illum provocarent. Ad hæc, meminit, ut cum ipse, tum frater illum convenerint, cum necessitas tulisset, ac secus illi constitutum haberent ; periculi item inde conflati, ac tristium aliorum quæ illic occurrerunt ; utque, ipse quidem imperator ex Barbari voluntate, Constantinopolim iterum præter opinionem sospes reversus sit ; frater autem, qui jam ineluctabili laqueo teneri videretur, summa inde fortitudine ac solertia profugerit in Peloponnesum, C eoque reversus, omnia jam, nedum quæ in Peloponneso, sed et si qua intra januas erant (1), maximam partem in periculum adducta, sospitaverit. utque cum Barbarus, ipse quidem ab Hellade movens, non exiguum aut imbellem exercitum in Peloponnesum misisset, prohibuerit ille, non numeroso quidem exercitu hosti occurens, sed duci exercitus congruo stratagemate, rem conficiens, ut ne in provinciam invaderet ; utque demum eo facinore, jam concessa Barbaro et ab eo occupata, receperit, ac imperio vindicarit. Post hæc reversus ad commune illud bellum Barbari, factaque mentione ut ex crebris cladibus eo victore cum Christianis, tum Barbaris aliis illatis, res Romanorum graviter affectæ essent, nec non susceptæ ab ipso navigationis ac itineris ad Occiduas partes, narrat D postea, gesta interim a fratre : ac primum quidem, ut Corintho, quæ versaretur in manifesto periculo, concredita fratribus, cum eamdem ipsam a Barbarorum salvarit manu, tum inde rebus universis non modicam opem compararit : ad hæc, ut cum postea visus esset, reliquam totam provinciam illis cedere, res cum Barbaro omni melius spe composuerit, utque recepta provincia, iterum res ejus stabilierit, cum nulla injuria Fratres affecisset, autve omnino damni aliquid intulisset. In his porro diutius versatur sermo, quod tollendæ opinionis causa, per ignorantiam veritatis rei, ut omnino

(2) Ipsi Bajazeti assistentes inque ejus exsistentes curia.

Digitized by Google

habuisset, apud nonnullos obtinentis, plane præstaret, horum quoque meminisse, nedum aliorum, quæ essent perspicue bona, quam silentio dissimulare. Siquidem enim nunc tacerentur, ut quis postmodum tentaret meminisse ad calumniam, utique posset apud aliquos gestæ rei ignaros, tanquam vera dicens habere fidem, velut non fuissent tacenda hic, ut qua de his dici potuissent: cum relata, ac palam exposita ut gesta essent, in gloriam potius, ex eo quod forsan secus videbatur, cessura essent. Deinde procedit ad comparandum cum antiquis, quando et morbi mentione facta, iterum lugubrior, orationem componit; simulque ostendit, nihil minorem fortitudinem in morbo ostendisse, quam rebus gerendis: cumque hic subdito quoque auditorum cœtui annuisset, ut et ipsi aliquid sibi congruum, pro pluribus ac magnis beneficiis, quibus ille eos demeruisset, loquerentur, eamdem rursus næniam resumit. Id porro facit, cum remissione aliqua egens, impedita voce præ doloris vi; tum vero, quia etiam multos alios cupiat audire lamentantes, ob impensius illud ac insanum in fratrem philtrum, pluribus ac magnis de causis, quas ipse edisserit. Quamobrem etiam affectuosius quoque ac lugubrius iterum orditur, tanquam omnino neque narrationem, neque laudes potuerit aggredi, priusquam fuisset indultum lamentis. Postmodum tamen ad consolandum descendens, finem dicendi facit, congruis ac aptis laudibus cuique loco intextis, ut neque excedat quod sit probabile, nec eorum aliquid deficiat, quæ dicto opus, ac congrua erant, ut in singulis quisque arte legens perspexerit.

A ἀδικήσας, οὔτε τι βλάψας ὅλως. Ἐπὶ πλέον δέ που τούτοις ὁ λόγος ἐνδιατρίβει ὑπὲρ τοῦ τὴν ὑπ' ἀγνοίας τοῦ ἀληθοῦς ὡς ταῦτα ἐπράχθη κρατοῦσαν παρ' ἐνίοις δόξαν ἀνελεῖν, ἄμεινον ὂν ἐπιμνησθῆναι, καὶ τούτων πρὸς τοῖς ἄλλοις τοῖς ἐκ τοῦ φανεροῦ καλοῖς ἢ σεσιγηκέναι. Καὶ γὰρ ἂν νῦν σεσιγημένων, εἴ ποτέ τις ἐπὶ διαβολῇ μνησθῆναι τολμήσειε, τάχ' ἂν τισι τῶν τἀληθῆ μὴ εἰδότων, καὶ ἐπαληθεύειν δόξειεν, ὡς οὐκ ἂν ἐν τῷ παρόντι σεσιγημένων, εἴ τι ἐνῆν λέγειν περὶ αὐτῶν. Εἰρημένα δὲ καὶ φανερὰ καταστάντα ὡς ἐπράχθη, καὶ εἰς εὐδοξίαν μᾶλλον ἐκ τοῦ ὡς ἑτέρως ἴσως δοκοῦντος περιέστηκεν. Εἶτ' ἐπὶ τὰς πρὸς τοὺς παλαιοὺς παραθέσεις χωρεῖ, ἡνίκα καὶ τῆς νόσου μνησθείς, ἐς τὸ περιπαθέστερον αὖ ἀποκλίνει· ἀποφαίνων ἅμα οὐδὲν ἐλάττω τῆς ἐν B τοῖς ἔργοις ἀνδρίας τὴν παρὰ τὴν νόσον ἐπιδεδειγμένον. Κἀνταῦθα δούς τι καὶ τοῖς παροῦσι τῶν ὑπηκόων φθέγξασθαι προσῆκον ἐκείνοις αὐτοῖς, πολλῶν καὶ μεγάλων εὐεργεσιῶν ἕνεκα ὧν εὖ πεπόνθασι παρ' αὐτοῦ, τὸν αὐτὸν αὖθις ἐπαναλαμβάνει θρῆνον. Τοῦτο δὲ ποιεῖ, ἅμα μὲν, ὡς ἀναπαύλης δεηθείς, διὰ τὸ τοῦ πάθους μέγεθος ἐπεχόμενος τὴν φωνὴν, ἅμα δὲ, καὶ ὡς ἐπιθυμήσας καὶ ἑτέρων πολλῶν θρηνούντων ἀκοῦσαι, διὰ τὸ περὶ τὸν ἀδελφὸν μανικὸν φίλτρον, πολλῶν καὶ μεγάλων αἰτιῶν ἕνεκα, ὡς αὐτὸς διέξεισι βασιλεύς. Οὗ χάριν καὶ ἀπὸ περιπαθοῦς εὐθὺς ἐνήρξατο προοιμίου, ὡς μὴ τὸ παράπαν δυνηθεὶς τῶν τε διηγήσεων, τῶν τε ἐπαίνων ἅψασθαι πρὸ τῶν θρήνων. Οὐ μὴν ἀλλ' ἐπὶ παραμυθίαν ὅμως μεταβὰς, ἀποπαύεται, ἐπιπλεκομένων ἑκάστῳ χω- C ρίῳ τῶν ἀεὶ προσηκόντων τε καὶ προσαρμοττόντων ἐπαίνων, ὡς μήτε τὸ πιθανὸν ὑπερβάλλειν, μήτε ἐλλείπειν τι τῶν ἐνόντων τε καὶ ἅμα δεόντων ῥηθῆναι, ὡς ἐπὶ τῶν καθ' ἕκαστον ἔστι τῷ κατὰ τέχνης ἀναγινώσκοντι θεωρεῖν.

Digitized by Google

ΤΟΥ ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΦΙΛΟΧΡΙΣΤΟΥ ΒΑΣΙΛΕΩΣ

ΚΥΡΟΥ

ΜΑΝΟΥΗΛ ΤΟΥ ΠΑΛΑΙΟΛΟΓΟΥ

ΛΟΓΟΣ ΕΠΙΤΑΦΙΟΣ

ΕΙΣ ΤΟΝ ΑΥΤΑΔΕΛΦΟΝ ΑΥΤΟΥ ΔΕΣΠΟΤΗΝ ΤΟΝ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΝ

ΚΥΡΟΝ ΘΕΟΔΩΡΟΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

Ῥηθεὶς ἐπιδημήσαντος εἰς Πελοπόννησον τοῦ βασιλέως.

—

PIISSIMI AC CHRISTI AMANTIS IMPERATORIS

DOMINI

MANUELIS PALÆOLOGI

FUNEBRIS ORATIO

IN PROPRIUM EJUS FRATREM DESPOTAM PORPHYROGENNETAM

DOMINUM THEODORUM PALÆOLOGUM

Dicta cum imperator esset in Peloponneso.

—

Ἀλλὰ τί καὶ φθέγξομαι πρὸς ὑμᾶς, ὦ παρόντες, μήτ' αὐτὸς λέγειν ἰσχύων, μήθ' ὑμᾶς ὁρῶν δυναμένους καθαρὰν τὴν ἀκοὴν ὑποσχεῖν τοῖς λόγοις ; Ἐμέ τε γὰρ ἀφωνία κατέσχεν ὑπὸ τῆς μεγίστης ταύτης συμφορᾶς, ὑμᾶς τε τοῦτ' οἶδα παθόντας, οὓς ὁ νῦν θρηνούμενος διαγέγονεν εὖ ποιῶν. Ἐπεὶ δὲ πάντως οὐ συγχωρήσετε σιωπᾷν, ἐλπίζοντές τε ῥηθήσεσθαι παρ' ἡμῶν, ὅπερ ἂν ἴσως συμβαίη τῇ παρούσῃ συμφορᾷ, ἐροῦμεν ὡς ἐφικτόν· ἐπεὶ καὶ τοῦτό γε τεκμαιρόμεθα, ὡς ἐμοί γέ πη χαλεπαίνετε, τῷ μὴ καὶ θᾶττον εἰρῆσθαι γιγνόμενόν τι. Δῆλοι γάρ ἐστε τοῖς ὅλοις, τὴν τοῦ λόγου μέλλησιν μόνον οὐχὶ διαβάλλοντες, τῇ γλώττῃ μὲν οὐδαμῶς, οὐ γὰρ συγχωρεῖ τὸ πάθος, ἐνακμάζον ταῖς ψυχαῖς, τῷ δὲ ἀτενὲς εἰς ἡμᾶς ὁρᾷν, καὶ τοῖς κοπετοῖς, καὶ ὁλοφυρμοῖς, καὶ τοῖς ἄλλοις ἅπασιν.

Ἡ μὲν οὖν ἀπαίτησις εὔλογος ἂν καὶ παρ' ὑμῶν γένοιτο, καὶ παρ' ἡμῶν τέλος λάβοι· δικαία γὰρ δοθῆναι, πρὶν αἰτηθῆναι· μᾶλλον δὲ ἀποδοθῆναι, καὶ πρὸ τοῦ ταύτην ἀπαιτηθῆναι. Καὶ ἔγωγε τὴν πρώτην ἂν ἀποδεδώκειν τὸ χρέος, εἰ οἷός τι ἦν ἀποδοῦναι· οὐκ εὐχερῶς δ' ἂν δυνηθείην, τῷ τῆς μεγίστης ταυτησὶ συμφορᾶς βεβλημένος πάθει. Ἀφ' ἧς γὰρ καταγόμενος ταῖς ναυσὶν, εἶδόν τι μέρος τῆσδε τῆς γῆς, ἣν ποτ' ἐκεῖνος πεπάτηκε, θηρῶν πάντως ἢ στρατηγῶν, τὸ μὲν δάκρυον προχεῖται κρουνηδόν· ἀφωνία δὲ κατέχει, καὶ οὐκ ἐᾷ φθέγγεσθαι. Αὐτὸς γὰρ οὗτος ὁ χῶρος, ὃν ἐκεῖνος εὖ ποιῶν διατετελέ-

Enimvero quid ad vos etiam loquar, auditores, qui nec ipse valeam dicere, vosque videam non valentes puram sermonibus aurem accommodare? Cum me enim calamitatis hujus immensitate attonitum vox fugit ; tum vos eadem quoque ratione scio affici, quos vir in præsentiarum lamentis prosequendus, præclare adeo demeruit. Quia tamen haud omnino estis silentii facultatem facturi, qui forte aliquid præsenti congruum calamitati audituros speretis, utique pro virili quoque dicendum sit. Nam et mihi videor videre succensentes, quod non citius operæ pretium aliquid dixerim. Quippe omnibus liqueat, ut tantum non detis crimini sermonem hactenus distulisse : haud quidem id lingua ; non enim dolor vigens animis, sinit ; sed vultibus in nos intentis, planctibusque, et ejulatibus, ac omnibus aliis.

Cum sane hæc a vobis merito exigantur, tum a nobis opere compleantur; quæ sit justum præstare, vel si nemo exigat : seu potius reddere, antequam etiam aliquis repetat. Equidem a prima jam die debitum redditurus eram, ut per facultatem licuisset : haud vero, quem grave adeo vulnus diræ hujus calamitatis incessit, possim facile. Ex quo enim applicatis navibus, vestræ hujus oræ, quam ille quondam aut omnino venatu, aut copias ducens, ambulavit, partem aliquam aspexi, profluunt lacrymæ fluminis instar, osque mutum sermone interdicit. Illa enim hæc regio quam sic ille

Digitized by Google

demeruit, vix non oculis, ejus coram subjiciens formam, qui nunc informis jacet, nec omnino sanæ mentis flatum retinere sinit. Vosque, viri auditores, ignoscite, quem ablatus defunctus magna parte vita sensuque destituit; eique, qui non facile desideriis vestris sit faciendo satis. Porro jure merito ignoveritis, qui nec ipsi a mortis ejus doloribus penitus sauciis nobis quidquam possitis loqui. Conor quidem ut me debito exsolvam, sed invenior nihil conficere. Neque enim mentis omnino potis sum : ex quo amara adeo ac dira sagitta lethale infixit vulnus, longe illa lethalius amara quam celebrata Homero.

Ex qua sane die, quem nunc lugemus, in humanis desiit esse, receptarus virtutis præmia, cum qua vixit, ac est vita functus, bifariam divisus, vix etiam spiritum ducere valeo : sic nimirum immensa calamitatis vis velut præfocat. Necdum vero omnino consueta possim obire ; at neque spes est, ut possim unquam. Quomodo enim animus sanum quid unquam pariat, post tantum mali læsionem ? Quidve etiam loquatur lingua, quæ grandi adeo malo torpeat ? ut neque excipiam, præsens argumentum potiores conatus exigere, quam pro mea dicendi facultate : quod nimirum vir laudum encomiis celebrandus, omni longe laudatione superior sit, debeantque omnino qui ejus virtutem funebri oratione sunt dilaudaturi, cum dicendi peritia, tum præcipue sensus animi vigore præpollere. Hoc tantum, ut lugentium medius constitutus sim, ac cum meis ipsius, tum universorum lacrymis dire mihi animus distrahatur, qui fratrem lugeam ; qui amicum ; qui discipulum ; qui filium : (quanquam etiam per occasionem, quæ patrum quoque ac magistrorum erant, ætate ipse junior ostendit :) quem, inquam, hæc tanta perturbatione non impleant, ejusque obtuderint vim ingenii, vel si futurus orator eorum aliquis existimetur, qui pro dicendi facultate celebres olim habiti sint ? Cæterum puto vos, lugubris concio, ut quanquam volens omnino possem, haud permissuros illaudato fratre a sepulcro abire quem sic opera clarum effecere. Quippe res est, in quam cogit jus omne. Sequar ergo quod juris est, effaborque aliqua, ac lugens virum dilaudabo, qui discessu abhinc suo, grandi adeo luctui utrosque obnoxios fecit. Verum haud putem vestro me desiderio facturum satis, quod ex multis conjicio.

Equidem jubet encomiorum ratio, ut orator, primum, ac antequam eos exornet, quorum habet propositam laudationem, eorum patriam ac parentes palam omnibus declaret ; idque cum primis, cum illi, nec exigua virtute, nec modica gloria, clari exstitere. Porro non paucos fore existimo, qui eam legem, ut usquam alio, hoc maxime argumento, optimam illam ac præclaram, arbitrentur operæ pretium esse. Siquidem enim ubi eorum genus est et

(2) *Iliad.* α.

κει, μονονού μοι τὴν μορφὴν ὑποφαίνων τοῦ νῦν ἀμόρφου οὐδ' ἐν τῷ καθεστηκότι καθαρῶς ἐᾷ μένειν. Καὶ δότε μοι συγγνώμην, ὦ ἄνδρες, ἡμιθνῆτι γενομένῳ τῇ τοῦ οἰχομένου στερήσει, καὶ μὴ ῥᾳδίως ἰσχύοντι τὸ ὑμῖν κεχαρισμένον διαπράξασθαι. Δίκαιοι δ' ἂν εἴητε συγγινώσκειν, οἵ γε μηδ' αὐτοὶ πρὸς ἡμᾶς τὸ παράπαν δύνασθε φθέγγεσθαι, τῇ πληγῇ καὶ ταῖς ὀδύναις τοῦ πάθους βαλλόμενοι. Τὸ μὲν γὰρ χρέος ἀποτιννύναι πειρῶμαι, εὑρίσκομαι δὲ μηδὲν ἀνύων. Οὐδὲ γὰρ ὢν ἐμαυτοῦ τυγχάνω, καιρίαν ταύτην δεξάμενος βέλει πικρῷ τε καὶ ἀπηνεῖ· ὃ δὴ νῦν ἐχεπευκὲς πολλῷ ἂν μᾶλλον σὺν τῷ καιρῷ ἢ τὸ πρὶν εἶπεν Ὅμηρος.

Ἐγώ γε δίχα τμηθεὶς ἀφ' ἧς ὁ νῦν θρηνούμενος ἐξ ἀνθρώπων ἐγένετο, ληψόμενος γέρα τῆς ἀρετῆς, ᾗ καὶ συμβεβίωκε καὶ συναπελήλυθε, μόγις ἀναπνεῖν ἰσχύω· ἄγχει γὰρ ἡ συμφορά· χρῆσθαι δὲ τοῖς εἰωθόσιν οὔπω καλῶς δύναμαι· ἀλλ' οὐδὲ ἐλπὶς βεβαία εἰ δυνήσομαί ποτε. Πῶς γὰρ ἂν τέκοι διάνοια, τηλικῷδε κακῷ πηρωθεῖσα ; Τί δ' ἂν καὶ φθέγξαιτο γλῶττα, κακῷ τοσῷδε ναρκῶσα ; Χωρὶς δὲ καὶ τοῦ δεῖσθαι κρείττονος ἢ κατὰ τὴν ἐμὴν δύναμιν τὸ παρὸν ἐγχείρημα· τῷ μετὰ πολλῆς τῆς ὑπερβολῆς ὑπερκεῖσθαι παντὸς ἐπαίνου τὸν εὐφημούμενον, καὶ δεῖν εἶναι καθάπαξ τοὺς μνωφδήσοντάς τε καὶ ἐπαινέσοντας τὴν ἀρετὴν τοῦδε τἀνδρὸς, ἰσχυροὺς σοφίᾳ λόγων, ἰσχυροτέρους τὴν φρόνησιν, αὐτὸ τὸ μέσαι ὁλολυγαῖς ἑστάναι, καὶ δάκρυσι μὲν τοῖς ἐμοῖς, δάκρυσι δὲ τοῖς τῶν πάντων δεινῶς μοι παρασύρεσθαι τὸν νοῦν, θρηνοῦντι μὲν ἀδελφὸν, θρηνοῦντι δὲ φίλον, θρηνοῦντι δὲ μαθητὴν, θρηνοῦντι δὲ παῖδα (εἰ καὶ κατά τινας καιροὺς τὰ τῶν πατέρων ἐδείκνυ καὶ διδασκάλων, καίτοι νεώτερος ὤν), τίν' οὐκ ἂν ἐμπλήσειε ταραχῆς, καὶ ἀμβλυτέραν ἐργάσαιτο τὴν αὐτοῦ διάνοιαν, εἴ δή τις ἦν ὁ λέγειν ἐπιχειρῶν, καὶ τῶν πάλαι ὑμνουμένων εἰς λόγων δύναμιν ; Πῶς οὖν ἂν ἔχοιμι χρήσασθαι τοῖς ἐπιταφίοις, ὡς ἂν βουλοίμην ; Οἶμαι δ' ὑμᾶς, ὦ πενθοῦντες, μηδὲ ἐπιτρέψειν ὅλως βαδίζειν, εἴ γε ἦν ἐμοὶ βουλομένῳ μεταβῆναι μικρὸν τοῦ τάφου, πρὶν ἢ τιμήσαιμι λόγῳ τὸν ἀδελφὸν, ἅτε δὴ λαμπρὸν ἀπὸ τῶν ἔργων φανέντα. Συνέχει γὰρ ὑμᾶς εἰς τοῦτο, καὶ συνωθεῖ ἅπαν δίκαιον. Ὥστ' ἐγὼ μὲν ἕψομαι τῷ δικαίῳ, καὶ ἐρῶ τι, καὶ πενθήσω μετ' ἐγκωμίων τὸν ἐμέ τε καὶ ὑμᾶς ἐν πολλῷ τε καὶ ἀλήκτῳ πένθει καταλιπόντα· ὑμᾶς δὲ πάντως οὐκ ἂν ἐμπλήσαιμι. Πολλοῖς τοῦτο τεκμαίρομαι.

Προτρέπει μὲν οὖν ὁ νόμος τῶν ἐγκωμίων, πρὸ τοῦ κοσμεῖν τοὺς προκειμένους εἰς εὐφημίαν, τὴν ἐνεγκαμένην αὐτοὺς, καὶ δὴ καὶ τοὺς γονέας, πᾶσι δηλοῦν, καὶ μάλισθ' ὅταν τύχωσιν οὗτοι καὶ ἀρετῆς οὐ σμικρᾶς, καὶ δόξης οὐ μετρίας μετεσχηκότες· οἶμαι δὲ τοὺς πλείους δοξάζειν, ὡς μᾶλλόν γε ἐνταῦθα χρῆσθαι προσήκει τῷ πάντ' ἀρίστῳ καὶ καλῷ τῷδε νόμῳ ἢπερ ὁπουδήποτε. Εἰ γὰρ ἵνα τὸ γένος, καὶ ἡ πατρὶς, τῶν ἐπισήμων μὲν καὶ περιφανῶν,

Digitized by Google

οὐ μὴν δ' εἰς τοῦσχατον δόξης ἐληλακότων, καὶ τὸ μηδένα λελῆθέναι τὰ κατὰ σφᾶς, ἀγαθός γε πάντως ὁ νόμος· ἵνα τοσαύτη περιουσία λαμπρότητος, ὡς μηδέσι τῶν πρωτείων παραχωρεῖν, μηδὲ λελῆθέναι τῆς γῆς τὰ πέρατα, τὰ σφῶν πλεονεκτήματα καὶ τὴν ἀρετὴν, μάλιστα πάντων ὁ νόμος οὗτος οὐ περιδ-ῆτέος δόξειεν ἄν. Τὸ γὰρ ὑπερέχον τούτων ἐν ἅπασι πάντων ἕνεκα ἢ πού γε θαύματος ἄξιον. Καὶ τοῦτό γε συνίστησιν ὁ πάντα λήθη παραδοὺς χρόνος, ἀτονήσας ἐνταυθοῖ τὸ εἰωθὸς αὐτῷ δρᾶσαι. Καὶ γὰρ τοσούτῳ μέγα ὑπερηκόντισαν συχνῇ περιφανείᾳ καὶ κοσμιότητι, καὶ τῇ τῶν τρόπων χρηστότητι, καὶ τῇ τῶν τροπαίων λαμπρότητι, ὅσῳ μηδὲ ῥᾴδιον εἶναι δεῖξαι. Καὶ τοῦτο λέληθε μὲν οὐδ' ὁντινοῦν τῶν ἁπάντων· παρέχει δὲ πάντας θαυμάζειν, οὓς γε οὐ λέληθεν. Ἔνθα δὴ ταῦτα συνέδραμεν, ὁ νόμος ἀναγκαιότατος. Ἔστι ταῦτα.

Ἐγὼ δὲ βούλομαι νῦν εἰπεῖν βίαιον μέν τισιν ἴσως δόξον, ἀληθὲς δ' οὖν οἶμαι φανησόμενον. Ὁ γάρ νόμος ἀναγκαῖος ὡς ἀληθῶς, οὐ μὴν δ' ἐπὶ πάντων οὕτως ἁπλῶς. Ἵνα γὰρ συνέδραμε τοσοῦτος μὲν σωρὸς ἀγαθῶν, καὶ μηδένα λέληθε τῶν ἁπάντων, παρέχει δὲ πᾶσι θαυμάζειν, ἐκπληττομένοις τὰ κατορθώματα, οὐκ ἀναγκαῖος ὁ νόμος οὗτος αὐτῷ γε τούτῳ, ᾧ γε τοῖς ἄλλοις ἀναγκαῖος εἶναι δοκεῖ. Διὰ τί; Ὅτι τὸν νόμον οἶμαι τετάχθαι, ὅπως εἰ ῥίζης ἀγαθῆς ἐν ἀγαθῷ πεφυτευμένης χωρίῳ ὁ γαθοὶ πᾶσι δειχθῶσι, καὶ πρὸ τοῦ τὸν βίον αὐτοῖς φανῆναι, καὶ παρὰ πάντων ἐπαινεθῆναι. Ὁποῖον γὰρ ἂν ᾖ τὸ φυτὸν, καὶ τὸ χωρίον ἐν ᾧ πεφύτευται, τοιοῦτον ἀνάγκη καὶ τὸν καρπὸν αὐτὸ φέρειν. Ἐνταῦθα τοίνυν παρέλκον οἶμαι τοῦτο καὶ περιττόν. Ὁ γὰρ τῷ νόμῳ σκοπὸς ὥσπερ αὐτόματον φθάσαν γέγονε. Τίς γὰρ τῶν πάντων οὐκ οἶδεν, ὡς εἴη μὲν ἡ μεγίστη πόλις, τὴν Κωνσταντίνου φημὶ, πατρὶς ἐκείνῳ τἀνδρὶ, καὶ δὴ καὶ γένει τῷ ἐκείνου, ὥστε καὶ δεῖσθαι παρ' ἑτέρου τοῦτο μανθάνειν; Τίς δὲ ταύτης ἔχει μνησθῆναι, καὶ τῶν φυσάντων, ἄνευ ἐγκωμίων μεγίστων; Θαυμάζων δέ τις τήν τε πατρίδα, τούς τε γονέας, πῶς οὐχὶ καὶ τὸν ἐκ τῶνδε τούτοις συνεθαύμασεν ἄν; Ὅτι τοίνυν ταῦτα οὕτω, καὶ οὐδένα λέληθε τὰ κατὰ τὸν νῦν εὐφημούμενον, μήποτε περίεργον ᾖ κατασκευάζειν λίαν σαφὲς, καὶ δεικνύειν ἐπιχειρεῖν τὸ μηδενὶ κρυπτόμενον. Ὁ γὰρ διδάσκειν, οἶμαι, βουλόμενος, ὡς ἡ Κωνσταντίνου τῷδε πατρὶς, καὶ γονεῖς οἱ ταύτης κοσμήτορες, καὶ ἀγαθή γε τούτῳ καὶ ἡ πατρὶς καὶ οἱ φύσαντες, παραπλήσιον ἂν εἴη ποιῶν, ὥσπερ ἂν εἰ τοὺς ἀνθρώπους διδάσκειν ἐβούλετο, πληθούσης τῆς ἀγορᾶς, καὶ τῆς ἀκτῖνος ἁπαντας θερμαινούσης, ὑπὲρ γῆν τὸν ἥλιον εἶναι.

Οὐ μὴν ἀλλὰ καὶ τῇδε παραδραμιών τις ἐνταῦθα τουτονὶ τὸν τοῖς ἀρχαίοις τεθέντα νόμον ἄριστον ὄντα, οὔτε παρὰ τῶν θεμένων οἶμαι τὸν νόμον, εἰ ἔτι μεθ' ἡμῶν ἦσαν, οὔτε παρ' οὑτινοσοῦν εὐφρονοῦντος, δέξαιτ' ἂν ποτε μέμψιν. Οὔτε γὰρ ἡ πατρὶς αὐτῷ, οὔθ' οἱ γονεῖς, ἐπιδεεῖς τῆς παρ' ἀλλήλων τιμῆς· ἀλλ' οὐδὲ αὐτὸς ἐκεῖνος τῆς παρ' αὐτῶν ἀναγκαίως, εἰ καὶ παρ' ἀλλήλων ὅμως τετίμηνται, κα-

A patria, qui illustres quidem ac clari, haud tamen ad summum gloriæ culmen evasere, ac ut ne quem eorum res lateant; bene prorsus illa habet; ubi autem eorum gloriæ tantus exsuperat cumulus, ut ne cui primas partes cedant, nec eorum prærogativæ ac virtus, orbis lateant fines; tunc maxime non spernenda videatur. Tanta quippe eorum in omnibus, ac omni parte excellentia, jure merito admirationi habeatur. Idque sane etiam confirmat tempus, quod universorum oblivionem faciens, hic tamen nequiverit præstare quod est comparatum. Tanto siquidem excessu superarunt, crebra gloria ac honestate, morumque bonitate, ac tropæorum splendore, ut nec facile ostendi possit, eaque res neminem latere potuit; convertitque in B admirationem, si quos non latuit. Ubi sane ea concurrerint, videatur lex summe necessaria. Ita vero.

Cæterum libens dicam, quod forte nonnullis durius videatur, ut tamen veritatis speciem habiturum putem. Plane quidem necessaria lex; haud tamen simpliciter adeo, ut spectemus omnes. Ubi enim ingens adeo concurrit bonorum cumulus, nec ullos omnino latet, omnesque convertit in admirationem, stupentibus omnibus merito; haud prorsus necessaria videatur, eo ipso, quo aliis videatur necessaria. Ita merito. Quorsum vero? Quod nimirum ea ratione existimem positam, ut qui ex bona radice bono sata solo prodierunt, boni omnibus ostendantur, cum necdum etiam eorum vita sit prodita, ac C omnium ore laudata. Qualis enim est arbor, ac quali orta solo, talem quoque necesse sit ut fructum ferat. Hac ergo parte supervacaneam ac otiosam molitionem puto. Hic siquidem, ejus legis finis, sua ipse sponte, ac iltro occupavit. Quis enim nesciat omnium, ut vir ille, sed et ejus genus, maxima urbium, Constantini, inquam, urbe, patria glorietur, ut et illud ab alio docendus videatur? Quis autem ejus parentum nisi maximis laudibus meminisse possit? Ut quis vero, cum patriam, tum parentes miretur, qui non etiam illis ortum pari admiratione prosequatur? Cum sic ergo hæc habeant, nec viri impræsentiarum celebrandi res ullum lateant, utique otiosum sit ut id probemus, quod perspicue clarum est, ac nitamur ostendere, D quod nulli sit occultum. Qui enim docere velit, habuisse patriam, Constantini urbem, parentesque, viros ejusdem principes, bonamque ei patriam ac parentes fuisse, haud aliud mea sententia fecerit, quam ut pleno foro, radiisque æstum facientibus, exstare solem super terram, ceu inscios docere velit.

Sane ut ea quis ratione, eam antiquis, optimam illam, positam legem, præsenti argumento omittendam putaverit, haud ullam, ab iis ipsis quibus sit posita, ut ii adhuc in vivis agerent, ullove sapiente, reprehensionem unquam tulerit. Neque enim talis celebrando viro patria, aut parentes, ut eis ab invicem honorem mutuari necesse sit: at neque is necesse ab illis habeat; tametsi mutuo honorem

Digitized by Google

sibi addunt, quomodo juncta lumina, mutuum splendorem ac lucem, vicissim intendunt. Uti ergo præfati sumus, ut sit bona lex, haud tamen impræsentiarum exornando viro necessaria : quin ille, ex propria magis virtute, suisque ipse meritis, quam ex patria, ac avis, magnoque illinc splendore, clarus fuerit. Ut autem etiam illa, parentesque ac avi, notum illum, ac suis ipsum meritis clarum notiorem illustrioremque, sua ipsorum reddiderunt virtute, ac juxta modo positam imaginem, gloriæ ei cumulus fuerint ; iidem nihilo secius ipsi, ac patria, illustrioribus augmentis, ac omnis retro ætas tulisset, omnibus ubique per illum claruerunt. Quibus ille ornamentis claret, iis quoque patria ac parentes. Sic enim libens in optimis accidit. Rursus vero, claret ille omnibus, sed et patria, et parentes. Verum sint omnia ascribenda radici. Quanquam enim illustrior quoque redditur patria, aut parentes, ut ingenuum quid præclarumque ediderint : quod tamen ab eis productum est, ad eos recurrit, a domo in domum velut circulo, quod aiunt. Hæc hactenus.

Patriam quidem urbem regiam habuit, ac urbium matrem. Ejus ea celebritas, ut sibi ipsa sit satis, nec nostris ad gloriam laudibus egeat. Tanto enim urbibus omnibus, si quæ habent admirationem, antefertur, ac præstat, omnique bonorum cumulo citra comparationem superat, quanto etiam finibus universis, gentibusque ac regibus terræ, dominata est, non tantum exercitus numerositate ac ferro, quantum virtute ac ratione præpollens ; quodque Constantino glorietur, manu tenente sceptra, eodem revera, cum imperatore, tum duce, universisque bonorum custode ; quodque majus omnibus est, Deo eximie caro, cum sinceræ pietatis ergo, tum propter virtutis totius cumulum. Is utique urbis conditor, nec nisi divino nutu ac impulsione ; quod ipsum abunde sit, sexcentorum encomiorum loco, sexcentarum vice laudationum, quibus innumeram quamdam ostendamus civitatis virtutem. Ubi enim talis est conditor, cœlitusque animo condendæ studium immissum fuit : quippe exstitit vir Deo afflatus, ac cui omnia cum Deo gererentur ; superfluum liquido sit, ut alia quis ratione studeat urbem laudare, tametsi illa innumera laudum argumenta suggerit.

Parentes autem, ac majorum, qua genus traxit, catenam, haud per tempus facile possim percensere ; nec vero illorum tropæa, resque eas, quibus illi, antiquis præclare gesta, suo splendore obscurant. Sane ut quis hoc persequatur, impossibilia tentat. Mihi vero satis hactenus videtur dictum. Viri itaque in laudis argumentum nobis propositi parentes avique, haud ullis, si qui ullo unquam ævo laudem habuerunt, deteriori loco ; quin et potiori, universorum suffragio habendi videantur : qui nimirum antiqua successione Augusti ab Augustis optimis, continua

A ὑπὲρ φῶτα συναύξοντα τὴν ἐξ ἀλλήλων ἀστραπήν τε καὶ λαμπηδόνα. Καθὼς ἄρα εἶπον, ὡς ὁ νόμος ἀγαθὸς, ἐνταῦθα δι' αὐτὸν οὐκ ἀναγκαῖος. Οὐ μὴν ἀλλὰ καὶ ὁ τοὺς ἐπαίνους δεχόμενος παρ' ἡμῶν ἤδη ἐκ τῆς προσούσης ἀρετῆς καὶ τῶν ἰδίων κατορθωμάτων μᾶλλον λαμπρύνεται ἢ τῆς πατρίδος, καὶ τῶν φυσάντων, καὶ τῆς ἐκεῖθεν ἄγαν λαμπρότητος. Εἰ δὲ καὶ αὕτη, καὶ οἱ γονεῖς, γνώριμον ὄντα καὶ λαμπρὸν ἐκ τῶν καθ' αὐτὸν, γνωριμώτερον τὸν ἄνδρα πᾶσιν ἀπέφηναν τῇ παρ' ἑαυτῶν ἀρετῇ, καὶ προσθήκη τούτῳ δόξης ἐγένοντο κατὰ τὴν ἤδη ῥηθεῖσαν ἡμῖν εἰκόνα· ἀλλὰ καὶ οὗτοι καὶ ἡ πατρὶς πολλῷ γε μᾶλλον γνωρίζονται δι' αὐτὸν τοῖς ἁπανταχοῦ γῆς ἀνθρώποις ἢ τὸν πρὸ τοῦ πάντα χρόνον. Ὅσοις μὲν γὰρ ἐκεῖνος, καὶ ἡ πατρὶς, καὶ οἱ φύσαντες· οὕτω
B γὰρ ἐπὶ τῶν ἀρίστων φιλεῖ συμβαίνειν· πᾶσι δ' αὖ ἐκεῖνος· καὶ δὴ καὶ ἡ πατρὶς, καὶ οἱ φύσαντες. Πλὴν τὰ πάντα λογιστέον τῇ ῥίζῃ. Εἰ γὰρ δὴ καὶ λαμπροτέρα καθίσταταί τις πατρὶς ἢ πατέρες γενναῖον ἀγαγόντες, ἀλλὰ καὶ τοῦτο παρ' αὐτῶν ἐξελθὸν, εἰς αὐτοὺς ἀνατρέχει, οἰκαδε, φασὶν, ὥσπερ ἐν κύκλῳ βαδίζον· τοσαῦτά γε ἡμῖν περὶ τούτων· ἵνα δὲ μὴ δόξωμεν ἀπειθεῖν τῷ νόμῳ, ἀφοσιωσάμενοι, ταχέως ἀλλαξόμεθα.

Πατρὶς μὲν αὐτῷ ἡ βασιλεύουσα πόλις τε καὶ μητρόπολις· ἥτις αὐταρκὴς ἑαυτῇ, καὶ οὐ δεῖταί γε τῶν παρ' ἡμῶν ἐπαίνων εἰς εὐδοξίαν. Τοσούτῳ γὰρ καλλίων ἐστὶ τῶν θαυμαζομένων πόλεων ἁπασῶν, καὶ προῦχει τούτων, καὶ ὑπερβέβηκε πρὸς πᾶν
C ἀσύγκριτον ἀγαθὸν, ὅσῳ καὶ τερμάτων ἦρχεν ἐξῆς ἁπάντων, καὶ ἐθνῶν, καὶ βασιλέων τῶν ἐπὶ γῆς, οὐ τοσοῦτόν γε πολυχειρίᾳ καὶ σιδήρῳ νικῶσα, ὅσον ἀρετῇ καὶ λόγῳ, καὶ τῷ Κωνσταντῖνον εἶναι τὸν ταῖν χεροῖν τὰ σκῆπτρα κατέχοντα, βασιλέα τὸν αὐτὸν ὡς ἀληθῶς ὄντα, καὶ στρατηγὸν, καὶ ταμίαν τῶν ἀγαθῶν ἅπασι· καὶ τὸ πάντων κάλλιστον, τῷ Θεῷ διαφερόντως πεφιλημένον, καὶ εὐσεβείας ἀκραιφνοῦς, καὶ ἀρετῆς ἕνεκα πάσης· ὅς γε δομήτωρ ταύτης ἐγένετο, οὐκ ἄνευ θείας κινήσεως καὶ ῥοπῆς· καὶ τοῦθ' ἡμῖν ἐξαρκεῖ ἀντὶ μυρίων μὲν ἐγκωμίων, μυρίων δὲ ἐπαίνων, μυρίαν ἀρετὴν ἀποδεικνύντων τὴν πόλιν ἔχουσαν. Ὅπου γὰρ τοιοῦτος μὲν ὁ δειμάμενος, ἡ δὲ ὁρμὴ τῆς οἰκοδομίας θεόθεν αὐτοῦ τῇ ψυχῇ γέγονε· θεόληπτος γὰρ ἀνὴρ, καὶ
D πάντα τούτῳ σὺν Θεῷ διεπράττετο· περίεργον ἂν εἴη σαφῶς, κοσμεῖν πειρᾶσθαι τὴν πόλιν ἑτέρῳ τρόπῳ, εἰ καὶ παρέχει μυρίας τὰς ἀφορμὰς τῶν ἐπαίνων.

Γονέας δ' αὖ, καὶ τὴν σειρὰν ὅθεν τὸ γένος αὐτῷ, οὐκ ἂν σὺν τῷ καιρῷ καταλέγοιμι· οὔκουν οὐδὲ τροπαῖα τἀκείνων καὶ κατορθώματα, ἀμαυροῦντα τὰ τῶν πάλαι τῇ παρ' ἑαυτῶν ἀστραπῇ. Εἶεν γὰρ ἂν ἀνεφίκτοις ἐπιχειροῦντες οἱ τοῦτο διώκοντες. Ἔχω δέ μοι ἀρκεῖν τοσοῦτον εἰπεῖν. Οἱ τοίνυν εὐφημούμενον φύσαντες οὐδαμῶς που πάντως ἐλάττους· μᾶλλον μὲν οὖν καὶ ἀμείνους φαῖεν ἂν πάντες, οἶμαι, τῶν διὰ παντὸς ὑμνουμένων τοῦ χρόνου· ἄνωθεν μὲν βασιλεῖς, ἐκ βασιλέων ἀρίστων συνεχεῖ διαδοχῇ κατιόντες· κόσμιοι δὲ καὶ λαμπροὶ, οὐ διὰ

Digitized by Google

τὸ σχῆμα μᾶλλον, ἢ τῷ λόγῳ ζῆν ἐθέλειν, καὶ τὴν βασιλείαν ἰθύνειν, καὶ ποιεῖν εὖ τὴν πατρίδα, καὶ τῶν χρηστοτέρων πάντων πρυτάνεις εἶναι τοῖς ὑπὸ χεῖρα. Εἰ γὰρ καὶ τὸ σχῆμα τούτους καὶ ἡ πορφύρα λαμπροτέρους ἀπέφαινον, ἀλλὰ καὶ αὐτοί πως αὖθις ἀπέφαινον ἐκεῖνα λαμπρότερα οὐ μόνον ὥρᾳ σώματος, ἀλλὰ καὶ ψυχῆς κοσμιότητι. Ἠσχύνοντο γὰρ, εἰ μόνον γε τοῖς ἔξωθεν καλλωπίζοιντο καὶ προσκαίροις, ἀλλὰ καὶ πολλῷ γε μᾶλλον τοῖς οἰκοθεν καὶ μονιμωτέροις. Τῆς οὖν θείας ἀρετῆς, εὖ ποιοῦντες, μηδὲν ἀεὶ προτιμῶντες, ἦρχον ἐννόμως καὶ εὐσεβῶς, πατέρων μᾶλλον ἢ δεσποτῶν τοῖς ὑπηκόοις σώζοντες τόπον· καὶ προκινδυνεύσιν αὐτῶν αἱρούμενοι ἢ ῥᾳθυμεῖν ἕτεροι. Ἐῶ δὲ λέγειν τὰ περὶ τῶνδε· οὐδὲ γὰρ προκείμενον ἦν ἡμῖν τοὺς ἄνδρας τούτους ἐγκωμιάζειν· αὐτὸν δὲ τοῦτον τὸν νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενον, ἐξ αὐτῶν τῶν ἑαυτοῦ, ἡλίκος ἦν τὴν ἀρετὴν, ἐπιδεικτέον ἡμῖν ἐστιν.

descenderint serie, honestique ac clari exstiterint, non tam dignitatis prærogativa quam quod vitam e ratione instituendam sanctum habuerint, probeque regendum imperium, ac demerendam patriam, bonaque omnia subditis concilianda. Quanquam enim etiam a dignitate ac purpura clariores fierent, ipsi nihilominus claritatem vicissim rependebant, nedum corporis venusta specie, sed et animi cumprimis honestate. Id quippe ducebant probro ut externo tantum ac temporaneo ornatu ambitum præferrent, ut non potius suis ipsi meritis ac firmiori decore pollerent. Cum itaque probo res suas instituentes consilio, nihil divinæ virtuti præhaberent, legitime ac pie, patres magis, quam dominos in subditos agentes, regnaverunt; lubentiusque pro eis adeuntes pericula, quam aliis otia adire moris sis. Verum prætereo eorum res. Nec enim id nobis fuit constitutum, ut eos laudaremus, sed ut potius virum nobis in argumentum laudis propositum, ex ipsius propriis, quanta enituerit virtute ostendamus.

Parentes autem, ac majorum, qua genus traxit, catenam, haud per tempus facile possim percensere ; nec vero illorum tropæa, resque eas, quibus illi, antiquis præclare gesta, suo splendore obscurant. Sane ut quis hoc persequatur, impossibilia tentat. Mihi vero satis hactenus videtur dictum. Viri itaque in laudis argumentum nobis propositi parentes avique, haud ullis, si qui ullo unquam ævo laudem habuerunt, deteriori loco ; quin et potiori, universorum suffragio habendi videantur : qui nimirum antiqua successione Augusti ab Augustis optimis, continua

ὅπερ φῶτα συναύξοντα τὴν ἐξ ἀλλήλων ἀστραπήν τε καὶ λαμπηδόνα. Καθὼς ἄρα εἶπον, ὡς ὁ νόμος ἀγαθὸς, ἐνταῦθα δι' αὐτὸν οὐκ ἀναγκαῖος. Οὐ μὴν ἀλλὰ καὶ ὁ τοὺς ἐπαίνους δεχόμενος παρ' ἡμῶν ἤδη ἐκ τῆς προσούσης ἀρετῆς καὶ τῶν ἰδίων κατορθωμάτων μᾶλλον λαμπρύνεται ἢ τῆς πατρίδος, καὶ τῶν φυσάντων, καὶ τῆς ἐκεῖθεν ἄγαν λαμπρότητος. Εἰ δὲ καὶ αὕτη, καὶ οἱ γονεῖς, γνώριμον ὄντα καὶ λαμπρὸν ἐκ τῶν καθ' αὐτὸν, γνωριμώτερον τὸν ἄνδρα πᾶσιν ἀπέφηναν τῇ παρ' ἑαυτῶν ἀρετῇ, καὶ προσθήκη τούτῳ δόξης ἐγένοντο κατὰ τὴν ἤδη ῥηθεῖσαν ἡμῖν εἰκόνα· ἀλλὰ καὶ οὗτοι καὶ ἡ πατρὶς πολλῷ γε μᾶλλον γνωρίζονται δι' αὐτὸν τοῖς ἁπανταχοῦ γῆς ἀνθρώποις ἢ τὸν πρὸ τοῦ πάντα χρόνον. Ὅσοις μὲν γὰρ ἐκεῖνος, καὶ ἡ πατρὶς, καὶ οἱ φύσαντες· οὕτω γὰρ ἐπὶ τῶν ἀρίστων φιλεῖ συμβαίνειν· πᾶσι δ' αὖ ἐκεῖνος· καὶ δὴ καὶ ἡ πατρὶς, καὶ οἱ φύσαντες. Πλὴν τὰ πάντα λογιστέον τῇ ῥίζῃ. Εἰ γὰρ δὴ καὶ λαμπροτέρα καθίσταταί τις πατρὶς ἢ πατέρες γενναῖον ἀγαγόντες, ἀλλὰ καὶ τοῦτο παρ' αὐτῶν ἐξελθὸν, εἰς αὐτοὺς ἀνατρέχει, οἷκαδε, φασὶν, ὥσπερ ἐν κύκλῳ βαδίζον· τοσαῦτά γε ἡμῖν περὶ τούτων· ἵνα δὲ μὴ δόξωμεν ἀπειθεῖν τῷ νόμῳ, ἀφοσιωσάμενοι, ταχέως ἀλλαξόμεθα.

Πατρὶς μὲν αὐτῷ ἡ βασιλεύουσα πόλις τε καὶ μητρόπολις· ἥτις αὐταρκὴς ἑαυτῇ, καὶ οὐ δεῖταί γε τῶν παρ' ἡμῶν ἐπαίνων εἰς εὐδοξίαν. Τοσούτῳ γὰρ καλλίων ἐστὶ τῶν θαυμαζομένων πόλεων ἁπασῶν, καὶ προῦχει τούτων, καὶ ὑπερβέβηκε πρὸς πᾶν ἀσύγκριτον ἀγαθὸν, ὅσῳ καὶ τερμάτων ἦρχεν ἐξῆς ἁπάντων, καὶ ἐθνῶν, καὶ βασιλέων τῶν ἐπὶ γῆς, οὐ τοσοῦτόν γε πολυχειρίᾳ καὶ σιδήρῳ νικῶσα, ὅσον ἀρετῇ καὶ λόγῳ, καὶ τῷ Κωνσταντῖνον εἶναι τὸν ταῖν χεροῖν τὰ σκῆπτρα κατέχοντα, βασιλέα τὸν αὐτὸν ὡς ἀληθῶς ὄντα, καὶ στρατηγὸν, καὶ ταμίαν τῶν ἀγαθῶν ἅπασι· καὶ τὸ πάντων κάλλιστον, τῷ Θεῷ διαφερόντως πεφιλημένον, καὶ εὐσεβείας ἀκραιφνοῦς, καὶ ἀρετῆς ἕνεκα πάσης· ὅς γε δομήτωρ ταύτης ἐγένετο, οὐκ ἄνευ θείας κινήσεως καὶ ῥοπῆς· καὶ τοῦθ' ἡμῖν ἐξαρκεῖ ἀντὶ μυρίων μὲν ἐγκωμίων, μυρίων δὲ ἐπαίνων, μυρίαν ἀρετὴν ἀποδεικνύντων τὴν πόλιν ἔχουσαν. Ὅπου γὰρ τοιοῦτος μὲν ὁ δειμάμενος, ἡ δὲ ὁρμὴ τῆς οἰκοδομίας θεόθεν αὐτοῦ τῇ ψυχῇ γέγονε· θεόληπτος γὰρ ἀνὴρ, καὶ πάντα τούτῳ σὺν Θεῷ διεπράττετο· περίεργον ἂν εἴη σαφῶς, κοσμεῖν πειρᾶσθαι τὴν πόλιν ἑτέρῳ τρόπῳ, εἰ καὶ παρέχει μυρίας τὰς ἀφορμὰς τῶν ἐπαίνων.

Γονέας δ' αὖ, καὶ τὴν σειρὰν ὅθεν τὸ γένος αὐτῷ, οὐκ ἂν σὺν τῷ καιρῷ καταλέγοιμι· οὔκουν οὐδὲ τροπαῖα τἀκείνων καὶ κατορθώματα, ἀμαυροῦντα τὰ τῶν πάλαι τῇ παρ' ἑαυτῶν ἀστραπῇ. Εἶεν γὰρ ἂν ἀνεφίκτοις ἐπιχειροῦντες οἱ τοῦτο διώκοντες. Δοκῶ δέ μοι ἀρκεῖν τοσοῦτον εἰπεῖν. Οἱ τοίνυν εὐφημούμενον φύσαντες οὐδαμῶς που πάντως ἐλάττους· μᾶλλον μὲν οὖν καὶ ἀμείνους φαῖεν ἂν πάντες, οἶμαι, τῶν διὰ παντὸς ὑμνουμένων τοῦ χρόνου· ἄνωθεν μὲν βασιλεῖς, ἐκ βασιλέων ἀρίστων συνεχεῖ διαδοχῇ κατιόντες· κόσμιοι δὲ καὶ λαμπροὶ, οὐ διὰ

Digitized by Google

τὸ σχῆμα μᾶλλον, ἢ τῷ λόγῳ ζῆν ἐθέλειν, καὶ τὴν βασιλείαν ἰθύνειν, καὶ ποιεῖν εὖ τὴν πατρίδα, καὶ τῶν χρηστοτέρων πάντων πρυτάνεις εἶναι τοῖς ὑπὸ χεῖρα. Εἰ γὰρ καὶ τὸ σχῆμα τούτους καὶ ἡ πορφύρα λαμπροτέρους ἀπέφαινον, ἀλλὰ καὶ αὐτοί πως αὖθις ἀπέφαινον ἐκεῖνα λαμπρότερα οὐ μόνον ὥρᾳ σώματος, ἀλλὰ καὶ ψυχῆς κοσμιότητι. Ἠσχύνοντο γὰρ, εἰ μόνον γε τοῖς ἔξωθεν καλλωπίζοιντο καὶ προσκαίροις, ἀλλὰ καὶ πολλῷ γε μᾶλλον τοῖς οἰκοθεν καὶ μονιμωτέροις. Τῆς οὖν θείας ἀρετῆς, εὖ ποιοῦντες, μηδὲν ἀεὶ προτιμῶντες, ἦρχον ἐννόμως καὶ εὐσεβῶς, πατέρων μᾶλλον ἢ δεσποτῶν τοῖς ὑπηκόοις σώζοντες τόπον· καὶ προκινδυνεύειν αὐτῶν αἱρούμενοι ἢ ῥᾳθυμεῖν ἕτεροι. Ἐῶ δὲ λέγειν τὰ περὶ τῶνδε· οὐδὲ γὰρ προκείμενον ἦν ἡμῖν τοὺς ἄνδρας τούτους ἐγκωμιάζειν· αὐτὸν δὲ τοῦτον τὸν νῦν ἡμῖν εἰς εὐφημίαν προκείμενον, ἐξ αὐτῶν τῶν ἑαυτοῦ, ἡλίκος ἦν τὴν ἀρετὴν, ἐπιδεικτέον ἡμῖν ἐστιν.

descenderint serie, honestique ac clari exstiterint, non tam dignitatis prærogativa quam quod vitam e ratione instituendam sanctum habuerint, probeque regendum imperium, ac demerendam patriam, bonaque omnia subditis concilianda. Quanquam enim etiam a dignitate ac purpura clariores fierent, ipsi nihilominus claritatem vicissim rependebant, nedum corporis venusta specie, sed et animi cumprimis honestate. Id quippe ducebant probro ut externo tantum ac temporaneo ornatu ambitum præferrent, ut non potius suis ipsi meritis ac firmiori decore pollerent. Cum itaque probo res suas instituentes consilio, nihil divinæ virtuti præhaberent, legitime ac pie, patres magis, quam dominos in subditos agentes, regnaverunt; lubentiusque pro eis adeuntes pericula, quam aliis otia adire moris sis. Verum prætereo eorum res. Nec enim id nobis fuit constitutum, ut eos laudaremus, sed ut potius virum nobis in argumentum laudis propositum, ex ipsius propriis, quanta enituerit virtute ostendamus.

Ἐτράφη μὲν βασιλικῶς, ἐκ παίδων δὲ ἐδείκνυ τὴν εὐφυΐαν· μᾶλλον δὲ, παιδίον ὤν, πᾶσιν ἐδίδου μαντεύεσθαι, ὅστις ἂν εἴη προϊών· ὡς ἄρα πάντη βέλτιστος πατρίδι καὶ γονεῦσι καὶ φίλοις, καὶ ὅλως οἷς συγγένοιτ' ἂν καὶ μεταδοίη τῆς ἐμφύτου χρηστότητος. Καὶ μὴν πρὸς πᾶσαν μάθησιν οὕτω δεξιῶς εἶχε, καὶ μετ' ὀξύτητος ἔτρεχεν, ὥστε καὶ τὴν προθυμίαν τῶν σοφιστῶν, καὶ τῶν παιδοτριβῶν, καὶ τῶν ὁτιοῦν χρηστὸν ἐπιτήδευμα διδασκόντων, ὑπερφυῶς ὑπερήλαυνεν. Ὅθεν τούτους συνεχῶς διαμείβων, ἐξήτει τὸν διδάξοντά τι καινότερον, ὡς αὐτίκα πᾶν λαμβάνων, ὅπερ ἂν εἶχον διδόναι. Καὶ ἦν τὰς ἡλικίας σαφῶς ἐλέγχων, ὕλην οὐ τὸν χρόνον μόνον, ἀλλὰ καὶ τὴν φύσιν ἐχούσας· καὶ τήνδε μᾶλλον ἥπερ ἐκεῖνον. Ὥσθ', ὅπερ τις τῶν ποιητῶν ἐδίδαξε, τῇ γλώττῃ ἄνθρωπον ἀνθρώπου διαφέρειν τοσοῦτον, ὅσον ἀετοὶ κοράκων, αὐτὸς ἔργῳ ἔδειξε, τῷ πεφυκότι τοὺς ἡλικιώτας παρενεγκὼν, ὅσον οὐδ' ἐδίδου τούτοις, ἐρίζειν πρὸς αὐτὸν ἀμιλλωμένους. Παῖς γὰρ ὢν ἔτι, τὰ τῶν μειρακίων ἐξήσκει· καὶ οὗ ἐν τοῖσδε τὰ νεανίσκων, καὶ τὰ τῶν ἀνδρῶν, καὶ τὰ πρεσβυτέρων, καὶ ὅλως τὰ τῆς κρείττονος ἡλικίας ἐν τῇ πρὸ ταύτης. Οὕτως ἐκεῖνος ἐπὶ τῶν ἔργων φθάνων ἦν ἀεὶ τὸ δέον ἐμπειρίᾳ καὶ σπουδῇ καὶ φρενῶν ὀξύτητι. Ἦν μὲν γονεῦσιν ἡδύς· ἦν δὲ ἀδελφοῖς· ἦν δὲ ἑταίροις· ἦν δὲ πολίταις καὶ ξένοις, ἡλικί τε καὶ πρεσβύταις· καὶ ὅλως πᾶσιν ἐν ὅλοις, παντὶ καιρῷ καὶ συμπτώματι.

Ille equidem regie educatus, multa a puero indolis bonitate effulsit: atque adeo puerili adhuc ætate agens, quis processu temporis evasurus esset, omnibus ominandum præbuit: ut omnino utique optimus, patriæ, parentibus, amicis, ac prorsus omnibus, quibuscum esset versaturus, ac quos innata illa bonitate esset impertiturus. Tanta sane disciplinis omnibus capessendis habilitate fuit, ac sic celeriter omnes percurrit, ut et sophistarum ac ludimagistrorum, ac si qui honestum aliquid docturi videbantur, eximia quadam facilitate ac genio, sedulitatem præverterit. Quamobrem continue alios ex aliis magistros mutans, quærebat a quo novi aliquid disceret; tanquam qui cito perciperet omnia, si qua illi tradere possent: palamque alternantium ætatum, nedum annos, sed et naturam ac indolem, atque hanc potissime; subjectum arguebat. Quamobrem poetæ illam sententiam, ut nihil minus homines inter referat, ut sermonis vim ac linguam spectes, quam inter aquilam ac corvum: veram ipse rebus ostendit; sic indole coætaneis præstans, ut neque ullus contentioni locus relictus videretur. Adhuc enim exsistens puer, adolescentum colebat studia; adolescensque, juvenum, ac virorum, ac seniorum; prorsusque anteriorem agens ætatem, quæ sequentis ac maturioris essent. Adeo semper agendis rebus occupavit quod esset operæ pretium, scientia illa ac studio, mentisque sagacitate. Erat plane dulcis parentibus, erat fratribus; erat sodalibus; erat civibus; erat peregrinis, æqualibus pariter, senibusque, ac cunctis universim in omnibus omni tempore, ac rerum omni incursu.

Καὶ μὴν τοσοῦτον ὑπερνικῶν ἦν κἀν ταῖς γυμνασίοις, κἀν ταῖς ἀμίλλαις, κἀν ἅπασιν, ὡς μηδὲ δεῖσθαι παραβεβλῆσθαι. Οὔκουν γ' ἐφθονεῖτο τοιοῦτος ὤν, ἀδυνατοῦντος τοῦ φθόνου ὁρᾶν ἐπ' αὐτῷ, ὅπερ ἐπεφύκει· ἀλλ' ἐθαυμάζετο παρὰ τῶν ἁπάντων μετὰ τοσαύτης ὑπερβολῆς, ὁπόσης, οἶμαι, τὸ νικᾶν ἦν. Ἦν δ' εἰς τοῦτο ἀφιγμένον. Καὶ πῶς εἰκὸς ἂν εἴποι τις τὸν πολὺ τοὺς ἄλλους ὑπερ-

Tantis sane gloriæ cumulis præstabat, gymnasiorum exercitamentis, certaminibusque, ac studiis omnibus, ut neque opus haberet comparatione. Nec vero cum talis esset, patiebatur invidiam: non valente ea in illum quod nata est: quin potius habebat omnium admirationem, idque tanta exsuperantia, quanta puto victoria erat. Ea porro ad summum evaserat. Qui vero, inquies, vero consonum sit, ut grandi adeo excessu

Digitized by Google

superans, a nullo prorsus invidiam pateretur? secus plane comparatum dicemus. Qui enim supra modum superat, nihil invidiæ obnoxius sit. Quæ enim res multam habet admirationem, multo quoque amori esse necesse est. Quod autem est valde charum, ac amori habetur, qua sibi ratione pro accedente gloria invidiam conflaverit? Quamobrem invidia aberat, ut quis victus esset; aderat vero amoris accessio, quam ejus novum accedens admiratio faceret; universique ejus gaudebant victoriis.

Cum natu minimus fratrum esset, nulli tamen cessit, ut ea spectes, quibus quis admirabilis sit. Nam erat prudens, justus, fortis; ac vel in iis, quæ maxime terrendo videantur, inflexi pectoris: plerasque voluptates (nec enim usque adeo erat homine major, ut omnium semper esset dominus) omnino spernens; quod spectat ad alias, se ipse continens; haud se dedens pigritiæ; idem ipse moderatus ac magnificus; nihil molestus, aut quidquam intolerabilis, vel ipsis quoque servis emptitiis: gravis, mitisque; œconomia præstans, ac magnanimis; ut aliquando deficiente fortuna ad Romani imperii hostes (sic enim illa solemne habet), idem ipse immotus permanserit; eadem ad ipsum redeunte (gaudet enim semper mutationibus); nihil inde altum sapuerit. Atque cum quidem victor esset, alienus erat a fastu, qui humanam vitam Euripum sciret; victus vero, nihil graviori ruina labascebat: ac si vis, erat invictus, cui nullo modo animus adversorum incursione consideret. Porro amicis si quando mutatis rebus iniquiori fortuna uterentur, pristinam benevolentiam integram volebat, eosdem omnino mores, quacunque rerum vicissitudine ostendens. Nec enim Proteus quis erat, ut pro temporum varia ratione mutationem subiret. Noverat temperare remedia, ac contraria contrariis emendare. Noverat nihil in rebus humanis firmum consistere, ac fortunam vicissitudinibus gaudere: atque adeo, cum tranquillo mari navigaret, immanes exspectabat fluctus, ac cogitabat tempestatem, seque ipse ad turbationem præparans, cum illa invasisset, imperturbatus erat. Nam in mediis quoque adversantium ventorum turbinibus, ac minitante procella, ut quamprimum omnino prævaleret, nihil tamen ille animum despondebat; quin multam tranquillitatem sperabat. Quamobrem ferebat omnia, ut nihil abjectum, nihil degeneris animi vitio committeret, vel cogitaret, vel diceret. Nullo rerum statu supercilium attollebat, ac nec verbum jactantiæ protulit; utque alius quis meliora de illo diceret, erubescebat statim, actutumque sermonem ad alia vertebat. Noverat tota sinceritate servare dignitatem, illæsumque omnino tueri ordinem; nihil præcipitantius agere, quodve comparatum esset molestiam creare; excepto ut utile secus suaderet, quod sibi semper dulci anteponendum duxit: quin magis gratum se omnibus ac lætum miscere; excepto ut lupus aliquis in oves irruens, ejus studio arcendus esset: tardus ad vindictam, ac nonnunquam prorsus omittens, cum ma-

A ελάσαντα μὴ παρ' οὐτινοσοῦν τῶν ἁπάντων δέξασθαι φθόνον; Τοὐναντίον μὲν οὖν, ὁ γὰρ ὑπερβεβηκὼς κομιδῇ φθόνῳ οὐχ ὑποπίπτει. Τὸ γὰρ πολὺ θαυμαζόμενον πολὺ φιλεῖσθαι δέον ἐστί· καὶ τὸ σφόδρα φιλητὸν πῶς ἂν εὐδοκιμοῦν φθονηθείη; Ὥσθ' ὁ φθόνος μὲν ἀπῆν, ὁπότε γέ τις ἡττῷτο· προσῆν δὲ φίλτρου προσθήκη, τῷ περὶ ἐκεῖνον συμβαίνουσα θαύματι, καὶ τοῖς ἐκείνου πλεονεκτήμασι πάντες ἔχαιρον.

Ὢν δὲ τῷ χρόνῳ ὕστατος τῶν ἀδελφῶν, οὐδένος ἦν ὕστερος, ἐφ' οἷς τις ἂν φιλοῖτο θαυμαζόμενος. Νουνεχής τε γὰρ ἦν, δίκαιος, ἀνδρεῖος, ἀκλινὴς καὶ τοῖς μάλιστα φοβεροῖς, τῶν πλειόνων ἡδονῶν, οὐ γὰρ ὑπὲρ ἄνθρωπον ἦν, ὡς ἀεὶ κρατεῖν ἁπασῶν, B ὑπερορῶν παντάπασι· πρὸς δὲ τὰς ἐγκρατῶς ἔχων, ῥᾳθυμίᾳ τε αὐτὸν οὐκ ἐκδεδωκὼς, ὁ αὐτὸς μέτριός τε καὶ μεγαλοπρεπής· ἀνεπαχθὴς καὶ μηδαμῶς ἀφόρητος, καὶ αὐτοῖς τοῖς ὠνητοῖς δούλοις· ἐμβριθὴς καὶ ἥπιος· οἰκονομικός τε καὶ μεγαλόψυχος· ὡς καὶ τῆς ἀγαθῆς ποτε τύχης αὐτομολησάσης πρὸς τοὺς ἡμῖν ἐναντίους (τοῦτο δὴ τὸ ἐκείνῃ σύνηθες), οὕτος αὐτὸς ἄτρεπτος ἦν· αὐτῷ δ' αὖ ἐπανελθούσης (χαίρει γὰρ ἀεὶ ταῖς μεταβολαῖς) οὐδαμῶς μέγα φρονῶν. Καὶ ἐν μὲν νίκαις ἄτυφος, εὔριπον τὸν βίον ἐπιστάμενος, καὶ τὸ μέλλον δεδιώς· ἐν δὲ ἥτταις ἀκατάπτωτος, εἰ δὲ βούλει, καὶ ἀήττητος, ὡς τῆς ψυχῆς οἱ μηδαμῶς ὑποπεπτωκυίας. Τοῖς δὲ τῶν φίλων εὐδαίμοσιν, εἰ δυστυχίαις ἐκεῖνοι πεσπείρανται, τηρῶν τὴν γνώμην διετέλεσε, τὸν αὐτὸν C ἐν ἅπασιν ἐπιδεικνύμενος τρόπον, τῶν πραγμάτων ἀνωμάλως φερομένων. Οὐδὲ γὰρ ἦν τις Πρωτεὺς ἐκεῖνος, ταῖς μεταβολαῖς τῶν καιρῶν συμμεταβάλλων αὐτόν. Ἤδει κεραννύναι τὰ φάρμακα, καὶ τἀναντία διορθοῦσθαι τοῖς ἐναντίοις. Ἤδει μηδὲν ὂν βέβαιον τῶν ἀνθρωπίνων πραγμάτων, καὶ τὴν τύχην χαίρουσαν ταῖς μεταβολαῖς· καὶ διὰ ταῦτα, εὐπλοῶν, προσεδόκα μὲν τρικυμίαν· ἐλογίζετο δὲ ζάλην, καὶ πρὸς ταραχὴν αὐτὸν ἑτοιμάζων, ἐπελθούσης οὐκ ἐταράττετο. Ἐπεὶ κἀν μέσαις δυσηνεμίαις, ἀπειλούντων τῶν κυμάτων ὑπερσχήσειν αὐτίκα μάλα, οὗτος οὐκ ἀπηγόρευεν· ἀλλ' ἦν ἐλπίζων συχνὴν γαλήνην. Ὅθεν πάντα μὲν ἔφερεν, οὐ ποιῶν, οὐ λογιζόμενος, οὐ λέγων ταπεινὸν οὐδὲν, οὐδὲ ἀγεννές. Ἐν οὐδενὶ δὲ τὴν ὀφρὺν ἦρεν, οὐδὲ D τι ῥῆμα κόμπου προήνεγκεν· ἀλλ' εἰ καὶ ἄλλος ἔλεγε περὶ αὐτοῦ τὰ βελτίω, ὁ δ' ἠρυθρία τε εὐθὺς, καὶ μετέβαλλεν ἐπίτηδες τὸν λόγον ἐφ' ἕτερα. Τηρεῖν μὲν ἔγνω τὸ σχῆμα μάλα γνησίως· φυλάττειν δὲ τὴν τάξιν ἄθραυστον ὅλως· μηδὲν προπετὲς πράττειν, μηδὲν τῶν ἀνιᾷν πεφυκότων, εἰ μὴ πρὸς συμφέρον ὑπῆρχεν· ὅ γε τῶν ἡδέων ἀεὶ προὐτίθει· ἀλλὰ μιγνύναι πᾶσιν αὐτὸν ἄλυπον, εἰ μή τις ὑπ' ἐκείνου ποιμένος ἀπεσοβεῖτο, λύκος ἐπὶ ποίμνην ἀλλόμενος· δίκην μὲν βραδέως λαμβάνειν, καί που καὶ παραδραμεῖν δόξαν ἄμεινον. Καὶ γὰρ ἦν δήπου πρὸς τὰ τοιαῦτα νωθρός τις ἀγαν· πρὸς δὲ τὰ βραδεῖα παρέχειν, καὶ πρὸς πάντας ἐλευθεριότητι χρῆσθαι, παντελῶς ἀκάθεκτος, Νεῖλος, ἅπαντας ἄρδων

Digitized by Google

τοῖς παρ' ἑαυτοῦ νάμασιν. Ἥδει τῷ μέσῳ τῶν καλῶν ἄκρως τυγχάνειν· τὰς δὲ ἀκρότητας μὴ προσίεσθαι· ταυταισὶ γὰρ δήπουθεν κίνδυνον μυρίον ἀνηρτημένον. Ἠγάπα τετριμμένην βαδίζων, τὸ ἀσφαλὲς ἐν ἅπασι ζητῶν κινδύνους δὲ ῥᾳδίως ἐδέχετο, οὐ πάντοτε καὶ πάντας ἁπλῶς· τοῦτι γὰρ παραπλήγων ἀνθρώπων ἂν εἴη· ἀλλ' ὅτε τούτους οὐκ ἐξῆν μετὰ τοῦ καλοῦ, καὶ τοῦ γιγνομένου διαφυγεῖν. Ἐπιεικής τις ἄγαν ἦν; Οὗτος δὲ τί οὐ μετὰ πολλῆς τῆς ὑπερβολῆς; Θυμοῦ κρατῶν ἕτερος; Καὶ μὴν ἐν τούτῳ φιλοτιμησόμεθα μᾶλλον, εἴπερ τις ἄλλος ἀνθρώπων. Γλῶττα πολλοῖς μὲν γέγονεν ἀγαθὴ, τούτῳ δὲ ὡς μάλιστα. Οὐ γὰρ ἦν ἀπειθεῖν φθεγγομένῳ. Ἡμέρου καὶ τῷ μειδιάματι ἀδίκως ἀγριαίνοντα. Τῇ δὲ τῆς γλώττης δυνάμει χρησάμενος, μετέβαλεν ἂν εἰς φιλανθρωπίαν καὶ τὴν Σκυθῶν ὠμότητα τὴν πολλήν· ἦν γὰρ ἀστεῖος· ἦν ἥδιστος, προσηνὴς, μειλίχιος, πάσαις ταῖς χάρισι κεκραμένος· ὅλος μὲν εὔτορνος, ὡς μηδ' ἠντινοῦν παρέχειν λαβὴν εἰς μῶμον· ὅλος δὲ εὔληπτος τοῖς αὐτὸν λαβεῖν ἐθέλουσιν εἰς οἰκοδομὴν καλῶν ἔργων. Ἠγεῖτο γὰρ πρέπειν αὐτῷ τοῖς μὲν κακοήθεσι καὶ διεστραμμένοις ἀνθρώποις παντελῶς ἀχείρωτος εἶναι, εὐχερὴς δὲ ἀγαθοῖς, εἴς ὅ τι ἂν αὐτοὶ νεύσαιεν. Καὶ μὴν τῶν συμπιπτόντων αὐτῷ δεινῶν· πολλῶν δ' αὐτὸς πεπείραται καὶ μεγάλων· τοῖς γὰρ μεγίστοις μάλιστα ἡ βάσανος· κρειττων οὐ σμικρῶς ὤφθη· τῶν δὲ καιρῶν μεταβαλλομένων, ἐκεῖνος ὁ αὐτὸς ἔμενεν· ὃ δὴ σπάνιον ἐν ἀνθρώποις.

gis e re visum esset; quippe erat in ejusmodi valde segnis; erogandis vero præmiis ac ingenuitate incitatior erat, nec omnino teneri valens, Nili instar suis universos fluentis ubertim irrigans. Sciebat medio, extreme ac summe assequi bona; nec tamen admittebat extrema, quibus innumera pericula hærere sciret. Lubens incedebat tritam viam, quærens in omnibus quod tutum esset: pericula tamen facilis adibat; at non semper, nec simpliciter omnia: quippe quæ res temerarios ac audaces deceat: sed ubi cum decoro, ac per occasionem vitare non liceret. Ullumne valde modestum dicas? Hic vero quid non multo excessu ea parte habuit? Aliumne iræ compotem? in eo maxime supra quosvis mortales possumus gloriari. Fuit multis præclara lingua? huic quam maxime. Tanta siquidem pollebat sermonis facultate, ut omnes in sententiam suam orans cogeret. Vel solum leniter ridens, injuste exasperatum sedabat. Ubi autem linguæ vi uteretur, vel Scytharum multam feritatem, in humanis proximos affectus ac benignitatem mutabat. Erat enim urbanus; erat dulcissimus, mansuetus, blandus, omnibus gratiis temperatus. Erat totus torno facilis, ut ne qua ansa ad crimen pateret; totusque idem prehensu facilis erat, ut quis ad ædificationem bonorum vellet tenere. Hoc quippe sibi congruum reputabat, ut malignis perversisque hominibus omnino se irreprehensibilem servaret, bonisque nihilominus facilis exsisteret, ac indulgeret, quocunque tandem illi inclinassent. Denique ingruentibus malis, multa porro ille, ac gravia tulit; quippe maximos maxime decet probatio: haud se mediocriter superiorem ostendit, cumque tempora mutarentur, ipse nihilominus idem sibi erat; quod plane rarum in humanis accidat.

Τὸν ἄνδρα τοίνυν τοῦτον, ἐμοὶ δοκεῖν, ὃς ἂν ἀνδριάντα φαίη, ἐξ ἀδάμαντος ἀπεξεσμένον, οὐκ ἂν ἁμάρτοι, ἀφορῶν εἰς τὸ τῶν καλῶν ἀπαράβλητον. Ὅτι δὲ τοιοῦτος ἦν οἷον ὁ λόγος ὑμῖν ἔδειξε, μᾶλλον δ' ὡς οὐκ ἦν τοιοῦτος, ἀλλὰ καὶ πολὺ βελτίων, αὐτὸς ἐκεῖνος ἀπέδειξεν, οἷς τε ἔπραττεν, οἷς τε ἔφερε διὰ βίου σχεδὸν παντός· μᾶλλον δὲ, οἷς ἔπραττε καὶ ἐν τῷ πάσχειν· καὶ αὖθις οἷς ὑφίστατο καὶ ἐν αὐτῷ τῷ πράττειν. Οὐδὲ γὰρ ἠμέλει τῶν δεόντων οὐδέποτε· οὐδ' ὤφθη γέ ποτε καταπεπτωκὼς ὑπ' ἀθυμίας ἀμέτρου, καὶ φόβου, καὶ τῶν τοιούτων· ἀλλ' οὐδὲ τοὺς λογισμοὺς διακεχυμένος ἐπὶ πολὺ, οὔτ' ἐν εὐθυμίαις, οὔτ' ἐν ἑορταῖς, οὐκ ἐν παιδιαῖς, οὐκ ἐν θήρᾳ, οὐκ ἐν οὐδενὶ τῶν τοιούτων. Οὐδ' ἦν ἀργὸς ἐν τοῖς καιροῖς τοῖς χαλεπωτάτοις, καὶ σκυθρωποῖς τισι πράγμασιν· οὐμενοῦν οὐδ' ἐν αὐτῷ τῷ μάλα νοσεῖν, ὡς μηδὲν τοῦ χρόνου μάτην ἀναλίσκοιτο, οὗ τὸ παρελθὸν ἀμήχανον πάλιν εὑρεῖν.

Ut quis ergo incomparabilem illum spectet bonorum decorem, haud puto a veritate errans, politam ex adamante statuam, subjectum argumento virum nuncupare possit. Ut porro talis fuerit, qualem vobis sermo ostendit: imo, ut neduin talis, sed et longe præstantior fuerit; idem ipse liquido probavit, tum iis quæ egit, tum quæ tota fere vita mala sustinuit; atque adeo iis quæ egit perpetiendo, quæque iterum etiam agendo perpessus fuit. Nunquam enim quidquid accidisset quod operæ pretium erat, neglexit; nec unquam omnino visus est animo concidisse, obruente mœstitia nimia, aut metu, aliove ejusmodi: at neque effuso admodum animo, cum etiam jucundior videretur, vel agerentur festi conventus; non in ludis, non venatione utens, non re ulla ejusmodi. At neque molestissimis temporibus, tristibusque nonnullis rebus otiosus erat; ne valde quidem affecta sanitate, ne quid temporis vacuum pereffluerel, quod ut præteriit, nulla post hac diligentia revocari potest.

Καὶ μὴν τὸ, *Μέτρον ἄριστον*· καὶ τὸ, *Μηδὲν ἄγαν*, καὶ ὅλως, ὅσαπερ τοῖς πάλαι σοφοῖς εἴρηται εἰς τὴν τῶν ἠθῶν εὐκοσμίαν, ὥσπερ ἐξ ἑράνου συλλέξας, ποιῶν διατετέλεκεν· ὥστε ἐκείνων ἕκαστος ἓν που τούτων εἴρηκεν· οὗτος δὲ πάντα ἔπραξεν· οὕτω τοῖς ὅλοις ἐνίκα. Ἦν δὲ τοσούτῳ δεξιὸς,

Cæterum illud: *Optima mediocritas*: ac, *Ne quid nimis*, omninoque, ut quid antiquis sapientibus, componendis honestate moribus, dictum sit; id ille tanquam ex symbolo colligens, totum re præstabat: atque adeo cum quisque unum quid eorum, ac singulare quidpiam effatus sit, ipse unus omnia

Digitized by Google

egit : sic vincebat universis. Ita vero aptus erat, sicque universorum animis congruebat, opportune agens omnia, ac omnes sincere colens, quanquam nullis noxie indulgeret, ut ipsi non raro actores, beneficii se reos agnoscerent, ac agerent gratias, cum etiam causa cecidissent, ac essent frustrati fine supra quam alii, cum voti compotes affecti optata accepere. Accidit enim, ut nihil etiam dans, delectes, utque vicissim dando displiceas. Universis se communissimum permittebat, ac maxime gratus congressionibus erat : nec quidquam tamen, morum illa ingenuitate, rebus officiebat. Erat siquidem plenus architectonica scientia, tum ad politicos mores, tum ad negotia publica, sibique satis ipse erat, ut et singulis consuesceret pro cujusque moribus utque integrum se universis servaret. Noverat ut et videretur hilarior diffundi, utque nihilominus semper principaliora opera pretium poneret ; atque ut nonnunquam res magnas ac admirandas ludi non inhonesti specie gereret.

Cum sic ergo natus esset, sicque voluntatis haberet, ac ita fuisset institutus, bonaque adeo indole ac ingenio facili præditus esset ; in parentes quidem probe implevit, ut quid parentes natorum pietate præstanda optare possint : summo amicis amori fuit ; universis exstitit portus, omnisque eis generis bona conciliavit. Præclaræ adeo res, hostes quoque infensissimos, ad pacis ambienda fœdera, omnique modo exquirenda, impulerunt, atque ut semel inita, rata manere omnino eniterentur. Id porro agebat viri virtus, cujus illi formidine eos postmodum horrebant, quibus fortuna efferente, terrorem pridem injecerant. Jam enim facta rerum mutatione ; quippe in contrarium omnino versæ erant, ac nostræ quidem florebant, illorum autem diffluxerant : utique necesse erat, ut et ii de sententia decedentes, tempori inservirent. Ea itaque in eum præstabant, quæ olim decessores in ipso soliti erant ; eamque diem festæ lucis loco habebant, qua per nuntium aliquid ab eo epistolarum accepissent. Quod si etiam aliquid pollicebatur (id sane ab impensiori præstantia, ut magis præcipere quam polliceri videretur), occinebant gaudio accepta epistola, rem gestam pacis argumentum habentes, quam quidem haud propter se diligebant, sed ne perire contingeret per ejus absentiam : quod pridem secus existimabant. Sic virtus, quam fortuna præstat, per quam superbia hostium, cum eos postea spes fefellisset, plurimun fecit risum.

Hæc hactenus velut summa diximus, quibus abunde declaratam puto viri indolem, ut multis laudibus esset digna : sin autem singula quoque prosequi oporteat, dicam compendio, quanta fuerit facultas. Ut enim beatæ memoriæ viri hujus præclara gesta diffusius narrentur, iis potius congruat, quorum sit insituti, ut rerum gestarum contexant historias. Quin et eadem quoque ratione ne illi quidem gesta omnia percensuero. Uti enim rerum ab eo gestarum magnitudo prohibet, ut ne

καὶ οὕτω ταῖς ἁπάντων συμβαίνων γνώμαις, μετὰ τοῦ καιροῦ τὰ δέοντα ποιῶν, καὶ γνησίως πάντας μετερχόμενος, οὐ μήν τισι πρὸς βλάβην χαριζόμενος, ὡς καὶ πολλάκις χάριν ὁμολογοῦντας εἰδέναι τοὺς ἐπαγγέλλοντας ἔχειν, εἴ ποτε καὶ τοῦ σκοποῦ διημάρτανον, ἢπερ ἄλλοι τοὺς λαβόντας ὧν ἐπεθύμουν. Ἔστι γὰρ καὶ δόντα μηδὲν εὐφραῖναι, καὶ τοὐναντίον αὖθις εὑρεῖν. Ἦν μὲν κοινότατος ἅπασιν· ἦν δὲ ταῖς συνουσίαις χαριέστατος, καὶ διὰ τὸ τοῦ ἤθους ἐλεύθερον οὐδ' ὁπωστιοῦν πράγμασι λυμαινόμενος. Ὑπῆρχε γὰρ πληρέστατος ἀρχιτεκτονικῆς ἐπιστήμης εἴς τε τὰ πολιτικὰ ἤθη εἴς τε τὰ κοινὰ πράγματα· καὶ ἐξήρκει γε συνεῖναι καὶ χωρὶς ἑκάστοις πρὸς τρόπου, καὶ αὖθις πᾶσιν ὁμοῦ. Ἤδει τε δοκεῖν διαχεῖσθαι, καὶ ἀεὶ τὰ καιριώτερα προὔργου τίθεσθαι· καὶ κατασκευάζειν ἐνίοτε μεγάλα τε καὶ θαυμαστὰ πράγματα μετὰ παιδιᾶς οὐκ ἀσέμνου.

Οὕτω τοίνυν φύσεως ἔχων καὶ προαιρέσεως, παιδεύσεώς τε καὶ δεξιότητος, ὑπῆρχε μὲν τοῖς αὐτοῦ πατράσι καλῶς πληρῶν, ἃ δὴ πατέρες εὔξαιντ' ἂν παρὰ τῶν υἱῶν ἴσχειν, ὑπῆρχε δὲ τοῖς φίλοις ἐρασμιώτατος· ἦν δὲ τοῖς πᾶσι λιμὴν, καὶ παντοδαπῶν ἀγαθῶν πρύτανις. Ταῦτα καὶ δυσμενεστάτους ἀνέπειθε σπονδῶν μὲν ἄγαν ἐπιθυμεῖν, πάντα δὲ τρόπον ζητεῖν, ὅπως αὐτῶν τύχοιεν· καὶ τυχόντας, ἅπαντα πράττειν, ὥστ' ἐπιμεῖναι τῷ πράγματι. Αἴτιον δὲ ἡ ἀρετὴ τοῦδε τἀνδρὸς, δι' ὃν ὠφρώδουν οὓς γε ἐφόβουν οἱ διὰ τὴν τύχην ἐπαιρόμενοι. Μετακεκλημένων γὰρ τῶν πραγμάτων· καὶ γὰρ ἀντέστραπτο παντελῶς, καὶ τὰ μὲν ἡμέτερα ἤνθει, τὰ δὲ ἐκείνων κατερρύηκει· χρεὼν ἦν δήπου κἀκείνους μεταβαλόντας συμφέρεσθαι τούτοις. Ἦν οὖν ἐκείνῳ παρ' αὐτῶν, ἃ πρὶν ἐκείνοις ἐκ τῶν πρὸ τοῦδε· καὶ ἦγον ταύτην ἑορτὴν τὴν ἡμέραν, ἐν ᾗ τις παρ' ἐκείνου πρὸς αὐτοὺς ἦκε βραχύ τι γράμμα κομίζων. Εἰ δὲ καὶ ἐπήγγελλέ τι, οὕτω δ' ἐξ ὑπεροχῆς, ὡς μᾶλλόν γε προστάττειν ἢ ἐπαγγέλλειν ἐπῇδον οἱ δεχόμενοι τὴν ἐπιστολὴν, τεκμήριον ἡγούμενοι εἰρήνης τὸ πραχθέν· ἦν οὐκ ἠγάπων δι' αὐτὴν, ὅπερ ἔδει· τὸ δὲ μὴ διαφθαρῆναι ταύτης ἀπούσης, ὅπερ ἐναντίως πρόσθεν ἐνόμιζον. Οὕτως ἀρετὴ κρειττων τύχης, ἧς ἕνεκα οἱ δυσμενεῖς ἀλαζονευόμενοι, εἶτα τῶν ἐλπίδων ψευσθέντες, γέλωτα προσωφλήκασιν οὐ σμικρόν.

Ταῦτα ὡς ἐν κεφαλαίῳ ἡμῖν εἴρηται· καὶ νομίζομεν καλῶς ἀποδεδεῖχθαι τὴν τοῦδε φύσιν, ὡς ἦν ἀξία πολλῶν ἐπαίνων· εἰ δὲ προσδεῖ καὶ τῶν καθέκαστα, λέξων ἔρχομαι κατ' ἐπιτομὴν ὅσον οἷόν τε. Τὸ γὰρ δὴ λέγειν ἐκτάδην τὰ εἰργασμένα τῷ μακαρίτῃ τοῖς ἔργον ἔχουσιν ἱστορεῖν οἰκειότερον ἂν γένοιτο. Οὐ μὴν ἀλλὰ διὰ τὴν αὐτὴν ταύτην αἰτίαν οὐ πάντα καταλέξομεν, ὅσαπερ ἐκείνῳ διεπράττετο. Ὥσπερ γὰρ τὸ μέγεθος τῶν αὐτῷ πεπραγμένων εἴργει πρὸς ἕκαστον ἐπεκτείνεσθαι, οὕτω καὶ τὸ

Digitized by Google

πλῆθος οὐ συγχωρεῖ διαζωγραφεῖν ἑξῆς ἅπαντα. Οὐ γὰρ εὐαρίθμητα πάντως. Οἶμαι δὲ μὴ ἂν εἶναι τοῦτο πρὸς γνώμην ὑμῖν, λέγω τὸ μὴ τἀκείνου πάντα διεξιέναι. Ἐπιθυμεῖτε γὰρ ἰδεῖν, εὖ οἶδα τοῦτο καὶ πάνυ πέπεισμαι, ὥσπερ τινὲς ἐν πίναξι γεγραμμένας τὰς τῶν ἐρωμένων εἰκόνας, τὸν βίον πάντα τοῦδε τἀνδρὸς, ὡς ὅλον ὄντα θαύματος ἄξιον. Δόξομεν δ' ἴσως καὶ ἀδικεῖν τὸν τῶν ἔργων ἀρχιτέκτονα, εἰ μὴ τὸ πᾶν ἐξείποιμεν ἀκριβῶς, ὅσον ἐκείνῳ κατείργαστο. Ἐγὼ δ' ὑμῖν συμφωνῶν, ὅσα γε πρὸς μόνον τὸ θέλειν, εἶτα παραιτήσομαι διὰ τὸ τοῦ πράγματος πρόσαντες, εἰ μὴ δυναίμην ἀκολουθεῖν τῇ θελήσει. Νικᾷ γὰρ δήπουθεν ἀτεχνῶς τὸ παρὸν ἐγχείρημα τὴν ἡμετέραν ἰσχύν, οὔσάν γε καὶ οἴκοθεν ἀδρανῆ, καὶ πλέον γινομένην ἐξίτηλον τῷ τοῦ λόγου σχήματι. Οὐκοῦν ἐκ τῶν πολλῶν τε καὶ καλῶν καὶ μεγάλων, ἅτινα πάντες ἐκείνῳ σύνιστε πεπραγμένα, ὃς πρὸ μικροῦ μεθ' ἡμῶν ἦν νυνὶ δὲ γέγονεφεῦ! τῶνδε τῶν θρήνων ὑπόθεσις, ὀλίγα λέξομεν ἤδη καὶ κατ' ἐπιτομὴν, ὥσπερ εἴρηται. Τοιαῦτα μέντοι γε πάντως, οἷά περ δείξει τὸν ἐργασάμενον ἀληθῆ καρπὸν ὄντα τῇ κοινῇ ταύτῃ φύσει, καί τινα φιλοτιμίαν ἐξαίρετον. Οὐ τοίνυν τῷ μὴ πάντα κατὰ μέρος διεξιέναι νομιστέον ἡμῖν ἂν εἴη τὸν ἄνδρα τοῦτον ἧττον σχήσειν εἰς εὐδοξίαν. Τὸ γὰρ περιὸν ἐκείνου τῆς ἀρετῆς τὸ ἡμέτερον ἐνδέον ἀναπληρώσει. Ἀρκέσει γὰρ τὸ πᾶν ἐξεργάσασθαι καὶ ἕκαστον τῶν ἔργων τῶν αὐτοῦ, ὡς μηδὲν ὂν τῶν αὐτῷ πεπραγμένων, ὃ μὴ μεγίστων εὐφημιῶν ἄξιον· εἰ μή τις μειρακιωδῶς ἔχων, ἐξ ἐπιπολῆς τι θεάσαιτο. Κἀκεῖνο δ' ἂν εἴποιμι, ὅτι πολλάκις κἀκ τῶν σμικρῶν καὶ ἁπλουστέρων εἶναι δοκούντων, εἴ γέ ἐστι καίρια, οὐχ ἧττον φύσις γνωρίζεται ἢ ἐκ τῶν πολλῶν καὶ παντοδαπῶν ἔργων, ῥυθμῷ καὶ τάξει δεδηλωμένων. Λέγω δὲ καίρια, ὅσα πέρ ἐστι δηλωτικὰ φυσικῶν ἰδιωμάτων, δι' ἃ τις ἔχει ψυχὴν εἰδέναι, ἐρῶσαν ἀγαθὴν εἶναι. Ὅθεν ἀνθέξομαι τῆς βουλῆς, ὀλίγα τῶν ἐκείνου διεξιὼν, καὶ συνελὼν, ὡς οἷόν τε.

Ἐκεῖνος τοίνυν, ὦ ἄνδρες, ὁ πᾶσαν γλῶτταν πειρωμένην αὐτὸν ἐπαινεῖν εἴσω πίπτουσαν ἀποφαίνων, καὶ περιὼν ἔτι, καὶ μεταστὰς ἤδη, παῖς ὢν ἀρίστῳ βασιλεῖ, πολύ τι τοῖς υἱέσι δεικνύντι φίλτρον, ὥσπερ ἀμιλλώμενος ἦν αὐτῷ, μηδαμῶς εἰς τὸ φιλεῖν, κατόπιν αὐτοῦ λειφθῆναι. Ὅθεν θαυμάζων καὶ φιλῶν εἴπερ τις ἄλλος Ἀλέξανδρον, πάντα μὲν ἡδέως τὰ ἐκείνου καὶ ἀκούων ἦν, καὶ λέγων, ὁπότ' ἐξῆν· τὸ δὲ, τοῦ πατρὸς Φιλίππου πρὸς αὐτόν ποτε εἰρηκότος, Φιλῶ σε σφόδρα, ὦ παῖ, τὸν Ἀλέξανδρον εἰπεῖν, Κἀγὼ φιλῶ σε τὸν ἐμαυτοῦ πατέρα· τοῦτο δὲ ἐκείνον ἀξίως ἑαυτοῦ φάναι τριοῦτον ὄντα, οὐδ' ὁπωστιοῦν ἠγεῖτο, οὐδὲ ῥᾳδίως ἔφερεν· ἀλλ' ἠσχύνετο διὰ τὴν πρὸς τὸν ἄνδρα φιλίαν· οὐ γὰρ ἂν παραιτήσασθαι τὸν Ἀλέξανδρον ὑπὸ τοῦ διαβαλλόμενον, τῷ γε ἀπολογήσασθαι, ὡς οὐκ ἐβούλετο ψεύσασθαι, ὥσπερ οὐκ ἐνὸν, τὴν τοῦ πατρὸς ἀγάπην, τῆς τῶν φιλτάτων προτιθέντα, Κἀγώ σε, πάτερ, εἰπεῖν, φιλῶ, καὶ φιλήσω γε ἀεὶ, καὶ οὐ παραχωρήσω

A singulis ejus rebus enarrandis memet extendam, sic nec perscrutor per multitudinem, ut ordine omnia delineem adscribamque. Nec enim numerus facile iniri potest. Quanquam puto haud vobis gratum fore ut, inquam, non ejus res omnes gestas edisseram. Desideratis enim, probe novi ac certum habeo, pro eorum ratione, qui amantes in imagine depictas eorum quos amant, imagines impendio videre avent, ut et ipsi totam videatis viri præcipuam vitam, quæ tota admirationem habeat. Sed et forte principi rerum opifici videamur injuriam facere, nisi res ejus totas accurate edisseramus. Equidem sola vobis voluntate gerens morem, opus postmodum propter rei arduam molitionem detrectabo, qui voluntatem assectari nequeam. Vincit enim B liquido tanta moles nostram virtutem, quæ olim a se debilis, ab orationis nunc specie, multis evasit exilior. Ex multis ergo, iisque præclaris ac magnis, quorum gestorum conscii estis viro nuper nobiscum exsistenti; quique nunc *fuit* heu! triste argumentum planctuum! pauca quædam ac compendio, uti sumus præfati, dicemus: ea tamen omnino, quibus qui gessit, verus generi concessus fructus, eximiaque quædam ac ambitiosa largitio, cognosci possit. Nemo igitur, quod plura omittamus, minus virum ad celebritatem nominis habiturum putet. Ejus quippe luculenta ac excellens virtus nostram abunde implebit inopiam. Singula enim ejus gestorum confecerint totam, quorum ne unus est non maximam habens gloriam: nisi quis puèrorum more ex C sola rem externa facie velit spectandam. Sed et id affirmarim, ex iis quoque quæ modica ac simpliciora videntur, dum tamen illa certa sint ac propria, nihil sæpe minus cognosci naturam, quam ut multa quis ac omnis generis opera ordine producat. Certa dico ac propria, si qua proprietates naturæ satis indicant, ac quibus ceu charactere insigniatur animus boni amans. Pro consilii ergo ratione pauca quædam ac compendio, ut licuerit, edisseram.

Ille igitur, auditores, cujus res præclaræ linguam omnem laudare studentem debilem faciant, ac obtorpentem, sive cum adhuc superstes esset, sive modo cum defunctus est: cum imperatoris optimi, multamque amoris vim in natos ostendentis, D proles esset, omnino enitebatur ac contendebat, ut ne quidquam amore cederet. Quamobrem cum admiraretur, ac si quis alius, amaret Alexandrum, ejusque lubens omnia, quantum liceret, audiret, diceretque; illud tamen, ut cum Philippus pater quandoque dixisset: *Ego te fili amo*, responderit ille: *Ego quoque te amo meum patrem*: haud illo digne dictum, cum tantus esset, omnino arbitrabatur, nec æquus ferebat; quin ejus cum pudebat pro viri reverentia; nimirum illo accusante, non detractasse pro mendacio excusare, tanquam patris dilectionem præhabenti charissimorum amori, ea verba in promptu non fuissent: *Ego te quoque, pater, amo, sumque semper amaturus, nec facile aman-*

Digitized by Google

do superari permittam, qui velim præstare quod A *jus habet, tum quia per te sim, tum quia amer plurimum, quia disciplinis excultus magna a te acceperim, ac majora sperem accepturum.* Sic itaque habebat ad patrem, nec quidquam dissimili ratione habuit ad matrem. Cum enim ad omnes modestus esset, nec quidquam contentionis amans, amoris tamen ac beneficentiæ partibus universos vincere contendebat ; facilisque vitam amisisset, ut amoris vim quantam haberet, ostenderet. Cum vero multa ac magna superent, quibus possim rei facere fidem, ubi tamen duorum tantum meminero, rem satis confecero : quanquam et illa multis de causis sum compendio dicturus ; cum nec alioqui mihi sermo sit ad eos qui nesciant.

Vigebant mala, tristisque nobis fortuna ad summum provexerat. Jam siquidem capta urbe (1), arx ita vix non provocabat capturos hostes, cum miles Persicus muris hæreret. Interim ergo se dux sacramento obstringit, obstringunt quoque præcipui præfecti tribunique, incolumem remissuros in provinciam. Erat hæc civitas Macedoniæ metropolis, ac urbes aliæ : cumque adeo parentibus, meque ipso, ac quorum de eo deliberare intererat, assentientibus, res in promptu esset, cœpit postmodum patrem pœnitere : fui vero ipse in causa, tametsi nolens. Sic porro res habuit.

Me caput ac pedes vulneratum in sua ille exceperat genua. Manebat vero immotus, ne minimum quidem corpus agitans, pro affectione in me sua. Sciebat enim augendum mihi dolorem ut se ipse moveret. Cum sic ergo ab amore indivulsus esset, manebat meas lacrymas curans. Haud enim facile ferebat a me separari, qui esse ab eo separatum feram. Jam enim ille cum mortuis conditus est, nosque adhuc exstamus, ac sustinemus sensilem hunc solem aspicere, postquam sol ille meus occidit, quem supra splendentes hosce radios charum habebam. Interim ergo dum moras trahit, ad me venit qui nuntiet, ut pater consilium mutarit, vitæ aleam veritus, ut suspicio foret iniisse Theodorum fugam ipso probante. Vix a me audierat, cum nullius suasu, autve exspectans, qui adhortaretur, quique rogaret ne stationem desereret in summum adducentem discrimen, suæ ipsius saluti ac vitæ, paternam anteponit voluntatem, ne meum quidem ea parte consilium requirens, ac nec matris, quod probis filiis majus omnibus est. Sedebat ergo fixis in terram luminibus, dirumque quemdam carnificem animo versabat, cum per eum staret, quomi-

σοι ῥᾳδίως τῶν πρωτείων ἐν τῷ φιλεῖν, δίκαια πράττειν ἐθέλων· τοῦτο μὲν, τὸ εἶναι ἔχων παρὰ σοῦ· τοῦτο δὲ, τὸ σφόδρα φιλεῖσθαι· τοῦτο δὲ, τὸ πεπαιδεῦσθαι, καὶ μεγάλων ἀγαθῶν ἀπολελαυκέναι, καὶ ἠλπικέναι λήψεσθαι μείζω. Εἶχε μὲν οὕτως αὐτῷ τὰ πρὸς τὸν πατέρα· εἶχε δὲ αὖ ὁμοίως καὶ τὰ πρὸς τὴν μητέρα. Ὢν γὰρ πρὸς πάντας μέτριος, καὶ μηδαμοῦ δύσερις, κατὰ τὸ φιλεῖν καὶ εὖ ποιεῖν καὶ ἀποδιδόναι, κρατεῖν ἁπάντων ἐφιλονείκει· καὶ ῥᾷστα ἂν ἀφῆκε καὶ τὸ ζῆν, ὅπως τὸ φίλτρον ὅσον, ἐνδείξηται. Πολλῶν δὲ ὄντων μεγάλων, δι' ὧν ἂν ἔχοιμι τἀληθὲς δηλοῦν, δυοῖν γε μόνον μνησθεὶς, αὐτίκα τὸ πᾶν ἐπιδείξομαι· καίτοι καὶ ταῦτα συνελὼν ἐρῶ πολλῶν ἕνεκα· ἐπεὶ καὶ ἄλλως γε οὐ πρὸς ἀγνοοῦντας ἡμῖν ὁ λόγος.

B Ἦν ἐν ἀκμῇ τὰ κακὰ, καὶ τὰ τῆς δυστυχίας ἡμῖν ἐς ἄκρον ἐληλακότα. Καὶ τοίνυν τοῦ μὲν ἄστεος ἤδη κατειλημμένου, τῆς δὲ ἀκροπόλεως μονονουχὶ προκαλουμένης τοὺς ληψομένους, τῆς στρατιᾶς τῆς Περσικῆς προσπελασάσης τῷ τείχει, ὀμνύντος μὲν τοῦ στρατηγοῦ, ὀμνύντων δὲ τῶν ἐκκρίτων, ἐκεῖνον σῶν εἰς τὴν αὐτοῦ παραπέμψειν ἀρχήν· ἦν δὲ ἡ μητρόπολις Μακεδονίας καὶ πόλεις ἄλλαι· ὅ τε πατὴρ, ἥ τε μήτηρ κἀγὼ, καὶ οἷς ἐμέλησε περὶ ἐκείνου βουλεύσασθαι, συναινοῦντες ἦμεν τῇ πράξει, ὄντος δὲ ἐν χεροῖν τοῦ ἔργου, ἔπειτα μετάμελος ἦκε τῷ πατρί· ἦν δὲ αἴτιος ἐγὼ, μηδαμῶς βουλόμενος εἶναι. Συνέβη δὲ ὧδί.

C Τετρωμένον με τὴν κεφαλὴν καὶ τὼ πόδε, εἶχεν ἀνακείμενον ἐπὶ τῶν γονάτων. Καὶ διέμεινεν ἀτρέμας, μηδαμῶς τὸ σῶμα κινῶν οἴκτῳ τῷ πρὸς ἐμέ. Ἔγνω γὰρ ὡς κινηθεὶς, ὀδύνην προξενήσει μου ταῖς πληγαῖς. Ὢν δὲ δυσαπόσπαστος διὰ τὸ φιλεῖν, ἔμενεν ἐπιμελόμενός μου δακρύων. Οὐ γὰρ ῥᾳδίως ἔφερε τὸν ἐμὸν χωρισμὸν, τοῦ τὸν ἐκείνου φέροντος. Καὶ γὰρ ἐκεῖνος μετὰ τῶν νεκρῶν ἤδη κέκρυπται· ἡμεῖς δ' ἐν ζῶσιν ἔτι φαινόμεθα, καὶ τουτονὶ τὸν ἥλιον ὁρᾷν ἀνεχόμεθα, ἐκείνου δύντος ὑπὸ τὴν γῆν, ὃς ἦν ἡδίων ἐμοὶ ταυτησὶ τῆς λαμπρᾶς ἀκτῖνος. Ἐν δὴ τῷ μέλλειν ἐκεῖνον, ἥκέ τις ἀγγέλλων πρὸς ἐμὲ, ὡς ὁ πατὴρ μεταμέλοιτο, δεδιὼς περὶ τοῦ ζῆν, ἂν ὁ δρασμὸς ὑποπτευθῇ γεγενῆσθαι τῇ ἐκείνου γνώμῃ. Καὶ ὃς μαθὼν ὑπ' ἐμοῦ, μήτε τοῦ πείσοντος δεηθεὶς, μήτε τοὺς παρακαλέσοντας ἀναμείνας, ἢ D τοὺς ἀξιώσοντας ὑπὲρ τῆς μονῆς τῆς εἰς πᾶν δεινὸν ἀπαγούσης, τὸ τοῦ πατρὸς βούλημα τῆς ἰδίας ζωῆς προῦθηκε, μήτε τὴν ἐμὴν βουλὴν εἰς τοῦτο ζητήσας, μήτε μὴν τὴν τῆς μητρὸς, πάντων οὖσαν ἰσχυροτέραν υἱέσιν ἃ δεῖ πράττουσιν. Ἐκάθητο δὴ κατὰ χθονὸς ὄμματα πήξας, καί τινα ἀπάνθρωπον δήμιον φανταζόμενος· καὶ τοῦτ' ἐποίει, κύριος ὢν πάσης

(1) *Capta urbe.* Ab Andronico majore natu filiorum Calo-Joannis, ac Manuelis fratre, ambos obsidente, impetrato a Bejazete milite, postquam ab infuso oculis aceto patris jussu ob conjurationem in ipsum nonnihil convaluisset : quam historiam narrat Laonic. lib. II ; ex quo videatur dux iste qui Theodorum abire permittebat, fuisse ipse Andronicus, qui soli patri, ob acceptam injuriam, ac Manueli designato imperatori, infensus esset. Erat etiam Theodorus acceptus Turcis, sub quibus jam meruisset, postmodumque creatus dux a Bajazete expeditione in Thessaliam. Vide eumdem Laonicum : nec non Frantz., qui ipsis temporibus florens ad ipsam usque urbis expugnationem, Palæologis charissimus ac domesticus militans, scintillæ imperii, quam ipse appellat, superstes fuit, resque Palæologorum prosecutus est.

Digitized by Google

δυσχερείας ἀπαλλαγῆναι, ἣν ὁ δυστυχὴς ἐκεῖνος καιρὸς ἡμῖν ἐπήνεγκε πολλαχόθεν· ἀγαθῶν δὲ τεύξεσθαι καὶ ἡμᾶς ἐλευθερώσειν ἐλπίζων, εἴ γε ἔξω γένοιτο δεσμῶν. Ὁ δ' εἵλετο συγκαθειρχθῆναι μᾶλλον ἡμῖν ἐν εἱρκτῇ, ἣ δὴ καὶ καθ' αὑτὴν θάνατος ἦν, ὡς εἰπεῖν, καὶ τὸν ἀπὸ τοῦ ξίφους προσαπειλοῦσα. Ὥστε γνώμῃ τέθνηκε διὰ τὴν τοῦ πατρὸς ὑποψίαν· πρὸς ἣν ἂν εἶχε μυρία λέγειν, εἴ γε ἐβούλετο παραιτεῖσθαι. Ἐπεὶ καὶ ἦσαν οἱ τἀναντία τῷ βασιλεῖ λέγοντες, οἷς γε καὶ αὐτὸς συνεστοίχουν. Ὄντα γὰρ αὐτὸν ἐκτὸς τί οὐκ ἂν ὑπὲρ ἡμῶν πρᾶξαι; Ἐξουσι μὲν αἱ νύκτες ἐναγρυπνοῦντα ταῖς βουλαῖς, αἷς ἂν ἡμᾶς ῥύσαιτο, ὄρθροι δὲ, ἐπιχειροῦντα ἅπασι τοῖς δόξασι νύκτωρ, φροντίζοντα μὲν τῶν δεόντων, ὅπως δὲ τέλος προσῆκον σχοίη τὰ δόξαντα, πάντα ποιοῦντα· ὑπισχνούμενον, ἐγγυώμενον ὑπὲρ τῶν ὑπεσχημένων· ὀμνύντα τούτου δεῆσαν πρὸς τοὺς δυναμένους; ἀμύνειν· μηδὲν ἐῶντα τῶν συνοισόντων. Τὴν δὲ δὴ βοήθειαν, ἣ προσῆν ἂν πάντως ἡμῖν, ἐκ τοῦ τὰ δεινότατα ἀπειλεῖν, εἴ τις ἂν τῶν σωμάτων ἡμῖν ἅψαιτο, ποῦ τις ἂν θείη; Οὐδὲν ἂν ἦν αὐτῇ παραπλήσιον εἰς τὸ τὴν ζωὴν ἡμῖν συντηρεῖν. Ἡ που τὴν αὐτοῦ φύσιν ἀρκεῖ καὶ μόνον τοῦτο καλῶς δηλῶσαι; Εἰ γὰρ ὑπὲρ ὑποψίας ταύτης προὔλαβε καὶ νεῦμα πατρὸς, καὶ τὸ κατ' αὐτὸν ἐτεθνήκει· καὶ πόσους ἂν θανάτους οὐχ ὑπήνεγκεν, ὥστε προφανοῦς αὐτὸν κινδύνου ῥύσασθαι; Οὐ ζηλωτὴς Ἰσαάκ; οὐ τοῦ Σωτῆρος αὐτοῦ; Οὐ γὰρ τολμηρὸν εἰπεῖν· τύπος γὰρ ἡμῖν ἐκεῖνος καὶ ὑπογραμμὸς πρόκειται, καὶ εἴη ἂν πως κεχαρισμένον τῷ ἐκείνου πατρὶ, εἴ τις ζηλώσειε τὸν υἱόν. Ὧν δὲ περὶ τοὺς γονέας τοιοῦτος, ἄλλος πρὸς ἡμᾶς ἀνεφάνη; Οὐδαμῶς. Καὶ γὰρ οἰκοῦσι τὴν φρουρὰν ὀλίγου δεῖν τρία ἔτη, πολλὰ νοσήμαθ' ἡμῖν ἐπέσκηψε, καὶ διηνώχλει πικρὸν ἄχρι βάθους εἰσδυόμενα, καὶ δὴ καὶ σπλάγχνων αὐτῶν καὶ κεφαλῆς μὴ φειδόμενα· ἐπεὶ δὲ ἐλπίζειν οὐκ ἦν λυθήσεσθαι, ὅσα γε εἰς λογισμοὺς ἧκει, κατηνάγκαζε τὸ πρᾶγμα καὶ αὐτὴν δὴ τὴν ζωὴν, τὸ πᾶσι φίλον, ὥσπερ μισεῖν οὕτω λυπηρὰν οὖσαν.

A nus ab omni illa molestia, quam triste illud tempus nobis invexisset, liber evaderet, possetque bona consequi, ac spes esset, nos deinceps liberaturum, ut ab illis ipse vinculis liber evasisset. Maluit nihilominus eodem nobiscum teneri carcere, qui ipse per se mors videbatur, ac abunde mortis gladio consciscendæ metum ingereret. Quamobrem ut spectes animi propositum, mortem obiit ob nudam patris suspicionem, cui innumera opponere licebat, ut quidem voluisset imperium detrectare. Nam neque deerant qui imperatori secus consulerent, in quorum ipse partes concedebam. Quid enim ille mox elapsus non pro nobis moliturus esset? Erant noctes habituræ insomnem in ea consilia vigilem quibus nos liberare posset; dilu-
B cula vero, omnia aggredientem, quæ per noctis silentia e re visa essent: ea curantem quæ operæ pretium putasset, nihilque non agentem ut congruum illa finem acciperent; promittentem, promissis sponsione caventem; sese sacramento, cum res ferret, ad eos qui possent ulcisci, obstringentem; nihil denique opportunum negotio, omittentem. Id vero auxilii quod suppetebat, gravissimis intentatis minis, ut quis corporalem nobis lesionem infligere auderet, quo loco ponam? Nihil sane adeo nobis præsens ad vitæ præsidium erat. Num vero unum hoc ac singulare præclari loco characteris, vitam ejus quantum opus est, satis insigniat? Siquidem enim ob levem eam suspicionem, nudum ipsum occupavit patris nutum, mortemque
C obivit, quæ suæ erant partes; quas non mortes, ab aperto eum periculo liberaturus, lubens obiret? Nonne Isaaci præclarus æmulator? Nonne ipsius quoque Salvatoris? Nec enim temere dictum velim: quando ille in exemplum nobis propositus est, placetque patri, ut eum æmulemur. Qui sic porro animi in parentes habebat, secusne in fratres habuit? Minime gentium. Etenim cum triennio fere in præsidio essemus (1), multæque invasissent ægritudines, atque ad ima pervadentes gravi molestia torquerent, ac neque intestinis ipsis ac capiti parcerent; cumque nulla spes esset, ut humanam rationem spectes, futuræ unquam liberationis, eo res adegit ut ipsa omnibus amica vita, præ tristi adeo ac deplorato statu, velut odio esset.

Ἀλλ' ἐν τοῖς τοιούτοις οὖσιν ἡμῖν ἦκέ τις παραμυθία πρὸς Θεοῦ, καὶ τὰς μικροῦ βεβαπτισμένας ἡμῖν ψυχὰς ὑπὸ τοῦ πλήθους τῶν δυσχερῶν ἐκούφισέ τε ἱκανῶς, καὶ προσανέσχεν ἐπὶ καιρόν. Ἡ δὲ ἦν (τὸν δὲ τρόπον σιωπῶ, παρέλκον ὄν γε ῥηθῆναι)· αὐτὸν ἐξελθεῖν ἐκεῖθεν μετὰ συνθηκῶν τινων βεβαιωμένων ὅρκῳ· καὶ αἱ συνθῆκαι δόλῳ μὲν ὑπὲρ ἡμῶν μηδέν τι τὸ παράπαν ἐπιχειρῆσαι, ἐξεῖναι δὲ αὐτῷ καταλλαγῆς ἕνεκα δέους ἐκτὸς διαλέγεσθαι τῷ βασιλεῖ τε καὶ ἀδελφῷ πᾶν ὅ τι βούλοιτο. Τοῦτό γε εὐθὺς ἀκουσθὲν ἐμοὶ, ἐποίει ῥᾷον διακεῖσθαι τὴν

D Cæterum ita rebus nobis comparatis, quædam cœlitus consolatio affulsit, peneque obrutos tot tristibus animos, quod satis videretur tristitia levavit, malumque ad tempus mitius reddidit. In eo erat illa consolatio (modum taceo quem sit superfluum referre) ut Theodorus, pactis quibusdam juramento firmatis, inde exiret. Ita porro, utique dolo hostium, pactum erat, ut nihil ille pro nobis moliretur: licere tamen, ut cum imperatore ac fratre pacis causa loqueretur, quidquid placuisset. Ut mox audivi, cœpi animæquior fieri, nec

(1) *Cum fere triennio in præsidio ageremus.* Detinente Andronico, Bajazetes truncandos suadebat, ut habet Laonic. l. II, sed necdum Andronicus sic exuerat hominem, ut ita posset in viscera sævire. Plura ac scitu digna epistolæ Demetrii in Regia Bibl. ac ea in primis, qua gratulatur iis, qui post carcerem ab eo liberati, jam cum imperatore versarentur. Videndus quoque Franz. l. I, c. 18, ea perstringens, et ut Manuel cum patre fuga elapsi, adierint et ipsi Bajazetem, ac gratiam cum imperio impetrarint.

Digitized by Google

egit : sic vincebat universis. Ita vero aptus erat, sicque universorum animis congruebat, opportune agens omnia, ac omnes sincere colens, quanquam nullis noxie indulgeret, ut ipsi non raro actores, beneficii se reos agnoscerent, ac agerent gratias, cum etiam causa cecidissent, ac essent frustrati fine supra quam alii, cum voti compotes affecti optata accepere. Accidit enim, ut nihil etiam dans, delectes, utque vicissim dando displiceas. Universis se communissimum permittebat, ac maxime gratus congressionibus erat : nec quidquam tamen, morum illa ingenuitate, rebus officiebat. Erat siquidem plenus architectonica scientia, tum ad politicos mores, tum ad negotia publica, sibique satis ipse erat, ut et singulis consuesceret pro cujusque moribus utque integrum se universis servaret. Noverat ut et videretur hilarior diffundi, utque nihilominus semper principaliora opera pretium poneret ; atque ut nonnunquam res magnas ac admirandas ludi non inhonesti specie gereret.

Cum sic ergo natus esset, sicque voluntatis haberet, ac ita fuisset institutus, bonaque adeo indole ac ingenio facili præditus esset ; in parentes quidem probe implevit, ut quid parentes natorum pietate præstanda optare possint : summo amicis amori fuit ; universis exstitit portus, omnisque eis generis bona conciliavit. Præclaræ adeo res, hostes quoque infensissimos, ad pacis ambienda fœdera, omnique modo exquirenda, impulerunt, atque ut semel inita, rata manere omnino enitérentur. Id porro agebat viri virtus, cujus illi formidine eos postmodum horrebant, quibus fortuna efferente, terrorem pridem injecerant. Jam enim facta rerum mutatione ; quippe in contrarium omnino versæ erant, ac nostræ quidem florebant, illorum autem diffluxerant : utique necesse erat, ut et ii de sententia decedentes, tempori inservirent. Ea itaque in eum præstabant, quæ olim decessores in ipso soliti erant ; eamque diem festæ lucis loco habebant, qua per nuntium aliquid ab eo epistolarum accepissent. Quod si etiam aliquid pollicebatur (id sane ab impensiori præstantia, ut magis præcipere quam polliceri videretur), occinebant gaudio accepta epistola, rem gestam pacis argumentum habentes, quam quidem haud propter se diligebant, sed ne perire contingeret per ejus absentiam : quod pridem secus existimabant. Sic virtus, quam fortuna præstat, per quam superbia hostium, cum eos postea spes fefellisset, plurimun fecit risum.

Hæc hactenus velut summa diximus, quibus abunde declaratam puto viri indolem, ut multis laudibus esset digna : sin autem singula quoque prosequi oporteat, dicam compendio, quanta fuerit facultas. Ut enim beatæ memoriæ viri hujus præclara gesta diffusius narrentur, iis potius congruat, quorum sit insituti, ut rerum gestarum contexant historias. Quin et eadem quoque ratione ne illi quidem gesta omnia percensuero. Uti enim rerum ab eo gestarum magnitudo prohibet, ut ne

A καὶ οὕτω ταῖς ἁπάντων συμβαίνων γνώμαις, μετὰ τοῦ καιροῦ τὰ δέοντα ποιῶν, καὶ γνησίως πάντας μετερχόμενος, οὐ μήν τισι πρὸς βλάβην χαριζόμενος, ὡς καὶ πολλάκις χάριν ὁμολογοῦντας εἰδέναι τοὺς ἐπαγγέλλοντας ἔχειν, εἴ ποτε καὶ τοῦ σκοποῦ διημάρτανον, ἥπερ ἄλλοι τοὺς λαβόντας ὧν ἐπεθύμουν. Ἔστι γὰρ καὶ δόντα μηδὲν εὐφρᾶναι, καὶ τοὐναντίον αὖθις εὑρεῖν. Ἦν μὲν κοινότατος ἅπασιν· ἦν δὲ ταῖς συνουσίαις χαριέστατος, καὶ διὰ τὸ τοῦ ἤθους ἐλεύθερον οὐδ' ὁπωστιοῦν πράγμασι λυμαινόμενος. Ὑπῆρχε γὰρ πληρέστατος ἀρχιτεκτονικῆς ἐπιστήμης εἴς τε τὰ πολιτικὰ ἤθη εἴς τε τὰ κοινὰ πράγματα· καὶ ἐξήρκει γε συνεῖναι καὶ χωρὶς ἑκάστοις πρὸς τρόπου, καὶ αὖθις πᾶσιν ὁμοῦ. Ἥδει τε δοκεῖν διαχεῖσθαι, καὶ ἀεὶ τὰ καιριώτερα B προύργου τίθεσθαι· καὶ κατασκευάζειν ἐνίοτε μεγάλα τε καὶ θαυμαστὰ πράγματα μετὰ παιδιᾶς οὐκ ἀσέμνου.

Οὕτω τοίνυν φύσεως ἔχων καὶ προαιρέσεως, παιδεύσεώς τε καὶ δεξιότητος, ὑπῆρχε μὲν τοῖς αὐτοῦ πατράσι καλῶς πληρῶν, ἃ δὴ πατέρες εὔξαιντ' ἂν παρὰ τῶν υἱῶν ἴσχειν, ὑπῆρχε δὲ τοῖς φίλοις ἐρασμιώτατος· ἦν δὲ τοῖς πᾶσι λιμὴν, καὶ παντοδαπῶν ἀγαθῶν πρύτανις. Ταῦτα καὶ δυσμενεστάτους ἀνέπειθε σπονδῶν μὲν ἄγαν ἐπιθυμεῖν, πάντα δὲ τρόπον ζητεῖν, ὅπως αὐτῶν τύχοιεν· καὶ τυχόντας, ἅπαντα πράττειν, ὥστ' ἐπιμεῖναι τῷ πράγματι. Αἴτιον δὲ ἡ ἀρετὴ τοῦδε τἀνδρὸς, δι' ὃν ὠῤῥώδουν C οὓς γε ἐφόβουν οἱ διὰ τὴν τύχην ἐπαιρόμενοι. Μετακεκλημένων γὰρ τῶν πραγμάτων· καὶ γὰρ ἀντέστραπτο παντελῶς, καὶ τὰ μὲν ἡμέτερα ἤνθει, τὰ δὲ ἐκείνων κατερῥύηκει· χρεὼν ἦν δήπου κἀκείνους μεταβαλόντας συμφέρεσθαι τούτοις. Ἦν οὖν ἐκείνῳ παρ' αὐτῶν, ἃ πρὶν ἐκείνοις ἐκ τῶν πρὸ τοῦδε· καὶ ἦγον ταύτην ἑορτὴν τὴν ἡμέραν, ἐν ᾗ τις παρ' ἐκείνου πρὸς αὐτοὺς ἦκε βραχύ τι γράμμα κομίζων. Εἰ δὲ καὶ ἐπήγγελλέ τι, οὕτω δ' ἐξ ὑπεροχῆς, ὡς μᾶλλόν γε προστάττειν ἢ ἐπαγγέλλειν ἐπῇδον οἱ δεχόμενοι τὴν ἐπιστολὴν, τεκμήριον ἡγούμενοι εἰρήνης τὸ πραχθέν· ἣν οὐκ ἠγάπων δι' αὐτὴν, ὅπερ ἔδει· τὸ δὲ μὴ διαφθαρῆναι ταύτης ἀπούσης, ὅπερ ἐναντίως πρόσθεν ἐνόμιζον. Οὕτως ἀρετὴ κρείττων τύχης, ἧς ἕνεκα οἱ δυσμενεῖς ἀλα- D ζονευόμενοι, εἶτα τῶν ἐλπίδων ψευσθέντες, γέλωτα προσωφλήκασιν οὐ σμικρόν.

Ταῦτα ὡς ἐν κεφαλαίῳ ἡμῖν εἴρηται· καὶ νομίζομεν καλῶς ἀποδεδεῖχθαι τὴν τοῦδε φύσιν, ὡς ἦν ἀξία πολλῶν ἐπαίνων· εἰ δὲ προσδεῖ καὶ τῶν καθέκαστα, λέξων ἔρχομαι κατ' ἐπιτομὴν ὅσον οἷόν τε. Τὸ γὰρ δὴ λέγειν ἐκτάδην τὰ εἰργασμένα τῷ μακαρίτῃ τοῖς ἔργον ἔχουσιν ἱστορεῖν οἰκειότερον ἂν γένοιτο. Οὐ μὴν ἀλλὰ διὰ τὴν αὐτὴν ταύτην αἰτίαν οὐ πάντα καταλέξομεν, ὅσαπερ ἐκείνῳ διεπράττετο. Ὥσπερ γὰρ τὸ μέγεθος τῶν αὐτῷ πεπραγμένων εἴργει πρὸς ἕκαστον ἐπεκτείνεσθαι, οὕτω καὶ τὸ

Digitized by Google

πλῆθος οὐ συγχωρεῖ διαζωγραφεῖν ἑξῆς ἅπαντα. Οὐ γὰρ εὐαρίθμητα πάντως. Οἶμαι δὲ μὴ εἶναι τοῦτο πρὸς γνώμην ὑμῖν, λέγω τὸ μὴ τἀκείνου πάντα διεξιέναι. Ἐπιθυμεῖτε γὰρ ἰδεῖν, εὖ οἶδα τοῦτο καὶ πάνυ πέπεισμαι, ὥσπερ τινὲς ἐν πίνακι γεγραμμένας τὰς τῶν ἐρωμένων εἰκόνας, τὸν βίον πάντα τοῦδε τἀνδρός, ὡς ὅλον ὄντα θαύματος ἄξιον. Δόξομεν δ' ἴσως καὶ ἀδικεῖν τὸν τῶν ἔργων ἀρχιτέκτονα, εἰ μὴ τὸ πᾶν ἐξείποιμεν ἀκριβῶς, ὅσον ἐκείνῳ κατείργαστο. Ἐγὼ δ' ὑμῖν συμφωνῶν, ὅσα γε πρὸς μόνον τὸ θέλειν, εἶτα παραιτήσομαι διὰ τὸ τοῦ πράγματος πρόσαντες, εἰ μὴ δυναίμην ἀκολουθεῖν τῇ θελήσει. Νικᾷ γὰρ δήπουθεν ἀτεχνῶς τὸ παρὸν ἐγχείρημα τὴν ἡμετέραν ἰσχύν, οὖσάν γε καὶ οἴκοθεν ἀδρανῆ, καὶ πλέον γινομένην ἐξίτηλον τῷ τοῦ λόγου σχήματι. Οὐκοῦν ἐκ τῶν πολλῶν τε καὶ καλῶν καὶ μεγάλων, ἅτινα πάντες ἐκείνῳ σύνιστε πεπραγμένα, ὃς πρὸ μικροῦ μεθ' ἡμῶν ἦν νυνὶ δὲ γέγονεφεῦ! τῶνδε τῶν θρήνων ὑπόθεσις, ὀλίγα λέξομεν ἤδη καὶ κατ' ἐπιτομήν, ὥσπερ εἴρηται. Τοιαῦτα μέντοι γε πάντως, οἷά περ δείξει τὸν ἐργασάμενον ἀληθῆ καρπὸν ὄντα τῇ κοινῇ ταύτῃ φύσει, καί τινα φιλοτιμίαν ἐξαίρετον. Οὐ τοίνυν τῷ μὴ πάντα κατὰ μέρος διεξιέναι νομιστέον ἡμῖν ἂν εἴη τὸν ἄνδρα τοῦτον ἔλαττον σχήσειν εἰς εὐδοξίαν. Τὸ γὰρ περιὸν ἐκείνου τῆς ἀρετῆς τὸ ἡμέτερον ἐνδέον ἀναπληρώσει. Ἀρκέσει γὰρ τὸ πᾶν ἐξεργάσασθαι καὶ ἕκαστον τῶν ἔργων τῶν αὐτοῦ, ὡς μηδὲν ὂν τῶν αὐτῷ πεπραγμένων, ὃ μὴ μεγίστων εὐφημιῶν ἄξιον· εἰ μή τις μειρακιωδῶς ἔχων, ἐξ ἐπιπολῆς τι θεάσαιτο. Κἀκεῖνο δ' ἂν εἴποιμι, ὅτι πολλάκις κἀκ τῶν σμικρῶν καὶ ἁπλουστέρων εἶναι δοκούντων, εἴ γέ ἐστι καίρια, οὐχ ἧττον φύσις γνωρίζεται ἢ ἐκ τῶν πολλῶν καὶ παντοδαπῶν ἔργων, ῥυθμῷ καὶ τάξει δεδηλωμένων. Λέγω δὲ καίρια, ὅσα πέρ ἐστι δηλωτικὰ φυσικῶν ἰδιωμάτων, δι' ἃ τις ἔχει ψυχὴν εἰδέναι, ἐρῶσαν ἀγαθὴν εἶναι. Ὅθεν ἀνθέξομαι τῆς βουλῆς, ὀλίγα τῶν ἐκείνου διεξιών, καὶ συνελών, ὡς οἷόν τε.

Cæterum ingenui quoque ac nobiles quidam, cum præter decorum omne in hostium tunc castris militarent, quod et habeat admirationem, et ipsi capti sunt. Plane vero secus oportebat, multis de causis. Nam nos sanguine contingebant; eos demeruramus, cum illi priores nihil contulissent; acceperant non modicos honores; ultro se sacremento obstrinxerant, cujus religionem etiam homo ferus revereatur ac velit integram: offenderant, cum nihil fuissent læsi; pro eo ut darent pœnas, cum nobis esset in promptu ulcisci, auxilium potius secundo impetrarant, eo eis bello infesto, quo cum paulo post, bello in nos conflato, turpe id factu ac atrox, manus auxilio junxerunt. Plane operæ pretium erat, ut et vitam nostri causa spernerent; ii vero, cum ita operæ pretium esset, nihil ejusmodi in animum inducentes, nihil nisi nugas omnia cogitabant, cum vir quisque sapiens, ne minimum quid negligendum putaturus esset. Cæterum, cui plurium aliorum, eorumque majorum ac clariorum tropæorum accessione, hoc quoque, splendidum illud excitatum esset, ingenue ac clementia illis utens, domum abire permisit; quanquam nihil grati animi monumento ab eis accepturum speraret. Quamvis enim ex iis quæ præcesissent haud obscura futurorum notio haberetur, ille nihilominus a natura comparatum habens, ut bonus esset, haud sibi faciebat satis, nisi ipsos quoque hostes demereretur. Quamobrem, etsi anteriora liquido futura indicarent, ipse tamen id solum spectabat quod honestum esset, ac ne re ulla a decoro decederet. Eos porro qui boni esse renuerent, timebat quidem quam minimum, quam maxime autem miserabatur.

A νός τε καὶ περιστοιχιζόμενος, καὶ θαῤῥῶν πολυχειρίᾳ καὶ σιδηρᾷ φάλαγγι, οὐδὲ γοῦν συμπλακῆναι τότε ὑπέστη· ἀλλ' οἶμαι καὶ τῶν ἄλλων πρῶτος ἐτράπετο πρὸ τῆς συμπλοκῆς, ὥραν εἶναί οἱ νομίσας ἀντὶ δόρατος καὶ ξίφους κέντροις τε καὶ μάστιγι καταχρήσασθαι. Καὶ τοίνυν ἐκ τοὐπίσω ταῖς ἡνίαις τὸν ἵππον στρέψας, δοὺς τὰ νῶτα τοῖς διώκειν βουλομένοις, ὁ δὲ ἔφευγεν. ἕως εἶλε τοῦτόν τις ταῖν χεροῖν, ἀλλ' οὐκ αἰχμῇ. Οὗτος δὲ τίς; Ὁ στρατηγός; Οὐδαμῶς· εἰ γὰρ ἐχρῆτο ταῖν χεροῖν, ὥσπερ ἐχρῆν καὶ τοῖς ὅπλοις, ὁ τῆς Ἀχαΐας τότ' ἄρχων, μὴ ἂν αὐτὸν οἶμαι ἑλεῖν μηδένα ἕτερον τῶν ἁπάντων πρὸ τοῦ τῆς στρατιᾶς ἡγεμόνος. Ἦν γὰρ πάντα ἀγαθὸς καὶ ἀνδρεῖος· Ῥαοῦν γὰρ ἦν ὁ χρηστός· ὃς καὶ παρ' ἐμοὶ μένων ἔτι, καὶ ἐνταυθοῖ παραγεγονὼς οὐδένα λέληθε, βέλτιστος ὤν. Ἐπεὶ δ' ἐκεῖνος πτερῶν ἐδεῖτο, ἀμεταστρεπτὶ φεύγων, οὐκ ἐξῆν τῷ στρατηγῷ μακρὰν ποιεῖσθαι τὴν δίωξιν, καταλιπόντι τὴν τάξιν. Ἀλλ' αἰχμάλωτος ἐκεῖνος γεγονὼς, τινὶ τῶν παρ' ἡμῖν εὐγενῶν, ἢ τῶν ἀνδρείων ὅλως ἐγένετο; Οὐδαμῶς· οὐδενὶ οὔτε τῶν τοιούτων, οὔτε τῶν ὅλως μετεχόντων φρονήματος· ἀλλὰ τῷ τῇ σάλπιγγι τῇ στρατιᾷ τὰ πρακτέα σημαίνοντι αἰσχρῶς αὐτὸν ἔδωκεν, ἱκετεύων ὑπὲρ τῆς ζωῆς μόνης.

Οὐ μὴν ἀλλὰ καὶ εὐγενεῖς τινες ἄνδρες, παρὰ τὸ προσῆκον ἅπαντες τότε καθ' ἡμῶν, ἐάλωσαν· ὃ δὴ καὶ παρεῖχε θαυμάζειν. Τοὐναντίον γὰρ ἐχρῆν πολλῶν ἕνεκα. Τίνων; Προσήκοντες ἦσαν ἡμῖν καθ' αἷμα· εὖ πεπόνθασι παρ' ἡμῶν, μηδὲν προεισενεγκόντες· τιμῆς ἀπέλαυσαν οὐ σμικρᾶς· ὅρκους ἐκουσίους παρέσχον, οὓς κἂν ἀνὴρ ἀγροῖκος ὁμωμοκὼς, ἠδέσθη τε διαπαντὸς, καὶ διετήρησεν ἀκριβῶς· προσκεκρούκασιν, ἠδικημένοι μηδ' ὁτιοῦν. Ἀντὶ τοῦ δίκην δοῦναι, παρὸν, οἱ δὲ καὶ βοηθείας αὖθις ἐτύγχανον παρ' ἡμῶν, ὑπ' ἐκείνου πολεμούμενοι, ᾧ γε μικρὸν ὕστερον καθ' ἡμῶν συνεμάχουν, αἰσχρόν τι καὶ ἀνόσιον μᾶλα δρῶντες. Ἔδει μὲν γὰρ καὶ τῆς ζωῆς ὑπὲρ ἡμῶν αὐτοὺς ἀλογῆσαι, τούτου δεῆσαν· οἱ δὲ, μηδὲν, ὡς ἔοικε, προσῆκον ἐνθυμηθέντες, οὐδὲν ἢ λῆρον πάντα ἐνόμισαν· ὧν καὶ σμικρότατον οὐκ ἂν ὑπεροπτέον ἐδόκει οὐδ' ὁτιοῦν νοῦν ἔχοντι. Ἀλλ' ᾧ καὶ τοῦτο τὸ λαμπρὸν ἔστη τρόπαιον πρὸς πολλοῖς καὶ μείζοσι καὶ καλλίοσιν ἑτέροις, εὐγενῶς καὶ φιλανθρώπως αὐτοῖς χρησάμενος, οἷα δὴ τούτους εἴασεν ἀπελθεῖν, καίτοι μηδὲν ἐλπίζων παρ' αὐτῶν εὔγνωμον ἀπολήψεσθαι. Εἰ γὰρ καὶ τὸ μέλλον σαφὲς ὑπῆρχε τοῖς ἤδη πεπραγμένοις, ἀλλὰ ὁ πεφυκὼς ἀγαθὸς εἶναι οὐκ ἠγάπα, εἰ μὴ καὶ τοὺς ἐχθροὺς εὖ ποιήσειε. Καὶ διὰ τοῦτο, τῶν προλαβόντων σαφῶς δηλούντων ὅπως ἔσται τὰ μετ' ἐκεῖνα, ἐκεῖνός γε πρὸς μόνον ἔβλεπε τὸ καλὸν, καὶ τί ἂν πράξας, μὴ παρεξέλθοι τοῦ γε καθήκοντος. Τούς τε οὐκ ἐθέλοντας ἀγαθοὺς εἶναι ἐδείδιει μὲν ὡς ἥκιστα, ἠλέει δὲ ὡς μάλιστα. Βίαιον γάρ τι τὸ πεφυκός· κἂν ἐκεῖνο πρός τι καθέλκῃ, οὐ δύναταί τις ῥᾳδίως ἀνθίστασθαι. Ἐκεῖνον δὲ τὸ πεφυκὸς εἰς ἀγαθὸν εἵλκε, καὶ προσῆν ἡ τοῦ βελτίονος ἕξις. Ἄμφω δὲ

Digitized by Google

ταυτὶ συνεδραμηκότα, κατεῖχεν ἀκριβῶς ἐν τῷ εὖ ποιεῖν πάντας βούλεσθαι.

A Nam natura quid violentum est; nec ut quis aliquo velit trahere, in adversam partem facile inflexerit. Trahebat illa in bonum, illique ejus ponderi, melioris habitus cumulo accedebat, quæ ambo sic conserta, in proposito demerendi omnes perfecte tenebant.

Περὶ δὲ τῶν αὐτομολησάντων εἰς τοὺς ἐχθροὺς, καὶ μετὰ τῶν λύκων ὡς εἰπεῖν γενομένων, καὶ ἐπιθυμούντων μὲν ἐσθίειν τὰς τῶν ὁμοφύλων σάρκας, ἐσθιόντων δὲ τὰς ἰδίας, τί ἂν τις λέγοι; Μακρὸν τἀκείνων διεξελθεῖν· καὶ βέλτιον ταῦτα παραδραμεῖν ἢπερ ἐπιτίθεσθαι μελαγχολίᾳ νοσήσασιν ἀνθρώποις. Ὅλως δὲ, εἴπερ οὐ καλὸν ἦν ἐκείνοις τὰ κάκιστα δεδρακέναι, οὐδὲ ἐμοὶ δήπου φέρεσθαι κατὰ τῶν ἀνθρώπων. Ἐρῶ δὲ, τί τὸ πεῖσαν αὐτοὺς καθ' ἡμῶν θρασύνεσθαι, μηδὲν ἐγκαλεῖν ἔχοντας, ἢ τὸ μὴ θέλειν ἄρχεσθαι ὑφ' οὗ γε δίκαιον ἦν.

Quid enimvero de iis dicere spectat, qui ad hostium castra perfugissent, ac cum lupis, ut ita dicam, versarentur, qui quidem gentilium suorum carnes comedere cuperent, suasque ipsi comederent? Prolixum esset ab eis perpetrata referre, præstatque omittere, quam sic atra bile laborantibus insultare. Prorsus vero ut neque illi operæ pretium habebant pessima patrare, sic nec ego habeam ut in illos ferar. Dicam vero, unde ille eis animus coaluisset, ut in nos ita insolescerent, qui nihil criminandum haberent, quam quod nollent ejus B subdi imperio, cui jure subditi essent.

Ἴστε που τὸν Πέρσην ἐκεῖνον, τὸν Παγιαζίτην λέγω, τὸν Ἀσίας ἄρχοντα, τὸν Εὐρώπης κύριον, ὃς ἀφόρητός τις ὢν, οὐδὲ φορητὸν ἡγεῖτο, ἄρχοντά τινα Χριστιανὸν ὀνομάζεσθαι. Οὗτος ἦν ἡ τούτων θρασύτης· τούτου τῇ δυνάμει θαῤῥοῦντες, καὶ πρός γε ἔτι τῇ δυσμενείᾳ τῶν γειτονούντων ἡμῖν Λατίνων, τοῖς καθ' ἡμῶν ἐπεχείρουν· ἀλλὰ μὴν καὶ οὗτος αὐτὸς ὁ δυσμενέστατος θὴρ, ἀμφοτέροις θαῤῥῶν, τοῖς ἡμῶν ἐπέθετο πράγμασι· καὶ θατέρῳ θάτερον μέρος καὶ ἠκονᾶτο, καὶ παρωξύνετο κατὰ τοὺς τῶν χοίρων ὀδόντας.

Scitis plane Persam illum, Bajazetem dico, Asiæ imperantem, ac Europæ dominum, ut gravis ac intolerabilis exsistens, ne ferendum quidem in Christianis principis nomen putaret. Hic illis addebat animos. Ejus freti potentia, nec non vicinorum nobis Latinorum hostili feritate, nostris imminebant rebus: sed et ferissima bellua utrisque fidens, in nos invadebat; ambæque partes, partem alteram, ringentium porcorum more, vicissim acuebant ac irritabant.

Εἶεν· βούλομαι δὲ καθόλου λόγον εἰπεῖν, τὸν δεῖνα καὶ τὸν δεῖνα παραδραμών· φημὶ δὴ, τοὺς αὐτομολοῦντας Χριστιανοὺς τουτοισὶ τοῖς καθ' ἡμῶν ἀσεβέσι περιφανῶς μαίνεσθαι· μᾶλλον δὲ καὶ χείρω ποιεῖν τῶν βεβλαμμένων τὰς φρένας. Ἐκεῖνοι μὲν γὰρ, ἐὰν καὶ ξίφος ὦσωσι καθ' αὑτῶν, οὔτε τὰς αὐτῶν ψυχὰς ἔβλαψαν, καὶ μίσους μὲν οὐδαμῶς, ἐλέους δὲ παρὰ τῶν ὁρώντων τύχοιεν ἄν· τούτους δὲ πολλὴ ἀνάγκη μῖσος ἔχειν ἐν σωφρονοῦσιν, ἐθέλοντι τὰς ἑαυτῶν μολύνοντας ψυχὰς διὰ πασῶν τῶν αἰσθήσεων. Ἐπιθυμοῦσι γὰρ εὑρεῖν, ὧν ἕνεχ' ἥκον τὸ καταρχὰς εἰς τοὺς τῆς πίστεως ἐχθρούς· πλοῦτόν τε λέγω, καὶ δόξαν, καὶ ὅσα γε τῷ τῇδε βίῳ τερπνά· ἀμήχανον δὲ τούτων τυχεῖν, μὴ ἡδεῖς φαινομένους ἐκείνοις, πρὸς οὓς γε ηὐτομόλησαν· ἡδεῖς δὲ τούτοις φαίνεσθαι οὐ τῶν ἐνδεχομένων ἐστὶ, μὴ πρότερον ἅπαντα διαπραττομένους, οἷς ἐκεῖνοι χαίρουσι· τοῦτο δέ ἐστι πάντως βαρβαρικῶς τε ζῆν, καὶ ἀθεμίτοις πράξεσιν ἑκοντὶ τὰς ἑαυτῶν μολύνειν ψυχάς. Τὰ τούτοις ἄρα συμβαίνοντα τὰ τοῖς μαινομένοις ὑπερηκόντισε· καὶ μίσους μὲν ὅτι πολλοῦ, ἐλέους δὲ οὐδενὸς ἄξιοι πᾶσι κριθήσονται, τῷ τε γνώμῃ τοῖς κακοῖς ἑαυτοὺς ἐκδιδόναι, τῷ τε τὴν ψυχὴν ἀντὶ τοῦ σώματος βλάπτειν· τὸ δὲ πάντων σχετλιώτατον, ὅτι τὸ μὲν τὰς ψυχὰς προδιδόναι, καὶ τὴν αὐτῶν τιμὴν καθυβρίσαι, καὶ πᾶν τὸ γένος, πᾶσα ἀνάγκη· ἀνθ' ὧν δὲ ταῦτα πράττειν προάγονται, ἢ οὐδὲ τὴν πρώτην αὐτοῖς παραγίγνεται, ἢ οὐκ ἐπὶ μακρῷ παραμένει, ὁπόταν καὶ παραγένηται. Ὅθεν καὶ δίκην πομφόλυγος ὀξέως ἄγαν ὑπερφυσώμενοι, λέγω δὲ τοὺς γε δοκοῦντας παρὰ τοῖς ἀσεβέσι χώραν εὑρηκέναι καλλίστην, ὀξέως ἄγαν καὶ διαῤῥήγνυνται,

Sic vero habet (porro lubet universe dicere, ut prætereamsingulos); habet, inquam, ut Christiani in infidelium nobis hostium castris perfugæ liquido insani sint, atque adeo iis deteriora agant, qui C læso cerebro sunt insani. Illi quippe, vel si gladium in se adigant, nihil tamen læserint animas: nullumque inde contrahant odium, sed multam potius miserationem videntibus faciant: cum illos omnino necesse sit apud sobrios quosque sibi odium conflare, qui sponte per sensus omnes animas suas polluant. Ea enim oppido cupiunt invenire, quorum causa a principio ad fidei hostes defecere; nempe divitias, et gloriam, ac si qua sunt delectabilia hujus vitæ: fieri autem non potest, ut hæc ab illis consequantur, nisi se iis gratos componere studeant, nisi præstent omnia quibus illi gaudent; id autem haud omnino aliud sit, quam more barbari vivere, ac sponte se nefariis D actionibus contaminare. Quæ ergo illis accidunt, longe iis sunt deteriora, quæ furiosis, summoque omnibus odio, nulla autem miseratione prosequendi videantur, tum quia sua se voluntate malis dedant, tum quia corporis loco lædant animam: ac quod omnibus miserabilissimum videatur, quod omnino necessum habeant ut perdant quidem animas, suumque ipsorum honorem, ac genus universum probro afficiant. Cæterum, quæ ad hæc impellat causa, vel a principio nulla exsistat, vel ut aliquando exstiterit, haud admodum sit duratura. Quamobrem etiam ad instar bullæ cito inflati ac tumentes; qui, inquam, locum optimum ac fortem apud infideles nacti videntur: cito dirumpuntur, inanes-

Digitized by Google

que illis animi ac flatus in nihilum cedunt. Jure id quidem. Ut enim eorum segnius voluntates sequantur, suspectiores effecti, mox contemnuntur, tanquam eorum studiis minus congruant : ac quanto putas habentur despicatui ? Sin autem faciles accedant, iis quæ visa sint Barbaris, velint illi eorum legibus ac moribus uti, utque dira immanitate genus perdere satagant ; hac quoque non immerito odium referunt, propter illam in genus ac suos crudelitatem : nec propter mutatos mores, ac quod ad institutum aliud commigrarint, laudem ab eis habent, tanquam visi faciles ad quæ quis velit. Quamobrem etiam non eis credunt, ut sint in secundis perseveraturi. Jure equidem. Qui enim facile adeo mores conculcavit quibus consuevisset, qua sit ratione accurate servaturus, quos nuper amplexus est ? Item qui malus est in genus ac suos, utique et in seipsum. Nam pars continetur in toto. At qui malus est in seipsum, in quem alium possit bonus esse? Quin imo ut diligentius attendamus, hic talis suæ ipsius conscientiæ odibilis est : qui vero non universis? Verum quid hæc dico, qui possim quod est majus ostendere ? Neque enim sinceram in Christum fidem ac confessionem servare possunt. Ut quid vero ? Qui enim pactis cum Christo juratis, supremam in eum amicitiam odiumque in dæmones polliciti sunt ; secus tamen deinceps præstant. Imo sit apertius dicendum ac mali indicanda gravitas, quanta sit : qui lubentes cum Mahomethanis agunt, eisque, cum fidei hostes exsistant, contra nos auxilium ferunt, inimica acie adversus Salvatorem ac Dominum Jesum, qui exsistat fidei auctor, consistunt, palamque in eum bellum gerunt.

Sed et aliud non bonum sequitur, nisi velis valde malum. Suis quippe illi rebus ac gestis Mahomethem prophetam ostendunt. Nam scelestus homo, gentibus a se deceptis, ac compulsis in errorem, victoriam de nostra ac Christianorum gente promisit. Qui ergo illis ad victoriam opem ferunt, mendacio utique fidem astruunt. Quamobrem, uti dicebam modo, nostri illi hostes in infidelium castris perfugæ, insano palam furore feruntur, ac iis qui læsos habent renes, deteriora faciunt : ac plane, cum in se ipsi gladium impellant, suas magis ipsorum animas quam nos impetunt.

Resumpto autem sermone, quæ sunt deinceps prosequamur. Invicem se ad mala provocabant, satrapa pariter, quique apud eum perfugæ erant : ac qua ratione vector actuario remis utens, scapham quidem remigio agit, ipseque vicissim ab scapha rapitur : sic illi quoque, cum in nos, per summam injuriam infidelos illos agerent, ipsi ab eis vicissim raptabantur. Invicem itaque provocantes, invicem irritantes, ac sibi mutuo stimulus, uti in pueros in vos invaserant, ac multa vi, vestra omnia transversum agentes, labefactaturos putabant, tametsi nihil conficiebant, ejus siquidem virtus obsistebat, quem illi expugnabant ;

A καὶ εἰς οὐδὲν αὐτοῖς τελευτᾷ τὸ κενὸν φρόνημα. Εὐλόγως. Εἰ μὲν γὰρ νωθροί τινες εἶεν πρὸς τὸ ἐκείνων θέλημα, ὕποπτοι γενόμενοι, εὐθὺς καταπεφρόνηνται, ὡς μὴ συμβαίνοντες αὐτοῖς· καὶ παρορῶνται, πῶς οἶει· εἰ δὲ ῥᾳδίως προστρέχοντες, οἷς ἂν οἱ βάρβαροι βούλοιντο· βούλοιντο δ' ἂν καὶ ἔθεσι καὶ νόμοις τοῖς αὐτῶν τούτου χρῆσθαι, καὶ τὸ γένος ἀφειδῶς διαφθείρειν· μισοῦνται μὲν μάλα δικαίως ἕνεκα τῆς εἰς τὸ γένος ὠμότητος· τῆς δὲ τοῦ ἤθους μεταβολῆς, καὶ τῆς τοῦ βίου μεταπτώσεως, ἐπαίνων οὐ τυγχάνουσι παρ' αὐτοῖς, ἅτ' εὐχερεῖς φαινόμενοι πρὸς ὅ τι ἄν τις βούλοιτο. Διὰ δὴ τοῦτο οὐδὲ πιστεύονται, ὡς ἄρα γε μενοῦσιν ἐν τοῖς
B δευτέροις. Εἰκότως. Ὁ γὰρ εὐκόλως ἔθη καταπατήσας, οἷς συμβεβίωκε, πῶς ἂν τηρήσειεν ἀκριβῶς, ἅπερ ἐξ ὑπογυίου ἐδέξατο; Καὶ αὖθις ὁ τῷ γένει κακὸς καὶ ἑαυτῷ δηλονότι· ἐν γὰρ τῷ καθόλου τὸ μέρος. Ὁ δὲ ἑαυτῷ κακὸς πῶς ἂν ἑτέρῳ χρηστός ; Οὐ μὴν ἀλλ' εἰ καὶ τοῦτο θεωρήσαιμεν ἀκριβέστερον, ὁ τοιοῦτος καὶ τῷ ἰδίῳ συνειδότι μισητὸς καθίσταται. Καὶ πῶς οὐκ ἂν ἅπασιν ; Ἀλλὰ τί ταῦτά φημι, ὅπου γε τὸ μεῖζον ἔχω δεικνύναι ; Οὐδὲ γὰρ τὴν εἰς Χριστὸν ὁμολογίαν καὶ πίστιν οἷόν τε τηρεῖν αὐτοὺς ἀκραιφνῆ. Διατί ; Ὅτι τῷ Χριστῷ συνταττόμενοι, φιλίαν μὲν αὐτῷ τὴν ἐσχάτην, ἔχθραν δὲ τὴν πρὸς τοὺς δαίμονας ὑπισχνοῦνται· εἶτα τοὐναντίον ποιοῦσι. Μᾶλλον δὲ σαφέστερον εἰπεῖν χρή, καὶ δηλῶσαι τὸ κακὸν, ὅσον· τοῖς γὰρ τοῦ Μωάμεθ οὗτοι συνδιατρίβειν ἐθέλοντες, καὶ τῶν καθ' ἡμῶν συνεφαπτόμενοι τούτοις ἔργων, ἐχθροῖς τῆς πίστεως οὖσι, τῷ
C Σωτῆρι διαμάχονται, τῷ δεδωκότι τὴν πίστιν, καὶ φανερῶς αὐτῷ πολεμοῦσιν.

Ἔπεσται δέ τι καὶ ἕτερον οὐ καλὸν, ὅτι μὴ καὶ λίαν κακόν. Ἐξ ὧν γὰρ οὗτοι διαπράττονται, προφήτην τὸν Μωάμεθ ἀποφαίνουσιν. Ἐκεῖνος γὰρ ὁ μιαρὸς τοῖς ἐξηπατημένοις τε καὶ βεβιασμένοις ὑπ' ἐκείνου γένεσι νίκην καθ' ἡμῶν ἐπηγγείλατο· αὐτοὶ δὲ, οἷς συλλαμβάνουσιν ἐκείνοις εἰς τὸ νενικηκέναι, ἀφορμὰς παρέχουσιν εἰς τὸ πιστεύειν τῷ ψεύδει· ὥστ' ὅπερ ἔφθην εἰπὼν, οἱ καθ' ἡμῶν αὐτομολοῦντες πρὸς ἀσεβεῖς περιφανῶς μαίνονται, καὶ τῶν βεβλαμμένων τὰς φρένας χείρω ποιοῦσι· καὶ δὴ καθ' ἑαυτῶν τὸ ξίφος ὥσπερ ὠθοῦντες,
D μᾶλλον ταῖς αὐτῶν ψυχαῖς ἢπερ ἡμῖν διαμάχονται.

Ἀλλὰ γὰρ ἐχώμεθα τῶν ἑξῆς, ἐπαναλαβόντες τὸν λόγον. Παρώξυνον ἀλλήλους πρὸς τὰ κακὰ ὅ τε σατράπης, οἵ τε πρὸς ἐκεῖνον αὐτομολήσαντες· καὶ ὥσπερ τις χρώμενος ἐν ἀκατίῳ κώπαις, ἄγει μὲν τῇ εἰρεσίᾳ τὸ σκάφος, φέρεται δ' αὖθις ὑπὸ τοῦ σκάφους· οὕτως ἐκεῖνοι τοὺς ἀσεβεῖς καθ' ἡμῶν τε, ἦγον ὡς οὐκ ὤφελε, καὶ ὑπ' ἐκείνων αὖθις ἐφέροντο. Καὶ τοίνυν ὑπ' ἀλλήλων παρακαλούμενοι, καὶ ἀλλήλους παροτρύνοντες, καὶ οἱονεί τι κέντρον γινόμενοι ἑκατέροις, ὡς ἐπὶ παῖδας ἐφ' ὑμᾶς ἦεσαν· καὶ ᾤοντό γε καταστρέψεσθαι, παρασύροντες πολλῇ τῇ ῥύμῃ τὰ καθ' ὑμᾶς ἅπαντα· ἦνυον δ' ὅμως οὐδέν. Ἀντεῖχε γὰρ ἡ ἀρετὴ τοῦ πολεμουμέ-

Digitized by Google

νου· ἧς δήπουθεν τὸ περιὸν τοσοῦτον ἦν παρ' αὐτῷ, ὡς δ.δόναι παντ̃αχοῦ κρατεῖν βουλομένῳ, εὐμενὲς τὸ Θεῖον ἔχοντι.

Ἐπεὶ δὲ ἅπαντα μὲν διαπραξαμένοις τοῖς κακοδαίμοσιν εἰς οὐδὲν ἐχώρει τὰ καθ' ὑμῶν, ἐδόκει δὲ ἡ ἐν τῇ Εὐρώπῃ βαρβαρικὴ δύναμις, πολλὰ κύκλωθεν πράγματα ἔχουσα, μὴ δύνασθαι ῥᾳδίως εἰσιέναι τὸν Ἰσθμὸν, καὶ συνεχῶς τοῦτο ποιεῖν, καὶ τοῖς τοῦ σατράπου βουλεύμασιν ὑπηρετεῖν· ἀμηχανίᾳ κατασχεθέντες, εἰσηγοῦνται τούτῳ διαβῆναι τὸν Ἑλλήσποντον ἐξ Ἀσίας ἐπὶ Θρᾴκην, καὶ ταυτηνὶ παρελθόντα, ἐς Μακεδονίαν ἐπιδημῆσαι, κἀκεῖθεν μεταπέμψασθαι διὰ πρεσβείας τὸν ἐμὸν ἀδελφὸν ὡς αὐτὸν ἐλθεῖν, ἀπειλῆσαί τε δεινὰ ὑπούλῳ τρόπῳ διά τινων, ἂν μὴ παραγένηται ὑπακούσας· φανερῶς δέ δι πολλὰ καὶ μεγάλα ὑποσχέσθαι, τὰ μὲν διὰ τῶν πρέσβεων, τὰ δὲ μικραῖς ταῖς ἐπιστολαῖς· εἶναι δὲ καὶ ταῦτ' ἐν ταῖς ὑποσχέσεσιν, ἀνιάσειν μὲν ὡς ἥκιστα, τιμήσειν δὲ ὡς μάλιστα, καὶ παραπέμψειν αὐτὸν ὡς τάχιστα, καὶ μηδεμῶς μηκέτι διενοχλήσειν αὐτῷ περὶ μηδενὸς τῶν ἁπάντων.

cujus tanta in eo præstantia erat, ut ubique volenti, bene ei propitio Numine, victoriam præberet.

Quod vero omnia in vos nefariorum molimina in nihilum cederent, videreturque Barbarorum in Europa positus exercitus, multis undique obseptus negotiis, haud facile in Isthmum posse invadere, jugique incursione regionem vastare ac satrapæ servire consiliis: consilii inopes, auctores sunt, ut ex Asia in Thraciam per Hellespontum transmittat, præteriensque petat Macedoniam, ac inde per legatos fratrem meum sibi adesse jubeat, occulte vero immissis susurratoribus mala gravia comminetur, nisi morem gerens accedat; pluraque ac magna, qua per legatos, qua brevibus destinatis epistolis, promittat. Hæc autem fore promittenda: fore ut nihil contristet; ut maximis augeat honoribus, ac quam brevi remittat, nec quidquam amplius ulla prorsus re molestiam faciat.

Ταῦτα μὲν οὖν ἐκεῖνοι πρὸς τὸν σατράπην· ὁ δὲ ἐπείσθη, καὶ πάντα πράττει κακοηθέστερον ἢπερ αὐτῷ συνεβούλευον. Εἰ γὰρ φαῦλον ἐπὶ φαύλα καλέσει τις, ἢ καὶ χρηστὸν ἐπ' ἀγαθὰ, *Λυδὸν εἰς πεδίον*, φασί. Καὶ δὴ καὶ οὗτος ἐπὶ κακῷ τῶν Ῥωμαίων, ἢ καὶ κοινῇ τῶν ἀνθρώπων, προκεκλημένος, ἔτρεχε, πολλῇ κακοηθείᾳ ῥάψας τὸν δόλον. Καὶ πῶς γὰρ οὐκ ἔμελλεν οὐχ ὅπως τρέχειν, ἀλλὰ καὶ πέτεσθαι, εἴπερ ἐνῆν φῦσαι πτερὰ, ὁ τῷ Σατᾶν ὑπηρετούμενος, ᾧτινι τοῦργον οὐδὲν ἕτερον ἢ τὴ μηχανὰς κατὰ τῶν πιστῶν πλέκειν; Καίτοι καὶ οὗτος οἴκοθεν οὐδὲν ἢ δόλους ὤδινεν, ἕως ἐδεδώκει δίκην, ὧν εἰς τοὺς τῶν εὐσεβῶν ἐξύβρισε παῖδας. Καὶ τοίνυν καὶ τὴν λεοντῆν καὶ τὴν ἀλωπεκῆν ὑποδὺς, καὶ συχνῶς αὐτὰς ὑπαλλάττων, κρύπτειν ἐνόμιζε τὸν αὐτοῦ σκοπόν. Ὁ δὲ καὶ λίαν σαφὴς ἦν· ἵνα γὰρ ἕλῃ τὸν τρέχοντα, καὶ τὰς ἐκείνου παραστήσηται πόλεις, καὶ ψυχὰς ὁμοῦ καὶ σώματα διαφθείρῃ.

Ita quidem illi ad satrapam: ille porro credit' nequiusque ac illi suasissent, universa gerit. Ut enim quis in mala provocet malum, aut etiam in bona bonum, *Lydum in campum*, aiunt. Hunc ille sane modum, in Romanorum, seu etiam humani totius generis provocatus malum, sua ipse sponte incitatior currebat, multaque malitia suebat dolum. Qui enim, nedum cursu, sed et volans, ut et alæ adnasci potuissent, appeteret, qui Satanæ obsequium præstaret, cui id unum operæ pretium est, ut machinas dolosque nectat in Christi fideles? Quanquam et ipse nihil a se aliud quam dolos parturiret, donec ulciscente Numine pœnas dedit earum injuriarum, quibus fideles vexasset. Leoninam itaque ac vulpinam indutus, ambasque crebro mutans, destinatum se finem celaturum putabat. Ille nihilominus valde utique perspicuus erat. Eo quippe rem totam moliebatur, ut occurrentem caperet, ejusque urbes in deditionem acciperet, ac animas simul ac corpora perderet.

Ταῦτα μὲν οὖν τὸν ἀδελφὸν οὐ διέλαθε· πῶς γὰρ; δέει μέντοι τοῦ μὴ δόξαι μᾶλλον φιλόζωος ἢ φιλάνθρωπος καὶ φιλότιμος εἶναι δέχεται τὸν κίνδυνον ὑπὲρ τῶν πολλῶν· ὃς οὐ τοῦτον πρώτιστον, ὥσπερ οὐδ' ὕστατον, ὑπέστη. Αἰεὶ γὰρ τῆς αὐτοῦ ζωῆς ὀλίγον ἔμελεν αὐτῷ ὑπὲρ δόξης, καὶ τοῦ γένους, καὶ ἁπλῶς τοῦ γιγνομένου παντὸς, εἰδὼς καὶ τοῦτ' ἀκριβῶς, ὡς τὸ τῶν ἀρχόντων συμφέρον ἐν τῷ τῶν ἀρχομένων ἀντικρυς κεῖται. Ὅθεν τὴν ἐκείνων εὐδαιμονίαν ἰδίαν εἶναι νομίζων, τοῖς πᾶσι πάντα ἐγένετο, ἵνα πάντες εὖ πράξαιεν. Οὕτω τὰ ὑπὲρ αὐτων, ὥσπερ τὰ ὑπὲρ αὐτοῦ ἐνόμιζέ τε καὶ ἔπραττεν, εὖ ποιῶν· καὶ τὰ ἀλγύνοντα ἔφερε, καὶ τοὺς μετὰ δόξης κινδύνους ῥᾳδίως ὑφίστατο.

Haud itaque fratrem illa latuerunt: qui enim potuissent? Veritus tamen, ne vitæ amantior quam officii ac honoris videretur, periculum pro multis adit. Nec vero illud primum, uti nec postremum adiit. Semper enim minoris æstimavit vitam præ gloria ac gente, ac siquid universim operæ pretium videretur: qui hoc quoque perspicue nosset, ut magistratuum principumque utilitas in subditorum vicissim commodis posita sit. Eorum itaque felicitatem suam ipsius ratus, omnibus omnia fiebat, ut omnibus benefaceret: sic illis ac sibi ipsi conducibilia reputabat pariter agebatque, cum ita honestum suaderet; ferebatque, quæ molesta essent, ac pericula habentia gloriam facile sustinebat.

Ὅλος οὖν γέμων λογισμῶν, ὧν κἂν Πλάτωνες, κἂν Ἀλέξανδροι, ὁ πατὴρ ὑμῖν, ὁ φίλος, ὁ παιδευτὴς, ὁ φροντιστὴς, ὁ κηδεμὼν, ὁ δεσπότης, ὁ τὸν τό-

Totus ergo iis cogitatibus plenus, quibus vel Platones, vel Alexandri, pater ille vester, ille amicus; præceptor, prudentiæ doctor, curator, dominus;

Digitized by Google

ille apud vos agens; cum medici, tum pastoris, gubernatorisque, ac omnium deinceps salutarium rerum pariter ac nominum, perfecte locum tenens, quemque, ut omnia verbo complectar, nullum deficeret bonum: se ipse pro suis, atque adeo plurimis aliis, spernens, satrapam adit, cum nullam prius adeundi fecisset spem, imo negasset iturum, ut ex insperata præsentia dulcius afficeret, proque rei inexspectatione gratior tyranno occurreret, simulque ostenderet profectum se voluntate, non quia ille blanditiis aut minis decepisset. Illum itaque, nosque ei socios, qui priores venissemus, Pherris urbe invenit. Etenim ipsi quoque, accersente illo, veneramus, cum gravis quædam necessitas, pro subditorum depellendis periculis, eo me tunc præmisisset. Hoc porro interdictum nobis volueramus, ut ne, inquam, adiremus simul. Quippe videbatur haud ita tuta nostra ad eum profectio, cum ille pridem inquam in nos necem parturiret. Accidit tamen plenum illud timore, cum ego adhuc eum domi putarem, isque vicissim idipsum de me cogitaret, ac velut ex condicto essemus profecti, eadem die, ut bene meminerim, ac si vis, eadem ipsa hora. Sed et accidit quid pejus, ut nempe omnes ullo modo Christianorum duces circum Persam stiparent; qui nimirum ad eum itare, eique adesse soliti erant. Multo quippe studio congregaverat, communem omnium interitum meditans. Porro illi operæ magis pretium putaverant, ut ejus conventus aleam subirent, quam ut jubenti morem non gererent. Res sane plena periculo omnibus merito videbatur, ut ad eum universi simul confluerent. Neque enim erant qui virum nescirent, ejusque in eos voluntatem: ejus tamen mandatis nolle morem gerere, id vero gravioris longe periculi ducebant. Neque enim esse, qui contemptæ jussionis injuriam ferret, aut sibi ipse quietem imperaturus esset: fore autem, ut omnes vellet perire, utque volens perdere posset. Malum itaque malo præoptantes, suamque Deo commendantes sortem; ac in spe peragentes iter, viæ se incerto commiserant. κακοῦ κακὸν προελόμενοι, ἥπτοντο τῆς ὁδοῦ, θεῷ ὁδεύοντες.

Enimvero, quod de me quoque ac fratre persuasum haberent, haud fore simul tunc adituros immanissimam belluam: qui nimirum scirent, non quod accidisset fortuna, sed quod esset nobis constitutum, magnam partem timorem dispellebat, justamque submovens suspicionem, venire invitabat. Noverant enim fore, ut inferni instar universis absorbendis hians tyrannus, jure merito timendum haberet, ne ei in contrarium consilium verteretur, ut in omnes impudenter putaret sæviendum, cum nos in potestate positos non haberet. Ubi autem venientes, me cum fratre apud Persam viderunt, ac scientes rem accidisse præter eorum mentem, lingua ad longum tempus hærente, nihil mutui sermonis conferre potuerunt. Ut autem re-

A πον ἀκριβῶς διασώζων, ἡνίκα σὺν ὑμῖν ἦν, τῶν τε ἰατρῶν, τῶν τε ποιμένων, τῶν τε κυβερνητῶν, τῶν τε σωτηρίων ἑξῆς ἁπάντων καὶ πραγμάτων καὶ προσρήσεων, καὶ ἵνα τὸ πᾶν εἴποιμι, ᾧ μηδὲν τῶν ἀγαθῶν οὐ παρῆν, ἀφειδήσας ἑαυτοῦ ἕνεκα τῶν ἑαυτοῦ, καὶ δὴ καὶ πλείστων ἑτέρων, ἔρχεται πρὸς τὸν σατράπην, μὴ δοὺς αὐτῷ πρότερον θορυβεῖν· ὡς ἀφίξεται· ἀλλὰ τοὐναντίον, ἀπαγορεύσας τὴν ἔλευσιν, ἵν' ᾖ καὶ πλέον ἡδὺς φανείς, μηδόλως ἐλπιζόμενος, καὶ τῷ ἀπροσδοκήτῳ τοῦ πράγματος ἐκείνῳ μᾶλλον χαρίσηται· δείξῃ δὲ γνώμῃ πρὸς αὐτὸν παραγεγονὼς, καὶ οὐ ταῖς θωπείαις αὐτοῦ καὶ ταῖς ἀπειλαῖς ἐξαπατηθείς. Εὑρίσκει τσίνυν τοῦτον ἐν ταῖς Φερράαις, καὶ ἡμᾶς, ἐκεῖνον φθάσαντας, σὺν αὐτῷ. Πεμπταῖοι γὰρ ἥμεν ἐλθόντες, ἀνάγκης δή B τινος ἰσχυρᾶς ὑπὲρ τοῦ ῥυσθῆναι κινδύνων τοὺς ὑφ' ἡμᾶς ἐκεῖσέ με τότε παραπεμψάσης. Καίτοι τοῦτο ἡμῖν παντελῶς ὡς ἀπείρητο· λέγω δὴ τὸ ἀμφοτέρους πρὸς ἐκεῖνον ἅμα παραγενέσθαι. Ἐδόκει γὰρ οὐκ ἀσφαλὲς ταύτῃ γενέσθαι τὴν ἡμετέραν ἐπιδημίαν παρὰ τὸν πάλαι καθ' ἡμῶν ἄδικον ὠδίνοντα φόνον. Συνέβη δ' ὅμως τὸ φοβερὸν, ἐμοῦ μὲν οἴκοι μένειν ἐκεῖνον ἔτι νομίζοντος, κἀκείνου δ' αὖ πάλιν περὶ ἐμοῦ τὰ ἴσα λογιζομένου· καὶ ὥσπερ ἐκ συνθήματος οἴκοθεν ἐξελθόντων ἡμέραν, εἰ μέμνημαι καλῶς, τὴν αὐτήν· εἰ βούλει δέ γε, καὶ ὥραν. Συνέπεσε δέ τι καὶ χεῖρον. Εἶναι γὰρ ἀμφὶ τὸν Πέρσην τοὺς καὶ ὁπωστοῦν ἐξηγουμένους Χριστιανῶν· λέγω δὲ τοὺς εἰωθότας ὡς αὐτὸν ἀφικνεῖσθαι. C Ἐκεῖνός τε γὰρ αὐτοὺς ἐπιμελῶς ἤθροιζεν, ἅρδην ἀφανίσαι πάντας βουλόμενος· αὐτοῖς τε δεῖν ἐδόκει παραγενέσθαι, καὶ τὸν ἀπὸ τοῦδε μᾶλλον δέξασθαι κίνδυνον ἢ τὸν ἐκ τοῦ παρακοῦσαι τοῦ ἐπιτάττοντος. Εἶναι μὲν γὰρ κινδύνου μεστὸν καὶ τὸ πρὸς αὐτὸν ἅμα παραγεγονέναι πάντες εὐλόγως ἐνόμιζον. Οὐδὲ γὰρ ἠγνόουν τὸν ἄνδρα, καὶ τὴν περὶ αὐτῶν ἐκείνου διάνοιαν. Τὸ δὲ μὴ τοῖς τούτου προστάγμασιν εἴκειν πολλῷ χαλεπωτέρου κινδύνου. Μήτε γὰρ οἴσειν αὐτὸν τὴν ἐκ τῆς παρακοῆς ὕβριν, μήτ' οὐκ ἀνασχόμενον ἡσυχάζειν, ἀλλὰ θελήσειν μὲν αὐτοὺς διαφθεῖραι, θελήσαντα δὲ, δυνήσεσθαι. Καὶ διὰ ταῦτα τὸ κατ' αὐτοὺς ἐπιτρέποντες, καὶ σὺν ἐλπίσιν

D Οὐ μὴν ἀλλὰ καὶ τὸ πιστεύειν ἐκείνους περὶ ἐμοῦ καὶ τοῦ ἀδελφοῦ, ὡς οὐχ ἅμα τηνικαῦτα ἀφιξόμεθα πρὸς τὸν δεινότατον θῆρα, οὐ γὰρ τὸ συμβὰν κατὰ τύχην, ἀλλὰ τὴν κεκυρωμένην ἡμῖν ἡπίσταντο γνώμην, τὸ πολὺ τοῦ φόβου διεσκέδασε, καὶ παρεκάλει παραγίνεσθαι, δικαίαν ὑποψίαν ἀποκρουόμενον. Ἦδεσαν γὰρ ὡς ὁ δίκην ᾅδου κεχηνὼς, καταπιεῖν τοὺς πάντας ἐφιέμενος, δεδιὼς εἰκότως ἔσται, μὴ πρὸς τοὐναντίον αὐτῷ τὸ βούλημα περισταίη, ἂν κατὰ πάντων ἀνασχυντήσῃ, οὐκ ἐν ταῖν χεροῖν ἡμᾶς ἔχων. Ἀλλ' ἐλθόντες, καὶ τὸν ἀδελφὸν σὺν ἐμοὶ παρὰ τῷ Πέρσῃ θεασάμενοι, γνόντες τὸ πρᾶγμα ἐκβεβηκὸς παρὰ τὴν ἐκείνων δόξαν, ἀφωνίᾳ συσχεθέντες ἐπὶ μακρῷ, οὐδέν τι πρὸς ἀλλήλους ἐφθέγγοντο. Ὡς δ' ἀνενεγκόντες, ὀψὲ καὶ μόγις ῥῆξαι

Digitized by Google

φωνὴν ἐδυνήθησαν, ταύτην δὴ πρώτην ἀφέντες, *Διαπεφωνήκαμεν*, ἐβόησαν ἅπαντες.

Τούτων δὴ συναθροισθέντων τηνικαῦτα μεθ' ἡμῶν (ὦ πῶς πάντα συνέρρει, καὶ πρὸς αὐτὴν ὡς ἄν τις εἴποι τὴν κορυφὴν τῆς ἀκμῆς ἀνεβίβασε τοὺς φόβους!) νέηλυς ἐκ Σηλυβρίας παραγίνεται καὶ βασιλεὺς ὁ ἀδελφιδοῦς. Τοῦτο δὲ αὖ ἡμᾶς ἐπὶ τοσοῦτον συνέχεεν, ὅσον καὶ ἀπειρηκέναι παντάπασι, καὶ δεηθῆναι διαθηκῶν, ὃ ποιεῖν ἀνάγκη πᾶσα τοὺς τὴν ἐλπίδα τῆς ζωῆς ἀποβεβληκότας. Καὶ ἦμεν ἄρνες ἐν μέσῳ λύκων, τοῦτο δὴ τὸ τῷ Σωτῆρι χρηματισθὲν πρὸς τοὺς μαθητάς, πατοῦντες μὲν τὰς τῶν ἐχθρῶν κεφαλὰς, ὄφεών τε καὶ σκορπίων ἀντικρυς τόπον διασωζόντων, καὶ μηδεμίαν παρ' αὐτῶν ὑπομένοντες βλάβην, πίστει πορευόμενοι τοῦ δύναμιν ἔχοντος σώζειν. Ὑποδέχεται δή μοι τὸν ἀδελφὸν ὁ θὴρ ἐκεῖνος οὔτ' ἀσμένως, εἶχε γὰρ μετόπισθε κότον ὄφρα τελέσῃ ἐν στήθεσιν οἷσιν, οὔτ' ἀηδῶς τό γε δοκεῖν· ἠσχύνετο γὰρ, εἰ καὶ μὴ τὰς πρὸς τὸν ἀδελφὸν ὑποσχέσεις, ἀλλ' ἡμᾶς τε, καὶ τὸ δόξαι μηδὲ γοῦν πρὸς ὥραν ἰσχύσαι τὸν ὂν ἔνδον κατασχεῖν, ἀλλ' αὐτίκα τοῦτον ἐμέσαι.

Οὕτω τοιγαροῦν διακείμενος, βούλευμα δέχεται· οὐκ ἐρῶ γε ὑπὸ τίνων· ἔστω δὲ ὑπὸ τοῦ δαίμονος, ὃν ἐπὶ τῆς αὐτοῦ ψυχῆς ἔφερεν· ἀποκτεῖναι μὲν ἡμᾶς, καὶ τὴν ἡμετέραν πᾶσαν οἰκίαν, ἀποκτεῖναι δὲ τοὺς τῶν εὐσεβῶν ἄρχοντας. Τοῦτο γὰρ βουλόμενος πόῤῥωθεν, τότε δεῖν ᾠήθη διαπράξασθαι τὸ ἄγος· ἵν' ὡς ἔφασκε, τὸν χῶρον αὐτοῦ καθάραντος ἐκ τῶν ἀκανθῶν, ἡμᾶς δὴ λέγων, ἐξῇ τοῖς τοῦδε παισὶ μὴ τοὺς πόδας αὐτῶν αἱμάττειν, ἐν τῷ τῶν Χριστιανῶν κατορχεῖσθαι. Ἐκεῖνος μὲν τοιαῦτα ἐβουλεύετο· τῷ δ' ἀληθινῷ δεσπότῃ καὶ οὐ μισθωτῷ ποιμένι οὐ ταῦτα περὶ τῶν προβάτων ἐδόκει. Ἐκεῖνος μὲν γὰρ τῷ στρατηγῷ, εὐνοῦχος δ' οὗτος ἦν, προστάττειν ἡμᾶς ἀνελεῖν νύκτωρ, καὶ μηδαμῶς ἄλλως πρᾶξαι· εἰ δὲ μή, ἠπείλησεν αὐτῷ θανάτου τιμήσειν. Ἀλλ' ὁ Θεὸς ἐπέταττεν αὐτῷ μηδαμῶς τοῦτο πρᾶξαι. Καὶ γέγονεν, οἶμαι, παραπλήσιον τῷ ποτε ὑπὲρ τῆς Σάῤῥας γεγενημένῳ. Ὁ δὴ μαθὼν ὁ φονεὺς, ἀντὶ τοῦ κακῶς ποιῆσαι τὸν παρήκοον, ὁ δὲ αὐτῷ καὶ χάριτας ὡμολόγει τῆς ἀγαθῆς μελλήσεως, φάσκων, ὡς εὐθὺς εἰπὼν, σφοδρῷ τινι βάλοιτο μεταμέλῳ· ὅς γε οὐχ ἑτέρωθεν ἦν ἢ παρὰ Θεοῦ πάντως.

Ἦν ταυτί· καὶ ὁ Αἰθίοψ τὴν ψυχὴν οὐκ ἐδύνατο τὴν μελανίαν ἀπονίψασθαι· ἀλλὰ πρῶτον ἐξεμέσας τὴν ὀργὴν, δι' ὧν εἰς τοὺς ἡμετέρους ἐξύβρισεν, ἐκκόψας μὲν ὀφθαλμοὺς ἐκ τοῦ ναυτικοῦ, ἀποκόψας δὲ χεῖρας, καὶ πολλά τισι τῶν ἐν τέλει ἐπαγαγὼν εἰς αἰσχύνην, καὶ ταύτῃ τὸν οὐκ εὔλογον θυμὸν ἀναπαύσας, ἔπειτά με λίαν εὐήθως, ὃν ἠδίκει καὶ κατῄσχυνε μυρίοις ἀδικήμασιν, ἐπειρᾶτο διαλλάττειν, δώροις δεξιούμενός τε καὶ πέμπων οἰκαδε, ὥσπερ οἱ τὰ παιδία τρωγαλίοις ἡμεροῦντες μετὰ τὰς πληγὰς κλαίοντα. Ὁ λογισμὸς φανερός· ἵνα

[33] Gen. xx, 2.

sumptis animis, sero tandem vixque licuit rumpere vocem, hanc primam mittentes, clamaverunt omnes: *Desperavimus.*

Cum ergo ii in hunc modum una nobiscum congregati essent, (o quomodo confluebant omnia, inque summum aciei cuspidem, ut sic loquar, timores ferebant!) venit recens ex Selybria imperator nepos. Hoc porro abunde sic confudit, ut in desperationem omnino cogeret, ac ceu desperata vita ad testamentorum cogeret tabulas. Eramus agni in medio luporum, quales Domini oraculum discipulos habet, hostiumque capita instar aspidum ac scorpionum calcantes, nihil damni ab eis ferebamus, ejus ambulantes fide, cujus est potestatis salvare. Meum porro fratrem haud lætus suscipit homo belfua: cui nimirum alte esset animo repositum ut veterem deinceps iram ulcisceretur: at neque morosius, ut videbatur. Reverebatur enim, sin factas fratri promissiones, at me saltem, ac ne videretur ne ad horam posse intus venenum condere, sed illud statim cogi evomere.

Cum sic itaque animi haberet, consilium init. Nolim dicere quo auctore. Esto ut ejus auctor diabolus fuerit, quem ferebat pectore: ut nimirum nos totamque nostram stirpem deleret, simulque omnes, qui fidelium rebus præessent, occideret. Jam enim olim ita animo habens, patrandum tunc facinus putavit; ut nimirum, mundata ab spinis regione (nos spinas intelligens), ejus filiis incruento pede Christianorum solo saltare liceret. Ac ille quidem consilium hoc agitabat; verus autem Dominus, nihilque mercenarius pastor, secus de nobis decernebat. Jussit porro duci exercitus, qui eunuchus erat, ut nos noctu interficeret, nec ullo modo rem omitteret: sin autem, comminatus est fore, ut ejus capiti staret. Verum præcepit Deus, ut ne faceret, acciditque non absimile ei, quod in Sarrha olim accidisset [33]. Ut autem homicida rescivit, nedum ministrum non affecit pœna qui non obsecutus esset, ut etiam habuerit gratias, quod bene distulisset: affirmans mox data sententia, haud se leviter rei pœnituisse; quæ plane mutatio haud alio evenit quam Deo auctore.

His ita gestis, nihil tamen animo Æthiops nigredinem eluere potuit: verum ubi primum iram evomuisset, gravibusque injuriis pulsasset nostros, nonnullis classiariorum effodisset oculos, ac manus amputasset, virisque optimatibus multa irrogasset probra, velut ea vindicta alienum a ratione furorem sedasset, stulte admodum postea, quem tot modis læsisset ac confudisset, conciliare enitebatur, muneribus delinitum ac donatum, domum remittens: tanquam flentes quis pueros a virgis, bellariis placet. Ejus porro animus haud obscurus erat.

Digitized by Google

Nimirum eo tota ferebat fabula, ut fratrem postmodum in vincula mitteret. Haud enim tutum videbatur, ut ambos simul appeteret, quanquam poterat præstare ; Deo tamen cæcante, se posse nesciebat. Nec id vero barbarus intellexit, fore ut me deinceps amicum non haberet. Cæterum arbitrabatur fore, ut summæ ineptiæ verbis deluderet, post tot nostris irrogatas injurias, ac cum fratrem adhuc in manibus teneret, ejusque præcipuas urbes, ceu paterna hæreditate ad ipsum spectantes, repeteret : eaque daret jura, quæ nec bello captis sapiens qui simponat.

Sic ergo affectus, Macedoniam, ac tum Thessaliam pertransit, venitque in Helladem ac majorem Achaiam. Illic vero educto rursus exercitu, ac metari volens, quod regionem videret pascuis uberem, ac venationi commodam, necessarioque commeatui abunde opportunam, quadam tandem, haud omnino nota die, ingenium prorsus detegit, impudentiusque ac omni retro tempore eo utitur, nullo plane deinceps colore valens tegere. Misso itaque lictorum uno, universos feritate ac crudelitate vincente, cui nomen Mures, urbem Argos donari petit, ac alias plures. Jam quippe Monembasiam acceperat, inane pretium redemptionis datam, cum adjacentibus, nec paucis, nec exigua virtute, oppidis. Equidem dimissurum pollicebatur, ubi accepisset : accipiens vero rursus petebat, qui ad ultimum devorans, ne unum quem superesse vellet, homo animo Cyclops, cui impietas cæcitas esset, impudentia antri rationem haberet. Nam hic quoque pastor erat, sin ovium uti Polyphemus, at hominum sane vix quidquam a belluis differentium.

Quid fratrem interea operæ pretium erat facere ? Num seductorem ac mendacem illum vocitare ? Num coarguere ? Submovere ? Despuere ? Nullum probri genus in eum omittere ? Quid enimvero inde commodi retulisset ? Præterea ne spem quidem abjecit, ut conserto etiam pede procederet. Enimvero erat obstinatius, ac usque in finem contradicendum ? Sic quoque ille habuit, quandiu facere licuit. At nullo modo erat cedendum, quidquid accidisset ? Verum erat non sani capitis, ut cui nudatus ensis incumberet, usquequaque obstinatus persisteret. Haud enim aliud erat, quam eum in se impellere. Sedenim erat præstandum quod hostis vellet, ac prodenda omnia ut una solus constaret ? At hi primum quidem nihil quidquam hoc sani loquuntur : nec ille unquam consensurus erat cui majus omnibus haberetur, ut ne quid unquam turpe committeret, quique brevissimos annos cum gloria longissimis sine gloria lubens præoptasset. Præterea haud is animus homicidæ erat, ut acciperet omnia, ac tum quiesceret : sed ut postquam accepisset, datorem occideret. Erat itaque Hellas per id tempus similis freto Siciliæ. Illa sane satrapæ insania, lictorisque minabunda monitio, gravius quid Charybdi ac Scilla videbantur, quarum nudis ipsis nominibus terror contemperatus est.

γὰρ μετέπειτα δήσῃ τὸν ἀδελφόν. Οὐ γὰρ ἀσφαλὲς ἐνόμιζεν εἶναι τὸ κατ' ἀμφοῖν ἐκτεῖναι τὰς χεῖρας· ὅπερ ἐδύνατο μὲν, θεόθεν δὲ τυφλούμενος, ἠγνόει τοῦτο δυνάμενος· ὥσπερ οὐδὲ τοῦτο συνῆκεν, ὡς οὐχ ἕξει τὴν ἐμὴν ἔτι φιλίαν. Ἀλλ' ἐνόμισέ με ἐξαπατήσειν λόγοις ἐσχάτης ἀδελτηρίας, τοσαῦτα μὲν εἰς τοὺς ἡμετέρους ὑβρίσας, τὸν δὲ ἀδελφὸν κατέχων ἐν χεροῖν ἔτι, πόλεις τε αὐτοῦ τὰς μείζους ὥσπερ τινὰς πατρῴας ἀπαιτῶν, καὶ προσεπιτάττων, ἃ οὐκ ἄν τις εὖ φρονῶν δορυαλώτοις ἀνδράσιν.

Οὕτω τοίνυν διαθέσεως ἔχων, διέρχεται μὲν Μακεδονίαν, διέρχεται δὲ Θετταλίαν, καταλαμβάνει δὲ τὴν Ἑλλάδα. Αὐτοῦ δὲ αὖ στρατοπεδευσάμενος, καὶ διατρίψαι βεβουλευμένος, ἅτε τὸν χῶρον εὔβοτον θεασάμενος, καὶ πρὸς θήραν ἀγαθὸν, τὰ δ' ἐπιτήδεια τῷ στρατῷ παρέχειν ἀφθόνως δυνάμενον, ἔπειθ' ἡμέραν, οὐκ οἶδα πόσην, γυμνοῖ τὴν φύσιν ἐπιεικῶς, καὶ χρῆται ταύτῃ λοιπὸν ἀναίδην ἢπερ πρὸ τοῦ· οὐδὲ γὰρ οὐδ' ὁτιφοῦν περικαλύμματι ταύτην ἔτι κρύπτειν ἐδύνατο. Πέμψας οὖν ἕνα δήμιον, πολὺ παρενεγκόντα τοὺς ἄλλους θηριωδίᾳ καὶ ὠμότητι, ὁ Μοῦρης ὄνομα αὐτῷ, αἰτεῖ τὸ Ἄργος παρ' αὐτοῦ σύναμα πλείοσιν ἄλλοις. Μονεμβασία γὰρ ἤδη εἵληπτο, λύτρον μάταιον δοθεῖσα πρὸς τοῖς πέριξ πολιχνίοις, οὔτ' ὀλίγοις, οὔτε φαύλην δύναμιν ἔχουσιν. Ὑπισχνεῖτο μὲν γὰρ ἀπολύσειν μετὰ τὸ λαβεῖν· λαμβάνων δὲ, αὖθις ᾔτει· καὶ τοῦτο συνεχῶς ἔπραττεν, οὗτίνα γε αὐτὸν ἀποφῆναι θέλων, πύματον ἐδόμενος, ὁ τὴν ψυχὴν ὡς ἀληθῶς Κύκλωψ ὤν, ἔχων τὴν ἀσέβειαν τύφλωσιν, καὶ τὴν ἀναίδειαν ἄντρον. Ἐπεί τοι καὶ ποιμὴν οὗτος ἦν, εἰ μὴ προβάτων ὥσπερ ἐκεῖνος, ἀλλ' ἀνθρώπων μηδὲν διαφερόντων θηρίων.

Τί οὖν ἐχρῆν τὸν ἀδελφὸν διαπράξασθαι ; Ἀπατεῶνα καὶ ψεύστην τοῦτον ἀποκαλεῖν ; ἐξελέγχειν ; ἀπωθεῖσθαι ; διαπτύειν ; μηδέν τι προπηλακισμοῦ παραλιπεῖν εἶδος ; Καὶ τί ἂν ἦν ἐκεῖνος κερδᾶναι ταύτῃ ποιοῦντα ; Ἄλλως τε οὐδὲ ἀπέγνω, ὥστε καὶ ὁμόσε χωρῆσαι. Ἀλλ' ἀντιλέγειν γε ἄχρι τέλους ; Τοῦτο δὴ καὶ γέγονεν ἕως ἐξῆν. Ἀλλὰ μηδαμῶς ὑπενδοῦναι κἂν ὅ τι γένοιτο ; Ἀλλ' οὐκ ἦν νοῦν ἔχοντος ἀπειθεῖν διαπαντὸς, ἐπισειομένου γυμνοῦ τοῦ ξίφους. Ἦν γὰρ ἂν ἀτεχνῶς ὦσαι τοῦτο καθ' ἑαυτοῦ. Ἀλλὰ πρᾶξαι τὰ δοκοῦντα τοῖς ἐχθροῖς, καὶ τὰ ἑαυτοῦ πάντα προέσθαι, ὑπὲρ μόνου τοῦ σωθῆναι ; Ἀλλὰ πρῶτον μὲν τοῦτο οὐδὲν ὑγιές φασι· καὶ οὐκ ἂν ἠξίωσέ ποτε πράττειν, ὅς γε τοῦ παντὸς ἐτίμα τὸ μηδέν τι τῶν αἰσχρῶν ποτε πράξειν, καὶ χαίρων ἂν ἠλλάξατο τοῦ ζῆσαι μήκιστον χρόνον οὐ μετὰ δόξης βίον μετ' εὐκλείας βραχύτατον. Ἔπειτα καὶ τῷ φονεῖ οὐκ ἄρα τοῦτ' ἦν ὁ λογισμὸς, λαβεῖν τὰ πάντα καὶ ἠρεμεῖν· ἀλλὰ μετὰ τὸ λαβεῖν τὸν δεδωκότα ἀνελεῖν. Ὥστε πορθμὸς Σικελικὸς ἡ Ἑλλάς πως πέφηνε τηνικαῦτα, καὶ ἡ τοῦ σατράπου μανία, καὶ ἡ τοῦ δημίου δῆθεν παραίνεσις ἀπειλῇ συγκεκραμένη, χαλεπώτεραι πεφήνασι Χαρύβδεως τε καὶ Σκίλλης, ὧν καὶ τοῖς ὀνόμασι φρίκη κέκραται.

Digitized by Google

Ἀλλ' ὁ νέος Ὀδυσσεὺς οὑτοσὶν, ὁ καλός σοι πάντα καὶ εὐμήχανος, πολλῶν μὲν πλάνων πεπείρατται καὶ παντοδαπῶν· μᾶλλον δὲ ἐκὼν πεπείρατται τῶν δεινῶν ὑπὲρ τῶν προσηκόντων αὐτοῦ τῷ σχήματι καὶ τῇ ῥίζῃ, ἧς γε ἐξέφυ. Πάντων δὲ ἀπαλλαγεὶς, καὶ σπηλαίου, καὶ πορθμῶν, καὶ πολλῶν πολλὰ ὑόντων νεφῶν τινων δίκην τὰ φοβερά τε καὶ δυσχερῆ, καὶ γὰρ ἐκτέον ἔτι τοῦ παραδείγματος, ἀσινὴς παρέπλευσέ τε καὶ παρελήλυθε πάσας κῆρας· καὶ γεγονώς ποτε οἶκοι, εὗρε Πηνελόπην τὴν Πελοπόννησον, ἄμωμον αὐτὴν αὐτῷ διατηρήσασαν ἀκριβῶς, οὐκ ἐξαναλύουσαν τὸν ἱστὸν, καὶ διδοῦσαν τοὺς πειρῶντας ἐλπίζειν, ἀλλὰ φανερῶς αὐτοὺς ἀποτρέπουσαν· ὃ δὴ τοῦ προτέρου πολλῷ προέχει, καὶ τοσούτῳ γε ὑπερήλασεν, ὅσῳ μηδὲ λόγῳ δόξαι τὴν σωφροσύνην μολῦναι· ὃ γε ζητήσας ἐν τῷ προτέρῳ, οὐκ ἂν εὕροις. Ὡς γὰρ ἔοικεν, ἡ φρόνησις, οὐκ ἀπαγορεύσασα, ἅπαντα ῥᾳδίως ἀνύσει· πάντων γάρ ἐστιν ὁ λόγος ἐπικρατέστερος.

Ὁ τοίνυν ἀγαθός σοι δεσπότης, μήτε τραχυνθεὶς πρὸς τὰς ἀπαιτήσεις, οὔσας γε τοσοῦτον ἀδικωτάτας, ὅσον ὁ ταύτας ἀπαιτῶν ἀδικώτατος· ὅς δὲ ταύτας πυκνὰς, καὶ ἐφῆκεσαν νιφάσι χειμερινοῦ τινος ὡς ἐκ νέφους, μήτε πρὸς τὰς ἀπειλὰς φοβηθείς· ἦσαν δὲ αἰεί τι χείρους καὶ ἀγριώτεραι αἱ νεώτεραι καὶ δεύτεραι τῶν πρεσβυτέρων τε καὶ προτέρων· μηδὲν γοῦν στυφὸν, μηδὲ τραχὺ, μηδ' ἀντίτυπον, μηδ' αὖθις ἀνελεύθερον, μηδὲ μαλακὸν, μηδὲ ἔκλυτον, ἢ ὁπωσοῦν ἐνδειξάμενος, ἢ τὸ παράπαν φθεγξάμενος· καὶ συλλήβδην γε εἰπεῖν, μηδὲν ἀπᾴδον τοῦ καιροῦ· ἀλλὰ μετ' αὐτοῦ πάντα πράξας, καὶ αὐτῶν παιδαρίων ἀφελέστερον ἀπέδειξε τὸν ἰσα καὶ παιδὶ σμικρῷ ἐξ ἀναιδείας εἰς αὐτὸν παίζοντα. Χρῆται δὲ ὧδε τῇ φρονήσει· οὔτε παντελῶς ἀπειθεῖ μέχρι τέλους, ὃ πᾶς τις ἂν ἔπαθεν ἐπιεικῶς ἀπογνούς· οὔτ' αὖ ὑπενδίδωσι τὴν ταχίστην· ὡς μήτε τῇ ὑπερβολῇ τῆς ἐνστάσεως τὸ ὀργῶν τε καὶ φλεγμαῖνον προσπαροξύνῃ, μήτε τῷ ῥᾳδίως οὕτω ὑφεῖναι παράσχῃ δικαίως ὑπονοεῖν τὸν ἐχθρὸν, ὡς ἄρα τι προκείμενον ἔχων, ταῖς εὐκολίαις κατακέχρηται, ἕτερα μὲν λέγων, ἕτερα δ' ἐνὶ φρεσὶ κεύθων.

Οὕτω τῷ νῷ χρησάμενος, ὡς οὐκ ἂν ἦν κάλλιον, οἶμαι, οὐδ' ἄν τις ἄλλος ἐκέχρητο τῶν ἁπάντων, διαφυγὼν ἐπίσης σκληρότητά τε καὶ τοὐναντίον μαλακότητα, ὧν ποτὲ μὲν θάτερον, ποτὲ δὲ αὖ τὸ λοιπὸν ὡς ταπολλὰ τοῖς ἀδικουμένοις φιλεῖ συμβαίνειν· χωρεῖ τὴν μέσην λίαν σοφῶς, καὶ ταύτην ὁμαλῶς πορευόμενος· ἡμερεῖ τὸν δράκοντα τέως, εἰ καὶ μὴ ἐπιπολὺ τὸ πρᾶον ἐπιδεῖξαι οἷός τε ἐγεγόνει. Τοὺς οὖν αὐτὸν φυλάττοντας ὥσπερ χειροήθεις τῇδε ποιήσας, δεῖν ᾠήθη καιρὸν εἶναι ἢ τεθνάναι, ἢ ἀποδρᾶναι. Τυγχάνει δὲ τοῦ δευτέρου, ὡς ὁ λόγος προῖών δείξει. Πέμπει γὰρ ἐπιστολὰς οἵκαδε, οἷας οἱ προστάττοντες ἐβούλοντο· τοῖς δὲ παρὰ τοῦ σατράπου πεμφθεῖσιν, ὥστε τὰ φρούρια λαβεῖν καὶ τὴν Ἀγαμέμνονός ποτε πόλιν, συνεκπέμπει τοὺς αὐτοῖς ἐγχειριοῦντας, ὡς ᾤοντό γε, τὰς ἀκροπόλεις. Οἱ δὲ, σχολῇ βαδίζοντες, οὕτω γὰρ ἦν αὐτοῖς ἐπι-

A Cæterum, novus hic, omni tibi parte bonus ac solers Ulysses, multos ipse ac omnis generis seductores expertus, suaque adeo sponte malis defunctus, pro iis, qui ejus personam, ac radicem qua esset ortus, contingerent, ab omnibus liberatus, ab spelunca, a fretis, multisque nubium more tremenda multa ac molesta depluentibus (adhuc quippe hærendum exemplo), incolumis prætervigavit, omnesque prætergressus noxas, tandem aliquando domum reversus, Penelopem invenit: Peloponnesum, inquam, ei se incontaminatam diligenter servantem, non quidem retexentem telam procosque tentantes spe alentem, sed eos palam repudiantem; quod longe præstantius est, tantoque illi antecellit, quanto ne verbo quidem visa

B est castitatem polluere, quod frustra requiras in Penelope. Non defecta enim constansque prudentia omnia facile confecerit, quippe cum ratio universis superior sit.

Tibi itaque bonus despota, nec pro petitionibus exasperatus, quanquam erant tanto injustissimæ quanto offerens injustissimus erat; porro confertim depluebant, nivis instar ab hiberna nube copia glomerantis, sed neque minis perterritus: erant vero semper novæ ac posteriores, parte aliqua antiquis ac prioribus deteriores truculentioresque: nihil acrius asperiusve, aut durius, nihilque rursus illiberale, aut molle, ullove modo dissolutum prodens, aut ve omnino loquens: utque verbo dicam, nihil minus

C tempori congruum: quin opportune omnia gerens pueris ipsis simpliciorem eum ostendit, qui per impudentiam haud ei aliter ac puerulo putaret illudendum. Hic itaque prudentiam adhibet: neque omnino in finem usque remisit, quod quisque animo defectus passus esset: nec statim dat manus, ut neque nimia renitentia tumentes viri animos abunde acueret; nec tanta illa facilitate justam hosti suspicionem præberet, quasi dolum animo condens, ac quid machinans, sic ei indulgeret, loquens aliud, ac aliud cogitans.

Hunc ille modum solertia usus, ut nec melius posset, nec ullus universorum re ipsa usus esset,

D ut perinde morum duritiem ac contrariam mollitiem caveret, quorum plerumque alteram alteramque subinde patiantur, qui injuria afficiuntur, sapienter admodum medium tenet iter, ac eo æqualiter incedens, draconem hactenus ad lenitatem componit: quanquam ille haud eam diu exhibere potuit. Sic itaque velut cicurato custodiente milite, opportunum indicavit, aut mortem oppetere, aut fuga evadere, quod ultimum accidit, ut oratio deinceps ostensura est. Mittit itaque domum epistolas, quales mittentes vellent. Missis autem a satrapa, ut præsidia, ac Agamemnonis dictam urbem, acciperent, eos adjungit comites, qui eorum sententia essent tradituri arces. Ii autem prout injunctum erat, lentius incedentes, vixdum puto Corinthum asne-

Digitized by Google

xerant, cum præter omnium spem, excepta tamen matris ac mea, virum strenuum vident. Neque enim generosum viri animum nesciebamus, honorisque amantem ac periculi: sed neque res præter conscientiam evenerat. Eramus ergo velut suspensa aura, ut vel deprecabilem ac tristem nuntium audiremus, vel quod nemo, ante rei eventum ac ipsam rem visam, crediturus videbatur.

Multos equidem tempus exhibuit, fuga lapsos a tenentium manibus, compedesque, ac catenas, et carceres, nihil eorum industriæ ac ingenio comparata, ostendit. Sed et quidam hunc modum fuga lapsi, ipsos quoque miraculorum auctores, pro præsidii ratione, quo tenebantur, visi sunt superare. Ut quis tamen Theodori conatum, cum ætate prioribus velit conferre, nihil minus eis generosum exhibuisse invenerit, ut diligenter attendat, cum tenentem qua polleret malitia, tum modum quo teneret, utque tertius, tenentis conatus omnes inanes ostenderit. Sic porro tenebant. Erat illi jubente tyranno fixum tabernaculum ad ripam cujusdam fluminis : nomen fluminis Sperchius, profundo ubique gurgite defluens. Ejus ripa tota late regione assurgens, quod tota fluento ambiretur, vix non insulæ formam exhibebat : nocturna vero custodia, numerosa cohorte constans, undique tabernaculo turmatim affusa, totaque angustias illas diligentia præsidio tenente, ignique ac cantilenis vigilias solante, ne ad horam quidem somno indulgebat. Nedum enim vigilabant vigilias, verum et noctes totas, ita jubente satrapa, ducebant insomnes. Ac ne in longum sermonem protraham, erant et reliqua omnia perquam his similia, si qua nedum aliorum accessione, sed et ipsa per se singula, satis ad custodiam videbantur : quæ omnia viri unius virtute fuerunt exsufflata. Quanquam neque hostibus probabilis ullus inesset timor, ut ille unquam tot impedimentis prohibitus posset aufugere, nec nostris omnino tentanda fuga putaretur. Illud quoque jure admodum admirationem habeat ; nulli enim ab eo gestorum cedere videatur, ut cum sæpe solus, vel etiam paucis sociis fugere licuisset, haud tamen sustinuerit malueritque, aut redire domum cum quibus exivit, aut cum eis mori.

Norunt sane universi ut aufugerit, qua nemo alius ratione, nullo amisso vel eorum qui ab impedimentis sequerentur, ac nec ullo desiderato, cui genuum robur minus suppeteret ad necessarium incessum : utque fuga lapsus ceu volucris quædam, jam ante profectos sit assecutus, atque ea re inani cursu fatigatos persequentes ostenderit, eorumque molitiones ac consilia, haud secus ac eorum capitis pridianam temulentiam confuderit: subtile vero illud fugæ molimen ac modus, quo, quem par erat, desputum ostendit : utque totum illud inventum, resque interim gesta, sapientiæ plena

τεταγμένον, οὐκ ἐφθασαν ἰδόντες, οἶμαι, τὴν Κόρινθον, καὶ ὁρῶσι τὸν γενναῖον παρὰ τὰς τῶν πάντων ἐλπίδας· οὐ μὴν παρὰ τὰς τῆς μητρὸς καὶ τὰς ἡμετέρας. Οὔτε γὰρ τὴν τοῦ ἀνδρὸς γενναιότητα, καὶ τὸ φιλότιμόν τε καὶ φιλοκίνδυνον ἠγνοοῦμεν· καὶ τὸ πρᾶγμα οὐκ ἔξω τῆς ἐμῆς ἐγένετο γνώμης. Ὥσπερ οὖν μετέωρον τὴν ἀκοὴν εἴχομεν, ἢ ἀπευκταίαν ἀγγελίαν ἀκούσεσθαι, ἢ τὸ μηδενὶ πιστευόμενον πρὶν γενέσθαι καὶ θεαθῆναι.

Πολλοὺς μὲν οὖν ὁ χρόνος τὰς χεῖρας τῶν κατεχόντων διολισθήσαντας ἔδειξε, καὶ πέδας, καὶ ἀλύσεις, καὶ δεσμωτήρια, οὐδὲν ὄντα πρὸς τὴν ἐκείνων εὐμηχανίαν· τινὲς δὲ διαδράντες, καὶ τοὺς θαυματοποιοὺς παρενεγκεῖν ἔδοξαν· οὕτως ἰσχυρῶς ἐφρουροῦντο. Ἀλλ' εἴ τις τὴν παροῦσαν μηχανὴν παραβάλοι ταῖς τῶν προτέρων, οὐδαμῶς ἀγενεστέραν εὑρήσει, θεωρήσας ἀκριβῶς τόν τε κατέχοντα ὅστις ἦν ἐπὶ πονηρίᾳ, τόν τε τρόπον ᾧ κατεῖχε, καὶ ὅπως τοῦτον ἕωλον ὁ κατεχόμενος ἔδειξεν. Εἶχετο δὲ ὡδί. Σκηνή τις ἦν αὐτῷ πεπηγυῖα περί τινα τοῦ ποταμοῦ ὄχθην κατ' ἐπιταγὴν τοῦ τυράννου. Ὁ δὲ ποταμὸς τὸν Σπερχειὸς (1), βαθύν τινα τὸν ῥοῦν αὐτοῦ διαπαντὸς ποιούμενος· ἡ ὄχθη δὲ πρὸς ὕψος ἠρμένη διὰ παντὸς τοῦ χωρίου· ὃ, τῷ κεκλυκῶσθαι ῥοθίῳ, ὀλίγου ἀποδέον ἦν τοῦ νήσῳ ἐοικέναι. Ἡ δὲ νύκτωρ φυλακή, ἦν δὲ φάλαγξ πολυάνθρωπος, στοιχηδὸν περικυκλοῦντες τὴν σκηνὴν, καὶ τὸν ὀλίγον ἰσθμὸν ἐκεῖνον διακατέχοντες ἀκριβῶς, πυρί τε χρώμενοι καὶ ᾠδαῖς, οὐδὲ γοῦν πρὸς ὥραν ἐκάθευδον. Οὐ γὰρ φυλακὰς ἠγρύπνουν, ἀλλὰ τὴν νύκθ' ὅλην, οὕτω δοκοῦν τῷ σατράπῃ. Καὶ ἵνα μὴ μακρὸν ἀποτείνω λόγον, καὶ τἄλλα ἅπαντα τούτοις ἦν ἀκριβῶς ἐφαμιλλα, ὅσα ἐνομίζετο πρὸς φυλακὴν ἐξαρκέσειν· οὐχ ὅπως ἅμα συντεταγμένα, ἀλλὰ καὶ διῃρημένα καθέκαστον. Ἃ δὴ πάντα μάταια ἑνὸς ἀνδρὸς ἀπέφηνεν ἀρετή. Καίτοι οὔτε τοῖς ἐχθροῖς τὸ εἰκὸς λογιζομένοις φοβητέον εἶναι ἐδόκει τὸ δυνηθῆναι τουτονί ποτε διαδρᾶναι, τοσούτων ὄντων τῶν κωλυμάτων, οὔτε τοῖς ἡμετέροις ἐγχειρητέος ὁ δρασμὸς τοπαράπαν ἐνομίζετο. Θαυμάσειε δ' ἂν τις κἀκεῖνο μάλα δικαίως· οὐδενὸς γὰρ ἔλαττον ἔχει τῶν αὐτῷ διαπεπραγμένων· πολλάκις γὰρ δυνάμενος μόνος, ἢ καὶ μετ' ὀλίγων διαφυγεῖν, οὐκ ἠνέσχετο· ἀλλ' εἵλετο, ἢ μεθ' ὧν ἐξῆλθεν ἐπανιέναι, ἢ σὺν ἐκείνοις ἀποθανεῖν.

Ὅτι μὲν οὖν εἰργάσατο τὸν δρασμὸν ὡς οὐκ ἂν ἕτερος, μηδένα μήτε τῶν ἐπὶ τὸ σκευοφορεῖν ἑπομένων ἀποβαλὼν, μήτε γέροντά τινα, ᾧ τὰ γόνατ' ἂν ἠπιστεῖτο πρὸς τὴν ἀναγκαίαν βάδισιν, καὶ διαδρὰς, ὥσπερ ὑπόπτερος ἔφθασε τοὺς προαπελθόντας, καὶ τοῦτο πράξας, ἀπέφηνε τοὺς διώκοντας αὐτὸν εἰκῇ τὸν δρόμον πεποιημένους, καὶ τὰς τῶν ἐχθρῶν μηχανὰς ὥσπερ ἑωλοκρασίαν κατέχεε τῆς αὐτῶν κορυφῆς, ἅπασι δῆλον· διηγήσασθαι δὲ τὴν μηχανὴν τοῦ δρασμοῦ καὶ τὸν τρόπον, δι' οὗ κατάπτυστον ἔδειξεν, ὃν ἐχρῆν, καὶ ὡς ἐπίνοιά τε πᾶσα καὶ πρᾶξις ἡ περὶ ταῦτα πλήρης μὲν σοφίας, πλήρης δὲ

(1) Schol. insti : Οὗτός ἐστιν, ὁ νῦν καλούμενος Ἑλλάς. *Est hoc flumen quod nuncappellatur Hellas.*

Digitized by Google

ἀνδρίας, γέμουσά τε συνέσεως καὶ δεξιότητος ὅτι πλείστης, ἔνεστι μὲν, οὐ συγχωρεῖ δὲ τὸ σχῆμα τοῦ λόγου. A

ac fortitudinis, prudentiamque ac dexteritatem quam maximam habens exstiterit, ut possit enarrari, haud tamen orationis figura permiserit.

Ἐκεῖνο δὲ πάντως εἰπεῖν, καὶ ἀποχρῶν καὶ δίκαιον, ἕνεκα πάντων· τοῦτο τὸ ἔργον, καλῶς μὲν καταρχὰς διανοηθὲν, κάλλιον δὲ πραχθὲν, καὶ πέρας εἰληφὸς ὅτι κάλλιστον, δῆλόν ἐστιν ἅπασιν, ὡς οὐκ ἄνευ θείας ῥοπῆς γέγονε. Τὸ γὰρ δὴ πολλὰ συνδεδραμηκέναι πρὸς ἕν τι τέλος θαυμάσιον οὔτ' ἀνθρωπίνης δυνάμεως, οὔτε μήν τι σύμπτωμα ἐξ αὐτομάτου καὶ τύχης. Τοῦτο τὸ ἔργον ἐλευθεροῖ μὲν πᾶσαν τὴν Πελοπόννησον τῆς προφαινομένης δουλείας· ἐλευθεροῖ δὲ Θήβας, Ἀθήνας, Μέγαρα, πόλεις τε Ἑλληνίδας ἑτέρας, ὧν ὁ τῷ δεσπότῃ κηδεστὴς ἄρχων ἦν Ῥανέρης ὄνομα αὐτῷ, νουνεχὴς ἀνήρ· ἐλευθεροῖ δὲ πᾶν B ἐμοῦ τὸ Ἰλλυρικὸν, καὶ ἄλλα γε πολλὰ τῶν βαρβάρων ἐθνη. Δῆλον δέ· ὃς γὰρ δὴ τὸν ἀδελφὸν ἐν χεροῖν ἔχων, τὸν τύραννόν φημι Πέρσην, ἦ μὴν ἐπώμνυ καὶ ἰσχυρίζετο μετὰ πολλοῦ τοῦ φρονήματος, μηδαμῶς ἐπανελθεῖν οἴκαδε, πρὶν ἢ χειρώσασθαι πάντα καὶ διαφθεῖραι· καὶ ἦν οὐδὲν ὑπέρογκον οὐδὲ χαλεπὸν ἀλαζονευόμενος, ἀλλ' ὅ γε ῥᾴδιον ἦν αὐτῷ· ὕστερον κύπτων εἰς γῆν μετὰ τὴν πληγὴν, πληγὴ γὰρ ἀντικρὺς αὐτῷ ἡ ἀδελφοῦ τοῦ ἐμοῦ φυγὴ, οὐδὲ τῶν πρὸς χάριν τὰ τοιαῦτα λεγόντων ἡδέως ἔτ' ἤκουσεν, εἰδώς γε κολακείας ἐσχάτης σαφῶς τὰ ῥήματα.

Illud enimvero quod satis habere videatur, ac omnino justum sit dicere, operæ pretium dicam : palam omnibus esse, bene a principio excogitatum opus, meliusque peractum, ac fine donatum optimo, non nisi divino evenisse nutu. Ut enim ad unum aliquem mirabilem finem multa concurrerint, neque humanæ sit virtutis, neque eorum quæ a casu ac fortuna sint. Ea res universam quidem Peloponnesum ab imminente servitute liberat; vindicat vero ac asserit libertati, Thebas, Athenas, Megaram, ac alias Græciæ urbes, quibus despotæ gener Raneres nomine (1), vir utique prudens, præfectus erat : vindicat denique totum Illyricum, nec non alias plures gentes Barbaras. Liquet vero. Qui enim tenebat fratrem, tyrannus, inquam, Persa, cum jurasset, ac multo animi fastu, domum se reversurum, nisi subjugatis omnibus ac deletis, negaret : nec vero jactantem putes majora quam pro facultate, quæque non facile præstare posset ille, inquam, postmodum a plaga demittens oculos. Plagæ enim similis illi fuit fratris mei fuga : neque si qui talia ad gratiam loquerentur, libens audivit, qui summæ ea adulationis verba perspicue sciret.

Τοιγαροῦν λαμπρὸς ὑμῖν ὁ δεσπότης πολλῶν καὶ μεγάλων ἕνεκα· τοῦ προελέσθαι τεθνάναι διὰ τὸ σχῆμα· τοῦτο γὰρ ἦν ἀτεχνῶς τὸ πρὸς φονῶντα βάρβαρον παραγεγονέναι σωτηρίας ἕνεκα τῶν τε ἑαυτοῦ, καὶ ὧν οὐκ ἦν ἐξηγούμενος· τοῦ διαπεφευγέναι τὰς τούτου χεῖρας, ἐπείπερ ἥλω καὶ ἦν ἐν δικτύοις, πιστευομένοις ἀφύκτοις εἶναι· τοῦ τὸν κεχηνότα θῆρα καταπιεῖν ἅπαντας καὶ τὸ κωλύσον εἶναι μηδὲν λογιζόμενον, ἄπρακτον παντάπασιν ἀποφῆναι, καὶ κενὴν τὴν τοῦδε γαστέρα· τοῦ κινδυνεύοντος μὲν αὐτοῦ, προφανῆ κίνδυνον βλέπειν ἔθνη τε καὶ πόλεις ὅτι πολλάς· ἐπεὶ δ' ἐξῆλθε τοῦ λαιμοῦ τοῦ βαρβαρικοῦ, εἰς ὃν οὐδεὶς πω καταδὺς ἐπανῆκε· σαφοῦς αἰχμαλωσίας ῥυσθῆναι. Καίτοι οὔτε εὐτυχοῦν τι συνελάμβανον ὑπὲρ ἁπάντων ἀεὶ σπουδάζοντι οἱ σεσωσμένοι παρ' αὐτοῦ τηνικαῦτα (οὐ λέγω δὲ περὶ τῶν ἰδίων), οὔτε ὑπὲρ τούτων κινδυνεύοντι, τὸ τυχὸν αὐτῷ συνηγωνίσαντο ὑπὲρ τῆς ἀπαλλαγῆς τῶν δεινῶν· ἵν' ἦ τὸ τούτους σεσῶσθαι πρεῖκα παρ' αὐ- C D

Multis itaque ac magnis titulis vester despota præclarus fuit. Quod mori elegerit ad dignitatem tuendam; id enim palam imminebat adeunti Barbarum, spirantem, cum ei subditorum cædes, tum aliorum : quod ejus effugerit manus; nam captus erat, iisque retibus tenebatur, ex quibus nulla spes effugii esset; quod bestiam devorandis omnibus inhiantem, ac nihil impedimento fore arbitrantem, inefficacem omnino, ejusque ventrem inanem reddiderit; quod eo in periculum adducto, gentes plurimæ ac urbes præsens discrimen aspexerunt; emergente autem singulari exemplo e Barbari faucibus, e quibus nemo semel ingressus, postliminio reversus esset, palam a servitute vindicatæ sint; quanquam quibus ille tunc saluti fuit, ne minimum quid auxilii ejus afferrent rebus, qui omnium semper rebus studeret (nihil porro de suis loquor), ne pro eis quidem periclitanti, auxilii quidquam impenderunt liberando a malis; quo gratis partam salutem

(1) *Raneres nomine.* Laonicus l. IV Ῥαινέριον vocat, cui ac Manueli major habenda sit fides, quam Gregoræ ac Facello apud eumdem citatis marg. ut is esset Rogerius de Empuriis. Florentinum tradit præfatus Laonicus, atque ex familia τῶν Ἀζαιόλων, Azaiolorum, sive *Acciaiolorum*, ut reddit interpres. Ait quoque nullos Theodorum ex Rainerii filia liberos suscepisse, ac defunctum esse nulla suscepta legitima prole. Ex his porro Manuelis ac Laonici de Theodori conjugio, haud corrigendum quod habet Phranz. lib. II, cap. 10, de uxore Theodori Porphyrogennetæ Cleopa filia Malatestæ, sed exponendum secus ac Pontanus exponat, qui de nostro ac seniori Theodoro intelligit, eoque putat Phranzem adversari Laonico, cum reipsa ambo consentientissima dicant. Jam enim Phranzes l. I res Theodori senioris prosecutus erat : quin et eo res Manuelis, qui diu superstes fuerat Theodoro, voluit comprehensas. Porphyrogennetæ nomen utrique commune fuit, undecunque tandem ita dicerentur imperatorum filii, nec ii omnes, nec soli primogeniti Præter istos Theodoros, est tertius Andronici filius, nepos Theodori nostri, ac ei sucessor despota, quem ille alius Manuelis filius ac consobrinus postmodum exceperit.

Digitized by Google

acciperent, qui nulla gratia essent digni, nec omnino in eam rem aliquid contulissent.

Sed et voluntate martyr exstitit, qui se ipse pro multis tradiderit, proximeque adierit pericula ac tristia expertus sit sustinueritque infamiam, ac alia quibus animus mordeatur, possitque non spretor sæculi dejici : atque adeo liquet ex omnibus, ut ejus sospitas, universitatis hominum salus esset ac felicitas : nedum omnium illi subditorum, sed et eorum qui non essent ejus ditionis. Sic erat maxime admirabilis ; sic multis utilis, nec quidquam suis quam spiritus minus necessarius, hostibus autem insuperabilis, ac eorum avertens impetus. Rem autem probat, quod solo ipse in provinciam ac suos adventu, formidabilem illum submoverit ac avocarit. Mox enim ut superbus homo rem rescivisset, desperans se quidquam confecturum (1), elata jam olim undique supercilia demittit, multaque ignavia, ex multis tropæis, ipsi pariter ac majoribus, ob multas ac magnas gentes devictas constitutis collectos ei spiritus, abjicit ; traditque oblivioni sacramenta illa, quibus se, collum extendens, ac indecore caput cogitans, grandi clamore, ac supra præconis vocem, obstrinxisset ; fitque mitis ex feroce ac vix non balans ovis instar. Eum qui pridem lupis truculentior habebat, dixisses cicuratam belluam, in eum repente devectum statum, cum nuper aspectu terribili in humanum rugiret genus. Cupiebat ergo citius demigrare, qui nihil se confecturum sciret, sed pudebat repentinæ adeo mutationis, ac ut Euripus ac stultus quis habendus esset, eos pavens, qui ab eo interim fugissent fugiensque nemine persequente, ac superioribus verbis rebusque, contrarie tunc habentes res, ac verba ostendens. Atque ut paucis dicam, nihil ille postmodum prioribus simile, aut cogitare, aut loqui, aut omnino facere videbatur. Fingit vero (2) egregium prætextum tegendi probrum. Ait acceptis a sultano litteris in Orientem vocari, auxilio futurus adversus Temerem Scytham, qui bello lacesseret. Fuit is Temeres, cui brevi post dedit pœnas eorum quæ impia gessisset, atque id justo admodum fœnore. Quia tamen sultani illæ litteræ prætextus erant ac scena, dicebat quidem propere transmissurum Hellespontum, cum nollet transmittere. Lente itaque incedens, multum tempus insumit : atque ut velis, sic clam fugiens, moratur vero in Thracia, illicque exercitum cogit, unde, ac quantum per facultatem posset, ingentesque adeo

(1) *Desperans se quidquam confecturum.* Sibi Manuel ac fratri blandiatur, ut ea Bajazetis regressio desperationis fuerit a Theodori metu, non magis prudentiæ bellicæ, qua majorem exercitum cogendum putaverit, ac belli moli parem. Sic bene indicat Laonicus l. II, ubi etiam Branezis ducis exercitus Bajazetis, qui paulo post ponitur, res perstringit ac exordia, quem Βρανέζην appellat : de quo iterum ad calcem l. IV. Narrat Phrauzes l. I, c. 10, quæ hic Manuel tacet : nimirum causam ex qua Bajazetes Theodoro infensior factus esset : nempe quod Paulus Mammonas de vi questus apud eum

τοῦ δεδομένου, μηδεμιᾶς αὐτῶν ὑπαρξάντων χάριτος, ἢ τι τοιαράπαν εἰσενηνοχότων εἰς τοῦτο.

Οὐ μὴν ἀλλὰ καὶ μάρτυς οὗτος τῇ προαιρέσει, ἀνθ' ὧν καὶ προῖδωκεν αὐτὸν ὑπὲρ τῶν πολλῶν, καὶ τῶν κινδύνων ἐγγὺς ἐγένετο, καὶ λυπηρῶν πεπείρατα, καὶ ἀδοξίαν ὑπέστη, καὶ ἕτερ' ἄττα δάκνοντα τὴν ψυχήν, καὶ κατενεγκεῖν οἷά τε τοὺς μὴ τῶν παρόντων καταγελῶντας. Ἐκ δὴ πάντων πρόδηλον, ὡς τὸ περιεῖναι τοῦτον καὶ εὖ ἔχειν ἦν δή που θεν καὶ σώζεσθαι, καὶ εὖ εἶναι πλῆθος ἀνθρώπων οὐ μόνον γε τῶν ὑπ' αὐτοῦ δεσποζομένων ἁπάντων, ἀλλὰ δὴ καὶ τῶν ὑφ' ἑτέροις ταττομένων. Οὕτως ἦν ἐκεῖνος θαυμασιώτατος· οὕτω πολλοῖς ὠφέλιμος, ἴσα καὶ πνοὴ τοῖς φίλοις ἀναγκαιότατος· τοῖς δὲ ἐχθροῖς ἀχείρωτος, καὶ τὰς ἐκείνων ἀποτρέπων ἐφόδους. Καὶ δηλοῖ τὸ τὸν πολὺν ἐκεῖνον ἀποσοβῆσαι καὶ ἀποτρέψαι, μόνῳ τῷ καταλαβεῖν τὴν αὐτοῦ. Εὐθὺς γὰρ τοῦτο μαθὼν ἐκεῖνος ὁ σοβαρὸς, ἀπογνοὺς τοῦ πρᾶξαί τι, καταβάλλει μὲν ὀφρὺν πόρρωθεν ἠρμένην αὐτῷ πολλαχόθεν· ῥίπτει δὲ φρόνημα ἀγεννῶς ἄγαν, ὅπερ ἐκείνῳ συνεφορήθη συχνοῖς τροπαίοις, ἅπερ αὐτῷ τε καὶ τοῖς φύσασιν ἔστηκεν ἀπὸ πολλῶν τε καὶ μεγάλων ἐθνῶν· ἀμνημονεῖ δὲ ὅρκων ἐκείνων, οὓς γε ἀνατείνων αὐχένα, καὶ κινῶν τὴν κεφαλὴν οὐ σὺν κόσμῳ, βοῶν ὑπὲρ τοὺς κήρυκας, ὤμνυ. Καὶ ἦν τις ἡμέρος τότε μεταβαλὼν ἐξ ἀγρίου, καὶ μονονοὺ βληχώμενος. Ὁ πρότερον ὑπὲρ τοὺς λύκους δεινὸν κεχηνὼς ἐῴκει χειροήθεσι θηρίοις, εἰς τοῦτ' ἐξαίφνης ἐλθών, ὁ βλέπων τὸ βλοσυρὸν, καὶ κατ' ἀνθρώπων βρυχώμενος. Καὶ ἐπεθύμει μὲν ταχέως ἀπαλλαγῆναι, εἰδὼς ἀνύσων οὐδέν· ᾐσχύνετο δὲ τὴν ταχίστην μεταβολὴν, καὶ εἰ δόξει Εὔριπος καὶ ἀλλόκοτος ἄνθρωπος, ὀρῶν ὧν τοὺς ἀπ' αὐτοῦ τότε φεύγοντας, καὶ φεύγων, ὑπ' οὐδενὸς διωκόμενος, καὶ τοῖς πρὶ τοῦ καὶ λόγοις καὶ, πράγμασιν ἐναντίως τὰ τότε πράγματα καὶ τοὺς λόγους ἀποδεικνύς. Καὶ εἰ δεῖ συλλήβδην τὸ πᾶν εἰπεῖν, οὐδὲν διανοούμενος, ἢ λέγων, ἢ ἐργαζόμενος ἐοικὼς τοῖς ἔμπροσθεν, ὕστερον οὗτος ἐφαίνετο. Πλάττει δὴ πρόφασιν εὐπρεπῆ, ὥστε συσκιάσαι τὸ αἶσχος καὶ τὸ πλάσμα. Ἔφασκεν ἐπιστολὰς δεδέχθαι σουλτανικὰς, προσκαλουμένας αὐτὸν ἐς ἕω, ὥστε βοηθεῖν ἐκείνῳ, ὑπὸ τοῦ Σκύθου Τεμήρη πολεμουμένῳ· ὃς ἦν, ᾧ μικρὸν ὕστερον αὐτὸς ἐδεδώκει δίκην ὧν ἠσεβήκει· καὶ ταύτην σὺν τόκῳ μάλα δικαίῳ. Ἀλλ' ἐπείπερ σκῆψις ἦν καὶ σκηνὴ τὰ τοῦ σουλτάνου γράμματα, τὸ διαβῆναι σπεύδειν τὸν Ἑλλήσποντον ἔλεγε μὲν, οὐκ ἐβούλετο δέ. Ἀναλίσκει δὲ χρόνον οὐ σμικρὸν, βάδην πορευόμενος· εἰ δὲ

fuisset, ac erepta Monembasia civitate, quam ille regendam accepisset, ac Bajazeti dedita n teneret.

(2) *Fingit vero.* Late tunc sultanus Ægypto ac Syriæ dominabatur, cui ut Bajazetes adjunxisset suas copias, haud forte Temeres, seu Tamerlanus, ambos devicisset. Fortior quippe virtus unita. Putavit Bajazetes, quod plerique nostrum, sibi melius consultum, ut accessione aliqua imperii proprii terminos proferret, quam ut alienum a potentiori invadente, a quo ipsius postmodum invadendum esset, auxilio defenderet.

Digitized by Google

βούλει, φεύγων οὕτωσὶ λάθρα· διατρίβει δὲ ἐν Θράκῃ· συνάγει δὲ στρατιάν, ὅθεν τε καὶ ὅπως ἦν δυνατὸν αὐτῷ, νομιζομένην πάντα ποιῆσαι τὰ καθ' ὑμῶν οἷάν τε εἶναι· πέμπει δὲ ταύτην λῃζομένην πᾶσαν τὴν γῆν τοῦ μηδὲν ἕτερον ἠδικηκότος αὐτὸν ἢ τὸ μὴ τούτῳ παρεσχηκέναι τῷ θανάτῳ καὶ τοῖς αἵμασιν ἐντρυφῆσαι τοῖς αὐτοῦ. Καταγγέλλει τῷ στρατηγῷ, Βρανέζης ὄνομα αὐτῷ· ἴστε δὲ τὸν τοῦδε τρόπον, καὶ τὴν κατὰ τῶν πιστῶν ἔχθραν, ὡς ἔστιν ἀπαράμιλλος, μηδενὸς φείδεσθαι· οὕτως ἦν ἐκείνῳ ζέων ὁ θυμός.

Οὐ μὴν ἀλλ' ἦν τι καὶ ἀναγκάζον ἀθροῖσαί τε καὶ πέμψαι πολλήν τινα στρατιὰν μάλα αὐτίκα. Οὐ γὰρ ἦν καὶ τὰ φρούρια σώζεσθαι, καὶ ἃς κατεῖχεν ἐνταῦθα τότε πόλεις, μὴ τὴν ταχίστην βοηθείας τυχόντα. Ἐδέοντο γὰρ ἐπικουρίας παντοδαπῆς, ὑφ' ὑμῶν πολιορκούμενα, καὶ τῇ τῶν ἀναγκαίων ἐνδείᾳ ταλαιπωρούμενα. Αἱ μὲν οὖν παρασκευαὶ δεῖναι, ὁ δὲ στρατηγὸς ὠμός· ἡ δὲ στρατιὰ πολλὴ καὶ εὔοπλος οὐχ ἧττον ἢ εὔιππος. Τὰ δὲ πράγματα ἡμῖν ἐξίτηλα πολλαχόθεν· καὶ προσῆν τὸ τοὺς ἐχθροὺς ἡγεμόνας ἰσχειν πολλοὺς τῶν ἀπὸ τῆς χώρας, παρακαλοῦντας, πῶς οἴει, καὶ παροξύνοντας εἰς τὰ καθ' ἡμῶν, ἢ τό γε ἀληθέστερον εἰπεῖν, εἰς τὰ καθ' αὑτῶν.

Οὐ μὴν ἀλλ' οὐδὲ ἐκεῖνο τὸ δεινότατον ἀπῆν, ἦσαν γὰρ οἳ προσεκαλοῦντο τούτους εἰσιέναι τὸν Ἰσθμὸν, ὑπισχνούμενοι χορηγήσειν αὐτοῖς ἄφθονα τὰ ἐπιτήδεια. Τούτων δὲ οὐ σμικρὸν ἕκαστον, ἀλλ' ἱκανὸν τῷ πέμποντι μὲν τὴν στρατιὰν χρηστὰς παρασχεῖν ἐλπίδας, τοῖς δὲ προσδοκῶσι τὴν ταύτης ἔφοδον ἀπόγνωσιν ἐμποιῆσαι. Ἦν μὲν οὖν ταῦτα καθάπερ ἔφην· οὐκ ἀποβεβήκει δὲ κατὰ γνώμην τἀνδρὶ τοὐγχείρημα. Καὶ τί λέγω κατὰ γνώμην, ὅτε καὶ πρὸς τοὐναντίον αὐτῷ τὰ τῶν ἐλπίδων ἀντέστραπτο; Οὔτε γὰρ εἰσῆεσαν ἡ στρατιὰ, προειλημμένων ὑφ' ὑμῶν τῶν χώρων ἐκείνων, οὗ στενή τις ἦν ὁδὸς, καὶ λιθώδης, καὶ ἀνάντης καὶ ὅλως δύσβατος· τό τε κενὴν αὐτὴν ὑποστρέψαι ἀποδεδώκει πάσας τὰς πόλεις τὰς ὑπὸ τῶν Τούρκων κατεσχημένας τῷ δικαίως καὶ καλῶς, καὶ κεκτημένῳ ταύτας πρὸ τοῦ, καὶ κτησαμένῳ μετέπειτα· τὸ δὲ πάντων κάλλιστον, ὅτι καὶ σὺν τόκῳ ταύτα; ἀπείληφε. Λέγω δὲ τόκον νῦν τοὺς δορυαλώτους φρουροὺς ἐκείνους, οὐ φαύλην ὄντας μοῖραν τῶν πολεμίων.

Ἔστι ταῦτα, καὶ βοᾶται πολλαχοῦ γῆς. Ἀλλὰ τὸ πολὺ τῆς εὐτυχίας τῶν ἀσεβῶν, μᾶλλον δὲ τὸ τῶν εὐσεβῶν δυστυχὲς ἐκ τοῦ τῷ Θεῷ προσκρούειν, τὸν κακοδαίμονα δυσμενῆ πολλῶν δεσπότην ἀπέφηνεν, ὧν ἂν ἦν δοῦλος πάνυ δικαίως. Τοῦτο τὴν αὐτοῦ στρατιὰν, τῷ τε πλήθει, τῇ τε δυνάμει, πολὺ βελτίω πεποίηκεν, οὖσάν γε καὶ πρότερον οὐ σμικρὰν, οὐδὲ ἀγεννῆ, οὐδὲ τῶν πολεμικῶν ἄπειρον, ἠρέμα πως γυμνασθεῖσαν τῷ μακρῷ χρόνῳ καὶ πόνῳ φέρειν τὰ λυποῦντα τὸ σῶμα, καὶ διαμένειν ἐν ἀλλοτρίᾳ, ὡς οὐκ ἂν ἕτεροι ἐν φιλίᾳ [ἰσ.ἰδίᾳ] φυούσῃ πᾶν ἀγαθόν. Τσύτην μὲν στρατιὰν πατὴρ μὲν αὐτῷ καταλέλοιπε δεξάμενος ἐκ τοῦ πατρὸς τοῦ πρὸς πατρὸς αὐτὴν διαδεξαμένου, ὡς κἀκεῖνος αὖ ἐκ τοῦ φύσαντος. Ἐρτογρούλης αὐτῷ

copias, ut iis, Peloponnesi negotium totum confecturus videretur. Mittit autem qui ejus hanc universam regionem populentur, qui nihil quidquam læsisset, quam ut ne mortis ipse suæ ac cruoris gaudium belluæ faceret. Porro jubet misso duci, Branzes nomine (ejus vero habetis compertos mores, utque incomparabili odio prosequeretur fideles,) ut ne cui parcat : sic nimirum ejus furor efferbuerat.

Cæterum erat quo grandem exercitum necesse haberet cogere, ac subsidio mittere. Non enim poterat et præsidia servare, ac quas hic tunc temporis occupabat urbes, nisi illa præsentissimum auxilium præsto haberent. Vobis quippe expugnantibus, ac cum necessarii commeatus penuria laborarent, omnino necesse erat, ut præsenti ille auxilio præsidio esset. Erat itaque ingens apparatus, dux exercitus sævus, copiosus miles, nec minori armorum quam equorum apparatu instructus : nostræ autem res ex multis exiles erant. Ad hæc, apud hostem duces merebant cumplures indigenæ. Quam vero putas ii impellebant ac incitabant, ut nostra invaderet ? aut quod verius sit dictum, quæ eorum essent propria.

Ac neque illud gravissimum aberat. Erant siquidem qui invitantes ingredi Isthmum, necessarium commeatum ubertim subministraturos reciperent. Erant hæc singula haud ipsa per se exigui momenti, quin etiam erant abunde, ut immittenti exercitum spem bonam præberent, immissumque exspectantibus ac invasurum, desperationem ingererent. Sic res habebant, uti dixi : nec tamen conatus viro ex voto successit. Quid autem ex voto dico, quando etiam tota in contrarium cessit exspectatio ? Neque enim copiæ ingredi potuerunt, cum vos occupassetis angusta itineris, petrosaque, et ardua, ac penitus inaccessa : quarum cassus reditus, urbes omnes quas Turci occupabant, juste olim ac bene possidenti, ac postmodum possessuro, postliminio reddidit : omniumque præclarissimum id videatur, ut cum multo etiam fœnore receperit. Porro appello fœnus, captas munitiones, quæ essent non spernenda pars hostium.

Ita reshabuere, ac ubique gentium prædicantur. Cæterum multa infidelium ac impiorum felicitas ; seu potius, piorum ac Dei cultorum, ex eorum in Deum offensa, infelicitas, invisum Deo hostem multorum dominum constituit, quorum ille jure admodum servus erat. Fecit ea res ab eo conscriptum militem, numero ac virtute longe auctiorem, cum neque alioqui olim exiguus esset, aut ignavus, vel rei bellicæ rudis ; longo sensim tempore laborisque exercitio duratus ferendis molestis corpori, ac doctus, lubentius morari in aliena, quam in sua alii, vel si omnium bonorum feracissimam dicas. Has illi copias reliquit pater, cum ille accepisset a patre, qui et ipse a patre acceperat, ut ille iterum

Digitized by Google

accesserat a genitore, Ertogrules nomine. Illi porro omnes (1) hactenus promoverunt, sua utique diligentia et labore ac periculis quæ desudarunt : nam dicendum est quod res habet, haud tamen adeo potiori ac consummatiori virtute : quo plane sit spes, ut bona quandoque fortuna mutanda sit, iisque destitutis ad nos iterum defectura, pristino rerum statu restituto, qualis habuit sub nostris majoribus. Quando enim virtus in omnibus superat, cum sit in nostra positum facultate ut vitam e virtute componamus, haud immerito speremus fore, ut eorum quondam victores evadamus, qui per tempus nostri victores exsistunt ; qui oderimus vitium, paternæque ac avitæ virtutis imitatores efficiamur, ac æmulatores honorum operum. Cæterum, rebus illi, Bajazeti, inquam, felices successus habentibus, nostræ admodum imminutæ erant, ut universi non immerito desperarent. Idem quippe prosperi hostium successus, ac imminutæ ac e contra.

Porro jam accedo dicturus, quod plane lacrymas cieat. Quidam enim, haud illi vulgi homines, ac ex plebe infima primum quidem occulte, ut poterant (nam puto eos rei pudebat), tum vero palam ac libere, hostibus accedentes (solent enim primum clam gesta, postmodum frontem induere), irremediabile nobis vulnus inferebant : ac nescio quid illos dicturi estis, num Romanos ac Christianos, ob genus ac baptisma ; an e contra, propter voluntatem ac acta ? Num hostes, ob perversum ac furioso proximum in patriam animum, an amicos, quod vobis exstiterint gloriæ auctores, tametsi non ex animo illis evenit ? Ex iis namque quæ impia in vos patrarunt, vestrum ex adverso effulsit bonum. Verum præstet forte hæc omittere : interim autem prosequamur quæ reliqua sunt.

Invalescebat malum, nec Barbarus fœdus admittebat, quin impotenti in nos ferebatur æstro, nec erat qui contineret, autve fratri auxilium ferret. Tantum quippe erat ut in me confideret, cujus res multis partibus affectæ essent, ac cui virtus longo attrita bello sic concidisset, ut in summum malorum ventura videretur, nec quidquam, ut humanam spectes rationem, ad spem reliquum esset. Cum me sane, tum illum, duplex subibat timor, ut quisque pro se, ac ambo pro invicem solliciti essemus. More enim gigantis procedens calamitas, omnem pene omnino spem salutis excluserat. In-

(1) *Cui Ertogrules. Hi porro omnes*, etc. Laonicus levi mutatione Ὀρτογούλην vocat, cujus res prosequitur libro primo, ac reliquorum deinceps quos ex margine codicis hic repræsento : Τὰ πρόσωπα, Ἐρτογρούλης, Οὐμάνης, Ὀρχάνης, Μωράτης, Παγαζίτης αὐτός. *Sunt hæ personæ : Ertogrules, Otmanes, Orchanes, Morates ac ipse Bajazetes.* Videndus Leunclavius, ac alii qui res Turcicas scriptis commendarunt ; simulque notandum, quibus tanta imperii moles initiis creverit, ut et nostri caverint, ac vel a Turcis, quod initia illa bonum habuerunt, mutuari non erubuerint.

τοῦνομα. Πάντες δὲ ἐπηύξησαν ἄχρι τοῦδε, σπουδῇ μὲν πάντως καὶ πόνοις καὶ κινδύνοις ἑαυτῶν· δεῖ γὰρ τἀληθὲς εἰπεῖν· οὐ μήν γε κρείττοσιν ἀρεταῖς καὶ τελεωτέραις. Ὅ δὴ καὶ θαρρεῖν ἡμᾶς δίδωσι μεταπεσεῖσθαί ποτε τὴν ἀγαθὴν τύχην, καὶ μεθ' ἡμῶν ἐκείνην αὖθις τετάξεσθαι, αὐτοὺς ἐρήμους ἀφεῖσαν, ὡς κἀπὶ τῶν ἡμετέρων προγόνων ὑπῆρχε τὰ πράγματα. Ἐπειδὴ γὰρ ἀρετὴ παντοχοῦ τὸ κρατοῦν ἐστι, ὄντος γε τῶν ἐφ' ἡμῖν τοῦ μετὰ τῆς ἀρετῆς ζῆσαι, εἰ ἂν πάνυ δικαίως ἐν τοῖς ἐλπιζομένοις τῶν νῦν κρατούντων ἡμᾶς κρατήσειν, τὴν μὲν κακίαν μισήσαντας, φίλους δὲ τῆς τῶν φυσάντων ἀρετῆς γεγονότας, καὶ ἐραστὰς τῶν ἀγαθῶν ἔργων. Πλὴν ἐκείνῳ τῶν πραγμάτων ἐπιδιδόντων, τῷ Παγαζίτῃ λέγω, τὰ ἡμέτερα πρὸς μείωσιν ἀφῖκτο, πάντων ἀπαγορευόντων οὐκ ἄπο λόγου. Αἱ γὰρ τῶν πολεμίων ἐπιδόσεις ἴσην πως δύναμιν ἔχουσι ταῖς τῶν ἀντιπάλων μειώσεσιν· ὥσπερ καὶ τὸ ἔμπαλιν.

adversariorum vires cladesque eorum, valeant,

Ἦκω δὲ λέξων ἤδη δακρύων ἄξιον ὄντως. Ἔνιοι γὰρ, οὐκέτι τῶν τελούντων εἰς δῆμον, οὐδὲ τῶν φαύλων εἶναι δοκούντων, τοῖς πολεμίοις προστιθέμενοι, τὴν μὲν ἀρχὴν, ὡς οἷόν τε, λάθρα· ἠσχύνοντο γὰρ οἶμαι· ἔπειτα ἀναίδην περὶ τὰ τελευταῖα· φιλεῖ γὰρ τὰ γιγνόμενα κρύφα χρόνου περιπροσχόντος παῤῥησιάζεσθαι· δυσιάτόν τι πάθος ἡμῖν ἐγένοντο· οὓς οὐκ οἶδα ὅ τι καλέσετε· Ῥωμαίους καὶ Χριστιανοὺς διὰ τὸ γένος καὶ τὸ βάπτισμα, ἢ τἀναντία διὰ τὴν προαίρεσιν καὶ τὰς πράξεις· ἐχθροὺς, διὰ τὸ πρὸς τὸ πατρίδα διεστραμμένον καὶ μανικὸν, ἢ προσφιλεῖς, ὡς αἰτίους γενομένους ὑμῖν εὐκλείας, εἰ δὴ καὶ ἀκόντων ἐκείνων τοῦτο συμβέβηκε ; Τοῖς γὰρ καθ' ὑμῶν αὐτῶν ἀσεβήμασι τὸ ὑμέτερον ἐξήστραψεν ἀγαθὸν ὡς ἐν παραθέσει. Ἀλλὰ τὰ μὲν περὶ τούτων παραλιπεῖν ἴσως ἄμεινον· ἐχώμεθα δὲ τῶν ἑξῆς ἐντεῦθεν.

Hûξανε τὸ δεινὸν, καὶ σπονδὰς ὁ βάρβαρος οὐκ ἐδέχετο· ἀλλ' ἦν ἀκάθεκτος εἰς τὰ καθ' ἡμῶν· καὶ οὔτε τοῦτον ἦν ἐπισχήσων, οὔθ' ὁ βοηθήσων τῷ ἀδελφῷ. Ἐμοὶ γὰρ εἶχε μόνῳ θαῤῥεῖν, ᾧ πολλαχῶς ἐνόσει τὰ πράγματα, καὶ οὕτω πέπτωκεν ἡ ἰσχὺς τῷ μακρῷ τοῦ πολέμου χρόνῳ, ὡς εἰς αὐτὸ δοκεῖν ἥκειν τὸ ἔσχατον τῶν δεινῶν, καὶ μηδ' ἑντινοῦν ἐλπίδα ὑπολελεῖφθαι κεχρημένῳ λογισμοῖς ἀνθρωπίνοις. Ὑπῆρχε γοῦν ἐμοί τε κἀκείνῳ διττὸς ὁ φόβος· ἑκατέρῳ τε αὐτοῦ, καὶ ἀμφοῖν ὑπὲρ ἀλλήλων. Κατὰ γὰρ τοὺς ἀγαθοὺς τῶν δρομέων, προῖδον τὸ δυσχερὲς πᾶσαν σωτηρίας ἐλπίδα μονονοὺ παντάπασιν ἀφῃρῆκει.

Multam genti virtutem cum primo fixit sedes in Asia omnes perinde scriptores astruunt, ut ejus forte merito, Dei providentia, infidelem gentem, temporalis dominii præmio donatam voluerit. Delicias vitamque molliorem a nostris didicere, cum mulieres Christianas in uxores accepissent, quod ipsi notarunt scriptores Græci. Pulchra Phranzes digressione lib. 1, a cap. 23. ad 34 Osmanidarum gentis principum historiam perstringit, usque ad Mahometem secundum, a quo tandem urbs capta est, ac lucerna Græcis exstincta.

Digitized by Google

Ἀλλ' ἐμοὶ μὲν δέδοκται, καὶ τοῖς ἡμετέροις, προσ- A
έτι δὲ καὶ τοῖς φρονιμωτέροις τῶν συμμαχούντων,
ἐς Ἰταλίαν πορεύεσθαι, καὶ δὴ καὶ Γαλλίας τὰς κάτω,
καὶ Βρεττανίαν αὐτήν. Πεῖσαι γὰρ εἰκότως δι' ἐμαυ-
τοῦ τοὺς δυναμένους ἡμῖν ἀμύνειν, χρῆσθαι τῇ δυνά-
μει θελῆσαι, καὶ μὴ πρὸς ἀναβολὰς καὶ ὑπερβάσεις
χωρεῖν· τοῦτο δὴ τὸ εἰωθὸς ἐκείνοις ποιεῖν. Πάντων
οὖν ἐπαινεσάντων τὴν γνώμην· ὡς γὰρ ἐξ ἐμοῦ τὴν
ἀρχὴν πρὸς τοὺς ἀρίστους τῶν ἐν τέλει καὶ τῶν
συμμάχων, οὕτω κἀκ τῶνδε μετέπειτα πρὸς οὓς γε
ἐχρῆν μετεδόθη· τὸ δόξαν διεπράττετο. Οὐδὲ γὰρ ἐρῶ
γε περὶ ἐμαυτοῦ πλέον, οὐδὲ μηκυνῶ τὸν λόγον, ἐν-
διατρίβων τοῖς τε ἄλλοις, καὶ τοῖς κατὰ τὴν μακρὰν
ἐκείνην ἀποδημίαν. Οὐ μὴν ἀφῆκα τὴν ναῦν οὕτω
πλεῖν ὡς ἂν ποτε τύχοι, ἢ κυβερνᾶσθαι ὑπό τινος τῶν
εἰς ἀρχὴν καταστάντων μικρᾶς τινος ὁλκάδος ἐν- B
ίοτε, ἢ κατὰ χειροτονίαν ἤτοι κλῆρον, ἢ κατὰ
τύχην.

Ἀλλ' ἐπεί μοι παῖς οὐκ ἦν ἐφ' ἡλικίᾳ οἵᾳ τε
ἄρχειν, τὸν ἀδελφιδοῦν ἐμαυτῷ διαλλάξας κρατίστῃ
τύχῃ, ἐπὶ τῶν οἰάκων αὐτὸν ἐκάθισα, ἕως εἰ βού-
λοιτο τὸ θεῖον ὑποστρέψαι με. Ὁ δ' οὖν ἀδελφὸς κἀν
τούτῳ πολὺ βληθείς, τῷ μεταδῆναί με λέγω, ἠθύμει
μᾶλλον ἢ πρόσθεν. Ἦν γὰρ ἄντικρυς αὐτῷ ὥσπερ
ὀρφανία τὸ πρᾶγμα. Μακρὸς μὲν γὰρ ἦν ὁ ἀπόπλους·
μακροτέρα δὲ πολλῷ ἡ κατὰ τὴν ἤπειρον ἀποδημία.
Καὶ τοσοῦτον ἦν ἐν ἀδήλῳ τὸ καθ' ἡμᾶς, ὡς καὶ τὸ
μετὰ μακρὸν με χρόνον ἐπανελθεῖν εὐκτόν γε δή-
που θεῖναι. Ἦν μὲν οὖν πάντα τὰ ἐκείνου ἐν οὐκ C
ἀγαθαῖς ἐλπίσι τῇ προσδοκίᾳ τῶν ἐπομένων τοῖς
τότε πράγμασιν· ὁ δὲ μὴ πάντη καταπεσὼν, ὃ κἂν
ἄλλος ἔπαθεν ἐνί τῳ προσπαλαίων τῶν δεινῶν ἅπερ
ἐκεῖνος ὑφίστατο, καρτερικὸς φαινόμενος ἐν καιροῖς
οὐκ ἀνεχομένοις ἀναβολῆς, ἐξήτει πῶς ἰάσεται τὸ
λυποῦν. Καὶ μέντοι καὶ ἐξεῦρεν. Ὁ δὲ τρόπος νῦν
μὲν δῆλος ἅπασι μετὰ τὸ γενέσθαι, τότε δέ, οἶμαι,
ὀλίγοις. Οὕτω γὰρ ἠνάγκαζε τὸ συμφέρον. Εἰ γὰρ
ὅλως ὑπωπτεύετο τοῖς ἐχθροῖς τὸ δρᾶμα· δρᾶμα γὰρ
ἦν ἀτεχνῶς τὸ πρᾶγμα, ἀρίστῃ τέχνῃ τότε γενόμε-

terim tamen, mihi, meisque, ac auxiliariorum pru- A
dentissimis succurrit, in Italiam Galliasque infe-
riores (1), ipsamque adeo Britanniam, proficisci.
Fore enim ut per me ipse apud eos qui possent
afferre opem, legatione fungens, auctor iis fierem,
ut qua pollent uterentur potentia, nec deinceps,
quod habent solemne, moras necterent, ac collu-
derent. Cunctis itaque consilium laudantibus; uti
enim a me primum ad principes ac sociorum op-
timos, ita postmodum ab illis ad reliquos quibus
par esset, res pervaserat; quemadmodum visum
erat, sic et factum est. Non enim plura loquar de
meipso nec aliis immorans, ac iis quæ spectant ad
longam illam profectionem, orationem protrahans.
Cæterum haud commisi, ut navim quo sors ferret
jactandam relinquerem, autve rudi alicui traderem
gubernandam, ac cui minoris hactenus scaphæ gu-
bernatio, sive electione, seu hæreditate, seu casu
fortuna obtigisset.

Enimvero quod filius matura satis ætate publicæ
rei administrandæ deesset, optima mihi arte con-
ciliatum patruelem (2), regendæ civitati, usque
dum Deo donante reverti contingeret, præfeci.
Frater ergo, hoc quoque dire percussus, meo, in-
quam, ab urbe ac patria recessu, prlori majorem
tristitiam concepit. Quippe meam hinc absentiam
maximæ cujusdam orbitatis loco habebat: erat
plane longa navigatio ac trajectus, multoque lon-
gior terrena profectio. Adeo autem res nostræ in-
certe fluctuabant, ut et tardior, nec nisi post mul- C
tum tempus decursum, reditus in votis habendus
videretur. Res sane ejus omnes spes non bonas
prætendebant, eorum exspectatione, quæ ventura
erant. Ille enimvero, haud omnino despondens ani-
mum, quod vel unius tantum eluctanda incursio
alii injecisset, forti animo iis momentis habens,
quæ moras non ferrent, malis aliquod remedium
quærebat. Ac vero etiam invenit. Modus autem
nunc liquet omnibus, cum res successit: tunc au-
tem, arbitror, admodum paucis. Sic enim e re erat.

(1) *In Italiam Galliasque extremas.* Multis Lao-
nicus eam Manuelis profectionem lib. II enarrat,
ejusque occasione plura edisserit de Occidentalium
moribus ac potentia. Καλλίας τὰς κάτω· intelligat D
Manuel, distinctione a Galliis Italiæ adjacentibus;
Celticam scilicet ac Belgicam, ipsamque stricte
Franciam, ac regni sedem Lutetiam, ubi regem
convenit.

(2) *Optima arte conciliatum patruelem.* Veteres
erant Manuelem inter ac Andronicum fratrem, ejus-
que filium Joannem inimicitiæ, ex quo Manuel,
tametsi junior, a patre prælatus fuerat, ut succe-
deret imperio. Vix tandem ergo Andronici filius
Joannes amicitiam instauravit cum patruo Manuele,
ad quem coactus esset confugere, cum factus fuisset
Bajazeti suspectior, ne per eum obsidio Constanti-
nopolitanæ urbis irrita cederet, uti Laonicus lib.
II, et Phranz. l. item I, c. 20, ubi quæ huc spectant,
quæque ad Manuelis in Italiam ac Franciam pro-
fectionem ad conquirenda auxilia, nec non ad ven-
ditionem ditionis Spartæ, ejusque rescissionem tu-
multuantibus Spartanis, dilucide ac paucis enar-
rata habes: uti c. 19, quæ spectant ad principum
Christianorum fœderationem, ac Sigismundi et
nostrorum cladem ad Nicopolim, cum talis ac ita
confertus lectusque esset exercitus, ut metum gra-
vem injiceret Bajazeti. Affuerunt et Galli suppetias
missi, inque illis didicimus, quid vel Gallica virtus
possit nisi Deus corroboraverit: quamque præstet
communem hostem nonnihil semotum petere, dum
ipse vicinos appetit, quam iis nostra derelictione
deletis, lateribus ipsis nostris incumbentem innu-
merabili turba, experiri. Cæterum ars illa optima
quam dicit Manuel, haud aliud sit quam Joannis
delinitio, maxima honorum parte oblata, ceu primi
ordinis principi: aut etiam Bajazetis in regiam
omnem stirpem ostensa mala voluntas, aliave si-
milis suasio, qua tandem virum absterruerit ab
ejus obsequio, ac sibi devinxerit. Sic produnt *An-
nales Turcici* lib. VI, interceptas ejusdem Manuelis
ad Pannoniorum regem epistolas, quibus cum in
Bajazetem irritaret, quæ et causa fuerint matu-
randæ obsidionis regiæ urbis, Bajazete nova Manuelis
injuria gravius offenso.

Digitized by Google

Ut enim nulla suspicio fabulæ hostes insedisset : palam quippe res fabula erat, optima tunc arte adornata, nihil unquam juvisset. Tota enim ratio ut posset obtinere, ab eo erat, ut esset clam. Quamobrem etiam cum multi specie tenus rem viderent, nec scirent quod occultum esset, haud verum aliquid cogitabant. Nimirum, quod non amplius ferret continua pericula, consilium iniisse, ut honesto posthabens utile, iis se subtraheret. Sic ille ad tempus communis studio utilitatis, gloriam prodidit, celando consilium, qui nusquam non gloriæ causa esset pericula amplexus. Processu quidem sumus exposituri fabulam ; interim autem altius reducenda oratio, quo ordine procedamus.

A νον· οὐκ ἂν ποτε εἶχε λυσιτελῆσαι. Τὸ γὰρ δυνηθῆναι περᾶναι ὅλως ἦν ἐν τῷ λεληθέναι. Ὅθεν καὶ εἰς τὸ φαινόμενον ὁρῶντες οἱ πολλοὶ, καὶ τὸ βάθος οὐ γινώσκοντες, ὑπενόουν, ὅπερ οὐκ ἐκείνῳ συνέβαινε. Μηδὲ γὰρ ἔτι φέρειν δυνάμενον τοὺς ἐπαλλήλους κινδύνους, τούτων ἀφεστάναι βουλεύσασθαι, τὸ ἀσφαλὲς πρὸ τοῦ καλοῦ θέμενον. Οὕτως ἐκεῖνος πρὸς καιρὸν, ὑπὲρ τῆς κοινῆς ὠφελείας τὴν ἰδίαν προὔδωκε δόξαν ἐν τῷ κρύπτειν τὴν διάνοιαν, ὁ ὑπὲρ δόξης ἀεὶ δεχόμενος τοὺς κινδύνους. Τὸ μὲν οὖν δρᾶμα προϊόντες δηλώσομεν· νῦν δὲ ἀνωτέρω τὸν λόγον ἀγάγωμεν, ὡς ἂν εὐτάκτως βαδίσωμεν.

Erant Rhodi in communi agentes vitam, viri castitatem, paupertatem ac obedientiam pro voto quo se Salvatori obstringunt, professi, bellumque in crucis hostes ; quam in vestibus armisque ac insignibus ubique ad honestatem ac decorum gestant. Ii, triennio jam, ni fallor, donante fratre, Corinthum suæ ditionis habebant, illaque ejus donatio matris pariter ac meo consilio steterat. Nec vero quis miretur. Haud enim adeo miserabiles aliqui, mollesque ac ignavi sumus, ut eos nobis prælatos velimus. Verum cum omnino necessum esset, ut vel civitas ab expugnantibus Turcis caperetur, aut ut aliis traderetur, qui a præsenti eam discrimine, nobis non valentibus, liberare possent; visum omnino est omnibus aliis præferendos, tanquam qui nobis amice uterentur (1), quosque fama esset religionis sacramenti observantes esse, eaque pollere potentia, quæ oppido necessaria videretur, excepta eorum in rem majori alacritate, quam aliorum qui potentiores essent. Res porro gesta, tan-

B Ὑπῆρχον ἡ ἐν Ῥόδῳ κοινότης, ἄνδρες, ἀζυγίαν, ὑποταγὴν, ἀκτημοσύνην ὑπισχνούμενοι τῷ Σωτῆρι, καὶ πολεμεῖν τοῖς τῷ σταυρῷ πολεμοῦσιν, ὃν οἵδε φέρειν εἰώθεσαν κἀπὶ τῶν ἐσθήτων κἀπὶ τῶν ὅπλων, κἀπὶ τῆς σημαίας ἁπανταχοῦ, ἵν' ἂν εἴη διασώζεσθαι τὸ σεμνόν· Κόρινθον ἐκ τοῦ ὁδελφοῦ τριῶν ἐτῶν, οἶμαι, προεσχηκότες, οὐδ' ἀπὸ γνώμης τῆς μητρὸς καὶ τῆς ἡμετέρας. Τοῦτο δὲ μηδεὶς θαυμαζέτω. Οὐ γὰρ οὕτως ἡμεῖς ἄθλιοι, οὐδὲ μαλακοί τινες καὶ ἀβέλτεροι, ὥστε καὶ ἡμῶν αὐτῶν ἐκείνους προκρίναι. Οὔσης δὲ πάσης ἀνάγκης, ἤτοι τοὺς πολιορκοῦντας ἑλεῖν τὴν πόλιν· τοὺς Τούρκους λέγω· ἢ τισι ταύτην δοθῆναι τῶν δυναμένων ἐκείνην σῶσαι τοῦ προκειμένου κινδύνου, ἡμῶν γε τοῦτο μὴ δυναμένων, αὐτοὺς δὴ τούτους πάντων τῶν ἄλλων ἄμεινον ἔδοξε C προκριθῆναι, ἅτε δὴ καὶ πρὸς ἡμᾶς φιλίως διακειμένους, καὶ φήμης οὔσης περὶ αὐτῶν μὴ παραβαίνειν τοὺς ὅρκους, καὶ δύναμιν ἔχοντας ἱκανὴν πρὸς τὸ ζητούμενον τηνικαῦτα, καὶ πρὸς τὰ τοιαῦτα προθύμους ὄντας ὑπὲρ τοὺς ἐκείνων ἰσχυροτέρους.

(10) *Nobis amice uterentur.* Multa habet Rhodiorum militum historia, quibus impensior illa in Constantinopolitanos ac Manuelem, eorum amicitia satis eluceat, nimirum l. IV ubi retexitur cum urbis Constantinopolitanæ obsidio per Bajazetem, tum Corinthi ac Spartæ per Theodorum nostrum venditio, utque Spartæ episcopus Latinorum odio obstiterit, commotisque Spartanis, ad rescindendam venditionem Theodorum adegerit, cum Corinthus haud gravate Rhodios admitteret. Eam ego putem causam negati Manuelli, interdicente Romano pontifice, a Latinis subsidii (ut ejus negati sit alia causa præter discordiam ipsam Latinorum, ac qua laborabat Italia, excepta etiam eorum solita tarditate, ac quam Manuel perstringit, ad bella peregrina ; ut et regis Galliæ morbum taceam, qui primus foret ac caput auxiliariorum, pro antiqua in ejusmodi expeditionibus, gentis laude) nec aliud velle quod refert Bzovius ann. 1391, ex historia politica Constantinop. l. I, ita sub diris interdixisse pontificem, quod is noluisset osculari crucem in cujusdam chorepiscopi manica depictam. Nusquam enim ejus hæresis rumor Manuelem saltem aspersit : ut autem Itali ac Pontifex ei sint indignati, indignumque putaverint ipsorum auxillo, in quos frater lusis Rhodiis nuper offendisset, vero satis congruum videri possit. Quanquam Manuel ne ipsos quidem Rhodios gravius offensos monstrat, sic Theodorus rem dextere egit. Historia quoque Rhodiorum militum, reddita habet a Magistro cimelia quæ Imperatrix obsidione pressa apud eum deposuisset, antequam etiam repeterentur, ac mox ab urbis obsidione soluta ; sed et operam suam eidem instaurandæ impendisse, tantumque conatos Fratres, datas Theodoro pecunias ac pretiosa alia recipere. Quam Manuel tam multis deprædicat fabulam, ut Theodorus non omnino sincere egerit cum Rhodiis, volueritque tantum per eos terrorem Turcis injicere, non vere, quod erat in ipso, Peloponneso donare, ut tanquam amici ac socii deinceps tenerent ac tutarentur, haud possim omnino probare, aut satis e Christiani politici fide existimare. Fuerit certe illa fides, non quam Græcam vir D amicus ac Græcus ab Areopago sincerissimæ *homo* fidei ac Græciæ velut morientis non modicum decus, libello edito nuper egregie ostendit, sed quam aliqui Græcis improperant, ac cujus nusquam desint nonnulli rei, ut nulla omnino gens, ac omni ex parte, vacat crimine. Ut vi quadam, atque ad sedandos Spartianorum tumultus resciderit contractum, non valens continere, nemo jure culpaverit. Corrigit ipse Manuel, ut nonnihil serio sit gestum, agente Theodoro, ut reipsa Peloponnesus cessura esset Rhodiis, nisi seipsam a Bajazete tutari posset, vel superando, vel compellendo ad *pacem* ; Latinorum ac fratrum Rhodiorum jugo utpote Christianorum, multis partibus Turcico ac infidelium prælato ; quod utinam sic Græcis *omnibus* esset visum, nec quorumdam nostrum multa insolentia ac sacrorum illusio, nonnullis fecisset invisum.

Digitized by Google

Τοῦτο τέλος εἰληφὸς, τοσούτῳ συνετέλεσε τῇ Πελοποννήσῳ, ὅσῳ γε σαφῶς ὁ καιρὸς ἔδειξε. Τοῦτο τὰς ἐφόδους τῶν ἐχθρῶν καὶ τὰς εἰσβολὰς, ὅσον ἡ πεῖρα παρέστησεν, ἀπεσόβησεν. Οὔτε γὰρ στρατιὰν ἀγείρειν ἰσχυρὰν οἴκοθεν εἶχον οἱ γειτονοῦντες βάρβαροι, οὔτε μὴ πρότερον εἰς πολὺ συναθροισθεῖσιν ἐκείνοις πλῆθος, τὴν ἡμετέραν κατατρέχειν ἐξῆν, δέει τοὺς τοιούτους στρατιώτας· τὸ δὲ παλλήν τινα ταύτην συγκροτηθῆναι, καὶ διὰ χρόνου, καὶ πολλαχόθεν· τοῦτο γὰρ ὑπολέλειπται· καὶ τὰς ὁμόρους πόλεις λαθεῖν, δι' ὧν ἡ φήμη μετεδίδοτο πρὸς τὰς ἡμετέρας, μικροῦ δεῖν οἶμαι ἀδύνατον. Γνωσθεῖσι δὲ τοῖς ἐχθροῖς παθεῖν τι μᾶλλον συνέβαινεν, ἢ δρᾶσαί που λυπηρόν. Τοῦτο πολλῷ βέλτιον τοῖς τότε συνήνεγκε πράγμασιν, ἢ ὅτε ταύτην ἐπανεκτήσατο ὁ θαυμάσιος οὑτοσὶ, πολύν τινα χρόνον ἤδη προαποσπασθεῖσαν τῆς τῶν Ῥωμαίων ἀρχῆς. Τοῦτο τὴν ἐκείνου σοφίαν, καὶ τὴν περὶ τὰ κοινὰ ἐπιστήμην, ὑψηλοτέραν ἀπέδειξεν οὐδὲν ἧττον, ἢ ὅτε θαυμαζόμενος οὗτος ἦν τῷ κτᾶσθαι πόλεις ἑτέρας. *Ἔστι γὰρ καιρὸς λαβεῖν, καὶ καιρὸς πάντως προέσθαι.* Καὶ τοῦτο Σολομώντειος δόξα· εἰ μέμνηταί τις ἐκείνου, τῷ καιρῷ πάντα νέμοντος. Θάτερον μὲν τοίνυν εἰρημένον· λέγω δὴ τὸ σὺν τῷ καιρῷ δοῦναι· ὑψηλὸν, καὶ οὐ τῶν πολλῶν.

Ἐπεὶ γὰρ πάντως εἰς τὸ παρὸν οἱ πλεῖστοι βλέπουσι τῶν ἀνθρώπων, ὀλιγωροῦντες τοῦ μέλλοντος, ὡς ἐν ἀδήλῳ τούτοις κειμένου, δηλονότι τῶν ὀλίγων ἐστὶ μικρὰν ἀφαίρεσιν δέξασθαι τῶν ὑπαρχόντων αὐτοῖς ἀντὶ μεγίστης μήπω παρούσης. Ἀλλ' οὗτός γε οὐ κατ' ἐκείνους τοὺς τὰ ἐν ποσὶ μόνον βλέποντας, ἀλλὰ καὶ τὸ μέλλον προεωρᾶτο εἴπερ τις ἄλλος, καὶ περὶ πάντων ἐξῆς ἐφρόντιζε τῶν πραγμάτων. Ὅθεν ἐξησθενηκυῖαν ὁρῶν τὴν πόλιν τῷ πολιορκεῖσθαι μακρῷ τῷ χρόνῳ, καὶ τὸ ἐσόμενον πάντως ὥσπερ ὑπ' ὄψιν ἔχων, ὡς οἱ πολιορκοῦντες βάρβαροι παραστήσονται μὲν αὐτὴν οὐ μετὰ πολύν τινα χρόνον, παραστήσονται δὲ πλείους εὐθὺς ἐκείνης κρατήσαντες, καὶ χωρήσει τὸ δεινὸν ἐπὶ πλεῖστον· ἡγήσατο τὸ ταύτην προέσθαι, ὑπὲρ τοῦ μὴ πλείους σύναμα ταύτῃ, κέρδος οὐ μικρὸν εἶναι· καὶ ἐῴκει ταῦτα πράττων τοῖς σφοδρῷ ληφθεῖσι κλύδωνι, οἳ ταῖς ἑαυτῶν χερσὶ πολλὰ τῶν ἀγωγίμων ἀποβαλλόμενοι, κέρδος τὴν ζημίαν ἡγοῦνται· οὐχ ἁπλῶς τῷ πράγματι χαίροντες, ἀλλ' ἵνα μὴ τὸ πᾶν ἐθέλοντες ἔχειν, τοῦ καιροῦ πρὸς τοὐναντίον βιαζομένου, τὸ πᾶν κακῶς ἀπολέσωσιν. Ὥστε, καθάπερ τοπρὶν εἰληφὼς ταυτηνὶ τὴν πολυύμνητον πόλιν, ἀναλώμασι μὲν πολλοῖς, πλείοσι δὲ πόνοις, κινδύνοις δὲ ὅτι πλείστοις, μέγας ὢν, καὶ δέδεικται· οὕτω καὶ τότε, δεδωκὼς, ἡνίκα τε, καὶ οἷς ἐχρῆν, καὶ ὡς οὐκ ἂν ἦν ἄλλως βέλτιον δεδωκέναι. Ὅτε γὰρ οὐκ ἦν ἐκείνην ἔτι διασώζεσθαι, καὶ τοῖς Φρερίοις, καὶ μετὰ λαμπρῶν ὑποσχέσεων, βοηθεῖν ἡμῖν ἐκείνους ἅπασι τρόποις.

Πόσον οὖν θαυμάζεσθαι δίκαιος, εἰ ὅπερ πάντως ἔμελλεν ἐν ταῖς τῶν ἐχθρῶν χερσὶν ἀπίστων ὄντων ἔσεσθαι, τοῦτο φίλοις καὶ Χριστιανοῖς ἐνεχείρισε, καὶ ταύτῃ γε συμμάχους αὐτοὺς ἐκτήσατο τοῦ πρὸς ἐκείνους πολέμου; Καὶ πάλαι γὰρ τοὺς ἄνδρας τού-

tum Peloponnesi commodis addidit, quantum tempus postmodum liquido ostendit. Ea res, hostium incursiones ac invasiones, quantum probavit experientia, submovit. Neque enim vicini Barbari fortem satis a se exercitum poterant cogere, nec vero Rhodiorum metu licebat, ut nisi magno prius numero collecti, ditionis nostræ terras incursarent : ut autem per tempus, ac ex multis locis, quod unum reliquum erat grandem ejusmodi exercitum cogerent, resque lateret confines civitates, per quas fama in nostras derivanda esset, id vero opinor, factu impossibile erat. Ut autem hostes detecti sint, triste potius aliquid ferant, quam fecerint. Ea res majus quid tunc ad momentum rebus contulit, quam cum vir mirabilis, a Romani pridem imperii ditione avulsam civitatem, eidem adjecit. Ea res, nihil minus sublimem admirandi viri sapientiam, ejusque universalem scientiam ostendit, quam cum urbes alias suæ ditionis fecit. Plane vero, *Tempus est acquirendi, tempus perdendi*, quæ Salomonis sententia est, ut quis meminerit, cum ille universis tempus distribuit : quamquam duorum alterum, dare scilicet cum sit opportunum, res sublimis animi sit ac paucorum.

Cum enim plerique omnino respiciant ad res præsentes, futurasque negligant tanquam incertas, utique paucorum sit, ut parum quid sibi subtrahi patiantur, quo maximum quid necdum præsens accesserit. Haud enimvero iis ille similis habebat, qui tantum vident in pedibus posita, quin futuri ut quis alius prævidens, universis deinceps curam adhibebat. Videns itaque fractam viribus urbem a longa obsidione, ac quod futurum esset ob oculos habens ; fore nimirum ut obsidentes Barbari ea brevi potirentur, utque statim ea expugnata, mirum quantum promovente malo, plures alias capturi essent ; lucri non modici accessionem ejus habuit jacturam, ut ne majori, plures una amitteret. Ea porro molitione iis similis videbatur, qui magna correpti tempestate, merces multas manibus ipsi salo jactantes, jacturam lucri ducunt : non quia re delectentur, sed ut ne merces totas retinere volentes, cum tempus adversetur, male totas amittant. Quamobrem uti antea longe celeberrimam urbem multis sumptibus, impensiorique labore, ac plurimis defunctus periculis in ditionem recipiens, cum esset magnus, sese magnum ostendit : sic quoque per id tempus, cum dedisset, quando ac quibus par esset, atque ut melius alioqui non posset trahi : tum nimirum cum non esset servando : atque adeo fratribus, qui et abunde magnificis pollicitationibus, modis se omnibus nobis deinceps auxiliaturos reciperent.

Quam ergo jure admirandus, ut quod omnino cessurum erat in hostium potestatem, idque infidelium, hoc ille amicis ac Christianis crediderit, atque ea re belli in eos socios comparaverit ? Jam enim olim nobis cum eis necessitudo erat. Unde cum ali-

Digitized by Google

quando necessarium haberemus ab amicis auxilium, saluti consulturi, præbuerunt illi haud modicum submisso classiario milite, cum sola magnificentia ac juvandi studio agerentur. Nulla enim ratio debiti suberat ut opem ferrent, neque ferendi ejus sacramentum ullum emiserant, ut in contractu pro Corintho celebrato. Liquet autem ut hæc inter multum referat. Quippe multum præstat ab eis accipere qui præstant ex debito, quam ab iis, qui ex gratia. Non tam ergo viris civitatem dedit, quam per eam illos accepit.

Enimvero ostendendum puto apertius, ut foret malum rem secus habuisse. Ut enim probe temporum rerumque memineritis, erat omnino statim urbs Barbarorum manibus diripienda. Quod si menses aliquot (dolo utique) nihil aut igni aut ferro deformatam hostes servaturi essent, fuisset ea statim apparens clementia proximis urbibus præsens occasio, ut et ipsæ deditionem facerent. Par enim erat, ut ita Barbarorum astu deceptæ, iis servire quam captæ vastari mallent. Quod enim capta Corinthus earum metropolis, nihil gravius passa esset, cum illarum merito detrahebat spiritus, tum spem multam addebat, ut neque illæ passuræ essent. Nam neque ratione duci, cujusque passim, nec vero exemplo componi, sapientiorum inveneris. Quod si res successisset, plane autem erat successura, in immensum plane malum processisset. Iis itaque omnibus de causis, eam urbem ditionis Fratrum fieri concessit, quo minorum cumprimis aliorum civitatum ac oppidorum, ejusque adeo ipsius quæ pro aliis tradebatur saluti esset consultum. Velut itaque jam captam ab hostibus, ab eorum abstraxit manu, eam credendo Fratribus. Cum ergo ipsum hoc sit præclarum, ut simul alias complures urbes a periculo liberaverit, quomodo non clarum maxime fuerit?

Cæterum accepta Corintho munita urbe pulchraque ac magna, Isthmumque continente, pulchre in eo ædificata, incessit viros cupido ut totam deinceps Peloponnesum haberent. Bona plane cogitatio, ut eorum quis verba spectet, atque ut affirmabant, cum suum illi consilium tutæ fidei hominibus aperirent. Sacramentis enim juratis quæ abunde essent, cum substantiam omnem, tum corpora ac vitam insumpturos dicebant, ut esset necesse, ac magna quædam designaturos pro Christi gloria, ut propugnandæ Peloponnesi provinciam in se liquido reciperent. Porro etiam non jurati fidem habebant, ut nihil essent dicturi a sua ipsorum virtute dissonum, vel a fama ubique locorum de eis pervagante, aut denique ab habitu ac ordine, in quo et vivunt et sapiunt, ac conversantur; gloriantur, ac habent honorem, omniqne retro sæculo habituros sperant. Ne quis ergo in Rhodum aspiciens, ac paucas in ea triremes, exiguam quamdam ac imbecillem arbitretur Fratrum potentiam. Multi enim cum libet ab orbis partibus, quas sparsim colunt, congregantur: viri utique, quibus

τους, ἐν συνηθείᾳ πως εἴχομεν. Ὅθεν καί ποτε δεῆσαν παντοδαπὴν βοήθειαν ἡμᾶς ζητεῖν ὑπὲρ σωτηρίας παρὰ τῶν φίλων, οὐ σμικρὰν ἡμῖν ἐκεῖνοι διὰ θαλάττης παρέσχοντο φιλοτιμίας ἕνεκα καὶ τοῦ γιγνομένου. Οὐ γὰρ κατὰ χρέος βοηθεῖν ἡμῖν ὀφείλοντες ἦσαν, οὐδὲ ὠμωμόκεσαν ὑπὲρ τούτου, ὡς ἐν ταῖς συμβάσεσι ταῖς ὑπὲρ Κορίνθου· καὶ τοῖνδε τὸ διάφορον ὅσον, δῆλον. Τὸ γὰρ ἐκ τῶν κατὰ χρέος διδόντων τινὰ λαμβάνειν τοῦ κατὰ χάριν πολλῷ προέχει. Οὐ μᾶλλον τοίνυν αὐτὴν δέδωκε τοῖς ἀνδράσιν ἐκείνοις, ἢ δι' αὐτῆς αὐτοὺς ἔλαβεν.

Οὐ μὴν ἀλλ' οἶμαι προσήκειν δεῖξαι σαφέστερον, ὅσον ἂν ἦν τὸ κακὸν, μὴ ταύτῃ γεγονότος τοῦ πράγματος. Εἰ γὰρ ἀκριβῶς τῶν καιρῶν καὶ τῶν πραγμάτων μεμνήμεθα, αὐτίκα πάντως ἔμελλεν ἅδε ἡ πόλις ἔσεσθαι βαρβαρικαῖς χερσὶ παρανάλωμα. Εἰ δὲ δὴ καὶ πρὸς καιρὸν, πάντως δὲ κατὰ ἀπάτην κατεῖχον αὐτὴν λαβόντες οἱ δυσμενεῖς, μήτε σιδήρῳ διαφθείραντες, τοῦτ' ἂν αὐτίκα πρόφασις ἐγεγόνει ταῖς ὁμόροις αὐτῇ πόλεσιν ὑπὸ τοὺς βαρβάρους γενέσθαι. Εἰκὸς γὰρ ἦν αὐτὰς ἐξαπατηθείσας τῇ τῶν βαρβάρων δοκούσῃ φιλανθρωπίᾳ καὶ δουλεῦσαι τούτοις βουλεύσασθαι πρὸ τοῦ πορθηθῆναι πολέμῳ. Τὸ γὰρ ἁλοῦσαν τὴν Κόρινθον, μητρόπολιν αὐτῶν οὖσαν, μηδέν τι πεπονθέναι δεινὸν, τό τε τούτων φρόνημα κατέβαλεν ἂν εἰκότως, καὶ κομιδῇ παρέσχεν ἐλπίζειν, ὡς ἄρ' οὐδ' αὗται πείσονται. Ἐπεί τοι τὸ μὲν ἄγεσθαι λόγῳ οὐ τῶν τυχόντων ἂν εὕροις· τὸ δὲ ῥυθμίζεσθαι παραδείγματι τῶν οὐ σοφωτέρων. Καὶ εἴ γε τοῦτο προὐβεβήκει δ' ἂν πάντως, ἐπ' ἄπειρον ἂν ἐχώρει τὸ δεινόν. Καὶ δὴ τῶν εἰρημένων ἕνεκα πάντων συνεχώρησε λαβεῖν τοὺς Φρερίους τήνδε τὴν πόλιν ἐπὶ σωτηρίᾳ μάλιστα μὲν καὶ ἄλλων πολιχνίων τε καὶ πόλεων, οὐχ ἧττον δὲ καὶ αὐτῆς ἐκείνης τῆς καὶ ὑπὲρ ἄλλων ὅμως δοθείσης. Ὥσθ' ὡς ἔπος εἰπεῖν, ὡς ὑπὸ τῶν πολεμίων προειλημμένην τῆς αὐτῶν χειρὸς αὐτὴν ἐξανέσπασε, τῷ τοῖς Φρερίοις αὐτὴν ἐγχειρίσαι. Καὶ εἰ τοῦτό γε καλὸν καὶ καθ' αὐτὸ θεωρούμενον, ὁπότε δὴ καὶ πόλεις ἑτέρας πολλῶν κινδύνων ἐρρύσατο, πῶς οὐ μάλιστα εἶεν;

Ἔχοντας δὴ τὴν Κόρινθον, πόλιν ἰσχυρὰν καὶ καλὴν καὶ μεγάλην, κατέχουσάν τε τὸν Ἰσθμὸν, πρὸς ᾧ καλῶς ᾠκοδόμητο, ἔρως σφᾶς γε εἰσελήλυθεν ἅπασαν ἐξῆς κατασχεῖν τὴν γῆν τῆς Πελοποννήσου. Ὁ δὲ λογισμὸς ὡς ἀγαθός· λέγω δὲ κατὰ τοὺς λόγους ἐκείνων, καὶ ὡς ἰσχυρίζοντο, ἡνίκα τὴν αὐτῶν βουλὴν ἀπεκάλυπτον οἷς ἐθάῤῥουν. Ὅρκων γὰρ προηγουμένων ἀξίων πεῖσαι πιστεύειν, ἔλεγον καὶ τὴν οὐσίαν ἅπασαν, καὶ σώματα ἀναλώσειν, ἂν οὕτως δέῃ, καὶ ἁπλῶς μεγάλα πράξειν ὑπὲρ τῆς τοῦ Χριστοῦ δόξης, εἰ τὸν ὑπὲρ τῆς Πελοποννήσου πόλεμον καθαρῶς ἀναδέξαιντο. Ἐπιστεύοντο δ' ἂν εἰκότως καὶ οὐκ ὀμνύντες μηδὲν ἀπᾴδον λέγοντες, μήτε τῆς αὐτῶν δυνάμεως, μήτε τῆς ἐκασταχόσε διακεχυμένης περὶ αὐτῶν φήμης, μήτε μὴν τοῦ σχήματος, ἐν ᾧ καὶ ζῶσι, καὶ φρονοῦσι καὶ πολιτεύονται, καὶ φιλοτιμοῦνται, καὶ τιμῶνται, καὶ τετίμηνται, καὶ τιμήσεσθαι ἐλπίζουσι τὸν ἐξῆς χρόνον. Μηδεὶς οὖν εἰς τὴν Ῥόδον ὁρῶν καὶ ταῖς εὐαριθμήτοις ἐκεῖ τριήρεις, μικράν τινα καὶ ἀδρανῆ τὴν τῶν Φρερίων ἰσχὺν νομιζέτω. Πολλοὶ γὰρ οὗτοι συναθροίζονται

Digitized by Google

βουληθέντες ἐκ τῶν τῆς οἰκουμένης μερῶν, ἃ δὴ σποράδην οἰκοῦσιν· ἄνδρες, οἷς οὐδέν τι προὐργιαίτερον, ἢ ὅσα φέρει πρὸς εὐψυχίαν, καὶ ὅπλα, καὶ γενναιότητα. Τὸ γὰρ δὴ τεθνάναι σὺν δόξῃ πολὺ βέλτιον ἄγουσι τοῦ τραπέντες παρασχέσθαι τοῖς ἐχθροῖς ταῖς ἐπὶ τῶν νώτων αὐτῶν πληγαῖς ἐφησθῆναι. Ἔχουσι δὲ καὶ πόλεις, οὔτε σμικρὰς, οὔτε ῥᾳδίως ἀριθμουμένας· καὶ χρήμαθ' ὅτι πλεῖστα ἀναλίσκειν, τὰς ἀπὸ τούτων τῶν πόλεων εἰσφορὰς, ἃ δὴ τούτοις δέδονται παρ' ἀνδρῶν θεοφιλῶν μιᾷ καὶ μόνῃ προφάσει θεοφιλεῖ· λέγω δὲ τὴν πρὸς ἀσεβεῖς μάχην. Ταυτὶ δὴ συνερχόμενα ἐπιθυμῆσαι Ῥοδίοις προὐξένησε τῆς Πελοποννήσου.

A nihil operæ magis pretium videatur, quam si qua ad generositatem, armaque ac strenuitatem ferunt. Longe enim pluris faciunt gloriose mori, quam ut in fugam versi, plagis aversis hostes suos delectent. Habent autem etiam urbes nec exiguas, nec paucas numero, atque ut pecunias plurimas possint impendere : ærario collecto ex earum urbium tributis, piorum hominum religiosa munificentia, unius ac solius religionis ergo, eisdem concessis belli nimirum subsidio adversus infideles ac impios. Hæc sane cum concurrerent, ambiendæ Peloponnesi causa Rhodiis fuerunt.

Οὐ μὴν ἀλλὰ κἀκεῖνο κέντρον ἐγένετο τῇ τῶν Φρερίων ἐπιθυμίᾳ. Οἱ γὰρ τῶν Ἑσπερίων μερῶν Γαλάται, καὶ Ἱσπανοὶ, καὶ Βρεττανοὶ, καὶ συνελόντα εἰπεῖν, οἱ τῶν Λατίνων ἄρχοντες πάντες, καὶ τὰ ὑπ' ἐκείνους ἔθνη, κινοῦνται μὲν οὐ πάνυ ῥᾳδίως ὡς τὰ πολλὰ· κινοῦνται δ' οὖν καὶ εὐχερῶς ἔστιν ὅτε, σμικρᾶς τινος προφάσεως λαβόμενοι· καὶ ὁρμηθέντες, δυσκάθεκτοι λοιπὸν γίνονται. Δύνανται δὲ πολλὰ βουληθέντες· καὶ τοῦθ' ὁ χρόνος ὁ παρελθὼν σαφῶς πολλάκις παρέστησεν. Ἐπῆει τοίνυν τοῖς Φρερίοις ἐλπίζειν τῇ παρ' ἑαυτῶν ὁρμῇ τοὺς πολλοὺς ἑφέπεσθαι, καὶ μηδὲ τοὺς τὴν μεγάλην δύναμιν ἔχοντας ἐν ἡσυχίᾳ λοιπὸν καθεδεῖσθαι, θήρᾳ καὶ τραπέζαις αὐτοὺς ἐκδόντας, καί τισι μεθ' ὅπλων ἀμίλλαις, τὸ μεῖζόν τε εἰς φιλοτιμίαν ἐκείνοις ἔργον, κἀκ τῶν προγόνων ἄνωθεν κατερχόμενον.

B Sed et id præterea illi Fratrum cupiditati calces addebat : nempe Occidui Galatæ, Hispanique ac Britanni, atque, ut verbo dicam, Latinorum universi principes, eisque subjectæ nationes, haud quidem facile plerumque excitantur, sed et quandoque minima quædam occasio facile provocaverit : semel vero excitati, impetu deinceps feruntur, ut nequeant teneri. Porro ut velint, multa possunt ; idque sæpius actum tempus liquido ostendit. Subibat itaque Fratribus, fore ut plures eorum incitationem sequerentur, nec qui magna pollerent virtute, se deinceps venationi ac mensi, ludicrisque armorum certaminibus dedentes, otio desiderent, quibus majus ad gloriam facinus, ab ipsis majoribus ac olim solemne, postliminio rediret.

Ἤλπιζον τοίνυν ἐκεῖνοι, καὶ κομιδῇ βεβαίως ἐθάῤῥουν μεγάλην ἐφελκύσειν ἐκεῖθεν δύναμιν, καὶ φανήσεσθαι σπινθῆρα τὸ κατ' αὐτοὺς ἐν ὕλῃ, εἰς φλόγα μεγίστην ἀναφθῆναι δυναμένην, καὶ κατὰ πάντων ἀσεβῶν ἀποβήσεσθαι τοῦτο τὸ ἔργον, τῇ τῆς Κορίνθου προφάσει γεγενημένον. Τούτους οὖν ὠδίνοντας τοὺς λογισμοὺς, οὐκ ἐδύναντο κατέχειν ἑαυτούς· ἀλλ' ἐπείπερ οὐκ ἐξῆν, οὐδέ γε ῥᾴδιον ἦν αὐτοῖς τῇ δυνάμει χρησαμένοις, τὴν τῆς Πελοποννήσου δεσποτείαν ἀκόντων ἡμῶν λαβεῖν, βουλεύονται διὰ χρημάτων αὐτὴν κτήσασθαι γνώμῃ τε τῇ τοῦ ἄρχοντος, καὶ τῇ ὑπηκόων συνθήκῃ. Αἱ γὰρ ἡμέτεραι δυσπραγίαι τὸ τηνικαῦτα ἐγχειρεῖν αὐτοὺς ἔπεισθον, ὧν οὐδ' ἂν ἐμέμνηντό, βέλτιον ἡμῖν τῶν πραγμάτων ἐχόντων. Ἡγοῦντο μὲν οὖν τολμηρὸν ἐξειπεῖν ἀμέσως· τὸ βούλημα· πλὴν τὸ δι' ἑτέρων φράζειν κίνδυνον ἔχον εἰδότες, ἦκον αὐτοὶ παρὰ τὸν δεσπότην οὐκ ἄνευ δέους· καὶ τῷ τοῦ πράγματος ἀδήλῳ βαλλόμενοι, μόγις ἐδυνήθησαν ἐξαγγέλλειν, ὧν ἕνεχ' ἦκον. Ἀξιοῦσι δὴ πρῶτον μὲν, εἰ μὴ κατὰ γνώμην λέγοιεν αὐτῷ, δοῦναι συγγνώμην αὐτοῖς, ἀγαθῷ λογισμῷ κινουμένοις· ἔπειτα καὶ δεύτερον, ἀπόῤῥητον παρ' ἑαυτῷ κατέχειν τὸ ῥηθησόμενον, καὶ τρίτον, θᾶττον ἀποκρίνασθαι, εἴτε πράττειν βουληθείη, εἴτε μή. Ταῦτα δὲ ἐκείνου δόντος, οἱ δὲ εὐθέως ἐχώρουν· οὐ μέντοι κατ' εὐθεῖαν καὶ ἁπλῶς, ἀλλ' ὥσπερ ἑλικοειδῶς πορευόμενοι, ἐπειρῶντο τὴν αὐτοῦ διάνοιαν κλέπτειν, εἰ ἄρα κεκμηκώς ἐστι καὶ ἀπαγορεύσας, καὶ βούλοιτ' ἂν ἀπαλλαγῆναι τῶν δυσχερῶν καὶ ἐπικινδύνων. Καὶ τοῦτο προγινώσκειν

C Sperabant ergo, ac multa fiducia persuasum habebant, magnam se inde excituros virtutem, ac fore, ut quod gerebant negotium scintillæ simile videretur natæ accendi in flammam maximam, ac sylvam absumere, utque a Corintho cœpta molitio, in infideles omnes recideret. Hos ergo parturientes cogitationum motus se ipsi continere ne quibant. Quia tamen haud licebat, nec vero erat res facilis, ut potentia utentes, invitis nobis Peloponnesi dominium vindicarent, consilium ineunt, ut numerata pecunia, cum ejus principis voluntate tum subditorum assensu, suæ ditioni adjungant. Rerum quippe nostrarum miserabilis status, id eos tunc audere fecit quod eo meliori ne in mentem quidem venturum esset. Temerarium quidem videbatur, ut ipsi per

D se, nullo medio, consilium ederent. Quia tamen haud periculo vacare putarent, ut per alios explicarent, ipsimet despotam adeunt, quanquam non omnino metu soluti ; deque rei incerto eventu anxii, vix tandem efferre possunt, quorum causa venissent. Porro primum rogant veniam, ut quid minus ex animo dixerint, tanquam qui probo animi proposito agantur : tum etiam secundo, ut apud se arcanum teneat, quod dicendum sit ; tertio denique ut cito respondeat, num rem velit fieri, necne. Ut autem his ille annuisset, procedunt statim ; non tamen recta ac simpliciter, sed velut per cuneos ac anfractus, ejus clam animum venari tentabant : num tandem defectus esset, ac spem abjecisset, velletque liberari a malis, ac res in tuto ponere.

Digitized by Google

Volebant autem ea præscire, ut possent læti inire pacta, dum ita habere cognoscerent, uti ex rebus ac temporum molestia habiturum conjicere putabant.

Quia verò latere non poterat virum multa ornatum prudentia, nec modica rerum experientia præditum, quo hæc ferrent, detegunt deinceps, rem totam explicantes, quid animi ac voluntatis haberent : ut totius Peloponnesi principatum accipere velint, siquidem libeat tradere, velitque facile provincia excedere, cui deinceps tot confertim malis, ad ea, quæ continua præcessissent, cumulo ingruentibus, præsidere non posset. Multam ergo pecuniæ vim polliciti, ac omni modo ejus familiæ commodis adnixuros, nec ullis omissis quibus in sententiam possent trahere, tandem rogant, ut edicat quid videatur e re communi ; in quæ verba faciunt dicendi finem. Respondente illo, in crastinum ab eo audituros : nec enim decebat ut sic inconsulte responderet : abierunt illi læti, quod non primo statim congressu, rei spem omnem abjiciendam dixisset, ac ne inconcessa præsumerent. Quanquam est quod hic miremur : par enim erat, ut magis injectas moras moleste ferrent, quodque non statim firma spes facta esset rei conficiendæ.

Συμβουλεύειν ἔδει τοῖς αὐτοῦ, φαῖεν ἄν τινες ἴσως, καὶ διὰ πάντων ἐνάγειν αὐτοὺς εἰς τοῦτο, δέξασθαι θελῆσαι προθύμως τὸν ὑπὲρ εὐσεβείας καὶ δόξης θάνατον, αὐτόν γε πρῶτον πρόθυμον ὄντα πρὸς τοῦτο. Ὑπέρευγε. Καὶ τί ποτ' ἦν ποιῶν ἕτερον τὸν προτοῦ πάντα χρόνον, ἕως ἐξὸν ἦν αὐτῷ καὶ συμβουλεύειν, καὶ πράττειν τά γε δοκοῦντα κράτιστα εἶναι; Ἀλλὰ καὶ θωπείαις χρῆσθαι, φησὶν, ἐχρῆν, καὶ ὑπισχνεῖσθαι μεγάλα μετ' οἰκονομίας ἀρίστης. Καὶ πῶς ἂν ἦν αὐτὸν ἑτέρως χρῆσθαι ταῖς συμβουλαῖς; Ἔστω, φησίν· ἔδει δὲ αὖ κἀκεῖνο φορτικώτερον αὐτοῖς ἐπιτίθεσθαι, καί που προσαπειλεῖν ἐπιτιμῶντα, ὀνειδίζοντα καὶ βοῶντα, καὶ πάντα τὰ τοιαῦτα ποιοῦντα μετὰ πολλῆς τῆς ὑπερβολῆς. Ἀλλ' ἦδει βλάψων ἐπιεικῶς· ὀνήσων δὲ οὐδαμῶς· ὅθεν τὸ τραχύτερον φάρμακον τραύμασιν ὀργῶσι καὶ φλεγμαίνουσιν οὐκ ἐπέθηκε τηνικαῦτα, προτοῦ πολλάκις ἐπιθεὶς συμφερόντως μετὰ θαυμαστῆς ἐπιστήμης. Τί οὖν, ὦ τᾶν, ἕτερον πρὸς Θεοῦ παρῆκεν ἐκεῖνος τῶν γε δεόντων πεπρᾶχθαι; Ὑπενδοῦναι τούτοις σοι δοκεῖ βέλτιστον εἶναι, τῶν ἀσεβῶν ὑποταγῆναι ζυγῷ; Ἀλλὰ κάκιστόν τε πάντων τοῦτο αὐτὸς ἐνόμιζε, καὶ τῆς ἰδίας ἀρετῆς καὶ τοῦ σχήματος τελέως ἀπᾴδον. Ἀλλὰ Χριστιανικὴν ἀρχὴν δέξασθαι, ἢ καὶ τοῖς ἔθεσιν αὐτῶν ἅμεινον συμβήσεσθαι ἔμελλε, καὶ πρὸς τὸ βοηθεῖν ἐξαρκέσειν, ἀριστά γε. Ἐπειδὴ γὰρ τὰ μὲν δεινὰ ὑπερέσχε, δυνατὸν δὲ οὐκ ἦν πεῖσαι αὐτοὺς ἐκεῖνον, ἢ βιάσασθαι τοὺς πάλαι προγόνους μιμήσασθαι, δυοῖν θάτερον ὑπολέλειπται, ἢ τὴν τῶν Τούρκων ἀρχὴν, ἢ τὴν εἰ-

tione, non valentis per seipsam servari incolumem; uti jam probasse arbitror, universis aliis Fratres prætulisset. Hic porro dico utile, quod in malis sit minus nocens. Neque ergo ut spectes fabulam, neve ut ejus causam merito quis viro detrahat; ergo neque illud vituperet quod versabat animo, ut spe bona frustratus esset. Velut enim summa colligens, quæ hoc hactenus dixi argumento, lubens quæram ab omni gnaro, ut res tunc haberent, ac vel modicum prudentia ornato, quid eum par esset facere, quodve suis dare consilium, ubi jam præstitis omnibus, si qua operæ pretium viderentur, nihil tamen valuisset conficere, ac cum vires hostium ingentes essent, multaque illi astutia ac calliditate essent præditi, jamque Illyrii omnes, Mysique ac Triballi superati fuissent, ingensque cæsus exercitus ad Nicopolim, ex Pannoniis, Celtisque ac occiduis Galatis (1) collectus, quorum omnium nuda quoque nomina Barbari horrent; cum denique socii haud uterentur prospera fortuna, ac quidam etiam mala sorte, terra ac mari superati fuissent; mihique tanto malorum concursu res ad extrema per longum id deductæ tempus viderentur.

Erat, inquiunt aliqui, consulendum suis, ac modis omnibus eis suadendum, ut alacres mori pro pietate mallent, cum primus et ipse alacris exemplo præiret. Belle quidem. Quid enimvero aliud toto jam acto egerat tempore, quandiu licuit cum consulere optima quæque, tum agere? Sed et blanditiis, inquit, erat utendum, optimaque œconomia erant magna quædam promittenda. Qui vero aliter poterat consulere? Esto, inquit: hoc quoque adjiciendum erat, ut, inquam, molestior ingrueret, ac quandoque etiam increpans, minas adjungeret, exprobraret, clamaret, ac ejusmodi omnia multo excessu præstaret. Verum noverat hæc prorsus nocitura, ac ne minimum profutura. Quamobrem abstinuit austerius tunc remedium exasperatis ac inflammato humore tumentibus plagis adhibere, qui sæpe olim mirabili arte commodo adhibuisset. Quid ergo aliud sodes, per Deum omisisse videatur, eorum quæ præstare esset operæ pretium? Idne optimum putes, ut infidelium jugo subjici sineret? Id vero ille omnium pessimum arbitrabatur, suaque prorsus cum virtute, tum persona indignum: Christianorum autem imperium subire, quod et magis eorum congrueret moribus, satisque haberet ad auxilium, longe optimum. Quia enim mala exsuperabant, nec fieri poterat, ut eos ille in sententiam traheret, autve ad majorum suorum imitationem cogeret, duorum alterum erat reliquum, ut aut Turcorum, aut quod dicebamus, Christianorum subirent imperium. Videbatur ergo modis omnibus præstare Fra-

(1) *Celtis ac occiduis Galatis.* Eamdem gentem intelligit, nempe Gallos, quorum ardor in eo prælio enituit, ut ambierint primi pugnam committere obtinuerintque, sed exitu parum secundo, quem Manuel hic perstringit, aliique cum nostri, tum Turcici scriptores, pluribus narrant. Ignovit Bajazetes capto Joanni Nivernensi, Caroli Galliæ regis patrueli, quem is subsidio miserat Sigismundo, ob reverentiam sanguinis regii, ac quinque capitibus suorum donatum abire permisit, reliquis captivis dire jugulatis.

Digitized by Google

trum dominium. Duorum enim ingruentium malorum, melius illud, quod non pejus, juxta quod habet tritum adagium. Quocirca præoptatum quod levius, atque id multa ingenuitate, plenisque bonitate moribus. Ut Fratrum illi dominationi mancipari vellent, constitutum habebat indulgere, nihil facto succensens ; fundens vero ab oculis lacrymas, tum propter charorum a se separationem, tum quod suis pro iis periculis sospitare non posset. Sic enim parentes quoque comparatum habent, cum charissima pignora ablegant in alienam, quod nisi sejunctis ab invicem salus non constet. Sin autem meliora eligerent, ut nimirum spem bonam prætendentes, bellum instaurarent adversus Barbaros, ac vel Deo auspice vincerent, vel pro libertate ac gloria pugnantes, gravia quæque tolerarent, laudare consilium, ac pro viribus excitare, simulque polliceri una commoriturum ; ac vero alacrem valde præstare, illis præeuntem.

Qui sic ergo animi haberet, cum quod spectat ad ipsum, tum quod ad suos, quodque ad amicos, ac quod ad omnes, quam justæ accusationis videatur dedisse causam ? Quis ita ad calumniam promptus, ut pro more calumniari possit ? Quam exsuperantem procacitatem, quem adeo temerarium ac impudentem sic abunde præclara gesta non facile confundant ? Quos adeo præfractos, quos procaces, non elingues reddant ? Quod os, non aliud e re habens, quam ut in omnes deinceps insaniat, omni ablegato pudore, illa non obstruant ? Imo, quod os, quam linguam maledicam, in benedicentiam ac laudes non convertant ? Nonne prudentia comite, bonitate morum, ac scientia politica gessit omnia ? Plane adnixus est, quandiu navis potuit gubernaculis cedere; nec ab eis excipiente tempestate abscessit, nihil partium omittens probi gubernatoris, loquens, consulens, monens, defectos animis erigens; excitans dormientes, animo intentis jubens ; omnes ad instantiam operis præcepto provocans; agens ipse ac præstans, quo navigium vento adverso ac procella iectatum, posset præsentis naufragii periculum cavere.

Iis itaque supra omnium opinionem continue instans, ad multum satis tempus avertit mala : at cum deinceps venti rabie furerent, ac mare sævius ferociret ; vasaque alia quidem fatiscerent, alia jam contrita essent ; navisque, ut verbo dicam, frenum respueret, vixque non loqueretur, mox nisi fortuna mutata, esse mergendam : ille nihilominus quanquam illud exasperatius foret, seque ipso gravius fieret, providendo instabat, suamque illam omnimodam virtutem difficultatibus opponens, hactenus conabatur navigium servare, ac velut in portum, in pacis tranquilla subducere ; quanquam parum aberat, ut ne pacis spem omnem abjecisset. Neque enim erat qui nesciret hostis, qua indolem, qua

A ρημένην λοιπὸν δέξασθαι. Ἐδόκει τοίνυν εἶναι βελτίων ἡ τῶν Φρερίων ἅπασι τρόποις. Κακῶν γὰρ δὴ προκειμένων, τὸ μὴ χεῖρον βέλτιον, κατὰ τὸν θρυλλούμενον λόγον. Ὥστε τὸ κουφότερον ᾕρηται, καὶ τοῦτό γε μετὰ πολλῆς τῆς εὐγνωμοσύνης, καὶ τρόπου γέμοντος ἀγαθότητος. Βουλομένοις μὲν γὰρ δέξασθαι τὴν εἰρημένην ἀρχὴν, συγχωρεῖν ἐβούλετο, μήτε ὀργιζόμενος, καὶ δάκρυον ἐκπέμπων τῶν ὀφθαλμῶν, τῇ τε διαστάσει τῶν φιλουμένων, καὶ τῷ μὴ δύνασθαι ὑπὲρ σφῶν προκινδυνεύοντα τούτους σῶσαι. Τοῦτο καὶ γονεῦσι συμβαίνει, εἰς ἀλλοδαπὴν τὰ φίλτατα πέμπουσιν, ἐπειδὰν οὐκ ἐξῇ σώζεσθαι
B μὴ διακριθέντας ἀλλήλων. Προαιρουμένους δὲ τὰ βέλτιω, δηλαδὴ τὸ πολεμεῖν τοῖς βαρβάροις τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα, καὶ ἢ νικᾷν τῇ τοῦ Θεοῦ συμμαχίᾳ, ἢ πάντα φέρειν τὰ δυσχερῆ, ὑπὲρ ἐλευθερίας ἀποδυσαμένους καὶ δόξης, ἐπαινεῖν αὐτοὺς τῆς γνώμης, καὶ παροξύνειν ὁπόσα δύναιτο, καὶ συναποθανεῖν αὐτοῖς ὑποσχέσθαι, καὶ πράττειν τοῦτο μάλα προθύμως, ἡγούμενος αὐτοῖ, ἑπομένοις.

Οὕτως οὖν ἔχων λογισμῶν καὶ περὶ αὐτοῦ, καὶ περὶ τῶν ἰδίων, καὶ περὶ τῶν φίλων, καὶ περὶ πάντων, τίνα δικαίαν ἀφορμὴν παρέσχετ' ἂν κατηγόροις; Τίς ἂν τῶν διαβαλλόντων εὐκόλως χρήσαιτο τοῖς εἰωθόσι ; Πόσης ἰταμότητος ὑπερβολὴν, τίνα θρασὺν καὶ ἀναίσχυντον οὐκ εὐχερῶς ἀπέτρεψεν ἂν τὸ μετὰ περιουσίας λαμπρὸν τῶν ἔργων ; Ποίους αὐθάδεις, τίνας προπετεῖς οὐκ ἂν ἀφώνους εἰργάσατο ; Ποῖον οὐκ ἂν ἀπέρραψε στόμα, μηδέν τι
C προὔργου ποιούμενον, ἀλλ' ἢ τὸ κατὰ πάντων ἐξῆς λῆρεῖν, ἐρρῶσθαι πάσῃ φράσαν αἰδοῖ ; Μᾶλλον δὲ ποῖον μὲν στόμα, ποίαν δὲ γλῶτταν βλάσφημον, οὐκ ἂν πρὸς εὐφημίαν μετέβαλεν ; Οὐ γὰρ φρονήσεως, οὐ χρηστότητος, οὐκ ἐπιστήμης πολιτικῆς ἅπανθ' ὅσα πέπρακται τῷδε τἀνδρί ; Ἀντεῖχε μὲν, ἕως ἐξῆν τοῖς οἴαξιν εἴκειν τὸ πλοῖον· καὶ χειμῶνι χρώμενος, τούτων οὐκ ἀφίστατο, καὶ τἄλλ' ἐξῆς πάντα ποιῶν τὰ τῶν ἀγαθῶν ναυκλήρων, λέγων, συμβουλεύων, παραινῶν, ἀναθαρρύνων τοὺς καταπίπτοντας, διυπνίζων τοὺς καθεύδοντας, διακελευόμενος τοῖς σπουδάζουσιν, ἐπιτάττων ἐνεργοὺς ἅπαντας εἶναι, αὐτὸς ἐκεῖνος διαπραττόμενος, δι' ὧν ἂν ἦν μὴ καταβαπτισθῆναι τὸ σκάφος, δυσηνεμίᾳ καὶ σάλῳ χρώμε-
D νον.

Ταῦτά τοι διαπαντὸς ἐργαζόμενος ὑπὲρ τὰς ἁπάντων δόξας, ἐπὶ μακρόν τινα χρόνον ἀπέτρεπε τὰ δεινά· εἶτα τῶν ἀνέμων ὥσπερ λυσσώντων, καὶ μαινομένης ἀγριώτερον τῆς θαλάσσης, καὶ τῶν μὲν σκευῶν αὐτῷ πονησάντων, τινῶν δὲ καὶ συντριβέντων, ἤδη τῆς τε νεὼς, ὡς ἔπος εἰπεῖν, ἀφηνιαζούσης, καὶ μονονοὺ φωνὴν ἀφιείσης, ὡς αὐτίκα καταδύσεται μὴ μεταβαλούσης αὐτῇ τῆς τύχης· ὁ δὲ καὶ μᾶλλον ἀγριαινούσης ἐκείνης, καὶ ἀεὶ χαλεπωτέρας αὐτῆς γινομένης, ἔμενεν ἐν τῷ προνοεῖσθαι, καὶ ταῖς δυσχερείαις ἀντιθεὶς τὴν ἐν αὐτῷ παντοδαπὴν ἀρετὴν, ἐπειρᾶτο διασώζειν ἔτι τὸ πλοῖον, καὶ ὡς ἐπὶ λιμένα τὴν εἰρήνην τοῦτο κατάγειν. Καίτοι ταύτης ἤλπιζε τεύξεσθαι, μικροῦ δεῖν, οὐδαμῶς.

Digitized by Google

Οὐδὲ γὰρ ἠγνόει τὴν τοῦ ἐχθροῦ καὶ φύσιν, καὶ γνώμην, καὶ ἀγριότητα, καὶ ὅσα ἕτερα αὐτὸν ἔχεσθαι τῶν ὅπλων παρώτρυνεν. A animum sævitiamque, ac si qua alia jugo ei armorum studium faciebant.

Ὁ μὲν οὖν ἐχθρὸς καὶ τὰ ἐκείνου τοιαῦτα· κακὸς, κακὰ καὶ πράττων καὶ βουλευόμενος. Ὁ δέ γε, καὶ τοιαῦτα καλῶς γινώσκων, καὶ ὡς τῆς ἐμφύτου θηριωδίας ἐκείνης ἀνθέξεται, ἦν μὴ παντάπασιν ἀπογνῷ τοῦ πρᾶξαί τι κατ' αὐτοῦ δυνηθῆναι, ἀνάγκης θύραθεν ἐπελθούσης, ὅμως οὐκ ἀπηλλάττετο, ζητῶν τὰς μετ' ἐκείνου σπονδάς. Ἠγεῖτο γὰρ πρέπειν αὐτῷ μηδ' ὁτιοῦν τῶν εἰς αὐτὸν ἡκόντων παραλιπεῖν, μηδὲ μηχανῆς ἠστινοσοῦν ἀμελῆσαι, ὁπωσοῦν εἰς εἰρήνην φερούσης.

Sane quidem hostis talis erat, ejusque talia studia; malus scilicet, moliens pariter ac agens mala. Verum quanquam ille hæc probe nosset, sciretque in innata illa ferocitate perseveraturum, nisi omnino extrinsecus immissa necessitas aliqua spem damni inferendi auferret: minime mutabatur, ut ne pacis cum eo fœdera sollicitaret. Se quippe arbitrabatur decere, ut nihil omitteret eorum quæ sua essent, nullamque artem, qua pax conciliarda videretur, negligeret.

Ἐπεὶ τοίνυν οὕτως ἐδόκει, πρεσβεῖαι μὲν πάνυ πυκναὶ, καὶ ὅσα πρὸς διαλλαγὰς ἐφέλκεσθαι πέφυκεν· ὁ δὲ σατράκης ἀκριβῶς ἐχρῆτο τῇ φύσει, καὶ ἐλπὶς οὐδέσιν ὑπελείπετο, πρὸς βέλτιόν τι μεταβαλεῖν τὴν τοῦ θηρὸς ἐκείνου γνώμην ποτέ. Ὁ δὲ πλήρης φρονήσεως ὤν, ἐξεῦρεν ὅπως εἰς ἀνάγκην ἐκεῖνον ἀγάγῃ τοῦ τῆς εἰρήνης ἐπιθυμῆσαι, Τίς ὁ τρόπος τῆς ἀνάγκης; Αἱ μετὰ τῶν Φρερίων συμβάσεις, καὶ ἡ ἐνθάδε τούτων ἐπιδημία, δι' ἧς τὸν Βάρβαρον ἔπεισε καταβαλεῖν τὴν ἐπηρμένην ὀφρῦν, καὶ τῶν προτέρων λογισμῶν καθυφέντα, τὰς μεθ' ὑμῶν ζητῆσαι σπονδάς γε, καὶ ταύτας πολλοῦ τινος ἐθέλειν τοῦτον ἀλλάξασθαι, ἄνω ποταμῶν φασι. Τοῦτ' ἦν τὸ πρῶτον αἴτιον τοῦ τοὺς Φρερίους ἐνθάδε παραγενέσθαι. Τὸ γὰρ ἑτοίμους ἐκείνους ἔχειν εἰς σωτηρίαν ὑμετέραν καὶ βοήθειαν, εἰ μὴ κατὰ νοῦν ἐκβαίη τὸ τῆς εἰρήνης ἐγχείρημα τῷ δεσπότῃ, δεύτερον ἦν ἀληθῶς, καὶ παντελοῦς ἀπογνώσεως. B C

Sane quidem ubi sic constitutum esset, fiebant crebræ admodum legationes, ac si qua in pacis studia trahere habeant: satrapa vero suo prorsus genio utebatur, nullaque erat spes reliqua, ut unquam belluæ animus in melius aliquid convertendus esset. Cæterum Theodorus, pro ejus prudentiæ ratione, qua plenus esset, modum invenit, quo in desiderii pacis necessitatem hominem cogeret. Quis porro hic modus? Initæ scilicet pactiones cum Rhodiis, eorumque huc adventus. Eo quippe Barbarum adegit, ut jam olim elatum supercilium demitteret, utque a prioribus cogitationibus decedens, fœdus pacisci vobiscum quæreret, pluresque faceret rem obtinere, *adverso*, ut aiunt, *flumine*. Fuit illa prima ratio adventus Fratrum. Quod enim illos expeditos habituri essetis in salutem vestram ac opem, si minus pacis illa molitio pro voto succederet despotæ, secundum reipsa erat, ac summa res desperationis.

Ἀλλὰ γὰρ ἔοικα οὐκ ἀκριβῶς τοῖς ὀνόμασι χρήσασθαι, βοηθούς τε καὶ σωτῆρας ἐκείνους προσαγορεύσας. Τὸ μὲν γὰρ προκρῖναι τούτους τῶν ἀσεβῶν, καὶ τῆς αὐτῶν δεσποτείας τὴν τῶν Λατίνων ἀρχὴν προθεῖναι, ἀλλ' οὐδὲ παραβάλλειν οἶμαι καλόν· οὕτω πολὺ διειχέτην· οὐ μέντοι γε σωτῆρες καὶ βοηθοὶ κυρίως ἂν οἵδε καλοίντο, εἰ τοῦ μὲν ζυγοῦ τῶν ἀσεβῶν ἀπήλλαξαν ἄν, ὑπὸ δὲ τὸν σφῶν αὐτῶν μὴ βουλομένους ὑμᾶς ὑπήγαγον. Καλὸν μὲν γὰρ καὶ λίαν καλὸν τὸ τὸν ἀλλόκοτον θῆρα κωλῦσαι καταπιεῖν, ὡς ἐβούλετο, πᾶσαν ἐξῆς τὴν τοῦ Πέλοπος· ἅτε δὲ δακρύων ἀφορμὰς κατ' ἄλλους παρεχόμενον τρόπους, οὔτ' εὐφροσύνης καθαρᾶς ἦν ἄν ποτ' εἴπερ ἐγένετο, οὔτε κυρίως βοήθεια. Ἔτι καὶ φάρμακον ἀγαθὸν οὐκ ἄν ποτ', οἶμαι, πάντη κριθείη, ἦν ἀπαλλάξῃ δεινοῦ τὸ σῶμα, ἕτερον δέ τι πάθος ἀντεισαγάγῃ, πουφότερον μὲν τοῦ προτέρου, λυποῦν δ' οὖν ὅμως τὸ σῶμα. Δείκνυσι δὲ κἀκεῖνο. Εἰ γὰρ τὸ πρᾶγμα κυρίως ἦν ἀγαθὸν, λέγω δὲ τὸ ἐκείνους ὑμῶν ἄρχειν, τοῦτό γ' ἂν εἱλόμεθα πάλαι, καὶ τοῦ τῆς ἡμετέρας ἀρχῆς θρόνου τούτοις ἐκόντες παρεχωρήσαμεν, μηδεμιᾶς που περιστάσεως εἰς τοῦτο βιαζομένης. Οὐ γὰρ τὸ ἡμᾶς ὑμῶν ἄρχειν τῆς ὑμετέρας ὠφελείας ἄμεινον ἐκρίναμεν ἄν· οὕτω περὶ πλείστου τὸ ὑμέτερον ἄγομεν. Νυνὶ δ' ἀνάγκης σαφοῦς τὸ πρᾶγμα, ἧς γε λυθείσης, ἐν ἀχρηστίᾳ τὸ κατ' αὐτοὺς ἦν εὐθύς· ὅθεν καὶ τὸ δέον προὐκέκριτο καὶ D

Sane quidem hostis talis erat, ejusque talia studia; malus scilicet, moliens pariter ac agens mala. Verum quanquam ille hæc probe nosset, sciretque in innata illa ferocitate perseveraturum, nisi omnino extrinsecus immissa necessitas aliqua spem damni inferendi auferret: minime mutabatur, ut ne pacis cum eo fœdera sollicitaret. Se quippe arbitrabatur decere, ut nihil omitteret eorum quæ sua essent, nullamque artem, qua pax conciliarda videretur, negligeret.

Videor nihilominus haud satis vocibus accuratus, qui eos auxiliatores ac sospitatores appellem. Ut ii quidem infidelibus præferrentur, Latinorumque dominatio eorum dominationi potior haberetur, omni palam comparatione antiquius: sic magnum quid inter utrosque refert; haud tamen illi absolute sospitatores ac auxiliatores audituri erant, ut ab infidelium liberantes jugo, suo vicissim invitos manciparent. Bonum quidem erat, ac valde bonum, prohiberi immanem belluam, ut ne quod agitabat, totam deinceps Peloponnesum gluttiret: quia tamen alia ratione lacrymarum segetem ministrabat, neque puri auxilii res, neque absolute auxilium, ut unquam exstitisset, erat. Nam neque remedium unquam omnino bonum habeatur, ut corpus quidem ab ægritudine liberet, morbum tamen alium subinde inducat; eum quidem priori leviorem, qui tamen corpus afficiat. Quin et hinc liqueat. Ut enim esset quid absolute bonum, ut ii, inquam, vobis imperarent, plane etiam essemus assensuri, libentesque nostra eis sede, quanquam nulla necessitas cogeret, cederemus. Nec enim unquam majorem imperii, quam vestræ utilitatis rationem habendam putavimus: tanti nimirum vos facimus. Cæterum quod factum est, liquide necessitatis fuit, qua soluta, totum statim negotium inutile evasit. Quamobrem præteristis quos

Digitized by Google

ere erat, cum despota, tum et ipsi, beneque concurrerunt omnia, ac neutra parte lancem inclinastis : quin omnes, in iis quæ bona essent ac vestris congrua moribus, magnificis ut unquam coronis aucti, Dei opitulante gratia, permansistis. Hæc vero hactenus.

Cæterum illud minime silentio prætereundum putem, singulare illud, quod in fratrum negotio circa Peloponnesios per id tempus consilium initum fuit, eum solum decuisse qui iniit. Quippe habuit profundius aliquid artisque impensioris, uti ex ipso rerum eventu cuique perspicuum fuit. Nihil enim Agamemnonis ille consilii super Ilium simile habuit. Cum nempe longo bello, necessariique commeatus penuria defectum militem, ad constantiam ac generosæ mentis propositum, prætenso oraculo animare volens, ardens adeo natalis soli ac patriæ desiderium injecit, ut ei plane consilium in contrarium cesserit, universis abjecta æmulatione ac animi fortitudine ad naves convolantibus, ac rei architecto amplam pœnitendi segetem ministrantibus : plane vero secus novum hoc atque vetus illud consilium habuit, interque ea nec exigui quid discriminis, nec momenti levis intercessit. Habuit vetus illud necessariam Ulyssis prudentiam, quin et manum. Nam et sceptrum in aliquos necessitate extendit, quo trahentium naves impetum retardaret, prohiberetque præcipitem illum discessum. Hoc autem, cum valde bonum esset, finem quoque bonum valde adeptum est ; remque salus per ipsum parta Peloponneso ostendit. Accuratissima namque scientia, quorumdam animis depulit exitiosam segnitiem, ab externa quadam malorum grassatione in eis auctiorem. Quod enim velut oraculo talia diceret, ac fere palam viderentur qui ejus essent ditionis, aliis mancipandi, quibus illi longe præstarent, stimulus quidam ad ea, quæ par esset, appetenda fuit, statimque eorum in ipsum amorem velut instauravit. Ubi enim malis fatiscens generosus animus, in sua aliquid animus dignum ingenuitate ac abjectius inclinavit (porro accidant ejusmodi non pauca in humanis, sæpius quidem in illud procurrit) ; jam autem proxime facturus, quem rei turpitudinis pigeat, resilit, majorique fervore impetum in bonum resumit, priorque contentio multa accessione redit. Cursu itaque in illud reflexo, majori alacritate quærit invenire, ac deinceps invento mordicus adhæret. Sic plane hoc quoque negotio habuit.

Mox enim audito, quod etsi non futurum, fore tamen videbatur, novum eis dilectionis in eum flamma, velut a scintilla multis obruta cineribus temporis scilicet casibus exarsit : cœpitque gloriæ cupiditas generosius agitari, œstrumque illud amoris in despotam invalescere, quod tempus, obscurans omnia, velut effetum obsoletumque fecisset : fuisset ergo Peloponnesus defectæ similis, ut esset visa alios pro eo recipere dominos : cœperunt vero palam bellum Rhodiis indicere, communique conspiratione manavit decretum sacramentis firmatum,

παρὰ τοῦ δεσπότου, καὶ παρ' ὑμῶν, καὶ πάντα τούτῳ καλῶς συνέδραμε, καὶ οὐδετέρῳ τῶν ζυγῶν ὑπεκύψατε, ἀλλ' ἐν τοῖς καλοῖς τε καὶ εἰωθόσι διαμεμενήκατε πάντες μετὰ λαμπρῶν εἴπερ ποτὲ στεφάνων, συναιρομένης τῆς θείας ῥοπῆς. Ἀλλὰ τὰ μὲν περὶ τούτων ἅλις.

Ἐκεῖνο μέν γε οὐ σιωπήσομαι, τὴν τῶν Φρειρίων ἕνεκα πρὸς τοὺς αὐτόχθονας τῆς Πελοποννήσου γεγενημένην συμβουλὴν τηνικαῦτα, μόνην εἰρῆσθαι πρέπουσαν μόνῳ τῷ ταύτην βουλευσαμένῳ. Εἶχε γὰρ βαθύτερόν τι καὶ τεχνικώτερον, ὡς ἐξ αὐτῆς τῆς πείρας ἔστι μαθεῖν. Οὐδὲ γὰρ προσέοικε τῇ κατὰ τὸ Ἴλιον ἐξευρημένῃ τῷ Ἀγαμέμνονι, δι' ἧς ἐβούλετο μὲν ἐκεῖνος στηρίξαι πρὸς καρτερίαν καὶ γενναιότητα τὸ στρατόπεδον, μακρῷ πολέμῳ κακοπαθοῦντας, καὶ τῇ τῶν ἐπιτηδείων σπάνει, ἐνέβαλε δὲ τοσαύτην ἐπιθυμίαν αὐτοῖς τῶν οἴκοι τε καὶ τῆς πατρίδος, καὶ τῶν τιμιωτάτων, οἷς ἐχρημάτιζεν, ὡς περιστῆναι τούτῳ τὸ βούλημα πρὸς τοὐναντίον σαφῶς, καὶ τρέχειν πάντας ἐπὶ ναῦς, ῥίψαντας φιλοτιμίαν καὶ φρόνημα, καὶ πολὺν παρεσχηκέναι μετάμελον τῷ τεχνησαμένῳ· ἀλλ' ἀτεχνῶς ἀνόμως ἡ νεωτέρα τῇ πρεσβυτέρᾳ, καὶ τοῖν δυοῖν τὸ μέσον οὔτε σμικρὸν οὔτε περὶ τῶν τυχόντων πραγμάτων. Ἐκείνη μὲν γὰρ ἐδέησε τῆς Ὀδυσσέως συνέσεως, καὶ δὴ καὶ τῆς χειρός· καὶ γὰρ καὶ σκῆπτρον τάνδρὸς ἐκείνου κατ' ἐνίων ἀνετείνετο ὑπὲρ τοῦ κωλῦσαι τὰς ναῦς καθελκῦσαι, καὶ ἀποπλεῖν τὴν ταχίστην· ἡ δ' ἀγαθὴ κομιδῇ, καὶ κομιδῇ πρὸς ἀγαθὸν ἐτελεύτησε πέρας· καὶ δηλοῖ τὸ δι' αὐτῆς σεσῶσθαι τὴν Πελοπόννησον. Σὺν ἀκριβεστάτῃ γὰρ ἐπιστήμῃ τὴν ἐνίων νοθείαν εἰς τὰς αὐτῶν ψυχὰς κατασκήψασαν ἔκ τινων θύραθεν κακῶν ἐπιτεταμένων, ἐξήλασε. Τὸ γὰρ αὐτὸν χρηματίζειν τοιαῦτα, καὶ μονονοὺ τοὺς αὐτοῦ δουλοῦσθαι δοκεῖν ἑτέροις, ὧν ἐκεῖνοι πολὺ βελτίους, οἷα κέντρον γέγονεν αὐτοῖς πρὸς τὴν τῶν δεόντων ἐπιθυμίαν, καὶ ἀνεκαίνιζέ πως εὐθὺς τὸν εἰς αὐτὸν ἔρωτα. Εἰκότως. Ὅταν γὰρ ἡ γενναιότης ἀποκαμοῦσα, πρός τι φαυλότερον ἀποκλίνῃ, πολλὰ δ' ἂν τοιαῦτα γένοιτο παρὰ τοῖς ἀνθρώποις· πολλάκις μὲν ἐπ' ἐκεῖνο τρέχει, ἐγγὺς δὲ γενομένη τοῦ πράττειν, μισήσασα τὸ αἶσχος, ἀποπηδᾷ, καὶ θερμότερον ἀναλαμβάνει τὴν ὁρμὴν πρὸς τὸ ἀγαθὸν, καὶ μετὰ πολλῆς προσθήκης ὁ πρὶν ἐπάνεισι τόνος· ἡ δὲ, παλινδρομοῦσα πρὸς αὐτὸ, προθυμότερον ζητεῖ τοῦθ' εὑρεῖν, καὶ εὑροῦσά γε λοιπὸν, ἁπλῆς τούτου ἔχεται· ὃ δὴ κἀνταῦθα συμβέβηκεν.

Αὐτίκα γὰρ ἀκούσασι τὸ μέλλον μὲν οὐδαμῶς, δοκοῦν δ' ὅμως γενήσεσθαι, ἀνῆφθη τούτοις ὁ πυρὸς τῆς πρὸς ἐκεῖνον ἀγάπης, ὥσπερ ἀπό τινος σπινθῆρος αἰθάλῃ συχνῇ κατακεχωσμένου, τοῖς τοῦ καιροῦ συμπτώμασι· καὶ ὁ τῆς δόξης ἔρως ἐσφάδαζε, καὶ τὸ περὶ τὸν δεσπότην μεμηνὸς ἀνηβᾷν ἤρξατο, ὡσπερεὶ παρηβηκὸς καὶ ἔξωρον γενόμενον τῷ πάντ' ἀμβλύνοντι χρόνῳ. Ἐῴκεσαν οὖν ἐξεστηκέναι ἡ Πελοπόννησος, εἰ δόξαιεν ἄλλους ἐθέλειν ἀντ' αὐτοῦ δέξασθαι. Καὶ πολεμεῖν Ῥοδίοις φανερῶς ἤρξαντο, καὶ ψήφισμα γέγονε κοινὸν ὅρκοις τὸ βέβαιον ἐσχη-

Digitized by Google

κὸς, ἢ τοὺς Φρερίους ἐξελάσαι τῆς αὐτῶν, ἢ τεθνάναι· τὸν δὲ φιλούμενον αὐτοῖς ἐπαναλαβεῖν δεσπότην, εἰ καὶ μηδαμῶς αὐτὸν ἀπεβάλοντο. Ὁρᾶτέ μοι τὴν αὐτοῦ φρόνησιν, τὴν ἐμπειρίαν, τὴν περὶ τὰ πολιτικὰ ἐπιστήμην! Τῷ γὰρ ἐνδοῦναι δεδόχθαι, καὶ ταύτῃ γε τὸν ὄλεθρον ὑποδεῖξαι, τοὺς εἰς ἐκεῖνον βαδίζοντας ἔσωσεν, ἐφ' ἃ προσῆκε παλινοστήσαντας. Καὶ δὴ τοιαῦτα εἰργάσαντο, τοῦ καθήκοντος ἀντιποιούμενοι, ὥστε καὶ δοῦναι τοῦτον θαρρεῖν, ὡς εἰ μὴ ὁ Παγιαζίτης διαλλάγῃ, αὐτοὺς ἢ δείξειν τοῦτον τῆς κατ' αὐτὸν ἐλπίδος διαμαρτάνοντα, ἢ μετ' εὐκλείας τεθνήξεσθαι μαχομένους. Ὅπερ οὗτος θέλων ἦν, καὶ ἀεὶ πρὸς τοῦτο βλέπων, πάντα κατεσκεύαζέ τε καὶ ἔπραττεν.

Ἄλλην οὖν νέαν ἀρχὴν εἰληφότος τοῦ γεγηρακότος ὡς ἄν τις εἴποι πολέμου, τοῦ τε ἀδελφοῦ καὶ πάντων ὁμωμοτότων ἀγαθῇ τύχῃ, ἅπερ ἐχρῆν ὁμομοκέναι τῶν δεόντων ἕνεκα, τό τε ἔργον ἐθαυμάζετο, πανταχόσε διαδραμούσης τῆς φήμης, ὅ τε ἐξαρχῆς ἐργασάμενος, καὶ διὰ πάντων καλῶς περᾶνας, διαφερόντως ὑμνεῖτο. Ἐς Σπάρτην οὖν ἐπανιὼν ἐκ Μονεμβασίας, πείθει Ῥωμαίους τε καὶ Ῥοδίους τοὺς ἐν τῇ Πελοποννήσῳ κατέχοντάς τινας πόλεις, μὴ πρὸς ἀλλήλους διαμάχεσθαι τέως. Ἤδει γὰρ τοῦτο λῆξον πρὸς ἀγαθὸν αὐτῷ τέλος, ὥσπερ οὖν καὶ γέγονε πάντως.

Καὶ τοίνυν ἀναχωχῆς δεδομένης τῷ μεταξὺ τούτων πολέμῳ, αὐτὸς δὴ πράττει τὰ τοῦ πολέμου τοῦ πρὸς τοὺς Πέρσας, τὴν μὲν ἀπὸ τοῦ Θεοῦ συμμαχίαν ἐλπίζων, δεχόμενος δὲ καὶ τὸ θανεῖν ἄσμενος, ὡς σωτηρίαν ψυχῶν, καὶ δόξης αἴτιον ἀθανάτου. *Μαχέσθων ὡς τεθνηξόμενοι, καὶ οὐ τεθνήξονται,* ἀπέστειλάν ποτε τοῖς αὐτῶν οἱ τῆς Σπάρτης. Τοῦτ' ἐκεῖνος ἔνηχον ἔχων τὸ δόγμα καὶ ἐπαινῶν, ἔργῳ ἀληθὲς ἔδειξεν. Οὐκ ἔφθη γὰρ τὴν Σπάρτην καταλαβών, καὶ ἡ τοῦ σατράπου πρεσβεία, σπουδῇ τὴν Λακεδαίμονα καταλαμβάνουσι, καὶ ποιοῦσι τὴν εἰρήνην, πολλὰ μὲν ὑπισχνούμενοι, μηδὲν δὲ ἀπαιτήσαντες, ἢ τὸ τοὺς Φρερίους ἐπαναστρέψαι πρὸς τὴν αὐτῶν.

Καὶ δὴ σπονδῶν γενομένων ἰσχυροτάτων, ὅσα γε τὰ μετὰ τῶν Βαρβάρων ἰσχυρότατα λέγειν ἔξεστι, μετὰ δόξης οὐ σμικρᾶς τὰ κατὰ τὸν πόλεμον ἐκεῖνον ὑμῖν ἐτελεύτησε· καὶ ἀναβιοῦν πως ἤρξατο τὰ μικροῦ νεκρὰ γεγονότα, καὶ τὰ πρὶν μεμαρασμένα ἀναθάλλειν, καὶ τὰ κατερρυηκότα ἀνθεῖν ἐσαῦθις· καὶ πολλοῖς ἐκόμα τοῖς καλοῖς, καὶ ἐβριθέ γε πᾶσα ἡ Πελοπόννησος οὐ μετὰ πολύν τινα χρόνον. Ὥστ' οὐχ ὅπως ἀνεμέσητος ὁ μετὰ τῆς τοῦ Θεοῦ βοηθείας ταῦτα πράξας, ἀλλὰ καὶ λίαν ἐπαινετὸς τῆς τοιαύτης διαγνώσεως ἀνθρώποις τε νοῦν ἔχουσι, καὶ χοροῖς ἀγγέλων, καὶ Θεῷ, οὗ καὶ τῇ βοπῇ ταῦτ' ἐπράττετο. Τὸ γὰρ τοιαῦτα τοῦτον βουλεύσασθαι, καὶ διὰ τέλους καλῶς ἐργάσασθαι, καὶ δυνηθῆναι περᾶναι, πολλῆς τινος πάντως ἦν εὐμοιροῦντος οὐρανόθεν ἐπικουρίας. Εἰ δὲ καὶ πρῶτον ἐπῆλθε τὰ δυσχερῆ συχνόν τινα χρόνον μετὰ σφοδρότητος, τῆς τοῦ Θεοῦ καὶ τοῦτο εὐνοίας τῆς πρὸς τὸν ἄνδρα τεκμήριον. Οὐδὲ γὰρ μένειν ἠθέλησε τὴν ἀρετὴν ἀγέραστόν τε καὶ ἀνεπίδεικτον, ἢ μηδὲν αὐτῆς τιμιώτερον· ἀλλὰ παρὸν

A ut aut Fratres expellerent, aut mortem oppeterent, charumque despotam reciperent, quanquam eum minime amisissent. Videtis ejus prudentiam, experientiam, politicam peritiam? Quod enim sit visus cedere, cedensque ostenderit præsens discrimen, postliminio reversos ad id quod operæ pretium esset, ipsumque adeuntes fecit esse sospites. Sic vero officii tenaces ac strenui habuerunt, ut et illi spem certam injicerent, nisi Bajazet.s pacem iniret, aut a spe sua frustratum ostensuros, aut cum gloria pugnantes, mortem appetituros: quod utique volebat ille, inque eum finem perstruebat omnia agebatque.

Novo itaque veteris belli, ut sic dicam, ducto
B exordio, cum se frater ac pariter omnes, pro eo atque decebat, sacramento fauste obstrinxissent, famaque ubique pervagaretur, cum opus admirationi erat, tum ejus a principio auctor, ac qui bene per omnia consummasset, eximiam quamdam referebat laudem. Monembasia ergo reversus Spartam, auctor est Græcis pariter ac Rhodiis, quasdam jam urbes occupantibus in Peloponneso, ut ne hactenus ferro decernant; sciebat enim rem cessuram in bonum, uti plane etiam cessit.

Ejus itaque belli concessis induciis, bellum ipse in Persas conflcit, sperans quidem a Deo auxilium, sed et mortem lubens, tanquam animorum utilem saluti, ac immortalis gloriæ conciliatricem oppetens. *Pugnent ut morituri*, scripsere quondam
C Spartani ad suos, *et non morientur*. Hanc ille sententiam auribus insonantem habens ac laudans, reipsa probavit veram. Necdum enim Spartam venerat, cum missi a satrapa legati Lacedæmona occupant, pacemque sanciunt, multa quidem præstare pollicili, nec aliud quidquam vicissim exigentes, quam ut Fratres redeant in suam provinciam.

Sane icto pacis firmissimo fœdere, ut icta cum
D Barbaris pacis fœdera firmitatis robur dicantur obtinere, bellum hoc non exigua gloria vobis confectum est; cœperuntque, quæ velut emortua essent, novam induere vitam, ac quæ emarcuissent, revirescere; quæ defluxissent, novum florere; ac brevi Peloponnesus tota multo decore ornari ac referta esse. Quamobrem talium opifex nedum videatur vacare culpa, sed et maxima dignus laude a tali judicio cum hominibus sanæ mentis, tum choris angelorum tum etiam Deo, cujus etiam nutu res tota dispensata est. Ut enim ille consilium inierit, ac præclare confecerit, potueritque terminare, ejus fuit procul dubio, cui divinum cœlitus auxilium abunde suppeteret. Quanquam vero etiam gravia primum invasere diu quidem, ac multa vi, hoc quoque divinæ in virum benevolentiæ argumentum fuit. Noluit enim Deus, sine præmio ac occultum ejus virtutem fore, qua nihil pretiosius haberet. Cum ergo statim posset malum depellere, permisit

Digitized by Google

tamen inolescere, ac auctius fieri qui athletæ ad victoriam ac coronam fortitudinem præstaret.

Sic itaque propositus pugil, cui et vos, uti membra capiti, fuistis compugiles, duo quædam simul evicit, quorum vel alterum libens quis evicisset. Utrumque enim præclarum, uti res probant. Cum enim satrapa, parte aliqua deposita feritate, se mansuetum exhibere certabat (quippe melotem induerat, quanquam omnino lupus esset), tum Peloponnesus tota, eximiam quamdam gloriam, instar splendidæ tunicæ, amicta exaltabat, nedum ob priora omnia, sed et propter ipsam agitationem ac consilium belli Persici, quorum potentia plurimum vigebat. Merito igitur omnium laudibus celebrem ini, cum caput, tum membra, vos, inquam, ac ille, omnium causa a principio ad finem, quo sic verbo dicam.

Age vero : quia porro prorsus necesse erat, ut et quas Rhodii civitates adhuc tenerent, Romano imperio vindicarentur, utique etiam vindicatæ sunt : sic autem, eaque arte instructo negotio, ut neque illorum in nos amicitia quidquam imminuta sit, concesserintque ut urbes reciperemus, ac postmodum arces sponte in manus tradiderint. Virum ergo sic prudentem, sic justum, sic fortem, sic non inhiantem voluptatibus aut pigritiæ deditum, sic autem in laboribus ac periculis constantem, sicque in omnibus industrium, ac omnino multa cum modestia animi bonis refertum ; quique nihil dulce ad voluptatem haberet, quam quod sciret e re communi, uti decursa tota declaravit oratio, rerumque ipsa experientia dilucide ostendit ; quænam lingua, quæ vox, quæve mens aut prudentia satis laudaverit, vel si una conveniant commentarii omnes ac poetæ, Nestoresque, ac Ulysses, et Antenores, omnesque oratorum chori, Pythagoræque, ac Platones, universique ejusmodi ? Cæterum ipsæ, puto, res satis illi bene ad gloriam labcant.

Verum, ut etiam cippo ac titulo egeat, sibi ipse erexit, fixitque industrie admodum detondens ac poliens, supra quam vel Phidias possit : hanc, inquam, Peloponnesum. Ne quis vero inanimem illam existimet ; quod ferunt dixisse quemdam regi Alexandro, formasse omnem superum ad ejus speciem, habitu decente tantum regem : sed animatam dico Peloponnesum ac rationalem : vos, inquam, probum cœtum, qui instar statuæ, omni illi tempore ad celebritatem nominis, præclara morum honestate habeatis. Quorum enim politicæ virtutis scientia, ac morum probatorum societas, fictorem cum, ac aliptem doctoremque ad optima habuerit, illi plane, ceu unus perspicue titulus, multi positi estis, quos ille ad immensum unum decorem polierit excoluerique.

εὐθὺς ἀποκρούσασθαι πᾶν δεινὸν, ὁ δὲ καὶ μᾶλλον εἴασεν ἐπιταθῆναι καὶ ἐπιδοῦναι · παρέσχετο δὲ ἀνδρίαν τῷ ἀθλητῇ, ὥστε περιγεγονέναι τε καὶ ἐστεφανῶσθαι.

Ὁ γοῦν ἀθλητὴς οὗτος, ᾧ γε καὶ ὑμεῖς συνηθλεῖτε, καθάπερ κεφαλῇ μέλη, δυοῖν ἅμα ἔτυχεν, ὧν κἂν θατέρου τυχὸν ἠγάπησεν · ἕκαστον γὰρ λαμπρὸν καὶ δηλοῖ τὰ πράγματα. Ὅ τε γὰρ ἐχθρὸς σατράπης, τὸ θηριῶδες ἐν μέρει θεὶς, πρᾶον ἑαυτὸν ἐπειρᾶτο δεικνύναι (ἐνέδυ γὰρ τὴν μελωτὴν, λύκος ἄντικρυς ὤν), ἥ τε Πελοπόννησος πᾶσα ὑπερφυᾶ τινα δόξαν ὥσπερ χιτῶνα λαμπρὸν ἀνεβάλοντο · οὐ μόνον τε τῶν προλεδόντων ἁπάντων, ἀλλὰ καὶ μόνης τῆς ὁρμῆς καὶ τῆς προθέσεως ἕνεκα τοῦ πρὸς τοὺς Πέρσας πολέμου, οἷς τὰ τῆς δυνάμεως σφόδρα ἤκμαζε. Πάντες οὖν εἰκότως θαυμάσαιεν τήν τε κεφαλὴν, τά τε μέλη · ὑμᾶς τε λέγω κἀκεῖνον, πάντων ἕνεκα τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους, εἰ δεῖ συντόμως εἰπεῖν.

Εἶεν δέ. Ἐπεὶ δὲ πάντως ἐχρῆν καὶ τὰς ἔτι κατασχομένας ὑπὸ τῶν Ῥοδίων πόλεις ἐπανασωθῆναι τῇ τῶν Ῥωμαίων ἀρχῇ, τοῦτο δὴ καὶ γέγονεν, οὕτως ὑγιῶς κατασκευασθέντος τοῦ πράγματος, ὡς μήτε τὴν φιλίαν ἐκείνων τὴν πρὸς ἡμᾶς ἀμβλυτέραν γενέσθαι, καὶ τὰς πόλεις ἡμῖν ἐκείνους συγχωρεῖν ἐπαναλαμβάνειν, καὶ μετὰ τοῦτο, τὰς ἀκροπόλεις ἐθελοντὰς ἐγχειρίζειν. Τὸν γοῦν οὕτω μὲν φρόνιμον, οὕτω δὲ δίκαιον, οὕτω δὲ ἀνδρεῖον, οὕτω δὲ μὴ πρὸς τὰς ἡδονὰς κεχηνότα, μηδὲ ῥᾳθυμίαις ἑαυτὸν δεδωκότα, οὕτω δὲ καὶ καρτερικὸν ἐν τοῖς πόνοις καὶ τοῖς κινδύνοις, οὕτω δὲ δεξιὸν ἐν πᾶσι, καὶ ὅλως βρίθοντα τοῖς καλοῖς μετὰ πολλῆς μετριότητος, καὶ μηδὲν ἡγούμενον τρυφὴν, ἢ ὅσα περ ἠπίστατο συνοίσοντα τῷ κοινῷ, ὡς ὁ τε λόγος φθάσας ἐδήλωσε, καὶ ἡ πεῖρα σαφῶς παρέστησε, ποία τις γλῶττα, ποία φωνὴ, νοῦς δὲ τίς ἢ φρόνησις, ἀρκέσειεν ἂν ὑμνῆσαι, οὐδ' εἰ συνέλθοιεν ὁμοῦ πᾶσα συγγραφή τε καὶ ποίησις, Νέστορές τε καὶ Ὀδυσσεῖς, καὶ Ἀντήνορες, καὶ οἱ τῶν ῥητόρων πάντες χοροὶ, καὶ Πυθαγόραι, καὶ Πλάτωνες, καὶ οἱ κατ' αὐτοὺς ἅπαντες ; Αὐτὰ δ' ἂν, οἶμαι, τὰ πεπραγμένα πρὸς εὐδοξίαν καλῶς ἀρκέσειεν.

Οὐ μὴν ἀλλ' εἰ καὶ στήλης αὐτῷ προσδεῖ, αὐτὸς ἑαυτῷ ἀνήγειρέ τε καὶ ἔπηξεν, ἀποξέσας δεξιῶς ἄγαν, ἄμεινον ἢ κατὰ τὴν Φειδίου τέχνην · λέγω δὲ τὴν Πελοπόννησον τήνδε. Καὶ μή τις νομίσῃ τὴν ἄψυχον, ὥς τινά φασιν εἰρηκέναι Ἀλεξάνδρῳ τῷ βασιλεῖ, εἰδοποιῆσαι πάντα τὸν ἄνω πρὸς τὴν ἐκείνου μορφὴν, ἐν σχήματι προσήκοντι τοσῷδε βασιλεῖ · τοῦτο γὰρ ἀδύνατον · ἀλλὰ Πελοπόννησον ἤδη λέγω, τὴν ἔμψυχόν τε καὶ λογικήν · ὑμᾶς δήπου τοὺς ἀγαθοὺς ἄνδρας, τύπον ἀνδριάντος ἐκείνῳ σώζοντας τῇ τῶν ἠθῶν εὐκοσμίᾳ, πρὸς εὐφημίαν τὸν πάντα χρόνον. Ἐπειδὴ γὰρ παρ' ὑμῖν καὶ ἐμπειρία πολιτικῆς ἀρετῆς, καὶ τρόπων ἀγαθῶν μετουσία, ἐκείνῳ γε καὶ πλάστην, καὶ ἀλείπτην, καὶ διδάσκαλον ἔχουσι πρὸς τὰ βέλτιστα, ἤ πού γε ἐκείνῳ στήλη πεπηγατέ μία τις ἀντικρυς, οἱ πολλοὶ, ἀπεξεσμένοι παρ' αὐτοῦ πρὸς ἓν ἀμήγανον κάλλος.

Digitized by Google

Ὄντα δὲ τὸν ἀδελφὸν τοιοῦτον, ἀδικοίην ἂν αὐτὸν καὶ τὴν ἀρετὴν ἁπλῶς, ἥτις τὸν ἄνδρα ἐκόσμησεν, εἰ τοῖς νῦν ἀνθρώποις παραβάλλοιμι. Οὐ λέγω δὲ περὶ τῶν φυσάντων, ἀλλὰ, *μετ' ἀμύμονα Πηλείωνα*, φησὶν Ὅμηρος. Τοιγαροῦν τοῖς παλαιοῖς ἐκεῖνον παραθετέον· καὶ τούτων αὖθις ἐκείνοις, οἷς τὸ συγχεχωρηκὸς πολὺ παρὰ πάντων ἦν. Εἶεν δ' ἂν οἶμαι ἐκεῖνοι, οἳ δι' ἀρετῆς ἔνδειξιν τὸν ἀπόπλουν τὸν μακρὸν ἀνεδέξαντο, καὶ ὅσαπερ ἐκ τούτου συμβέβηκε, καὶ τὸ Ἴλιον ἐπόρθησαν, οὐκ ἀδίκων χειρῶν ἄρξαντες. Ἡγούμεθα δὲ μηδεμίαν ἡμᾶς δίξεσθαι μέμψιν, εἰ τοῖς ἀρίστοις ἐκείνοις τὸν ἀδελφὸν παραβάλλοιμεν. Καλὰ γὰρ δὴ ἐκείνων ἐπιεικῶς, καὶ οἷα σχεῖν ἐπαινέτην αὐτὸν Ὅμηρον· διὸ δὴ καὶ διήρκεσε θαυμαζόμενα ἄχρι δεῦρο. Πλὴν ἀλλὰ καὶ τὰ ἡμέτερα ταῦτα· τὰ γὰρ ἀδελφῶν κοινά· ἦν ἕκαστα ἑκάστοις παρατεθῇ τῶν ἐν ἐκείνοις καλῶν, οὐκ ἔνι λέγειν ὡς ἥττηται. Καὶ δὴ βασάνῳ δῶμεν ὡδὶ τὸν ἄνδρα, ἵνα μὴ δόξωμέν τισιν ὑπερβολαῖς καταγρῆσθαι, ὡς δῆθεν ἀδελφῷ χαριζόμενοι· τὴν δὲ παράταξιν ποιησόμεθα συνελόντες ὁπόσον ἔξεστιν. Ὁ λόγος δὲ οὐ περὶ εὐσεβείας ἡμῖν ἔσται, πρὸς ἣν οὐδὲ παραβάλλειν ἔξόν ἐστιν, οἶμαι, τὰς ἀρετάς· ὅτι οὐδὲ ἀρεταὶ κυρίως, μὴ ῥίζης ταύταις οὔσης ἐκείνης.

Ἦν Ἀγαμέμνων βασιλεὺς, λεῶν κοσμήτωρ ὅτι πλείστων, μεγάθυμος, μεγαλοπρεπής, καρτερός· Πηλείδης δὲ Ἀχιλλεὺς, ἀνδρεῖος ὅσον οὐχ ἕτερος, ὠκὺς τὼ πόδε, καλὸς τὸ εἶδος, ῥίζης λαμπρᾶς, φιλότιμος, καὶ τὸ μετ' εὐκλείας ζῆσαι βραχύτερον τοῦ γε βιῶναι μακρότερον ἐκείνης ἄνευ προτεθειακώς. Πρωτεσίλεως ἀνὴρ ὑπὲρ ἀγαθῆς δόξης, αὐτὸν ὃν φρίττουσι πάντες θάνατον, φίλον ἡγησάμενος, καὶ δοὺς ἰδίᾳ τελευτῇ κρατῆσαι τῶν Βαρβάρων τοὺς Ἕλληνας· Νέστωρ, Ὀδυσσεὺς, καὶ μετ' ἐκείνους ἕτεροι, πολλῇ τινι κοσμούμενοι φρονήσει, καὶ τῇ τῆς πειθοῦς δυνάμει φιλοτιμούμενοι. Ἐφρόνει μέγα ὁ τοῦ Τυδέως ἐπὶ τῷ δόρατι· Αἴας ἐπὶ τῇ ῥώμῃ, καὶ τῷ εὐμεγέθης εἶναι· ἐπὶ τῇ τοξικῇ Τεῦκρος. Καὶ τούτων αὖθις ἕτεροι ἐδόκουν εἶναι πολλῷ βελτίους ἐν ἄλλοις διαφόροις πλεονεκτήμασιν ἐν τοῖς Τρωσί· καὶ μὴν καὶ Ἕκτωρ εἰς εὐψυχίαν· καὶ εἰς ῥητορείαν Ἀντήνωρ. Κἀν τοῖς συμμάχοις δὲ ἄλλοι τε πολλοὶ λαμπροὶ πεφήνασιν ἄνδρες ἐφ' ἱππικῇ καὶ πολλοῖς ἑτέροις πλεονεκτήμασι· καὶ ἄλλων ἕνεκα πλεῖστοι. Τούτων ἡμίθεοι πολλοὶ διὰ τὸ τῆς ἀρετῆς περὶν ὠνομάσθησαν, καίτοι παθῶν γέμοντες. Λεκτέον δέ μοι τὰ κρείττω περὶ αὐτῶν. Οὐδὲ γὰρ λέγω νῦν αἰσχροκέρδειαν, μικροψυχίαν, φιληδονίαν, καὶ συλλήβδην πάντα τὰ πάθη, ἃ τις ἂν ζητήσας, εὑρήσειε σποράδην ἐν ἐκείνοις πεφυτευμένα· καὶ τοῦτό μου τῷ λόγῳ οὐκ ἀντιπίπτει, περιάπτοντος κακίαν τοῖς ἐπ' ἀρετῇ θαυμαζομένοις ἐκείνοις. Ἀγαθὸς γὰρ ἕκαστος οὐχ ἁπλῶς καὶ ἀπολελυμένως ὥσπερ τὰ τὴν κλῆσιν ταύτην γνησίως εἰληχότα· ἀλλ' ἐφ οἷς ὡς ἀληθῶς ἐστι μόνοις, καὶ ἀπὸ τοῦ πλείονος μέρους. Καὶ τοίνυν οἱ μὲν πλεονεκτοῦσι τῶν ἄλλων κατά τινα ποιότητα ἀρετῆς, ἢ δυοῖν τυχὸν τῶν γενικωτέρων, οἱ δὲ, τῷ πλείους κεκτῆσθαι. Εἴη

Cum porro talis exsistat, injurius sim, cum illi, tum omnino virtuti qua ornatus fuit, ut ejus cum præsentis ævi hominibus comparationem inire velim. Nihil parentes loquor, sed, *post inculpatum Pelidem*, inquit Homerus. Videatur ergo antiquis comparandus, iisque veterum, quibus universi præmia virtutis delata velint. Eos autem existimo, qui virtutis ostentandæ causa longam illam navigationem, aliaque deinceps gravia susceperunt, quique nihil ipsi injuriæ auctores, Ilium vastaverunt. Nihil porro crimini dandum putamus, ut cum viris illis optimis fratrem componamus. Fuerunt plane eorum res præclaræ, ut et Homerum laudatorem habere meruerint. Quamobrem etiam eorum hactenus vigens admiratio manet. Sed et nostra talia sunt: quippe fratrum sunt communia omnia, ut singulis eorum præclaris singula componens, nihil illis deteriora pronuntiare possis. Sane vero probatione in virum utamur, ut ne quis, velut in fratris gratiam, male quid hyperbolicum locutos putaverit. Componemus autem quam maxima brevitate fieri poterit. At neque quidquam de pietate sumus dicturi, quam ut spectes, ne liberum quidem existimem virtutes comparari; nam neque sunt proprie virtutes, quibus illa non sit radix.

Agamemnon plurium populorum rector fuit, magni vir animi, magnificus, strenuus: Pelides vero Achilles, ut quisquam alius fortis, velox pedibus, decorus facie, præclara stirpe, honoris amans, ac cui potius fuerit annos paucos celebri fama vivere, quam plures sine gloria. Protesilaus quis ut quam universi horrent mortem, charam ipse gloriæ causa habuerit, ac sua nece victores Barbarorum Græcos effecerit. Nestor, Ulysses, ac deinceps alii multa quadam prudentia pollentes fuerunt, ac vi suadæ magnifice ornati. Tydei filius lancea gloriabatur; Ajax robore ac procera corporis statura: Teucrus, sagittandi arte: vicissimque Troes alii diversis aliis longe his præstare videbantur. Sic nimirum Hector animi generositate, Antenorque eloquentiæ vi; adeoque et sociorum, alii plures equestri peritia, aliisque alii præclari effulsere: nec non plurimi aliis titulis. Eorum plures ab excellenti virtute semidii audierunt, quanquam vitiis scaterent. Porro habeam commemorare quæ sunt eorum meliora. Neque enim hic dicam turpe lucrum, angustum animum ac illiberalem, amorem voluptatum, eaque demum vitia, quæ quis quærens, sparsa in eis facile invenerit. Nec mihi ipse verbo contrarius sum, qui adeo pro virtute admirandis viris vitia affingam. Sic namque illi habent, ut quisque bonus sit, haud tamen absolute ac simpliciter bonus, uti ea, quorum illa sincere ac tota veritate nuncupatio exsistit. Cæterum quibus solis revera a majori parte nomen hoc inest: alii namque alios superent una aliqua qualitate virtutis, aut duplici forte universaliori; alii vero, quod plures possideant: sane merito, multarum cumulus virtutum, melior, ut quidem existi-

Digitized by Google

mo, habeatur, quam paucæ ac perfectiores; aut certe nequaquam videatur deterior.

Quia ergo nequit fieri, ut quis omnes omnibus partibus superet: (nam Achillem Nestor, Nestoremque vicissim Achilles omnino superabat: ille quidem, longo rerum usu ac prudentia; hic autem, ut arma ac animi robur spectes; sicque prorsus præfatorum quisque, alio ac alio nomine, cum vincebat alios, tum ab eis vincebatur:) ut plane vir nobis in laudationis argumentum propositus, ita quidem admirandorum illorum nonnulli impar videatur, hic illave spectata virtute, ut tamen deinceps omnes aut certe plures in pluribus superet; putem sane ea ratione, qua multos ejusmodi multa ac omnimoda virtute superat; addam et malorum fuga vel illos ipsos superare, vel nihil minus habere, ne et ipse admirationem habeat. Ut enim præclaram a moribus gloriam adeptos viros accurate comparare velimus, nedum virtutum quibus pollent qualitates censendæ sint, sed et abunde earum numerus incundus: ac siquidem potiores ubi, alii plures obtineant, componenda ex adverso sit horum multitudo, cum potiorum illorum ac pauciorum qualitate atque præstantia. Nam etiam ut quis drachmas plures in alteram mittat lanceam, talenti quoque pondus æquaverint: aurique plane talentum; quanquam reliqua deinceps metalla materiæ pretiositate vincit, minoris fiat volenti diteascere, quam plura argenti. Ubi ergo hæc ita habent, justius putem, aliis præferri eum, qui multarum excellentiis virtutum præfulsit, quam ut illi tota reliquorum cohors, ut quisque eorum, paucis numero virtutibus, aut una forte, quanquam etiam sublimiori, turpissimis alioqui vitiis implicatus, præ illo claruerit.

Sed et hujus meminisse oportet, ut nimirum tempus illud heroum ferax, homines virtutis studiosos, multo ostentandæ generositatis ardore provocaret; cum in athletas per eam coronatos, ac maximum quo aucti essent, honorem aspicerent. Id vero ævo jam nostro minime occurrat. Cum enim honoris illa contentio in plerisque disperiit, tum vitia passim honestis præferuntur: atque adeo, ut quis utraque tempora, virosque in eis admiratione habitos, nec non res ab eis gestas, ac provocantia ad virtutem consideret, majori virum admiratione habiturus sit, quod jam talis enituerit, quam ut alios vidisset, quibus æmulatio ex aliorum virtute accederet. Qui enim multis destitutus est, quibuscum ambitiosa ostentandæ virtutis certamina committat, velut remissior obeundis gloriæ causa laboribus evadit. Bonumque, quo rarius, eo ubique admiratione majus.

Cæterum ex adductis rationibus illud, puto, merito concludendum sit, nulli virum inferiorem videri, nullo eorum cuiquam secundum: dicam enim quod suspensioris est modestiæ, eorum reverentia qui

A δ' ἂν εἰκότως τὸ τῶν πολλῶν ἀρετῶν ἄθροισμα ἢ κρεῖττον οἶμαι τῶν ὀλίγων τε καὶ τελεωτέρων, ἢ γοῦν οὐχ ἧττον.

Ἐπειδὴ τοίνυν ἀμήχανον τοῖς ὅλοις πάντων τινὰ κρατεῖν· (Νέστορος γὰρ Ἀχιλλεὺς, καὶ Ἀχιλλέως Νέστωρ ἧττων γε πάντως ἦν· ὁ μὲν ἐμπειρίᾳ τε καὶ φρονήσει, ὁ δὲ ἐν ὅπλοις καὶ γενναιότητι. Καὶ ὅλως τῶν προειρημένων ἀνδρῶν ἕκαστος τῶν μὲν ἡττᾶτο, τῶν δὲ ἐκράτει, ἐν ἄλλῳ καὶ ἄλλῳ πλεονεκτήματι·) ἂν ὁ παρ' ἡμῶν εὐφημούμενος ἧττων μὲν τῶν θαυμασίων ἀνδρῶν ἐκείνων δόξῃ πού τινος εἶναι ταύτην ἢ ἐκείνην τὴν ἀρετὴν, πάντας δὲ ἐξῆς νικῶν, ἢ τοὺς πλείους ἐν τοῖς πλείοσι, δοκῶ μοι, τῷ πολλοὺς τοιούτους παρενεγκεῖν πολλαῖς τε καὶ παντοδαπαῖς ἀρεταῖς, προσθήσω δ' ὅτι καὶ τῇ φυγῇ τῶν κακῶν, ἢ πλεονεκτεῖν ἐκείνων· ἢ μηδὲν ἀπολειφθήσεσθαι πρὸς τὸ θαυμαστὸς ἀνὴρ εἶναι. Ἀκριβῶς γὰρ θέλοντας ἡμᾶς παραθεῖναι ἄνδρας, ἀγαθὴν κεκτημένους δόξαν ἀπὸ τῶν τρόπων, οὐ τὰς ποιότητας μόνον τῶν ἐν αὐτοῖς ἀρετῶν, ἀλλὰ καὶ τὸν ἀριθμὸν προσλογίζεσθαι χρή· καὶ ὧσιν ἔν τισι μὲν αἱ κρείττους, ἐν ἄλλοις δὲ αἱ πολλαὶ, ἀντιτιθέναι τουτὶ τὸ πλῆθος, τῷ τε μεγέθει, ταῖς τε ποιότησι, τῶν ἀμεινόνων μὲν πλεονεκτημάτων, ὀλίγων δ' οὖν ὅμως. Ἐπεί τοι καὶ δραχμαὶ πολλαὶ, ἂν ἐπὶ τὸ ἱστάναι τις ἐνέγκῃ, γένοιντ' ἂν ἀντίρροποι ἑνί που πάντως ταλάντῳ· καὶ χυσίου τάλαντον, ὕλης ὂν τιμιωτέρας πάντων ἐξῆς τῶν μετάλλων, τοῖς χρηματίζεσθαι βουλομένοις, ἀτιμότερον ἂν γένοιτο τούτοις ἀργυρίου πλήθους ταλάντων. Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, πολλῷ γε δικαιότερον οἶμαι τὸν τοὺς ἄλλους ἐν πολλοῖς παρενεγκόντα πλεονεκτήμασι, τοῦτον ἐκείνοις προκρίνεσθαι, ἢ τοὺς ἅπαντας αὐτοῦ, εἴ γε τούτων ἕκαστος μᾶλλον ἐκείνου διέλαμψεν ἐν ὀλίγαις ἀρεταῖς, ἢ μιᾷ τυχὸν τῶν ὑψηλοτέρων, καὶ ταῦτα πάθεσιν ἀλλοκότοις συμπεφυρμένος.

Οὐ μὴν ἀλλὰ κἀκείνου μεμνῆσθαι χρή. Ὁ γὰρ τηνικαῦτα καιρὸς, τοὺς λεγομένους ἥρωας ἐνεγκὼν, πολλὴν τὴν γενναιότητα παρεῖχε σπεύδειν δεικνύναι τοῖς τῆς ἀρετῆς ἀντιποιουμένοις, εἰς τοὺς δι' αὐτὴν στεφανίτας, καὶ τὴν εἰς αὐτοὺς τιμὴν μεγίστην οὖσαν ὁρῶσιν· ὁ νῦν δὲ πάντως οὐκέτι. Τό τε γὰρ φιλότιμον μικροῦ δεῖν πάντων ἀπέπτη, τά τε ἤδεα τῶν καλῶν πολλῷ νῦν τιμιώτερα. Ὥστε καὶ εἰς τοὺς καιρούς τις ὁρῶν ἑκατέρους, καὶ εἰς τοὺς ἐν αὐτοῖς θαυμαζομένους ἀνθρώπους, καὶ τὰ τούτοις εἰργασμένα, καὶ ὅτι καὶ τὰ παρακαλοῦντα πρὸς ἀρετὴν, μᾶλλόν γε θαυμάσεται τὸν ἄνδρα τοῦτον, ἤδη τοιοῦτον ἀναφανέντα· ἢ εἴπερ ἦν ἐκείνους ὁρῶν, τοὺς ζῆλον ἐκ τῆς ἀρετῆς τῶν ἄλλων λαμβάνοντας. Ὁ γὰρ μὴ πολλοὺς ἔχων τοὺς ἀμιλλωμένους αὐτῷ πρὸς ἀρετῆς ἐπίδειξιν, ἀμβλύτερός πως καθίσταται πρὸς τὸ πονεῖν ὑπὲρ δόξης· καὶ τὸ σπανιώτερον ἀγαθὸν θαυμαστότερον ἐπὶ τῶν ἁπάντων.

Ἐκ δὴ τῶνδε τῶν λογισμῶν, ἐκεῖνο δήπου καὶ συμπεραίνειν δίκαιον οἶμαι καὶ ἀναγκαῖον· ὡς οὐδενὸς ἐκείνων ἐλάττων οὐδέ γε δεύτερος; δόξειεν ἄν· εἰρήσθω γάρ μοι τὸ μετριώτερον αἰδοῖ τῶν πάλαι

Digitized by Google

γενναιοτάτων· ὁ τούτοις ἤδη παραβαλλόμενος. Ἃ γὰρ ἐν ἐκείνοις μεμερισμένως, ταῦτ' ἐν τῷ ἐμῷ συναίμῳ ὥσπερ ἐκ συνθέματος συνέδραμέ τε καὶ ξύρυτο. Οἷον δὲ ἑνὸς ἀνδρὸς ἀρετὴν πρὸς πολλῶν καὶ διαφόρων καὶ τοιούτων παραβάλλεσθαι; Ὅταν γὰρ καὶ τῷ Ἀλκμήνης, ὡς ὁ λόγος, οὐ σμικρὸν τὸ πρὸς δύο μάχεσθαι· πηλίκον σοι δείκνυσι τὸν δεσπότην τὸ πρὸς πολλοὺς ἀμιλλᾶσθαι καὶ τηλικούτους; Οὐ δὴ παραχωρήσομεν τῶν πρωτείων τοῖς πάλαι παρὰ πάντων θαυμαζομένοις, οὔτε βαρβάροις, οὔθ' Ἕλλησιν· οὔμενουν οὐδὲ τῷ παρὰ σφίσιν ἀρίστῳ, οὐδὲ τῷ δή τινι τῶν ἁπάντων.

Οὐ μὴν ἀλλ' ὑπὲρ ἀδελφοῦ τοσαύταις χρώρενος ταῖς ὑπερβολαῖς, ἔστω δὲ καὶ ὑπὲρ ἐμαυτοῦ ἐάν ἤ τινι βουλομένῳ· ἐπείπερ ἓν ὅσον ἐξῆν ἀκριβῶς ἦμεν ἐν εὐπραγίαις, ἐν συμφοραῖς, ἐν εὐθυμίαις, ἐν λύπαις, ἐν νίκαις, ἐν ἥτταις, ἐν πάσῃ τύχῃ, καὶ ὅσα γε τὴν ἀδελφῶν γνησιότητα, ἄρρηκτον οὖσαν τὸ καθ' αὑτὴν, ἐπὶ πλέον ἑνοῦν τε καὶ συνδεῖν πέφυκεν, ὥστε δὴ καὶ ἑαυτῆς ἐνικωτέραν τε καὶ ἰσχυροτέραν φαίνεσθαι· οὔτ' ἀλαζονεύεσθαι δόξω, οὔθ' ὑπψίαν παρέξομαι, ἔξω τοῦ προσήκοντος φέρεσθαι, ἀληθῆ καὶ γνώριμα λέγων. Διὰ τοῦτο καὶ τὰς συγκρίσεις οὔθ' ἡγησάμην φοβητέας εἶναι ῥηθῆναι, οὔτε μὴν ἡγήσομαι. Ὡς δὲ εὐλόγως, αὐτίκα δείξω. Πλὴν καὶ προφητείας αἰδοῖ, καὶ πλήθους ἕνεκα τῶν σημείων, παραδραμοῦμαι ἅπαντας, ὅσοι τὸ τοῦ Ἰσραὴλ ἅρμα ἤλαυνον· διαμνημονεύσω δὲ αὖ πρὸς τοῖς εἰρημένοις ἐκείνοις Κῦρον, Ἀλέξανδρον, Πύρρον Ἠπειρώτην, Ἀγησίλαον, ὃς ἐνταυθοῖ βεβασίλευκε, καὶ μέγας τοῖς ἔργοις φανείς, Μέγας δικαίως καὶ προσηγόρευται· οὐ γὰρ σμικρός. Οὗτοι μὲν οὖν, καὶ οἱ ἐν Ῥώμῃ κατωρθωκότες μεγάλα, καὶ ὅπου δήποτε γῆς, ἀγαθοὶ, καὶ ἐξ ἀγαθῶν γεγονότες, τῷ γνησίως ἐφικέσθαι τῆς ἀρετῆς, κατὰ τὰ ἀειθαλῆ τῶν φυτῶν, ὥσπερ ἀμαράντινον τὴν ἑαυτῶν ἡμῖν καταλελοίπασι μνήμην. Ἐπράττετο δ' οὖν ἐκείνοις πάντα, τοῦ σώματος εὖ ἔχοντος, καὶ ὑπηρετεῖν δυναμένου τοῖς τῆς ψυχῆς βουλήμασι καὶ κινήμασιν. Ἐκείνῳ δὲ ἠνύετο τὰ θαυμαστὰ πράγματα οὐχ ὅθ' ὑπῆρχεν εὖ ἔχων τὸ σῶμα μόνον, ἀλλὰ καὶ μετὰ τὴν κάκιστ' ἀπολουμένην νόσον· ἥτις ἅμα τῷ φανῆναι, δεινῶς παντὶ τῷ σώματι κατασκήψασα, καὶ τοῦτο πυκνὰ κατατρέχουσα, μετ' οὐ πολύν τινα χρόνον, ὦ πῶς ἂν φέροιμι λέγων! κλίνην οἰκεῖν ἔδωκε. Χρὴ δὲ σκοπεῖν ἀκριβῶς, ὅσον τε καὶ οἷόν ἐστιν εἰς ἐπίδειξιν ἀνδρίας καὶ γενναιότητος τὸ νόσῳ μὲν δεδέσθαι τοσούτῳ χρόνῳ σπαραττούσῃ κυνηδὸν ἅπαν μέλος, πράττειν δὲ τὰ εἰωθότα, ὥσπερ μηδενὸς ὄντος αὐτῷ τοῦ κωλύματος. Μέγα μὲν γὰρ ἁπλῶς γενναῖος ἅπας ἀνήρ· ὅταν δὲ θύραθεν αὐτῷ δεινῶν πολλῶν ἐπελθόντων, καὶ τἄνδον ἐπαναστῇ, ὁ δὴ τοιοῦτος ἐκπτήξει σε, κἂν θατέρου περιγένηται μέρους, μή τοί γε καὶ ἀμφοῖν.

Οὐ μὴν ἀλλ' οὐδ' Ἡρακλείους ἐλάττω, εἴ γε μὴ μῦθος τὰ κατ' αὐτὸν, τὸν ἄνδρα τοῦτον οἶμαι δεδεῖχθαι. Πολλοὺς μὲν γὰρ ἐκεῖνος ἆθλους διήνυσε, καὶ τοιούτους, οἵους πανταχῇ γῆς ὑμνεῖσθαι· πλὴν εὐ-

A priscis temporibus claruerunt, quibuscum eum comparavimus. Quæ enim illi divisa habuerunt, hæc velut ex condicto in fratre concurrerunt. Quantum vero unius etiam viri virtutem tot taliumque virtuti ex adverso componere? Siquidem enim ne Alcmenes quidem filio leve sit, ut aiunt, contra duos pugnare, qualis habeat despota qui tot ac tantis æmulis contendit? Nulli sane eorum, qui omnium olim studiis admirationi fuerunt, primas concessurus sit, ut aut barbarum aut Græcum dicas; ac neque eorum optimo, neque ulli plane ex universis.

Enimvero quanquam tantis pro fratre superlationibus utor, sed et mei ipse causa: siquidem unum quid ambo maxima quadam possibili unitate eramus, faustis rebus ac infaustis, lætitia ac tristiiis, in aliorum ac nostris victoriis, omni fortunæ discrimine, utque alia sint, quibus fraterna germanitas, ipsa per se individua, magis habet uniri ac implicari, ut plane ipsa se unitior atque fortior videatur; haud tamen jactantior videar, nec justam ullam suspicionem faciam ut extra debitum ferar, qui et vera et comperta dicam. Quamobrem neque cavendum putavi ut ne comparationes proferrem, nec vero sum putaturus. Quam vero id congrue et e ratione, statim ostendam. Prophetiæ tamen reverentia, ac propter signorum multitudinem, omnes olim currus Israelis moderatores omittam. Rursum autem, iis quos memoravi, Cyrum addam, Alexandrum, Pyrrhum Epirotam, Agesilaum Spartæ quondam regem, qui se magnum rebus gestis exhibens, Magni quoque cognomen jure adeptus est: neque enim vir molicus erat. Sane hi omnes, quique præclara Romæ designarunt, ac usquam gentium, cum boni ac ex bonis prognati, sincere virtutem coluissent, in modum virentium semper arborum, immarcessibilem sui memoriam nobis reliquerant. Cæterum gerebant illi omnia, cum corpus esset sanum, eaque haberet dispositione, ut animi consiliis omnibus ac agitationibus ministrare posset. Hic autem admiranda illa conficiebat, nedum sano corpore, sed et cum illud pessime a morbo haberet. Is ut mox conspicuus fuit, dire corpus totum invadens, ac crebro percurrens, brevi post (o quomodo sustineam dicere!) lecto affixit. Illud vero diligenter attendas, quantum esset ad fortitudinis ac generosi animi specimen, ut cum tantum tempus dirus adeo morbus teneret, velutque dente canino membra singula dilaceraret, ipse nihilominus consueta, tanquam nullo impedient, præstaret. Plane magnum quid absolute vir quisque ingenuus: at cum multis malis extrinsecus ingruentibus, ipsa quoque interna insurrexerint, prodigio similis hic talis videatur, ut vel partem alteram, nedum ambas eluctaverit.

At neque minora Hercule, nisi res ejus fabulæ sunt, Theodorum nostrum arbitror designasse. Multa quidem is gessit certamina, adeo illa illustria, ut toto late orbe laudentur. Gessit tamen optima cor-

Digitized by Google

poris valetudine utens, ac vigore pollens; haud vero cum jam senuisset, nec cum morbo uti Theodorus conflictans, qui et Hydra longe molestior esset: atque id omnino gravius passum dicas, cujus cum Hercule res componimus, quod et multos lolaos habens, nemo tamen hactenus certaminis illi socius accesserit. Ut quid vero? Quod ipsa repugnaret natura rei. Qua enim quis volens ratione ejus morbi partem aliquam tulisset? Aut qui posset laborans, ut quidem eventus voluntatem oppido secutus esset, a morbi eum laboribus liberare, ac vel ad horam solatii aliquid afferre?

Cum ex Italia veniens, in Peloponneso te relinquerem (o, quonam id pacto ut facerem, animum inducere potui!) puellum adhuc, et per ætatem litteris tenuiter imbutum, quod ipsa quoque fortuna in hoc tibi fuisset impedimento, præceptis informabam, quæ tuis tum viribus responderent: simulatque me tibi facto grandiusculo, daturum alia pollicebar, vitæ maturiori convenientia. Nunc adolescentiam ingresso, et nuper ad nos reverso, nec vilem eruditionis partem animo secum ferenti: cum sagittandi, venandi, aliorumque talium peritia: missa quidem a nobis sunt, ubi primum navi fuisses egressus, quæ ad rei militaris studium quocunque modo pertinerent: at illa B *de quibus dictum, promissa necdum apparuerunt. Objecturum hic alia quem nobis arbitror, mirum sane videri, quæ ad robur, et bellum, et corporis omnino curam spectent, eo potiora duci, per quod menti et animo splendor aliquis accedere possit: iidem, quæ nunquam tibi pollicitus sim, merito data, ratione quadam simplici; at ipsa promissa, quibus præstandis cætero quin obnoxium, pollicendo me dupliciter obligarim, ne nunc quidem exhibita: equum denique generosum, et accipitrem, et canem suppeditatum; at orationes ad præclara cohortantes, et monitus paternos, cum ipsi filio, tum reipublicæ profuturos, quasi de industria procrastinari. Ego vero fateor, hæc non indecore dici; sed ab homine, qui non omnia recte consideruerit. Par enim erat,* C *animo tuo tenello, quique tam navigatione diuturna quam absentia parentum, debilitatus esset, sui nonnihil exhilarandi copiam fieri: ut expulso mœrore alacritateque vegeta recuperata, non ignaviæ, sed honesti præcepta tradituras orationes cupide admit-*

Digitized by Google

terret. Itaque non citra rationem hoc a me factum fuit, atque etiam vel invito me res diutius, si verum fateri debemus, impedientibus nos occupationibus nostris, extracta. Cum autem magis eas, magisque cumulari viderem nec ista longius durarent obstacula, veritus; vel quod certo potius id futurum, de præcedentibus nossem : promissa tandem implenda putavi nimbis interim negotiorum, prout fieri posset, exceptis. Esset sane consentaneum, ne nunc quidem adultis convenientia præscribi adolescentulo, novi hoc equidem, non me latet. Sed cum futurorum eventus in occulto sit, debitum istuc omne modo pro viribus exsolvi præstat. Ea vero prolaturum me arbitror, Deo cursum orationis moderante, quæ et nunc et in posterum proderunt, quæque juveni, et seni, fortunæ cuivis, et ordini, et huic præsenti, seculoque vitæ conveniant. Nolim autem arrogantiæ me quispiam insimulet, quasi qui magna quædam polliceor. Non enim hæ nostræ cogitationes in universum erunt (non hoc dissimulabo : nec enim id fieri par esset), sed pars major ab ornatis virtute viris petetur, quorum memoriam cum celebratione, posteaquam e corporibus migrarunt, ei ipsa morum bonitas et sapientia conservat. Nec de nostris duntaxat hominibus loquor, verum etiam de plerisque veterum.

Rursus hic quispiam nobis fortasse dicturus est, satis esse, si mandemus, eos ut adeas viros, et quamprimum pellegas ipsorumque te præceptis excolas, nobis interim hoc labore molestiaque liberatis. Nihil equidem absurdi ab hoc homine proferri fateor : esse nimirum magnopere necessarium, ut admirabiles hosce viros inspicias, eosque tibi præfectos morum magistros, illis, quæ tibi nunc adsunt, auxiliatores adjungas, ad rerum præclararum indagationem, siquidem vir bonus et egregius fieri velis. Nam quis juventutem melius ad virtutem manu quasi ducere norit indicatis hisce viris, qui et prudenter, et perite, et studiose, et ingeniose, et sollicite, quidquid ad disserendi civilemque doctrinam confert, investigarunt? sed arbitrabar id quod meum est, licet alioqui non magni momenti sit, hic tamen plus illis valiturum : affectionem inquam paternam, cujus ignis admodum efficax vehementer amplificat ea, quæ tu mihi de tua natura das vaticinari : quo quidem in vaticinio me Deus (utar autem petitis ex poetarum libris, non quod ea pro placitis habeam, sed historiæ simpliciter causa) tam Tiresia, quam Calchante veraciorem fecit. Itidem omnis erga nos officii præstatio tua, ineffabili quadam obedientia decorata, nobis incitamento esse possit, ut agenda tibi præcipiamus. Pater igitur, et qui supra morem paternum diligit, filio diligenti, et ardentius quidem, quam filii soleant, ea præcipiens et exponens, quæ ex usu futura sunt, quonam pacto non plurimum efficiet? Nec enim fidem ulli præcepto derogare fas est, nec detrectare imperium, etiamsi quid offerat sese, quod mordere videatur, nec recusare, quo minus ipso facto verbis obtemperes. Præterea quiddam aliud est, quo nos il-

δέξηται λόγους, τὸ καλὸν, οὐ τὴν ῥᾳστώνην νομοθετοῦντας. Τοῦτο μὲν δὴ λογισμῷ πέπρακταί μοι· εἰ δεῖ δὲ τἀληθὲς εἰπεῖν, καὶ μὴ βουλομένῳ προύβη μακρότερον, ἀσχολιῶν μοι προσισταμένων. Ὁρῶν δὲ ταύτας ἐπιτεταμένως χωρούσας, δεδιὼς μὴ διαρκέστερον τὰ προϊστάμενα ἐπιμείνῃ, μᾶλλον δὲ σαφῶς εἰδὼς ἀπὸ τῶν φθασάντων· δεῖν ᾠήθην εἰς ἔργον ἀγαγεῖν τὰ ὑπεσχημένα, ὡς ἐνὸν δεχόμενος τὰς τῶν πραγμάτων ῥιφάδας. Ἦν μὲν οὖν ἀκόλουθον μηδὲ νῦν, τὰ τῶν τελείων μειρακίῳ γνωμοδοτεῖν. Ἔγνων, οὐ λέληθέ με. Ὃν δὲ τὸ μέλλον ἀόρατον, ἄμεινον ἤδη καταβαλεῖν τὸ χρέος ἅπαν εἰς δύναμιν. Ἐροῦμεν δὲ οἷμαι τοιαῦτα, θεοῦ τὸν λόγον ἰθύνοντος, ἃ συνοίσει μὲν καὶ νῦν, συνοίσει δὲ ἐς τὸ μέλλον καὶ συμβήσεται καὶ νέῳ, καὶ γέροντι, καὶ τύχῃ πάσῃ, καὶ τάξει, τῷ τε ὄντι, τῷ τε ἐσομένῳ γε βίῳ. Καὶ μή μέ τις ἀλαζονείας γραψάσθω, μεγάλα δῆθεν ἐπαγγελλόμενον. Οὐ γὰρ δὴ τὸ πᾶν ἡμέτερον ἔσται τῶν νοημάτων (οὐ κρύψω τοῦτο, οὐδὲ γὰρ ἄξιον), ἀλλὰ καὶ τὸ πλεῖστον μέρος, ἀρετῇ κεκοσμημένον, οἷς ἡ τῶν τρόπων χρηστότης, καὶ τὸ τῆς σοφίας χρῆμα, τῶν σωμάτων ἀπελθόντων περὶ τὴν μνήμην μετ' ἐγκωμίων. Οὐ λέγω δὲ μόνον τοὺς ἡμετέρους, ἀλλὰ καὶ πολλοὺς τῶν παλαιοτέρων.

Πάλιν ἐρεῖ τις τυχὸν ἡμῖν· Ἤρκει τοιγαροῦν ἐπιτάξαι, παρὰ τουτουσὶ τοὺς ἄνδρας φοιτῆσαί σε, καὶ τὴν ταχίστην αὐτοὺς διελθεῖν, καὶ ταῖς σφῶν διδασκαλίαις σαυτὸν κοσμῆσαι, καὶ πραγμάτων ἡμᾶς ἀπηλλάχθαι. Καὶ φημὶ, μηδὲν ἀπᾶδον τουτοισὶ τὸν ἄνδρα ἐρεῖν. Εἶναι γὰρ πολλὴν ἀνάγκην τουτουσὶ τοὺς θαυμασίους ἰδεῖν σε, καὶ τῶν σῶν ἠθῶν διδασκάλους αὐτοὺς ποιήσαντα, τοῖς νῦν οὖσι προσκτήσασθαι βοηθοὺς εἰς τὴν τῶν καλῶν θήραν, εἰ μέλλεις καλὸς κἀγαθὸς ἔσεσθαι. Τίς γάρ που κάλλιον γνοίη πρὸς τὸ ἀγαθὸν χειραγωγῆσαι νεότητα τουτοισὶ τῶν εἰρημένων ἀνδρῶν, φρονήσει τε καὶ ἐπιστήμῃ, καὶ σπουδῇ, καὶ εὐφυΐᾳ, καὶ φιλοτιμίᾳ, πρὸς λογικήν τε καὶ πολιτικὴν μάθησιν τὸ λυσιτελὲς ζητησάντων; Ἡγησάμην δὲ τοὐμὸν, καίτοι τἄλλα ταπεινῶς ἔχον, ἔνθα δή τι πλέον σχήσειν τοὐκείνων. Λέγω δὴ τὴν πατρικὴν σχέσιν, ἧς τὸ πῦρ μέγα ἀνάπτον, σφόδρα γε πρὸς μεῖζον ἐξαίρει, ἃ σύ μοι δίδως μαντεύεσθαι περὶ τῆς σῆς φύσεως. Καί γε Θεὸς ἀναδείξαι με (χρήσομαι δὲ τοῖς τῶν ποιητῶν, οὐχ ὡς δόγμασιν, ἀλλὰ διὰ τὴν ἱστορίαν ἁπλῶς) καὶ Τειρεσίου, καὶ Κάλχαντος ἀληθέστερον εἰς ταυτηνὶ τὴν μαντείαν. Καὶ μήν γε καὶ τὸ σὸν πρὸς ἡμᾶς ἅπαν, ὑποταγῇ κοσμούμενον ἀμυθήτῳ, παράκλησις ἂν γένοιτο τοῦ παραινεῖν τὰ δέοντα. Πατὴρ οὖν, καὶ πλέον ἢ κατὰ πατέρας φιλῶν, υἱῷ φιλοῦντι, καὶ πλέον ἢ καθ' υἱεῖς, προστάττων τε καὶ εἰσηγούμενος ἃ συνοίσει, πῶς οὐκ ἀνύσει; οὔτε γὰρ ἀπιστεῖν ἔστι τινὶ τῶν λεγομένων, οὔτε ὅλως ἀπειθεῖν, ὁπόταν καί τι δάκνον φανῇ, οὔτε μὴ θέλειν χαρίζεσθαι, τῷ ὑποτετάχθαι τοῖς λόγοις ἔργοις

Digitized by Google

Οὐ μὴν ἀλλ' ἔστι καὶ ἕτερον, ἐν ᾧ πλεονεκτοῦμεν ἐκείνων. Τὸ γὰρ δὴ μετ' ἐξουσίας εἰπεῖν, ὃ πολλὴν τὴν δύναμιν ἔχει καὶ παιδοτρίβῃ, καὶ διδασκάλῳ, καὶ παντὶ διορθουμένῳ φύσεις νέων, ἢ πλάττοντι, ἐμοὶ μὲν ἔξεστι παντελῶς, ἐκείνοις δὲ οὐδαμῶς, οὐδ' ἂν ἡ πάντων σοφία εἰς ἓν τε τούτοις συνέλθῃ. Πῶς μὲν γὰρ ἂν προστάξαιεν ἀδεῶς, πῶς δὲ πιστῶς, πῶς δὲ θαῤῥούντως, κατὰ βασιλέα, καὶ πατέρα, καὶ φίλον, οἵτινες ἐστέρηνται καὶ σχήματος ἀφοβίαν διδόντος, καὶ σχέσεως πασῶν κρατούσης τῷ τῆς φύσεως φίλτρῳ, καὶ φιλίας συνηθείᾳ θαῤῥυνούσης; Δηλοῦσι δὲ Δίων, Ἰσοκράτης, πολλοὶ ἕτεροι, βασιλικοὺς μὲν λόγους ὀνομασθέντας, καὶ πρὸς αὐτοὺς βασιλέας, πολλούς τινας γεγραφότες· τηρεῖν δὲ ὅμως ἐθέλοντες τὰ πρέποντα σφίσιν αὐτοῖς, καὶ τοῖς βασιλεῦσι, καὶ μὴ δοκεῖν θρασύνεσθαι, μηδὲ προπετῶς ἔχειν, τέχνῃ μακρᾷ δεξιούμενοι ὑπεροχὰς τῶν κρατούντων, ἔπειτα καὶ ταύτῃ συνεσταλμένως τὸ δέον ἀποφαινόμενοι. Παρ' αὐτῶν ἐγὼ τὰς γνώμας ταύτας ἐραυισάμενος, καὶ προσέτι θειοτέρων ἀνδρῶν, προσθείς τι καὶ παρ' ἐμαυτοῦ, ἴσως οὐ πάντῃ φαῦλον, οὕτως ἐλευθέρως καὶ πατρικῶς (ὡς ἂν εἴποι τις) ἀποδέδωκα, ὀφελημά τε καὶ δῶρον, ἐν κεφαλαίων ἑκατοντάδι, ἀκροστιχίδι τινὶ ταττομένων, ἐν ᾗτι μέρος ἐστὶν εὐχῆς, ἣν Θεὸς οὐκ ἀτιμάσαι, εἰ δεῖ τι καὶ ὑπὲρ εὐχῆς ἡμᾶς εὔξασθαι, κατὰ τὸν εἰπόντα θαυμάσιον προφήτην καὶ βασιλέα· Εἰσάκουσον, Κύριε, τῆς προσευχῆς μου· οὗ ταῖς συμβουλαῖς εἰ προσχοίης, μάλα σεαυτὸν ὠφελήσεις. Ἐξῆν μὲν οὖν σαφέστερον πάντα φράζειν, ἔγνων δὲ ἄμεινον εἶναι, μὴ τὸ ὀστοῦν παντάπασι τῆς τε σαρκὸς ἀφελέσθαι, ὡς εἶναί τε ταύτῃ τῇ θοίνῃ τῷ δαιτυμόνι διεγεῖρον τὴν ὄρεξιν, σπουδαιοτέραν ζητεῖν τροφήν. Οὐδὲ γὰρ ἐχρῆν ἡμᾶς πρὸς γενναιότητά σε παρακαλοῦντας, ῥωθρὰ σιτία καὶ ἀνειμένα σοι παρασχεῖν. Σὺ δὲ διανοίας στερρότητι τὸ δυσχερέστερον λύων, βρώσιμον σαυτῷ καλῶς τὸν μυελὸν ἀποφήναις, ὃς δὴ πολλῷ σου τὴν ψυχὴν ἀμείνω γε πάντως δείξει, ἢ τὸ Ἀχιλλέως σῶμα οἱ μυθικοὶ τῶν λεόντων. Πείθομαι γὰρ εἶναι τοσοῦτον ἐνταυθοῖ τὸ συνοῖσον, ὅσον γε, εἰ φιλοπόρως αὐτὸ δρέψαιο, ῥᾳδίως ἀποφήναι σε ἄριστον ἀνδρῶν τε καὶ βασιλέων. Εἰ δ' ὁ ταῦτα γράφων ἐγὼ πολλῷ χεῖρον ἔχω τῶν γεγραμμένων, ἀλλά σοι μὴ τοῦτο ἔστω πρὸς τὸ καλὸν κώλυμα, ἢ εἰργόν τι τοπαράπαν· ἀλλ' εἴ πού τι καὶ βέλτιον εὕρηται παρ' ἐμοί, ἐπεὶ μηδεὶς ἐστέρηται πάντων ἐξῆς τῶν καλῶν, ἡγοῦ σοι πρέπειν τοῦτο κληρονομῆσαι, καὶ πρὸς ἐπίδοσιν ἀγαγεῖν πολλῷ γε κρείσσω φιλοτιμήσεσθαι ἢ τὴν οὐσίαν τὴν πατρικὴν καὶ βασιλείαν αὐτήν. Τάμὰ δὲ ἐλαττώματα διορῶν (πολλὰ δ' ἐστὶ, καὶ μεγάλα) θέλε τι καὶ παρὰ τούτων κερδᾶναι, διδάσκαλον αὐτὰ προστησάμενος βίου τε ἀμείνονος, καὶ πολιτείας ἀσφαλεστέρας. Καλόν σοι γὰρ ἐκείνους μιμήσασθαι, οἳ τοῖς ἑτέρων ναυαγίοις διασώζονται, ἀπὸ τῶν ἐκεί-

lis superiores sumus. Nam cum auctoritate loqui, quod sane permagnam in ludi magistro, doctore, quovis alio vel moderante, vel fingente juvenum ingenia, vim habet, mihi quidem omnino licet: at non itidem illis, etiamsi vel universorum in unum sapientia coeat. Quo enim pacto vel libere, vel fideliter, vel confidenter regis, patris, amici more, præceperint ii, qui et imperii majestate, interritum animum suppeditante, carent, et affectione, vi naturalis amoris universas alias superante et amicitia, fiduciam prætextu familiaritatis augente? Exemplo sunt Dio, Isocrates, complures alii, qui scripsere quidem illi multas regias (sic enim appellatæ sunt) orationes, ad ipsos etiam reges: sed quod personæ tam suæ, quam regiæ decorum servare cuperent, nec vel insolentes vel protervi videri: prolixa regiam eminentiam arte demulcent, ac deinde ne sic quidem libere satis id, quod dicendum erat, pronuntiant. Ex his equidem virisque præterea divinioribus, collectas hasce sententias, quibus et a nobis fortasse non contemnendum aliquid adjectum est, libere ac paterne (ut ita loquar) offerre tibi volui, ceu debitum pariter ac munus, centum capitibus inclusum, quæ Acrostichide quadam digeruntur, in qua ipsa pars quædam est voti, quod a Deo minime rejici opto, si quidem et pro voto preces concipiendæ sunt, more patris et regis illius admirandi, qui dixit: Exaudi, Domine, precationem meam. Tu si animum iis, quæ consuluntur, adverteris, magnum ipse tibi emolumentum afferes. Poterant autem omnia paullo dilucidius exponi, sed existimabam equidem, melius esse, non quidquid esset osseum, e carne prorsus eximi: ut restaret aliquid in hoc epulo, quod ad quærendum majoris momenti cibum convivæ animum excitaret. Nec enim par erat a nobis, ad strenuitatem te cohortantibus, inefficaces ac molles tibi cibos offerri. Tu mentis robore quidquid difficilius est, digerens recte medullam ipsam esculentam tibi reddito, quæ animum tuum multo sane meliorem efficiet, quam corpus Achillis leonum, ut in fabulis est, medullæ. Nam mihi quidem persuasum est, tantum hic inesse fructus, ut, si quidem eum studiose decerpseris, facile præstantissimus et hominum sis evasurus et regum. Quod si auctor horum ego multo sum inferior iis, quæ hic a me perscripta sunt: minime id quidem impedimento tibi sit ad virtutem, vel ulla in parte obstet: sed si quid apud me rei melioris fuerit inventum (quando nemo bonorum prorsus omnium exsors est), id uti hæreditate adeas, et multum adaugeas, studiosius ex ratione decori putabis elaborandum quam vel bona paterna vel ipsum regnum. Vitia vero mea perspiciens (quæ sane permulta et magna sunt), ex iis quoque lucrum aliquod percipere velis; præficiendo scilicet illa tibi ceu quemdam vitæ melioris tutiorisque gubernationis magistrum. Nam recte feceris, si eos fueris imitatus qui naufragiis alienis servantur, illorum delictis adversisque casibus, quid opus facto sit, edocti: dum vel longum vale navigationibus dicunt, vel pro viribus sibi consulunt. Quin et illud aliquando accidit,

Digitized by Google

ut quis lapsui proximus, si alium prius vi leret lapsum, resiliret : quo sane pacto usu venire solet, ut aliorum ruina mente præditis saluti sit. Itidem rectius aliquando medicis, artem suam magnopere jactantibus, difficiles aliqui nonnullis morbos curarunt; experientiam duntaxat inde nacti, quod eadem et ipsi perpessi fuissent. Imo medici quoque tritum vulgo proverbium refellerunt, qui dente vel oculo ex phramaco quodam amisso, vel aliud quiddam perpessi, deinde propriis ex erratis facti peritiores, quos morbos suis in corporibus curare non potuerant, iis alios plures liberarunt; per accessionem experientiæ ad artem, vi mali superata. Ad summam, qui malus esse vult, nullum ex ulla re capiet emolumentum, bonus autem ex omnibus.

A *νων ἁμαρτημάτων τε καὶ ἀτυχημάτων τὸ δέον καταμαθόντες· καὶ ἢ τὸ πλεῖν ἀρνησάμενοι, ἢ τό γε κατ' ἐκείνους . . . . . Καὶ μὴν ὀλίσθου τις ἐγγὺς γεγονὼς, φθάσαντος ἄλλου κατενεχθῆναι, αὐτὸς ἰδὼν ἀπεπήδησε· καὶ γέγονε τὸ πτῶμα τῶν ἄλλων σωτήρια νοῦν ἔχουσιν. Ἀλλὰ καὶ κρεῖττον ἰατρῶν, πολὺ τῇ τέχνῃ φρονούντων, ἑτέρους γε τινὲς ἐθεράπευσαν ἐκ νοσημάτων δυστρόπων, ἀπὸ μόνου τοῦ παθεῖν τὴν πεῖραν εἰληφότες. Καίτοι καὶ παῖδες ἰατρῶν τὴν παρ' οἱμίαν ἐξήλεγξάν που, ὀδόντα τε καὶ ὀφθαλμὸν ἀποβαλόντες τινὶ φαρμάκῳ ἢ ἕτερόν τι παθόντες, ἔπειτ' ἐμπειρότεροι γεγονότες ἐκ τῶν ἰδίων ἁμαρτημάτων, καὶ ὧν γε ἥττους ἐφάνησαν παθημάτων ἐπὶ τῶν ἰδίων σωμάτων, τούτων πολλοὺς ἀπαλλάξαντες, τοῦ δεινοῦ περιγεγονότες τῇ προστεθείσῃ τῇ πείρᾳ τέχνῃ. Κεφάλαιον τοῦ λόγου, Ὁ κακὸς βουλόμενος εἶναι ὑπ' οὐδενὸς ὠφελήσεται, ὁ δ' ἀγαθὸς ἐξ ἁπάντων.*

ΚΕΦΑΛΑΙΑ ΕΚΑΤΟΝ

ΔΙ' ΑΚΡΟΣΤΙΧΙΔΟΣ.

CAPITA CENTUM

PER ACROSTICHIDEM *.

CÆSAR, CÆSARI,
MANUEL, JOANNI,
PATER, NATO,
ANIMI, ANIMO,
FRUCTUM, CIBUM,
MEI, TUO,
QUALIS QUALIS, VEGETO :
CUI DEUS MODERATOR ESTO (1).

B

ΒΑΣΙΛΕΥΣ, ΒΑΣΙΛΕΙ,
ΜΑΝΟΥΗΛ, ΙΩΑΝΝΗ,
ΠΑΤΗΡ, ΥΙΩ,
ΨΥΧΗΣ, ΨΥΧΗ,
ΚΑΡΠΟΝ, ΤΡΟΦΗΝ,
ΕΜΗΣ, ΤΗ ΣΗ,
ΟΠΟΙΑΣΟΥΝ, ΑΚΜΑΖΟΥΣΗ,
Η Ο ΘΕΟΣ ΕΙΗ ΚΟΣΜΗΤΩΡ (2).

I.

Constat diversa vivendi mortalibus esse genera, quæ partim a prudentia, disciplina, probitate, partim a stupiditate, inscitia, improbitate proveniunt et distinguuntur; rursusque dividuntur ac subdividuntur, eo quidem numero ac varietate, quæ animi vi comprehendi nequit. Videtur autem aliud alii præstantissimum esse, duas, non plures ob causas, vel honesti, vel voluptatis, nonnunquam et amborum causa. Difficulter quidem fieri potest, ut æqualiter animus in utramque partem propendeat; si accurate quis ad id, quod integerrimum est, respicere velit. Si tamen hoc quoque concedat aliquis, semimprobus erit, qui in utramque partem distrahitur; prorsus autem malus, qui totus voluptatibus inhiat; qui denique bonum sectatur, ex ipsa re bonus erit.

A'.

C Βίοι τοῖς ἀνθρώποις διάφοροι· οἱ μὲν φρονήσει, καὶ παιδεύσει, καὶ χρηστότητι, οἱ δὲ ἀβελτηρίᾳ, καὶ ἀπαιδευσίᾳ, καὶ πονηρίᾳ γιγνόμενοί τε καὶ μεριζόμενοι· καὶ αὖθις διαιρούμενοί τε καὶ ὑποδιαιρούμενοι εἰς ἀριθμὸν οὐχ ὑποπίπτοντα λογισμῷ. Δοκεῖ δ' οὖν ἄλλος ἄλλῳ κράτιστος εἶναι, δυοῖν αἰτίαιν, οὐ πλείοσιν, ἢ τοῦ ἀγαθοῦ, ἢ τοῦ ἡδέος ἕνεκα· ἔσθ' ὅτε δέ τισι καὶ ἀμφοῖν. Χαλεπὸν δὲ τὴν ψυχὴν ἴσα πρὸς ἑκάτερα ῥέπειν, εἴ τις ἀκριβῶς πρὸς τὸ τελεώτατον ἀφορᾷη. Πλὴν κἂν τοῦτο δοίη τις, ἡμίφαυλος ὁ δίχα τεμνόμενος· φαῦλος δὲ παντάπασιν ὁ κεχηνὼς καθάπαξ πρὸς ἡδονάς. Ὁ δὲ διώκων τἀγαθὸν αὐτό γε τοῦτο ἀγαθός.

II.

Aliis vivendi rationibus primo commemorata loco vita longe præstat, quæ asperrima quidem omnino

B'.

Ἄριστος μὲν βίος τῶν εἰρημένων ὁ πρῶτος· ὃς τραχύτατος μὲν παντάπασιν εἶναι δοκεῖ, διὰ τὸν

(1) Sic construe : *Cæsar Manuel pater, Cæsari Joanni filio fructum animi mei qualis qualis, cibum animo tuo vegeto, tribuo scilicet, cui Deus moderator esto.*

(2) Σύνταξον ὧδε· *Βασιλεὺς Μανουὴλ πατὴρ βασιλεῖ Ἰωάννῃ υἱῷ, καρπὸν τῆς ἐμῆς ψυχῆς ὁποιασοῦν, τροφὴν τῇ σῇ ψυχῇ ἀκμαζούσῃ, δίδωμι δηλονότι. ᾗ ὁ Θεὸς εἴη κοσμήτωρ.*

* Id est quorum primæ litteræ verbis subjectis continentur.

Digitized by Google

πρὸς τὰς ἡδονὰς πόλεμον, οὐ πάντη δὲ οὕτως ἔχει. Οὐ γὰρ ἡδονῆς ἀμοιρεῖ, τῷ συνειδότι καὶ ταῖς ἐλπίσι τέρπειν εἰδώς. Πρόσεστι δέ γε τούτῳ καὶ τὸ σεμνόν, καὶ τὸ διαρκὲς, ὄντι γε παντάπασι χρηστῷ. Τοιαῦτα τὰ μὴ νενοθευμένα τῶν ἀγαθῶν. Ὅν ἂν ἑραστὴν αὐτῶν ἅπαξ λάβοι, χειροῦταί τε, καὶ οὐκ ἐᾷ τὴν ἕφεσιν αὐτῶν πλανᾶσθαι πρός τι μάταιον. Τῷ δὲ δευτέρῳ, τὴν ἡδονὴν τέλος ἔχοντι, οὔτε σύνεστιν οὐδὲν ὑγιὲς, οὔτ' ἐφίψεται. Οὐδὲν γένοιτό τινι ἡσθῆναι διὰ τέλους ἑνί τῳ πράγματι, ἄλλοτε ἄλλων ὀρεγομένῳ, τῶν μηδὲν ὡς ἀληθῶς ὄντων ἡδέων, καὶ διὰ τοῦτο μεταπεμπόντων ἀεὶ πρὸς ἕτερα. Ὁ τρίτος μέντοι καὶ μέσος ἔστω· ἵνα μὴ σκληρῶς ἐκ προοιμίων ἐπιτάττοιμεν, οἱ τῶν ἀγαθῶν οὐκ ἐργάται. Ἔστω δὴ τέως ἡμῖν μὴ παντελῶς ἀπόβλητον τὸ ἡδὺ, ἔνθα οὐ προσίσταται τὸ κακόν.

videtur esse, belli ejus causa, quod cum voluptatibus gerit, sed in universum ita comparata non est. Nequaquam enim voluptatis expers est, cum et recti conscientia et spe delectare consueverit. Cum eadem vita, penitus bona, conjuncta sunt gravitas atque constantia. Nimirum ejusmodi sunt non vitiata bona. Quemcunque semel amatorem sui nacta fuerint, is et totum se dedit eis, nec ad ullam rem vanam evagari cupiditatem sinit. Alteri, cujus finis est voluptas, nec inest boni quidquam, nec comitabitur. Fieri certe nequit, ut quis una re perpetuo delectetur, alias appetens alia, quæ non reapse jucunda sunt, ideoque ad alia semper hominem avocant. Tertia sane, media quædam esto, ne, qui bona non facimus ipsi, statim ab initio præcepta duriora tradamus. Nimirum eatenus voluptatem non omnino rejiciendam ducamus, quatenus mali quidpiam ei non adest.

Γ'.

Σαφῶς ἴσθι βίων τὴν αἵρεσιν γνώμης, οὐ φύσεως οὖσαν. Ἡ φύσις γὰρ Αἰθίοπι, καὶ Σκύθῃ, καὶ Κελτῷ, καὶ πᾶσιν ἐξῆς ἀνθρώποις, μία τις οὖσα τυγχάνει. Ὀλίγοις δέ τισιν ἰδιώμασι τοῖς γένεσι ποιεῖ τὴν διαφοράν. Τὴν δὲ προαίρεσιν χαλεπὸν καὶ ἀδελφοῖς μὴ μερίζεσθαι. Οὐκοῦν ὅπερ ἡμῖν εἴρηται, οἱ βίοι τοῖς ἀνθρώποις οὐ διὰ τὴν ἀμέριστον φύσιν μερίζονται, ἀλλὰ διὰ τὴν μεριζομένην προαίρεσιν. Παντὶ δὲ βίῳ τὸ ἥδιστον ἐκ συνηθείας οἶμαι προσγίγνεσθαι, οὐ τῷ ξυμπεφυκέναι καθάπαξ. Ἴδοις γὰρ ἂν ἐπίμοχθόν τε καὶ φαῦλον βίον πεφιλημένον τῷ κεχρημένῳ, οὗπερ οὐκ ἂν ἠλλάξατο ἀήθη γέμοντα ἡδονῆς, καθαρευούσης μέμψεως. Χρηστέον οὖν ἂν εἴη τῷ κρείττονι, ὡς τοῦ ἡδέως τῇ χρήσει ἐφεψομένου τε καὶ συμβησομένου.

III.

Electionem horum vitæ generum certo scias esse consilii, non naturæ. Quippe naturam Æthiops, Scytha, Gallus, homines universi, unam quamdam habent, nationibus ipsis ob exiguas quasdam proprietates invicem discrepantibus. Animi vero institutum difficile fuerit etiam in fratribus non esse diversum. Rationes ergo vivendi, ceu dictum est, non indistinctæ naturæ ratione distinguuntur, sed ratione scindentis se in diversa studii et electionis. Cuivis autem vitæ quod jucundissimum est, ex consuetudine conciliari arbitror, non a natura prorsus indi. Nam videas laboriosam malamque vitam alicui charam, qui ea sit usus : nec insuetam cum illa commutaverit, licet et voluptatis plena sit, et vituperio careat. Utendum ergo ratione vitæ meliori, quam usus ipse jucundam ac gratam paulatim efficiet.

Δ'.

Ἴσθι καιρὸν ἐπιτήδειον ὄντα σοι τὴν ἡλικίαν ἀκμάζοντι, βίον ἑλέσθαι τὸν ἄριστον, καὶ διελθεῖν ὡς ἄριστα, καὶ ἐντῆξαι τῇ ψυχῇ, καὶ ἀμετάστατον δεῖξαι· ὅτι σε μὴ προκατείληφε τὸ δυσχερές. Πρὸ γὰρ τοῦ σαυτῷ προστρίψαι κακὰ, ῥᾷστα ἂν σοι γένοιτο κατορθῶσαι τὰ ἀγαθά. Ἢν δὲ μετάσχῃς φαυλότητος, διπλῆ μοχθήσεις. Πολλὰ πονήσεις, καὶ ἔργον ἔσται ἀπαλλαγῆναι τοῦ χείρονος δυοῖν χερσὶν ἀπονίψει, καὶ οἰκειώσαι σαυτῷ τὸ βέλτιον ἀκριβεῖ προσαρμογῇ, χρόνῳ καὶ μόγις γινομένῃ.

IV.

Scire debes tibi, qui nunc in ipso ætatis es flore, peropportunum hoc esse tempus eligendi vitam optimam, quam et præclarissime agas, et imprimas animo, et tibi propriam ac perpetuam reddas. Necdum enim te difficultas anticipavit. Nam prius, quam ipse te vitiis infeceris, facillimum fuerit res bonas atque præclaras agere. Sin pravitatis particeps factus fueris, duplicem molestiam experieris. Magnopere laborabis, et operosum erit, ambarum ut munuum abstersione libereris a malo : et bonum tibi concilies adjunctione quadam accurata, quæ vix longo fieri tempore solet.

Ε'.

Λίαν μοι δοκεῖ σαφὲς εἶναι τὴν τῶν κρατούντων εὐδαιμονίαν τῆς παντοκρατορικῆς χειρὸς ἐξηρτῆσθαι, ἐπειδὴ καὶ τὴν καρδίαν φασὶν ἐκείνῃ δήπου κατέχεσθαι. Χρή σε οὖν εὐδαιμονίας ἐρῶντα ταύτην εἰδέναι ζητεῖν, ὅθεν λαβεῖν ἔξεστι, δηλαδὴ παρὰ Θεοῦ, σεαυτὸν παρέχοντα τοῦ εὐδαιμονεῖν οὐκ ἀνάξιον. Ὁ γὰρ μὴ συμβαίνων τοῖς πράγμασιν, ὧν ἐρᾷ, ἢ οὐδὲ τὴν ἀρχὴν αὐτὰ κτήσεται, κἂν μάλιστα ταῦτα

V.

Admodum mihi videtur esse perspicuum, felicitatem eorum, qui rerum potiuntur, ab omnipotente manu pendere, quando et cor ipsorum eadem contineri perhibent. Itaque te felicitatis cupidum scire necesse est, eam ibi quærendam, unde hauriri potest, nimirum a Deo : præbendo temetipsum non indignum, qui prosperitate fruatur. Nam cui cum iis quas expetit, rebus haud convenit : is vel prorsus

Digitized by Google

eas non assequetur, etiamsi maxime quærat : vel male, postquam assecutus fuerit, amittet : quod haud dubie pejus est, quam plane non adipisci.

VI.

Res in primis utilis est, opportune ac recte ab omnibus omnia fieri : maxime, cum divinitus aliquid est petendum. Quippe magis expedit, nihil unquam ullo modo petere, quam rem non justam, nec æquam petere : nam Deum facilius ad iram provocaverit, qui sic petit quam optati quidquam impetraverit. Deus enim id, quod decet non quod indecorum est præbet. Exaudire nimirum, præbereque solet, non cum quis vociferando, lacrymando, plangendo, incumbendo precibus, id postulat, quod esse nocumento possit, cum ipse profuturum putet (multa vero talia sic a Deo per summam ignorationem petimus) : sed cum boni publici privative studiosus, ea facit, per quæ voti compos futurus est. Hoc scilicet est preces efficacitatis robur habere. Nam qui contraria facit iis, quæ precibus optat quo pacto serum ipse dissentiens, Deum sibi possit assentientem habere ?

VII.

Copia boni divinitus, instar pluviæ, beaberis ; si et sceptrum a Deo te consecutum agnoveris, et te servum ejus esse sciveris, eique servire, magis tibi volupe fuerit, quam quod aliis imperes. Scire vero debes, multo te magis Deo servum esse, quam is tibi sit, quem precio comparasti. Et tantum quidem inter utramque servitutem interest, quantum Dei sanguis ab argento distat. Imo potius, excepta imperii dignitate, et redemptum ære mancipium et conservus, et frater, et honore tibi par est, ratione naturæ communis, e terra factæ ; quodque primus sit omnium pater is, qui Dei manu formatus fuit, itemque ratione unius et ejusdem baptismi, ac obitæ omnium causa Dei mortis. Minime certe propter inæqualitatem dignitatis, efferre se lutum supra lutum debet, Deique donum aliquod, supra donum ejusdem, quod cunctis ex æquo conceditur.

VIII.

Ante omnia tibi, si subditos tuos cum amore pariter ac metu te colere voles, quodque visum tibi fuerit, pro lege ducere, necessarium erit, ut eadem ratione Deum ipse colas. Quales enim tibi vis esse subditos, talem scilicet ipse te geres erga Dominum hujus universi ; absque quo fuerit, multum revera laborabis ; at parum omnino perficies, et eventum insti uto tuo contrarium experieris. Quippe teipsum ei subditum esse velle, cui natura subjecta sunt universa ; id vero vel imprimis efficit, ut tui sponte sua tibi subjecti pareant : itidemque Deum offendere, nihil est aliud, quam contra teipsum expertem quoque sensus naturam concitare. Patet hoc de Jonæ, Dathanis, Abiromi aliisque talibus exemplis quæ modo minime recensenda veniunt.

IX.

Et manore tibi bona, gratis concessa, plane salva vis ; et majoribus a Deo cumulari ? fac ei pro viri-

ζητῇ, ἢ κακῶς ; μετὰ τὴν κτῆσιν ἀποβαλεῖ, ὃ δὴ χεῖρον ἀτεχνῶς καὶ τοῦ μὴ λαβεῖν.

Γ.

Ἐπιεικῶς ὠφέλιμον πάντα πᾶσι γίγνεσθαι μετὰ τοῦ καιροῦ, καὶ μάλισθ' ὅταν προκέηται παρὰ τοῦ κρείττονος αἰτεῖν. Μᾶλλον γὰρ λυσιτελὲς μηδὲν μηδέποτε μηδαμῶς αἰτεῖν, ἢπερ αἰτεῖν οὐ γιγνόμενον ῥᾴον γὰρ ἂν παροργήσειεν ὁ τῇδε αἰτῶν, ἢ τι προσκτήσαιτο τῶν εὐκτῶν. Ὁ γὰρ Θεὸς τοῦ πρέποντος, οὐ τοῦ γε ἀπρεποῦς χορηγός ἐστι. Φιλεῖ γοῦν ἐπακούειν καὶ χορηγεῖν, οὐχ ὅταν τις βοῶν, δακρύων, κοπτόμενος, ταῖς εὐχαῖς ἐγκείμενος, αἰτῇ τι βλάπτειν δυνάμενον ὠφέλιμον ἡγούμενος (πολλὰ δὲ τῶν τοιούτων οὕτως αἰτοῦμεν παρὰ Θεοῦ, κατ' ἄγνοιαν μεγίστην)· ἀλλ' ὅταν ἢ κοινῶν καλῶν, ἢ τῶν ἰδίων ἐπιθυμῶν, πράττῃ δι' ὧν ἐπιτεύξεται. Τοῦτ' ἐστὶν ἐπὶ τὴν δέησιν ἰσχύειν ἐνεργουμένην. Ὁ γὰρ ἐναντία ποιῶν ὧνπερ εὔχεται, ἑαυτῷ διαφωνῶν, πῶς ἂν εἴη τὸ θεῖον σύμφωνον ;

Z'.

Ἔστι σοὶ Θεὸς ἀγαθὸν, ἔχειν μὲν τὸ αἴτημα ἐκεῖθεν ἐπισταμένῳ, δοῦλον δὲ σαυτὸν ἐκείνου σαφῶς εἰδότι, καὶ τῇ δουλείᾳ ταύτῃ πρὸς ἐκεῖνον χαίροντι μᾶλλον, ἢ τῷ βασιλεύειν τῶν ἄλλων. Ἴσθι δ' ὡς ἐκείνῳ δοῦλος· πολλῷ γε μᾶλλον ἢ σοί τις ἐστὶν ἐωνημένος. Καὶ τῆς δουλείας τὸ διάφορον ἐκείσε ὅσον αἵματος Θεοῦ καὶ ἀργυρίου τὸ μέσον. Μᾶλλον δὲ καὶ σύνδουλος, καὶ ἀδελφὸς, καὶ ὁμότιμος, πλὴν τοῦ σχήματος, ὁ ἀργυρώνητός ἐστί σοι τῇ γῇθεν φύσει τῇ κοινῇ, καὶ τῷ τὸν χειρὶ Θεοῦ πεπλασμένον εἶναι πάντων προπάτορα, καὶ τῷ ἑνὶ βαπτίσματι, καὶ τῷ ὑπὲρ πάντων Θεοῦ θανάτῳ· καὶ δεῖ μὴ καταφρονεῖσθαι δι' ἀνισότητα σχήματος, πλὴν ὁμοίου πηλοῦ, καὶ Θεοῦ τι χάρισμα, τοῦ αὐτοῦ χαρίσματος πᾶσιν ἴσως διδομένου.

H'.

Σοὶ τοὺς ὑπὸ σὲ πάντας θέλοντι φίλτρῳ καὶ φόβῳ σὲ θεραπεύειν, καὶ τὸ δοκοῦν σοι νόμον ἡγεῖσθαι, μαλιστά γε πάντων ἀνάγκη τῇδε τὸν Θεὸν θεραπεύειν. Ὁποίους γὰρ ἂν εἶναί σοι θέλεις τοὺς ὑπὸ σὲ τεταγμένους, τοιόσδε δήπουθεν ἔσῃ τῷ τῶν ὅλων αὐτὸς δεσπότῃ· εἰ δὲ μή, πολλὰ μὲν ὄντως πονήσεις, ὀλίγα δὲ πάντως ἀνύσεις, καὶ πρὸς τοὐναντίον τὸ πρᾶγμά σοι περιστήσεται. Τό τε γὰρ τοὺς κατὰ σὲ ὑποτετάχθαι· σοὶ γνώμῃ τὸ ὑποτετάχθαι σε θέλειν, ᾧ τὰ πάντα ὑποτέτακται φύσει, μάλιστά γε πάντων ἐργάζεται, καὶ τὸ τῷ Θεῷ προσκρούειν κινεῖν ἔστι κατὰ σαυτοῦ καὶ τὴν ἀναίσθητον φύσιν. Καὶ δῆλα τὸ Ἰωνᾶ, τὸ Δαθὰν καὶ Ἀβειρὼμ, καὶ τοιαῦτα ἕτερα, ἅπερ οὐ καιρὸς καταλέγειν.

Θ'.

Βούλει σοι τὰ προῖκα καὶ χάριν διαμένειν ἕως ἀσάλευτα, καὶ προσγενέσθαι τὰ μείζω παρὰ Θεοῦ ;

Digitized by Google

ἀποδίδου γοῦν αὐτῷ τὸ χρέος ἅπαν εἰς δύναμιν. Ἀδύνατον μὲν γὰρ παντελῶς ἔργοις ἡμᾶς ἐφικέσθαι τοῦ μεγέθους τῶν ἐκεῖθεν χαρίτων· ἡ προθυμία δὲ, ἔφη τις, κἂν ἀπῇ τὸ κατορθοῦν, τιμῆς ἀξία. Μὴ γοῦν καλλίστου δανείου γένοιο κάκιστος ἐκτιστὴς, μήτε τὸ ἐνὸν, μήτε τὸ ἐνδέον ἀποπληρῶν αὐτῷ τῷ βούλεσθαι μόνον. Ἀπολαμβάνει δὲ ὁ Θεὸς τὸ παρ' ἡμῶν ὀφειλόμενον οὐ ταῖς ἑαυτοῦ χερσὶν, ἀλλὰ ταῖς τῶν πενήτων, καὶ τῶν ἄλλως βοηθείας δεομένων. Οὕτω γὰρ εἰκός ἐστιν αὐτὸν μὲν παρ' ἡμῶν λαβεῖν, ἐκεῖνον δὲ ἡμῖν δοῦναι. Εἰ δ' ἐξὸν ὀλίγα ἀποδιδόναι, καὶ ταῦτα τῶν ἐκείνου πρὸς ἡμᾶς δεδομένων, εἶτ' ὀλιγωρίᾳ μακρᾷ συζῶντες ἀποστεροῦμεν ἑκόντες, πῶς μὲν ἂν δικαίως ἐσαῦθις ἑτέραν λάβοιμεν χάριν; πῶς δὲ τὴν ὑπάρξασαν οὐκ ἀπολέσομεν πάντως, καὶ δίκην γε τὴν γιγνομένην ἀπαραιτήτως ὀφλήσομεν;

A bus, quidquid omnino debes, exsolvas. Nam fieri quidem omnino nequit, ut operibus nostris beneficiorum a Deo profectorum magnitudinem exæquemus : animi tamen alacritas, quod quidam dixit, magnifieri meretur, quamvis absit ipsa facti præstatio. Quamobrem cave pulcherrimum æs alienum pessime dissolveris, nec id faciendo, quod potes, nec quod deest, saltem per ipsum velle complendo. Recipit autem Deus id, quod a nobis debetur, non manibus suis, sed pauperum et opis egentium. Nam sic cum et nobis accipere consentaneum est, et nobis ipsum vicissim largiri. Quod si facultatem habentes exigua quædam reddendi, et quidem ex illis, quæ ab ipso nobis concessa sunt ea sponte denegamus, ex diuturna quadam secordia, nobis familiari : quonam pacto jure poterimus alio rursum potiri beneficio? qui fiet, ut omnino prius concessum non amittamus, et inexorabiliter pœna conveniente multemur?

B

I'.

Αὐτόθεν δῆλον τὸ ῥηθησόμενον· λεκτέον δή. Ὁ τὸν Θεὸν ἀγαπᾷν οὐ θέλων ὑπὸ τῶν αὐτοῦ μισεῖται κτισμάτων. Ὁ μὴ φοβούμενος αὐτὸν ὀρρωδεῖ καὶ τὰς σκιὰς τῶν πραγμάτων. Ὁ μὴ τοὺς ἐκείνου φυλάττων νόμους, κἂν μέγας ᾖ, κἂν λαμπρὸς, κἂν πάσης ᾖ σοφίας πεπληρωμένος, οὐχ ἕξει μὲν τοὺς πειθομένους αὐτοῦ τοῖς δόγμασι, δουλεύσει δὲ μᾶλλον ἐκεῖνος· ἀνδραπόδων οὐκ ἀμείνοσιν. Οὐκοῦν ὁ θέλων εὖνους ἔχειν, ὧν ἄρχει, εὔνους ὧν διατελείτω τῷ πνοῆς πάσης κρατοῦντι, καὶ ζωὴν παρέχοντι, καὶ πρὸς τἀγαθὸν κινοῦντι πᾶσαν ψυχήν. Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. Καὶ, *Αὐτός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας*, ὁ θεῖος ἀπεφήνατο Παῦλος.

C

X.

Satis ex se parebit, quod dicturi sumus, ac proferatur sane. Qui Deum diligere non vult, ei sunt infesta Dei creata. Qui Deum non metuit, etiam ipsas rerum umbras formidat. Qui leges ipsius non servat, tametsi magnus sit, tametsi clarus, tametsi plenus omni sapientia : tamen nec habiturus est, qui decretis ipsius obtemperent : et servitutem potius serviet non melioribus, quam ipsa sint mancipia. Quapropter qui benevolos habere vult eos, quibus imperat, semper illius benevolentiam conservet, in cujus potestate flatus omnis est, et qui vitam suppeditat, omnemque animum ad bonum impellit. Nam in ipso vivimus, et movemur, et sumus. Item *ipse est, qui efficit in nobis, et ut velimus, et ut præstemus, pro sua in nos propensione*, quemadmodum divus Paulus ait.

IA'.

Σὲ πρὸ πάντων ἄγειν δεῖ τὴν σὲ πρὸ πάντων ἄγουσαν Ἐκκλησίαν, πάντα σοι μετὰ Θεὸν γιγνομένην. Αὕτη σοὶ μήτηρ, τίτθη, διδάσκαλος, πλάστης, ἀλείπτης, ὁδὸς, καὶ ὁδηγὸς, καὶ συνεργὸς, καὶ παράκλησις, πρὸς ὅ τι κάλλιστόν τε καὶ μονιμώτατον. Οὐδὲν γὰρ τῶν ἐκείνης λῆξιν δεχομένων ἢ ἐπίκηρον ἢ φθαρτόν ἐστιν, ἀλλ' ἄϊδιον, ἀκήρατον, ἄφθαρτον, ἀϊδίοις, καὶ ἀκηράτοις, καὶ ἀφθάρτοις προσῆκον. Καὶ γὰρ τὰ πάντα πνευματικὰ· καὶ διὰ τοῦτο αἰώνια, καὶ ἀγαθὰ, καὶ ἀκίνητα· ἃ καὶ προτιμᾶσθαι δεῖ τῶν σωματικῶν, ὡς συγκεκληρωμένων τῇ παρούσῃ ζωῇ καὶ πλέον ὄντων μηδέν.

D

XI.

Anteferenda tibi cunctis rebus est Ecclesia, quæ te quoque cunctis anteponit, et instar omnium est tibi secundum Deum. Ea tibi mater, nutrix, magistra, informatrix, alipta, via, viæ dux, adjutrix, incitatrix ad pulcherrima quævis, et maxime durabilia perpetuaque. Nam nihil eorum, quæ hac continentur, vel fluxum, vel obnoxium est interitui ; sed æternum, corruptionis et interitus expers ; æternis et corruptionis ac interitus expertibus conveniens. Omnia namque spiritualia sunt, eaque propter et æterna, et bona, et immota : quæ et potiora ducenda sunt corporeis, velut ad vitam hanc pertinentibus, nec ulterius sese porrigentibus.

IB'.

Ἴσον τῷ πρὸς κέντρα λακτίζειν τὸ πολεμεῖν τῆς Ἐκκλησίας τοῖς δόγμασι. Χαίρειν οὖν τοῖς τοῦτο ποιοῦσιν εἰρηκὼς, εἴπερ οὐκ ἐνὸν αὐτοὺς διορθώσασθαι, ὅρα μοι τὴν τούτων μανίαν, εἰς οἷον τούτους κακὸν ἐνέβαλε. Λὰξ γὰρ παίειν ἐθέλουσι τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, ἣν ἰδίῳ αἵματι περιεποιήσατο, οὐδὲν ἄλλο λείπεται τούτοις, ἢ αἱμάττειν πόδας ἰδίους παραφορᾷ θρασύτητι. Σὺ δέ μοι ταῦτα ἐπίστασο λιμένα τε καὶ πρόβολον, καὶ ἀμυντήριον ὅπλον. Νιφάδι γὰρ

XII.

Repugnare dogmatis Ecclesiæ, perinde est, ac si quis velit stimulis calces impingere. Quapropter hoc facientibus longum valere justis, si corrigi nequeant ; eorum mihi furorem aspicito, in quale malum præcipites ipsos agat. Quippe dum calcibus Ecclesiam Dei ferire volunt, quam ipse suo sanguine acquisivit, nihil agunt aliud, quam quod audacia quadam insaniæ suosmetipsi pedes cruentant. At ego volo scias, illa dogmata portum quasi

Digitized by Google

eas non assequetur, etiamsi maxime quærat : vel male, postquam assecutus fuerit, amittet : quod haud dubie pejus est, quam plane non adipisci.

VI.

Res in primis utilis est, opportune ac recte ab omnibus omnia fieri : maxime, cum divinitus aliquid est petendum. Quippe magis expedit, nihil unquam ullo modo petere, quam rem non justam, nec æquam petere : nam Deum facilius ad iram provocaverit, qui sic petit quam optati quidquam impetraverit. Deus enim id, quod decet non quod indecorum est præbet. Exaudire nimirum, præbereque solet, non cum quis vociferando, lacrymando, plangendo, incumbendo precibus, id postulat, quod esse nocumento possit, cum ipse profuturum putet (multa vero talia sic a Deo per summam ignorationem petimus) : sed cum boni publici privative studiosus, ea facit, per quæ voti compos futurus est. Hoc scilicet est preces efficacitatis robur habere. Nam qui contraria facit iis, quæ precibus optat quo pacto secum ipse dissentiens, Deum sibi possit assentientem habere ?

VII.

Copia boni divinitus, instar pluviæ, beaberis ; si et sceptrum a Deo te consecutum agnoveris, et te servum ejus esse sciveris, eique servire, magis tibi volupe fuerit, quam quod aliis imperes. Scire vero debes, multo te magis Deo servum esse, quam is tibi sit, quem precio comparasti. Et tantum quidem inter utramque servitutem interest, quantum Dei sanguis ab argento distat. Imo potius, excepta imperii dignitate, et redemptum ære mancipium et conservus, et frater, et honore tibi par est, ratione naturæ communis, e terra factæ ; quodque primus sit omnium pater is, qui Dei manu formatus fuit, itemque ratione unius et ejusdem baptismi, ac obitæ omnium causa Dei mortis. Minime certe propter inæqualitatem dignitatis, efferre se lutum supra lutum debet, Deique donum aliquod, supra donum ejusdem, quod cunctis ex æquo conceditur.

VIII.

Ante omnia tibi, si subditos tuos cum amore pariter ac metu te colere voles, quodque visum tibi fuerit, pro lege ducere, necessarium erit, ut eadem ratione Deum ipse colas. Quales enim tibi vis esse subditos, talem scilicet ipse te geres erga Dominum huius universi ; absque quo fuerit, multum revera laborabis ; at parum omnino perficies, et eventum instituto tuo contrarium experieris. Quippe teipsum ei subditum esse velle, cui natura subjecta sunt universa ; id vero vel imprimis efficit, ut tui sponte sua tibi subjecti pareant : itidemque Deum offendere, nihil est aliud, quam contra teipsum expertem quoque sensus naturam concitare. Patet hoc de Jonæ, Dathanis, Abiromi aliisque talibus exemplis quæ modo minime recensenda veniunt.

IX.

Et manere tibi bona, gratis concessa, plane salva vis ; et majoribus a Deo cumulari ? fac ei pro viri-

A ζητῇ, ἢ κακῶς μετὰ τὴν κτῆσιν ἀποβαλεῖ, ὃ δὴ χεῖρον ἀτεχνῶς καὶ τοῦ μὴ λαβεῖν.

Γ'.

Ἐπιεικῶς ὠφέλιμον πάντα πᾶσι γίγνεσθαι μετὰ τοῦ καιροῦ, καὶ μάλισθ' ὅταν προκέηται παρὰ τοῦ κρείττονος αἰτεῖν. Μᾶλλον γὰρ λυσιτελὲς μηδὲν μηδέποτε μηδαμῶς αἰτεῖν, ἢπερ αἰτεῖν οὐ γιγνόμενον· ῥᾷον γὰρ ἂν παροργήσειεν ὁ τῇδε αἰτῶν, ἢ τι προσκτήσαιτο τῶν εὐκτῶν. Ὁ γὰρ Θεὸς τοῦ πρέποντος, οὐ τοῦ γε ἀπρεποῦς χορηγός ἐστι. Φιλεῖ γοῦν ἐπακούειν καὶ χορηγεῖν, οὐχ ὅταν τις βοῶν, δακρύων, κοπτόμενος, ταῖς εὐχαῖς ἐγκείμενος, αἰτῇ τι βλάψαι δυνάμενον ὠφέλιμον ἡγούμενος (πολλὰ δὲ τῶν τοιούτων οὕτως αἰτοῦμεν παρὰ Θεοῦ, κατ' ἄγνοιαν μεγίστην)· ἀλλ' ὅταν ἢ κοινῶν καλῶν, ἢ τῶν ἰδίων ἐπιθυμῶν, πράττῃ δι' ὧν ἐπιτεύξεται. Τοῦτ' ἄρ' ἐστὶ τὴν δέησιν ἰσχύειν ἐνεργουμένην. Ὁ γὰρ ἐναντία ποιῶν ὧνπερ εὔχεται, ἑαυτῷ διαφωνῶν, πῶς ἂν σχοίη τὸ θεῖον σύμφωνον;

Z'.

Ὑσει σοὶ Θεὸς ἀγαθὸν, ἔχειν μὲν τὸ σκῆπτρον ἐκεῖθεν ἐπισταμένῳ, δοῦλον δὲ σαυτὸν ἐκείνου σαφῶς εἰδότι, καὶ τῇ δουλείᾳ σῇ πρὸς ἐκεῖνον χαίροντι μᾶλλον, ἢ τῷ βασιλεύειν τῶν ἄλλων. Ἴσθι δ' ὧν ἐκείνῳ δοῦλος πολλῷ γε μᾶλλον ἢ σοί τίς ἐστιν ἐωνημένος. Καὶ τῆς δουλείας τὸ διάφορον ἑκατέρας, ὅσον αἵματος Θεοῦ καὶ ἀργυρίου τὸ μέσον. Μᾶλλον δὲ καὶ σύνδουλος, καὶ ἀδελφὸς, καὶ ὁμότιμος, πλὴν τοῦ σχήματος, ὁ ἀργυρώνητός ἐστί σοι τῇ γῆθεν φύσει τῇ κοινῇ, καὶ τῷ τὸν χειρὶ Θεοῦ πεπλασμένον εἶναι πάντων προπάτορα, καὶ τῷ ἑνὶ βαπτίσματι, καὶ τῷ ὑπὲρ πάντων Θεοῦ θανάτῳ· καὶ δεῖ μὴ κατεπαίρεσθαι δι' ἀνισότητα σχήματος, πλὴν ὁμοίου πηλοῦ, καὶ Θεοῦ τι χάρισμα, τοῦ αὐτοῦ χαρίσματος πᾶσιν ἴσως διδομένου.

H'.

Σοὶ τοὺς ὑπὸ σὲ πάντας θέλοντι φίλτρῳ καὶ φόβῳ σὲ θεραπεύειν, καὶ τὸ δοκοῦν σοι νόμον ἡγεῖσθαι, μάλιστά γε πάντων ἀνάγκη τῇδε τὸν Θεὸν θεραπεύειν. Ὁποίους γὰρ ἂν εἶναί σοι θέλεις τοὺς ὑπὸ σὲ τεταγμένους, τοιόσδε δήπουθεν ἔσῃ τῷ τῶν ὅλων αὐτὸς δεσπότῃ· εἰ δὲ μὴ, πολλὰ μὲν ὄντως πονήσεις, ὀλίγα δὲ πάντως ἀνύσεις, καὶ πρὸς τοὐναντίον τὸ πρᾶγμά σοι περιστήσεται. Τό τε γὰρ τοὺς κατὰ σὲ ὑποτετάχθαι σοι γνώμῃ τὸ ὑποτετάχθαι σε θέλειν, ᾧ τὰ πάντα ὑποτέτακται φύσει, μάλιστά γε πάντων ἐργάζεται, καὶ τὸ τῷ Θεῷ προσκρούειν κινεῖν ἐστι κατὰ σαυτοῦ καὶ τὴν ἀναίσθητον φύσιν. Καὶ δηλοῖ τὸ Ἰωνᾶ, τὸ Δαθὰν καὶ Ἀβειρὼμ, καὶ τοιαῦτα ἕτερα, ἅπερ οὐ καιρὸς καταλέγειν.

Θ'.

Βούλει σοι τὰ προῖκα καὶ χάριν διαμένειν ὅλως ἀσάλευτα, καὶ προσγενέσθαι τὰ μείζω παρὰ Θεοῦ;

Digitized by Google

ἀποδίδου γοῦν αὐτῷ τὸ χρέος ἅπαν εἰς δύναμιν. Ἀδύνατον μὲν γὰρ παντελῶς ἔργοις ἡμᾶς ἐφικέσθαι τοῦ μεγέθους τῶν ἐκεῖθεν χαρίτων· ἡ προθυμία δὲ, ἔφη τις, κἂν ἀπῇ τὸ κατορθοῦν, τιμῆς ἀξία. Μὴ γοῦν καλλίστου δανείου γένοιο κάκιστος ἐκτιστὴς, μήτε τὸ ἐνὸν, μήτε τὸ ἐνδέον ἀποπληρῶν αὐτῷ τῷ βούλεσθαι μόνον. Ἀπολαμβάνει δὲ ὁ Θεὸς τὸ παρ' ἡμῶν ὀφειλόμενον οὐ ταῖς ἑαυτοῦ χερσὶν, ἀλλὰ ταῖς τῶν πενήτων, καὶ τῶν ἄλλως βοηθείας δεομένων. Οὕτω γὰρ εἰκός ἐστιν αὐτὸν μὲν παρ' ἡμῶν λαβεῖν, ἐκεῖνον δὲ ἡμῖν δοῦναι. Εἰ δ' ἐξὸν ὀλίγα ἀποδιδόναι, καὶ ταῦτα τῶν ἐκείνου πρὸς ἡμᾶς δεδομένων, εἶτ' ὀλιγωρίᾳ μακρᾷ συζῶντες ἀποστεροῦμεν ἑκόντες, πῶς μὲν ἂν δικαίως ἐσαῦθις ἑτέραν λάβοιμεν χάριν; πῶς δὲ τὴν ὑπάρξασαν οὐκ ἀπολέσομεν πάντως, καὶ δίκην γε τὴν γιγνομένην ἀπαραιτήτως ὀφλήσομεν;

A bus, quidquid omnino debes, exsolvas. Nam fieri quidem omnino nequit, ut operibus nostris beneficiorum a Deo profectorum magnitudinem exæquemus: animi tamen alacritas, quod quidam dixit, magnifieri meretur, quamvis absit ipsa facti præstatio. Quamobrem cave pulcherrimum æs alienum pessime dissolveris, nec id faciendo, quod potes, nec quod deest, saltem per ipsum velle complendo. Recipit autem Deus id, quod a nobis debetur, non manibus suis, sed pauperum et opis egentium. Namsic eum et nobis accipere consentaneum est, et nobis ipsum vicissim largiri. Quod si facultatem habentes exigua quædam reddendi, et quidem ex illis, quæ ab ipso nobis concessa sunt ea sponte denegamus, ex diuturna quadam secordia, nobis familiari: quonam pacto jure poterimus alio rursum potiri beneficio? qui fiet, ut omnino prius concessum non amittamus, et inexorabiliter pœnaconveniente multemur?

B

I'.

Αὐτόθεν δῆλον τὸ ῥηθησόμενον· λεκτέον δή. Ὁ τὸν Θεὸν ἀγαπᾷν οὐ θέλων ὑπὸ τῶν αὐτοῦ μισεῖται κτισμάτων. Ὁ μὴ φοβούμενος αὐτὸν ὁρῶσδεῖ καὶ τὰς σκιὰς τῶν πραγμάτων. Ὁ μὴ τοὺς ἐκείνου φυλάττων νόμους, κἂν μέγας ᾖ, κἂν λαμπρὸς, κἂν πάσης ᾖ σοφίας πεπληρωμένος, οὐχ ἕξει μὲν τοὺς πειθομένους αὐτοῦ τοῖς δόγμασι, δουλεύσει δὲ μᾶλλον ἐκεῖνος; ἀνδραπόδων οὐκ ἀμείνοσιν. Οὐκοῦν ὁ θέλων εὖνους ἔχειν, ὧν ἄρχει, εὖνους ὧν διατελείτω τῷ πνοῆς πάσης κρατοῦντι, καὶ ζωὴν παρέχοντι, καὶ πρὸς τἀγαθὸν κινοῦντι πᾶσαν ψυχήν. Ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. Καὶ, *Αὐτός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας*, ὁ θεῖος ἀπεφήνατο Παῦλος.

C

Satis ex se parebit, quod dicturi sumus, ac proferatur sane. Qui Deum diligere non vult, ei sunt infesta Dei creata. Qui Deum non metuit, etiam ipsas rerum umbras formidat. Qui leges ipsius non servat, tametsi magnus sit, tametsi clarus, tametsi plenus omni sapientia: tamen nec habiturus est, qui decretis ipsius obtemperent: et servitutem potius serviet non melioribus, quam ipsa sint municipia. Quapropter qui benevolos habere vult eos, quibus imperat, semper illius benevolentiam conservet, in cujus potestate flatus omnis est, et qui vitam suppeditat, omnemque animum ad bonum impellit. Nam in ipso vivimus, et movemur, et sumus. Item *ipse est, qui efficit in nobis, et ut velimus, et ut præstemus, pro sua in nos propensione*, quemadmodum divus Paulus ait.

IA'.

Σὲ πρὸ πάντων ἄγειν δεῖ τὴν σὲ πρὸ πάντων ἄγουσαν Ἐκκλησίαν, πάντα σοι μετὰ Θεὸν γιγνομένην. Αὕτη σοὶ μήτηρ, τίτθη, διδάσκαλος, πλάστης, ἀλείπτης, ὁδὸς, καὶ ὁδηγὸς, καὶ συνεργὸς, καὶ παράκλησις, πρὸς ὅ τι κάλλιστόν τε καὶ μονιμώτατον. Οὐδὲν γὰρ τῶν ἐκείνης λῆξιν δεχομένων ἢ ἐπίκηρον ἢ φθαρτόν ἐστιν, ἀλλ' ἄϊδιον, ἀκήρατον, ἄφθαρτον, ἀϊδίοις, καὶ ἀκηράτοις, καὶ ἀφθάρτοις προσῆκον. Καὶ γὰρ τὰ πάντα πνευματικά· καὶ διὰ τοῦτο αἰώνια, καὶ ἀγαθὰ, καὶ ἀκίνητα· ἃ καὶ προτιμᾶσθαι δεῖ τῶν σωματικῶν, ὡς συγκεκληρωμένων τῇ παρούσῃ ζωῇ καὶ πλέον ὄντων μηδέν.

D

Anteferenda tibi cunctis rebus est Ecclesia, quæ te quoque cunctis anteponit, et instar omnium est tibi secundum Deum. Ea tibi mater, nutrix, magistra, informatrix, alipta, via, viæ dux, adjutrix, incitatrix ad pulcherrima quævis, et maxime durabilia perpetuaque. Nam nihil eorum, quæ hac continentur, vel fluxum, vel obnoxium est interitui; sed æternum, corruptionis et interitus expers; æternis et corruptionis ac interitus expertibus conveniens. Omnia namque spiritualia sunt, eaque propter et æterna, et bona, et immota: quæ et potiora ducenda sunt corporeis, velut ad vitam hanc pertinentibus, nec ulterius sese porrigentibus.

IB'.

Ἴσον τῷ πρὸς κέντρα λακτίζειν τὸ πολεμεῖν τῆς Ἐκκλησίας τοῖς δόγμασι. Χαίρειν οὖν τοῖς τοῦτο ποιοῦσιν εἰρηκὼς, εἴπερ οὐκ ἐνὸν αὐτοὺς διορθώσασθαι, ὅρα μοι τὴν τούτων μανίαν, εἰς οἷον τούτους κακὸν ἐνέβαλε. Λὰξ γὰρ παίειν ἐθέλουσι τὴν τοῦ Θεοῦ Ἐκκλησίαν, ἣν ἰδίῳ αἵματι περιεποιήσατο, οὐδὲν ἄλλο λείπεται τούτοις, ἢ αἱμάττειν πόδας ἰδίους παραφορᾷ θρασύτητι. Σὺ δέ μοι ταῦτα ἐπίστασο λιμένα τε καὶ πρόβολον, καὶ ἀμυντήριον ὅπλον. Νιφάσι γὰρ

XII.

Repugnare dogmatis Ecclesiæ, perinde est, ac si quis velit stimulis calces impingere. Quapropter hoc facientibus longum valere justis, si corrigi nequeant; eorum mihi furorem aspicito, in quale malum præcipites ipsos agat. Quippe dum calcibus Ecclesiam Dei ferire volunt, quam ipse suo sanguine acquisivit, nihil agunt aliud, quam quod audacia quadam insaniæ suosmetipsi pedes cruentant. At ego volo scias, illa dogmata portum quasi

Digitized by Google

quemdam esse ac propugnaculum, scutumque defensioni aptissimum. Quippe cum adversantium invicem sibi cogitationum nimbis obruimur, ubi primum ad ea confugimus, serenitatem puram invenimus. Per eadem licet omnem linguam superbam, nosque mendaciis adgredientem, abigere. Quis igitur Ecclesiam, quæ causam talium tantorumque bonorum præbet, valde diligens atque fovens, et ad eam pertinentibus nimiopere benefaciens, debitam ei gratiam retulerit ?

XIII.

Insigniter et expedit et pulchrum est, nihil agere mali. Quippe quidam quasi gradus ad virtutem est malorum exterminatio. Melius, boni quid agere. Principia namque fines comitantur. Pulcherrimum, rem maximam feliciter efficientem, Deo præclarum facinus acceptum ferre : sine quo nihil boni fieri potest. Qui præditus virtute, modeste se gerit ; splendidiorem reddit animum. At iis qui propter facinora sua (quæ sane magna sint, et admirabilia) magnifice semet efferunt, metuendum, ne laudabilia gerentes, ipsi sibi detrimento potius sint quam commodo. Quippe Deum adversum experientur, et (uti prophetæ verbis utamur) quo pacto subsistere poterunt ?

XIV.

Malum est, boni quidpiam non facere, cujus efficiendi facultas aderat. Non enim frustra creati sumus, nec ut in otio vitam transeamus, planeque nulli simus usui, lapidum instar in jurgite jacentium. Pejus, improbe agere : nam ad opera bona conditi sumus. Pessimum, ubi quid mali perpetraveris, id operam dare, ut culpam in alium conferas. Id malum primis illis humani generis parentibus plus nocuit, quam quod initio legem violassent. Nimirum non malum malo, quod aiunt, quasi de industria rem noxiam semper cumulemus ; sed aut quod bonum est, agamus, aut saltem mali quid designantes, nobis id ipsum ascribamus. Nam bonus est, quicunque vult ; et qui vult, malus.

XV.

Admonet Isocrates sententia quadam sua, dandum operam, ut omnibus jucundum te præbeas ; at optimis utendum. Ea cum laude digna sententia sit, verum non itidem facilis, scita commonstranda est ratio, qua præstari possit. Nam se quisque meliorem existimat aliis, dignumque censet, qui majores et honores et munera consequatur; adeoque difficillimum factu, gratus ut omnibus habeare. Sed enim strenue laborandum, expendendæ pecuniæ, dexteritate quadam utendum, ut egregie rem præstes. Nam qui maxima quædam appetit, non tantum admirari causas, sed eniti quoque debet, ut adipiscatur.

XVI.

Nunc id dicendum venit, quod et per se dictu pulchrum est, et oratoris sententiam comprobat. Nemini denegato, quibus ipse dignus est ; sed esto popularis erga universos, atque aditu facilis ; et

A βαλλόμενοι λογισμῶν ἐναντίων, εὐθὺς αὐτοῦ κατάξοντες, λευκὴν γαλήνην εὑρίσκομεν. Ἔξεστι δέ γε τούτοις ἀποσοβεῖν καὶ πᾶσαν ὑπερήφανον γλῶσσαν ψευδέσι ῥήμασιν ἐπιοῦσαν. Τίς ἂν οὖν τὴν Ἐκκλησίαν, τοιούτων τε καὶ τηλικούτων αἰτίαν οὖσαν, σφόδρα φιλῶν τε καὶ περιθάλπων, καὶ ἀγαθῶν ὑπερβολὴν τοῖς πρὸς ἐκείνην ἐπιδεικνύμενος, ἀποδῷ τὴν γιγνομένην ἐκείνῃ χάριν;

ΙΓ'.

Λυσιτελές γε καὶ καλὸν μηδέν τι τῶν κακῶν ἐνεργεῖν. Οἷον γάρ τις βάσις εἰς ἀρετὴν ἡ τῶν πονηρῶν ἐκκοπή. Κρεῖττον ἐργάσασθαί τι χρηστόν. Ἀρχαῖς γὰρ ἕπεται τέλη. Κάλλιστον, τὶ μέγιστον κατορθοῦντα, τῷ Θεῷ λογίζεσθαι τὸ κατόρθωμα· οὗ χωρὶς οὐδέν ἐστι γενέσθαι τῶν ἀγαθῶν. Ὁ μετριάζων ἐπ' ἀρετῇ λαμπρὰν ἐργάζεται τὴν ψυχήν. Τοῖς δὲ δὴ μέγα φρονοῦσιν ἐπὶ τοῖς αὐτῶν κατορθώμασιν (ἔστω δὲ μεγάλα καὶ θαυμαστὰ) δέος ἐστὶ μὴ μᾶλλον βλάψαιεν σφᾶς αὐτοὺς, ἢ ὠφελήσαιεν κατορθοῦντες. Ἔξουσι τὸ θεῖον ἀντιτεταγμένον, καὶ κατὰ τὸν εἰπόντα προφήτην, πῶς ἂν δύναιντο στῆναι;

ΙΔ'.

Ἐπειδὰν ἐξῇ τι πράττειν καλὸν, καὶ τὸ μὴ πρᾶξαι τοῦτο κακόν. Οὐδὲ γὰρ μάτην παρήχθημεν, οὐδ' ἀργῶς διαβιῶναι, καὶ ἀχρήστως ἔχειν ἐξῆς ἅπαντα, κατὰ τοὺς ἐν τῷ βυθῷ λίθους. Χεῖρον ἐργάσασθαι πονηρόν. Ἐπ' ἀγαθοῖς γὰρ ἔργοις ἐπλάσθημεν. Κἀκιστον, ποιήσαντα φαῦλον, ἀνατιθέναι τινὶ τὴν μέμψιν ἐπιχειρεῖν. Τοῦτο τὸ κακὸν τοὺς προπάτορας μᾶλλον ἔβλαψεν, ἢ τὸ τὴν ἀρχὴν παραβῆναι· μὴ δὴ κακῷ τὸ κακὸν, φασὶν, ὥσπερ ἐξεπίτηδες· τὸ βλάπτον ἀεὶ προσαύξοντες· ἀλλ' ἢ ποιῶμεν τἀγαθὸν, ἢ γοῦν τὸ κακὸν ἐργαζόμενοι, ἡμῖν αὐτοῖς αὐτὸ περιάπτωμεν. Καλὸς γὰρ ἅπας ὁ θέλων· καὶ κακός γε ὁ βουλόμενος.

ΙΕ'.

Ἰσοκράτης δίδωσι γνώμην, ἔχειν μὲν ἡδέως πρὸς ἅπαντας παρατινοῦσαν· χρῆσθαι δὲ τοῖς βελτίστοις. Δεῖ δὴ τῆς γνώμης οὔσης ἐπαινετῆς, οὐ μήν γε ῥᾳδίας, σοφήν τιν' ἐπιστήμην ἐνδείκνυσθαι πρὸς τὴν ἐκείνης ἐκπλήρωσιν. Οἴεται γὰρ ἕκαστος εἶναι τῶν ἄλλων ἀμείνων, καὶ μειζόνων ἀξιοῖ τιμῶν καὶ δώρων τυγχάνειν· καὶ γίνεται παγχάλεπον ἡδὺν νομίζεσθαι πᾶσι. Δεῖ μέντοι πόνοις ἐγκαρτερεῖν, καὶ χρήματα ἀναλίσκειν, καὶ δεξιότητι χρῆσθαι, ὅπως τοῦτ' κατορθώσῃς. Τὸν γὰρ μεγίστων ἐρῶντα οὐ χρὴ θαυμάζειν μόνον τὰ αἴτια, ἀλλὰ καὶ κτᾶσθαι σπουδάζειν.

ΙϚ'.

Μέλλει νῦν εἰρήσεσθαι, ὃ καὶ καθ' αὐτὸ ῥηθῆναι καλὸν, καὶ τῆς τοῦ ῥήτορος γνώμης συστατικόν· Μηδένα τῶν αὐτῷ πρεπόντων ἀποστερεῖν, ἀλλ' εἶναι μέν σε πᾶσι κοινὸν, εἶναι δὲ εὐπρόσιτον· μεταδι

Digitized by Google

δόντα μὲν τιμῆς, μεταδιδόντα δὲ ἀστειότητος, καὶ προσβοηθοῦντα πᾶσιν ὡς ἔξεστι. Καὶ δεῆσαν ἀναλίσκειν ὑπὲρ ἀνθρώπων, χαίροντα τοῦτο ποιεῖν, ὅπως μεγαλοψυχίας, ἀλλ' οὐκ ἀνάγκης τοῦργον νομίζοιτο. Οἷς μέντ' ἂν αὐτὸς ἡσθείης ἕνεκά σου πεπραγμένοις ὑπό του φίλου, τούτοις χρῆσθαι πρὸς τοὺς ἑτέρους. Οὕτω πολλὴν ὡς μάλιστα, καὶ καλὴν οὐχ ἥκιστα σεαυτῷ φιλίαν ἐπισωρεύσεις.

A honorem impertiens, et urbanitatem adhibens, et universis, quantum potes, succurrens. Quod si hominum causa eroganda pecunia fuerit, hoc et lætus et hilaris facies : ut opus ipsum magnanimitatis, non coactionis existimetur. Quæ ab amico tua causa præstita, voluptati tibi forent : ea fac aliis exhibeas. Sic et amplam in primis nec minus honestam tibi cumulabis amicitiam.

IZ'.

Ἀμέλει γε κἀκεῖνο δοκεῖ συμβαίνειν τῇδε τῇ γνώμῃ. Χρὴ γάρ, οἶμαι, τοὺς παραινοῦντας συνοῖσον ἔργον ἀσπάζεσθαι, κἂν ὦσι φαῦλοι τὴν τύχην, κἂν μηδαμόθεν σοι γνώριμοι. Ἢν δέ τις βλάψον συμβουλεύῃ τι, εἰ μὲν ὡς ἐξαπατῶν, τὰ τῶν ἐχθίστων ἐργάζεται· εἰ δὲ δι' ἄγνοιαν, εὔνους ὤν, τῆς μὲν ἀγαθῆς προαιρέσεως ἐπαινείσθω (ταύτῃ καὶ τὰ παρ' ἡμῶν πρὸς Θεὸν κρίνεται)· τῆς δ' εὐηθείας μήτε ἐξουθενείσθω, μήτε ἐπιτιμάσθω. Οὐδὲ γὰρ ὁ Θεὸς κρινῶν καθεδεῖται ἀνοήτους καὶ μελαγχολῶντας ἀνθρώπους.

B

XVII.

Videtur et illud ad hanc certe pertinere sententiam. Arbitror enim eos, qui rem conducibilem monendo suggerunt, amplectendos esse ; quamvis fortunæ sint tenuis homines, quamvis ex re nulla tibi noti. Sin quis noxium quidpiam tibi consulet, si quidem ut decipiat, hostis atrocis officium facit : sin per ignorationem, cæteroqui benevolus, propositi boni nomine laudetur (nam ex eo nostra quoque Deus æstimat), ob incautam vero simplicitatem nec contemptui sit, nec reprehendatur. Quippe ne Deus quidem pro tribunali sedebit, ut de stultis et insanis hominibus sententiam ferat.

IH'.

Νυν. σοι τόνδε τὸν τρόπον οἱ τῶν ἀνδρῶν ἄριστοί τε καὶ χρήσιμοι, καὶ οἱ τούτων ἐναντίοι, γένοιντ' ἂν, οἶμαι, καταφανεῖς, ὅπερ ὠφέλιμον ἄρχουσι μάλιστα πάντων ἐστί. Διεξετάσας τὰς τούτων σχέσεις, τὰς πρὸς τὸ Θεῖον, τὰς πρὸς τὸν βίον, τὰς πρὸς τοὺς φίλους, τὰς εἰς τοὺς καθ' αἷμα προσήκοντας, καὶ εἰς τοὺς πολίτας καὶ ξένους, καὶ ὡς αὐτοῖς γε σφίσι τὰ καθ' αὑτοὺς ᾠκονόμητο, καὶ τίσι μὲν χαίρουσιν, ἐφ' οἷς δὲ ἀσχάλλουσι, τὰς τῶνδε φύσεις εὑρήσεις. Καί μοι μηδένα μισήσας, τοὺς φιλητέους φιλήσεις· καὶ χρώμενος οἷς ἄμεινον, οὐκ ἀμελήσεις τῶν ἄλλων. Οὕτω καὶ κοσμίως φιλήσεις, καὶ ἐν τῷ φιλεῖν καὶ φιλεῖσθαι διαμενεῖς. Ὁ γὰρ εὐχερῶς συναπτόμενος εὐχερέστερον διίσταται. Τοῦτο δὲ φευκτέον νοῦν ἔχουσιν.

C

XVIII.

A culter possis. Nam qui malorum ad extremum pervenerit, is bonorum ad verticem non facile revertetur. Debet autem existimare princeps, neminem se latere posse, si malus sit. In ipsum namque conjecti sunt omnium oculi, ad suscipienda pro cunctis certamina magis accinctum, quam illi quondam erant, qui gloriæ causa a Panathenæis festis decertabant. Neque vero mirum est, certantem labi: sed prostratum jacere velle, summopere adsurdum. Nam illud quidem multis ex causis fieri potest, hujus vero culpa soli est ascribenda voluntati. Quin et prosterni potest, qui luctatur, ac nihilo minus apud judices rerum peritos gloriam vituperii loco reportare. Nam viri est, animo quid alacri suscipere: spei frustratio, fortunæ.

MH'.

Ῥεῖ μὲν ὁ βίος ἡμῖν, καὶ στάσιν ἔχει τὴν κίνησιν· τὸ δὲ σύντονον αὐτῷ πρὸς παντελῶς ἀκίνητον, ἢ καλὸν, ἢ τοὐναντίον, μετὰ τὴν ἐνθένδε λῆξιν ἀποκαθίσταται. Παραῤῥεῖ δὲ τοῖς ποσὶν, ὡς ῥύακες, ἑκατέρωθεν τῶν καλῶν καὶ τῶν κακῶν τὰ αἴτια. Ὁ κώθων δὲ ἐν χεροῖν, καὶ ἕτοιμον ἀντλεῖν, ὁποτέρωθεν ἄν τις βούλοιτο. Ἔοικε δὲ καὶ ἀγορᾷ τὰ καθ' ἡμᾶ; πράγματα, καὶ ἔξεστι πρὸς κέρδος νοῦν ἔχουσι πάντα πράττειν, πωλεῖν, ἀλλάττειν, ὠνεῖσθαι. Μεμπτὸν οὖν πάντως σαφῶς ἐστι χάλκεα χρυσέων ἀλλάττεσθαι. Αἰσχρὸν ταλάντων πιπράσκειν δόξαν. Δεινὸν ἐλευθερίαν προδοῦναι παντὸς ἕνεκα. Παντελῶς ἀνόητον, καὶ τὰ εἰρημένα πρὸς ἑαυτὸ συνελκύσαν, καὶ πάνθ' ὁμοῦ τὰ κακὰ, αἰωνίου πρίασθαι πρόσκαιρον.

B

XLVIII.

Cursu perpetuo vita nostra fluit, et extra motum quietem nullam habet. Continuus autem cursus ille posî exactam hanc vitam in prorsus immobile vel bonum vel malum desinit. Ad pedes utrinque rivulorum instar manant bonorum ac malorum occasiones. Est et in manibus poculum, ac haurire licet, undecunque libuerit. Foro quoque res humanæ similes sunt, et cuncta mente præditi facere suo cum lucro possunt; permutare, vendere, comparare. Quapropter omnino reprehendi meretur, qui æreas cum aureis permutat: turpe, talentis gloriam vendere: indignum libertatem cujusvis rei causa prodere: stultum prorsus, et tam indicata, quam omnia simul complectens mala, temporarium æterno redimere.

C

MΘ'.

Παλαιά τις δόξα καὶ διαρκὴς ἄχρι νῦν, τὰ μὲν δεινὰ, μετὰ τὸ τρῶσαι καὶ ἀπηλλάχθαι, ἡδονὴν ἀμεταμέλητον ἀντεισάγειν· τὰ δὲ τερπνὰ τοὐναντίον. Ἔμοιγέ τοι παραδοξότερον ἐνταυθοῖ νομίζειν παρίσταται, οὐ ψευδομένης τῆς πάλαι δόξης. Ταῖς γὰρ ἡδοναῖς τὰς λύπας, καὶ τὸ ἥδεσθαι ταῖς λύπαις μίγνυσθαί πως τὸν πάντα χρόνον, ἀφορώσης τῆς ψυχῆς εἰς ὅγε λήξει τέλος ἑκάτερον· καὶ διὰ μὲν τὴν ἀπαραίτητον κόλασιν τῆς ἐνταυθοῖ πονηρίας ἀδημονούσης ἐν τῷ τὴν τρυφὴν ἔργον ἔχειν, διὰ δὲ τὴν προκειμένην τοῖς θλιβομένοις ἀπόλαυσιν ἐν τοῖς ἐπιπόνοις εὐφραινομένης. Οὐδὲν ἄρα τῷ βίῳ καθαρὸν ἀκριβῶς ἂν γένοιτο, ὄντος καὶ τοῦ σώματος ἡμῖν ἐξ ἐναντίων, ζητούντων ἀναγκαίως τὰ γνήσια, καὶ στασιαζόντων ἀλλήλοις.

D

XLIX.

Tum vetus est, tum hodieque durans opinio, mala postquam vulnus inflixerint et volarint, voluptatem rependere, cujus neminem pœniteat; jucunda, diversum facere. Mihi vero nova quædam ad animum accidit opinio, prisca nihilominus illa manente vera. Nam arbitor, voluptatibus dolores, ac doloribus voluptatem quovis tempore quodammodo misceri; dum animus, qui finis utriusque sit futurus, respicit, ac propter inevitabile quidem supplicium hic admissæ improbitatis angitur, quoties deliciis occupatur: propter voluptatem vero, propositam iis, qui affliguntur, in ærumnis lætitiam percipit. Nihil certe ab omni mistura purum esse in hominum vita potest, cum corpus quoque contrariis ex rebus constet, affinia sibi necessario quærentibus, et inter se dissidentibus.

N'.

Ὅρον ἁμαρτίας ἡγοῦ ἐπὶ παντὸς ἁφεξῆς πράγματος τὸ τὰ ὑπάλληλα τέλη, ὡς ἂν τις εἴποι, καὶ πολλὰ τῶν πρὸς τὸ τέλος μόνον ὑπάρχοντα, ὡς τελικώτατα τέλη τῶν ἀνθρώποις γε πρακτέων ὑπολαμβάνειν· τοῦτο γὰρ μόνον τῶν πάντων ἔμοιγε ῥίζα δοκεῖ πάσης ἁμαρτίας ὑπάρχειν. Ὡς ὅ γε διελεῖν ᾗ χρὴν ἐπιστάμενος (ἐξ ὑποθέσεως δὲ εἰρήσθω. Οὐ γὰρ δυνατὸν ἀνθρώπῳ εἰς τοσοῦτον γνώσεως ἐληλακέναι, μὴ βοηθουμένῳ θεόθεν)· ὁ γοῦν διακρίνειν ὀρθῶς δυνάμενος τὰ τέλη τε καὶ τὰ πρὸς αὐτὰ, καὶ ἔτι γε τὸ ἓν

L.

Velim existimes, hanc finitionem esse peccati quavis in re; subalternos videlicet fines, ut ita loquar, et eorum complura, quæ tantum ad finem pertinent, pro perfectissimis finibus agendarum mortalibus rerum ducere. Nam solum hoc inter omnia mihi quidem radix omnis esse peccati videtur. Quo fit, ut qui novit distinguere, velut oportet (hoc autem ex hypothesi dictum esto; nequit enim ad tantam homo pervenire scientiam, nisi divinitus adjuvetur): qui ergo recte potest discer-

Digitized by Google

nere tum fines, tum quæ ad eos diriguntur, ac præterea finem illum perfectissimum, ad quem omnia natura tendant (Deum, inquam, supra universa positum), et qui facere vult, quod melius esse novit: is vero nec factis deliquerit, nec dictis, nec cogitationibus, nec animi ulla vel facultate, vel motu, vel dispositione, vel affectione.

LI.

Manifestum est regem esse legislatorem, judicemque subditorum constitutum: hominem hominum; mortalem mortalium; nulla re cæteris superiorem, nisi dignitate. Sed idem bonus quoque rex erit, et legislator utilis, et præstantissimus judex, si principem, et legislatorem, et judicem ipse sibi constituet, proque viribus imitabitur, aternum illum imperatorem, qui sceptrum ei dedit in manus, qui ut omnibus in universum, ita maxime regibus seipsum quasi formulam quamdam, et normam, et legem, non minus factis, quam verbis præbuit; cujus denique justo nutu rerum hæc universitas regitur. Quamobrem qui huic servire detrectat, aut diversa sectatur ab iis, quæ ab ipso facta sunt, aut probantur, is omnino servus, omnino mancipium, nec sancti, nec sani quidquam, nihil unquam boni ullo modo fecerit.

LII.

Corriguntur exemplis quidam, alios flectit oratio: nonnulli stimulo indigent, alii freno. Hæc divi Gregorii vox est. Omnibus omnia fias, quod in te quidem erit, prout singulis expediet: ut omnino quosdam, veluti divus Apostolus ille loquitur, lucrifacias. Nam fieri nequit, ut omnes: quando ne Deus quidem id, ob eam causam homo factus. Omnibus autem placere nolis. Quippe *si omnibus placerem, non essem Christi servus*, inquit idem Apostolus. Arrogantiam sibi duntaxat placentem, ubique fugito, contubernalem solitudinis, ut Plato censet. Nam et Servator noster ipse sibi non placuit, uti scriptum est, sed unum hoc perpetuo spectabat, ut bonos meliores efficeret, et malos, immutatos animis, corrigeret. Cum enim omnia sic comparata sint, ut affinitate quidem alliciant, diversitate vero avertant; atque ipsum confirmari ad improborum mores, ut eos ad societatem sui pelliceret, minime conveniebat (quippe hominem id decuisset, nedumDeum), consentaneum erat, hoc potius eligi, ut ipsos ad consortium suum converteret, et ad salutem manu quasi duceret. Hic tibi modus usurpandus erit, cum male viventes corrigere voles.

LIII.

Insignis est corona regum, pulcherrimeque contexta, mistum intelligentiæ robur corporis. Quod si a potestate absit eruditio, tum ipsum robur, tum quidquid aliud ejus est generis, præterquam quod nihil secum fert boni, damni quoque sæpius occasionem præbet. Quippe nec equus animosus atque robustus usui fuerit equiti vulgari. Quando igitur etiam id noxium est, quod inest naturæ bonum,

ἐκεῖνο τελεκώτατον τέλος, πρὸς ὅγε πάντα φύσει κινεῖται, ὅπερ ἐστὶν ὁ πάντων ἐπέκεινα, καὶ ποτεῖν ἐθέλων ὅπερ ἐπίσταται βέλτιον ὤν· ὁ τοιοῦτος οὐκ ἂν ἁμάρτοι οὐκ ἔργοις, οὐ λόγοις, οὐ λογισμοῖς, οὐδὲ μιᾷ τῆς ψυχῆς δυνάμει τε, καὶ κινήσει, καὶ διαθέσει, καὶ σχέσει.

ΝΑ'.

Νομοθέτης μὲν ὁ βασιλεὺς, καὶ κριτὴς τῶν ὑπ' αὐτὸν ἀναδέδεικται, ἀνθρώπων ἄνθρωπος ὤν, θνητὸς θνητῶν, μηδὲν πλέον ἔχων ἢ σχῆμα· εἴη δ' ἂν καὶ βασιλεὺς ἀγαθὸς, καὶ νομοθέτης χρηστὸς, καὶ κριτὴς ὡς ἄριστος, ἄρχοντα, καὶ νομοθέτην, καὶ κριτὴν ἑαυτοῦ ποιούμενος, καὶ ὡς ἐνὸν μιμούμενος τὸν αἰώνιον αὐτοκράτορα, τὸν αὐτῷ τὸ σκῆπτρον ἐγχειρίσαντα, τὸν καὶ πᾶσι μὲν ἐξῆς, μάλιστα δὲ τοῖς βασιλεῦσιν ἑαυτὸν παρεσχηκότα τύπον, καὶ κανόνα, καὶ νόμον, οὐχ ἧττον ἔργοις ἢ λόγοις. Οὗ καὶ τῇ δικαίᾳ ψήφῳ τουτὶ τὸ σύμπαν ἰθύνεται. Ὡς ὅ γε πρὸς τὴν τοῦδε δουλείαν ἀφηνιάζων, ἢ τὴν ἐναντίαν βαδίζων τῶν ἐκείνῳ πεπραγμένων ἢ φιλουμένων ὅλως δοῦλος, ὅλως ἀνδράποδον, οὐδὲν ὑγιὲς, οὐδὲν ἂν οὐδ' ὁπωστιοῦν οὐδέποτ' ἐργάσαιτο χρηστόν.

ΝΒ'.

Τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι. Οἱ μὲν δέονται κέντρου, οἱ δὲ χαλινοῦ. Γρηγορίου θείου τοῦτο φωνή. Γενοῦ δὴ πᾶσι πάντα τὰ κατὰ σὲ πρὸς τὸ συμφέρον ἑκάστων· ἵνα πάντως τινὰς κερδάνῃς, κατὰ τὸν θεῖον Ἀπόστολον. Πάντας γὰρ ἀδύνατον, ὁπότε μηδ' ὁ Θεὸς, ὑπὲρ τούτου γεγονὼς ἄνθρωπος. Μὴ θέλε δὲ πᾶσιν ἀρέσκειν. *Εἰ γὰρ πᾶσιν ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην*, φησὶν ὁ αὐτὸς Ἀπόστολος. Φεῦγε δέ μοι πανταχοῦ τὴν αὐθάδειαν, ἐρημίᾳ σύνοικον, κατὰ Πλάτωνα. Ἐπεὶ καὶ ὁ Σωτὴρ ἡμῶν οὐχ ἑαυτῷ ἤρεσεν, ὥσπερ γέγραπται, ἀλλ' ἔν γε τοῦτο σκοπῶν διετέλεσεν, ὅπως τούς τε χρηστοτέρους βελτίους δείξῃ, καὶ τοὺς φαυλοτέρους ἐπανορθώσηται, μεταβαλλομένους τὴν γνώμην. Ἐπειδὴ γὰρ πέφυκε πάντα τῇ μὲν γνησιότητι θέλγειν, τῇ δ' ἀλλοτριότητι ἀποτρέπειν· καὶ μεταβεβλῆσθαι τοῦτον πρὸς τὰ τῶν πονηρῶν ἦθη, ὡς ἐφελκύσηται τούτους πρὸς τὴν αὐτοῦ κοινωνίαν, σύδαμῶς γιγνόμενον ἦν (οὐ γὰρ πρὸς ἀνδρὸς, μήτοι γε δὴ Θεοῦ)· εἰκὸς ἦν ἐκεῖνο μᾶλλον ἐλέσθαι τούτους μεταβαλεῖν πρὸς τὴν αὐτοῦ μετουσίαν, καὶ πρὸς σωτηρίαν ὁδηγῆσαι. Οὗτός σοι χρηστέος ὁ τρόπος, διορθοῦσθαι θέλοντι φαύλως ζῶντας.

ΝΓ'.

Ῥώμη σώματος συγκεκραμένη συνέσει πεπλεγμένος ἄριστα τοῖς τυραννεύουσι στέφανος. Κἂν ἀπῇ τῆς δυναστείας ἡ παίδευσις, τὸ ῥώμης χρῆμα, καὶ πᾶν τοιοῦτον, πρὸς τῷ μηδέν τι προσενεγκεῖν τῶν καλῶν καὶ βλάβην ἔστιν ὅτε προὐξένησεν. Ἐπεὶ μηδ' ἵππος ὑπέρθερμός τε καὶ ἰσχυρὸς ἱππέα βάναυσον ὤνησεν. Ὅταν οὖν καὶ τὸ καλὸν τῆς φύσεως βλαβερὸν, παιδείας ἄγευστον ὄν, πόσων πόνων καὶ σπουδῆς ὠνεῖσθαι τὴν

Digitized by Google

μάθησιν δεῖ; Καλὸν δὲ καὶ ἡδὺ θέαμα καὶ παράκλησις ἅμα πρὸς τἀγαθὸν, νεότης φιλομαθῶς τε ἔχουσα, καὶ ἐνεργεῖν ἐθέλουσα, ὃ μεμάθηκε. Σύνεσις γὰρ ἀγαθὴ οὐ τοῖς συνετοῖς ἁπλῶς, ἀλλὰ τοῖς ποιοῦσιν αὐτήν. Δυοῖν οὖν ὄντοιν, ἄρχειν τε, καὶ ἰδιώτην ὀπάρχειν, καὶ ἑκατέρου διαιρουμένου εἰς τὸ καλῶς τε καὶ μή, ζηλωτὴ μὲν ξυνωρὶς, εἰ ἐξ ἀμφοῖν αὐτὴν ξυναρμόσειας, ἡ τοῦ ἄρχειν καὶ καλῶς· οὐ μὴν δ' ἂν εἴη τῶν οὐκ ἐπαινουμένων τὸ καὶ τὴν μοῖραν στέργοντα τῆς ἰδιωτείας τὸ σχῆμα σώζειν ὡς ἄριστα. Λείπεται κάκιστον εἶναι, δυναστεύοντα κακῶς, θεῷ καὶ συνειδότι προσκρούειν, δόξης κενῆς, καὶ τοῦ χρηματίζεσθαι καὶ ῥᾳθυμεῖν ἕνεκα.

A si ab eruditione destituatur: quantis laboribus, quo studio, doctrinæ cognitio est comparanda? Pulchrum sane jucundumque spectaculum est, et incitamentum quoddam ad bonum, juventus et discendi cupida, et quod didicit, ipsis factis præstandi. Peritia namque non simpliciter peritis est bona, sed peritiam suam declarantibus. Cum ergo duæ res sint, imperare, ac privatum esse, quorum utrumque distinguitur in id, quod recte, quoque secus fit: egregium sane par fuerit, ex ambobus conflatum, imperare scilicet, ac recte imperare. Nec laudis expers erit, qui sorte sua contentus, vitæ privatæ rationem quam optime tuetur. Restat, esse pessimum, qui potestate abutens, Deum pariter et conscientiam offendit vanæ gloriæ, opum et ignaviæ causa.

ΝΔ'.

Οὐδὲν ὑμῖν τὰς λύπας ἐντήκειν εἴωθεν, ὡς τὸ ταῖς ἐπιθυμίαις ἕκδοτον εἶναι. Ζητεῖν μὲν γὰρ ἀνάγκη τὸν ἐφιέμενον· ἐν δὲ τῷ βίῳ τὰ τῆς ἀποτυχίας πλεονεκτεῖ. Καὶ πολλά τις ἐλπίσας εὑρήσειν, ὀλίγων μόλις ἐπιτετύχηκε. Τουτὶ δὲ ῥίζα τοῦ τήκεσθαι. Τὸ ἄρα πάσχειν λυπούμενον ἐκ τῶν ἐπιθυμιῶν ὡς ἐπιτοπολὺ γίγνεται. Καὶ λοιπὸν νοῦν ἔχουσι τὰ τῆς ἐπιθυμίας κολάζειν· ἵν' ᾖ τὸ δάκνον ὀλίγον σπανίως ἀποτυγχάνουσι. Καὶ ἄλλως δὲ περινοστεῖ τὸν ἀνθρώπινον βίον συμπτώματά τινα πλήττοντα, καὶ ῥᾴον ἄν τις γένοιτο πτηνὸν ἐξ ἀνθρώπου, ἢ καθαρὸς ὀφθείη τουτωνί. Πειρᾶται δ' οὖν αὐτῶν, ἣν ἐπέλθῃ, οὐχὶ τοσοῦτον ἀγρίων ὁ προὐργιαίτερον θέμενος φέρειν, ἃ μὴ δύναται διορθοῦν· εἰδὼς μὴ εἶναι δυνατὸν λύπῃ τὸ λυποῦν ἀποθέσθαι.

B

C

LIV.

Blandiri cupiditatibus, eisque deditum esse, id vero majores in nobis excitare dolores solet, quam nulla res alia. Nam qui appetit, quærat necesse est. At in hominum vita repulsæ frustrationesque spei frequentiores sunt. Itidem qui multa se reperturum putabat, vix panca nanciscitur: ea vero doloris est radix, quapropter ægritudinis sensus e cupiditatibus plerumque nascitur. Ideoque restat, ut mente præditi libidinem animi coerceant: quo spe sua frustrati, minores animi morsus ferant. Quippe cæteroquin etiam casus acerbi quidam in vita mortalium velut objurgantur, et facilius ex homine fieri possit avis, quam ut ab hisce pure liberetur. Verum eos, si quidem accedant, non adeo diros experitur, qui præstabilius esse putat, ea ferre, quæ corrigere non licet, cum fieri non posse norit, ut dolorem dolore repellat.

ΝΕ'.

Φιλοσοφίαν ἐπιδεικνύμενός τις τῶν ποιητῶν, εἶρηκε τοιάνδε γνώμην·

Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

Πάντες μὲν οὖν ἐκείνῳ συμφθέγξονται, τῆς πείρας διδασκούσης τἀληθές· δοκεῖ δέ μοι λίαν σαφὲς κατεσκευακέναι τὸν ἄνδρα. Ἕκαστος γὰρ ἐπίσταται ἐκ τῶν ἰδίων ἀτυχημάτων, καὶ γένοιτ' ἂν διδάσκαλος τῶν ἐν τῷ βίῳ κακῶν. Φιλόσοφον δὲ ἀληθῆ νομιστέον τὸν μᾶλλον ἔργοις ἢ λόγοις ἐπιδεικνύμενον. Εἴη δ' ἂν οὗτος ἐκεῖνος, ὁ καλῶν αὐτῷ κειμένων εἰς αἵρεσιν τὸ κρεῖττον ἐκλεγόμενος· κακῶν δὲ ἐπενεχθέντων, τὸ κουφότερον δεχόμενος, καὶ τὸ μὲν καλὸν καλῶς ἐργαζόμενος, τὸ δὲ χαλεπὸν πειρώμενος φέρειν, ὡς ἐλάχιστα λυπούμενος.

D

LV.

Volens poeta quidam prædicare philosophiam, sententiam hujusmodi protulit:

Nusquam inveniri vita dolore carens potest.

Huic facile cuncti assentientur, experientia docente quod verum est. Mihi quidem vir ille dilucide rem explicasse videtur. Etenim novit hoc ex suis quisque casibus adversis, ita quidem, ut etiam de vitæ malis alios movere possit. Is autem vere philosophus existimandus est, qui se philosophum factis potius quam verbis probat. Ac talis quidem is fuerit, qui bonorum electione proposita, quod melius est, efligit; malis irruentibus, quod levius est, accipit, et qui eo, quod bonum est, recte utitur, quodque grave, sic tolerare nititur, ut quam minimum doloris sentiat.

ΝϚ'.

Ἥδιον εἰρήνης οὐδὲν, οὐ μόνον λέγω τῆς ἰδιωτικῆς αὐτῆσι τῆς καθ' ἕκαστον, ἀλλὰ δὴ καὶ τῆς κοινῆς, ἧς τῶν ἀρχόντων πρὸς ἄρχοντας. Καὶ πολλῷ γε μᾶλλον ταύτην ἐκείνης προτίθημι, ἅτε τοῖς πολλοῖς ὠφέλιμον, καὶ χορηγοῦσαν θατέρᾳ τὰς ἀφορμάς. Εἰ γοῦν ἐνὸν, κατὰ τὸν θεῖον Ἀπόστολον, μετὰ πάντων εἰρήνευε, καὶ μηδενὸς ὑπάρξῃς κακοῦ· ἀλλὰ καὶ τοὺς τοῦτο ποιοῦντας πειρῶ κωλύειν. Μηδὲ πολέμει πρὸς ἀδελφοὺς τοὺς ἀπὸ Χριστοῦ, μήτε μὴν πρὸς ὀν-

LVI.

Multo jucundissima res est omnium pax; non illa tantum privata singulorum, sed publica quoque principum erga principes: quam equidem privatæ longe antepono, veluti pluribus utilem, et illi alteri magna præbentem rei familiaris subsidia. Quapropter si fieri potest, quod magnus Apostolus ille præcipit, pacem cum omnibus colas, nec mali auctor ullius esto: sed ejus auctores impedire nititor. Neve contra fratres Christianos bellum gerito, nec

Digitized by Google

adversus alium quemcunque, vel barbaram quoque nationem, fœdere tibi junctam quod ipsa sanctum et inviolatum esse velit. Adversus illos autem, qui volunt injurias inferre, modis omnibus virum te præbeas. Non enim bonum est, ad defensionem plane non impelli, sed difficulter ad iram moveri.

A τινοῦν, ἢ βαρβάρων ἔθνος, ἐν σπονδαῖς σοι καταστὰν, καὶ τηρεῖν αὐτὰς ἐθέλον. Δεῖ δὲ δεικνύναι τὸν ἄνδρα ἀδικεῖν ἐθέλουσι πάντα τρόπον. Οὐ γὰρ ἀγαθὸν ἀκίνητον εἰς ἅμυναν εἶναι, ἀλλὰ δυσκίνητον εἰς ὀργήν.

LVII.

Minime dubito, fassuros omnes, hominem stultum esse, qui ullum prorsus hominem putet alienum. Nam ab uno progeniti sumus omnes, tametsi lingua distinguamur, et aliis quibuscunque rebus, vel ipsa religione. Quapropter hominem hominum rationem habere par est, et universis optare bona, quantum ejus et fieri potest, et fas est, et licet. Quippe natura communis est, et pavimentum cunctis unum, et unum tectum, unaque lux, unus aer expansus a rerum opifice. Denique simpliciter ab eo quæ proficiscuntur, communia sunt. Nihilominus a remotiore discernendum, quod propius est (nam plurimi sunt necessitudinis gradus), ac studendum, ut erga universos, quod in te quidem

NZ'

Νομίζω πάντας ἂν φάναι ἠλίθιον ἄνθρωπον εἶναι τὸν νομίζοντα ἀλλότριον παντάπασιν ἄνθρωπον εἶναι. Πάντες γὰρ ἑνὸς ἐκγονα, κἂν διαλέκτῳ διαφερώμεθα, κἂν οἱστισινοῦν, κἂν αὐτῷ σεβάσματι. Καὶ τοίνυν ἄνθρωπον ὄντα ἀνθρώπων κήδεσθαι δεῖ, καὶ συνεύχεσθαι τοῖς ὅλοις ἀγαθὰ, ὡς ἐνὸν, ὡς θέμις, ὡς

B ἔξεστι. Κοινὴ γὰρ ἡ φύσις, καὶ πᾶσιν ἔδαφος ἓν, καὶ ὀροφὴ μία, καὶ ἓν τι φῶς, καὶ εἷς ἀὴρ ἐφήπλωται παρὰ τοῦ δημιουργοῦ. Καὶ ἁπλῶς τὰ παρ' ἐκείνου κοινά. Χρὴ μέντοι διαστέλλειν τοῦ πορρώτερω τὸ ἔγγιον (βαθμοὶ γὰρ πλεῖστοι τῆς οἰκειότητος)· καὶ πᾶσι μὲν ἀγαθὸν εἶναι τὸ καθ' αὑτόν· τοῖς μᾶλλον δὲ ἐγγυτάτω ἀναλόγως γνησιώτερον προσφέρεσθαι.

erit, bonum te geras : sed propioribus, eorum habita ratione, velut arctiore te vinculo junctum exhibeas.

LVIII.

Eo tempore, quo navicularius aura prospere flante ac placide vela implente fruitur, cum magna scilicet est serenitas, nec ulla res triste quid minatur, non prius ob eam prosperitatem libere lætus est, quam navi recte prospexerit, ut asperior mutatio metuenda non sit. Et quidem peractis omnibus, ad incolumitatem pertinentibus, etiamsi videat navim et ventis et concitatis eorum vi fluctibus firmiorem esse; non tamen aut temeritatem laudat, aut admiratur secordiam, sed vigilat, sed metuit, sed portum optat, quod ignota sit ei sortis ac fati alea. Cum ergo res tuæ cursu feruntur prospero, pacisque bonis frueris, bellica tibi curæ sunto, teque velut ad bellum gerendum exercito, et subditos ad hoc tuos præparato. Simul spe bona fretus, ipse te confirmato, ne languescas : nec minus animum condocefacito, temerarius ut esse caveas, si victoria de hostibus potiaris. Incertitudinem denique fortunæ veritus, semper opinare, fieri posse, ut labaris. Est enim difficile, prosperam illos

NH'.

Εὖ πνεούσης ἀπολαύων ναύκληρος αὔρας, ἡμέρως ἱστία πληρούσης, αἰθρίας μὲν οὔσης πολλῆς, μηδενὸς δὲ πράγματος ἀπειλοῦντός τι δυσχερὲς, οὐ καθαρῶς τῷ εὐτυχήματι χαίρει, πρὶν ἢ διάθηται καλῶς τὰ κατὰ τὴν ναῦν, ὡς μὴ δεδιέναι τραχυτέραν μεταβο-

C λήν. Κἂν πάντα πράξῃ τὰ σώζοντα, κἂν ὁρᾷ οἱ τὴν ὁλκάδα ἀνέμων, καὶ τῶν ἀπὸ τῶνδε κυμάτων, ἰσχυροτέραν, οὔτε θράσος ἐπαινέσει, οὔτε ῥᾳθυμίαν θαυμάσει· ἀλλ' ἀγρυπνεῖ, ἀλλὰ δέδοικεν, ἀλλὰ λιμένος ἐφίεται, τὸν τῆς μοίρας κύβον οὐκ ἐπιστάμενος. Ὅταν τοίνυν κατὰ ῥοῦν σοι τρέχῃ τὰ εὐτυχήματα, καὶ τῶν τῆς εἰρήνης καλῶν ἀπολαύῃς, τὰ πολεμικὰ μελετάσθω σοι, καὶ γύμναζε σαυτὸν ὡς πρὸς πόλεμον· καὶ ἑτοίμαζε πρὸς τοῦτο τὸ ὑπήκοον. Καὶ νεροῦ μὲν ταῖς ἐλπίσι ταῖς χρησταῖς, ὅπως μὴ νωθρὸς γένοιο· μελέτα δὲ μὴ θρασύνεσθαι, εἰ τῶν πολεμίων κρατήσειας. Τὸ δὲ τύχης ἀόρατον δεδιὼς, τὸ σφαλῆναι προσδόκιμον ἔχε. Ἐνεγκεῖν γὰρ εὐτυχίαν χαλεπὸν τοὺς μὴ μετριάζειν εἰδότας· δυστυχίαν δὲ ἀνέλπιστον φέρειν σχεδὸν ἀδύνατον.

fortunam commode ferre, qui moderate se gerere nesciunt : iidem ut æquo animo calamitatem inexspectatam ferant, prope fieri nequit.

LIX.

Id quoque non levis esse momenti præclarum ad gubernationem duxeris. Omnes enim principes animis suis tranquillitatem, quantam maximam possunt, solerter procurare debent. Nam uti tempestatem nubes adducit, ita tranquillitatem serenitas efficit : utque lumini cogitationum maxime solent officere perturbationes, mollis ac remissa vita, formido, temeritas et quidquid est utrisque consimile, sic meditationes opportune institutæ, perturbationis expertes, vel in primis hominem e difficultate possunt explicare : quando conflieri potest, ut et parta prius gloria pro viribus augeatur,

D NΘ'.

Μηδὲ ἐκεῖνο μικρὸν ἡγοῦ, πρὸς τὸ διοικεῖν καλῶς δύνασθαι. Χρὴ γὰρ πάντας ἄρχοντας γαλήνην ταῖς αὐτῶν ψυχαῖς καὶ προνοεῖν καὶ οἰκονομεῖν, ὅσον οἷόν τε. Χειμὼνα μὲν γὰρ νέφος ἐπάγει, γαλήνην δὲ αἰθρία ποιεῖ· καὶ λογισμοὺς μὲν τυφλοῦν πεφύκασι μάλιστα ταραχαὶ, καὶ βίος ἅπας ὑγρὸς, καὶ δειλία, καὶ θρασύτης, καὶ ὅσον ἀμφοτέροις παραπλήσιον· μελέται δὲ σὺν τῷ καιρῷ, ταραχῆς ἐλεύθεραι, δύναιντ' ἂν μάλιστα πάντων δυσχερείας ἀπαλλάττειν, ὅταν οὐκ ἀδύνατον παντελῶς καὶ τὴν ὑπάρχουσαν αὔξειν εὐκλειαν ὅσον ἔνεστι, καὶ προσπορίζειν ἀγαθὰ σὺν τῷ διαμένειν· καὶ ταυτὶ καλῶς ἐπιστάμενος, μὴ

Digitized by Google

καταπίπτειν ταῖς συμφοραῖς, μηδ' εὐτυχίαις ἐπαίρεσθαι, μηδὲ ἀνέσεσι μαλακίζεσθαι, τὸ ῥᾳθυμεῖν προῦργου θέμενος· ὅπως ψυχῆς γενναιότητι δεινῶν ἀφύκτων δοκούντων ἀπαλλαττόμενος (ἀνάγκη γὰρ αὐτῶν μετέχειν ἄνθρωπον ὄντα) δείξῃς μεγέθει φύσεως τὴν βασιλείαν ἀνθοῦσαν.

A et ampliora bona non tantum acquirantur, sed et solida durabiliaque reddantur. Atque his recte cognitis, cave calamitatibus succumbas, nec prosperis efferaris, nec amplexus ignaviam dissolute vivendo emolliaris: ut animi vi generosa liberatus e malis, quæ inevitabilia videntur (et eorum fieri te participem, cum sis homo, necesse est), indolis et ingenii magnitudine regnum florens efficias.

Ξ'.

Ἥκω σοι λέξων ἃ πράττεις, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι, Πλάτων ἔφη. Μηδένα κακῶς εἴπῃς, θυμῷ δουλεύων, ἢ χαριζόμενος· μηδὲ πλύνῃς ὕβρεσι κακοδαίμονά τινα, δικαίως ἂν ἐλεούμενον, εἴ τις μὴ τῆς φύσεως τῆς κοινῆς ἐπιλάθοιτο. Ἔφη δέ τις καὶ τῶν ἔξω σοφῶν· Τὸ ὑβρίζειν τῶν τοῦτο ποιούντων, οὐχὶ τῶν ὑβριζομένων γίνεται ἔγκλημα. Οὐ μὴν ἀλλὰ καὶ τοὺς τούτῳ ἐντρυφῶντας, καὶ συχνὸν τῶν ἀδελφῶν γέλωτα καταχέοντας, ἢ πείθειν ἀποσχέσθαι τῆς νόσου ταύτης, ἢ πειρᾶσθαι πάντως κωλύειν. Κακία γὰρ προεστῶτος καὶ τοῦτ' ἂν εἴη, τὸ τὰς τῶν ἄλλων κακίας, ἐνὸν ἐπέχειν, ἐᾷν ἐπὶ τὰ πρόσω χωρεῖν.

LX.

Tradam tibi, quod agas, eorum more, qui currentes incitant, ut ait Plato. Maledicus erga neminem fueris, iracundiæ serviens aut gratificans: neve contumeliis exagitaris hominem infelicem, commiseratione dignum potius, si quis naturæ communis oblivisci nolit. Etiam de sapientibus extrariis quidam dixit, contumeliosam insectationem non eis crimini dari, qui patiantur, sed ipsis auctoribus. Quin et illos, quibus hoc vitium voluptati est, quique frequente cachinno fratribus insultant vel persuadere debes, ab hoc uti morbo abstineant, vel omnino dare operam, ut eos a facinore coerceas. Nam et hoc vitio dabitur illi, qui cum potestate est, si, cum aliorum inhibere vitia possit, ea libere progredi sinat.

ΞΑ'.

Σὺν ἂν εἴη κἀκεῖνο πράττειν, καὶ παντὸς ἐθέλοντος ἄρχειν, κιρνᾷν ταῖς δωρεαῖς ἀστειότητα, καὶ ταχύτητι συνάπτειν αὐταῖς τὸ πέρας, ὅση δυνατή. Δεῖ δὲ μέτρον αὐτοῖς μιγνύναι, τῇ σῇ δυνάμει συμβαῖνον καὶ τοῖς ἐπιτηδεύμασι, καὶ ποιότησι τῶν δεχομένων τὴν χάριν. Ὡς εἰ μὴ τῷ γιγνομένῳ τοῖς ὅλοις χρῷτο, ἀλλ' ἤτοι ἀγροικότερόν τις δωροῖτο, ἢ τὸν καιρὸν ἐνὸν συντεμεῖν, ὄδ' ἐπίτηδες ἀναβάλλοιτο· καὶ δοίη μὲν κύνα τῷ ναυτικῷ, δοίη δὲ θηρεύοντι κώπην· καὶ στρατιώτῃ μὲν ἵππους δέκα, ἱππάριον δὲ πονηρὸν τῷ στρατιωτῶν ἡγεμόνι· ἄχαρις ἡ χάρις ἥδε, καὶ βλάβην οἴσει μεγίστην πολλῶν ἕνεκα.

LXI.

Velle debes hoc quoque tum ipse præstare, tum quisquis imperare cogitat, ut muneribus urbana quædam admisceatur comitas, ipsaque largitio, quanta fieri maxima celeritate potest, ad exitum perducatur. Modus eisdem adhibendus, qui viribus tuis conveniat, ac professionibus et qualitatibus eorum, qui donum accipiunt. Quippe nisi quis omnino se gerit ex ratione decori, sed vel agrestius donat, vel cum tempus imminuere liceret, ipse de industria rem extrahit; ac nautæ canem offert, venatori remum; militi decem equos, duci militum exigui momenti equuleum: ingrata scilicet erit ista gratia, multisque de causis detrimentum maximum afferet.

ΞΒ'.

Τριχῇ τοῦ χρόνου μεριζομένου, εἰς σήμερον, καὶ αὔριον καὶ χθές, οὐδέν γε μέρος τούτων ἡμέτερον, σκοπούντων τἀληθὲς ἀκριβέστερον· τὸ μὲν γὰρ χθὲς παρελήλυθε· τὸ δ' αὔριον οὔπω γέγονε· τὸ σήμερον, ἐν ᾧ δοκοῦμεν ἱδρύσθαι, τὰ τοῦ θαυματοποιοῦ Δαιδάλου τεχνάσματα εἰς ὑπερβολὴν ἀπάτης ὑπερήλασεν. Ἐν γὰρ ἀκαρεῖ τῆς ὥρας τεμνόμενον διαῤῥεῖ, κρατεῖσθαι νομιζόμενον, καὶ διολισθαίνει πρινὴ καλῶς νοηθῆναι. Καὶ μὲν δὴ βέλτιον ἀπολαύομεν ἐνίων ἐλπιζομένων ἢ πρὸς ἡμᾶς παραγιγνομένων, φεύγει γὰρ τὴν αἴσθησιν, πρὸ τοῦ τελέσαι τὰ κατ' ἐλπίδα, καὶ λυπεῖ τῷ ἀποπτῆναι πλέον, ἢ χαρίζεται τῷ συγγεγονέναι. Μᾶλλον δὲ τὰ καθ' ἡμᾶς ἅπαντα, ἢν ἀκριβῶς θεωρήτῃ τις, ὀρνίθων δίκην πετομένων ἡμᾶς παρέρχεται. Καίτοι καὶ ἡμεῖ, αὐτὰ παρατρέχομεν, διηνεκῶς ἡμᾶς παρατρέχοντα. Καὶ τὸ πολὺ δεινότατον, ἀνεπινόητος ἡ διόρθωσις. Νόμῳ γὰρ φύσεως γίγνεται. Σκιὰ τὰ τῇδε, ὄναρ, καπνός, ἀπάτη.

D

LXII.

Omnia temporibus in tria distributis, in hodiernum et crastinum, et hesternum, nulla pars harum nostra est, si verum subtilius intueri volemus. Quippe tempus hesternum præteriit; crastinum necdum advenit; hodiernum, cui videmur insistere, prodigiorum opificis illius Dædali commenta nimio opere fallendo superat. Etenim temporis momento resectum diffluit, cum teneri putetur, ac prius, quam recte percipiatur, dilabitur. Quin etiam melius nonnullis in spe positis fruimur, quam ubi propius ad nos accedunt. Nam sperata prius, quam perficiantur, sensum effugiunt, plusque molestiæ creant avolando, quam jucundi accessu suo largiantur. Vel potius omnia nostra, si quis accurate consideret, instar avium volantium nos prætereunt. Vicissim nos ea quoque, perpetuo cursu prætereuntia, prætervehimur. Quod denique gravissimum est, excogitari nullum potest remedium; nam hæc ita lege naturæ accidunt. Nimirum vitæ hujus res umbra sunt, somnium, fumus, impostura.

Digitized by Google

nomine potest, primus animi motus ; si placet, etiam extraria quædam ejus impulsio : quibus attendendum est recte, nec temere quid inchoandum, si bonus quis esse velit. Agenda sunt enim omnia adhibita consideratione, judicio, consilio, conscientia, et ubique præcipuæ partes honesto tribuendæ. Tarde quidem procedendum in decernendo ; verum ubi recte consulueris, ambobus currendum pedibus. Itidem non agenda confuse, quæ forte se offerunt ; sed semper prima, primum. Nam magna vis ordinis est, atque uti quis a dilationibus abhorreat : cum multis diversa factitantibus, cæteroqui præstantissimis, eæ res exitio fuerint.

A χῆς· εἰ δὲ βούλει, καὶ ἡ θύραθεν ἐγγινομένη ταύτῃ προσβολή· αἷς προσέχειν χρὴ καλῶς, καὶ μὴ προπετῶς ἐγχειρεῖν, εἰ μέλλει τις ἀγαθὸς ἔσεσθαι· Πάντα γὰρ ποιεῖν προσήκει σκέψει, καὶ κρίσει, καὶ γνώσει, καὶ συνειδήσει, καὶ διδόναι πανταχοῦ κρατεῖν τὸ καλόν. Καὶ πρὸς μὲν τὰς ἀποφάσεις σχολῇ βαδίζειν· βεβουλευμένον δὲ καλῶς, δυσὶ ποσὶ τρέχειν· πράττειν τε μὴ φύρδην, ἃ τύχοι· ἀλλ' ἀεὶ τὰ πρῶτα πρώτως. Μέγα γὰρ ἰσχύει τάξις, καὶ τὸ μὴ χαίρειν ἀναβολαῖς, καὶ πολλούς γε τἀναντία καθεῖλε, τἄλλα βελτίστους ὑπάρχοντας.

XXXI.

Numinis sane divini fuerit, et quibus illa facultas ab eodem fuerit concessa, præ deterioribus meliora semper eligere. Nihilominus conandum, ut omnibus modis agnoscas, quæ optima videantur esse ; atque agnita facias, et quidem talibus minime satieris ; nam ut primum illud est Dei, sic alterum in hominem cadit. Necesse est enim magis eos aliis compotes virtutis effici, vel ad eam saltem propius accedere, qui oculis in id, quod honestum est, directis, præstantissimorum, non plurimorum actiones atque consilia semper intuentur, et eorumdem exitum observant : ac iis quidem, quæ esse bona docuerunt eventus ipsi, quasi regulis utuntur : contraria magistrorum loco sibi constituunt, ne in mala consimilia ruant.

XXXII.

Admodum jucunda res est erudiri, non lapsum patiendo, sed acerbius aliquid devitando, cum factus alterius errore peritior fueris. Major autem pars hominum, uti quidem apparet, hanc rem negligit, et calamitates proprias exspectat, ut per ea erudiatur : quam institutionem mercede damni sæpe parum reparabilis compensat. Iidem consuevere dicere, medicum, qui nomen hoc consecutus sit e scientia, non illi parem esse, qui varios in morbos inciderit. Tu vero modo velis etiam non patiendo poteris evadere peritior, si calamitates aliorum pro tuis duxeris, earumque causas vitaveris ; et quidem hoc tam accurate consequeris, ac si teipsum in res adversas incidisse contingeret.

XXXIII.

Tendere cupiditatem hominum, e pulvere spirituque constantium, modo quidem sursum, modo vero deorsum, nihil sane novi fuerit. Sed oportet virum præstantissimum non continuo voluptatum, irarum, terrorum impressionibus expugnabilem sese præbere, quod effeminatis accidere videmus, qui se vel ipsis hostium præcursoribus dedunt : sed immotum manere ac esse stabilem, exitum rei cuiusque perquirentem. Nam confestim emergentibus rerum principiis accurrere, quæ suavibus exordiis blandiri consuevere, cum occulti sint eorum fines, vix hominibus insanis competiverit. Itaque da operam, ut firmus sis atque stabilis, resque, finem in-

ΛΑ'.

B Τὸ μὲν ἀεὶ τὰ βελτίω τῶν χειρόνων ἐκλέγεσθαι Θεοῦ ἂν εἴη, καὶ οἷς ἂν μεταδοίη ταυτησὶ τῆς δυνάμεως· πειρᾶσθαι μέντοι προσήκει γινώσκειν ἅπασι τρόποις, ἄττα βέλτιστα πάντων εἶναι δοκεῖ, καὶ γινώσκοντα ποιεῖν, καὶ τοιαῦτα μὴ κορέννυσθαι. Ὡς γὰρ τὸ πρῶτον Θεοῦ, οὕτω τὸ δεύτερον ἀνδρός. Ἀνάγκη γὰρ μᾶλλον τῶν ἄλλων ἐπιτυχεῖς ἐκείνους γενέσθαι τῆς ἀρετῆς, ἢ γοῦν μὴ πόρρω βάλλειν αὐτῆς, ὅσοι δὴ πρὸς τὸ καλὸν ἀφορῶντες, τὰς τῶν ἀρίστων, οὐχὶ τῶν πλείστων πράξεις τε καὶ γνώμας ἀεὶ σκοποῦσιν, εἶτ' ἐπιτηροῦσι τὰ τούτων τέλη· καὶ ταῖς μὲν καλαῖς ἐκ τῶν ἐκβάσεων δεδειγμέναις ὥσπερ κανόσι χρῶνται· τὰς δ' ἐναντίας φανείσας σφῶν αὐτῶν διδασκάλους ποιοῦσιν, ὥστε μὴ περιπεσεῖν τοῖς ὁμοίοις κακοῖς.

ΛΒ'.

C Ἡδύ τι τὸ μαθεῖν ἐστιν, οὐκ ἐκ τοῦ παθεῖν πταίσαντα, ἀλλ' ἐκ τοῦ διαπεφευγέναι τὸ δυσχερέστερον, τῇ τῶν ἄλλων διαμαρτίᾳ γενόμενον ἐμπειρότερον. Οἱ πλείους δὲ, ὡς ἔοικεν, ὀλιγωροῦσι τοῦδε τοῦ πράγματος, καὶ τὰς οἰκείας συμφορὰς ἀναμένουσιν, ὥστε παρ' ἐκείνων μαθεῖν, μισθὸν παρέχοντες ταυτησὶ τῆς μαθήσεως ζημίαν, πολλάκις οὐδ' εὐανάκλητον. Μῦθος δέ τίς ἐστιν αὐτοῖς, οὐ τοσοῦτον ἰατρὸν εἶναι τὸν ἐπιστήμῃ τοῦτ' ὄντα, ὡς τὸν περιπεπτωκότα ποικίλοις πάθεσι. Σὺ δ' ἂν μάθοις, εἰ βούλει, καὶ μὴ παθὼν, τὰς τῶν ἄλλων συμφορὰς οἰκειούμενος, καὶ τὰ τούτων αἴτια φυλαττόμενος, οὕτω παντάπασιν ἀκριβῶς, ὥσπερ ἂν εἴ σοι D συνέβη περιπεπτωκέναι τοῖς χαλεποῖς.

ΛΓ'.

Ῥέπειν τὴν ἐπιθυμίαν ἀνθρώπων, ἐκ χοὸς καὶ πνεύματος ὑπαρχόντων, τοτὲ μὲν ἄνω, τοτὲ δὲ κάτω, οὐδὲν ἂν εἴη δήπου καινόν. Δεῖ δὲ τὸν ἄριστον ἄνδρα μὴ ταῖς ἐφόδοις τῶν ἡδονῶν, καὶ τῶν θυμῶν, καὶ τῶν φόβων εὐθὺς εὐάλωτον εἶναι, ὃ τοὺς γυναικώδεις ὁρῶμεν πάσχοντας, προδιδόντας σφᾶς αὐτοὺς τοῖς προδραμοῦσι τῶν πολεμίων· ἀλλὰ μένειν τοῦτον ἀτρέμας, πάγιον εἶναι ζητοῦντα τὸ τέλος ἑκάστου πράγματος. Τὸ γὰρ αὐτίκα φανείσαις ἀρχαῖς πραγμάτων προστρέχειν, ὑποσαινούσαις προοιμίοις χαρίεσι, τῶν τελῶν αὐταῖς κρυπτομένων, μόλις ἂν ἁρμόσειε τετυφωμένοις ἀνθρώποις. Ζητεῖ οὖν ἑδραῖ ς εἶναι, καὶ σκοπῶν τὸ πέρας, πρᾶττε· καὶ

Digitized by Google

πρὸ τούτου μηδὲ ἐγχείρει· ὄφρα σε, καθ' Ὅμηρον, τίωσιν A

... *ἠμὲν νέοι, ἠδὲ γέροντες.*

Προσθείην δ' ἂν ἔγωγε, ὄφρα σε πολέμιος φρίττῃ, καὶ ὑπήκοος φιλῇ· καὶ θαυμάζῃ μὲν φίλος, θαυμάζῃ δὲ συγγενὴς, καὶ τοῖς ὑπὸ σοῦ πεπραγμένοις πάντες ἐκπλήττωνται.

ΛΔ'.

Ὑψηλόν γε οὐδαμῶς, οὐδὲ μεγίστης φρονήσεως, οὐδὲ πολλῆς γενναιότητος, τὸ μὴ ταῖς πρώταις, ὡς ἂν τις εἴποι, τῶν ἔργων καὶ λογισμῶν ἐπιπνεύσεσιν ἀκίνητόν τινα γίγνεσθαι, εἰ μὴ καὶ τὸ προσδραμεῖν καὶ οἰκειωθῆναι καλὸν ἂν εἴποις εὐθὺς φανέντι πράγματι βλαβερῷ. Ὅπου γὰρ καὶ τοῖς ἀλόγοις ἐμπέφυκέ τις ἰσχὺς, τὸ συμφέρον ἀπὸ τοῦ βλάπτοντος διακρίνουσα, ἂν μηδὲ εἰς ἴσον αὐτοῖς ἔλθωμεν οἱ λόγῳ μόνοι τετιμημένοι, ἀλλ' ἀρκέσῃ μὲν ἡ φύσις ἐκείνοις, παρ' ἡμῖν δὲ καὶ τὸ λογικὸν ἀσθενὲς φανῇ, πῶς μὲν οὐ σχέτλιον κομιδῇ; πῶς οὐκ αἰσχύνης ἀνάπλεων; B

ΛΕ'.

Ἱέραξ, ἵππος, ἰχθὺς κατὰ λόγον, οὐ σὺν λόγῳ τὰ συμφέροντα πράττειν πεφύκασιν· ὥστε δεῖ πολλῷ γε μᾶλλον ἡμᾶς σὺν λόγῳ πράττειν τὰ κατὰ λόγον, ἀπαιτουμένους παρὰ τῆς φύσεως ἀρχῆς βλαπτούσης ἀποπηδᾶν. Οὐ μὴν ἐκείνοις μέμψις δικαία, θυμῷ τε καὶ ἐπιθυμίᾳ δουλεύουσιν. Οὐδὲ γὰρ ψυχὴν λογικὴν ἡγεμόνα τῶν ἔργων κέκτηνται. Ἡμᾶς δὲ λόγῳ κεκοσμημένους χρὴ τὸν νοῦν ἡνίοχον ἐπιστῆσαι τοῖς ἀλογωτέροις τουτοισὶ πάθεσιν, ἵν' ᾖ τὸ λογικὸν ἐνεργὸν, καὶ κατὰ χώραν μένῃ τὸ δῶρον, ᾧ τῶν ἄλλων διιστάμεθα ζώων. Ὡς ἦν γε κρεῖττον μηδὲ τὴν ἀρχὴν εἰληφέναι τὴν χάριν, ἢ λαβόντας ἐκ Θεοῦ, ἔπειτα κακῶς αὐτὴν διαθεῖναι. C

ΛϚ'.

Ὥσπερ τοῖς ἀλόγοις τὸ κατὰ λόγον, οὕτω καὶ τοῖς λογικοῖς τὸ σὺν λόγῳ. Ἔχει δὲ τουτὶ τοὐμὸν πολὺ καὶ μεῖζον τοῦ κατ' ἐκεῖνα· ὅτι τοὐκείνων ἂν εἴη φυσικῶς τοιούτων ὀρέγεσθαι, ἃ τὸ ζῆν ἐκείνοις συνίστησι, καὶ ποιεῖ τὸ γένος διαρκεῖν ἐπιμήκιστον. Τοῦτο δὲ καὶ τῆς ἡμετέρας ἐστὶ φύσεως. Τὸ δ' ἡμέτερον αὐτοῖς οὐδαμῶς ἐστι. Τὸ μὲν γὰρ ἐν λόγῳ καὶ κατὰ λόγον· τὸ δὲ κατὰ λόγον οὐκ ἐξ ἀνάγκης ἐν λόγῳ. Οὐ γὰρ ἀντιστρέφειν ἀνάγκη· ὅλως δὲ τουτὶ τὸ δῶρον ψυχῆς ἀθανάτου μόνης· ἐκεῖνο δὲ καὶ φύσεως ἀναισθήτου. Πολλῆς οὖν γέμον αἰσχύνης τε καὶ ζημίας μηδὲ κατὰ λόγον ζῆν, οὓς χρεὼν ἐν λόγῳ ζῆσαι· οὐκ ἀπεικότως δ' ἂν γένοιτο τοῖς ζῆν κατὰ τὰ ἄλογα προαιρουμένοις τῶν λογικῶν τὸ μηδ' εἰς ἴσον ἐκείνοις ἔρχεσθαι. Ὕψους γὰρ ἀπορραγέντας ἡμᾶς ἑκόντας, λέγω δὴ τοῦ μετὰ λόγου βιῶναι, οὐκ ἀπεικὸς παραδραμεῖν καταφερομένους τὰ κατὰ χώραν μένοντα τῶν ἀλόγων, καὶ τὴν τάξιν σώζοντα τὴν ἐξαρχῆς αὐτοῖς δεδομένην, καὶ κατὰ λόγον βιοῦντα. D

tuens, agito: quod prius, quam feceris, nihil inchoabis, ut honore te afficiant, secundum Homerum,

juvenesque senesque.

Quibus equidem adjecerim, ut te formidet hostis, et subditus amet: admiretur amicus, itidemque cognatus admiretur: et omnes ad ea, quæ abs te gesta sint, obstupescant.

XXXIV.

Omnino sublime quiddam non est, nec vel maximæ prudentiæ, vel indolis valde generosæ, non ad primos operum atque cogitationum (ut ita dixerim) afflatus et auras immotum sese præbere: nisi forte pulchrum esse dixeris, mox ad objectam rem noxiam accurrere, atque illam statim amplecti. Nam cum etiam brutis animantibus a natura vis quædam sit indita, qua quod expedit a noxio discernunt: qui non indignum valde sit, non ignominiæ plenum, si nos, qui soli ratione sumus ornati, ne pares quidem eis simus, sed ipsis quidem natura sufficiat, in nobis autem rationis quoque facultas elanguescat

XXXV.

Accipiter, equus, piscis secundum rationem, non cum ratione, facere sibi conducibilia naturaliter solent. Multo magis nos facere rationi cosentanea cum ratione debemus, a quibus ipsa natura postulat, ut a noxio principio veluti resiliamus. Illa quidem reprehendi nullo jure possunt, cum iræ libidinique serviunt, non enim animam ratione præditam factorum ducem habent. At nos qui ratione sumus ornati, mentem præficere moderatricem affectibus hisce brutis oportet: ut vis rationis efficax sit, et donis illud incolume nobis maneat, quo cæteris ab animantibus distinguimur. Nimirum præstaret, hanc gratiam nos a Deo prorsum non accepisse quam acceptam male collocare.

XXXVI.

Non aliter atque brutis, quod secundum rationem, ita ratione præditis, quod cum ratione. Verum in me quod est, multo majus est eo, quod in ipsis. Nam in eis est naturalis ejusmodi rerum appetitus, quæ res eorum vitæ præsidio sunt, et efficiunt, ut genus ipsum quam diutissime duret. Hoc autem nostra quoque natura commune cum ipsis habet, cum ab eo, quod nostrum est, illa plane destituantur. Quod enim in ratione, idem et secundum rationem: quod autem secundum rationem, non etiam necessario in ratione; quippe non est necesse, prorsus ut ista ceu paria sibi respondeant. Atque hoc sane donum peculiare solius est immortalis animæ: illud autem in naturam quoque sensus expertem cadit. Itaque plena res est insignis et turpitudinis et noxæ, ne quidem eos secundum rationem vivere, quibus in usu rationis vivendum erat. Adeoque non abs re contigerit ratione præditis qui brutorum more vivere malunt, brutis ne pares quidem haberi. Nam sponte nostra nos de culmine sublimi dejectos, quod scilicet est cum ratione vivere, facile dabimus præterire cursu, dum

Digitized by Google

præcipites ruimus, etiam rationis expertes bestias quæ suos intra limites manent, ordinemque sibi præscriptum ab initio servant, et secundum rationem vivunt.

XXXVII.

Imperio convenientis animi fructus verus est, ad bonum impelli, a malo abhorrere, diligenter intentum esse profuturis publice rebus. Amor gloriæ nobilissimus est, et qui causas ipsas sectatur, ob quas homines diligi solent, admirari stabilia, ridere fluxa ; odisse malum, honesti studiosum esse; apte comparatum esse ad bonum, versaque vice ad discendum, quæ mala sunt inepte, vel, si mavis, animo prorsus alieno. Et quidem in primis arbitrabere, quam longissime tibi recedendum ab ejusmodi doctrinis, discendaque plurima, quæ melioren efficere possint : perfectiorum ad petendam perceptionem, et quidem adeo sitienter, ac si prorsus litterarum studia non degustasses. Eum namque, cujus nutu judicioque populi ducuntur, ut odisse mala, sic insatiabili quodam affectu bona prosequi oportet.

XXXVIII.

Meris pro nugis calumnias habeto, nisi te merito tangant ; atque hoc intelligo, cum aliquid boni præstare licet ; at fieri nequit, ut eas ullo modo effugias. Quippe si falsum crimen vitari possit, magno id sane redimendum. Nam principi viro ne quidem injusta de se querela floccifacienda est. Multos enim mendacium perdidit, aut si salvi manerent, læsit. Quod si res aliter fieri nequit, factis honestis insistito ; potiusque vir bonus esse, quam haberi velis. Adeoque tibi satis esto, si te bonum esse, Deo, tibimet ipsi, bonisque viris constet, quos latere diu non poteris, etiam si velis. Hoc quoque cogitabis, rebus omnibus, quæ esse præstantissimæ videntur, aliquid etiam adhærere non boni. Et potestate præditos, quibus aperte mortales assentari consueverunt, ceu necessarium quiddam, obtrectationes clandestinæ comitantur. Enimvero si vera de te sparguntur crimina, patienter feras, et teipsum corrige; proque beneficio non voluntario ducito correctionis occasionem. Sin falsis conviciis exagitaris, consoletur te Christus, qui ejusmodi multa perpessus est, et adhuc patitur : ac præterea, quod alia quædam tua, fortasse non talia, qualia debebant esse, vel aliquibus ignota sint, vel omnibus. Hæc ergo pro istis reponas, et facilius calumnias feres.

XXXIX.

Juniores priscorum sententiis ceu fundamento quodam utentes, si quid amplius possint, exstruere debent. Et quidem ego neminem omnium arbitror merito nos incusaturum, si priscos illos intuentes, eorumque præcepta pro principiis habentes, nostra perficiamus. Quidam ergo vir insignis cui nomen Pythagoras, dixit ;

Ob male facta dolens, te castigato, vicissim recta vo-
[luptati sint.

Carmen ipsum, sane præstantissimum, appellatum est aureum. Esset autem, mea quidem opinione, magis aureum et perfectius, si moneret, absti-

ΛΖ'.

Ψυχῆς καρπὸς ἀληθὴς ἡγεμονία πρεπούσης ἡ πρὸς τἀγαθὸν κίνησις, ἡ πρὸς τὸ κακὸν ἀλλοτρίωσις, ἡ πρὸς τὸ κοινῇ συνοῖσον ἐπιμέλεια. Ὁ δόξης ἔρως ὁ γενναιότατος, ὁ τῶν τοῦ φιλεῖσθαι προφάσεων, τὸ θαυμάζειν βεβηκότα, τὸ καταγελᾶν ῥεόντων, τὸ μισοπόνηρον καὶ φιλόκαλον εἶναι· εὐφυῶς μὲν ἔχειν πρὸς τὸ καλὸν, καὶ τοὐναντίον ἀφυῶς πρὸς τὴν τῶν κακῶν μάθησιν· εἰ βούλει δὲ, καὶ ἀπεχθῶς. Καὶ τοῦτο μάλα πως οἶει, πορρωτάτω μὲν ἑστάναι τῶν τοιούτων διδαγμάτων, πλεῖστα δὲ μεμαθηκέναι τῶν βελτίω ποιεῖν δυναμένων· ἐθέλειν μὲν μανθάνειν τὰ τελεώτερα, τῆς δὲ μαθήσεως διψᾷν, ὥσπερ ἂν εἰ μηδὲ τὴν ἀρχὴν παιδείας ἐγεύσω. Δεῖ γὰρ, μισοῦντα τὰ κακὰ, ἁπλήστως ἔχειν πρὸς τὰ καλὰ, οὗ τῇ ψήφῳ λαοὶ φέρονται.

ΛΗ'.

Ὕθλον ἡγοῦ τας διαβολὰς, εἰ μή σου δικαίως καθάπτοιντο. Λέγω δ' ὅταν μὲν ἐξῇ τι πρᾶξαι χρηστόν· ἐκείνας δὲ ἀμήχανον διαδρᾶναι μογήσαντα. Ἐπεὶ εἰ ἔνεστι φυγεῖν αἰτίαν οὐκ ἀληθεύουσαν, πολλοῦ γε χρὴ τοῦτο πρίασθαι. Δεῖ γὰρ μηδὲ τὴν ἄδικον μέμψιν παρὰ φαῦλον ἄγειν τὸν ἄρχοντα. Πολλοὺς γὰρ ψεῦδος διέφθειρεν, ἢ καὶ σωζομένους ἠδίκησεν. Εἰ δ' οὐχ οἷόν τε τοῦτο γενέσθαι, ἔχου τῶν καλῶν ἔργων, εἶναι μᾶλλον χρηστὸς ἀνὴρ, ἢ νομίζεσθαι θέλων. Ἀγαπᾷης δ' ἂν, Θεῷ καλὸς γνωριζόμενος, καὶ σαυτῷ, καὶ τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν, οὓς οὐ δυνατὸν λανθάνειν ἐπὶ μακρῷ, κἂν ἐθέλῃς. Ἐνθυμοῦ δὲ κἀκεῖνο, ὅτι πᾶσι πράγμασι τοῖς ἀρίστοις εἶναι δοκοῦσι συνέφυ τι καὶ τῶν οὐ καλῶν· καὶ ταῖς ἐξουσίαις τὸ φανερὸν κολακευομέναις τὸ κρύφα διασύρεσθαι ὡς τι τῶν ἀναγκαίων ἐφέπεται. Ἀλλ' εἰ μὲν ἀληθῶς διαβάλλῃ, φέρε τε καὶ διορθοῦ, καὶ εὐεργεσίαν ἀκούσιον νόμιζε τὴν τῆς διορθώσεως ὁφορμήν. Εἰ δὲ δὴ ψευδῶς διατύρῃ, παραμυθείσθω σε Χριστὸς, πολὺ τουτὶ παθών τι, καὶ ἔτι πάσχων· καὶ ὅτι ἕτερα τῶν σῶν οὐκ ὄντα ἴσως οἷάπερ ἐχρῆν, λέληθέ τινας, ἢ καὶ πάντας. Ταῦτ' ἐκείνοις ἀνατίθει, καὶ ῥᾷον οἴσεις συκοφαντούμενος.

ΛΘ'.

Χρὴ θεμέλιον ἔχοντας τῶν ἀρχαιοτέρων τὰς γνώμας τοὺς νεωτέρους, οἰκοδομεῖν εἴ τι δύναιντο. Καὶ μηδ' ἂν ἕνα τῶν πάντων ἐγὼ νομίζω γραφὴν δικαίαν ἡμῖν ἐποίσειν, εἰ πρὸς τοὺς παλαιοτέρους ὁρῶντες, καὶ τἀκείνων ἀρχὰς ποιούμενοι, τὰ ἡμέτερα αὐτῶν ἐνεργοῖμεν. Ἔφη οὖν τις, μάλα ἀνὴρ, Πυθαγόρας τοὔνομα·

Δεινὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δέ,
[τέρπου.

Καὶ τὸ ἔπος ἄριστον ὄν, προσηγόρευται χρυσοῦν. Ἦν δ' ἂν οἶμαι χρυσειδέστερον ἔτι καὶ τελεώτερον ἀπέχεσθαι μὲν τῶν κακῶν, τῶν δὲ καλλίστων πρά-

Digitized by Google

ξειν ἔχεσθαι παραινοῦν· καὶ τῇ μὲν τῶν οὐ καλῶν ἀποχῇ μηδαμῶς αἴρειν αὐτὸν (τί γὰρ ἀργίᾳ κοινὸν καὶ φρονήματος ἀφορμῇ;), τῇ δὲ μετοχῇ τῶν βελτίστων ἄπαυστα χαίρειν· καὶ τούτῳ αὐτῷ βέλτιστα γινώσκειν τὰ μετεχόμενα, τῷ μηδένα κόρον αὐτῶν λαμβάνειν. Τῶν γὰρ ἀληθῶς ἀγαθῶν οὐκ ἔνι κόρον ποτὲ λαβεῖν.

A

M'.

Ἡ φύσις ὥσπερ ὅρους ἑαυτῇ καὶ τοῖς πράγμασι τέθεικε, καὶ δεῖ τὸν ἄριστα ζῆν ἐθέλοντα τὴν τῶνδε γνῶσιν θηρᾶν, καὶ φιλεῖν ταύτην τὴν θήραν, καὶ ζῆν ἐθέλειν ἐντὸς τῶν ὅρων· καὶ τὸ ἄλλως διακεῖσθαι μηδὲ βιωτὸν ἡγεῖσθαι. Ὁ γὰρ μὴ εἰδὼς τὸ δέον πῶς μὲν ἂν ἐκεῖνο φιλήσῃ; πῶς δ' ἂν μὴ φιλήσας ἐργάσηται; πῶς δ' ἂν μὴ πράττων, εἰς ἕξιν ἔλθῃ; πῶς δ' ἂν ὢν καλῶν ἀδαήμων, κατὰ τὸ ἔπος, καλὸς ἐκεῖνος γένοιτ' ἄν, ἢ νομίζοιτο τοῖς καλοῖς; ἐλπὶς δὲ τίς διορθώσεως τῷ μηδὲ τοῦ αἰσθανομένῳ τὸ πλημμελὲς, μηδὲ δυσχεραίνοντι τῷ κακῷ, μηδὲ ζητοῦντι πάντως διόρθωσιν;

B

MA'.

Συχνὰ ποιοῦ τὴν ἔρευναν τῶν ὑπὸ σοῦ πεπραγμένων, καὶ τοῖς μὲν ὡς ἀριστά σοι πραχθεῖσι κανόσι χρῶ πρὸς τὸν ἑξῆς ἅπαντα χρόνον· τὰ δὲ πρὸς βλάβην σοι λήξαντα φυλάττεσθαι παραίνει σαυτῷ. Οὕτω τοι καὶ ἔμπορος, καὶ πᾶς πρὸς κέρδος ἀγωνιζόμενος. Λογίζου δὴ τὴν καθημέραν ζημίαν τε καὶ τὰ κέρδη, κἂν εὐτυχῇς, εὐφραίνου· πρὸς δ δ' ἀντέκρουσε τύχη, τοῦτο δεῖ πειρῶ διορθοῦσθαι. Καὶ τὴν μὲν ἀρετὴν χρῆμα θειότερον, τὴν δὲ κακίαν αὐτό γε τοῦτο κακὸν ἡγοῦ· ἵν' ἐν κήποις μὲν ἐκείνης χορεύσῃς, τὸ δὲ τῆς λοιπῆς ἀπορρίψῃς δυσῶδες· καὶ τήνδε μὲν φύγῃς, ἐκείνην δὲ συντόνως διώξῃς. Ἐθέλει γάρ τις μένειν ἐν ᾧ θαυμάζει, καὶ μεταβαίνειν ἐξ οὗ κακίζει.

C

MB'.

Ψιλὸν τῆς θείας ὄντα δυνάμεως, μάταιον περιπεφράχθαι σιδήρῳ, περιττὸν τὸ ἀγρυπνεῖν, τὸ φροντίσι τήκεσθαι. Ἂν ἔρημοι ταύτης ὦμεν, κενὸν ὁ δορυφόρος, καὶ ἡ ἀκρόπολις, καὶ ἡ πολυχειρία, καὶ τὰ σοφὰ μηχανήματα. Ἐκείνης εὐμοιροῦντί σοι, φίλτατε, καὶ τὰ δυσχερείας μεστὰ εὐμαρῆ καὶ λεῖα φανεῖται. Τῆς ἀηττήτου δὲ ῥοπῆς ἐπιτυχὴς ἂν γένοιο, τὰς ἐγχειρήσεις ἀπὸ δικαίων ποιούμενος, καὶ λήγων εἰς φιλάνθρωπον, καὶ πρὸ τοῦ ἰδίου καλοῦ εἰς τὸ κοινῇ συνῖσον ὁρῶν· καὶ θεὸν μιμούμενος, καὶ σαυτὸν τοῖς σεαυτοῦ μίμημα ταύτῃ παρέχων.

D

MG'.

Ὕδραν τέμνεις, παροιμία, τὸ ἀνέφικτον δηλοῦσα. Καὶ ὁ τὸ ἴδιον θέμενος πρὸ τῶν κοινῇ συμφερόντων πρὸς ἑαυτὸν ἐφέλκεται ταυτηνὶ τὴν εἰκόνα. Ἐν γὰρ τῷ κοινῷ καλῷ καὶ τὸ ἑκάστου συνυπάγεται. Καθ' ἕνα μέντοι πράττειν εὖ οὐκ ἐνδέχεται, οὔτε ἰδιώτην οὔτ' ἄρχοντα. Δεῖ γὰρ δὴ τὴν κεφαλὴν τῶν μελῶν φροντίζειν καὶ κήδεσθαι, καὶ τῆς κεφαλῆς ἐπιμελεῖ-

nendum a malis, et pulcherrimis factis insistendum atque uti propter abstinentiam a rebus non bonis minime seipsum quis efferat (quid enim ignaviæ commune cum animi elatione?), sed optimorum usu se perpetuum oblectet, deque hoc ipso quam optima esse adgnoscat ea, quorum usu fruitur, si eorum nulla ipsum capiat satietas. Nam quæ reapse bona sunt, iis exsatiari non licet.

XL.

A natura certi quidam quasi limites tum ipsimet naturæ, tum rebus sunt constituti, quorum is, qui optime vivere cupit, indagare notitiam debet, atque hanc indagationem diligere; velle denique intra limites ipsos continere sese, nec aliter affecto vivendum arbitrari. Nam qui nescit, quid æquum rectumque sit, quonam id pacto diliget? quove pacto, si non diligat, præstabit? quomodo, si non præstet, ad habitum perveniet? quomodo bonorum ignarus, ut in carmine dicitur bonus evadet, aut bonus a bonis existimabitur? quænam spes emendationis de eo, qui delicti sensu caret, nec moleste fert malum, nec emendationem ullo modo quærit.

XLI.

Ne desinas frequenter examinare, quæ abs te facta sunt, ac rectissime quidem gestis, veluti normis utitor ad omnium deinceps vitam: quæ vero noxium finem habuerunt, ab iis ut caveas, ipse tibi præcipito. Sic nimirum et mercator factitare solet, et quicunque lucro potiri nititur. Quotidie damnum pariter, et lucra computato; sique res prospere cesserint, lætus esto: sin adversus in re quapiam casus acciderit, ei mederi stude. Virtutem pro re diviniore, vitium pro eo, quod est, malum scilicet, habeto: ut in illius quidem hortis quasi tripudies, hujus vero fœtorem rejicias: hanc fugias, illam enixe persequaris. Nam ei quisque diutius inhærere cupit, quod admiratur; et ab eo remotus esse, quod improbat.

XLII.

Inane quiddam est, qui a potestate divina sit destitutus, ferro munitum esse; supervacuum, excubias agere, curis tabescere. Ab hac si desideramur, vana vis satellitum, arcium, magnarum copiarum callidarumque molitionum. Ejus si particeps sis, charissime fili, etiam plena difficultatis apparebunt tibi facilia simul et plana. Hanc autem invictam opem impetrabis, si cuncta justis impulsus causis occeperis, ac in humanitatem desieris, potiusque publicam ad utilitatem, quam privatam, respexeris: hac ratione tum ipse Deum imitans, tum tuis hominibus teipsum imitandum exhibens.

XLIII.

Mos vulgo receptus est, ut hydram resecare dicatur, qui rem, quam nequit assequi, molitur. Hanc imaginem in se transfert, qui privata commoda publicis anteponit; nam uniuscujusque bonum publico continetur. Seorsum certe nec homini privato, nec principi esse beato licet. Caput enim gerere curam membrorum oportet, ac vicissim membra ca-

Digitized by Google

pitis habere rationem, si salvum esse debet animal, integrumque conservari. Nam membrum, quod resectum est, posteaquam reliquorum a societate revulsum, seorsum esse cepit; hoc ipso scilicet est mortuum. Idem capiti a membris dirempto contingere necesse est; quippe nec caput nec membra vivere seorsum possunt.

XLIV

Omnino difficile est eum, qui paulum quid mali designavit, non in majora vitia labi: velut eum, qui boni quid fecit, non etiam meliore potiri. Quippe factum vitiosum noxa comitatur, ac malum gravius efficit. Ipsæ vero res bonæ, catenæ cujusdam instar, invicem cohærent, cujus aliqua pars apprehendi non potest, quin proxima quoque per eam simul apprehendatur, ac per istam rursus alia; per quamlibet denique partem, simpliciter omnes. Intentus ergo factis præclaris, et gloriam patientibus, cave vel minimum quid illaudatæ rei peregeris. Habitus enim a parvis orditur, rerumque minimarum accessiones, nisi quoddam intercedat impedimentum, in infinitum progressæ, maxima quoque corpora necessario superabunt.

XLV.

Fieri præfectus cupis, bonisque maximis potiri. præcipe animo tuo, ne cogitationes vel exiguum fructum allaturas negligat: sed admittat omnia cupide, quibus meliores efficimur. Si quid autem animi contentionem vel parum relaxat, ac quo minus ad meliora propendeat, impedit, id omnino ne admittat. Nam et malum et bonum, cogitationibus illapsum, in opus exire consuevit et via quadam progrediendo, in habitum stabilem quasi concrescere: qui cum animi facultatibus augescens, illis ipsis par esse studet, quæ sane confieri nequit, ut aliqua ratione mutentur.

XLVI.

Recte facies, ac valde quidem laudabiliter, si pro jucundis optima, cum utraque non licet, diliges. Hoc ab oratore prolatum est, atque uti Deo gratum, ita bonis a viris etiam factitatum. Si quid in perniciem nosti desiturum, ejus adversare principium; tametsi blandum, tametsi jucundum sit, tametsi voluptatem infinitam polliceatur. Nam malum reapse malum est ac plane stultum, vel inchoare, quod perficere nolis, vel cum escam ferro videris affixam, propter appetitum alterius utrumque deglutire. Quod si mentes aliquo vitio corruptæ non fuerint, haud acceptum esse poterit ullo modo, quod ad tempus quidem jucundum est; at comitem habet dolorem perpetuum.

XLVII.

Universis est commune mortalibus, ut invitis aliquid accidere possit: at sponte, quæ noxia sunt, admittere, ne brutis quidem proprium: quando contrarium quoque prius est demonstratum. Semel captus es? cave bis capiare, ne capiare sæpius, consuetudine depravatus; neve furto frequenti vitiosus evadas, totusque turpitudine refertus, ad bonum redire diffi-

A σθαι τὰ μέλη, εἰ δεῖ τὸ ζῶον συνίστασθαι, καὶ τὴν ὁλοκληρίαν ἑαυτῷ περισώζειν. Τό τε γὰρ τμηθὲν τῶν μελῶν, τῆς κοινότητος ἐκστὰν, καὶ καθ' αὑτὸ γεγονὸς, αὐτῷ γε τούτῳ νενέκρωται. Καὶ κεφαλὴ τῶν μελῶν χωρισθεῖσα τοῦτ' ἂν εὐθὺς πάθοι. Ζωὴ γὰρ οὔτε κεφαλῇ, οὔτε μέλεσι, χωρίς.

ΜΔ'.

Χαλεπὸν σμικρόν τι πράξαντα τῶν κακῶν, μὴ τοῖς μείζοσι περιπεσεῖν· ὥσπερ καί τι καλὸν μὴ μετασχεῖν τοῦ βελτίονος. Κακῇ γὰρ πράξει τὸ βλάπτον ἀκολουθεῖ, καὶ τὸ δεινὸν ἐργάζεται χαλεπώτερον. Ἔοικε δὲ τὰ ἀγαθὰ σειρᾷ ἀλλήλων ἐχόμενα, ἧς οὐκ ἔνι μέρους λαβόμενον, μὴ δι' ἐκείνου λαβέσθαι πως καὶ τοῦ πλησιάζοντος, καὶ δι' ἐκείνου πά- B λιν ἑτέρου, καὶ πάντων ἁπλῶς δι' ἑκάστου. Προσέχων τοίνυν τοῖς καλοῖς καὶ δόξαν φέρουσιν ἔργοις, μὴ καταδέχου καὶ τὸ φαυλότατον τῶν οὐκ ἐπαινουμένων ἐργάζεσθαι. Ἕξις γὰρ ἀπὸ σμικρῶν ἄρχεται, καὶ αἱ τῶν ἐλαχίστων προσθῆκαι, ἣν μὴ τὸ κωλῦσαν ἐπέλθοι, εἰς ἄπειρον ἐξενηνεγμέναι, καὶ τὰ μέγιστα τῶν σωμάτων ἀναγκαίως ὑπερβήσονται.

ΜΕ'.

Ἢν ἐπιθυμῇς τελειότητος, καὶ μεγίστων ἐν μεθέξει καλῶν γενέσθαι, παρακελεύου τῇ ψυχῇ, μὴ τοὺς μικρὰ συνοίσοντας ὑπερορᾷν λογισμούς· ἀλλ' ἀσπασίως δέχεσθαι πᾶν, ᾧ βελτίους γιγνόμεθα. Τὸ δὲ βραχὺ ψυχῆς τὸν τόνον ὑποχαλῶν, καὶ τῇ πρὸς τὰ C κρείττω ῥοπῇ προσιστάμενον, μηδὲ τὴν ἀρχὴν δέχεσθαι. Καὶ τὸ κακὸν γὰρ, καὶ τὸ ἀγαθὸν, ταῖς διανοίαις συγγινόμενον εἰς ἔργον ἐκβαίνειν εἴωθε, καὶ ὁδῷ βαδίζον, εἰς ἕξιν πήγνυσθαι· ἣ ταῖς τῆς ψυχῆς συναυξομένη δυνάμεσι, φιλονεικεῖ τὸ ἴσον ἐκείναις ἔχουσα φαίνεσθαι, ἃς μεταβεβλῆσθαι οὐχ οἷόν τε.

ΜϚ'.

Καλὸν καὶ λίαν ἐπαινετὸν ἀντὶ τῶν ἡδέων τὰ βέλτιστα, ἐὰν μὴ ἀμφότερα ἐξῇ, λαμβάνειν. Οὕτω που τῷ ῥήτορι εἴρηται, καὶ Θεῷ φίλον, καὶ τοῖς ἀγαθοῖς ἀνδράσι διεπέπρακτο. Ὃ δὴ γινώσκεις λῆξον εἰς ὄλεθρον, τούτου τὴν ἀρχὴν ἀποστρέφου, κἂν ᾖ χαρίεσσα, κἂν ᾖ τερπνὴ, κἂν ᾖ μυρίαν ἡδονὴν ἐπαγγελλομένη. Δεινὸν γὰρ ὄντως, δεινὸν, καὶ παντελῶς ἀνόη- D τον, ἢ τελέσαι μὴ βουλόμενον ἄρξασθαι, ἢ τὸ δέλεαρ ἰδόντα περιπαρὲν τῷ σιδήρῳ, εἶτα διὰ θάτερον καταπιεῖν ἀμφότερα. Ὅλως δὲ τὰς φρένας μὴ βεβλαμμένοις ὑπό του πάθους οὐκ ἂν ἐκεῖνο γένοιτο φίλον, ὃ πρὸς ὥραν μὲν ἡδὺ, λυπηρὸν δὲ πάντοτε.

ΜΖ'.

Ἄκοντα μέν τι παθεῖν ἀνθρώποις πᾶσι κοινόν· γνώμῃ δὲ προσίεσθαι τὰ βλαβερὰ οὐδ' ἀλόγοις ἴδιον, ὅπου γε καὶ τοὐναντίον προαποδέδεικται. Ἥλως ἅπαξ; φεῦγε τὸ δὶς ἁλῶναι, ἵνα μὴ πολλάκις ἁλῷς, τῇ συνηθείᾳ παρενεχθεὶς, καὶ τῇ συνεχεῖ κλοπῇ πρὸς ἀπειρίαν παρεκταθῇς, καὶ αἰσχύνης γε πλησθῇς, καὶ πρὸς τὸ καλὸν δυσεπίστροφος μείνῃς. Τὸν γὰρ εἰς

Digitized by Google

τοῦσχατον τῶν κακῶν ἀφιγμένον εἰς τὴν τῶν καλῶν κορυφὴν ἐπανελθεῖν οὐ ῥᾴδιον. Δεῖ δὲ νομίζειν τὸν ἄρχοντα, μηδένα λαθεῖν οἷόν τε εἶναι, κακὸν ὄντα. Πάντες γὰρ ἐς τοῦτον ὁρῶσι, μᾶλλον πρὸς τοὺς ὑπὲρ τούτων ἆθλους ἀποδυσάμενον ἢ τοὺς ὑπὲρ δόξης ποτὲ ἐν Παναθηναίοις ἠγωνισμένους. Οὐ θαυμαστὸν δ' ἀγωνιζόμενον πεπτωκέναι. Τὸ κεῖσθαι δὲ θέλειν ὑπερφυῶς ἄτοπον. Τοῦ μὲν γὰρ πολλὰ ἂν αἴτια γένοιντο· τοῦ δὲ τὴν γνώμην μόνην αἰτιατέον. Ἔστι δέ που καὶ παλαίοντα κατενεχθῆναι, καὶ δόξαν ἀντὶ ψόγων πορίσασθαι παρ' ἐπιστήμοσι δικασταῖς. Τὸ προθυμεῖσθαι γὰρ ἀνδρός. Τὸ δὲ σφαλῆναι καὶ τύχης.

culter possis. Nam qui malorum ad extremum pervenerit, is bonorum ad verticem non facile revertetur. Debet autem existimare princeps, neminem se latere posse, si malus sit. In ipsum namque conjecti sunt omnium oculi, ad suscipienda pro cunctis certamina magis accinctum, quam illi quondam erant, qui gloriæ causa a Panathenæis festis decertabant. Neque vero mirum est, certantem labi: sed prostratum jacere velle, summopere adsurdum. Nam illud quidem multis ex causis fieri potest, huius vero culpæ soli est ascribenda voluntati. Quin et prosterni potest, qui luctatur, ac nihilo minus apud judices rerum peritos gloriam vituperii loco reportare. Nam viri est, animo quid alacri suscipere: spei frustratio, fortunæ.

ΜΗ'.

Ῥεῖ μὲν ὁ βίος ἡμῖν, καὶ στάσιν ἔχει τὴν κίνησιν· τὸ δὲ σύντονον αὐτῷ πρὸς παντελῶς ἀκίνητον, ἢ καλὸν, ἢ τοὐναντίον, μετὰ τὴν ἐνθένδε λῆξιν ἀποκαθίσταται. Παραῤῥεῖ δὲ τοῖς ποσὶν, ὡς ῥύακες, ἑκατέρωθεν τῶν καλῶν καὶ τῶν κακῶν τὰ αἴτια. Ὁ κώθων δὲ ἐν χεροῖν, καὶ ἕτοιμον ἀντλεῖν, ὁποτέρωθεν ἂν τις βούλοιτο. Ἔοικε δὲ καὶ ἀγορᾷ τὰ καθ' ἡμᾶς πράγματα, καὶ ἔξεστι πρὸς κέρδος νοῦν ἔχουσι πάντα πράττειν, πωλεῖν, ἀλλάττειν, ὠνεῖσθαι. Μεμπτὸν οὖν πάντως σαφῶς ἐστι χάλκεα χρυσέων ἀλλάττεσθαι. Αἰσχρὸν ταλάντων πιπράσκειν δόξαν. Δεινὸν ἐλευθερίαν προδοῦναι παντὸς ἕνεκα. Παντελῶς ἀνόητον, καὶ τὰ εἰρημένα πρὸς ἑαυτὸ συνελκύσαν, καὶ πάνθ' ὁμοῦ τὰ κακὰ, αἰωνίου πρίασθαι πρόσκαιρον.

B

XLVIII.

Cursu perpetuo vita nostra fluit, et extra motum quietem nullam habet. Continuus autem cursus ille posî exactam hanc vitam in prorsus immobile vel bonum vel malum desinit. Ad pedes utrinque rivulorum instar manant bonorum ac malorum occasiones. Est et in manibus poculum, ac haurire licet, undecunque libuerit. Foro quoque res humanæ similes sunt, et cuncta mente prædîti facere suo cum lucro possunt; permutare, vendere, comparare. Quapropter omnino reprehendi meretur, qui æreas cum aureis permutat: turpe, talentis gloriam vendere: indignum libertatem cujusvis rei causa prodere: stultum prorsus, et tam indicata, quam omnia simul complectens mala, temporarium æterno redimere.

C

ΜΘ'.

Παλαιά τις δόξα καὶ διαρκὴς ἄχρι νῦν, τὰ μὲν δεινὰ, μετὰ τὸ τρῶσαι καὶ ἀπηλλάχθαι, ἡδονὴν ἀμεταμέλητον ἀντεισάγειν· τὰ δὲ τερπνὰ τοὐναντίον. Ἐμοιγέ τοι παραδοξότερον ἐνταυθοῖ νομίζειν παρίσταται, οὐ ψευδομένης τῆς πάλαι δόξης. Ταῖς γὰρ ἡδοναῖς τὰς λύπας, καὶ τὸ ἥδεσθαι ταῖς λύπαις μίγνυσθαί πως τὸν πάντα χρόνον, ἀφορώσης τῆς ψυχῆς εἰς ὅγε λήξει τέλος ἑκάτερον· καὶ διὰ μὲν τὴν ἀπαραίτητον κόλασιν τῆς ἐνταυθοῖ πονηρίας ἀδημονούσης ἐν τῷ τὴν τρυφὴν ἔργον ἔχειν, διὰ δὲ τὴν προκειμένην τοῖς θλιβομένοις ἀπόλαυσιν ἐν τοῖς ἐπιπόνοις εὐφραινομένης. Οὐδὲν ἄρα τῷ βίῳ καθαρὸν ἀκριβῶς ἂν γένοιτο, ὄντος καὶ τοῦ σώματος ἡμῖν ἐξ ἐναντίων, ζητούντων ἀναγκαίως τὰ γνήσια, καὶ στασιαζόντων ἀλλήλοις.

D

XLIX.

Tum vetus est, tum hodieque durans opinio, mala postquam vulnus inflixerint et volarint, voluptatem rependere, cujus neminem pœniteat; jucunda, diversum facere. Mihi vero nova quædam ad animum accidit opinio, prisca nihilominus illa manente vera. Nam arbitor, voluptatibus dolores, ac doloribus voluptatem quovis tempore quodammodo misceri; dum animus, qui finis utriusque sit futurus, respicit, ac propter inevitabile quidem supplicium hic admissæ improbitatis angitur, quoties deliciis occupatur: propter voluptatem vero, propositam iis, qui affliguntur, in ærumnis lætitiam percipit. Nihil certe ab omni mistura purum esse in hominum vita potest, cum corpus quoque contrariis ex rebus constet, affinia sibi necessario quærentibus, et inter se dissidentibus.

Ν'.

Ὅρον ἁμαρτίας ἡγοῦ ἐπὶ παντὸς ἁφεξῆς πράγματος τὸ τὰ ὑπάλληλα τέλη, ὡς ἂν τις εἴποι, καὶ πολλὰ τῶν πρὸς τὸ τέλος μόνον ὑπάρχοντα, ὡς τελικώτατα τέλη τῶν ἀνθρώποις γε πρακτέων ὑπολαμβάνειν· τοῦτι γὰρ μόνον τῶν πάντων ἔμοιγε ῥίζα δοκεῖ πάσης ἁμαρτίας ὑπάρχειν. Ὡς ὅ γε διελεῖν ἦ χρὴν ἐπιστάμενος (ἐξ ὑποθέσεως δὲ εἰρήσθω. Οὐ γὰρ δυνατὸν ἀνθρώπῳ εἰς τοσοῦτον γνώσεως ἐληλακέναι, μὴ βοηθουμένῳ θεόθεν)· ὁ γοῦν διακρίνειν ὀρθῶς δυνάμενος τὰ τέλη τε καὶ τὰ πρὸς αὐτὰ, καὶ ἔτι γε τὸ ἓν

L.

Velim existimes, hanc finitionem esse peccati quavis in re; subalternos videlicet fines, ut ita loquar, et eorum complura, quæ tantum ad finem pertinent, pro perfectissimis finibus agendarum mortalibus rerum ducere. Nam solum hoc inter omnia mihi quidem radix omnis esse peccati videtur. Quo fit, ut qui novit distinguere, velut oportet (hoc autem ex hypothesi dictum esto; nequit enim ad tantam homo pervenire scientiam, nisi divinitus adjuvetur): qui ergo recte potest discer-

Digitized by Google

nere tum fines, tum quæ ad eos diriguntur, ac præterea finem illum perfectissimum, ad quem omnia natura tendunt (Deum, inquam, supra universa positum), et qui facere vult, quod melius esse novit: is vero nec factis deliquerit, nec dictis, nec cogitationibus, nec animi ulla vel facultate, vel motu, vel dispositione, vel affectione.

LI.

Manifestum est regem esse legislatorem, judicemque subditorum constitutum: hominem hominum; mortalem mortalium; nulla re cæteris superiorem, nisi dignitate. Sed idem bonus quoque rex erit, et legislator utilis, et præstantissimus judex; si principem, et legislatorem, et judicem ipse sibi constituet, proque viribus imitabitur, aternum illum imperatorem, qui sceptrum ei dedit in manus, qui ut omnibus in universum, ita maxime regibus seipsum quasi formulam quamdam, et normam, et legem, non minus factis, quam verbis præbuit; cujus denique justo nutu rerum hæc universitas regitur. Quamobrem qui huic servire detrectat, aut diversa sectatur ab iis, quæ ab ipso facta sunt, aut probantur, is omnino servus, omnino mancipium, nec sancti, nec sani quidquam, nihil unquam boni ullo modo fecerit.

LII.

Corriguntur exemplis quidam, alios flectit oratio: nonnulli stimulo indigent, alii freno. Hæc divi Gregorii vox est. Omnibus omnia fias, quod in te quidem erit, prout singulis expediet: ut omnino quosdam, veluti divus Apostolus ille loquitur, lucrifacias. Nam fieri nequit, ut omnes: quando ne Deus quidem id, ob eam causam homo factus. Omnibus autem placere nolis. Quippe *si omnibus placerem, non essem Christi servus*, inquit idem Apostolus. Arrogantiam sibi duntaxat placentem, ubique fugito, contubernalem solitudinis, ut Plato censet. Nam et Servator noster ipse sibi non placuit, uti scriptum est, sed unum hoc perpetuo spectabat, ut bonos meliores efficeret, et malos, immutatos animis, corrigeret. Cum enim omnia sic comparata sint, ut affinitate quidem alliciant, diversitate vero avertant; atque ipsum confirmari ad improborum mores, ut eos ad societatem sui pelliceret, minime conveniebat (quippe hominem id decuisset, nedumDeum), consentaneum erat, hoc potius eligi, ut ipsos ad consortium suum converteret, et ad salutem manu quasi duceret. Hic tibi modus usurpandus erit, cum male viventes corrigere voles.

LIII.

Insignis est corona regum, pulcherrimeque contexta, mistum intelligentiæ robur corporis. Quod si a potestate absit eruditio, tum ipsum robur, tum quidquid aliud ejus est generis, præterquam quod nihil secum fert boni, damni quoque sæpius occasionem præbet. Quippe nec equus animosus atque robustus usui fuerit equiti vulgari. Quando igitur etiam id noxium est, quod inest naturæ bonum,

ἐκεῖνο τελειώτατον τέλος, πρὸς ὅτε πάντα φύσει κινεῖται, ὅπερ ἐστὶν ὁ πάντων ἐπέκεινα, καὶ ποιεῖν ἐθέλων ὅπερ ἐπίσταται βέλτιον ὄν· ὃ τοιοῦτος οὐκ ἂν ἁμάρτοι οὐκ ἔργοις, οὐ λόγοις, οὐ λογισμοῖς, οὐδὲ μιᾷ τῆς ψυχῆς δυνάμει τε, καὶ κινήσει, καὶ διαθέσει, καὶ σχέσει.

ΝΑ'.

Νομοθέτης μὲν ὁ βασιλεὺς, καὶ κριτὴς τῶν ὑπ' αὐτὸν ἀναδέδεικται, ἀνθρώπων ἄνθρωπος ὤν, θνητὸς θνητῶν, μηδὲν πλέον ἔχων ἢ σχῆμα· εἴη δ' ἂν καὶ βασιλεὺς ἀγαθὸς, καὶ νομοθέτης χρηστὸς, καὶ κριτὴς ὡς ἄριστος, ἄρχοντα, καὶ νομοθέτην, καὶ κριτὴν ἑαυτοῦ ποιούμενος, καὶ ὡς ἐνὸν μιμούμενος τὸν αἰώνιον αὐτοκράτορα, τὸν αὐτῷ τὸ σκῆπτρον ἐγχειρίσαντα, τὸν καὶ πᾶσι μὲν ἓξῆς, μάλιστα δὲ τοῖς βασιλεῦσιν ἑαυτὸν παρεσχηκότα τύπον, καὶ κανόνα, καὶ νόμον, οὐχ ἧττον ἔργοις ἢ λόγοις. Οὗ καὶ τῇ δικαίᾳ ψήφῳ τουτὶ τὸ σύμπαν ἰθύνεται. Ὡς ὅ γε πρὸς τὴν τοῦδε δουλείαν ἀφηνιάζων, ἢ τὴν ἐναντίαν βαδίζων τῶν ἐκείνῳ πεπραγμένων ἢ φιλουμένων ὅλως δοῦλος, ὅλως ἀνδράποδον, οὐδὲν ὑγιὲς, οὐδὲν ἂν οὐδ' ὁπωστιοῦν οὐδέποτ' ἐργάσαιτο χρηστόν.

ΝΒ'.

Τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι. Οἱ μὲν δέονται κέντρου, οἱ δὲ χαλινοῦ. Γρηγορίου θείου τοῦτο φωνή. Γενοῦ δὴ πᾶσι πάντα τὰ κατὰ σὲ πρὸς τὸ συμφέρον ἑκάστων· ἵνα πάντως τινὰς κερδάνῃς, κατὰ τὸν θεῖον Ἀπόστολον. Πάντας γὰρ ἀδύνατον, ὁπότε μηδ' ὁ Θεὸς, ὑπὲρ τούτου γεγονὼς ἄνθρωπος. Μὴ θέλε δὲ πᾶσιν ἀρέσκειν. *Εἰ γὰρ πᾶσιν ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἦμην*, φησὶν ὁ αὐτὸς Ἀπόστολος. Φεῦγε δέ μοι πανταχοῦ τὴν αὐθάδειαν, ἐρημίᾳ σύνοικον, κατὰ Πλάτωνα. Ἐπεὶ καὶ ὁ Σωτὴρ ἡμῶν οὐχ ἑαυτῷ ἤρεσεν, ὥσπερ γέγραπται, ἀλλ' ἵν γε τοῦτο σκοπῶν διετέλεσεν, ὅπως τούς τε χρηστοτέρους βελτίους δείξῃ, καὶ τοὺς φαυλοτέρους ἐπανορθώσηται, μεταβαλλομένους τὴν γνώμην. Ἐπειδὴ γὰρ πέφυκε πάντα τῇ μὲν γνησιότητι θέλγειν, τῇ δ' ἀλλοτριότητι ἀποτρέπειν· καὶ μεταβεβλῆσθαι τοῦτον πρὸς τὰ τῶν πονηρῶν ἦθη, ὡς ἐφελκύσηται τούτους πρὸς τὴν αὐτοῦ κοινωνίαν, οὐδαμῶς γιγνόμενον ἦν (οὐ γὰρ πρὸς ἀνδρὸς, μήτοι γε δὴ Θεοῦ)· εἰκὸς ἦν ἐκεῖνο μᾶλλον ἐλέσθαι τούτους μεταβαλεῖν πρὸς τὴν αὐτοῦ μετουσίαν, καὶ πρὸς σωτηρίαν ὁδηγῆσαι. Οὗτός σοι χρηστέος ὁ τρόπος, διορθοῦσθαι θέλοντι φαύλως ζῶντας.

ΝΓ'.

Ῥώμη σώματος συγκεκραμένη συνέσει πεπλεγμένος ἄριστα τοῖς τυραννεύουσι στέφανος. Κἂν ἀπῇ τῆς δυναστείας ἡ παίδευσις, τὸ ῥώμης χρῆμα, καὶ πᾶν τοιοῦτον, πρὸς τῷ μηδέν τι προσενεγκεῖν τῶν καλῶν καὶ βλάβην ἔστιν ὅτε προὐξένησεν. Ἐπεὶ μηδ' ἵππος ὑπέρθερμός τε καὶ ἰσχυρὸς ἱππέα βάναυσον ὤνησεν. Ὅταν οὖν καὶ τὸ καλὸν τῆς φύσεως βλαβερὸν, παιδείας ἄγευστον ὄν, πόσων πόνων καὶ σπουδῆς ὠνεῖσθαι τὴν

Digitized by Google

μάθησιν δεῖ; Καλὸν δὲ καὶ ἡδὺ θέαμα καὶ παράκλησις ἅμα πρὸς τἀγαθὸν, νεότης φιλομαθῶς τε ἔχουσα, καὶ ἐνεργεῖν ἐθέλουσα, ὃ μεμάθηκε. Σύνεσις γὰρ ἀγαθὴ οὐ τοῖς συνετοῖς ἁπλῶς, ἀλλὰ τοῖς ποιοῦσιν αὐτήν. Δυοῖν οὖν ὄντοιν, ἄρχειν τε, καὶ ἰδιώτην ὑπάρχειν, καὶ ἑκατέρου διαιρουμένου εἰς τὸ καλῶς τε καὶ μὴ, ζηλωτὴ μὲν ξυνωρὶς, εἰ ἐξ ἀμφοῖν αὐτὴν ξυναρμόσειας; ἡ τοῦ ἄρχειν καὶ καλῶς· οὐ μὴν δ' ἂν εἴη τῶν οὐκ ἐπαινουμένων τὸ καὶ τὴν μοῖραν στέργοντα τῆς ἰδιωτείας τὸ σχῆμα σώζειν ὡς ἄριστα. Λείπεται κάκιστον εἶναι, δυναστεύοντα κακῶς, θεῷ καὶ συνειδότι προσκρούειν, δόξης κενῆς, καὶ τοῦ χρηματίζεσθαι καὶ ῥᾳθυμεῖν ἕνεκα.

A si ab eruditione destituatur: quantis laboribus, quo studio, doctrinæ cognitio est comparanda? Pulchrum sane jucundumque spectaculum est, et incitamentum quoddam ad bonum, juventus et discendi cupida, et quod didicit, ipsis factis præstandi. Peritia namque non simpliciter peritis est bona, sed peritiam suam declarantibus. Cum ergo duæ res sint, imperare, ac privatum esse, quorum utrumque distinguitur in id, quod recte, quoque secus fit: egregium sane par fuerit, ex ambobus conflatum, imperare scilicet, ac recte imperare. Nec laudis expers erit, qui sorte sua contentus, vitæ privatæ rationem quam optime tuetur. Restat, esse pessimum, qui potestate abutens, Deum pariter et conscientiam offendit vanæ gloriæ, opum et ignaviæ causa.

ΝΔ'.

Οὐδὲν ὁμῖν τὰς λύπας ἐντήκειν εἴωθεν, ὡς τὸ ταῖς ἐπιθυμίαις ἔκδοτον εἶναι. Ζητεῖν μὲν γὰρ ἀνάγκη τὸν ἐφιέμενον· ἐν δὲ τῷ βίῳ τὰ τῆς ἀποτυχίας πλεονεκτεῖ. Καὶ πολλά τις ἐλπίσας εὑρήσειν, ὀλίγων μόλις ἐπιτετύχηκε. Τουτὶ δὲ ῥίζα τοῦ τήκεσθαι. Τὸ ἅρα πάσχειν λυπούμενον ἐκ τῶν ἐπιθυμιῶν ὡς ἐπιτοπολὺ γίγνεται. Καὶ λοιπὸν νοῦν ἔχουσι τὰ τῆς ἐπιθυμίας κολάζειν· ἵν' ᾖ τὸ δάκνον ὀλίγον σπανίως ἀποτυγχάνουσι. Καὶ ἄλλως δὲ περινοστεῖ τὸν ἀνθρώπινον βίον συμπτώματά τινα πλήττοντα, καὶ ῥᾷον ἄν τις γένοιτο πτηνὸν ἐξ ἀνθρώπου, ἢ καθαρὸς ὀφθείη τουτωνί. Πειρᾶται δ' οὖν αὐτῶν, ἦν ἐπέλθῃ, οὐχὶ τοσοῦτον ἀγρίων ὁ προύργιαίτερον θέμενος φέρειν, ἃ μὴ δύναται διορθοῦν· εἰδὼς μὴ εἶναι δυνατὸν λύπῃ τὸ λυποῦν ἀποθέσθαι.

B

C

LIV.

Blandiri cupiditatibus, eisque deditum esse, id vero majores in nobis excitare dolores solet, quam nulla res alia. Nam qui appetit, quærat necesse est. At in hominum vita repulsæ frustrationesque spei frequentiores sunt. Itidem qui multa se reperturum putabat, vix panca nanciscitur: ea vero doloris est radix, quapropter ægritudinis sensus e cupiditatibus plerumque nascitur. Ideoque restat, ut mente præditi libidinem animi coerceant: quo spe sua frustrati, minores animi morsus ferant. Quippe cæteroquin etiam casus acerbi quidam in vita mortalium velut objurgantur, et facilius ex homine fieri possit avis, quam ut ab hisce pure liberetur. Verum eos, si quidem accedant, non adeo diros experitur, qui præstabilius esse putat, ea ferre, quæ corrigere non licet, cum fieri non posse norit, ut dolorem dolore repellat.

ΝΕ'.

Φιλοσοφίαν ἐπιδεικνύμενός τις τῶν ποιητῶν, εἴρηκε τοιάνδε γνώμην·

Οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί.

Πάντες μὲν οὖν ἐκείνῳ συμφθέγξονται, τῆς πείρας διδασκούσης τἀληθές· δοκεῖ δέ μοι λίαν σαφὲς κατεσκευακέναι τὸν ἄνδρα. Ἕκαστος γὰρ ἐπίσταται ἐκ τῶν ἰδίων ἀτυχημάτων, καὶ γένοιτ' ἂν διδάσκαλος τῶν ἐν τῷ βίῳ κακῶν. Φιλόσοφον δὲ ἀληθῆ νομιστέον τὸν μᾶλλον ἔργοις ἢ λόγοις ἐπιδεικνύμενον. Εἴη δ' ἂν οὗτος ἐκεῖνος, ὁ καλῶν αὐτῷ κειμένων εἰς αἵρεσιν τὸ κρεῖττον ἐκλεγόμενος· κακῶν δὲ ἐπενεχθέντων, τὸ κουφότερον δεχόμενος, καὶ τὸ μὲν καλὸν καλῶς ἐργαζόμενος, τὸ δὲ χαλεπὸν πειρώμενος φέρειν, ὡς ἐλάχιστα λυπούμενος.

D

LV.

Volens poeta quidam prædicare philosophiam, sententiam hujusmodi protulit:

Nusquam inveniri vita dolore carens potest.

Huic facile cuncti assentientur, experientia docente quod verum est. Mihi quidem vir hic dilucide rem explicasse videtur. Etenim novit hoc ex suis quisque casibus adversis, ita quidem, ut etiam de vitæ malis alios movere possit. Is autem vere philosophus existimandus est, qui se philosophum factis potius quam verbis probat. Ac talis quidem is fuerit, qui honorum electione proposita, quod melius est, effigit; malis irruentibus, quod levius est, accipit, et qui eo, quod bonum est, recte utitur, quodque grave, sic tolerare nititur, ut quam minimum doloris sentiat.

ΝϚ'.

Ἥδιον εἰρήνης οὐδὲν, οὐ μόνον λέγω τῆς ἰδιωτικῆς αὐτῆσι τῆς καθ' ἕκαστον, ἀλλὰ δὴ καὶ τῆς κοινῆς, ἧς τῶν ἀρχόντων πρὸς ἄρχοντας. Καὶ πολλῷ γε μᾶλλον ταύτην ἐκείνης προτίθημι, ἅτε τοῖς πολλοῖς ὠφέλιμον, καὶ χορηγοῦσαν θατέρᾳ τὰς ἀφορμάς. Εἰ γοῦν ἐνὸν, κατὰ τὸν θεῖον Ἀπόστολον, μετὰ πάντων εἰρήνευε, καὶ μηδενὸς ὑπάρξῃς κακοῦ· ἀλλὰ καὶ τοὺς τοῦτο ποιοῦντας πειρῶ κωλύειν. Μηδὲ πολέμει πρὸς ἀδελφοὺς τοὺς ἀπὸ Χριστοῦ, μήτε μὴν πρὸς ὀν-

LVI.

Multo jucundissima res est omnium pax; non illa tantum privata singulorum, sed publica quoque principum erga principes: quam equidem privatæ longe antepono, veluti pluribus utilem, et illi alteri magna præbentem rei familiaris subsidia. Quapropter si fieri potest, quod magnus Apostolus ille præcipit, pacem cum omnibus colas, nec mali auctor ullius esto: sed ejus auctores impedire nititor. Neve contra fratres Christianos bellum gerito, nec

Digitized by Google

adversus alium quemcunque, vel barbaram quoque nationem, fœdere tibi junctam quod ipsa sanctum et inviolatum esse velit. Adversus illos autem, qui volunt injurias inferre, modis omnibus virum te præbeas. Non enim bonum est, ad defensionem plane non impelli, sed difficulter ad iram moveri.

A τινοῦν, ἢ βαρβάρων ἔθνος, ἐν σπονδαῖς σοι καταστάν, καὶ τηρεῖν αὐτὰς ἐθέλον. Δεῖ δὲ δεικνύναι τὸν ἄνδρα ἀδικεῖν ἐθέλουσι πάντα τρόπον. Οὐ γὰρ ἀγαθὸν ἀκίνητον εἰς ἄμυναν εἶναι, ἀλλὰ δυσκίνητον εἰς ὀργήν.

LVII.

Minime dubito, fassuros omnes, hominem stultum esse, qui ullum prorsus hominem putet alienum. Nam ab uno progeniti sumus omnes, tametsi lingua distinguamur, et aliis quibuscunque rebus, vel ipsa religione. Quapropter hominem hominum rationem habere par est, et universis optare bona, quantum ejus et fieri potest, et fas est, et licet. Quippe natura communis est, et pavimentum cunctis unum, et unum tectum, unaque lux, unus aer expansus a rerum opifice. Denique simpliciter ab eo quæ proficiscuntur, communia sunt. Nihilominus a remotiore discernendum, quod propius est (nam plurimi sunt necessitudinis gradus), ac studendum, ut erga universos, quod in te quidem erit, bonum te geras : sed propioribus, eorum habita ratione, velut arctiore te vinculo junctum exhibeas.

NZ'

Νομίζω πάντας ἂν φάναι ἠλίθιον ἄνθρωπον εἶναι τὸν νομίζοντα ἀλλότριον παντάπασιν ἄνθρωπον εἶναι. Πάντες γὰρ ἐνὸς ἐγγονα, κἂν διαλέκτῳ διαφερώμεθα, κἂν οἰστισινοῦν, κἂν αὐτῷ σεβάσματι. Καὶ τοίνυν ἄνθρωπον ὄντα ἀνθρώπων κήδεσθαι δεῖ, καὶ συνεύχεσθαι τοῖς ὅλοις ἀγαθὰ, ὡς ἐνὸν, ὡς θέμις, ὡς B ἔξεστι. Κοινὴ γὰρ ἡ φύσις, καὶ πᾶσιν ἔδαφος ἓν, καὶ ὀροφὴ μία, καὶ ἓν τι φῶς, καὶ εἷς ἀὴρ ἐφήπλωται παρὰ τοῦ δημιουργοῦ. Καὶ ἁπλῶς τὰ παρ' ἐκείνου κοινά. Χρὴ μέντοι διαστέλλειν τοῦ πορρώτερω τὸ ἔγγιον (βαθμοὶ γὰρ πλεῖστοι τῆς οἰκειότητος)· καὶ πᾶσι μὲν ἀγαθὸν εἶναι τὸ καθ' αὑτόν· τοῖς μᾶλλον δὲ ἐγγυτάτω ἀναλόγως γνησιώτερον προσφέρεσθαι.

LVIII.

Eo tempore, quo navicularius aura prospere flante ac placide vela implente fruitur, cum magna scilicet est serenitas, nec ulla res triste quid minatur, non prius ob eam prosperitatem libere lætus est, quam navi recte prospexerit, ut asperior mutatio metuenda non sit. Et quidem peractis omnibus, ad incolumitatem pertinentibus, etiamsi videat navim et ventis et concitatis eorum vi fluctibus firmiorem esse; non tamen aut temeritatem laudat, aut admiratur secordiam, sed vigilat, sed metuit, sed portum optat, quod ignota sit ei sortis ac fati alea. Cum ergo res tuæ cursu feruntur prospero, pacisque bonis frueris, bellica tibi curæ sunto, teque velut ad bellum gerendum exerceto, et subditos ad hoc tuos præparato. Simul spe bona fretus, ipse te confirmato, ne languescas : nec minus animum condocefacito, temerarius ut esse caveas, si victoria de hostibus potiaris. Incertitudinem denique fortunæ veritus, semper opinare, fieri posse, ut labaris. Est enim difficile, prosperam illos fortunam commode ferre, qui moderate se gerere nesciunt : iidem ut æquo animo calamitatem inexspectatam ferant, prope fieri nequit.

NH'.

Εὖ πνεούσης ἀπολαύων ναύκληρος αὔρας, ἡμέρως ἱστία πληρούσης, αἰθρίας μὲν οὔσης πολλῆς, μηδενὸς δὲ πράγματος ἀπειλοῦντός τι δυσχερὲς, οὐ καθαρῶς τῷ εὐτυχήματι χαίρει, πρὶν ἢ διάθηται καλῶς τὰ κατὰ τὴν ναῦν, ὡς μὴ δεδιέναι τραχυτέραν μεταβολήν. Κἂν πάντα πράξῃ τὰ σώζοντα, κἂν ὁρᾷ οἱ τὴν C ὁλκάδα ἀνέμων, καὶ τῶν ἀπὸ τῶνδε κυμάτων, ἰσχυροτέραν, οὔτε θράσος ἐπαινέσει, οὔτε ῥᾳθυμίαν θαυμάσει· ἀλλ' ἀγρυπνεῖ, ἀλλὰ δέδοικεν, ἀλλὰ λιμένος ἐφίεται, τὸν τῆς μοίρας κύβον οὐκ ἐπιστάμενος. Ὅταν τοίνυν κατὰ ῥοῦν σοι τρέχῃ τὰ εὐτυχήματα, καὶ τῶν τῆς εἰρήνης καλῶν ἀπολαύῃς, τὰ πολεμικὰ μελετάσθω σοι, καὶ γύμναζε σαυτὸν ὡς πρὸς πόλεμον· καὶ ἑτοίμαζε πρὸς τοῦτο τὸ ὑπήκοον. Καὶ νεῦρου μὲν ταῖς ἐλπίσι ταῖς χρησταῖς, ὅπως μὴ νωθρὸς γένοιο· μελέτα δὲ μὴ θρασύνεσθαι, εἰ τῶν πολεμίων κρατήσειας. Τὸ δὲ τύχης ἀόρατον δεδιὼς, τὸ σφαλῆναι προσδόκιμον ἔχε. Ἐνεγκεῖν γὰρ εὐτυχίαν χαλεπὸν τοὺς μὴ μετριάζειν εἰδότας· δυστυχίαν δὲ ἀνέλπιστον φέρειν σχεδὸν ἀδύνατον.

LIX.

Id quoque non levis esse momenti præclaram ad gubernationem duxeris. Omnes enim principes animis suis tranquillitatem, quantam maximam possunt, solerter procurare debent. Nam uti tempestatem nubes adducit, ita tranquillitatem serenitas efficit : utque lumini cogitationum maxime solent officere perturbationes, mollis ac remissa vita, formido, temeritas et quidquid est utrisque consimile, sic meditationes opportune institutæ, perturbationis expertes, vel in primis hominem e difficultate possunt explicare : quando confieri potest, ut et parta prius gloria pro viribus augeatur,

D

NΘ'.

Μηδὲ ἐκεῖνο μικρὸν ἡγοῦ, πρὸς τὸ διοικεῖν καλῶς δύνασθαι. Χρὴ γὰρ πάντας ἄρχοντας γαλήνην ταῖς αὐτῶν ψυχαῖς καὶ προνοεῖν καὶ οἰκονομεῖν, ὅσον οἷόν τε. Χειμῶνα μὲν γὰρ νέφος ἐπάγει, γαλήνην δὲ αἰθρία ποιεῖ· καὶ λογισμοὺς μὲν τυφλοῦν πεφύκασι μάλιστα ταραχαὶ, καὶ βίος ἄπας ὑγρὸς, καὶ δειλία, καὶ θρασύτης, καὶ ὅσον ἀμφοτέροις παραπλήσιον· μελέτα δὲ σὺν τῷ καιρῷ, ταραχῆς ἐλεύθερα, δύναιντ' ἂν μάλιστα πάντων δυσχερείας ἀπαλλάττειν, ὅταν οὐκ ἀδύνατον παντελῶς καὶ τὴν ὑπάρχουσαν αὔξειν εὔκλειαν ὅσον ἔνεστι, καὶ προσπορίζειν ἀγαθὰ σὺν τῷ διαμένειν· καὶ ταυτὶ καλῶς ἐπιστάμενος, μὴ

Digitized by Google

καταπίπτειν ταῖς συμφοραῖς, μηδ' εὐτυχίαις ἐπαίρεσθαι, μηδὲ ἀνέσεσι μαλακίζεσθαι, τὸ ῥᾳθυμεῖν προῦργου θέμενος· ὅπως ψυχῆς γενναιότητι δεινῶν ἀφύκτων δοκούντων ἀπαλλαττόμενος (ἀνάγκη γὰρ αὐτῶν μετέχειν ἄνθρωπον ὄντα) δείξῃς μεγέθει φύσεως τὴν βασιλείαν ἀνθοῦσαν.

A et ampliora bona non tantum acquirantur, sed et solida durabiliaque reddantur. Atque his recte cognitis, cave calamitatibus succumbas, nec prosperis efferaris, nec amplexus ignaviam dissolute vivendo emolliaris : ut animi vi generosa liberatus e malis, quæ inevitabilia videntur (et eorum fieri te participem, cum sis homo, necesse est), indolis et ingenii magnitudine regnum florens efficias.

Ξ'.

Ἥκω σοι λέξων ἃ πράττεις, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι, Πλάτων ἔφη. Μηδένα κακῶς εἴπῃς, θυμῷ δουλεύων, ἢ χαριζόμενος· μηδὲ πλύνῃς ὕβρεσι κακοδαίμονά τινα, δικαίως ἂν ἐλεούμενον, εἴ τις μὴ τῆς φύσεως τῆς κοινῆς ἐπιλάθοιτο. Ἔφη δέ τις καὶ τῶν ἔξω σοφῶν· Τὸ ὑβρίζειν τῶν τοῦτο ποιούντων, οὐχὶ τῶν ὑβριζομένων γίνεται ἔγκλημα. Οὐ μὴν ἀλλὰ καὶ τοὺς τούτῳ ἐντρυφῶντας, καὶ συχνὸν τῶν ἀδελφῶν γέλωτα καταχέοντας, ἢ πείθειν ἀποσχέσθαι τῆς νόσου ταύτης, ἢ πειρᾶσθαι πάντως κωλύειν. Κακία γὰρ προεστῶτος καὶ τοῦτ' ἂν εἴη, τὸ τὰς τῶν ἄλλων κακίας, ἐνὸν ἐπέχειν, ἐᾷν ἐπὶ τὰ πρόσω χωρεῖν.

LX.

Tradam tibi, quod agas, eorum more, qui currentes incitant, ut ait Plato. Maledicus erga neminem fueris, iracundiæ serviens aut gratificans : neve contumeliis exagitaris hominem infelicem, commiseratione dignum potius, si quis naturæ communis oblivisci nolit. Etiam de sapientibus extrariis quidam dixit, contumeliosam insectationem non eis crimini dari, qui patiantur, sed ipsis auctoribus. Quin et illos, quibus hoc vitium voluptati est, quique frequente cachinno fratribus insultant vel persuadere debes, ab hoc uti morbo abstineant, vel omnino dare operam, ut eos a facinore coerceas. Nam et hoc vitio dabitur illi, qui cum potestate est, si, cum aliorum inhibere vitia possit, ea libere progredi sinat.

ΞΑ'.

Σὺν ἂν εἴη κἀκεῖνο πράττειν, καὶ παντὸς ἐθέλοντος ἄρχειν, κιρνᾷν ταῖς δωρεαῖς ἀστειότητα, καὶ ταχύτητι συνάπτειν αὐταῖς τὸ πέρας, ὅση δυνατή. Δεῖ δὲ μέτρον αὐτοῖς μιγνύναι, τῇ σῇ δυνάμει συμβαίνον καὶ τοῖς ἐπιτηδεύμασι, καὶ ποιότητι τῶν δεχομένων τὴν χάριν. Ὡς εἰ μὴ τῷ γιγνομένῳ τοῖς ὅλοις χρῷτο, ἀλλ' ἤτοι ἀγροικότερόν τις δωροῖτο, ἢ τὸν καιρὸν ἐνὸν συντεμεῖν, ὃδ' ἐπίτηδες ἀναβάλλοιτο· καὶ δοίη μὲν κύνα τῷ ναυτικῷ, δοίη δὲ θηρεύοντι κώπην· καὶ στρατιώτῃ μὲν ἵππους δέκα, ἱππάριον δὲ πονηρὸν τῷ στρατιωτῶν ἡγεμόνι· ἄχαρις ἡ χάρις ἥδε, καὶ βλάβην οἴσει μείστην πολλῶν ἕνεκα.

LXI.

Velle debes hoc quoque tum ipse præstare, tum quisquis imperare cogitat, ut muneribus urbana quædam admisceatur comitas, ipsaque largitio, quanta fieri maxima celeritate potest, ad exitum perducatur. Modus eisdem adhibendus, qui viribus tuis conveniat, ac professionibus et qualitatibus eorum, qui donum accipiunt. Quippe nisi quis omnino se gerit ex ratione decori, sed vel agrestius donat, vel cum tempus imminuere liceret, ipse de industria rem extrahit ; ac nautæ canem offert, venatori remum; militi decem equos, duci militum exigui momenti equuleum : ingrata scilicet erit ista gratia, multisque de causis detrimentum maximum afferet.

ΞΒ'.

Τριχῇ τοῦ χρόνου μεριζομένου, εἰς σήμερον, καὶ αὔριον καὶ χθές, οὐδέν γε μέρος τούτων ἡμέτερον, σκοπούντων τἀληθὲς ἀκριβέστερον· τὸ μὲν γὰρ χθὲς παρελήλυθε· τὸ δ' αὔριον οὔπω γέγονε· τὸ σήμερον, ἐν ᾧ δοκοῦμεν ἱδρύσθαι, τὰ τοῦ θαυματοποιοῦ Δαιδάλου τεχνάσματα εἰς ὑπερβολὴν ἀπάτης ὑπερήλασεν. Ἐν γὰρ ἀκαρεῖ τῆς ὥρας τεμνόμενον διαῤῥεῖ, κρατεῖσθαι νομιζόμενον, καὶ διολισθαίνει πρινὴ καλῶς νοηθῆναι. Καὶ μὲν δὴ βέλτιον ἀπολαύομεν ἐνίων ἐλπιζομένων ἢ πρὸς ἡμᾶς παραγιγνομένων, φεύγει γὰρ τὴν αἴσθησιν, πρὸ τοῦ τελέσαι τὰ κατ' ἐλπίδα, καὶ λυπεῖ τῷ ἀποπτῆναι πλέον, ἢ χαρίζεται τῷ συγγεγονέναι. Μᾶλλον δὲ τὰ καθ' ἡμᾶς ἅπαντα, ἢν ἀκριβῶς θεωρήσῃ τις, ὀρνίθων δίκην πετομένων ἡμᾶς παρέρχεται. Καίτοι καὶ ἡμεῖς, αὐτὰ παρατρέχομεν, διηνεκῶς ἡμᾶς παρατρέχοντα. Καὶ τὸ πολὺ δεινότατον, ἀνεπινόητος ἡ διόρθωσις. Νόμῳ γὰρ φύσεως γίγνεται. Σκιὰ τὰ τῇδε, ὄναρ, καπνός, ἀπάτη.

LXII.

Omnia temporibus in tria distributis, in hodiernum et crastinum, et hesternum, nulla pars harum nostra est, si verum subtilius intueri volemus. Quippe tempus hesternum præteriit ; crastinum necdum advenit ; hodiernum, cui videmur insistere, prodigiorum opificis illius Dædali commenta nimiopere fallendo superat. Etenim temporis momento resectum diffluit, cum teneri putetur, ac prius, quam recte percipiatur, dilabitur. Quin etiam melius nonnullis in spe positis fruimur, quam ubi propius ad nos accedunt. Nam sperata prius, quam perficiantur, sensum effugiunt, plusque molestiæ creant avolando, quam jucundi accessu suo largiantur. Vel potius omnia nostra, si quis accurate consideret, instar avium volantium nos prætereunt. Vicissim nos ea quoque, perpetuo cursu prætereuntia, prætervehimur. Quod denique gravissimum est, excogitari nullum potest remedium ; nam hæc ita lege naturæ accidunt. Nimirum vitæ hujus res umbra sunt, somnium, fumus, impostura.

Digitized by Google

adversus alium quemcunque, vel Barbaram quoque nationem, fœdere tibi junctam quod ipsa sanctum et inviolatum esse velit. Adversus illos autem, qui volunt injurias inferre, modis omnibus virum te præbeas. Non enim bonum est, ad defensionem plane non impelli, sed difficulter ad iram moveri.

A τινοῦν, ἢ βαρβάρων ἔθνος, ἐν σπονδαῖς σοι καταστάν, καὶ τηρεῖν αὐτὰς ἐθέλον. Δεῖ δὲ δεικνύναι τὸν ἄνδρα ἀδικεῖν ἐθέλουσι πάντα τρόπον. Οὐ γὰρ ἀγαθὸν ἀκίνητον εἰς ἄμυναν εἶναι, ἀλλὰ δυσκίνητον εἰς ὀργήν.

LVII.

Minime dubito, fassuros omnes, hominem stultum esse, qui ullum prorsus hominem putet alienum. Nam ab uno progeniti sumus omnes, tametsi lingua distinguamur, et aliis quibuscunque rebus, vel ipsa religione. Quapropter hominem hominum rationem habere par est, et universis optare bona, quantum ejus et fieri potest, et fas est, et licet. Quippe natura communis est, et pavimentum cunctis unum, et unum tectum, unaque lux, unus aer expansus a rerum opifice. Denique simpliciter ab eo quæ proficiscuntur, communia sunt. Nihilominus a remotiore discernendum, quod propius est (nam plurimi sunt necessitudinis gradus), ac studendum, ut erga universos, quod in te quidem erit, bonum te geras : sed propioribus, eorum habita ratione, velut arctiore te vinculo junctum exhibeas.

NZ'

Νομίζω πάντας ἂν φάναι ἠλίθιον ἄνθρωπον εἶναι τὸν νομίζοντα ἀλλότριον παντάπασιν ἄνθρωπον εἶναι. Πάντες γὰρ ἐνὸς ἐγονα, κἂν διαλέκτῳ διαφερώμεθα, κἂν οἰστισινοῦν, κἂν αὐτῷ σεβάσματι. Καὶ τοίνυν ἄνθρωπον ὄντα ἀνθρώπων κήδεσθαι δεῖ, καὶ συνεύχεσθαι τοῖς ὅλοις ἀγαθὰ, ὡς ἐνὸν, ὡς θέμις, ὡς B ἔξεστι. Κοινὴ γὰρ ἡ φύσις, καὶ πᾶσιν ἔδαφος ἓν, καὶ ὀροφὴ μία, καὶ ἓν τι φῶς, καὶ εἷς ἀὴρ ἐφήπλωται παρὰ τοῦ δημιουργοῦ. Καὶ ἁπλῶς τὰ παρ' ἐκείνου κοινά. Χρὴ μέντοι διαστέλλειν τοῦ πορρώτερω τὸ ἔγγιον (βαθμοὶ γὰρ πλεῖστοι τῆς οἰκειότητος)· καὶ πᾶσι μὲν ἀγαθὸν εἶναι τὸ καθ' αὑτόν· τοῖς μᾶλλον δὲ ἐγγυτάτω ἀναλόγως γνησιώτερον προσφέρεσθαι.

LVIII.

Eo tempore, quo navicularius aura prospere flante ac placide vela implente fruitur, cum magna scilicet est serenitas, nec ulla res triste quid minatur, non prius ob eam prosperitatem libere lætus est, quam navi recte prospexerit, ut asperior mutatio metuenda non sit. Et quidem peractis omnibus, ad incolumitatem pertinentibus, etiamsi videat navim et ventis et concitatis eorum vi fluctibus firmiorem esse; non tamen aut temeritatem laudat, aut admiratur secordiam, sed vigilat, sed metuit, sed portum optat, quod ignota sit ei sortis ac fati alea. Cum ergo res tuæ cursu feruntur prospero, pacisque bonis frueris, bellica tibi curæ sunto, teque velut ad bellum gerendum exerceto, et subditos ad hoc tuos præparato. Simul spe bona fretus, ipse te confirmato, ne languescas : nec minus animum condocefacito, temerarius ut esse caveas, si victoria de hostibus potiaris. Incertitudinem denique fortunæ veritus, semper opinare, fieri posse, ut labaris. Est enim difficile, prosperam illos fortunam commode ferre, qui moderate se gerere nesciunt : iidem ut æquo animo calamitatem inexspectatam ferant, prope fieri nequit.

NH'.

Εὖ πνεούσης ἀπολαύων ναύκληρος αὔρας, ἡμέρως ἱστία πληρούσης, αἰθρίας μὲν οὔσης πολλῆς, μηδενὸς δὲ πράγματος ἀπειλοῦντός τι δυσχερὲς, οὐ καθαρῶς τῷ εὐτυχήματι χαίρει, πρὶν ἢ διάθηται καλῶς τὰ κατὰ τὴν ναῦν, ὡς μὴ δεδιέναι τραχυτέραν μεταβο- C λήν. Κἂν πάντα πράξῃ τὰ σώζοντα, κἂν ὁρᾷ οἱ τὴν ὁλκάδα ἀνέμων, καὶ τῶν ἀπὸ τῶνδε κυμάτων, ἰσχυροτέραν, οὔτε θράσος ἐπαινέσει, οὔτε ῥᾳθυμίαν θαυμάσει· ἀλλ' ἀγρυπνεῖ, ἀλλὰ δέδοικεν, ἀλλὰ λιμένος ἐφίεται, τὸν τῆς μοίρας κύβον οὐκ ἐπιστάμενος. Ὅταν τοίνυν κατὰ ῥοῦν σοι τρέχῃ τὰ εὐτυχήματα, καὶ τῶν τῆς εἰρήνης καλῶν ἀπολαύῃς, τὰ πολεμικὰ μελετάσθω σοι, καὶ γύμναζε σαυτὸν ὡς πρὸς πόλεμον· καὶ ἑτοίμαζε πρὸς τοῦτο τὸ ὑπήκοον. Καὶ νευροῦ μὲν ταῖς ἐλπίσι ταῖς χρησταῖς, ὅπως μὴ νωθρὸς γένοιο· μελέτα δὲ μὴ θρασύνεσθαι, εἰ τῶν πολεμίων κρατήσειας. Τὸ δὲ τύχης ἀόρατον δεδιὼς, τὸ σφαλῆναι προσδόκιμον ἔχε. Ἐνεγκεῖν γὰρ εὐτυχίαν χαλεπὸν τοὺς μὴ μετριάζειν εἰδότας· δυστυχίαν δὲ ἀνέλπιστον φέρειν σχεδὸν ἀδύνατον.

LIX.

Id quoque non levis esse momenti præclaram ad gubernationem duxeris. Omnes enim principes animis suis tranquillitatem, quantam maximam possunt, solerter procurare debent. Nam uti tempestatem nubes adducit, ita tranquillitatem serenitas efficit : utque lumini cogitationum maxime solent officere perturbationes, mollis ac remissa vita, formido, temeritas et quidquid est utrisque consimile, sic meditationes opportune institutæ, perturbationis expertes, vel in primis hominem e difficultate possunt explicare : quando confieri potest, ut et parta prius gloria pro viribus augeatur,

D

NΘ'.

Μηδὲ ἐκεῖνο μικρὸν ἡγοῦ, πρὸς τὸ διοικεῖν καλῶς δύνασθαι. Χρὴ γὰρ πάντας ἄρχοντας γαλήνην ταῖς αὐτῶν ψυχαῖς καὶ προνοεῖν καὶ οἰκονομεῖν, ὅσον οἷόν τε. Χειμὼνα μὲν γὰρ νέφος ἐπάγει, γαλήνην δὲ αἰθρία ποιεῖ· καὶ λογισμοὺς μὲν τυφλοῦν πεφύκασι μάλιστα ταραχαὶ, καὶ βίος ἅπας ὑγρὸς, καὶ δειλία, καὶ θρασύτης, καὶ ὅσον ἀμφοτέροις παραπλήσιον· μελέτα δὲ σὺν τῷ καιρῷ, τραχῆς ἐλεύθερα, δύναιντ' ἂν μάλιστα πάντων δυσχερείας ἀπαλλάττειν, ὅταν οὐκ ἀδύνατον παντελῶς καὶ τὴν ὑπάρχουσαν αὔξειν εὐκλειαν ὅσον ἔνεστι, καὶ προσπορίζειν ἀγαθὰ σὺν τῷ διαμένειν· καὶ ταυτὶ καλῶς ἐπιστάμενος, μὴ

Digitized by Google

καταπίπτειν ταῖς συμφοραῖς, μηδ' εὐτυχίαις ἐπαίρεσθαι, μηδὲ ἀνέσεσι μαλακίζεσθαι, τὸ ῥᾳθυμεῖν προῦργου θέμενος· ὅπως ψυχῆς γενναιότητι δεινῶν ἀφύκτων δοκούντων ἀπαλλαττόμενος (ἀνάγκη γὰρ αὐτῶν μετέχειν ἄνθρωπον ὄντα) δείξῃς μεγέθει φύσεως τὴν βασιλείαν ἀνθοῦσαν.

A et ampliora bona non tantum acquirantur, sed et solida durabiliaque reddantur. Atque his recte cognitis, cave calamitatibus succumbas, nec prosperis efferaris, nec amplexus ignaviam dissolute vivendo emolliaris : ut animi vi generosa liberatus e malis, quæ inevitabilia videntur (et eorum fieri te participem, cum sis homo, necesse est), indolis et ingenii magnitudine regnum florens efficias.

Ξ'.

Ἥκω σοι λέξων ἃ πράττεις, ὥσπερ οἱ τοῖς θέουσι διακελευόμενοι, Πλάτων ἔφη. Μηδένα κακῶς εἴπῃς, θυμῷ δουλεύων, ἢ χαριζόμενος· μηδὲ πλύνῃς ὕβρεσι κακοδαίμονά τινα, δικαίως ἂν ἐλεούμενον, εἴ τις μὴ τῆς φύσεως τῆς κοινῆς ἐπιλάθοιτο. Ἔφη δέ τις καὶ τῶν ἔξω σοφῶν· Τὸ ὑβρίζειν τῶν τοῦτο ποιούντων, οὐχὶ τῶν ὑβριζομένων γίνεται ἔγκλημα. Οὐ μὴν ἀλλὰ καὶ τοὺς τούτῳ ἐντρυφῶντας, καὶ συχνὸν τῶν ἀδελφῶν γέλωτα καταχέοντας, ἢ πείθειν ἀποσχέσθαι τῆς νόσου ταύτης, ἢ πειρᾶσθαι πάντως κωλύειν. Κακία γὰρ προεστῶτος καὶ τοῦτ' ἂν εἴη, τὸ τὰς τῶν ἄλλων κακίας, ἐνὸν ἐπέχειν, ἐᾷν ἐπὶ τὰ πρόσω χωρεῖν.

LX.

Tradam tibi, quod agas, eorum more, qui currentes incitant, ut ait Plato. Maledicus erga neminem fueris, iracundiæ serviens aut gratificans : neve contumeliis exagitaris hominem infelicem, commiseratione dignum potius, si quis naturæ communis oblivisci nolit. Etiam de sapientibus extraneis quidam dixit, contumeliosam insectationem non eis crimini dari, qui patiantur, sed ipsis auctoribus. Quin et illos, quibus hoc vitium voluptati est, quique frequente cachinno fratribus insultant vel persuadere debes, ab hoc uti morbo abstineant, vel omnino dare operam, ut eos a facinore coerceas. Nam et hoc vitio dabitur illi, qui cum potestate est, si, cum aliorum inhibere vitia possit, ea libere progredi sinat.

ΞΑ'.

Σὸν ἂν εἴη κἀκεῖνο πράττειν, καὶ παντὸς ἐθέλοντος ἄρχειν, κιρνᾷν ταῖς δωρεαῖς ἀστειότητα, καὶ ταχύτητι συνάπτειν αὐταῖς τὸ πέρας, ὅσῃ δύνατή. Δεῖ δὲ μέτρον αὐτοῖς μιγνύναι, τῇ σῇ δυνάμει συμβαῖνον καὶ τοῖς ἐπιτηδεύμασι, καὶ ποιότησι τῶν δεχομένων τὴν χάριν. Ὡς εἰ μὴ τῷ γιγνομένῳ τοῖς ὅλοις χρῷτο, ἀλλ' ἤτοι ἀγροικότερόν τις δωροῖτο, ἢ τὸν καιρὸν ἐνὸν συντεμεῖν, ὅδ' ἐπίτηδες ἀναβάλλοιτο· καὶ δοίη μὲν κύνα τῷ ναυτικῷ, δοίη δὲ θηρεύοντι κώπην· καὶ στρατιώτῃ μὲν ἵππους δέκα, ἱππάριον δὲ πονηρὸν τῷ στρατιωτῶν ἡγεμόνι· ἄχαρις ἡ χάρις ἥδε, καὶ βλάβην οἴσει μεγίστην πολλῶν ἕνεκα.

LXI.

Velle debes hoc quoque tum ipse præstare, tum quisquis imperare cogitat, ut muneribus urbana quædam admisceatur comitas, ipsaque largitio, quanta fieri maxima celeritate potest, ad exitum perducatur. Modus eisdem adhibendus, qui viribus tuis conveniat, ac professionibus et qualitatibus eorum, qui donum accipiunt. Quippe nisi quis omnino se gerit ex ratione decori, sed vel agrestius donat, vel cum tempus imminuere liceret, ipse de industria rem extrahit ; ac nautæ canem offert, venatori remum; militi decem equos, duci militum exigui momenti equuleum : ingrata scilicet erit ista gratia, multisque de causis detrimentum maximum afferet.

ΞΒ'.

Τριχῇ τοῦ χρόνου μεριζομένου, εἰς σήμερον, καὶ αὔριον καὶ χθές, οὐδέν γε μέρος τούτων ἡμέτερον, σκοπούντων τἀληθὲς ἀκριβέστερον· τὸ μὲν γὰρ χθὲς παρελήλυθε· τὸ δ' αὔριον οὔπω γέγονε· τὸ σήμερον, ἐν ᾧ δοκοῦμεν ἰδρύσθαι, τὰ τοῦ θαυματοποιοῦ Δαιδάλου τεχνάσματα εἰς ὑπερβολὴν ἀπάτης ὑπερήλασεν. Ἐν γὰρ ἀκαρεῖ τῆς ὥρας τεμνόμενον διαῤῥεῖ, κρατεῖσθαι νομιζόμενον, καὶ διολισθαίνει πρινὴ καλῶς νοηθῆναι. Καὶ μὲν δὴ βέλτιον ἀπολαύομεν ἐνίων ἐλπιζομένων ἢ πρὸς ἡμᾶς παραγιγνομένων, φεύγει γὰρ τὴν αἴσθησιν, πρὸ τοῦ τελέσαι τὰ κατ' ἐλπίδα, καὶ λυπεῖ τῷ ἀποπτῆναι πλέον, ἢ χαρίζεται τῷ συγγεγονέναι. Μᾶλλον δὲ τὰ καθ' ἡμᾶς ἅπαντα, ἢν ἀκριβῶς θεωρήσῃ τις, ὀρνίθων δίκην πετομένων ἡμᾶς παρέρχεται. Καίτοι καὶ ἡμεῖς, αὐτὰ παρατρέχομεν, διηνεκῶς ἡμᾶς παρατρέχοντα. Καὶ τὸ πολὺ δεινότατον, ἀνεπινόητος ἡ διόρθωσις. Νόμῳ γὰρ φύσεως γίγνεται. Σκιὰ τὰ τῇδε, ὄναρ, καπνός, ἀπάτη.

LXII.

Omnia temporibus in tria distributis, in hodiernum et crastinum, et hesternum, nulla pars harum nostra est, si verum subtilius intueri volemus. Quippe tempus hesternum præteriit ; crastinum nondum advenit ; hodiernum, cui videmur insistere, prodigiorum opificis illius Dædali commenta nimio opere fallendo superat. Etenim temporis momento resectum diffluit, cum teneri putetur, ac prius, quam recte percipiatur, delabitur. Quin etiam melius nonnullis in spe positis fruimur, quam ubi propius ad nos accedunt. Nam sperata prius, quam perficiantur, sensum effugiunt, plusque molestiæ creant avolando, quam jucundi accessu suo largiantur. Vel potius omnia nostra, si quis accurate consideret, instar avium volantium nos prætereunt. Vicissim nos ea quoque, perpetuo cursu prætereuntia, prætervehimur. Quod denique gravissimum est, excogitari nullum potest remedium ; nam hæc ita lege naturæ accidunt. Nimirum vitæ hujus res umbra sunt, somnium, fumus, impostura.

Digitized by Google

LXIII.

Quævis substantia fluxa suum ad finem properat. Consimili cursu res hujus terrenæ vitæ feruntur ; quippe nulla in eis quies, nullum reapse subsistens bonum, nulla perpetuitas. Complures in his turbæ sunt, variis vitam tædiis implent, nosque prætereuntes prætereunt. Quod si cui quid offerat sese, quod paullo jucundius esse videatur, vix salutatis quasi nobis abscedit, quemadmodum fieri solet, cum equis vecti cursores occurrunt invicem sibi, de partibus extremis ad alias item extremas nuntii quid novi perferentes, nec impediri se sinentes. Adeo vile bonum est occursus eorum, quæ nobis esse bona videntur. Unde colligere est, quæ ortui subjecta sunt, et interitui, veræ ac immotæ vitæ desiderio urgeri ad eximendum sese de rebus istis fallacibus, quod agi se perpetuis erroribus indigne ferant.

LXIV.

Vere nihil est, cujus ita parcum esse par sit hominem atque ne temporis jacturam faciat. Opes enim, et gloria et regnum, aliaque talia, recuperari amissa possunt, et auctiora quidem acquiri denuo, tametsi non exigua difficultas objiciatur. At temporis aliquid amissum reperiri amplius nequit. Semper enim fluit, instar amnis ; quodque nos præteriit, longius abscedit ; quod idem usuvenit et vitæ mortalium. Sunt nimirum ista duo similia navi et undis ; his ad declivia delabentibus, illi velis adversus amnem nitenti : quorum ut occursus celer, ita celerior digressio ; rursus quidem uti coeant, fieri non potest. Quæ cum ita sint, quasi derivandum est tempus ad cultum indolis atque morum, ne omnino præterlapsum, rursus ad usum nostrum non revertatur.

LXV

Ad nos in primis pertinere supra mortales cæteros existimabis, ut tempus, quod redimi pecunia nequit, nec laboribus acquiritur, nec amicitia compensatur, nulli rei supervacaneæ imponamus : sed secundum quietem, et cibum, et absque quibus bene nobis esse nequit ; atque ante omnia, secundum expiationem numinis, publicorum negotiorum procurationi. Quod si quid urgeat, etiam corpus negligatur. Habebunt autem belle publica tibi negotia, si et interdiu et noctu de his sollicitus fueris, bonisque viris libere tecum agendi potestatem feceris. Quin etiam tibi plurimum animæque tuæ publicisque privatisque singulorum rebus expediet, si oppresso vi alicujus pauperi, aditus ad te, nemine prohibente, pateat.

LXVI.

Liquet eum, qui cum imperio nationibus præest, non debere non incrementa rerum, quæ in manibus sunt, quærere, cum is conatus justa reprehensione careat. Nimirum et iis, quæ adsunt, contentus esse debet, et ea suscipere, per quæ bonis omnibus potiatur. Iisdem potitus, supercilia tollere nolit. Sin irriti conatus fuerint, det operam, ut a dolore

ΞΓ'.

Ἡ ἐπίκηρος οὐσία εἰς τὸ ἴδιον ἐπείγεται τέλος. Ἀλλὰ καὶ τοῦ τῇδε βίου τὰ πράγματα τοῦ ἴσου τούτοις ἔχεται δρόμου. Οὐ στάσις γὰρ αὐτοῖς ἐστιν, οὐκ ἀγαθὸν ἐνυπόστατον, οὐ διαμονή. Πολλαὶ μὲν τούτων αἱ ταραχαὶ, καὶ πολλῆς ἡμῖν ἐμπιπλῶσιν ἀηδίας τὸν βίον, καὶ παρερχομένους ἡμᾶς παρέρχεται. Κἂν ἐντύχῃ τίς τινι τῶν χρηστοτέρων δοκούντων, ἀμηγέπη προσειπὼν ἀπαλλάττεται, ὃν δὴ τρόπον γίγνεται, ἐπειδάν που συναντήσωσιν ἀλλήλοις ἔφιπποί τινες δρομεῖς, ἀπὸ τερμάτων εἰς τέρματα ἀγγελίαν δή τινα κομίζοντες, οὐκ ἀνεχομένω βραδυτῆτος. Οὕτω φαῦλον ἀγαθὸν ἡ τῶν δοκούντων ἀγαθῶν ἡμῖν συντυχία. Λογίσαιτ' ἂν τις ἐντεῦθεν, ὡς ἄρα τῆς ἀληθινῆς καὶ ἀκινήτου ζωῆς ἐφιέμενα τὰ γενέσει καὶ φθορᾷ ὑποκείμενα, τὴν ἀπαλλαγὴν ἐπισπεύδει τῶν ἐξαπατώντων πραγμάτων, μυσαττόμενα τὸ πλάναις ἀεὶ δήποτε φέρεσθαι.

ΞΔ'.

Σαφῶς οὐκ ἔστιν οὐδὲν, οὔγε φείδεσθαι προσῆκεν ἀνδράσιν, ὡς ἡ τοῦ χρόνου ζημία. Χρήματα μὲν γὰρ, καὶ δόξαν, καὶ θρόνον, καὶ τὰ τοιαῦτα, ἔνεστιν ἀποβαλόντα ἀναλέσασθαι, καὶ μετὰ προσθήκης ἐπανακτήσασθαι, εἰ καὶ μὴ πάνυ ῥᾴδιον· χρόνου δέ τι παρεθὲν, οὐκ ἔνι πάλιν εὑρεῖν. Ῥεῖ γὰρ ἀεὶ ποταμηδόν· καὶ τὸ παρελθὸν ἡμᾶς ποῤῥωτέρω γίνεται. Ἐπεὶ καὶ ἡ θνητῶν ζωὴ ταυτὸν ἐκείνῳ ποιεῖ. Καὶ ἐοίκασιν ὁλκάδι καὶ ῥοθίῳ· τῷ μὲν, εἰς τὸ πρανὲς καταῤῥέοντι, τῇ δὲ, ἱστίοις ἀνατρεχούσῃ τὸ ῥεῦμα. Οἷς ταχεῖα μὲν ἡ συνάντησις γένοιτ' ἂν, ταχυτέρα δὲ ἡ διάστασις. Καὶ τὸ πάλιν συνελθεῖν οὐ τῶν ἐφικτῶν. Ὅτε τοίνυν οὕτως ἔχει, χρὴ μετοχετεύειν τὸν χρόνον εἰς τὴν τῶν ἠθῶν ἐπιμέλειαν· ἵνα μὴ πάντως παραῤῥυεὶς, οὐκ ἀναστρέψῃ πάλιν ἡμῖν πρὸς ἐργασίαν καὶ χρῆσιν.

ΞΕ'.

Ἡμῖν ἡγοῦ προσήκειν μάλιστα πάντων ἀνθρώπων ἀναλίσκειν τὸν καιρὸν, ὃς οὐ χρημάτων ὠνητὸς, οὐδὲ πόνοις γε κτητὸς, οὐδὲ φιλίαις ἀντιδιδόμενος, πρὸς οὐδ' ὁτιοῦν περιττὸν, ἀλλὰ μεθ' ὕπνους, καὶ τροφὴν, καὶ ὧν χωρὶς οὐκ ἔστιν εὖ ἔχειν, καὶ πρό γε πάντων τὴν εἰς τὸ θεῖον ἀφοσίωσιν, εἰς τὴν τῶν κοινῶν ἐπιμέλειαν. Ἢν δὲ κατεπείγῃ τι, ὑπεροράσθω καὶ σῶμα. Εὖ δ' ἂν σοι σχοίη τὰ κοινὰ πράγματα, καὶ μεθ' ἡμέραν, καὶ νύκτωρ περὶ τούτων φροντίζοντι, καὶ τοῖς ἀγαθοῖς ἀνδράσι διδόντι παρὰ σοὶ προσηκόντως παῤῥησιάζεσθαι. Ὅπως δὲ καὶ πένητα ὑπό του πιεζόμενον μηδεὶς κωλύσῃ σοὶ προελθεῖν, σφόδρα τοῦτο ὠφέλιμον σοί τε, καὶ τῇ σῇ ψυχῇ, καὶ τοῖς κοινοῖς, καὶ τοῖς καθέκαστον πράγμασιν.

ΞϚ'.

Οὐ δεῖ τὸ ἐξηγούμενον ἐθνῶν μὴ ζητεῖν ἐπίδοσιν τῶν ἀνὰ χεῖρας πραγμάτων, ἐπειδὰν οὐκ ἔχει μέμψιν εὔλογον τὸ ζητεῖν. Χρὴ δὲ ἀγαπᾶν τοῖς οὖσι, καὶ ποιεῖν, δι' ὧν μειζόνων ἐπιτεύξεται καλῶν· καὶ τυχόντα μὲν αὐτῶν, μὴ θέλειν αἴρειν ὀφρύν· ἀποτυχόντα δὲ τῶν ἐγχειρημάτων, πειρᾶσθαι λύπης ἐλεύθερον εἶναι, θεῷ τὸ πᾶν λογιζόμενον, ᾧ μηδ' ἂν

Digitized by Google

ἐν εἴργαστο, ὅ τι μὴ πάνυ καλόν. Πόθεν ἄν τις εὐσεβῶν ἔχει τοὐναντίον εἰπεῖν; Εἰ γὰρ Ἑλλήνων παισὶ, τύχῃ τε καὶ εἱμαρμένῃ δουλεύουσι, δεῖν ἐδόκει φέρειν τὰ παρ' αὐτῶν, σχολῇ γε ἡμῖν οὐ δόξει τὰ τῆς προνοίας ἀσπάζεσθαι. Εἶτα τοῖς μὲν κρίνοις αἱ χροιαὶ, καὶ τὸ τῆς ὥρας ἀμήχανον, καὶ τοῖς πτηνοῖς, οὐ συνάγουσιν, οὐδ' ἀποθήκας ἔχουσι, τὸ τρέφεσθαι παρὰ τοῦ Δημιουργοῦ· ἀνθρώπου δὲ φροντὶς αὐτῷ οὐδαμῶς ἂν γένοιτο; Εἰ δὲ Θεὸς ὢν ἀγαθὸς, ἡμῶν φροντίζει καὶ κήδεται, τίν' ἔχει λόγον ὑπεραλγεῖν, ἢ καὶ τὸ μὴ χάριν εἰδέναι, ὧδε ἢ ἑτέρως τῶν πραγμάτων ἡμῖν οἰκονομουμένων; Τοῦτο ψυχῆς πάνυ σκληρᾶς, δοθέντος εἶναι πιστῆς.

A sit liber, Deo totum acceptum ferens, qui nihil omnino facit, quod non valde sit bonum. Quibus argumentis fretus homo religiosus his contradicere possit? Nam si pagani, fortunæ fatoque servientes, ferenda putabant, quæcunque ab his profecta fuissent, nequaquam nos ea, quæ a providentia proficiscuntur, boni non consulenda censebimus. Præterea liliis et colores et venustas inæstimabilis, avibusque nihil colligentibus, nec habentibus horrea, rerum ob Opifice nutrimenta dantur: et hominis ille cura nulla tangitur? quod si bonus Deus curam nostri sollicite gerit, qua ratione subnixi, nimio dolore contabescemus, vel Deo gratiam non habebimus, cum hoc illove modo res ab eo nostræ administrantur. Nimirum hoc admodum rigidi fuerit animi, si quidem concedatur, esse fidelis.

ΞΖ'.

Πλούτῳ ὁ μὲν ἥδεται, οὐ τὸ χρυσίον θαυμάζων, ἀλλ' ὡς αὐτῷ δυνάμενος ἑαυτὸν καὶ δεομένους εὖ ποιεῖν· ἄλλος δ' ὢν ἀκόρεστος, καὶ τὸ πλουτεῖν τέλος ἔχων, καὶ πλούτων ἀδημονεῖ καὶ κατὰ τὸν ἄφρονα πλούσιον οἰμώζει κλάων, Τί πράξω; λέγων, τί χρήσομαι; ὅτι μοι τὸ λῆϊον εὔφορον, καὶ ταῖς ληνοῖς οἱ βότρυες οὐ χωρητοί, καὶ πᾶν μοι βρίθει φυτὸν, καὶ κενὸν οὐδὲν οἶκοι. Καὶ μὴν δόξης τις ἀφεστηκὼς, καὶ τῶν τοῦ φθόνου διὰ τοῦτο βελῶν, νομίσας οὐκ εἶναί οἱ βιωτὸν, εἰ μὴ προσκυνεῖτο, ἐκείνης θ' ἅμα τυχὼν, καὶ τῶν βελῶν πειραθεὶς, οὔτ' ἐκείνῃ χαίρων ἦν, καὶ θανατᾷ ὡς φθονούμενος. Ἑτέρῳ δ' αὖ ἐπέπρακτο τοὐναντίον. Καὶ πάντα δὲ τὰ καθ' ἡμᾶς ἄλλοτε ἄλλοις ἄλλα δοκεῖ. Καὶ ταυτὰ ποτὲ καλὰ, ποτὲ δὲ μὴ τοιαῦτα, οὐ διὰ τὴν ἑαυτῶν φύσιν, διὰ δὲ τὴν τῶν ἀνθρώπων πρὸς ἐκεῖνα πάντως διάθεσιν. Ὥστε καὶ τὸ ἡρεμεῖν, καὶ τὸ ἥδεσθαι, καὶ τὸ ταράττεσθαί τε καὶ θλίβεσθαι, λογισμῶν ἂν εἴη μᾶλλον ἢ τῆς φύσεως τῶν πραγμάτων.

B

C

LXVII.

Jucundæ sunt uni divitiæ, non eam ob causam quod aurum admiretur, sed quod iis tum sibi, tum aliis bene facere possit. Alius, natura insatiabilis, unumque finem spectans, ut opibus affluat, etiam nactus eas angitur, ac divitis illius stulti more plorans ululat, Quid faciam, inquiens, quo me pacto geram? seges mihi copiosa provenit, et racemos torcularia non capiunt. Omnes mihi fructibus onustæ sunt arbores, nec vacuum domi quidquam. Alius a gloria remotior, et eamdem ob causam ab invidiæ quoque telis, ratus ne vivendum quidem sibi, ni adoretur; postquam et adeptus est eam, et expertus invidiæ tela: nec voluptatem ex illa percipit, et quod invidia premitur, mortem ipse sibi optat. Rursus alius diversum facit. Adeoque cunctæ res nostræ alias aliis aliæ videntur esse. Quin eadem plane, modo bona, modo non bona, non id quidem ex natura sua, sed prorsus ex ipsorum ad ea mortalium affectione. Quo fit, ut ea tranquillitas, et oblectatio, et perturbatio, et afflictio, potius ab ipsis animis, quam a rerum natura proveniant.

ΞΗ'.

Οὐδὲν ἂν εἴη δεινὸν, ὃ μὴ φορητὸν ἡμῖν, εἰπέ τις τῶν ποιητῶν, ἄλλως φράσας. Ἐγὼ δ', ἐκείνου τῇ φύσει τοῦτο διδόντος, τῇ προαιρέσει νέμω. Αὕτη γὰρ καλοὺς ἡμᾶς καὶ μὴ τοιούτους ἐργάζεται. Ἡ μὲν γὰρ κοινὴ φύσις δούλοις, δεσπόταις, πᾶσιν ἐξῆς ἀνθρώποις, μία τις ἀπαράλλακτος. Ἀδὰμ γὰρ παῖδες, πηλῷ τὴν ὕπαρξιν ἐσχηκότος, χειρὶ Θεοῦ πεπλασμένου. Γενναῖος δὲ, καὶ σταθηρὸς, καὶ μὴ τοιοῦτος ἀποκαθίσταται τῇ προαιρέσει πᾶς ἄνθρωπος. Ὁ γὰρ τῶν παρόντων ὅλος γενόμενος, πραγμάτων οὐ βεβηκότων, πῶς ἂν ἀτρέμας μείνῃ; πῶς ἄλυπος; Ὁ δὲ τῷ λόγῳ χρώμενος, οὐδέν τι τῶν ἐνθάδε προῦργου ποιούμενος, τοῦ πηλοῦ καταγελῶν, ἀθανασίας ἐπιθυμῶν, ὁδοιπόρον ἑαυτὸν ἐπιστάμενος εἰς τὴν πατρίδα τὴν ἄνω, ὑποφέρει μὲν δεινὰ, εἰδὼς ταυτὶ παρερχόμενα, καὶ νίτρου τόπον σώζοντα τῇ ψυχῇ, ἀνθρώπινόν τι παθούσῃ· τῶν δὲ ἡδέων τοῦ τῇδε βίου ὡς θνητὸς οὐκ ἀθανάτων μετέχων, οἶσει τὴν τούτων ζημίαν πολὺ τῶν ἄλλων κουφότερόν τε καὶ ἀλυπότερον.

D

LXVIII.

Sensus est hic poetæ cujusdam, aliis usi verbis, nullam esse calamitatem, quæ a nobis tolerari non possit. Hoc cum ad naturam ille retulerit, ego liberæ voluntati tribuo; nam ea nos et bonos et non bonos efficit. Quippe communis illa natura, servis, heris, omnibusque mortalibus, una quædam est indiscreta. Sumus enim illius Adami filii, qui de luto exstitit, Dei manu formatus. At quilibet homo, vel strenuus, vel constans, vel non talis, arbitrio voluntatis efficitur. Nam qui se totum rebus vitæ præsentis addicit, minime profecto stabilibus, quonam pacto quiete solida fruetur? qui doloris expers erit? At qui ratione utitur, nec quidquam rei terrestris habet in pretio, lutum irridens, immortalitatis appetens, quique se viatorem novit esse, tendentem ad superam illam patriam: is vero et æquo tolerabit animo tristia, cum esse transitoria sciat, ac præstare nitri vicem animo, cui quid humanitus accidit; et illis, quæ in hac vita jucunda sunt, veluti mortalis haud immortalibus fruens, eorumdem jacturam tum levius multo cæteris, tum minore cum animi molestia feret.

Digitized by Google

LXIX

Quas passus fuit ærumnas Jobus, ob eas magis beatus prædicatur, quam ob facta sua, quanquam ea talia tantaque fuerint, ut eorum auctorem Deus ipse quoque collaudaret. Jam si præclarorum operum effectorem ærumnarum sensus illustriorem reddidit, quo pacto non idem hoc remedium proderit illis, qui multa perpetrarunt mala? Saltem Deo vitæ nostræ clavo commisso, quoties prospera navigatione utimur, providentiæ facilitatem illam acceptam ferentes, ipsi gratias agamus, ac modeste læti simus; at ubi fluctus aliquis ingruerit, vi mali ne demergamur. Et enim qui jucundis secundum rationem non utitur, is a tristibus quasi diluvio quodam obruitur. Ab altero namque provenit alterum. Ac si quidem in utramque partem parum nos probe gesserimus, ignominiam nunc sane maximam, et in futurum perpetuam nobis ipsi conciliabimus.

A

Ξθ'.

Ἰὼβ ἐκ τῶν παθημάτων μακαρίζεται μᾶλλον ἢ ἀπὸ τῶν ἔργων αὐτῶν· καίτοι τηλικαῦτα ἦν, ὡς καὶ Θεὸν ἐπαινέσαι τὸν ἐργασάμενον. Καὶ εἰ τῶν καλῶν ἐργάτην λαμπρότερον ἀνέδειξε τὸ παθεῖν, πῶς οὐκ ὀνήσει τὸ φάρμακον αὐτουργοὺς πολλῶν κακῶν γεγονότας; Πλὴν Θεῷ τοὺς οἴακας ἐγχειρίσαντες τῆς ἡμετέρας ζωῆς, ὅταν ἐξουρίας ἡμῖν ὁ πλοῦς, τῇ προνοίᾳ λογιζόμενοι τὴν εὐκολίαν, χάριτας εἰδῶμεν αὐτῷ αὐτοὶ σεμνῶς ἡδόμενοι. Ὅταν δέ τι κῦμα ἐπέλθοι, μὴ βαπτιζώμεθα τῷ δεινῷ. Ὁ γὰρ τοῖς ἡδέσι μὴ κατὰ λόγον χρώμενος, τοῖς λυπηροῖς κατακλύζεται. Θάτερον γὰρ τὸ λοιπὸν προξενεῖ· καὶ ἦν κατ' ἄμφω φανῶμεν ἀδόκιμοι, νυνὶ μὲν πλείστην αἰσχύνην, εἰς δὲ τὸ μέλλον ἀθάνατον ἡμῖν αὐτοῖς περιάψομεν.

B

LXX.

Velis quidem ad id, quo in bonis extremum est, pervenire; sed scias, id studium in eorum esse numero, quæ perfici nequeunt. Interea ne doleas quod currens, metam non attingas. Non enim hoc spectandum, quod bonum sit aliquod, hominum virtute sublimius, sed quod is, qui cursu ad id contendit, propius semper accedat. Hunc sibi qui scopum statuit, eumque consentanea ratione petere non desinit, sæpius quidem attinget; ac licet aberret, amplius tamen aliquid habebit, quam alii. Nam qui temere feruntur, instar navium instrumento suo carentium; quique vitiose viventes, bene vivere videri volunt, eaque re delectantur, his ne speranda quidem malorum emendatio. Qui vero rationis præceptionibus regitur, etiamsi peccet, malum tamen ipsum necessario sentiet, id quod emendationis est initium

Πϛ'.

Θέλε μὲν ἐς ἔσχατον τῶν καλῶν ἐλθεῖν, γίνωσκε δὲ ἀδύνατον τὴν ἔφεσιν ταύτην οὖσαν· καὶ μὴ ἀθύμει, τρέχων μὲν, οὐκ ἐφικνούμενος δέ. Οὐδὲ γὰρ τοῦτο δεῖ σκοπεῖν, ὅτι τἀγαθὸν ὑψηλότερον τῆς ἀρετῆς τῶν ἀνθρώπων· ἀλλ' ὅτιπερ ὁ τρέχων ὡς αὐτὸ ἐγγυτέρω γίνεται. Καὶ ὁ τοῦτο θέμενος ἑαυτῷ σκοπὸν, καὶ τῷ εἰκότι βάλλων οὐ παυόμενος, πολλάκις μὲν ἐπιτεύξεται, ἕξει δέ τι πλέον τῶν ἄλλων, κἂν ἀποτύχῃ· τοῖς μὲν γὰρ ὡς ἔτυχε φερομένοις, κατὰ τὰ ἀνερμάτιστα πλοῖα, καὶ ζῶσιν ἐν φαυλότητι ὥσπερ ἐν χρηστότητι, καὶ ἡδομένοις τῷ πράγματι, οὐδ' ἐν ἐλπίσι κείσεται τῶν κακῶν ἡ διόρθωσις. Ὁ δὲ λογισμοῖς ἰθυνόμενος, κἂν ἁμάρτῃ, ἀνάγκαις πάσαις αἰσθήσεται τοῦ δεινοῦ, ὅπερ ἀρχὴ διορθώσεως.

LXXXVII.

Si qui mortem in bellis formidant, ii fugere solent; et qui fugient, magis cadunt, quam qui mortem contemnentes, stare malunt. Est enim periculosa tergorum adversus manus pugna. Itidem qui gladium metuunt, ab eo conficiuntur, ne sepulturæ quidem honorem impetrantes: at qui veluti mortem oppetituri pugnant, ii sæpius victorias adipiscentes, et rem gerentes optime, non superstites modo sunt, verum etiam coronantur et æquissima quidem utrumque ratione. Nam de non metuendo fit, ut stetur, a stantium vero partibus, victoria; victores autem coronis potiuntur, atque hæc si strenuis et animosis contingunt, timidis evenire contraria paret. Quod si maxime quis cadat in pugna, et alius incolumis revertatur, tamen hunc homines ob ignominiosam vitam miserantur, illum causa mortis obitæ cum gloria beatum prædicant. Jam quod prodigii quasi plenum est, norunt hæc quidem omnes, et malum tamen admittitur, conversis velut in fugam animis ab aliqua re territante. Tibi vero nec temere nec injuste arma capienti, potior conjuncta cum gloria mors esto, quam ut hostibus triumphum de te concedas.

Πζ'.

Ἐπὶ τῶν πολέμων οἱ φρίττοντες τὸν θάνατον, οἵδε φεύγουσι· καὶ φεύγοντές γε πίπτουσιν ἢπερ οἱ ἱστάμενοι, καταφρονοῦντες θανάτου. Δεινὴ γὰρ μάχη νώτων πρὸς χεῖρας, καὶ ὁρῥωδοῦντες τὸ ξίφος, ἔργον τούτου γίνονται, μηδὲ γοῦν ταφῆς ἀξιούμενοι. Οἱ δ' ὡς τεθνηξόμενοι διαμάχονται, ζῶσί τε καὶ στεφανοῦνται, πολλάκις περιγινόμενοί τε καὶ ἀριστεύοντες μάλα γε εἰκότως ἀμφότερα. Ἐκ μὲν γὰρ τοῦ μὴ φοβεῖσθαι τὸ ἱστασθαι, μετὰ δὲ τῶν βεβηκότων ἡ νίκη. Τούτων δὲ οἱ στέφανοι γίγνονται. Καὶ εἰ τοῖς εὐψύχοις ταυτὶ, δῆλον ὅτι τἀναντία τοῖς δειλοῖς. Εἰ δὲ καὶ πεσεῖταί τις ἐν τῷ πολεμεῖν, καὶ φεύγων ἄλλος σῶς ἐπανήξει· ἀλλ' ὅδε μὲν τῆς μετ' αἰσχύνης ζωῆς οἰκτείρεται, ἐκεῖνος δὲ μακάριος τοῦ μετὰ δόξης θανάτου. Τὸ δὲ δὴ θαύματος γέμον, πάντες μὲν ἴσασι τάδε· γίγνεται δ' οὖν τὸ δεινὸν, τῆς ψυχῆς ἡμῖν τραπείσης ὑπό του δεδιττομένου. Ἀλλὰ σοὶ μὴ προπεπῶς μηδὲ ἀδίκως ἀραμένῳ τὰ ὅπλα, ὁ μετ' εὐκλείας θάνατος προτιμάσθω ἢ τοῖς πολεμίοις παραχωρῆσαι θριάμβου.

LXXXVIII.

Minime hoc tibi tantopere spectandum ne viribus adversariorum succumbas, atque ne ab iis, qui te amant, in illo præclaro dilectionis certamine superaris. Licet hostis hostem, licet adversarius alterum prostraverit, multi tamen fortunæ victoriam acceptam ferent. At illi, qui ab amantibus amando vincitur, ne quidem unus ignoverit eorum, qui recte diligere norunt. Quamobrem turpe quidem hostibus, sed turpius, amantibus inferiorem esse. Omnium vero turpissimum esse videtur, leve quiddam putare liberos. Studio laudabilium operum longo parentes ex intervallo sequantur. Et quonam pacto quis aliter de eis statuat, si, cum ferre liberi nequeant, quin hæreditate majorum suorum facultates universas adeant, virtutem eorum quasi piaculum quoddam rejecerint? Habes tam a patre, quam a ma-

Πη'.

Οὐχ οὕτω σοι προσήκει σκοπεῖν, ὅπως μὴ γένοιτο τῶν ἀνταγωνιζομένων ἐλάττων, ὥσπερ μὴ τῶν σε φιλούντων ἀπολειφθῆναι πρὸς τὴν ἀγαθὴν τῆς ἀγάπης ἅμιλλαν· κἂν πολέμιος ἐχθρὸν κατενέγκῃ, κἂν ἀντίπαλος ἕτερον, πολλοὶ τῇ τύχῃ λογιοῦνται τὴν νίκην. Ἡττωμένῳ δὲ φιλούντων οὐδ' ἂν εἷς συγγνοίη τῶν φιλεῖν ἐπισταμένων· ὥστ' αἰσχρὸν μὲν τῶν ἐχθρῶν, αἴσχιον δὲ τῶν φιλούντων ἥττω φανῆναι. Δοκεῖ δὲ αἴσχιστον πάντων κοῦφον ἡγεῖσθαι τοὺς παῖδας κατόπιν ἰέναι γονέων εἰς τὴν τῶν σπουδαίων ἔργων ἐπιμέλειαν. Καὶ πῶς τις ἄλλως κρινεῖ; εἰ τῶν ἑαυτῶν μὲν προγόνων οἱ παῖδες οὐκ ἂν ἀνάσχοιντο μὴ πάσης τῆς οὐσίας κληρονομεῖν, τὴν δὲ ἐκείνων ἀρετὴν ὡς ἄγος ἀπορρίψαιεν; Ἔχεις πολλοὺς καὶ πρὸς πατρὸς, καὶ πρὸς μητρὸς ἀγαθοὺς προγόνους. Ἔστι σοι φύσις ἀγαθὴ παρὰ θεοῦ δεδο-

Digitized by Google

μένη. Εὐλαβοῦ φύσιν ἀγαθὴν καταισχῦναι, τῷ μὴ ζηλοῦν τοὺς ἀγαθοὺς τῶν προγόνων.

A

πθ'.

Σημεῖον στρατιᾶς κακῆς, καὶ φεύγειν οὔσης ἑτοίμου, τὸ μεθημέραν ἑαυτοὺς ἀφανίζοντας, νύκτωρ ἐπιφύεσθαι τοῖς ἐχθροῖς. Μήτε γοῦν αὐτὸς νυκτὸς ἐπὶ τοὺς ἐχθροὺς ἐκδράμῃς, ἢν μὴ κατεπείγῃ χρόνος, καὶ τὸ νικῆσαι πρόδηλον ᾖ, ἢ καὶ ἕτερον εἰπεῖν, ἢν μηδ' ἐν ἐλπίσι κέηται τὸ κρατῆσαι φανερῶς, καὶ τὸ ἐπιτεταμένον τῆς μάχης ἀπειλῇ σοι θάνατον. Μήτε μὴν τῶν ἐναντίων νυκτὸς ἐφαλλομένων ἐκπλήττου. Σκότῳ γὰρ, καὶ ψόφῳ, καὶ φωναῖς ἐλπίζοντες τρέψειν, οὐ γενναιότητι ψυχῆς, οὐδὲ καρτερίᾳ, ἐπειδὰν αὐτοῖς οὐ κατ' ἐλπίδας χωρήσῃ τοὐγχείρημα, μηδενὸς διώκοντος μάλα φεύγουσι. Δεῖ δὲ πᾶν, ὃ ὄΐδωσι περιγενήσεσθαι προσδοκᾶν, εἰς τοὔμφανὲς ἄγειν τῇ στρατιᾷ, ὅπως ἂν σοι κοινωνοῦντες τῆς δόξης, ἀδεέστερον καὶ τοῦ πολέμου κοινωνήσαιεν. Οὐ μόνον γὰρ τὸ ἰσχυρὸν καὶ φοβερὸν καθ' αὐτὸ, ἀλλὰ δὴ καὶ τὸ δοκοῦν βλάπτειν εἴωθε. Τὰ πλήθη γὰρ εἰς δόξαν μᾶλλον ἢ τἀληθὲς ἀποβλέπει.

B

ϙ'.

Εἰδότι ἄν που λέγοιμι. Ἰξεύει μὲν ὁ θηρευτὴς αἰετὸν, ἀλλ' ἀπροόπτως ποιούμενον τὰς εἰς τοὺς πτόρθους καταγωγάς. Καὶ λέων μὲν ἁλίσκεται πάγαις, ἀλλ' ἀπρονοήτως βαδίζων. Κορυδαλοὶ δὲ πάγης ἀνώτεροι ὡς ἐπιτοπλεῖστόν εἰσιν, ὡς μὴ προπετῶς, μηδὲ λίχνως τῶν εἰς τροφὴν προκαλουμένων ἁπτόμενοι. Ἡ δὲ δορκὰς ἔργοις αὐτοῖς συνιστῶσα τοὔνομα, βρόχοις οὐκ εὐάλωτος γίγνεται. Καὶ πολλά γε ἕτερα πολλῷ τούτων φαυλότερα, σοφὴν ἐπιδεικνύμενα δίαιταν, τῶν ἐπιβουλευόντων καταγελᾷ. Ὥστε τοῖς ἀνθρώποις προσέχουσι μᾶλλον τῶν θηρίων ἐξέσται ἐπιβουλὰς διαδρᾶναι. Πολλῆς μὲν οὖν φροντίδος δεῖ καὶ ἰδιώταις ἀνδράσι, μόνα γε τὰ κατ' αὐτοὺς ἐνεργοῦσιν, εἰ δεῖ μὴ πειραθῆναι πολλῶν κακῶν· τοῖς δὲ λαχοῦσι προΐστασθαι ἐπιμελεῖσθαι τῶν ἄλλων τὸ πᾶν ἐν τῷ φροντίζειν ἐστὶν ὑπὲρ τῶν κοινῶν· τὸ προνοεῖν καὶ οἰκονομεῖν φυλακὴ τῶν ὑπαρχόντων ἀκριβής, τῶν οὐκ ὄντων πορισμὸς ἄφθονος, σωτηρία τῶν ὑπὸ χεῖρα, ἐχθροῖς ὀλέθριον βέλος. Τὸ δὲ μὴ προσέχειν καὶ ἀμελεῖν προκαλεῖται τὰ δεινὰ, ἐφέλκεται τὰ βλάπτοντα. Τὸ πᾶν συντόμως εἰπεῖν, διαφθείροι ἂν καὶ βουκόλῳ, καὶ αἰπόλῳ, καὶ ἱπποφορβῷ τὴν ἀρχὴν, μήτοι γε στρατηγῷ. Τοὺς γὰρ βασιλέας παρέρχομαι, τηλικοῦτον ἅρμα ἐλαύνοντας· ὧν γὰρ δὴ χρεία τοῖς ἥττοσι, πολλῷ γε μᾶλλον τοῖς κρείττοσιν.

C

D

ϙα'.

Ἰδοὺ καὶ νῦν εἰρήσεται τῶν ἀναγκαίων σοι γνῶναι. Εἰ ἐπιστημόνως τις τοῖς ἀνὰ χεῖρας πράγμασι χρῷτο, οὐδὲν κωλύσει καὶ τἀναντία εἰς ἓν τι φέρειν τῶν ἀγαθῶν. Καὶ σκόπει δή μοι τὸν λόγον. Τὸ μὲν γὰρ ἐπιλελῆσθαι τῷ μεμνῆσθαι ἐναντιώτατον· ἀλλ'

tre, multos egregios avos; habes indolem bonam, divinitus tibi concessam: cave, præclaram indolem, præclaros avos haud æmulando, dehonestaveris.

LXXXIX.

Omnino signum est exercitus ignavi, et ad fugiendum parati, si seipsos interdiu occultantes, noctu hostes adoriantur. Nec igitur ipse noctu in hostes procurreris, nisi tempus urgeat, et victoria te potiturum evidenter appareat; vel, ut aliter loquar, si nec speranda sit aperto Marte victoria, et pugnæ vehemens impetus mortem tibi minetur, nec adversariis noctu te invadentibus, animo perturberis. Nam quia tenebris, et strepitu, et clamoribus, non animi strenuitate, nec laborum tolerantia, se tuos in fugam acturos sperant, cum primum pro spe concepta conatus iste non successerit, admodum persequente nemine fugiunt. Debes autem quidquid victoriæ spem tibi pollicetur, ob oculos exercitui ponere, ut in opinionem tuam pertracti, promptius in societatem pugnæ veniant. Quippe non tantum id, quod reapse validum est, ac formidabile, verum etiam quod esse videtur, nocere solet. Nam vulgus hominum magis opinionem quam veritatem spectat.

XC.

Dicam aliquid non nescienti. Visco quidem aquilam venator capit, sed imprudenter in arborum sese ramos demittentem. Itidem leo indagine capitur, sed temere progrediens. Galeritæ vero tendicula capi plerumque nequeunt, quod non temere nec avide soleant escas attingere. Dorcas quoque nomini suo re ipsa fidem faciens, laqueis haud facile capi potest. Itidem alia multa longe his ignobiliora, vafriciæ documenta singularis edentia, rident eos, a quibus ipsis insidiæ struuntur. Quapropter si animum homines advertere velint, felicius quam ipsæ feræ, insidias evitare poterunt. Enimvero magna privatis quoque hominibus opus est cura, suas duntaxat res agentibus, ut complura mala non experiantur At iis, quibus obtigit tum aliis præesse, tum curam eorum gerere, summa rerum in sollicitudine de negotiis publicis est sita. Nimirum providere rebus, et easdem recte constituere, præsentium bonorum accurata est conservatio, et acquisitio copiosa eorum, quæ desiderantur, et subditorum salus, et hostibus exitiale telum. At secordia negligentiaque dira elicit mala, et attrahit noxia; brevibus ut totam rem complectar, hæc et bubulco, et caprario et equario regimen omne perdiderit, nedum copiarum imperatori. Quippe reges qui talem tantumque currum agunt, etiam silentio prætereo. Nam quæ res in iis, qui sunt inferiores, multo magis in potentioribus requiruntur.

XCI.

Ecce nunc quoque dicetur aliquid cognitu tibi necessarium. Si perite quis præsentibus utatur rebus, nihil impediet, quominus et illis contrariæ bonum ad aliquod tendant. Et vide mihi, quæso, rationem. Oblivisci ac meminisse, maxime contraria

Digitized by Google

sunt. At vero si ambo in loco fiant, erunt in primis bona; cæteroquin utrumque noxium. Atque hoc tibi dicto quodam explicabitur, complectente præceptionem ænigmaticam, ut mentem tuam excitet, ne leviter et summatim, quæ dicuntur, inspiciat, sed intellectum eorum studiose pervestiget. Si obliviscens eorum, quæ a tergo sunt, ulteriora contento cursu persequaris, si memor a tergo relictorum, porro se offerentia vitanda statuas, non amissis, quæ pone sunt, etiam quod persequeris, omnino assequeris, et a præteritis liberatus, facile persequentia quoque vitabis. At vice versa, quod exitiale fuerit.

A εἰ μετὰ τοῦ καιροῦ γίγνοιτο ἄμφω γε, πάνυ καλόν· ἄλλως δ' ἂν ἑκάτερον βλαβερόν. Καὶ δηλώσει λόγος ἐκεῖνος, αἰνιγματώδους παραινέσεως ἐφαπτόμενος, ὅπως σοι τὸν νοῦν διεγείρῃ, μὴ ἐπιπολαίως ὁρᾷν τοὺς λόγους, ἀλλ' ἐπιμελῶς θηρεύειν τὴν τῶνδε γνῶσιν. Ἐὰν τῶν ὄπισθεν ἐπιλανθανόμενος, τὰ πρόσω γε διώκῃς συντόνῳ δρόμῳ· ἐὰν μεμνημένος τῶν ὄπισθεν, φεύγειν βουλεύσῃ τὰ ἔμπροσθεν· οὐκ ἀπολέσας τὰ ὄπισθεν, καὶ τὸ διωκόμενον καταλήψῃ πάντως· τῶν τε φθασάντων ἀπαλλαγείς, ῥᾳδίως διαφεύξῃ καὶ τὰ διώκοντα. Τὸ δ' ἐνηλλαγμένον ὀλέθριον.

XCII.

Revera splendidum ornamentum et firma turris est taciturnitas iis, qui ea præditi sunt. Potius autem junioribus, quam qui vegetam ad ætatem pervenere, convenit. Imo et virili potius ætati convenit quam virili provectioribus. Nam quidquid ætate provectius, simpliciter ut dicam, experientia majore præstat. Et decentius dubio procul est, audire magis experientes, quam licenter rudiores garrire. Loquendi sane tempus hoc esse arbitror, cum respondendum est, cum crimine asperso suscipienda defensio, vel de re quapiam docendus alius, recte docentibus cognita, dicentisque dignitati conveniente; quæque prolata, fructum aliquem attulerit, silentio pressa, nocuerit. Cæteroqui vero quiescere præstat, uti philosophus ille medicus dixit.

ΚΒ'.

B Ἡ σιωπὴ κόσμος λαμπρὸς, πύργος ἰσχυρὸς κεκτημένοις. Προσήκει δὲ νεωτέροις μᾶλλον ἢ τοῖς εἰς ἀκμὴν ἀφιγμένοις. Εἰ δὲ βούλει γε, καὶ τῇ τῶν ἀνδρῶν ἡλικίᾳ προσήκει μᾶλλον ἢ ταῖς ὑπερβεβηκυίαις τὸν ἄνδρα. Τὸ γὰρ δὴ πρεσβύτερον, ἁπλῶς εἰπεῖν, ἐμπειρότερον. Καὶ ἔστιν ἀτεχνῶς εὐπρεπέστερον ἐμπειροτέρων ἀκούειν, ἢ παῤῥησιάζεσθαι τοὺς ἀπειροτέρους. Οἶμαι δὴ καιρὸν εἶναι τοῦ λέγειν, ὅταν ἀποκρίνασθαι δέῃ, ὅταν ἀπολογηθῆναι διαβαλλόμενον, ἢ τι διδάσκειν τὸν ἕτερον. Καλῶς γε τοί διδάσκουσι γιγνωσκόμενον, τῷ σχήματί τε πρέπον τοῦ λέγοντος, καὶ ὃ λεχθὲν ἂν ὠνησε, σιωπηθὲν δὲ ἔβλαψεν. Ἄλλως δὲ ἡσυχίαν ἄγειν βέλτιον, κατὰ τὸν φιλόσοφον ἰατρόν.

XCIII.

Ante res alias pulcherrimum quid est, in omnibus nosse quid præstet, ac facultatem habere præclare dicendi, et ea facultate multum videri ad persuadendum posse, rerumque pulcharum amorem sapienter animis indere. Sed tamen eum, qui norit, et verbis exponit meliora, sponte deteriora facere, nec dictu, nec cogitatu mihi quidem facile videtur, quanti res ea dedecoris plena sit. Nam turpe quiddam est, malum facinus, quocunque modo fiat: turpius, non ignoranter admissum scelus: longe turpissimum, eum, qui docet alios, quid æquum rectumque sit, aliorumque vitam corrigere potest, seipsum correctionis expertem relinquere. Omnem hoc excusationem tollit.

C

ΚΓ'.

Κάλλιστον εἰδέναι τὸ βέλτιον ἐπὶ τῶν ἁπάντων, καὶ δύναμιν ἔχειν καλῶς εἰπεῖν, καὶ πιθανὸν ταύτῃ δοκεῖν, καὶ τὸν τῶν καλῶν ἔρωτα σοφῶς ψυχαῖς ἐμφυτεύειν. Εἰδότα δ' οὖν, καὶ λέγοντα τὰ βελτίω, τὰ χείρω πράττειν ἑκόντα, οὔτ' εἰπεῖν, οὔτ' ἐννοῆσαι ῥᾴδιον ἐμοὶ φαίνεται, ὅσης αἰσχύνης μεστόν ἐστιν. Αἰσχρὸν μὲν γὰρ πρᾶξις κακὴ, ὅπως ποτ' ἂν γένοιτο· αἴσχιον δὲ τὸ κακὸν, οὐκ ἀγνοίᾳ γινόμενον· αἴσχιστον μεθ' ὑπερβολῆς τὸ τοὺς ἑτέρους διδάσκοντα τὸ προσῆκον, καὶ βίου ἄλλων ὀρθοῦν δυνάμενον, αὐτὸν τηρεῖν ἀδιόρθωτον. Τοῦτο πᾶσαν παραίτησιν ἀναιρεῖ.

D

XCIV.

Temperatæ ingenio doctrinæ nihil æquiparandum venit, nihil ingenio melius, quod doctrina collustratum est. Nam et alterutrum per se pulchrum et optabile quid fuerit: at vero si ambo cocant in unum, babæ! quam admiranda, quam egregia, quam præstans conjunctio. Animum ea purum puriorem efficit; sordibus refertum, facile abluit; adeoque tam animo, quam pari huic usuvenit, quod capiti et ambabus manibus. Nam altera quidem alteram abstergit, cum eam ad rem et aqua et mappa, et nitro sit opus: faciem vero, et caput, totumque præterea corpus, manus ambæ nitidum

ΚΔ'.

Οὐδὲν σοφίας ἀντάξιον, εὐφυΐᾳ συγκραθείσης· οὐδ' εὐφυΐας ἄμεινον σοφίᾳ λελαμπρυσμένης. Ἑκάτερον μὲν γὰρ καλὸν καὶ ζηλωτὸν ἂν εἴη· εἰ δὲ συνέλθοιεν ἄμφω, βαβαὶ τῆς συζυγίας! ὡ; θαυμασία, ὡ; ἀγαθὴ, ὡς ἀρίστη! Καθαρὰν μὲν οὖσαν τὴν ψυχὴν, καθαρωτέραν ἐμφαίνει· ῥύπου δὲ πεπληρωμένην, ἀποπλύνει ῥᾳδίως. Καὶ συμβαίνει τῇ ψυχῇ καὶ τῇ ξυνωρίδι ταύτῃ, ὅ γε δὴ τῇ κεφαλῇ καὶ ταῖν χεροῖν ἀμφοτέραις· ἡ γὰρ ἑτέρα τὴν λοιπὴν ἀποσμήχει, ὕδατί τε, καὶ ἐκμάκτρῳ καὶ νίτρῳ γέ που δεῆσαν. Πρόσωπον δὲ καὶ κεφαλὴν, καὶ πρός γε ἔτι πᾶν σῶμα, ἀμφότεραι καθαίρουσιν αἱ χεῖρες. Ὕδωρ δὲ, καὶ ἔκμακτρον, καὶ

Digitized by Google

νίτρον εἶναι λογίζου εὐφυΐας, καὶ σοφίας, καὶ ψυχῆς, A πρᾶξιν, σπουδήν, καρτερίαν.

reddunt. Aquam autem, et mappam, et nitrum esse cogitabis ingenii, doctrinæ animi actionem, studium, assiduitatem.

ΚΕ'.

Στοχάζου μοι τοῖς φθάσασι καὶ τοῖς παροῦσι τῶν μελλόντων· καὶ λεῖον μέν σοι τὸν καιρὸν ἔσεσθαι προσδοκῶν, ὅπως μὴ τραχύτερον ἀποφήνῃς, ἀμελὴς γενόμενος ταῖς χρηστοτέραις ἐλπίσιν, ὅπερ οἱ πολλοὶ πάσχουσι· δυσχερῆ δὲ καὶ προσάντη τὰ πράγματ' ὑποπτεύων, πειρῶ συναιρομένου τοῦ κρείττονος μεταβαλεῖν εἰς τὸ βέλτιον, ψυχῆς θερμότητί τε καὶ ἐδραιότητι, καὶ προσέτι λογισμοῖς συνέσει κεκινημένους, δι' ὧν πολλαῖς ἐξεγένετο ἀφύκτων ἀπαλλαγῆναι. Χαίρειν δὲ πολύποσιν ἀνθρώποις καὶ χαμαιλέουσι φράσας, αὐτὸς ἄξιον φαίνεσθαι ὁ αὐτὸς ἐν ἅπασι τοῖς καιροῖς· καὶ μὴ μεταβαλλομένοις τούτοις B συμμεταβάλλεσθαι πρὸς ὅ τι ἂν μεταβληθεὶς χείρων δόξῃς. Οὕτω δὲ διατεθεὶς, καὶ οὕτως ἔχων γε γνώμης, πειρῶ φέρειν, ὅπερ ἂν ὁ Θεὸς διδῷ, γενναίως.

XCV.

Oportet ex præteritis et præsentibus de futuris conjecturam te facere. Cumque placido te fruiturum tempore speras, cave faxis acerbius, negligens ob spem meliorem factus, quod compluribus accidere solet. At cum immittere difficilia suspicaris, arduaque negotia, divino juvante numine, in melius ea commutare nitere, tum fervido impetu constantiaque animi, tum etiam profectis a prudentia cogitationibus, per quas inevitabilibus malis liberari pluribus contigit. Illis autem hominibus, qui polypi sunt et chamæleontes, valere jussis eumdem ipse cunctis temporibus exhibere te velis, nec cum eis, quoties mutantur, una mutari : præsertim si mutatione secuta, deterior esse factus videberis. Sic autem affectus, atque hoc animo præditus, enixe dabis operam, ut quid Deus dederit, fortiter feras.

ΚϚ'.

Μᾶλλον ἀνόητός ἐστιν, εἰ καὶ παράδοξον εἰπεῖν, τοῦ μὴ εἰδότος τι χρηστὸν, μηδὲ ἐνεργοῦντος, ὁ πάντα μὲν εἰδὼς, ἃ χρὴ, μηδὲν δὲ τῶν δεόντων ἐργαζόμενος. Ἄτοπον γὰρ ἐπιεικῶς, ἐπιστάμενον καλῶς ὅ τι συνοίσειν οἷόν τε, ἐργάζεσθαι τὰ βλάπτοντα. Σωφρονοῦντος γὰρ ἀνδρὸς, τὸν ὀλισθον εἰδότα, ἀποπηδᾷν· καὶ μελαγχολίαν νοσοῦντος κατ' ἄγνοιαν παραπαίειν. Τὸ δὲ ἑκόντα τοῦτο ποιεῖν, καὶ παρὸν ἀπαλλαγῆναι, μὴ βούλεσθαι, πῶς οὐκ αἰνίγ- C ματι ἔοικε ; Καὶ κρείττονος τοῦ λύσοντος τὸ ἄπορον ἡμῖν δεῖται ἢ κατὰ τὸν πάλαι Οἰδίποδα. Τὸν γὰρ μὴ δυνάμενον γνῶναι κἂν ἐχθρὸς ἠλέησεν ἁμαρτήσαντα. Ὃς δ' ἂν γευσάμενος τοῦ χρηστοῦ, ἔπειτ' αὖθις αὐτὸν ἐκδοίη φαύλοις πράγμασιν (οὐχ ἧττον δὲ περὶ ἐμαυτοῦ λέγω ἢ περὶ πάντων ἀνθρώπων), κἂν αὐτὸς αὐτὸν εἰκότως μισήσειεν. Οὐ πρὸς ἀνδρὸς οὖν ἀγαθοῦ εἰδέναι καὶ διδάσκειν, ἃ χρὴ, ἔπειτ' ἀποφαίνειν αὐτὸν, οἷς οὐ χρὴ, δουλεύοντα.

XCVI.

Res quidem auditu nova et insolens, sed tamen eo, qui nec boni quidquam novit, nec facit, stolidior is est, qui novit omnia quæ scire convenit : at nihil eorum, quæ fieri par erat, facit. Etenim satis absurdum est, eum qui recte sciat, quidquid expedire possit, noxia facere. Viri namque prudentis est, si quid lubricum norit, ab eo resilire, sicut ejus, qui melancholia laborat, per ignorationem delirare. At vero consulto id facere, cumque desistere liceat, nolle, quo pacto non ænigmati quiddam est simile ? Subtiliore quidem nobis opus est interprete, ad dissolvendum hoc dubium, quam priscus ille fuerit Œdipus. Hominis enim judicio cognitioneque destituti, si lapsus sit, vel hostis misertus fuerit. At qui degustato bono deinde se ipsum rursus pravis rebus addixerit (nec minus de me ipso quam mortalibus universis loquor), is vero non abs re sibimet ipsi odio fuerit. Quamobrem viri boni non est, tum nosse, tum docere quæ oportet, ac deinde se ipsum exhibere servientem iis, quibus haud par erat.

ΚΖ'.

Ἤν τις ἰσχυρίζηται τῶν ἀνθρώπων, ἃ γε χρὴ ποιεῖν ἐγνωκέναι, ἔπειτα μὴ φαίνηται ταῦτα πράττων, ἢ ψευδόμενός ἐστιν, ἢ πρὸς βλάβην ἑαυτοῦ τὸ γνῶναι κεκτημένος. Καὶ πάντας μὲν ἂν ἔχοιμι πρὸς D τοῦτο συμφθεγγομένους· ἆρει δὲ καὶ τὸν Σωτῆρα τοῦτ' ἀποφαινόμενον ἀριδήλως, τῷ λέγειν, μέλλειν δαρήσεσθαι τὸν ὀλίγα γνώσει προσκεκρουκότα μᾶλλον τοῦ τὰ μείζονα κατ' ἄγνοιαν ἐπταικότος. Ὥσθ' ὁ τὸ καλὸν καλῶς εἰδὼς, καλῶς δὲ τοῦτο μὴ πράξας, ἐζημίωται τῷ γνῶναι. Καὶ ταύτην τὴν γνώμην οὐκ ἔστι παραλογίσασθαι, οὐδ' ἣν συνέλθῃ τῇ σοφίᾳ τῆς γῆς ἁπάσης ἡ τῶν ἀγγέλων ἁπάντων. Θεόθεν γὰρ ἡμῖν ἐστιν ἐξενηνεγμένη, ὅλῳ καὶ παντὶ τῷ γιγνομένῳ κεκοσμημένη. Στενὰ δὲ τὰ ἡμέτερα ἑκατέρωθεν. Ἥ τε γὰρ ἀβελτηρία κακὸν, ἥ τε γνῶσις φοβερὸν, οὐ μικρὸν τὸν κίνδυνον ἡμῖν ἐξαρτῶσα.

XCVII.

Esse sibi cognita si confirmet aliquis hominum, quæ faciunda sint, interimque non appareat, hæc eum factis præstare, vel mendax est, vel suum ad detrimentum ea cognitione præditus. In ea re nemi nem mihi non assensurum putem. Sed vide pronuntiantem hoc Servatorem quoque nostrum claris verbis, cum ait, vapulaturum magis eum, qui sciens prudens offenderit, quam qui majora per ignorantiam admiserit. Quo efficitur, ut qui, quod bonum est, recte novit, nec tamen id recte facit, per ipsam cognitionem damno quodam affectus sit. Atque hæc sane sententia perverti prave ratiocinando nequit, etiamsi cum universa terrestri angelorum omnium sapientia coeat. Divinitus enim prolata nobis est, omni æquitate condecorata. Res interim nostræ in artum utrinque coguntur. Nam et imperitia malum quid est, et cognitio, formidabile, cum periculum ex ea non exiguum nobis impendeat.

Digitized by Google

XCVIII.

Sciunt omnes, ipsum per se vivere bonum esse. Verum alio quodam modo vita morte deterior invenitur, quæ scilicet ætatem unam cum alia mutans, quasique proficiens, animi bona diminuit. Itidem turpe, capillos quidem albari, sed animum denigrari. Solent autem hæc usuvenire, quando cum ætatibus ipsa vivendi ratio non sumit incrementum. Magnæ quidem infamiæ plena res est, hominem maturum et senem, in morem pueri sese gerere. Et omnino deterius sapere, quam ætas, qua quisque est, postulat, nec honestum est nec bonum, nec laudabile. Quapropter si vitam gloriamque veram appetis, quo tibi servire nostram hanc orationem arbitror, fac vita tua concessæ tibi divinitus ætati respondeat.

XCIX.

Tam pulvere, quam spiritu, rebus diversis, cum constemus homines, quasique duplices (uti quidem videtur) simus : parti viliori præstantiorem subjicimus, nulloque in pretio potiorem illam habemus. Digna vero vituperio res, ne quidem a nobis pari ratione cum carne mortali, quæ pulvis a Deo formatus est, immortalem animum, rem divinitus inspiratam, in honore haberi. Verum scientes esse vitium hoc ignorantiæ plenum, magnique detrimenti causam præbere, quod nulli est usui corpus, ut oraculi divini verbis utamur, tenuiter modiceque foveamus, ne spiritum illum vivificum quasi morte multemus. Nam in repugnantibus universis, si alterutri quid accidat, in altero diversum quid sequitur : et carne bene curata, spiritum languescere necesse est. Sunt enim hæc repugnantia.

C.

Obtinendæ tam in hac vita, quam in altera, coronæ, vis perpaucorum verborum facillime suffecerit. *Deflecte a malo*, inquit divus ille Davides, *et fac bonum*. Quid huic sententiæ par esse possit? quid utilius? quid expeditius? O spiritualem sapientiam, o singulare mentis acumen in eo, qui hujus auctor est sententiæ, quæ quidem perfecta perfectis a perfecto est tradita. Nimirum is mente præditus est, qui cum se pulverem norit, terræque matri debitum esse persolvendum, Davidi obtemperans, resipiscentia mortem antevertet : vitiositate omni exuta, bonisque operibus, ad quæ conditi sumus, opifice rerum placato. Tu quidem, charissime fili, utrumque faciens, ob neutrum elatum te unquam gerito : ne tibi, Pharisæum illum, qui virtutem colebat ille quidem in moribus, sed nequaquam modestus esse dicerat, male imitato, multis egregie parta sudoribus, quemadmodum et ipsi usuvenit, levi momento adimantur.

ΚΗ'.

Τὸ ζῆν αὐτὸ καθ' αὐτὸ καλὸν, καὶ πάντες ἴσασι τοῦτο. Ζωὴ δὲ τρόπον ἕτερον θανάτου χειρων εὑρίσκεται, ἣ τὰς ἡλικίας ἀμείβουσα, καὶ οἱονεὶ προκόπτουσα, τὰ τῆς ψυχῆς μειοῖ πλεονεκτήματα. Αἰσχρὸν δὲ καὶ τὴν τρίχα λευκαίνεσθαι, τὴν δὲ ψυχὴν μελαίνεσθαι. Ταυτὶ δὲ πέφυκε γίγνεσθαι, ὅταν μὴ συναύξηται ταῖς ἡλικίαις ὁ βίος· ὡς πολλῆς αἰσχύνης γέμον ἀνδρὶ τελείῳ καὶ γέροντι τοῖς τοῦ παιδὸς πολιτεύεσθαι. Ὅλως δὲ χείρω φρονεῖν τῆς ἐν ᾗ τίς ἐστιν ἡλικίας, οὐ καλὸν, οὐκ ἀγαθὸν, οὐκ ἐπαινετόν. Εἰ γοῦν ἀληθῶς ζωῆς καὶ δόξης ἐπιθυμεῖς (ταυτὶ δὲ τοῦτον τὸν λόγον ἁρμόττειν οἶμαι), πάρεχε βίον κατάλληλον τῷ παρὰ Θεοῦ δεδομένῳ σοι χρόνῳ.

ΚΘ'.

Ὡς ἔοικε, διπλοῖ τινες ὄντες οἱ ἄνθρωποι ἐξ ἐναντίων, χοὸς καὶ πνεύματος, τῷ φαυλοτέρῳ τὸ κρεῖττον ὑποτάττομεν, παρ' οὐδὲν τὸ κρεῖττον θέμενοι. Οἷον δὲ πρὸς μέμψεως λόγον, μηδὲ γοῦν ἐν ἴσῳ θνητῆς σαρκὸς, θεοπλάστου κόνεως, ψυχὴν τιμᾶν ἀείζωον, χρῆμά τι θεόπνευστον. Ἀλλ' ἀγνοίας γνόντες γέμον τουτὶ τὸ πάθος, καὶ πολλῆς ζημίας παραίτεον, ὀλίγα περιθάλπωμεν τὸ μηδὲν ὠφελεῖν δυνάμενον σῶμα, κατὰ τὸν θεῖον εἰπεῖν χρησμόν· ἵνα μὴ τὸ ζωογονοῦν ὥσπερεὶ νεκρὸν ἀποφαίνωμεν πνεῦμα. Ἐπὶ γὰρ τῶν ἀντικειμένων ἁπάντων, ἂν θατέρῳ τι ξυμβῇ, θατέρῳ τοὐναντίον ἀκολουθεῖ· καὶ τῆς σαρκὸς εὐεκτούσης, νοσεῖν ἀνάγκη τὸ πνεῦμα. Ἀντίκεινται γὰρ ἀλλήλοις.

Ρ'.

Ῥημάτων ὀλίγων δύναμις ῥᾷστα ἂν ἀρκέσειεν ὧδε κἀκεῖ στεφανῶσαι. *Ἔκκλινον ἀπὸ κακοῦ*, φησὶν ὁ θεῖος Δαβὶδ, *καὶ ποίησον ἀγαθόν*. Τί τῆς γνώμης ταύτης γένοιτ' ἂν ἴσον; τί ὠφελιμώτερον; τί ταχύτερον; Ὦ πνευματικῆς σοφίας! ὡ φρενῶν ὀξύτητος τοῦ δεδωκότος τὴν γνώμην, τελείαν τελείοις παρὰ τελείου γεγενημένην! Νοῦν ἄρ' ἔχων οὗτός ἐστιν, ὃς εἰδὼς, ὡς ἔστι χοῦς, καὶ δεῖ τὸ χρέος ἀποδοῦναι γῇ τῇ μητρὶ, τῷ Δαβὶδ πειθόμενος, φθάσει μετανοίᾳ τὸν θάνατον· πᾶσαν μὲν κακίαν ἐκδὺς, χρηστοῖς δὲ ἔργοις, ἐφ' οἷς ἐπλάσθη, ἵλεων τὸν πλάστην ἐργασάμενος. Καὶ δὴ ποιῶν ἀμφότερα, μηδὲ δι' ἕτερον ἐπαιρόμενος φάνηθί ποτε, φίλτατε· ἵνα μὴ τὸν Φαρισαῖον ἐκεῖνον, τὸν ἀσκοῦντα μὲν τρόπων ἀρετὴν, μηδαμῶς δὲ μετριάζειν μεμαθηκότα, κακῶς ζηλώσας, τὰ πολλοῖς ἱδρῶσι κατωρθωμένα σοι πάνυ ῥᾳδίως ἁφαιρεθῇς, ὥσπερ κἀκείνῳ συμβέβηκεν.

Digitized by Google

MANUELIS PALÆOLOGI

AD JOANNEM FILIUM

ORATIONES VII ETHICO-POLITICÆ.

Α'.

Λόγος προτρεπτικὸς εἰς λόγους, καὶ περὶ ἀρετῆς καὶ ἀγαθοῦ ἄρχοντος.

Τοῦ καλῶς ἐπίστασθαι λέγειν οὐδὲν ἂν γένοιτο λυσιτελέστερον ἄρχουσιν ἐθέλουσιν ἀγαθοῖς εἶναι, νοῦ τε βάρος ἔχουσι, καὶ πρὸς τὸ κοινῇ συνοῖσον ὁρῶσι, τῶν τε ἀγαθῶν ἐρῶσι, καὶ μηδὲν τῆς ἀληθείας προτιμῶσι. Τοῦτο τουτοισὶ τοῖς ἀνδράσι κρεῖττον ἀτεχνῶς ἢ πλουτεῖν, καὶ τοὺς τοῦ Κροίσου θησαυροὺς εἰς ἀσφαλείας λόγον πολὺ νικῶν, ἰσχυρότερον τῆς Ξέρξου πολυχειρίας, σφενδόνης Γύγου τῆς μυθικῆς σὺν τῷ καλῷ βιαιότερον· καὶ ὅλως τούτων ἀνυσιμώτερόν τε καὶ τιμιώτερον, ὅσον οὐδ' εἰπεῖν ἂν εἴη τῶν εὐχερῶν. Σκοπῶμεν δὴ τῶν εἰρημένων ἀνδρῶν ἕκαστον, καὶ τί ποτε δεδύνηνται κατορθῶσαι, δι' ὧν γε νενομίκασι μέγα τι καὶ γενναῖον δυνήσεσθαι δεδρακέναι. Ἔπειτα τὸν λόγοις εὐδόκιμον τουτοισὶ παραβάλωμεν, ὄντα γε καὶ τἄλλα τοιοῦτον ἄρχοντα, οἷον εὐθὺς ἐπροοιμιασάμεθα. Καὶ γὰρ τῇδέ πῃ διακρίνοντας, οὐκ εἶμαί γε ῥᾳδίως ἡμᾶς ἐξαμαρτήσειν τῆς ἀληθείας. Ὁ μὲν οὖν πολὺς ἐκεῖνος χρυσὸς τὸν ἐπ' αὐτῷ μέγα φρονοῦντα Κροῖσον ψευσθέντα τῶν ἐλπίδων ἀπέφηνε, καὶ γέγονεν ἀντικρυς αὐτῷ συκίνη ἐπικουρία ἡ ἐπὶ χρήμασιν ἐλπίς, οὑτωσὶ νεκροῖς κειμένοις δι' ἀχρηστίαν. Καὶ μὴν καὶ διὰ τοῦτον ἀπόλωλε πρὸς τῷ μηδὲν κατωρθωκέναι τῶν κατ' ἐλπίδα. Καινὸν δὲ οἶμαι μηδὲν, μηδὲ ἀπεικὸς, εἰ περιέστηκεν αὐτῷ πρὸς τοὐναντίον ἡ δόξα, μηδαμῶς ἐπ' ἀρετῇ, ἀλλ' ἐπὶ μετάλλοις τεθαρρηκότι. Ταυτὶ γὰρ τοῖς χρωμένοις αὐτοῖς, ὡς χρὴ, μετ' ἐπιστήμης ἀνδρὶ πρεπούσης δοκεῖ τι κάλλιστον εἶναι τῷ βίῳ τούτῳ. Εἰς τοῦτ' αὐτῷ δὲ μόνον ὁρῶσι, τὸ θησαυρίζειν, καὶ εὐδαιμονίαν καὶ τέλος τοῦτο νομίζουσιν, ὑπηρέτης ἀπωλείας ὁ πλοῦτος, καὶ μεγίστων ὀνειδῶν αἴτιος. Ὁ δέ γε καὶ πρὸ τοῦ Θεοῦ τὸ θησαυρίζειν οἶμαι τιθεὶς, καὶ εἰς μόνον τὸν χρυσὸν ἀνηρτημένος ὑπάρχων, χρυσὸν ἐκεῖνον τὸν ἐοικότα λίθοις, τοῖς ὑποκεκαλυμμένοις συχνοῖς ὕδασιν, εἴ πρὸς οὐδὲν ὀνήσουσιν, εἰ μή που καὶ γένοιντο ναυαγίων σίτιοι, ἠλαζονεύσατο πᾶν ἀνύσειν. Τοὺς γὰρ τῆς ψυχῆς ὀφθαλμοὺς ἀμβλυώττων ὁ Κροῖσος τῷ τῆς φιλαργυρίας νοσήματι, πορρωτέρω τῶν παρὰ πόδας κειμένων οὐκ ἐδύνατο βλέπειν. Ὅθεν δὴ καὶ τὸ κατορωρύχθαι πολὺν αὐτῷ χρυσὸν σωτηρίαν, καὶ τρυφὴν, καὶ βασιλείαν ἐνόμιζε. Καὶ πολὺς ἦν διὰ τοῦτο κατὰ πάντων ἐπαιρόμενος, καὶ μηδαμῶς κοιμώμενος, μηδὲ κραιπαλῶν οἴνῳ, μονονοὺ παρεφθέγγετο· καὶ ταῦ-

I.

Oratio hortatoria ad eloquentiæ studia, deque virtute ac bono principe.

Qui boni esse principes volunt, et mentis aliquod pondus habent, qui publicam spectant utilitatem et bonarum rerum amantes, nihil veritate ducunt antiquius, iis nulla res usui magis esse potest, quam recte loquendi scientia. Potius enim hoc eis est, omnem extra controversiam, quam opum copiæ; præsidii plus habet quam Crœsi regis thesauri; plus roboris, quam immensus ille Xerxis exercitus: plus virium, cum honesto, quam Gygis illa fabulosa pala: denique tanto his et efficacius et majoris est pretii, quantum ne dicendo quidem explicari facile possit. Et consideremus sane quemlibet horum, quos diximus, quæque vis earum rerum fuerit, quibus illi rebus se patrare magnum quoddam ac nobile facinus posse putarunt. Deinde nostris hisce commendatum orationibus ad eos comparemus, principem cætera quoque talem, qualem statim ab initio delineavimus. Quippe si hoc quodam modo examen instituatur, haud facile nos a vero aberraturos arbitror. Ingens igitur illa vis auri, magnos ob eam gerentem animos Crœsum exspectatione sua frustratum elusit, quamque spem posuerat in pecunia, quæ nulli quod esset usui, mortua quasi jacebat, ea plane ficulnum ei præsidium fuit. Imo propter hoc ipsum aurum, præterquam quod nihil eorum perfecit, quæ spe destinaverat, etiam periit. Neque vero novum aut absurdum, mea quidem sententia, rem aliter cecidisse, quam illius erat opinio, qui fiduciam non in virtute, sed metallis collocaverat. Nam illa recte utentibus, ceu par est, eaque cum prudentia, quæ virum decet, pulcherrimum vitæ hujus ornamentum esse videntur. Qui vero solam thesaurorum collectionem respiciunt, eamque tum felicitatem, tum finem ipsum statuunt, iis opes ad interitum serviunt, infamiæque maximæ causam præbent. At Crœsus ille noster, qui majorem congerendarum opum, quam ipsius, ut arbitror, Dei rationem habebat, et a solo pendebat auro, illo inquam auro, quod iis erat simile lapidibus, qui profundis in aquis abditi, nullam ad rem sunt utiles, nisi fortasse naufragiis ut occasionem præbeant, omnia se perfecturam gloriabatur. Nam quod oculis animi cæcutiret, ob avaritiæ morbum, remotiora, quam quæ ante pedes erant sita, prospicere non poterat. Quo fiebat, ut immensam auri vim defossam, pro salute

Digitized by Google

pro deliciis, pro regno duceret. Ob hanc causam adversus omnes nimium quantum tumens, nec ullam capiens quietem, nec vino se inebrians tantum in sermone delirabat : et illo quidem cum viro colloquens, qui veram ad felicitatem aurum non nisi pro ludibrio habebat, etiamsi quis integra saxa in aurum conversa, ejus ad pedes abjecisset. Erat hic Atheniensis ille legislator, cui nomen Solon, quem homines admirabantur Athenis illis aureis, quæ plenæ id temporis admirabilibus viris erant. Et qui non æquum erat, omnes illum admirari ? Nam inter tot præclaros et egregios viros, qui referti copia plurium honestarum bonarumque rerum essent, unum aliquem quocunque modo cæteros anteisse, parum abest, quin fidem superare videatur. Hic tamen et inter illos, secundum Deum, venerabilis erat, non quod aurum possideret, ac suppeditaret. Non enim abundabat auro, nec argentum habebat in pretio, nisi recte colligeretur, et melius expenderetur, et in loco utrumque fieret. Quippe nec ipse, nec illi quos dicto audientes habebat, tantopere putabant expetendas illas auri massas, quarum sane mancipium cum Crœsus esset, pro domino se gerebat. Unde nec curæ Soloni fuit, ut artem aliquam civibus suis inveniret, qua omnino ditescerent : non hanc metallicam, nec illam, opinor, cui ab auro conficiendo nomen est datum. Non has ob res vir optimus ab optimis viris, maximus a maximis habebatur, et nunc quoque cunctis fuisse videtur : sed quod præter alia multa præclaraque facta, quæ præcesserant, leges bonas civibus omnimodo bonis tulerit. Tanto vero præstiterunt opere priscis legibus ab ipso factæ, quanti venit æstimandum, quod hæ postremæ fuerint, et æternum civitati duraverint. Nam visæ sunt illis, quibus erant latæ, publicis ipsorum ornamentis, quanquam ea civitatum aliarum ornamenta superarent, longe illustriores, ipsaque arce, quam munitiorem cæteris ubique terrarum existimabant, insigniter munitiores, longo denique intervallo rebus illis, quibus se jactabant, meliores. In hunc ergo modum Solon sapientiæ culmen attigit, quod ea præ quovis auro in pretio haberetur. At Crœsus adeo tenulentus ex illo vitio suo, animadvertere non potuerat, qualis ille vir esset, et apud qualem hominem gloriaretur. Quos enim vitium hoc semel occupat, eorum animis quamdam sui perpetuam sitim instillat : quam illud ipsum, quod percipitur, nunquam non magis ac magis augens, uti materies ignem et flammam, mentes correptorum hoc morbo vitiat ; quippe fieri nequit, ut qui æger est animo, mente sanus sit. Id etiam Crœso usuvenit. Argumento est, quod Solonis ad ipsum monitus consiliaque respuerit, quæ vel Ulysses, vel Nestor, vel quivis alius, civili sapientia longe cæteris præstans, merito reveritus, meo quidem judicio, fuisset, ac suismet decretis anteposuisset. At Crœsus non ita ; sed tantum non ridere senem, spesque de pecuniis prorsus inutilibus conceptas, et vanas quidem, ducere potiores admonitionibus reapse aureis, quæque salutis et gloriæ paran-

A τά γε, πρὸς ἄνδρα διαλεγόμενος ᾧ γε πρὸς εὐδαιμονίαν τὴν ἀληθῆ γέλως ἦν σαφὴς ὁ χρυσός, εἴ τις δὴ καὶ λίθους ὅλους τέχνῃ χρυσοῦς ἐργασάμενος, φέρων ἐτίθει τούτῳ πρὸ τῶν ποδῶν. Νομοθέτης Ἀθηνῶν οὑτοσὶ, Σόλων προσαγορευόμενος ἦν, ἐν ταῖς χρυσαῖς Ἀθήναις θαυμαζόμενος, θαυμαστῶν τῷ τηνικαῦτα γεμούσαις ἀνδρῶν. Καίτοι πῶς οὐκ ἄξιον πάντας θαυμάσαι ; Τὸ γὰρ ἐν τοσοῖσδε καλοῖς τε καὶ ἀγαθοῖς ἀνδράσιν, ἐμπεπλησμένοις πολλῶν καλῶν τε καὶ ἀγαθῶν, ἕνα τινὰ καθ' ὁτιοῦν τοὺς ἄλλους ὑπερελάσαι μικροῦ δεῖν κινδυνεύει παρέχειν διαπιστεῖν. Ἀλλ' οὗτός γε καὶ ἐν αὐτοῖς μετὰ τοῦ θείου σεβάσμιος, οὐ τῷ χρυσὸν κεκτῆσθαι καὶ χορηγεῖν. Οὐδὲ γὰρ ἦν ἐκείνῳ πολὺς χρυσὸς, οὐδέ γε προὔργου τἀργύριον, εἰ μὴ καλῶς ἀθροίζοιτο, καὶ κρεῖττον ἀναλίσκοιτο, καὶ ἑκάτερον σὺν τῷ καιρῷ γίγνοιτο. Οὔτε γὰρ αὐτῷ τἀνδρὶ, οὔτε μὴν τοῖς πειθομένοις αὐτῷ, οὕτω περισπούδαστον ἦν τὰ τοῦ χρυσοῦ ψήγματα, ὧν ὁ Κροῖσος δοῦλος ὤν, ἡγεῖτο κύριος εἶναι. Ὅθεν οὐδὲ μηχανὴν ὁ Σόλων ἐξεζήτησεν εὑρηκέναι τοῖς πολίταις τοῖς αὑτοῦ πρὸς τὸ δυνηθῆναι χρηματίζεσθαι πάντα τρόπον· οὔτε ταύτην δή φημι τὴν μεταλλικὴν, οὔτε μὴν τὴν οἶμαι χρυσοποιικὴν καλουμένην. Οὐκ ἄρα διὰ ταῦτα ἄριστος ἀρίστοις, καὶ μέγιστος μεγίστοις ἀνὴρ ἀνδράσι νομίζοιτο, καὶ νῦν γε πᾶσιν ἔτι δοκεῖ· τῷ δὲ νόμους ἀγαθοὺς ἐπὶ πολλοῖς τε καὶ καλοῖς ἐφθακόσι πολίταις πάντα ἀγαθοῖς τεθεικέναι. Τοσούτῳ δὲ ὑπερήλασαν τοὺς πρεσβυτέρους οἱ παρὰ τοῦδε γεγενημένοι, ὅσῳ τελευταίους αὐτοὺς γενέσθαι, καὶ διαιωνίσαι τῇ πόλει. Ἔδοξαν γὰρ τοῖς, δι' οὓς ἐγένοντο, κόσμου μὲν τοῦ παρ' αὐτοῖς δημοσίου, καίτοι γε πλεονεκτοῦντος τῶν ἐν ἄλλαις πόλεσι, κομιδῇ περιφανέστεροι· αὐτῆς δὲ ἀκροπόλεως, τῆς αὐτοῖς νομιζομένης ἀσφαλεστέρας τῶν ἁπανταχοῦ γῆς, ὑπερφυῶς ἀσφαλέστεροι· καὶ ὅλως γε βελτίους τῶν, οἷς ἐφρόνουν, πολλῷ τῷ μέσῳ. Οὕτω μὲν οὖν οὗτος ἀνὴρ προὔβη πρὸς ἄκρον σοφίας, τῷ τιμᾶσθαι ταύτην παντὸς χρυσίου· οὕτω δὲ μεθύων τῷ πάθει Κροῖσος, οὐχ οἷός τ' ἦν οἰσθάνεσθαι, οἷος ὢν ἐκεῖνος τυγχάνει, καὶ πρὸς οἷον ἐπεδείκνυτο. Τουτὶ γὰρ δήπου τὸ πάθος ὧν ἂν καθάπαξ κρατήσειε, τούτων ταῖς ψυχαῖς ἐντήκει ἑαυτοῦ διηνεκῆ τινα δίψαν· ἦν τὸ μετεχόμενον ἀειδήποτε προσαῦξον, ὡς ὕλη πῦρ τε καὶ φλόγα, ταῖς τῶν ἑαλωκότων φρεσὶ λυμαίνεται. Οὐ γὰρ ἔστι νοσοῦντα τὴν ψυχὴν ὑγιῶς ἔχειν τὰς φρένας. Ταυτὶ καὶ Κροίσῳ συμβέβηκε. Καὶ δηλοῖ τὸ διαπτύσαι τὰς πρὸς αὐτὸν τοῦ Σόλωνος παραινέσεις, καὶ τὰ βουλεύματα· ἃ κἂν Ὀδυσσεὺς, κἂν Νέστωρ, κἂν ὁστισοῦν ἐπὶ σοφίᾳ πολιτικῇ πολὺ τῶν ἄλλων διενεγκὼν, ᾐσχύνθη τε οἶμαι δικαίως, καὶ τῶν ἰδίων δογμάτων προὔθηκεν Ἀλλ' ὁ Κροῖσός γε οὐχ οὕτως· ἀλλὰ μονονοὺ κατεγέλα τοῦ γέροντος, καὶ πολλῷ βελτίους ἦγε τὰς ἀπὸ χρημάτων ὅλως ἀχρήστων κενὰς ἐλπίδας νουθεσιῶν χρυσῶν τῷ ὄντι, καὶ σωτηρίας ἀφορμὰς, καὶ δόξης παρεχομένων. Οὕτως ἐάλω τοῦ χρυσοῦ, καὶ τόνδε μόνον θαυμάζων ἦν, ἕως ἐκ τῆς πείρας αὐτῆς μεμάθηκε, καὶ ἐπέγνω ἑαυτὸν ἐξηπατημέ-

Digitized by Google

νον. Οὐδὲ χρόνος, οἶμαι, πολὺς, καὶ ὁ νεκρὸς ἐκεῖνος χρυσὸς μετάμελον αὐτῷ παρέσχεν ἀνόνητον καὶ τῆς περὶ τόνδε πλάνης, καὶ τῶν ἀπονοίας ῥημάτων, οἷς ἀπειθῶν τῷ σωφρονίζοντι κατεκέχρητο. Ὃς γὰρ χθὲς καὶ πρότριτα διὰ τὸν πλοῦτον ἐκόμπαζεν, αἴρων ὀφρὺν, καὶ ἀκροβατῶν, καὶ τὸν αὐχένα τείνων εἰς οὐρανὸν, ὅλως ἐπαιρόμενος κατὰ τῶν αὐτοῦ βελτιόνων, Ἀθηναίῳ Σόλωνι διαλεγόμενος, οὗτος αὐτὸς μετὰ βραχύν τινα χρόνον, οἶμαι, δι' αὐτοὺς δὴ τοὺς σωροὺς τῶν μετάλλων ὤφθη γε κλάων μετὰ βοῆς, Ἀθηναίου μεμνημένος Σόλωνος, ὁπηνίκα πῦρ ἐξάλοιτο κατ' αὐτοῦ, καὶ διὰ τῷ πλούτῳ θαῤῥεῖν, ὀνειδίζοιτο παρὰ Κύρου, τοῦ τὰς εὐνοίας τῶν ὑπ' αὐτῷ, καὶ φρουρὰν, καὶ θησαυροὺς, καὶ ὅτῳ ἂν βασιλεὺς σώζοιτό τε καὶ εὖ πράττοι, μεγέθει φρονήσεως κεκτημένου. Ἀλλὰ μὴν κἀκείνως γέγονε δῆλον τὸ τῆς σοφίας καὶ τοῦ πλούτου διάφορον. Δι' ἐκεῖνον μὲν γὰρ ὁ κεκτημένος αὐτὸν ἐκέκαυτο· τοὔνομα δὲ τοῦ Σόλωνος αὐτὸν ἐῤῥύσατο τῆς φλογὸς, κατὰ πάρεργον ῥηθέν. Οὐ γὰρ δὴ πρὸς σωτηρίαν ἐβόα Κροῖσος τὸ, Σόλων, Σόλων, ἀλλ' ὡς μάλα γε θαυμάζων τὸν ἄνδρα, ὅτ' ἐπὶ τῶν ξύλων ἐφήπλωτο, τούτοις συγκανθησόμενος. Ἐώρα γὰρ τὴν ἐν ἐκείνῳ σοφίαν καὶ προφητεύουσαν· ἔξεστι δέ σοι καθαρώτερον γνῶναι τὰ περὶ τῶνδε, ἐάν γε ᾖ βουλομένῳ διεξελθεῖν, εἴ τίς τε ἄλλος περὶ τούτων ἱστόρηκε, καὶ τὰς Ἡροδότου Μούσας. Ταυτὶ μὲν οὖν ἡμῖν ἀρκούντως ἡμῖν ἔχει, ὅσα καὶ σοφίαν μικρὸν ὑμνῆσαι, καὶ ἐξελέγξαι τὸν πλοῦτον μηδὲν ἀληθῶς ὄντα, εἰ μὴ δι' ἕτερόν τι συνάγοιτο, καὶ δι' ἐκεῖνο πάλιν σκορπίζοιτο, καὶ τοῖς εἰρημένοιν ἑκάτερον οὐ διὰ θυμὸν, οὐδ' ὀργὴν, οὐδ' ἐπιθυμίαν μὴ σώφρονα, ἀλλὰ λόγῳ γίγνοιτο. Δοκῶ γάρ μοι εἰρηκέναι τοσοῦτον ἕνεκα τοῦ προκειμένου σκοποῦ, ὅσον ἐξ ὀνύχων, φασὶ, καὶ ἐκ τοῦ κρασπέδου, νοῦν ἔχουσι λέοντα καὶ ὕφασμα ὀρκέσειεν ἂν εἰδέναι. Οἷον γάρ τις ὅρος μοι φαίνεται τουτὶ τὸ τελευταῖον ῥηθὲν τοῦ καλῶς τε θησαυρίζειν, καὶ μή. Ὅθεν ὕστατον τοῦτο φράσας περὶ τοῦ πλούτου τε ἁπλῶς, καὶ τοῦ τρόπου βασιλέως Λυδῶν, τοῦ περὶ αὐτῶν ἀπαλλάττομαι λόγου.

A dæ rationes suppeditarent. Usque adeo ab auro redactus in potestatem erat, idque solum admirabatur, donec ipsa didicit experientia, seque deceptum cognovit. Nec multum, opinor, temporis intercessit, cum mortuum illud aurum fecit, ut eum nullo jam cum fructu pœniteret tum erroris de auro sui, tum profectorum ab amentia verborum, quibus, castiganti non obtemperans, usus fuerat. Qui enim heri nudiusque tertius se propter opes magnifice jactabat, attollens supercilia, summisque pedum digitis incedens, et ad cœlum usque cervicem porrigens, totusque tumens adversus homines se meliores, quo tempore cum Solone Atheniensi colloquebatur: hic ipse post breve tempus, ut arbitror, propter illos ipsos metallorum acervos alta voce plorare conspectus B est, Solonis illius Atheniensis recordatus, cum ignis in eum insiliret, et quod in opibus fiduciam collocasset, objurgaretur a Cyro, qui subditorum benevolentiam, et præsidii loco, et thesaurorum, et quarumvis rerum, quibus et incolumitas et prosperitas regia continetur, animi magnitudinem comparaverat. Quin et ilia re, quodnam esset tum sapientiæ, tum opum discrimen, apparuit. Nam propter opes is, qui eas possidebat, exustus fuisset: at Solonis nomen obiter expressum, e flammis hominem eripuit. Quippe non salutis impetrandæ causa Solonis nomen Crœsus ingeminabat, sed quod magnopere virum admiraretur, quo tempore lignis impositus jacebat, cum eisdem concremandus. Videbat enim sapientiam Solonis etiam vaticinandi vi præditam. Et hæc quidem C clarius cognoscere poteris, si perlegere tum alios volueris historicos, tum Herodoti Musas. Nobis ista sane sufficiant, quibus et sapientia paucis laudata sit, et ostensum reapse nihil esse divitias, nisi altorius rei causa colligantur, et ob eamdem rursum dispergantur: atque horum utrumque non per iracundiam, nec iram, nec cupiditatem parum honestam, sed cum ratione fiat. Quippe tantum a nobis de re proposita dictum arbitror, quantum mente præditis satis sit agnoscendum ex unguibus, quod aiunt, et lacinia, tum leonem, tum pannum. Nam mihi quidem hoc postremo loco dictum videtur esse quasi lex quædam rectæ collectionis thesaurorum, vel secus institutæ. Ideoque supremum hoc tam de divitiis simpliciter, quam de Lydorum regis ingenio prolocutus, amplius de eis dicere supersedeo.

Δεῖ δέ που τόνδε μεταγαγεῖν ἐπὶ τὴν Ξέρξου στρατιὰν τὴν πολλὴν, τὴν φρίττειν παρασκευάσασαν δύναμιν, καὶ πάντα σείσασαν πείρατα, τῇ φήμῃ τε καὶ ταῖς ἀπειλαῖς· ἦ δὴ σκηπτοῦ τινος δίκην ἐπενεχθεῖσα πολλαχοῦ γῆς, ἔνθα μὴ ἦν ἀρετὴ, οἷα μὲν ἐδίδου θαῤῥεῖν τῷ συνειλοχότι ταύτην λαμπραῖς ἐλπίσιν; οἷον δ' ἔπειτα παρέσχε μετάμελον ἀνόνητον; Εἰκότως. Ἐκ μὲν γὰρ ἁπλῶς τῶν κατορθωμάτων μείζω παρεῖχε τεκμαίρεσθαι τῶν ἤδη γεγενημένων· ὅτι δὲ ταυτὶ τῆς τύχης, οὐκ ἀρετῆς ἦν, τοὺς κατὰ ταύτης ἐπαιρομένους οὐκ ἀληθεῖς γε μάντεις ἀπέφηνε. Πῶς γὰρ ἂν κρατήσειεν ἀρετῆς τύχη, ἢν μὴ τὸ θεῖον ὀργίζηται καὶ περιορᾷ; Καὶ τοῦτο γέγονε δῆλον, οὐχ ἧττον μὲν καὶ τοῖς προλαβοῦσι κατορθώμασι τῶν Ἑλλήνων· μάλιστα δὲ κα-

D Traducenda vero ad ingentem Xerxis exercitum oratio, et ad illas copias, quæ fama pariter ac minis omnes fines et trepidare compulerunt et conquassarunt: quæque in complura terræ loca fulminis in morem delatæ, ubi nulla virtus erat, quantum illi fiduciæ, quæso, suppeditabant, qui eas splendida quadam spe collegerat? quantum pœnitentiæ deinceps inutilis attulerunt? Et merito quidem; nam simpliciter ex rebus prospere gestis majora præteritis conjicere dabant. Sed quoniam illa fortunæ, non virtutis erant, idcirco superbientes adversus hanc, vates minime veraces exstiterunt. Quo enim pacto fortuna virtutem vicerit, nisi Deus iratus sit, et conniveat? quod sane manifesto paruit tum de superiorum temporum faci-

Digitized by Google

noribus Græcorum egregiis, tum vel maxime, quando universæ copiæ Persicæ Athenienses adortæ sunt, admodum illæ quidem acriter, ut cervos leo solet; sed mox in pedes sese conjicientes, quasique cervorum more leonibus terga dantes, qui ne latratum quidem ferre possunt. Tum vero de iis, quæ passus est, recte rex didicit, non multitudinem, sed virtutem ubique vincere, nec cum bonis, etiamsi pauci sint, multos esse comparandos, licet omnes ordine fines in ditionem redigant. Nam et conjuncta cum virtute paupertas iis est honestior, qui absque virtute divitiis abundant, et obscuris nati parentibus hoc modo longe sunt clariores illis qui ob nobilitatem sese jactitant. In universum denique conjuncta cum virtute, clara sunt: et secus, virtutis expertia. Sed consideremus accurate, si placet, exercitum omni numero superiorem, si quis eum recensere velit; qui quoniam facile complures ad gentes irruere potuit, omnium postremo, pessimo fato suo, terram adiit alentem homines, qui honesto ac virtuti cuncta postponebant. Hæ vero tales ac tantæ copiæ, totum Asiæ robur, vel universa potius Asia, siquidem et ipsa quoque Libya non aderat, quæ sibi convenire putabant, ut per mare pedites incederent, terrasque solidas et continentes navigiis transjicerent, et urbibus numerari medimnorum in morem repererunt, et inusitatis rebus usque adeo studebant, ut pusillum ducerent, si non his solis omni subjecta soli terra potirentur (turpissimum namque fore, si vel bello esset opus adversus quoscunque mortales, aut adversus omnes pariter): hæc ergo multitudo barbarica, qua inferior omnis erat cogitatio, a paucis admodum victa militibus est, sed qui digni multis essent præmiis. Erant hi Athenienses, quos armorum peritia, et animi fortitudine, multis atque claris potitos coronis, tum priscis, tum proximis temporibus, ne id quidem prælium iisdem spoliavit. Imo longe pulchrioribus et majoribus, quam illæ priores fuerant, hæc eis benefaciens pugna caput ornavit. Par enim erat, ut quod prælium pulchrius atque majus fuisset aliis omnibus, antea pugnatis, id tam sibi, quam militibus, qui rem præclarissime gessissent, consimilia quoque præmia donaret: ob reverentiam partim veræ magnanimitatis, quæ insigni generositate splenderet; partim fortitudinis eximiæ, quæ et modestia maxima esset ornata, et consimili prudentia conspicua, semperque justitiæ comes, cum virtutibus eis subjectis. Nam quod particulare est, a magis generali et cognato necesse est comprehendatur. In hunc modum affecti erga omnem virtutem Athenienses, pacem pluris faciebant, quam multorum terræ jugerum acquisitionem: simulque Persas, injuriarum auctores et avaros, non a solo tantum suo patriisque sedibus; verum tota quoque Græcia depellebant. Et hæc sane facere non desiere summa cum moderatione, quæ cepisset olim ab ipsis majoribus cum præcedente bonis in rebus

A τάδηλον γέγονεν, ἡνίκα δὴ τοῖς Ἀθηναίοις προσέβαλεν ἡ Περσικὴ πᾶσα δύναμις ὁρμὴ μὲν σφόδρα, καθάπερ λέων ἐλάφοις, ἔπειτ' ἐχρῆτο τοῖς ποσὶν ὡς ἀπὸ λεόντων φυγοῦσα δίκην ἐλάφων, τῶν μηδ' ὑλακὴν ἐνεγκεῖν δυναμένων. Ἔμαθε δὴ τότε καλῶς ἐξ ὧν γε ἐπεπόνθει βασιλεὺς, ὡς οὐ τὸ πλῆθος, ἀλλ' ἀρετὴ τὸ νικῶν ἐστι πανταχῆ· καὶ οὐ χρὴ τοῖς ἀγαθοῖς, κἂν ὦσιν εὐαρίθμητοι, τοὺς πολλοὺς παραθεῖναι, εἰ δὴ καὶ πάντων ἐξῆς κρατήσαιεν τῶν τερμάτων. Καὶ γάρ τοι καὶ πενία μετ' ἀρετῆς τιμιωτέρα τῶν πλούτῳ κομώντων ἐκείνης ἄνευ· καὶ οἱ ἐξ ἀσήμων παῖδες τὸν τρόπον τοῦτον διαφερόντως λαμπρότεροι τῶν σεμνυνομένων ἐπ' εὐγενείᾳ· καὶ ὅλως τὰ σὺν ἀρετῇ καὶ λαμπρά· τὰ τούτης δὲ μὴ μετέχοντα τοὐναντίον. Ἀλλὰ σκοπῶμεν ἀκριB βῶς, εἰ δοκεῖ, στρατιὰν ἥττω δεικνῦσαν ἀριθμὸν ἅπαντα, εἰ βούλοιτό τις ἐκείνην ἐξαριθμεῖν, ἢ τῷ ῥᾳδίως εἰς ἔθνη πάμπολλα εἰσκωμάσαι δεδυνῆσθαι, ὕστατον πάντων ἐκώμασε κακίστῃ μοίρᾳ ἑαυτῆς εἰς γῆν ἀνθρώποις τρέφουσαν, ὕστερα πάντα θεμένους τοῦ καλοῦ καὶ τῆς ἀρετῆς. Αὕτη δὲ ἡ τηλικαύτη καὶ τοσαύτη δύναμις, ἡ πᾶσα τῆς Ἀσίας ἰσχὺς, μᾶλλον δὲ Ἀσία πᾶσα, εἰ μὴ καὶ Λιβύη προσῆν, ἣ πεζεύειν θάλασσαν αὐτῇ προσῆκον ἡγεῖτο, καὶ πλεῖν ἠπείρους οὐκ ἀπηξίου, πόλεσί τε ἀριθμεῖσθαι μεδίμνων δίκην ἐξεύρισκε, καὶ τοσόνδε τοῖς καινοῖς ἐφιλοτιμεῖτο, ὡς μικρὸν πάνυ νομίζειν, εἰ μὴ μόνοις τουτοισὶ τῆς ὑφ' ἡλίῳ κρατήσειεν (ἔσεσθαι γὰρ τῶν αἰσχίστων, εἴ καί τινος αὐτῇ πολέC μου δεήσειε πρὸς οὑστινασοῦν τῶν ἁπάντων, ἢ καὶ πρὸς πάντας ἑξῆς ἀνθρώπους)· αὕτη τοίνυν ἡ πληθὺς ἡ βαρβαρικὴ, ἧς λογισμὸς ἅπας ἥττητο, ὀλίγων πάνυ στρατιωτῶν ἥττηται, πολλῶν γε μέντοι γερῶν ἀξίων. Ἀθηναῖοι οὗτοι παῖδες, οὓς πολλῶν τε καὶ λαμπρῶν τετυχηκότας στεφάνων τοῖς πάλαι χρόνοις, καὶ τοῖς ἐγγὺς, ὅπλων ἐμπειρίᾳ καὶ γενναιότητι, οὐδ' ὁ τηνικαῦτα πόλεμος ἐκείνων ἐστέρησε. Πολλῷ μὲν οὖν καλλίοσι καὶ μείζοσι τῶν φθασάντων αὐτός γε τούτοις εὖ ποιῶν ἐκόσμησε κεφαλήν. Ἔδει γὰρ αὐτὸν καλλίω καὶ μείζω τῶν πρὸ αὐτοῦ γεγενημένον ἁπάντων, ἑαυτῷ τε καὶ τοῖς ἀριστεύσασι παρέχειν ἆθλα κατάλληλα, αἰδούμενον μὲν φιλοτιμίαν τὴν ἀληθῆ, γενναιότητι λαμπρυνομένην ἐπιεικῶς, αἰδούμενον δὲ D ἀνδρίαν ὑπερφυᾶ, σωφροσύνῃ μὲν μεγίστῃ κεκοσμημένην, φρονήσει δὲ ὁμοίᾳ τὸ κατ' αὐτὴν ἐπιδεδειγμένην, καὶ ἀεὶ σὺν τῷ δικαίῳ πεζευομένην ἅμα γε ταῖς ὑπ' αὐτὰς ἀρεταῖς. Τὸ γὰρ δὴ μερικώτερον ἀνάγκαις πάσαις περιληφθήσεται τῷ γενικωτέρῳ καὶ συγγενεῖ. Οὕτω δὴ πρὸς πᾶσαν ἀρετὴν ἔχοντες Ἀθηναῖοι, ἐτίμων μὲν εἰρήνην, πρὸ τοῦ πλέθρα πάμπολλα γῆς κερδᾶναι· τοὺς δὲ ὑβρίζοντας καὶ πλεονέκτας ἀνθρώπους οὐ μόνον τῆς σφετέρας αὐτῶν γῆς, καὶ τῶν πατρίων ἠθῶν, ἀλλὰ καὶ παντὸς ἠμύνοντο τοῦ Ἑλληνικοῦ. Καὶ ταῦτα δὴ ποιοῦντες διατετελέκασι μετὰ πόσης οἷει μετριότητος, πόρρωθεν μὲν ἠργμένης ἐκ τῶν προγόνων μετὰ πάσης προηγησαμένης πλεονεξίας τῶν ἀγαθῶν, κατιούσης δὲ δικαίως, ὥσπερ τις κλῆρος, χρηστοῖς ἐκγόνοις,

Digitized by Google

χρηστοὺς ζηλοῦσι γονέας. Ἥδεσαν γὰρ, ὡς ταυτησὶ μὴ παρούσης, οὐδ' ἅπαν τὸ τῆς ἀρετῆς χρῆμα οἷόν τε συνοίσειν ἀνθρώπῳ· περὶ ἧς γε μετριότητος ἐροῦμέν τι προὐργιαίτερον κατὰ σχολὴν μετὰ τοῦ καιροῦ, συναιρομένου τοῦ κρείττονος. Νῦν δὲ τῶν προκειμένων ἐχώμεθα. Ἔδει μὲν οὖν, εἰ καὶ πάντας ἐλελήθει βαρβάρους τὸ τῆς ἀρετῆς περιὸν, αὐτὸν γοῦν βασιλέα μὴ λεληθέναι, μηδὲ νομίζειν πλήθει κρατήσειν προαιρουμένων πολέμῳ πίπτειν πρὸ τοῦ δεδέχθαι τι τῶν αἰσχρῶν. Ἔδειξε γὰρ ὁ χρόνος τοὺς ἄνδρας τούσδε πολλῷ γε κρεῖττον ἀσπαζομένους τὸ μεθ' ὅπλων ἀγωνιζομένους τεθνάναι ὑπὲρ τῶν σφίσι διαφερόντων, ἢ τινὲς ἀσπάζονται πανηγύρεις τρυφῇ καὶ ῥᾳθυμίᾳ προσηλωμένοι. Ὁ δὲ τῇ τῶν εὐτυχημάτων κραιπάλῃ, καὶ τῇ μανίᾳ τῶν αὐτῷ προσδοκωμένων κατορθωμάτων καθάπερ κῦμα τύπτειν ἠξίου, εἶκον ἀνέμοις παρὰ τὸ δόξαν αὐτῷ· οὕτω κάνταῦθα νενόμικε (θρασύτητος ἀκρασία) καπνοῦ τι μέρος ἀρκέσειν αὐτῷ τοῦ ἐν τῇ ψυχῇ πυρὸς ζέοντος, λέγω δὴ τοῦ παρὰ λόγον θυμοῦ, πασευδεῖ τοὺς Ἕλληνας ἁλῶσαι. Ἀλλ' ἡ τῆς ἀκαίρου φιλοτιμίας ὑπερβολὴ οὐδὲν ἐκείνῳ τιμῆς ἀπένειμε· πρὸς δὲ τοὐναντίον σαφῶς αὐτῷ τὴν προσδοκίαν ἀντέστρεψεν. Ὁ γὰρ τῇ βροντῇ τῆς φήμης τὰ τῶν πολλῶν κυκήσας φρονήματα, καὶ τούτους δείξας καλινδουμένους πρὸ τῶν ποδῶν αὐτοῦ, φθάνοντας τὰ τοῦδε προστάγματα, ἀκονητὶ καὶ τὴν Ἑλλάδα προσκτήσασθαι φανταζόμενος, καὶ παμπληθεὶ τὸ Ἑλληνικὸν καθάπερ παῖδάς τινας ἐλεῖν, παῖδάς γε τῶν θρυπτομένων ἐπ' ἀγορᾶς, καὶ προσεχόντων ἀθύρμασι, καὶ μηδενὸς γοῦν γεγευμένους προσήκοντος ἀνδράσιν ἐπιτηδεύματος, ἀλλ' ἔν γε τοῦτο μεμαθηκότας, ὀρχεῖσθαί τε καὶ ἀκκίζεσθαι, γυναικώδεις καὶ τὴν φύσιν, καὶ τὴν γνώμην, καὶ τὴν παιδείαν ὑπάρχοντας· ὁ σοβαρὸς, καὶ ὑπερνεφῶν, καὶ γεγαυρωμένος, ὁ τοσαῦτα ἐμβατεύων εἰς τὰ Ἑλλήνων πράγματα, ὅσα καὶ τὴν τῶνδε γῆν τοῖς σατράπαις διανέμειν εἰς ἀρχὴν, ὥσπερ ἂν εἰ ταύτην πάλαι προείληφεν· ὁπόσον οἴκοθεν σπουδῇ ἐπὶ τὴν Ἑλλάδα γῆν ἔτρεχεν, ὀνειροπολήσας τὰς ἐκεῖ νίκας, καὶ τὰ ἀπὸ τῶν ἐχθρῶν ἐγερθησόμενα τούτῳ τρόπαια, τοσοῦτον ἄνω ποταμῶν παλινδρομῶν ἀνεδείκνυτο, οὐδὲ γοῦν αὐτὴν τὴν πρώτην οἷός τε γενόμενος ὑπενεγκεῖν προσβολήν. Ὁπόσον γὰρ δὴ τὴν ταχίστην ἐπ' ἐκείνους ἤλαυνε, τοσόνδε τούτους αἰσχρῶς διέφευγε, σῶμα καὶ γνώμην καὶ ψυχὴν πρὸς τοὐναντίον ἅπαν τραπεὶς, καὶ πᾶσιν ἦν ἀφόρητος τῇ σπουδῇ. Ἐπεθύμησε γῆς Περσίδος, ἐπεθύμησε τοῦ ταύτης καπνοῦ, κατὰ τὸν Ὁμήρου πλανώμενον Ὀδυσσέα. Ἂν ἦ τι χεῖρον καὶ καπνοῦ, φίλον αὐτῷ δέξασθαι, εἰ μόνον εἴη τῶν οἴκοθεν. Ὡς ἔγωγε οἶμαι τὸν ἄνδρα τοῦτον ὧδε μεταβαλεῖν, ὥστε χαίρειν ἐάσαντα στεφάνους τε καὶ θρίαμβον, καὶ τὴν ἐκ τῆς νίκης πᾶσαν λαμπρότητα, μηδὲν θαυμάζειν ἕτερον πλὴν φυγῆς, ἀνδραπόδοις οὐκ ἂν πρεπούσης. Ὅθεν οὐδ' ἀπεικὸς, εἴ τις ἔδωκεν ἐκεῖνον ἰδεῖν τὰς ἐν τῇ γυναικωνίτιδι κόρας, στέργειν κατὰ κόρρης τυφθήσεσθαι παρ' αὐτῶν ἕνεκα τῆς γυναικώδους αὐτοῦ φυγῆς. Τῷ γὰρ αὐτίκα τετράφθαι τὴν ψυχὴν, καὶ τοὺς λογισμοὺς, καὶ τοσοῦτον ὁρᾷωλεῖν,

omni excellentia, meritoque velut hæreditas quædam devoluta esset ad posteros frugi, frugi parentum æmulatores. Norant enim, si hæc non adesset ne quidem universam virtutis vim homini prodesse posse: de qua moderatione studiosius aliquid per otium, divino juvante numine, suo tempore proferemus. Nunc iis, quæ proposita nobis sunt, insistamus. Licet ergo, quæ virtutis præstantia sit, omnes ignorarent Barbari; regem ipsum id saltem ignorare non oportuit, neque putare futurum, ut hominum copiis eos in potestatem redigeret, qui bello cadere mallent, quam turpe quid admittere. Quippe tempus ipsum declaravit, his viris longe fuisse charius, si armati, pro rebus suis dimicantes, occumberent, quam aliis, voluptati et ignaviæ deditis, grati ludorum festi dies esse soleant. Xerxes vero prosperorum successuum crapula quasi quadam impulsus, et furore profecto de spe gerendarum feliciter rerum, veluti mare prius verberari jusserat, quod ventis præter voluntatem suam cederet; ita putabat hic quoque (o intemperantem audaciam) paulum fumi de igne qui ejus in animo flagraret, de iracundia rationis experto dico, Græcis funditus absumendis sufficturum. Sed nimia vis absurdi studii nihil ei peperit honoris, ac diversum potius exitum spei dedit. Nam qui rumoris tonitru complurium perturbaverat animos, eoque redegerat, ut imperata ipsius anticipantes, ad pedes ejus sese prosternerent; dum absque labore se Græciam quoque ditioni adjecturam imaginatur, totamque Græcorum nationem capturum, ceu pueros quosdam, qui delicias in foro facerent, et ludicris intenti essent, nec ullum aliquod opus virile degustassent, sed tantummodo saltare didicissent, ac lascivire, nec non muliebres et ingeniis essent, et animis, et educatione: ferox, inquam ille, supraque nubes elatus, atque superbiens, qui tanto cum fastu Græcorum in bona pedem inferebat ut eorum terram quoque satrapis suis cum potestate tenendam distribueret, ac si pridem illam occupasset; hic ergo, quanta cum festinatione domo profectus, Græciam cursu petebat, ubi victorias ipse sibi somniaverat, statuendaque de hostibus tropæa, tanta vicissim cum properatione repetebat adversos amnes, cum ne primum quidem conflictum sustinere potuisset. Nam quantopere versus hos impetu celeberrimo pergebat, tantopere vicissim ab illis turpi discedebat fuga; jam alius plane tam corpore, quam judicio animoque factus. Omnibus ob festinationem intolerabilis erat. Desiderabat terram Persidem, fumum ejus exemplo vagabundi Ulyssis illius Homerici desiderabat. Etiam si quid fumo deterius, admittere gesticbat, modo domi versaretur. Quo fit, ut equidem arbitrer, hunc virum adeo fuisse mutatum ut coronis et triumpho, atque omni victoriæ splendore, valere justis, aliud nihil quam fugam, ne quidem mancipia decentem, admiraretur. Nec absimile vero, si quis eum puellis gynæcei spectandum exhi-

Digitized by Google

buisset, æqui bonique facturum fuisse, si vel ab eis fugæ muliebris causa colaphos acciperet. Nam quia subito mutatus erat animus, una cum cogitationibus, jamque tantum metuebat, quantum antea se terroris incutere putabat : non ad fugiendum domum egere se pedibus arbitrabatur, nec equis, vi cursus ipsos cervos superantibus, sed alis simpliciter, et earum quidem avium, quæ levitate cæteras excedunt. Satis homini strenuo, Hellespontum vel rate transjicere, quod natare non posset. Usque adeo de alio in aliud, et in contrarium potius mutatus erat : nam qui densa navium coacta copia, et accurata earumdem commissura, ceu ponte quodam tale tantumque mare constraverat, quod ex Asia in Europam eadem uti transjectione cum cæteris ante se recusaret ; majore cum animi dejectione, atque humilius transfugit, quam vel ipsa mancipia, vel calones faciant, nunquam respiciendo, cursum illum suum semper urgens. Optabat, arbitror, nequaquam amplius insequentum manus evadere, deque cæteris omnibus leviter sollicitus erat. Hoc ipsum persequebatur, ut aufugeret, ut terga daret, ut versus orientem solem itinere contento, nec intermisso pergeret ; ut non dormiret, non quiesceret, nusquam subsisteret. Nam charam illam prius Europam qui putas id temporis oderat ? Inter currendum mente domi totus erat, domum clamabat, domum cursu tendebat, manus in anteriores dirigens, eisque vim magnam adhibens, tantum non pugnos ingerebat. Eosdem voce, quasi flagello, concitabat, quod nulla prorsus re contentus acquiesceret, quæ non eadem ipsum hora in patriam quasi fundæ jactu transferre posset. Unde fiebat, ut cum eos ob singulare in cursu studium admirari deberet qui a tergo ipsum met adeo festinantem relinquerent, contrarium potius ageret, eosque graviter accusaret. Quippe celeritatem eorum ipsius ad fugam alacritas pro tarditate quadam habebat. Semper exhortabatur comites cursus, nec in eo se supervacaneum aliquid facere animadvertebat. Non enim illi ferendum ullo modo putabant, si non eumdem cum rege cursum conficerent, quos idem cum illo metus in errorem impulisset, quique prorsus ab initio fugæ se cum eo dedissent. Si qui nequirent consequi, eos ad corvos abire jubens, sua se vir strenuus persona dignum quid agere putabat : nam totus erat in fuga, totas laxaverat habenas ; alius rei nullius, quam temporis rationem habebat. Quin etiam pro campestri, per montuosum ; pro arenoso, per saxeum ; pro lævi, per iter asperum obliquumque tendebat. Diem pro nocte ducebat, noctemque profundam pro clara luce. At qualis vir, obsecro ? qui calente meridie, cœlo sudo, campum æquabilem et planum, nec ulla re molestum, gradatim ac tarde, præ magnificentia fastuque, vix alioqui transiret. Atqui modo si comedendum esset, aliudve quid rei necessariæ faciendum, id, siquidem urgeret, equitans, credo, faciebat. Usque adeo præ formidine mentem velut amiserat, nec ullam vel honesti, vel

A ὅσον ἐνόμιζε φοβεῖν, ἡγεῖτό οἱ μὴ δεῖν πολῶν πρὸς τὴν οἰκάδε φυγὴν, μηδ' ἵππων αἰσχυνόντων ἐλάφους ἀρετῇ δρόμου, ἀλλὰ πτερῶν ἀτεχνῶς, καὶ τούτων ὀρνέων ἐκείνων, τῶν ἐπὶ κουφότητι τῶν ἄλλων πλεονεκτούντων. Ἠγάπα ἂν ὁ γεννάδας σχεδίᾳ διαβῆναι τὸν Ἑλλήσποντον, ὡς οὐκ ἐνὸν αὐτῷ νήχεσθαι. Οὕτως ἀφ' ἑτέρου πρὸς ἕτερον, μᾶλλον δὲ πρὸς τοὐναντίον μετέβαλεν. Ὁ γὰρ νεῶν συνόδῳ πάνυ πυκνῇ, καὶ ἀκριβεῖ γε τούτων πρόσαρμογῇ τὴν τοσαύτην καὶ τοιαύτην θάλατταν γεφυρώσας, οὐκ ἀξιῶν τὴν ἐξ Ἀσίας πρὸς τὴν Εὐρώπην διάβασιν τὴν αὐτὴν αὐτῷ γενέσθαι τοῖς πρὸ αὐτοῦ μικροπρεπέστερόν τε καὶ ταπεινότερον τῶν ἀργυρωνήτων καὶ σκευοφόρων διεδίδρασκεν, ἀμεταστρεπτὶ τὸν δρόμον ἀεὶ ποιούμενος.

B Ἥξετ' ἄν, οἶμαι, διολισθῆσαι τῶν οὐκέτι διωκόντων αὐτὸν τὰς χεῖρας, καὶ περὶ τῶν ἄλλων πάντων κούφη τις ἦν ἐκείνῳ φροντίς. Αὐτό γε τοῦτο διώκων ἦν, τὸ ἀποδιδράσκειν, τὸ φεύγειν, τὸ τὴν πρὸς ἕω πορείαν σύντονόν τε καὶ ἄληκτον αὐτῷ γίγνεσθαι, τὸ μὴ καθεύδειν, τὸ μὴ ἡρεμεῖν, τὸ μὴ ἵστασθαι. Τὴν πρὶν γὰρ φίλην Εὐρώπην πῶς οἴει τότε μεμίσηκεν ; Ὅλον οἶκοι τὸν νοῦν εἶχε θέων, οἴκαδ' ἐδόα, οἴκαδε τὸν δρόμον εἰργάζετο, τείνων τῷ χεῖρε τοῖς πρόσω, καὶ μονονοὺ κονδυλίζων τουτουσὶ, κομιδῇ βιαζόμενος. Ἦν αὐτοὺς καὶ τῇ βοῇ καθάπερ μάστιγι προσελαύνων, τῷ μηδενὶ τῶν πάντων ἀρκεῖσθαι, ὃ μὴ δύναμιν ἂν εἶχεν αὐθωρὸν αὐτὸν διασφενδονῆσαι πρὸς τὴν πατρίδα. Ὅθεν δέον τούτους θαυμάζειν τῆς ἐπιμελείας τοῦ δρόμου, ὅτι δὴ καὶ τοῦτο εἶχον

C κατόπιν τὸν οὕτως ἐπειγόμενον, ὁ δὲ καὶ τοὐναντίον σαφῶς ἐποίει, καὶ διαφερόντως αὐτοὺς ἐμέμφετο. Τὴν γὰρ αὐτῶν ταχυτῆτα βραδυτῆτά πως ἀπέφαινεν ἡ πρὸς τὴν φυγὴν προθυμία. Διεκελεύετο μὲν ἀεὶ τοῖς αὐτῷ συνθέουσι, παρέλκον τι καὶ περιττὸν οὐκ αἰσθανόμενον ποιῶν. Οὐ γὰρ ἀνεκτόν γε πάντως αὐτοῖς μὴ τὸν αὐτὸν ἀνύειν δρόμον τῷ βασιλεῖ, τῷ ἴσῳ τούτῳ φόβῳ παρατραπεῖσι, καὶ παντελῶς τὴν πρώτην σὺν αὐτῷ σφᾶς αὐτοὺς ἐκδεδυκόσι τῇ φυγῇ. Τοὺς δ' οὐκ ἀρκοῦντας ἀκολουθεῖν, τούτους δ' ἐς κεράκας ἀποπέμπων, ἄξιον καὶ οἱ προσῆκον πράττειν ὁ γενναῖος ἐνόμιζεν. Ὅλος γὰρ ἦν τῆς φυγῆς, ὅλας τὰς ἡνίας ἐφεὶς, ὁρῶν εἷς μόνον τὸν καιρὸν, καὶ μὴ πρὸς ἕτερον βλέπων. Ἀλλὰ μὴν ἀντὶ πεδίου τὴν ὀρεινὴν, ἀντὶ δὲ ψαμμώδους τὴν λίθων γέμουσαν,

D ἀντὶ δὲ λείας ὁδοῦ τὴν τραχεῖαν καὶ σκολιὰν ἤλαυνε, τὴν νύκτα μὲν ἡμέραν λογιζόμενος, αὐτὴν δὲ σκοτομήνην ἀκτῖνα μάλα ἀστράπτουσαν· καὶ ταῦτα, τίς ποτ' ἀνδρῶν ; ὁ μεσημβρίας σταθερᾶς, αἰθρίας οὔσης, πεδίον ὁμαλόν τε καὶ λεῖον, καὶ μηδέν τι δυσχερὲς, σχολῇ καὶ βάδην ὑπὸ μεγαλοπρεπείας καὶ τύφου μόλις πορευόμενος. Καὶ μὴν δεῆσαν φαγεῖν, ἤ τι τῶν ἐπάναγκες πράττειν, ἐλαύνοντά γε οἶμαι τὸ κατεπεῖγον αὐτὸν ἐργάζεσθαι. Οὕτω τοι δειλίᾳ τὰς φρένας ὥσπερ ἀπόλωλε, καὶ οὐδὲν αὐτῷ περὶ τοῦ καλοῦ τε καὶ καθήκοντος ἔμελεν. Οὕτω πάντη λογισμῶν ἀπεπταικὼς τηλικῷδε σχήματι προσηκόντων, πρὸς τῷ μηδόλως αἰσχύνεσθαι οὐδ' ὑπελογίζετο τῶν δεινῶν οὐδὲν, οὐ πῦρ, οὐ θῆρας, οὐκ ὄλισθον, οὐ βόρβορον, οὐ σκόπελον, οὐ κρημνὸν, οὐ λιμὸν,

Digitized by Google

οὐκ ἀδοξίαν αὐτήν. Πάντα ἑορτὴν ἡγεῖτο τὰ δυσχερῆ· πάντα πανήγυριν τὰ δεινά. Μηδὲν πλὴν Ἀθηναίων φοβερὸν, μηδὲν φευκτὸν ἄνευ αὐτῶν. Μόνοις τούτοις πάντας δεῖν πρωτείων πάντως παραχωρεῖν ἐπὶ τῶν ἁπάντων· καὶ τοὺς τοῦτο πράττοντας μηδαμῶς αἰσχύνεσθαι. Τί χρὴ πολλὰ λέγειν; Σεμνὰ μὲν πάντα τὰ ἄκοσμα, κέρδος δὲ ζημίαν πᾶσαν ἐνόμιζεν, εἰ σῶς ἐπαναστρέψειεν οἶκαδε· οὕκουν ἠρυθρίασεν, ἕτερος παντάπασιν ἐξ ἄλλου πάντη φαινόμενος. Οὐδ' ἡγεῖτο χαλεπὸν, εἰ ὁρῷτο χείρω πάσχων ἐκείνων, ἃ μικρῷ πρόσθεν ἠπείλει τοῖς, ὑφ' ὧν ταῦτ' ἔπασχε. Καίτοι τί ποτ' ἂν αἴσχιον εἴποις τῆς οὕτως ἐς ἄκρον μεταβολῆς, οὕτως ἀθρόον γεγενημένης; Γένος βατράχων μηδενὸς διττομένου οὐκ ἐς βυθὸν καταδύονται, ὡς ἀφανισθῆναι τοῖς τέλμασιν. Οὗτος δὲ ἠνέσχετο πάσχων, ὁ μηδενὶ τῶν πώποτε γεγενημένων ἀνθρώπων ταῖς παρ' ἑαυτοῦ φαντασίαις ἐξισούμενος, ὅπερ οὐδ' οἱ πτῶκες· ποιοῦσιν· ἔφευγεν, ἔτρεχεν, οὐκ ἠρέμει, μηδὲ τὸν διώκοντα βλέπων, ἢ σκιὰν ὁρῶν ἐκείνου, ἢ φωνῆς ὅλως ἀκούων. Ἴσως γε παρεμυθεῖτο τὸν ἄνθρωπον ταῦτα πάσχοντα, οἶμαι δὲ καὶ προὔτρεπε πρὸς τὴν ἀνυπέρβλητόν τε καὶ ἀπαράβλητον ἐκτροπὴν, τὸ τοὺς συναλαζονευομένους αὐτῷ πρότερον τότε συμφεύγοντας ὁρᾶν οὐδὲν ἐκείνου σχολαίτερον. Πάντων γὰρ προὔργου γέγονεν αὐτοῖς ἡ πρὸς τὸν οἶκον ἐπάνοδος. Ταύτης οὐκ ἂν ἠλλάξατο βασιλεὺς οὐδ' ὧν χωρὶς οὐκ ἂν ἠξίου τὸ πρὶν βιῶναι. Ταύτης πάντα δεύτερα ἦγε καὶ βασιλείαν αὐτὴν, κλῆρον δικαιότατον, ἐκ πατρὸς αὐτῷ κατελθοῦσαν, μεγίστην οὖσαν. Ὡς γὰρ ἔοικεν, ὁ φόβος ψυχῆς κρατήσας καθάπαξ δεινόν τι ταύτης ἐλάσαι πᾶν ἀγαθὸν, εἰ μὴ σὺν λόγῳ τοῦτο προσκτήσαιτο τῷ γιγνομένῳ καὶ πρέποντι, εἶτα καὶ χρόνῳ τούτῳ συγγένοιτο, ὃς ἂν περιόδοις καὶ μήκεσιν αὐτῇ γε τοῦτο προστήξας καὶ παγώσας, ἀμετάβλητον ἀποφήναι. Πείθει δειλία τρώσασα νοῦν, ἀκράτῳ φόβῳ κατασχεθέντα, ῥᾳδίως ἀνταλλάττεσθαι μεγάλων καὶ πάνυ λαμπρῶν φαῦλα καὶ γελοῖα πράγματα, καὶ τὰ δυσχερείας μεστὰ, καὶ μισητέα, καὶ βδελυκτὰ, ὡς τὰ τούτοις ἐναντία, σὺν εὐφροσύνῃ δέχεσθαι, πρὸς μόνην ἀποβλέποντα τὴν τοῦ λυποῦντος ἀπαλλαγήν. Τοῦτ' ἐπαθῶν βασιλεὺς, βασιλείαν μὲν αὐτὴν παρὰ φαῦλον θέμενος, τὸ προσκυνεῖσθαι μικρὸν ἡγούμενος, μικροῦ καὶ ὑπὸ πάντων ἐθνῶν παρ' οὐδέν τι λογιζόμενος τὸ ὑπὸ τὸν ὑπ' αὐτὸν μονονοὺ καὶ ἴσα Θεῷ θεραπεύεσθαι, ἑορτῶν τε ἀλογήσας καὶ πανηγύρεων, αἷς ἔχαιρε, βασίλειά τε καὶ λουτρὰ, καὶ παραδείσους ἐκείνους περιδών, ἃ καὶ τοῦ παντὸς προετίμα, οἶμαι δὲ καὶ νήσων ἐκείνων, ἃς τοῖς μάκαρσιν ἀπένειμαν οἱ τότε παραπαίοντες, ἀσφοδελῶν τε λειμώνων, καὶ Ἠλυσίου πεδίου, καὶ τῶν τοιούτων ἁπάντων, τὴν ἰδιώτου μοῖραν ἐπῄνει, καὶ στέργειν ἕτοιμος ἦν δουλείαν, καὶ πάντα φέρειν, μόνον εἰ σώζοιτο. Λίθων δὲ ἐκείνων τῶν πολλῶν τε καὶ καλῶν, καὶ μεγάλων, οἷς ἐκεκόσμητο, καὶ πλατείνου τῆς χρυσῆς, καὶ δὴ καὶ τύφου παντὸς ἐπιλελησμένος, ἠσπάζετό τε πενίαν, καὶ προὐτίθει σχήματος μόνον οὐκ ἀθανασίαν αὐτῷ παρέχοντος.

decori rationem habebat. Usque adeo prorsus a cogitationibus, tantæ majestati convenientibus, destitutus, præterquam quod nullius eum rei puderet nec periculi quidquam ad animum revocabat: non ignem, non feras, non ruinam, non cenum, non scopulum, non præcipitem locum, non famem, non ipsam infamiam. Omnia molesta pro festo, dira pro ludorum celebritate ducebat; nihil ei formidabile, præter Athenienses; nihil exceptis illis, fugiendum: his solis omnes omnino debere primas, in rebus omnibus, concedere; nec id facientibus ullo modo pudori esse posse. Quid multis opus est? omnia indecora pro honestis, omne damnum pro lucro ducebat; modo salvus domum reverteretur. Itaque non erubescebat, quod alium prorsus ex alio se factum ostenderet; nec grave putabat, si hominum in oculis etiam deteriora pateretur, quam quæ paulo ante minabatur iis, a quibus hæc patiebatur. At vero quid dici turpius hac mutatione possit extrema, tam subito facta? Ranæ, si nulla res terrorem incutiat, in altum se non demergunt, ut abditæ palude nusquam appareant. Hic vero, qui nulli mortalium, qui unquam exstiterunt, imaginationibus ex se conceptis par erat, id facere sustinuit, quod ne lepores quidem faciunt, fugiebat, currebat, non quiescebat, cum nec persequentem cerneret, nec umbram ejus videret, aut vocem ullam audiret. Fortasse consolabatur hominem hæc perferentem, atque etiam incitabat, credo, ad summam et incomparabilem hanc insaniam; quod eos, quos antea socios habuerat arrogantiæ, nunc nihilo se segniores fugæ socios conspiceret. Nam nihil eis erat antiquius, quam uti domum redirent. Cum hac reversione rex nec illa commutasset, absque quibus antea ne vivere quidem voluisset. Huic omnia postponebat, ipsumque adeo regnum, jure debitum ei patrimonium, quod amplissimum a patre acceperat. Nimirum metus, uti videtur, si semel animum occupaverit, admirabilem vim habet ex eo pellendi omne bonum; in consentanea decenteque ratione id animus acquirat, eique tempus ad aliquod adsit: quod ubi spatiis quibusdam intercedentibus, animo bonum ipsum infixerit, solidumque fecerit, immutabile redditur. Trepidatio si mentem vulneraverit, immodica correptam formidine, facili eam momento impellit, ut cum magnis et valde splendidis rebus vilia ridiculaque commutet; ac plena difficultatis, odioque et exsecratione digna, veluti si his contraria forent cum voluptate, solam molestæ rei propulsationem spectans, suscipiat. Hoc cum huic quoque regi accidisset, regnum ipsum vilipendens, adorationem parvifaciens, qua prope cunctis a gentibus colebatur; pro nihilo ducens, quod suis a subditis ei cultus prope divino par exhiberetur; neglectis et solemnitatibus et ludorum celebritatibus, quibus alioqui delectabatur, regiasque cum lavacris et paradisis aspernatus, quæ cuivis rei præferre solebat; itemque, mea sane opinione, illas ipsas insulas, quas eorum temporum deliri homines beatis

Digitized by Google

attribuerunt, cum herbosis illis pratis, et Elysio campo, et aliis hujusmodi omnibus : privati hominis sortem laudabat ac servitutem tolerare paratus erat, omniaque ferre, modo salvus evaderet. Gemmarum vero, quibus et multis, et pulchris, et magnis ornatus erat, aureæque platani, et fastus omnis oblitus, paupertatem amplectebatur, eique majestati antetulebat, quæ ipsi tantum non immortalitatem largiebatur. Nec abs re quis dixerit, eum, quo tempore nemo non ipsi assentando blandiebatur, futurum putasse ut immortalitatis quoque propter regnum particeps fieret. Id enim semper in melius tum cura, tum virtute sua provehens, loco pontis et gradus ad speratam immortalitatem sibi fore credebat, atque hanc vicissim, post longam in terris commorationem, regni præmium. Sed fieri non poterat, ut animo mutatus, mentem immotam retineret : itaque mox et regnum, et quidquid ejus esset generis, ut augustæ rei nomen regno conciliaret, memoria exclusit; quæque regno jucunda inessent, existimata cæteroquin ab ipso tam ambrosia, quam nectare potiora, prorsus e cogitationibus ejecit; quodamque modo illius pristinæ stolidæque insaniæ ne quidem meminerat, ut equidem arbitrer, si quis de regno, deque regni bonis, ad eum id temporis disseruisset, et molestissimum ei futurum, et fortasse reprehensionem quoque subiturum fuisse. Atqui prius, cum ab omni sobrietate prorsus alienus esset, et admittebat, et amplectebatur, et largiter remunerabatur, si qui eum pari cum diis cœlitibus et cœlesti gratia perfruentibus honore coluissent. Sedenim de prioribus ad contraria traductus, non jam pristinus ille Xerxes erat, qui hæc tum agebat, celebris, inquam, ille, magnus, audax, elatus, insolens, qui parum aberat, uti quidem apparebat, quin cum ipso Deo certamen susciperet, sed alius ab illo quondam Xerxe, planeque diversus. Nam ex pœnitentia, quasi si grave caput esset, oculos in terram defigere, non illius erat superbiæ prioris, cui primis ab annis innutritus erat, et absque qua ne temporis quidem momento conspici poterat. Itaque materie Xerxes idem manens (nam fieri naturæ mutatio nequibat), forma extreme mutata, cunctis maximam de se præbebat admirationem : non philosophando, non moderate se gerendo, (quonam id pacto?) sed vice versa, quod philosophiam, moderationis magistram, non degustasset. Ab ea destitutus, in vicissitudine rerum adeo se inhoneste gessit, ut et polypos obscuraret et chamæleontes, meras præ se nugas faceret. Nam heros iste, vel qui potius ipsos anteire se putabat heroas, animo tum dejectiore quam Irus ille mendicus erat. Sic ad abyssum ex æthere decidit, tam superciliis, quam tumore spirituque dejectis; cum leonina pelle, ferocia quoque deposita : tam absolute deni que mutatus ex alio in alium, vitam ut ipse suam odisset, amentiæque ac vanitatis pristinæ pœnas ipse quodammodo de seipso sumeret, quamquam animo illa puro spontaneoque non faceret.

A Καὶ μὴν εἰκότως ἄν τις εἴποι κἀκεῖνο, ὅτι δὴ καὶ ταύτης ἐνόμιζεν, ἡνίκα παρὰ πάντων ἐκολακεύετο, μεθέξειν διὰ τὴν βασιλείαν. Ἔσεσθαι γὰρ αὐτὴν ἐκείνῳ, ἐπιδιδοῦσαν αἰεὶ πρὸς ἄμεινον, ἐπιμελείας τῆς αὐτοῦ καὶ ἀρετῆς εἵνεκα, γέφυραν καὶ κλίμακα τῆς ἐλπιζομένης ἀθανασίας· καὶ αὐτήν γε πάλιν γέρας τῆς βασιλείας μετὰ μακρὰν τὴν ἐνθάδε διατριβήν. Ἀλλ' οὐκ ἐνῆν τραπέντα ψυχὴν τὴν γνώμην ἴσχειν ἀκίνητον· ὥστε τὴν μὲν βασιλείαν εὐθὺς, καὶ ὅ τί περ σεμνὸν αὐτὴν ἀποφαίνοι χρῆμα, ἐξέωσε τῆς μνήμης· τὰ ταύτης δὲ ἡδέα καὶ τερπνὰ, ἅπερ ἂν οἶμαι τοῦτον προτιθέναι καὶ ἀμβροσίας καὶ νέκταρος, τῶν λογισμῶν διεώσατο τελέως· καὶ ἀμωσγέπως οὐδὲ ἐμέμνητο τῆς πρὶν ἐμπλήκτου παραφορᾶς. Ὢ; ἔγωγε οἶμαι, εἴ τις αὐτῷ περὶ

B βατιλείσς καὶ τῶν ἐκείνης ἀγαθῶν τηνικαῦτα διαλέγοιτο, κἂν ἐπαχθέστατος δόξαι, καί που καὶ ἐπιτίμησίν τινα παρ' αὐτοῦ δέξασθαι. Καίτοι καὶ ἐδέχετο, καὶ ἠσπάζετο, καὶ συχνοῖς ἠμείβετο ξώροις, ὁπότε παντελῶς ἀσωφρόνιστος ἦν, εἴ τινες ἐκεῖνον ἐτίμησαν ἴσα τοῖς ἐν οὐρανῷ πολιτευομένοις, καὶ τῆς αὐτόθι χάριτος ἀπολαύουσιν. Ἀλλ' οὐχ ὁ πρώην Ξέρξης ἦν, μετενηνεγμένος ἐκ τῶν προτέρων πρὸς τἀναντία, ὁ ταῦτα τότε διαπραττόμενος, ὁ πολὺς, ὁ μέγας, ὁ θρασὺς, ὁ ὑπερόπτης, ὁ ὑβριστὴς, ὁ κινδυνεύων, ὡς γε ἐφαίνετο, καὶ πρὸς τὸ θεῖον ἤδη κεχρῆσθαί τισιν ἀμίλλαις, ἀλλ' ἕτερός τις τοῦ πάλαι Ξέρξου, καὶ πάντη ξένος. Τὸ γὰρ δὴ πρὸς

C γῆν κύπτειν μεταμελείᾳ τὴν κεφαλὴν βαρυνόμενον οὐκ ἦν τῆς προτέρας ὑποψίας, ἥ γε σύντροφος ἐκείνοις, καὶ ἧς χωρὶς οὐδ' ἐν ἀκαρεῖ τοῦ χρόνου τούτου ἦν θεαθῆναι. Ὥστε τὴν ὅλην ὁ αὐτὸς Ξέρξης μένων (οὐ γὰρ ἐνῆν τὴν φύσιν μεταβαλεῖν), τὸ εἶδος ἄκρως ἀμείψας, πάντας γε παρεῖχε θαυμάζειν, οὐ φιλοσοφῶν, οὐ μετριάζων, πόθεν; τοὐναντίον μὲν οὖν, ὡς μὴ γεγευμένος φιλοσοφίας, μετριάζειν διδασκούσης. Ταύτης γὰρ οὗτος ἔρημος ὢν, οὕτως ἀκόσμως ἐχρήσατο τῇ μεταβολῇ, ὡς ἀποκρύψαι ταύτῃ πολύποδας, καὶ λῆρον ἅπαντας

D ἀποφῆναι τοὺς χαμαιλέοντας. Καὶ γὰρ ὁ ἥρως οὗτοσι, μᾶλλον δὲ ὁ καὶ τούτους αὐτὸς παρὼν τοὺς ἥρωας, ὥς γε ᾤετο, καὶ Ἴρου τότε τοῦ πένητος ταπεινότερον ἐφρόνησεν. Οὕτως ἐξ αἰθέρος πρὸς ἄβυσσον ἀποπέπτωκε, κατενεγκὼν μὲν τὴν ὀφρῦν, κατενεγκὼν δὲ ὄγκον καὶ φρόνημα· ῥίψας μὲν τὴν λεοντῆν, ῥίψας δὲ ἐμβρίθειαν· καὶ ὅλως οὕτω μεταβαλὼν ἀκριβῶς πρὸς ἕτερον ἐξ ἑτέρου, ὡς μισῆσαι τὸν αὐτοῦ βίον, καὶ δίκας αὐτὸς παρ' αὐτοῦ τρόπον δή τινα λαμβάνειν τῆς προτέρας ἀπονοίας καὶ ματαιότητος, εἰ καὶ μὴ γνώμῃ καθαρᾷ καὶ ἐθελουσίῳ ταῦτ' ἔπραττεν. Ὧν δὲ ἐν τῷ σχήματι, καὶ ποιῶν ἃ κἂν ᾐσχύνετο δοῦλος, ἀλλόκοτόν τι τέρας ἐφαίνετο. Τιμᾷν γὰρ δὴ τὸ μέτρον, ὡς δεῖ, καὶ προσέχειν ἑαυτῷ μηδεπώποτε μεμαθηκὼς ὅδ' ἀνὴρ, ἐξώκειλε μετατραπεὶς ἐξ ὑπερηφανίας καὶ ὕβρεως εἰς ταπεινότητα δούλοις πρέπουσαν, ἄκραν ἐξ ἄκρας, σὺν ἀκοσμίᾳ. Οὕτως ἅπαν βάρβαρον καὶ ἀπαίδευτον, εἰ μὲν εὐπραγεῖ, τοῖς ταπεινοτέροις ἀφόρητον· εἰ δ' ἀσθενήσειεν αὐτῷ τό γε παρέχον

ὑβρίζειν, ῥᾳδίως οἶσει καὶ δούλων σκώμματα. Καὶ δὴ καὶ οὗτος βασιλεὺς, τοιοῦτος μὲν τὸ γένος ὤν, καὶ τῆς ὡς ἀληθῶς παιδείας ἀμέτοχος, μόνης τῆς ἐπιθυμίας τοῦ σώζεσθαι γεγονὼς, τὰ τοιαῦτα χαλεπὰ νενοσήκει, καὶ ἐναντιώσεσιν ἄκραις ἐνεπεπτώκει. Ὃ γὰρ οὐκ ἦν βιωτὸν, εἰ μὴ δωροφοροῖτο καὶ προσκυνοῖτο, παρά τε τῶν ἀστυγειτόνων, καὶ τῶν αὐτοῦ πάντων, τῶν τε πέριξ τῆς Περσίδος, καὶ τῶν πορρωτάτω καθημένων ἐθνῶν, οὗτος αὐτὸς δὴ γυμνωθεὶς τῷ πολέμῳ πάσης, ὡς εἰπεῖν, τῆς οὐσίας, ἔπειθ' ἑκὼν ἀπεβάλετο ὅπλα τε ἐκεῖνα τὰ λαμπρὰ, καὶ βασιλικὴν σκευὴν ἅπασαν, ὡς εἶναι ταύτῃ κουφότερος, καὶ ῥᾷον δύνασθαι φέρεσθαι ἐφ' ἵππων, μάλα κομιδῇ ταλαιπωρησάντων συντόνῳ δρόμῳ. Ἦ πού γε καὶ δνειδος ὑπήνεγκεν εὐχερῶς παρὰ τῶν αὐτοῦ, εἰς οὓς οὐδ' ἂν ἠξίου συχνῶς ὁρᾶν, βεβλημένος ὑπὸ τοῦ τύφου. Οὕτω πως αὐτῷ τὰ πρὶν εἰς τοὐναντίον ἀντέστραπται. Τὸ γὰρ περὶ τῇ ψυχῇ δεδιέναι τοιοῦτον ἄνθρωπον ὄντα ἔπειθε φέρειν ἡδέως, ὅ τι ἂν ἐνθυμηθῇ τις ἀηδὲς, καὶ λυπεῖν, καὶ δάκνειν δυνάμενον. Ἔπειθεν ἐφίεσθαι ψιλὸν ὀφθῆναι τοῖς οἴκοι μένουσι, καὶ τοῦθ' ἡγεῖσθαι λαμπρότερον τῶν πώποτε γεγενημένων αὐτῷ λαφύρων· μεθ' ὧν γε Σούσοις ἐπανερχόμενος (πῶς ἄν τις εἴποι τὴν ἐπὶ τούτοις τελουμένην αὐτῷ μανίαν;) οὐκ ὀλιγάκις ἐθριάμβευεν, εὐφημούντων καὶ κροτούντων τῶν ὑπαντώντων, καὶ πάντα δὴ ποιούντων αὐτῷ, μικροῦ δεῖν ἴσα Θεῷ. Τὸ γὰρ σφόδρα εὐτυχεῖν ἀρετὴν ἰδίαν λογισάμενος, καὶ τῷ παρὰ τὸ εἰκὸς εὖ πράττειν, μηδ' ὁπωστιοῦν αἰσθανόμενος τῆς ἑαυτοῦ μαλακότητος, ἀλλὰ κατορχούμενος, εἴ τινες μὲν εἶεν κρείττους αὐτοῦ, πλήθει δὲ τοσαύτης δυνάμεως ἥττους γένοιντο, τελχῖνι δαίμονι φθονερῷ κατακεχρημένοι, ὥσπερ τις γίγας, ἢ Ἡρακλῆς, ἢ ἐξ Ὀλύμπου κατὼν, ἐπιεικῶς τῶν ἄλλων κατέφρονῶν, οὐδὲν ἦν μέγα καὶ σεμνὸν, ὃ μὴ πρέπον ἐνόμιζεν ἑαυτῷ. Ἀπονοίᾳ γὰρ ἐσχάτῃ κατασχεθεὶς, ὑψοῦ τὴν κεφαλὴν αἴρων, ὁπόση δύναμις ἦν αὐτῷ καὶ μονονοὺ πετόμενος θέλων φαίνεσθαι, καθήμενος ἐπὶ τοῦ βασιλείου θρόνου, τὰς καθημέραν τηλικάσδε τιμὰς, ὑπὲρ τὴν ἀξίαν οὔσας, μήτε τῶν τοῦ σώματος αὐτοῦ πλεονεκτημάτων, μήτε μὴν τῶν τῆς ψυχῆς τοπαράπαν ἐνόμιζεν ἀπᾴδειν. Τὸ γὰρ δὴ *Γνῶθι σαυτὸν* λῆρον ἄντικρυς ἡγεῖτο, ἢ οὐδὲ ἀκήκοεν, οὐδ' ἐβούλετο. Τὴν γῆν μὲν γὰρ ἤδει πατῶν, (πῶς γὰρ ἂν ἠγνόει καὶ τοῦτο;) τὴν δὲ κορυφὴν αὐτοῦ οὐ πολὺ τῆς οὐρανίας σίμαι δοκεῖν ἀψίδος ἀπολελεῖφθαι. Ταυτὶ γὰρ δίδωσι νοεῖν ὁ βίος τοῦδε τἀνδρός. Εἶεν δή· τούτων γὰρ ἴσως ἄλις.

Ὥρα δ' ἂν εἴη καὶ τὸ τοῦ Γύγου κατόρθωμα παραγαγόντας εἰς μέσον, βασάνῳ τοῦτο προσαγαγεῖν. Οὗτος τοίνυν ποιμὴν μὲν ἦν τὴν τύχην, Λυδῶν δὲ τύραννος γέγονε στροφῇ σφενδόνης, ὥς γέ φασιν, εἰ τέως γε τὸν μῦθον μὴ ἀτιμάσαιμεν.

A Cumque regia dignitate præditus esset, eaque faceret, quæ vel mancipium aliquod pudore præpeditum non commisisset; prodigiosum quoddam monstrum esse videbatur. Nam quod vir hic modum, ceu par est, amplecti, suique rationem habere, numquam didicisset: de superbia petulantiaque summa summam ad abjectionem, mancipiis convenientem, cum dedecore exorbitavit. Ita quidquid barbarum et expers est doctrinæ, si prosperitate fruatur, intolerabilem in modum erga humiliores se gerit, sin ille quasi fons insolentiæ debilitetur, vel mancipiorum ludibria facile ferat. Sic et iste rex, tali prognatus genere, veræque doctrinæ ignarus, duntaxat incolumitatis studio ductus, tam gravibus laboravit vitiis, et in extreme dissidentia B incidit. Nam vivendum sibi non arbitrabatur, nisi deferrentur ad eum munera, nisi adoraretur et a finitimis, et suis omnibus, tam circa Persidem undique sitis, quam remotis longissime gentibus: hic ipse nudatus in bello cunctis, prope dixerim, facultatibus, mox et arma illa splendida cum omni ornatu regio libens abjicit; ut levior esset ac facilius ab equis gestari posset, qui contento cursu graviter affligerentur. Nonnunquam et probra suorum facile tolerabat, quos antea præ fastu sæpe ne quidem intueri dignabatur. Usque adeo pristinus ei status ad longe diversum rediit. Nam quod animæ vitæque suæ vir talis metueret, idipsum ei persuadebat, ut libenter ferret, quidquid acerbitatis C animo quis conceperit, quidquid afferre molestiam et mordere potest: persuadebat, ut nudus ab iis conspici cuperet, domi qui manserant, idque duceret illustrius omnibus, quæ unquam adeptus fuerat, spoliis: quibuscum Susa revertens (quibus obsecro verbis insanam quis explicet, qua in his utebatur?) non modice triumphare solebat, acclamantibus et plaudentibus iis, qui occurrebant, tantumque non ei cuncta deo paria deferentibus. Quod enim magnam prosperitatem pro virtute sua duceret, et ob successus immodicos suam ipse mollitiem non sentiret, sed proculcaret meliores se quidem viros, tantarum tamen copiarum multitudini cedentes, et ab infesto invidoque dæmone illusos: quasi gigas quispiam, vel Hercules, vel ex Olympo D qui descendisset, insigniter alios contemnens, nihil magnum, nihil augustum erat, quod se decere non arbitraretur. Extrema namque correptus amentia, quantis poterat viribus in sublime caput attollens tantumque non volare videri volens, quotiens in regio solio consideret, quotidianos illos ac tantos honores, qui supra dignitatem ipsius essent, omnino corporis animique sui dotibus eximiis competere putabat. Quippe verbum illud, *Nosce teipsum*, pro fabula prorsus habebat: vel nec audierat, nec audire volebat. Norat ille quidem, se calcare terram, (quo enim id pacto nesciret;) sed verticem, credo, suum opinabatur ab illo cœlesti fornice non multum abesse. Nam ut hæc de eo cogitemus, ipsa hominis vita facit; ac sit ita sane, nam de his fortasse satis.

Tempus autem fuerit, ut egregium illud Gygis facinus in medio productum, examini sistamus. Erat igitur hic fortuna et conditione quidem opilio, sed Lydorum tyrannus factus est, idque per inversionem palæ, ceu perhibent; siquidem fabulam

Digitized by Google

ipsam non repudiabimus. Itaque merito palæ quidem illius artem admirabimur, si quis hanc Lydiam fabulam, ceu quiddam verissimum, admittendam concesserit : at eum, qui hac arte rem peregit et confecit, nunquam beatum, si recte pronuntiare volumus, nunquam magni faciendum arbitrabimur. Quamobrem istuc ? Quod ipsius machinæ perfectio non proprie bonum, nec beatum, nec admirandum quid esset mente præditis. Nam quod a virtute non est, nec bonum est proprie : quod inanimæ quoque res universæ clamabunt. Qui virtutis exsors est, etiamsi potitus regno, quod ipsas ultra Gades se porrigat, omnes opes, omnia mancipia collegerit, et omnia, quæ in hac vita jucunda sunt ; ac his deinde fruendi tantum sibi concesserit temporis, quantum libitum fuerit : nugæ istæc virtute præditis. Quidquid enim vel gestum est, vel percipitur, si cum virtute, bonum : sin autem, contrarium. At Gyges virtute non adeptus est tyrannidem, quod sane vel hinc paret : nihil enim virtuti commune cum tyrannide, nec tyrannide oppressorum bona cum voluntate, præesse tyrannus potest. Quinam istuc ? Quia vi coactis imperat. Ubi autem vis, ibi voluntas abest. Quo fit, ut invento quodam et arte Gyges in potestatem gentis unius corpora redegerit, etiam invitæ ; nec hominum supra vicinos fortium, nisi contrarium quoque dicendum est : hoc vero nec honestum, nec durabile, quod oppressi tyrannide, illam ad conditionem inviti pervenerint. Quanquam et absque his, quæ dicta sunt, si quis accurate rem considerabit, minime Gyges rex hominum fuit ; siquidem voluntas, animi est ; animus autem proprie est homo. At ille, qui tyrannus esset, tantum aberat, ut oppressorum voluntates lucrifaceret, quanto magis consentaneum erat, eum in odio esse omnibus, et insidiis eorum omnino peti. Hæc scilicet illa tyrannidis bona sunt, quæ cum ea simul et nascuntur, et augescunt quovis modo ; et quando cum ea dissolvuntur, in fœdissimum quiddam desinunt. Enimvero si orationis hujus forma atque ratio simpliciter historiæ texendæ potestatem nobis concederet, multo rectius quam modo narrationibus institutis probare possem ; et eum qui magnam in auro fiduciam ponit, et qui se ferro ac populorum collectione magnopere jactat, et qui fretus est machinis, quique solis his animum adjicit, et si quis horum similis est ; eum, nisi virtus adsit, falli atque decipi. Verum quoniam hoc ab initio non instituimus, sed tantum uti per comparationes probaremus, iis principibus, qui boni esse vellint, ad perficiendum, quæ cupiant, nihil sapientia melius esse : instituto nostro convenire duximus, si nec omnes tales in medium produceremus, ne theatro molesti essemus, ineffabilem quemdam numerum proferendo; nec citra modum his eorum historiis uteremur, ne quod propositum a nobis est, in narrationum infinitarum quasi mare delatum, naufragium faceret. Ac recte quidem ad exitum id, quod ab initio volebamus,

A Οὐκοῦν τὴν ἐπὶ τῇ σφενδόνῃ μηχανὴν θαυμάσαιμεν ἂν δικαίως, εἰ δοίη τις τὸν Λύδιον τοῦτον μῦθον ὡς ἀληθέστατον δέξασθαι· τὸν δὲ δὴ περάναντα καὶ κατωρθωκότα τῇ μηχανῇ, οὐκ ἂν ποτε δίκαια ποιοῦντες; εὐδαίμονα νομίσαιμεν καὶ ζηλωτόν τινα εἶναι. Διὰ τί; Ὅτι τὸ τῆς μηχανῆς ἀποτέλεσμα οὐ κυρίως ἀγαθὸν, οὐδὲ εὔδαιμον, οὐδὲ ζηλωτόν γε νοῦν ἔχουσιν. Ὃ γὰρ οὐκ ἐξ ἀρετῆς οὐδὲ ἀγαθὸν κυρίως, εἰ δὴ καὶ τὰ ἄψυχα πάντα τοῦτο κεκράξονται. Κἂν ὁ ταύτης ἄμοιρος, ἅρξας εἴ τι καὶ Γαδείρων ἐστὶν ἐπέκεινα, ἀθροίσῃ μὲν πάντα πλοῦτον, ἀθροίσῃ δὲ ἀνδράποδα, καὶ πάντα τὰ τοῦ βίου τερπνά· εἶτα ἑαυτῷ πάντα δῷ καρποῦσθαι χρόνον ὁπόσον βούλει, λῆρος τοῖς μετέχουσιν ἀρετῆς. Τὸ γὰρ πεπραγμένον, ἢ μετεχόμενον, εἰ σὺν ἀρετῇ, B καλόν· εἰ δὲ μὴ, τοὐναντίον. Ὁ Γύγης δὲ οὐκ ἀρετῇ τετυράννηκε. Καὶ τοῦτο δῆλον αὐτόθεν. Οὐ γάρ ἐστιν οὐδὲν κοινὸν ἀρετῇ πρὸς τυραννίδα, οὐδ' ἔνι τυραννεύοντα γνώμῃ τῶν τυραννουμένων τοῦτο ποιεῖν. Πῶς; Ὅτι βιαζόμενος ἄρχει. Καὶ ἵνα βία, ἄπεστι γνώμη. Ὥστε σωμάτων κεκράτηκε μηχανῇ τινι καὶ τέχνῃ ἔθνους ἑνὸς, καὶ μὴ βουλομένου· καὶ τούτων οὐ γενναίων ὑπὲρ τοὺς γείτονας, εἰ μή τις εἴποι καὶ τοὐναντίον. Τοῦτο δὲ οὔτε σεμνὸν, οὔτε μόνιμον, τῶν τυραννηθέντων ἀκόντων εἰς τοῦτ' ἐλθόντων. Ἄνευ δὲ τῶν εἰρημένων, εἰ ἀκριβῶς θεωρήσει τις, ἀνθρώπων Γύγης οὐ βεβασίλευκεν· εἴπερ ἡ γνώμη μὲν ψυχῆς, κυρίως δὲ ἄνθρωπος ἡ ψυχή. Ἐκεῖνος δὲ τύραννος, ὢν τοσοῦτον ἀπέσχε τοῦ C τὰς τῶν τυραννηθέντων γνώμας κερδᾶναι, ὅσον καὶ ἀκόλουθον ἦν παρὰ πάντων αὐτὸν μισεῖσθαι, καὶ ἐπιβουλεύεσθαι πάντα τρόπον. Ταῦτα δὴ τὰ τυραννίδος ἀγαθὰ, καὶ τῇδε συμφυόμενά τε καὶ συνεπιδιδόντα τὸν πάντα τρόπον, καὶ τελευτῶντα πρὸς ἔσχατόν τι, σύναμα ταύτῃ διαλυόμενα. Οὐ μὴν ἀλλ' εἰ τὸ σχῆμα τοῦ λόγου καθαρῶς ἐπέτρεπεν ἱστορεῖν, εἶχον ἐλέγξαι τοῖς διηγήμασι πολλῷ γε βέλτιον ἢ νῦν, ὡς ὅ τε χρυσίῳ πάνυ θαῤῥῶν, ὅ τε σιδήρῳ μέγα φρονῶν καὶ λεῶν ἀθροίσματι, ὅ τε μηχαναῖς ἐλπίζων, καὶ τουτοισὶ ψιλοῖς ἐγχειρῶν, καὶ εἴ τις τούτοις ἐφάμιλλος, μὴ προσούσης ἀρετῆς, ἐξηπάτηται. Ἐπεὶ δὲ νῦν οὐ προηγούμενον τοῦθ' ἡμῖν, ἀλλ' ἀποδεικνύναι πειρᾶσθαι ταῖς παραθέσεσιν, ὡς ἄρχουσιν ἐθέλουσιν ἀγαθοῖς εἶναι πάντων D ἄμεινον ἂν εἴη σοφία πρὸς τὸ περαίνειν, ἃ βούλοιντο· ἠγήμεθα μάλα συμβαίνειν τῷ προκειμένῳ σκοπῷ μήτε πάντας ἀγαγεῖν εἰς μέσον τούς γε τοιούτους, ἵνα μὴ τὸ θέατρον ἀποκναίσωμεν, ἀμύθητόν τινα ἀριθμὸν παρεισάγοντες, μήτ' ἀμέτρως χρήσασθαι ταυταισὶ ταῖς κατ' αὐτοὺς ἱστορίαις, μή ποτε πρὸς πέλαγος διηγημάτων ἀπείρων τὸ προκείμενον ἡμῖν ἐμπεσὸν, ναυαγήσῃ. Καὶ δὴ καλῶς μοι δοκεῖ συμπεπεράνθαι τὸ καταρχὰς ἡμῖν βούλημα. Ὡς γάρ τι παράδειγμα λαβόντες ἤδη τοὺς ἄνδρας τούτους, [ἐκ] τῶν ὁμοίων αὐτοῖς ἁπάντων, καὶ τὰς ἱστορίας τὰς περὶ τούτων ἱκανῶς ἀφοσιωσάμενοι, πᾶσάν τε περιεργίαν παρέντες, κατὰ καιρὸν ἀπαλλαττόμεθα, ὡς ἐμέ γε περὶ τούτου νομίσαι. Καὶ γάρ τοι μεμιμήμεθα ὀρθῶς δια-

Digitized by Google

πραξάμενοι τοὺς ἀργυρογνώμονας, οἷς γε ἔθος ἐκ τοῦ μέρους τὸ πᾶν εἰδέναι. Καὶ οἶμαι χρῆναι ἀγαπᾷν τῇ μεθόδῳ ταύτῃ. Εἰ γὰρ οἳ τοῖς ὅλοις ἔδοξαν πολὺ τοὺς ἄλλους παρενεγκεῖν, τούτοις ἀτεχνῶς τὸ λαμπρὸν τετελευτήκει πρὸς οὐδὲν ἱερὸν, φασὶ, τισὶ δὲ καὶ πρὸς τοὐναντίον, τῷ μὴ γνησίως μηδὲ καλῶς τὸ τῆς ἀρετῆς μετιέναι χρῆμα, σχολῇ γ' ἂν ἄλλοι τῶν ἐλασσόνων ἀληθῶς ἂν δόξαιεν εὐδαίμονες εἶναι τῷ πλουτεῖν, καὶ πλήθους ἄρχειν, καὶ ἐξ οἰασδήτινος μηχανῆς σφίσι γε αὐτοῖς δουλοῦσθαι μὴ βουλομένους ἀνθρώπους. Ὥστε δεῖ τῶν ἱστοριῶν ἀφέμενον, ἅτε καὶ παρόν σοι ταύτας εἰδέναι παρὰ τῶν προὔργου τοῦτο πεποιηκότων, πειραθῆναι τοιούτοις τοῖς ἀνδράσι παραβαλεῖν ἐκεῖνον δὴ τὸν ἄριστον ἄνδρα, ὃν ἐξ ὑποθέσεως ὑπεθέμεθα καταρχὰς εὐθύς· λέγω δὴ τὸν φρόνιμον, καὶ ἀγαθὸν, καὶ σοφόν. Ὁ γοῦν τοιοῦτος βασιλεὺς, ἢ ὅλως ἄρχων τινῶν, ἐῤῥωμένως ἔχων τὴν ψυχὴν, καὶ ὡς χρὴ φιλῶν ὧν ἄρχει, θέλων τε αὐτοὺς ὁρᾷν ἐν οἷς ἂν γένοιντο τὴν γνώμην ἀμείνους, καὶ ζητῶν ἅπαντα τρόπον, δι' ὧν εὖ πείσονται παρ' αὐτοῦ· ἔπειτα καὶ τῇ δυνάμει τῶν λόγων πείθων αὐτοὺς, μήτ' ἀλαζονείᾳ τοσούτῳ μήτ' εἰρωνείᾳ ἀπτόμενος (ἄμφω γὰρ κακὼ) ὡς εἴη μὲν οἷός ἐστιν, ἐθέλοι δ' ὅπερ ἐθέλει· ὁ δὴ τοιοῦτος οὐδένα λήσει τῶν ἀγαθῶν, ὡς ὧν γε τυγχάνει τὰ πρὸς αὐτοὺς καὶ πατὴρ, καὶ οἰκονόμος, καὶ φίλος, καὶ κυβερνήτης, καὶ ποιμὴν, καὶ ἰατρὸς, καὶ πάντα τὰ τοιαῦτα. Ἔσται μὲν γὰρ αὐτοῖς σωτὴρ, ἔσται δὲ παντοίως ὠφέλιμος, ἐν ἅπασι καιροῖς τε καὶ περιστάσεσι, γινώσκων μὲν τὸ πᾶσι συνοῖσον βέλτιον πάντων ἐκείνων, θέλων δὲ αὖ τοῦτο σφίσιν, ἢ σφίσιν αὐτοῖς ἐκεῖνοι· πρὸς δὲ τὸ περᾶναι τὸ δόξαν βέλτιον εἶναι ἐπιστήμην κεκτημένος, σπουδῇ καὶ εὐφυΐᾳ συνειλεγμένην, ἣν οὐ ῥᾳδίως ὑπερβαλεῖ οὐδ' ἡ τῶν ἁπάντων ὁμοῦ, λέγω δὴ τῶν ὑπὸ χεῖρα, ἀκριβέστατα συγκροτηθεῖσα πρὸς ἕν τι χρῆμα. Ὅσθ' ὑπολειπτέον ἡμῖν ἂν εἴη, ὅπερ ἀναγκαῖον νοῦν ἔχουσι. Τί τοῦτο; Ὡς ἄρα τἀληθῆ πεπεισμένους τοὺς ἀρχομένους περὶ τοῦ ἄρχοντος, ὅτι καλός τε κἀγαθός ἐστι, καὶ τὰ κατ' αὐτὸν, καὶ τὰ κατὰ τούσδε, οὐδὲν ἂν εἴη τὸ προσιστάμενον μεθέξειν αὐτοὺς πολλῶν τε καὶ μεγίστων ἀγαθῶν. Ταυτὶ δὲ λέγω περὶ χρηστῶν τε καὶ ἐπιεικεστέρων ἀνθρώπων. Τὸν γὰρ Ἰούδαν, καὶ τοὺς τοιούτους, οὐδ' ἡ τοῦ Σωτῆρος ἀρετὴ, ἢ οὐρανοὺς ἐκάλυψε, κατὰ τὸν προφήτην, ὠφέλησεν. Οὕτω δὴ χωροῦν τὸ πρᾶγμα, μηδ' ἑτέρῳ τοῖν πεδοῖν παραχωλεῦον, οὐ βραδέως καταντήσει πρός τι χρηστότερον πέρας. Καὶ τοῦτο λέγω, οὐ μαντευόμενος, οὐδὲ προφητεύων. Τὸ μὲν γὰρ Τειρεσίου τοῦ πάλαι, τὸ δὲ Δαβὶδ βασιλέως. Ἐμοὶ δὲ θάτερον μὲν μὴ γένοιτο (οὐ γὰρ θεῷ φίλον), θάτερον δὲ μέγιστον μὲν, ἀλλ' οὐδὲ δεικνύναι χρὴ, ὡς ὑπὲρ ἡμᾶς. Δῆλον γάρ. Οὐ μὴν ἀλλ' οὐδὲ τεκμαιρόμεθα τοῦτο, ὡς οἷόν τε εἶναι ἐξηπατῆσθαι. Πολλὰ γὰρ ἂν τοιαῦτα συμβαίη τοῖς διισχυριζομένοις περὶ τοῦ πράγματος ἀπὸ τεκμηρίων. Ἀλλ' ἀνάγκη λογισμῶν τοῦτο λέγομεν. Καὶ σκοπείτω τις ὧδί. Δυοῖν γὰρ πάντως θατέρῳ κακῶς πράξουσι πόλει, (τῷ γὰρ δὴ κατ' ἄμφω νοσῆσαι, οὐδὲ κακῶς πρᾶξαι περιέστηκε· ἀλλὰ τὴν ταχίστην ἀπολωλέναι·)

deductum mihi videtur. Postquam enim viros hosce velut exempla sumpsimus omnium, eis similium, memoriæque de ipsis proditâ, satis attigimus, omissis, quæcunque supervacanea forent : opportune, velut equidem arbitror, desistimus. Etenim recte fecimus, qui argenti examinatores imitati simus ; quibus est in more totum ex parte agnoscere : qua sane brevi docendi via debere nos esse contentos arbitror. Si enim illis, qui rebus omnibus longe ceteros anteire visi sunt, manifesto splendor is ad sacri nihil, quod aiunt, tandem rediit, ac nonnullis in contrariam quoque partem cecidit, idque propterea, quod non sincere, nec recte virtute sectarentur : multo minus inferiores alii, propter opes, et populi dominatum, et in servitutem ab se, quacunque tandem arte, redactos homines invitos, vere beati esse videbuntur. Quapropter omissis historiis, quas percipere de iis potes, qui eas ex professo tractant, conandum nobis est, ut cum his viris optimum illum virum comparemus, quem statim ab initio peculariter nobis proposuimus, prudentem inquam, et bonum, et sapientem. Talis ergo rex, aut princeps omnino quorumdam, forti et constanti præditus animo, quique subjectos imperio suo sic diligit, uti debet, et videre cupit eos in illis versantes, quibus meliores eorum animi reddantur ; omnique ratione quærit, quibus rebus bene de ipsis mereri possit ; ac deinde verbis etiam eos, et eloquentiæ vi flectit ; ut ab omni prorsus arrogantia, sic etiam dissimulatione alienus (etenim utrumque malum est), ut sit, qualis est ; et quod vult, velit : talis, inquam, bonorum latere neminem potest, quin quod attinet ipsos, et pater sit, et administrator, et amicus, et gubernator, et pastor, et medicus, et ejusmodi omnia. Nam et servator eis erit, et utilis omnimodo, quovis tempore, quibusvis casibus : quod et profutura universis melius, quam ipsi omnes, intelligat ; et magis hæc eis evenire cupiat, quam ipsi sibimet ipsis optent : ad perficiendum autem id, quod melius esse visum fuerit, ea præditus sit prudentia, tum studii, tum ingenii vi collecta ; quam non facile vel accuratissime in unum conflata simul omnium peritia, subditorum inquam, superaverit. Quapropter id nobis est existimandum, quod existimare mente præditi necessario debent. Quid istuc ? Si vere sint persuasi de principe subditi, quod præstans sit et egregius, cum suis, tum ipsorum in negotiis, nihil esse impedimento, quo minus et multorum, et maximorum bonorum compotes fiant ; atque hæc de bonis et modestis hominibus pronuntio. Nam Judæ, atque aliis talibus, ne ipsa quidem Servatoris virtus, quæ cœlos operuit, ut prophetæ verbis utar, profuit. Hoc modo si res procedet, nec alterutro pede claudicabit ; nequaquam lente bonum ad finem perveniet : quod equidem nec ut hariolus, nec ut propheta dico. Nam istud illius prisci Tiresiæ fuerit ; hoc Davidis regis. Mihi vero nolim alterum illud contingere, quod acceptum Deo non sit ;

Digitized by Google

alterum vero maximum sane quiddam est, sed supra nos esse positum, ne indicari quidem debet, cum perspicuum sit. Nec item de conjecturis colligimus, ut falli possimus. Evenire namque talia queunt iis, qui de re quapiam ex conjecturis aliquid affirmant. Adducti vero rationibus necessariis hoc dicimus : ac in hunc sane modum consideratio instituatur. Duæ res sunt, quarum rerum alterutra infelices urbes erunt (quippe si vitiis ambobus laborent, ne supererit quidem eis, ut infelices sint ; sed erunt quamprimum perditæ) ; vel si fructum providentiæ bonæ, bonorum principum, non perceperint ; vel si eis parere non voluerint. Ac primum quidem illud est perdifficile : bonus ut omnino princeps inveniatur. Alterum vero prope necessarium quoque dixerimus ; ut principi, qui esse bonus agnoscitur, subditi et ipsi boni obtemperent. Nam si erga subditos et patris, et amicorum, et gubernatoris, et aliorum hujusmodi locum obtinet : quo pacto non eos dicto audientes habebit, modo hæc de ipso recte norint ? Omnino namque pastorem, et equarium, et armentarium, quocunque perrexerit, itineris ducem sequentur, quæcunque animalia ipsius providentia curaque fruitura sunt. Itidem et gubernator navis, et medicus, et quicunque bene de aliis meretur, omnino persuadendi vim ad eos habebunt quos servant. Nimirum vel cæco paret, inquit comicus ille, a quo te recens præceptor tuus alios ad libros traduxit ; futurum, ut tales subditi, si Deus alicujus peccati causa non obstiterit, ab ejusmodi hero perbenigne tractentur et verissima beatitate potiantur ; idque diuturnis tum sudoribus, tum laboribus nec minus periculis illius, qui cum eis certamina pro eis suscipit, ac navim perite moderatur. Quippe si bonus princeps, erga bonos subditos, hoc modo sit affectus : eosque videat a suo nutu pendentes ; ac principi tum cupientes, tum optantes faustissima quæque ; quid non ille rei præclaræ perfecerit ? quo pacto non et ipsi sibi, et imperio parentibus, maximorum bonorum auctor exstiterit ; siquidem illum ad id quod profuturum sit, recta gradientem via, cuncti sequantur ? Quis non ob generosum animum, et mores, eum suspiciens, in pretio supra res omnes habuerit, nisi valde insaniat ? evidentissime denique paret, hos beatos esse. Arbitror autem ipse, nec quisquam inficiabitur, causam horum ad virtutem referendam ; absque qua sit, apertum malum erit, quæ felicitas esse videtur. Indignis enim res prosperæ nocumento sunt. Neque minus eloquentiæ studiis hæc sunt accepta ferenda quam virtuti. Nam ea sunt, quæ mortalibus persuadent, ut virtutis frui bonis velint : quippe si hoc facere nolint, nihil ex virtute commodi percipient, bonorum ejus minime participes facti : quo enim hoc pacto cadat in invitos ? Quamobrem bonus princeps, et qui bonis aliquibus præest, etiam præceptis eloquentiæ recte instructus esse debet, ut suos impellere persuadendo possit ad ea quæ facere præstabit : ne

ἢ τῷ μὴ προνοίας χρηστῆς ἀπολελαυκέναι χρηστῶν ἀρχόντων, ἢ τῷ τοῖσδε ἀπειθεῖν βεβουλεῦσθαι. Τὸ μὲν οὖν πρῶτον παγχάλεπον, ἄρχοντα παντάπασιν ἀγαθὸν εὑρεθῆναι· τὸ μέντοι δεύτερον μικροῦ καὶ ἀναγκαῖον ἂν εἴποιμεν, ἀγαθῷ γινωσκομένῳ τῷ ἄρχοντι ἀγαθοὺς ὄντας πείθεσθαι τοὺς ὑπ' αὐτῷ τεταγμένους. Εἰ γὰρ πρὸς τοὺς ὑπὸ χεῖρα πατρὸς, καὶ φίλων, καὶ κυβερνήτου, καὶ τῶν τοιούτων ἐπέχει τάξιν, πῶς οὐχ ἕξει πεπεισμένους αὐτοὺς, εἰ καλῶς ταῦτ' εἰδεῖεν ; Καὶ γὰρ πάντως ποιμένι, καὶ ἱπποφορβῷ, καὶ βουκόλῳ, ἕψεται ἐξηγουμένῳ, ὅποι ἂν πορεύοιτο, τὰ παρ' ἐκείνου προνοίας ἀπολαύσοντα ζῷα. Καὶ κυβερνήτης, καὶ ἰατρὸς, καὶ ὅλως εὐεργέτης, εὖ μάλα πάντως πείσουσιν, οἷς γε σωτῆρες ἐφάνησαν. Δηλονοτὶ καὶ τυφλῷ, φησὶν ὁ κωμικὸς, ἀφ' οὗ σε νῦν ὁ σοφιστὴς ἄρτι πρὸς ἕτερα βιβλία μετενήνοχεν, ὡς ἦν μὴ δι' ἁμαρτίαν ἀντικρούσῃ τὸ Θεῖον, εὖ τὸ τοιοῦτον ὑπήκοον πείσονται παρὰ τοῦ τοιούτου δεσπότου. Καὶ τεύξονταί γε εὐδαιμονίας ἀληθεστάτης, μακροῖς ἱδρῶσι καὶ πόνοις, οὐχ ἥκιστα δὲ καὶ κινδύνοις τοῦ σὺν αὐτοῖς ὑπὲρ αὐτῶν ἀγωνιζομένου, καὶ σὺν ἐπιστήμῃ τὸ σκάφος ἄγοντος. Οὕτω γὰρ πρὸς ἀγαθοὺς ὑπηκόους ἀγαθὸς ἄρχων ἔχων, καὶ τούτους βλέπων ἀνηρτημένους αὐτοῦ τῷ νεύματι, βουλομένους τε αὐτῷ καὶ εὐχομένους τὰ κάλλιστα, τί οὐκ ἂν ἐργάσαιτο τῶν καλῶν ; πῶς οὐχὶ καὶ ἑαυτῷ, καὶ τοῖς πειθομένοις αὐτῷ, μεγίστων αἴτιος ἀγαθῶν ἀναγκαίως ἂν γένοιτο, τὴν ὀρθὴν πρὸς τὸ συνοῖσον αὐτῷ χωροῦντι ἐφεπομένων ἁπάντων ; Τίς οὐκ ἂν ἀγάμενος αὐτὸν τῆς γενναιότητος καὶ τῶν τρόπων τοῦ γε παντὸς τιμήσαι, εἰ μὴ σφόδρα μαίνοιτο ; Ὥστε πρόδηλον αὐτοῖς τὸ εὐδαιμονεῖν. Δεῖ δὲ, οἶμαι, πρὸς τοιαῦτα, καὶ πᾶς ἐρεῖ, αἰτιᾶσθαι μὲν ὀρετὴν, ἧς ἀπούσης, προῦπτον κακὸν ἡ δοκοῦσα εὐημερία· τοῖς γὰρ οὐκ ἀξίοις τὸ εὐπραγεῖν οὐκ ὠφέλιμον· αἰτιᾶσθαι δὲ τοὺς λόγους οὐχ ἧττον ἢ τὴν ἀρετήν. Οἵδε γὰρ οἱ πείθοντες ἀπολαύειν τῶν ἐκείνης ἀγαθῶν. Ὡς εἴγε τοῦτο μὴ βούλοιντο, οὐδ' ὠφελήσονται παρ' αὐτῆς, μὴ μετασχόντες τῶν αὐτῆς ἀγαθῶν· πῶς γὰρ ἄκοντες ; Ὥστε δεῖ τὸν ἀγαθὸν ἄρχοντα, καὶ ἀγαθῶν τινων προϊστάμενον, καὶ τὰ περὶ λόγους ἀγαθὸν εἶναι, ἵν' ἔχοι πείθειν αὐτοὺς, ἐφ' οἷς ἂν βέλτιον εἴη πράττειν· ἵνα μὴ χρηστὸς μὲν εἴη, χρηστῶν δὲ ἀρχῇ, ἀφηνιάζοντας δ' ὅμως ἔχων αὐτοὺς, καὶ μὴ εἰκοντας οἷς γνοίη πρὸς τὴν σφετέραν αὐτῶν ὠφέλειαν, οὐδὲν ἐκείνους ὀνήσῃ· ἐπεὶ καὶ παῖδες ἰατρῶν, ἔστων δὲ τὴν τέχνην ἀγαθοὶ, εἰ μὴ καὶ δεξιοί τινες εἶεν, καὶ εἰδεῖεν ὅπως πείσουσι τὰ παρ' ἐκείνων δέχεσθαι φάρμακα, οὐδένα που τῶν πάντων ὠφελήσουσι. Δεῖ γὰρ, οἶμαι, προηγεῖσθαι δόξης μὲν χρηστῆς πειθώ, ταύτης δὲ δύναμιν λόγων, εἰ μέλλοί τις ἀπό τινος ἀναγκαίως ὠφελήσεσθαι, δυναμένου τοῦτο δρᾶσαι, καὶ προσέτι θέλοντος. Ὥσθ' οἱ λόγοι καὶ πειθοῦς, καὶ τοῦ δοξάζειν ἀγαθὰ ἀγαθὸν ὑπήκοον περὶ ἀγαθῶν ἀρχόντων, αἴτιοι σαφῶς ἀναπέφανται· καὶ εἶεν ἂν χρυσοῦ, καὶ πολυχειρίας, καὶ μηχανῆς, ἅττα δὴ πρὸς σύγκρισιν ἡμῖν τοκαταρχὰς παρατέθη, ἀμείνους πρὸς ὠφέλειαν ἄρχουσι. Καὶ ὁ νῦν ἡμῖν διαζωγραφούμενος ἄρχων, εἰς τὰ τῆς ψυχῆς αὐτοῦ πλεο-

Digitized by Google

νεκτήματα τὰς ἀγαθὰς ἐλπίδας ἔχων ἀνηρτημένας, χρειττων που πάντως ἂν εἴη τῶν ἐπὶ ταῖς ἔξω δυνάμεσιν ἐπαιδομένων, ὅπερ ἐξ ἀρχῆς ἡμῖν εἴρηται. Καλόν σοι τοίνυν, ὦ φίλτατε, ἀρετῆς ἐπιμελούμενον, μηδ' ὁπωστιοῦν ἀμελεῖν τῶν λόγων, ὄντων τε ἁπλῶς χρηστῶν, καὶ πρὸς τὰ χρηστὰ συνεργούντων ὡς οὐδ' ἂν ἓν οἶμαι τῶν πάντων. Οὐ μὴν ἀλλ' εἴπερ σοι τὰ εἰρημένα καλῶς γε ἔχειν ἴσως δοκεῖ, ἔχου τῶν καλῶν δεδογμένων, μηδ' ἀτιμάζειν, ἅπερ θαυμάζεις. Ὁ γὰρ ἐπαινῶν τι χρῆμα, εἴτ' ἀμελῶς πρὸς αὐτὸ διακείμενος, καὶ μὴ θηρεύειν ἐθέλων τοῦτο σπουδῇ τε πάσῃ, καὶ παντὶ τρόπῳ γραφῇν ἀνοίας ἀποίσεται, καὶ ὀφλήσει γέλωτα παντὶ δικαίῳ νοῦν ἔχουσιν.

A bonus quidem ipse sit, et bonis imperet, at nihilo minus contumaces experiatur, nec imperium detrectantibus in iis quæ ipsorum commodis servitura prospicit, quidquam utilitatis afferat. Namet medici, licet arte præstantes sint, nisi sit etiam quædam in eis dexteritas, artemque norint, qua persuadeant, ut ab eis exhibita medicamenta sumantur, ex omnibus fortasse nemini proderunt. Arbitror enim, ante bonam opinionem præcedere debere persuasionem; hanc vero facultatem eloquentiæ præcedere: si quidem aliquis ab aliquo commodi quidpiam necessario percipere debeat, qui ejus impertiendi tam facultatem quam voluntatem habeat. Quamobrem clare patet, ab eloquentiæ vi tum persuasionem, tum opinionem bonam bonorum subditorum de bonis principibus proficisci, atque hanc et auro, et magno exercitu, et machinis, quæ a nobis instituendæ causa comparationis in medium ab initio sunt allata, principibus usu suo longe præstare. Itidem qui nunc a nobis pictura quasi quadam expressus est princeps, cum ipsius bonæ spes ab egregiis in eo dotibus animi pendeant; omnino præstantioris erit qui facultatibus extrariis innituntur, quod ab initio diximus. Itaque recte facies, charissime fili, si ita virtuti studeas, ut eloquentiæ studia nullo modo negligas; quæ et simpliciter utilia sunt et ad res utiles atque bonas plus adjumenti quam ulla res alia, mea quidem opinione, afferunt. Nec non si, quæ dicta sunt, recte tibi dicta videntur, amplectere decreta præclara, nec quæ admiraris, negligito. Nam qui rem aliquam laudat, ac deinde negligenter eam curat, nec omnino studio atque ratione persequitur, amentiæ notam auferet, et a mente præditis optimo jure ridebitur.

B

ΛΟΓΟΣ Β'.

Ὅτι τὸ μὲν ἀγαθὸν πᾶσι φιλούμενόν ἐστι φυσικῶς· ὁ δὲ κακὸς καὶ ἑαυτῷ μισητός. Φιλοῦμεν δὲ καὶ τὸ κακὸν ὅστιν ὅτε, ἀγαθὸν κἀκεῖνο νομίζοντες. Καὶ περὶ εὐδαιμονίας καὶ ἀρετῆς.

Ἐγὼ νομίζω, καὶ πάντας οἶμαι τῇ δόξῃ ταύτῃ συνθέσθαι, μὴ μόνον τὸν σπουδαῖον καὶ ἀγαθὸν, ἀλλὰ καὶ τὸν φαῦλον καὶ πονηρὸν ἄνθρωπον, μισοπόνηρον καὶ φιλόκαλον εἶναι αὐτῇ τῇ φύσει· κἂν τις εἰς τοσοῦτον κακίας ἐξενεχθῇ, ὡς μὴ περαιτέρω προβῆναι δύνασθαι, ἅτε δὴ πρὸς τοὔσχατον αὐτῆς ἀφιγμένος, καὶ ἑαυτὸν τῆς πονηρίας βδελύττεσθαι τὸν τοιοῦτον· μᾶλλον δὲ καὶ τοῖς ἀλόγοις καὶ ἀναισθήτοις ἀγαθὴν εἶναι τὴν φύσιν, ἐξ ἀγαθοῦ τὸ εἶναι λαβοῦσαν. Καὶ τοῦτό ἐστι τὸ θρυλλούμενον, ὡς ἄρα πάντα ἐφίεται τοῦ ἀγαθοῦ τε καὶ συγγενοῦς. Εἴη δ' ἂν τοῦτό γε ἡ πάντων μὲν ἀρχὴ καὶ ὑπεράρχιος φύσις, πάντων δὲ δημιουργὸς, καὶ συνέχουσα, καὶ εὖ ποιοῦσα δύναμις, ὁλκῇ τινι γνησιότητος, καὶ ὑπεροχῆς, καὶ ἀγαθωσύνης πρὸς ἑαυτὴν ἐπισπωμένη τὸ πᾶν· ἐθέλει γὰρ τῷ πεφυκότι κινούμενον τὸ δημιουργηθέν τε καὶ ποιηθὲν μὴ μακρὰν εὑρίσκεσθαι τοῦ δημιουργοῦ τε καὶ ποιητοῦ. Τὸ γὰρ ὀθνεῖον ἐπὶ τὴν πρώτην αἰτίαν ἀνατρέχειν φιλεῖ, καὶ τοῦ προνοουμένου καὶ συνέχοντος μηδαμῶς ἀφίστασθαι τὸ χωρὶς αὐτοῦ μὴ δυνάμενον περιεῖναι· καὶ τὸ ἧττον εἶναι παρὰ τῷ κρείττονι, βαθμοῦ καὶ τάξεως μείζονος τεύξεσθαι προσδοκῶν· καὶ κοινωνεῖν τοῦ θειοτέρου τὸ ὑλικώτερον· ὅπως ἂν τῇ μετουσίᾳ λαμπρύνοιτο. Καὶ ὅλως τὸ τοῖς ὅλοις ὑποδεέστερον οἰκοθεν ἐπείγεται τρέχειν παρὰ τὸ προσθεῖναι καὶ τελέσαι δυνάμενον. Ὡς γὰρ δὴ ταῖς πρὸς Θεὸν ἐγγύτησί τε καὶ οἰκειώσεσι τὸ περιεῖναι καὶ σώζεσθαι γίνεται, καὶ μετέχειν ἀγαθοῦ· τὸν ἴσον τρόπον ταῖς διαστάσεσι καὶ τοῖς

ORATIO II.

Quod bonum est ab omnibus naturaliter diligi. Hominem malum etiam ipsi sibi odio esse. Nonnunquam vero et id, quod malum est, diligimus; quia bonum esse putamus. Itemque de felicitate deque virtute.

Ita equidem sentio, et opinioni meæ neminem non assensurum arbitror; non virtute modo præditum et bonum, sed etiam vitiosum ac improbum hominem, ipsa natura tum improbitatem odisse, tum honesti studio teneri: ac licet aliquis ad eam vitiositatem abreptus fuerit, ut ulterius progredi nequeat, quasi qui ad metam ejus extremam pervenerit, tamen hominem ejusmodi seipsum ob improbitatem abominari: imo vel brutis ac sensus C expertibus naturam bonam esse, quæ substantiam suam a bono sit consecuta. Atque hoc illud est vulgo celebratum, omnia boni cognatique desiderio duci. Quod sane bonum, universorum illud principium fuerit, et posita supra principium omne natura, potestas illa creatrix omnium, omnia continens, beneficaque; et quæ omnia quadam illecebra cognationis, eminentiæ, bonitatis ad se rapit. Nam sic natura comparatum est, ut quod creatum est et factum, motu suo non longe abesse ab opifice conditoreque velit. Etenim quævis res, unde unde sit, ad causam primam recurrere gaudet: nec ullo modo a prospiciente sibi seque continente vult abesse, quod absque illo salvum esse nequit: et quod inferius est, esse cum præstantiori cupit, a quo D gradum et locum ampliorem se consecuturum sperat: et particeps esse divinioris, quod e crassiore materia constat, ut ejus fruitione splendidius evadat. Ad summam, quidquid omnino tenuius est, ex sese currere studet ad id quod adji-

Digitized by Google

ciendi et perficiendi facultatem habet. Ut enim ex propiore ad Deum accessu et familiaritate salutem et incolumitatem, cum boni participatione, consequimur, eodem modo per sejunctionem ac diremptum interimus, et in nihilum redigimur. Ejus rei causa est admirabilis quædam harmonia rerum a causa profectarum et conditarum, cum ipso auctore et conditore : ineffabilis, ratione communicationis et effusione bonitatis ; nunquam rumpenda, propter auctorem vinculi et unionis magnitudinem. Eadem jam paulum intelligitur, dum spiritui contemplanti lutum obstat ; sed purius immortalitate per resurrectionem donatis patefiet. Quapropter amorem mereri dico, non modo bonum illud infinitum et fulgur illud pulchritudinis, elegantiæ, gratiæ, quod ipsi natura inest, verum etiam quidquid pulchritudinis est ac boni particeps, propter supremum illud bonum, supremamque pulchritudinem, ac nostræ cum ea naturæ cognationem. Nam propter communem relationem et affectionem, ut ita dicam, ad primum illud, omnemque supra perfectionem positum bonum, omnia et bona fiunt, et diliguntur, mutua quadam affectione sibi devincta, Quæ enim alicui rei simplici cognata sunt, eorum et invicem quædam est cognatio. Cognata vero diligi, ne verbis quidem opus est, ut probetur. Omnes ergo bonos, et a bono, et ad bonum conditos, unum ad scopum tendere dico (nunc enim ad institutum revertor), qui est, amare bonum, et quidquid tale non est, odisse : honestum sectari, quodque affectum est aliter, fugere. Sæpe vero contrarium quodque contingit : quippe nonnunquam et malum diligimus, quodque bonum est quasi fugimus, non quod aliquis agnitum bonum, quod bonum sit, quatenus est bonum adversetur, aut malum diligat, quatenus malum est, cum malum esse sciat (quonam id pacto? minime sane), sed quia quod malum est bonum esse putat. Naturam namque probavimus ex bono et bonam esse, quodque cognatum est, quærere, quidquid alienum, fugere. Licet autem vere sic comparata res sit, tamen homines plerosque videas deteriora præ melioribus eligentes ac facilius a bonis ad mala quam a malis ad bona transeuntes : quique illos et admirantur et beatos prædicant, horum sortem miserantur qui reapse bona non recte degustarint, sed habitum malorum acquisierint, et ex eorum inebriatione continua ne quidem ad sobrietatem redire sincere possint ; imo hac ipsa quoque liberati temulentia, rursus ad offendendum parati sint, ob eam, qua adhuc detineantur, crapulam et profectas ex gravedine vertigines. Iidem et pravos homines bonos esse putant et miseros felices : quippe judicio falluntur, nec eorum scopus cum scopo rectam ferentium sententiam, in judicio de honesto et bono consentit. Apud illos enim qui fuci dicuntur (eos autem intelligo qui res secundas pro felicitate ducunt), omnium hi felicissimi cæterorumque mortalium præstantissimi judicantur esse, quibus prosperi-

χωρισμοῖς τὸ διεφθάρθαι, καὶ μηκέτ' εἶναι. Τὸ δὲ αἴτιον θαυμαστή τις ἁρμονία τῶν αἰτιατῶν τε καὶ γεγονότων πρὸς τὸν αἴτιον καὶ πεποιηκότα, ἄῤῥητος μὲν τῷ τρόπῳ τῆς κοινωνίας καὶ τῇ τῆς ἀγαθωσύνης ἐκχύσει, ἄῤῥηκτος δὲ διὰ τὸν συνδήσαντα, καὶ τὸ πολὺ τῆς ἑνώσεως · ὀλίγον ἄρτι γινωσκομένη, τοῦ πηλοῦ προσισταμένου τῷ θεωροῦντι πνεύματι· φανησομένη δὲ καθαρώτερον ἀπαθανατισθεῖσι διὰ τῆς ἀναστάσεως. Φιλητὸν γοῦν εἶναί φημι οὐ μόνον γε τὸ ἄπειρον ἀγαθὸν, καὶ τὴν ἀστραπὴν τοῦ κάλλους, καὶ τῆς ὥρας, καὶ τῆς χάριτος, ἥτις ἐκείνῳ ξυμπέφυκεν, ἀλλὰ καὶ πᾶν, ᾧ μέτεστι καλοῦ τε καὶ ἀγαθοῦ, δι' αὐτὸ τὸ ὑπεράγαθον καὶ ὑπέρκαλον, καὶ τὸ πρὸς αὐτὸ τῆς φύσεως ἡμῶν συγγενές. Διὰ γὰρ τὴν κοινὴν ἀναφοράν τε καὶ σχέσιν, ὡς ἄν τις εἴποι, τὴν πρὸς τὸ πρῶτον καὶ ὑπερτέλειον ἀγαθὸν πάντα ἀγαθύνεται καὶ φιλεῖται, ἔχοντα πρὸς ἄλληλα σχετικῶς. Τὰ γὰρ ἁπλῷ τινι συγγενῆ καὶ ἀλλήλοις ἂν εἴη. Τὸ δὲ φιλεῖσθαι τὰ συγγενῆ οὐδὲ λόγου δεῖται δεικνύναι. Πάντας μὲν οὖν τοὺς ἀγαθοὺς, καὶ ὑπ' ἀγαθοῦ, καὶ ἐπ' ἀγαθῷ δημιουργηθέντας, εἰς ἕνα λέγω τείνειν σκοπὸν (ἤδη γὰρ ἐπάνειμι), τὸ φιλεῖν τὸ ἀγαθὸν, καὶ μισεῖν τὸ μὴ τοιοῦτον· καὶ διώκειν τὸ καλὸν, καὶ τὸ ἄλλως ἔχον φεύγειν. Συμβαίνει δὲ καὶ τοὐναντίον πολλάκις. Καὶ γὰρ φιλοῦμεν τὸ κακὸν ἔστιν ὅτε, καὶ τὸ ἀγαθὸν ὥσπερ φεύγομεν· οὐχ ὅτι τις τὸ ἀγαθὸν ἐγνωκὼς ὂν ἀγαθὸν, ἢ ἀγαθὸν ἀποστρέφεται· ἢ φιλεῖ τὸ πονηρὸν, ἢ πονηρὸν, τοιοῦτον αὐτὸ ἐπιστάμενος· πόθεν; πολλοῦ γε καὶ δεῖ· ἀλλ' ὅτι τὸ κακὸν ἀγαθὸν ἡγεῖται. Ἡ φύσις γὰρ ἡμῖν ἀποδέδεικται ἐξ ἀγαθοῦ τε καὶ ἀγαθή, καὶ τὸ συγγενὲς ζητοῦσα, καὶ τἀλλότριον ἅπαν φεύγουσα. Ἰλὺν καὶ οὕτως ἐχούσης τῆς ἀληθείας, ἴδοις ἂν τοὺς πολλοὺς τῶν ἀνθρώπων τὰ χείρω τῶν κρειττόνων προαιρουμένους, καὶ ῥᾷον ἀπὸ τούτων εἰς τὰ κακὰ μεταβάλλοντας ἢ ἐξ ἐκείνων εἰς ταῦτα· κἀκείνους μὲν ζηλοῦντας, καὶ μακαρίζοντας, τούτους δὲ ταλαν ζοντας, τῷ μὴ καλῶς γεγεῦσθαι τῶν ἀληθῶς ἀγαθῶν, ἀλλ' ἐν ἕξει τῶν κακῶν γεγενῆσθαι, καὶ τῇ συνεχεῖ τούτων μέθῃ μηδὲ νῆψαι καθαρῶς δύνασθαι · ἀλλ' ἐπειδὰν καὶ ταυτησὶ τῆς μέθης ἀπαλλαγεῖεν, προσκόπτειν αὖθις ἑτοίμους εἶναι διὰ τὴν ἐπικρατοῦσαν ἔτι κραιπάλην, καὶ τοὺς ἐκ τῆς ἐωλοκρασίας ἰλίγγους. Οὗτοι καὶ τοὺς φαύλους ἀνθρώπους ἀγαθοὺς νομίζουσιν εἶναι, καὶ τοὺς ἀθλίους εὐδαίμονας. Σφάλλονται μὲν γὰρ περὶ τὴν ψῆφον, οὐ συνᾴδει δὲ κἀκείνων ὁ σκοπὸς, τῷ τῶν ὀρθῶς ποιουμένων τὰς ἀποφάσεις περὶ τὴν τοῦ καλοῦ τε καὶ ἀγαθοῦ κρίσιν. Παρὰ γὰρ τοῖς καλουμένοις κηφῆσι, λέγω δὴ τοῖς τὴν ῥᾳστώνην τιθεμένοις εὐδαιμονίαν, οἵδε τῶν πάντων εὐδαιμονέστεροι κρίνονται, καὶ πάντων ἀνδρῶν ἄριστοι, οἷς ἂν τοῖς ὅλοις εὖ πράττουσιν εὐμαρῶς τὰ τῇδε φέροιτο πάντα· καὶ εἰ νήφοντες ἀπηλλαγμένοι φροντίδων, ἐσθιουσῶν τὰς ψυχὰς σητῶν οὐδὲν ἧττον, εἰ τοιούτοισί που συγγένοιντο συνεχῶς· εἰ δὲ πραγμάτων ἐκτὸς, ἀποκναίειν δυναμένων καὶ νοῦν, καὶ σῶμα· καὶ τοῦ μὲν πονεῖν ἄγευστοι· ὁ βίος δὲ αὐτοῖς τρυφὴ, καὶ πλέον οὐδέν. Μέγα δὲ κἀκεῖνο νομίζουσιν, ὅτι θαυματοποιοὺς, καὶ μίμους, καὶ ὀρχηστὰς, σμήνη τε κολάκων, καὶ ὑβρι-

Digitized by Google

στῶν ἔθνη, καὶ παρασίτων ἐσμὸν, καὶ τοὺς ἄλλους τοὺς τοιούτους εὖ ποιεῖν δύνανται οἱ παρ' αὐτῶν θαυμαζόμενοι, ἀπὸ τοῦ πλουτεῖν τὸ δύνασθαι κεκτημένοι.

A tate fruentibus, universæ res hujus vitæ commode succedunt; quique liberi sunt et immunes a curis, non minus animos depascentibus, quam tineæ soleant, si frequenter eis adhæreant; immunes a negotiis, quæ mentem et corpus cruciare possunt; experles laborum, eaque fruentes vita, quæ nihil sit aliud quam meræ deliciæ. Magnum et illud quidpiam esse putant, quod præstigiatores, et mimos et saltatores, et adulatorum examina, et flagitiosorum nationes, et parasitorum gregem, et alios tales afficere beneficiis possint, qui eis admirationi sunt, cum id præstare queant, quia divitiis abundant.

Αὗται μὲν οὖν αἱ κρίσεις τῶν φαυλοτέρων περὶ τὸν ἀνθρώπινον βίον, καὶ οὕτω τὴν εὐδαιμονίαν ὁρίζονται· ἐλεεινὸς δὲ ἄνθρωπος, καὶ ταλανίζεσθαι δίκαιος τουτοισὶ τοῖς μοχθηρίᾳ συζῶσιν οὗτος δοκεῖ, ᾧ μὴ πράττειν ἔξεστιν, οἷς ἂν ἡσθείη διαπαντὸς, ἢ πενίας οὐ συγχωρούσης, ἢ τῆς ἥβης παρακμασάσης, ἢ τινος τῶν θύραθεν συμπτωμάτων ἀπείργοντος. Παρὰ δὲ τοῖς ἡμιφαύλοις, ὡς ἄν τις εἴποι, καί τινος φιλοτιμίας μετέχουσι, τῶν τῇ τρυφῇ καὶ ῥᾳθυμίᾳ προσηλωμένων μακαριώτερος δήπου φαίνεται ὁ διὰ χοροὺς ἀνδραπόδων, καὶ οἰκετῶν πλῆθη, καὶ τὴν ἄλλην τῶν πραγμάτων ἀφθονίαν, καὶ πολὺ ἀργύριον ἀφειδῶς ἀναλισκόμενον, τῶν ἐχθρῶν ἀνώτερος γινόμενος, καὶ τῇ δυνάμει τουτωνὶ κατορχούμενος, κατὰ ῥοῦν αὐτῷ χωρούντων τῶν βουλευμάτων, δι' ἠντιναοῦν φοράν τε καὶ τύχην, ἢ τὸ μὴ γενναῖον ἴσως ἔχειν ἀντίπαλον. Οὐ γὰρ ἐκ τῆς γνώμης τῶν εὑρουόντων, καὶ τοῦ γενναίου σφίσι φρονήματος, οὐδ' ἐκ τῆς πολλῆς ἀνδρίας, καὶ τῆς τοσαύτης φρονήσεως, καὶ τῆς περὶ τὰ πρακτέα σπουδῆς τε καὶ γενναιότητος, καὶ συλλήβδην τῆς λοιπῆς ἀρετῆς· οὔκουν οὐδ' ἀπὸ τῶν πράξεων, καὶ τοῦ τρόπου· οὐδ' ἀπὸ τῆς ὕλης τῶν ἀνὰ χεῖρας πραγμάτων· οὐδ' ἐκ τοῦ τὸν ἀνταγωνιστὴν βασανίζειν, ὅπως ἀρετῆς τε καὶ ἐπιστήμης, ἢ φαυλότητος καὶ ἀπαιδευσίας μετέχει· ἀλλ' ἐκ τῆς ἐκβάσεως μόνης τουτοισὶ τὰ πράγματα κρίνεται, τὴν ἀρετὴν μετροῦσι τοῖς εὐτυχήμασιν, ἄκροις (ὅ φασι) δακτύλοις τῶν πραγμάτων ἐφαπτομένοις. Κἂν οὕτω τὴν σαυτοῦ ψυχὴν ἀσύγκριτον ἀποφήνῃς, ὡς εἶναι μὲν τῆς Νέστορος καὶ Σολομῶντος φρονιμωτέραν, εἶναι δὲ τῆς Ἀχιλλέως καὶ Σαμψὼν ἀνδρειοτέραν, γέμουσάν τε ἀρετῶν, ὧν ἤρκεσεν ἑκάστη κοσμῆσαι τὸν κεκτημένον· κἂν οὕτω τὰ πρακτέα διενεργῇς, ὡς φοβῆσαι μὲν ἐναντίον, εὐφρᾶναι δὲ φίλον, θαυμάσαι δὲ πάντας· ἔπειτα τῆς τύχης ἀντιπιπτούσης, ἢ πενίας πειραθῇς, ἢ τῆς ὑπαρχούσης ἐκπέσῃς δόξης, ἢ τινος ἥττων ὀφθῇς (πολλὰ δὲ ἂν γένοιτο τοιαῦτα περὶ τὸν εὔριπον τόνδε βίον, καὶ γέγονέ τις πολλάκις κρείττων ἀνδρὸς σπουδαίου καὶ νοῦν ἔχοντος, μηδ' ἀνδριᾶσιν ἐοικὼς ἀπεξεσμένοις εἰς εἶδος ἀνδρὸς γενναίου), ὁ εὐήθης, ὁ δειλὸς, ὁ μιαρὸς, ἀκήκοας παρὰ τῶν ὡς ἀληθῶς τοιούτων ἀνθρώπων, οἳ δή τινα θαυμάζοντες κατορθοῦντα, καὶ τῆς γενναιότητος ἀγάμενοι σφόδρα, καὶ ἐγκώμια μακρὰ κατ' αὐτοῦ δημιουργοῦντες, ὀστράκου (φασὶ) μεταπεσόντος, μεταβαλόντες, κακίζουσί μεθ' ὑπερβολῆς οὐ μεταβεβλημένον τὴν ἀρετὴν, ὃν μικρὸν πρόσθεν ἐπῄνουν, καὶ ὅτι μὴ καὶ οὐρανίους αὐτῷ τιμὰς ἀπονέμειν ἐξὸν ἦν αὐτοῖς, ἐδυσχέραινον. Πένθους δ' ἄξιον τοῦτον κρίνουσιν, ὃς ἂν δόξης ἔρημος γέ-

Hæc eorum qui cæteris sunt praviores, de vita humana judicia sunt, atque ita felicitatem definiunt. Iisdem in omni nequitia vitam exigentibus homo miser et miserabilis esse videtur, qui ea peragendi facultatem non habet, ex quibus semper voluptatem caperet, vel inopia non permittente, vel ætatis amisso flore, vel extrario casu quodam impediente. At vero semipravis, uti quis eos appellaverit, quique gloriæ quadam cupiditate ducuntur, is esse voluptariis et ignaviæ deditis beatior existimatur, qui mancipiorum gregibus, et copiis servorum, et cætera rerum abundantia, multoque argento largiter expenso, suis superior hostibus evadit, et potestatem eorum proterit, consiliis prospere cedentibus casu quopiam, vel forte fortuna, vel quod adversarium fortasse parum strenuum habeat. Non enim ex indole strenuitateque prosperis utentium successibus, nec magna fortitudine, nec prudentia, nec in agendis rebus vel studio, vel industria, nec reliquis (ut summatim dicam) virtutibus: non etiam ex factis, atque moribus; nec de materie negotiorum quæ in manibus sunt, nec de adversarii exploratione, quanam in virtute ac scientia, vel socordia et inscitia sit præditus, sed ex eventu solo de rebus statuunt, dum virtutem ex successibus metiuntur, et extremis (quod aiunt) digitis res attingunt. Licet animum tuum adeo positum omnem extra comparationem probes, ut animo Nestoris atque Salomonis prudentior sit, et Achillis ac Samsonis animo fortior, iisque refertus virtutibus, quarum quælibet ornando possessori suo sufficeret: licet agenda sic perficias, ut adversario terrorem incutias, voluptatem parias amico, omnes in admirationem tui rapias: sed mutata deinde fortuna, vel in paupertatem incideris, vel partam gloriam amiseris, vel victus ab aliquo fueris (quælia multa in hac volubili vita evenire possunt, in qua sæpius accidit, ut hominem tum virtute, tum mente præditum vincat aliquis, ne statuis quidem sculptis ad formam strenui viri respondens), et stultum, et timidum, et impurum illi te appellabunt homines, qui reapse tales sunt, quique res præclaras gerentem aliquem admirantes, et strenuitatem valde suspicientes, prolixasque laudes homini condentes, testa (quod aiunt) conversa mutati, supra modum male tractant minime mutatum virtute virum, quem paulo ante laudabant, et quod honores ei cœlestes deferre non possent, moleste ferebant. Iidem lugendum censent eum qui gloriam amittit, non illam verissimam, et durabilem, et una cum spiritu hinc migrantem, sed hanc vanam, quæ-

Digitized by Google

que potius esse gloria videtur quam sit, et cum corpore dissolvitur, si bene duret; aut etiam non raro ante hominem ipsum, sic ferentibus eventis rerum, avolat, vel potius infinitis modis in contrarium cadit. Arbitrantur sane virtutem sese colere, dum eam affectant ambitiosius, ideoque nullo modo fortunæ, sed virtuti strenuitatem attribuunt. Verum factis ipsis ostendunt, minime se bonis a viris gesta virtuti accepta ferre, sed fortunæ totum imputare; adeoque dum simpliciter prospero cursu navigationis utentem magnum ducunt, non eum qui perite navim moderatur, in errore versantur.

Sedenim hunc in modum hi sentiunt, ac non abs re quidem, ut qui nec egregii viri sint, nec egregie boni rationem intelligere queant propterea quod eorum mens ulterius quam oculi penetrare non possit, imo, verius ut loquar, ne quidem apparentia sincerius atque purius inspiciant. At vero boni et cordatiores in universum electioni voluntatis et institutioni rectæ felicitatem attribuunt. Nam prosperis vel uti, vel non uti successibus, nequaquam princeps quasi cogitatio, veram tendens ad beatitatem, ab eis esse putatur: quando majore prosperitatis parte vitiosi potius quam præstantes et egregii viri fruuntur. Nimirum beatus animi respectu beatus est. Animus vero per virtutem in statu suo permanet, vel ad eum redit. Virtus autem nostra in potestate nostra electione sita est. Quemadmodum ergo qui malus esse vult, necessario fit malus (nam per ipsum velle statim fit: velut in oratione proxime sequente clarius explicabitur), sic etiam qui bonus esse vult (verum enim velle comitatur et ipsum opus), non poterit non fieri bonus. Quapropter si boni viri, mea quidem opinione, de vita et virtute sententiam ferre deberent, prorsus illum hominem ne quidem exsistere debere dicerent, qui virtutis est expers. Qui autem bonus esse vult, necessario bonus evadet; tametsi fortunam minime propitiam experiatur, ubique tam ipsi quam conatibus ejus obstantem. Nam quod bonum est, non fortunæ, non casus, aut temporis aliorumve talium fructus est, sed virtutis et arbitrii liberi, quod impediri re nulla potest. Non enim haberet electionem, nec libertatem suam, quod animum attinet, si præpediri ab aliqua re posset. Sed tamen bonis quoque viris, gloriam acquisitam amittere, videtur esse de rerum earum numero quibus abhorremus. Quippe dolorem afferre, quasique mordere potest eos qui huic adhuc vitæ copulati sunt, cujus præcipua dignitas in occasionibus quærendi honesti nominis est sita. Gloriam vero et honestum nomen intelligo, ut Alexandri, ut Cyri, ut his similium, quorum nomen, jam olim exstinctis corporibus, oblivioni non est traditum. Etenim illa gloria, quæ duravit hactenus, fructus quidam erat certaminum et laborum, et magnanimitatis in iis declaratæ rebus, in quibus necesse erat ut sese præstarent viros, qui

A νοιτο, οὐ τῆς ἀληθεστάτης δή, καὶ μονίμου, καὶ συναπερχομένης ἐνθένδε τῷ πνεύματι· ταύτησι δὲ τῆς κενῆς, τῆς μᾶλλόν γε δοκούσης ἢ ὑπαρχούσης, καὶ συλλυομένης τῷ σώματι, ὁπόταν γε καὶ εὖ διαρκέσῃ, ἢ καὶ προσφιπταμένης αὐτοῦ πολλάκις τοῖς ἀπὸ τῶν πραγμάτων συμπτώμασι· μᾶλλον δέ που καὶ τρεπομένης εἰς τοὐναντίον μυρίοις τρόποις. Οἴονται μὲν οὖν ἀρετὴν μετέρχεσθαι τῷ φιλοτιμεῖσθαι. Ὅθεν τὴν τύχην οὐδαμῶς, τὴν δ' ἀρετὴν αἰτιῶνται πρὸς γενναιότητα. Φαίνονται δὲ οἷς πράττουσιν, ἥκιστα μέν τι νέμοντες ἀρετῇ τῶν πεπραγμένων χρηστοῖς ἀνδράσι, τῇ τύχῃ δὲ τὸ πᾶν λογιζόμενοι. Καὶ τὸν ἁπλῶς εὐπλοοῦντα μέγαν ἡγούμενοι, οὐχὶ τὸν σὺν ἐπιστήμῃ τὸ σκάφος ἄγοντα, οὕτω πλανῶνται.

B Ἀλλ' οἵδε μὲν ὧδε εἰκότως, ἅτε μὴ γενναῖοι, μηδὲ γενναίως τἀγαθὸν, ὅποι ἔχει, διακρίνειν οἷοί τε ὄντες, τῷ μὴ περαιτέρω τῆς ὄψεως τὴν σφῶν διάνοιαν διικνεῖσθαι δύνασθαι, καὶ τό γε ἀληθέστερον φάναι, μηδὲ γοῦν αὐτὰ τὰ φαινόμενα θεωροῦντες ὑγιέστερόν τε καὶ καθαρώτερον· οἱ δ' ἀγαθοὶ καὶ νουνεχέστεροι τῶν ἀνδρῶν τῷ ὅλῳ τε καὶ τῷ παντὶ, τῇ προαιρέσει καὶ τῇ παιδεύσει τὴν εὐδαιμονίαν λογίζονται. Τὸ γὰρ εὑρεῖν τε καὶ μὴ οὐ προηγουμένη φροντὶς πρὸς τὴν ἀληθῶς εὐδαιμονίαν αὐτοῖς νομίζεται· ἐπειδὴ καὶ τὸ πολὺ τῆς εὐροίας κακία μᾶλλον ἢ καλοκαγαθία καρποῦται. Ὁ δὲ εὐδαίμων διὰ τὴν ψυχὴν τοῦτ' ἂν εἴη. Ἡ δὲ ψυχὴ διὰ τὴν ἀρετὴν ἐν τῷ κατ' αὐτὴν μένει, ἢ ἐπανέρχεται. Ἡ δ' ἀρετὴ τῶν ἐφ' ἡμῖν, καὶ τῆς C προαιρέσεως. Καθάπερ οὖν ὁ βουλόμενος κακὸς εἶναι ἀναγκαίως γίνεται (αὐτῷ γὰρ τούτῳ, τῷ θέλειν, εὐθὺς γίνεται· ὡς ἐν τῷ ἑφεξῆς λόγῳ ῥηθήσεται καθαρώτερον), οὕτω καὶ ὁ ἀγαθὸς βουλόμενος εἶναι (τῷ γὰρ ἀληθῶς θέλειν ἕπεται καὶ τὸ ἐνεργεῖν) οὐκ ἔσθ' ὅπως οὐ γενήσεται. Ὥστε εἴπερ ἂν, δεῆσαν (ἐμοὶ δοκεῖν) περὶ ζωῆς τε καὶ ἀρετῆς γνώμην δοῦναι τοὺς ἀγαθοὺς ἄνδρας, ὡς ἔδει μηδὲ τὴν ἀρχὴν γενέσθαι τὸν ἄνθρωπον, ὅτῳ μὴ μέτεστιν ἀρετῆς. Ὁ δὲ ἀγαθὸς βουλόμενος εἶναι πάσαις ἀνάγκαις γενήσεται, κἂν οὐκ εὐμενοῦς πειρᾶται τῆς τύχης, προσισταμένης οἱ πανταχῇ, καὶ τοῖς ἐγχειρήμασι. Τὸ γὰρ ἀγαθὸν οὐ τύχης, οὐδέ τινος συμπτώματος, ἢ καιροῦ, καὶ τῶν τοιούτων, καρπός D ἐστιν, ἀλλ' ἀρετῆς τε καὶ αὐτεξουσιότητος, ἧ γενέσθαι εἴργόν τι τῶν πάντων οὐδέν ἐστιν. Οὐδὲ γὰρ ἂν ἦν ταύτῃ προαίρεσις, οὐδὲ αὐτεξούσιον, ὅσα γε εἰς τὴν ψυχὴν φέρει, ὄντος γε τοῦ κωλύοντος. Οὐ μὴν ἀλλὰ καὶ τοῖς ἀγαθοῖς ἀνδράσι τὸ τὴν παροῦσαν δόξαν ἐζημιῶσθαι ἔν τι τῶν φευκτῶν εἶναι δοκεῖ. Λυπῆσαι γὰρ δυνάμενον καὶ δακεῖν τοὺς συμπεπλεγμένους τῷδε τῷ βίῳ· οὗ τό γε σεμνότερον ἀφορμαὶ εὐκλειαν φέρουσαι. Δόξαν δὲ καὶ εὐκλειαν λέγω τὴν Ἀλεξάνδρου, τὴν Κύρου, τὴν τῶν τοιούτων, ὧν οὐκ ἐν λήθῃ γέγονε τοὔνομα, πάλαι τῶν σωμάτων λυθέντων. Ἐκείνη γὰρ ἡ δόξα, ἡ διαρκέσασα μέχρι δεῦρο, καρπός τις ἦν ἀγωνισμάτων, καὶ πόνων, καὶ πολλοῦ φρονήματος, ἐφ' οἷς ἐχρῆν δεικνύναι τὸν ἄνδρα μήτε φιλοσώματον ὄντα, μήτε χρήμασιν ἐπτοημένον, μήτε ἡδοναῖς κεχηνότα, μήτε μὴν αὐτὸ τὸ ζῆν εὐδοξίας προτιθέντα. Ταῦτα

Digitized by Google

δὲ κλάδοι τῆς ἀρετῆς, ἡ τοῖς μετασχοῦσιν αὐτῆς A γνησίως εἰκότως ἂν τηρήσειε τῶν ἱδρώτων τοὺς καρποὺς ἀθανάτους, αὐτή γε πρῶτον οὖσα τοιαύτη. Χρῆμα γὰρ ἀθάνατον.

Ἀνδράσι τοίνυν ἀγαθοῖς, οἷς γε ἡ ἐπιθυμία τὸ ζῆν εὖ, προσούσης γε σοφίας καὶ γνώσεως, τὴν ἐπιθυμίαν αὐτοῖς καλῶς περᾶναι δυναμένων, εὐχερῶς τὸ συγγενὲς καὶ τὸ μὴ τοιοῦτον γνωρίζεται. Τοῖς δὲ μὴ μετέχουσιν ἀγαθοῦ καὶ ἡ τοῦδε γνῶσις οὐκ εὔκριτος. Ὅθεν ὃν αὐτοὶ μακαρίζουσιν, ἄθλιον ἐκεῖνοι ἡγοῦνται· καὶ ὃ ζηλοῦσιν ἐκεῖνοι, φεύγουσιν οἵδε. Εἶεν. Πολλῶν δὲ θρήνων ἄξιος τούτοις φαίνεται ἐκεῖνος μάλιστα πάντων, ὁ μήτε ὢν ἀγαθὸς αὐτὸς, καὶ τοῖς πολλοῖς λυμαινόμενος, καὶ δι' ἐντε- B λέχειαν πράξεων μοχθηρῶν μήτ' ἐθέλων χρηστὸς γενέσθαι, μήτε δυνάμενος ἀμεῖψαι τήνδε τὴν ἕξιν πρός τι τῶν ἐπαινουμένων τε καὶ καλῶν. Οὗτος κομιδῇ κακίᾳ σύντροφος ὤν, παρὰ μὲν τῶν ἐλεεῖται· λέγω δή, τῶν οὐκ ἐλέους ἀξίων, ἀλλ' ἐγκωμίων· παρὰ δὲ τῶν μισεῖται· τῶν μισητέα διαπραττομένων, καὶ μισούντων ἑαυτοὺς, εἰ καὶ παράδοξον εἰπεῖν. Ὁ γὰρ καθάπαξ πονηρὸς ἄνθρωπος πρὸς τῷ τοῖς εἰδόσιν αὐτὸν μισεῖσθαι καὶ διαβάλλεσθαι καὶ ἑαυτῷ μισητός ἐστι, τρόπον δή τινα μισήσαντι τῷ συνειδότι τὴν βδελυρίαν. Ἅπας γὰρ ἄνθρωπος τὸ πονηρὸν, ὡς ἀλλότριον (ἡ γὰρ κακία θύραθεν), οὐ δύναται μὴ μισεῖν· ὥσπερ καὶ τὴν ἀρετὴν, ἐπει- δὰν αὐτὴν καλῶς καταμάθῃ ἀγαθὸν καί οἱ γνήσιον, C οὐ δύναται μὴ φιλεῖν. Ὁ τοίνυν μοχθηρίᾳ συζῶν ἀτόπως ἄγαν διάκειται, ταῖς γνώμαις δίχα τεμνόμενος, καὶ κινδυνεύει τὸ κατ' αὐτὸν αἰνίγματι ἐοικέναι, φιλεῖ τε γὰρ ἅμα αὐτὸν, τῷ μὴ τὴν φύσιν ἀρνήσασθαι δύνασθαι, καὶ τρόπον ἕτερον μισεῖ διὰ τὴν φαύλην προαίρεσιν, καὶ ζωὴν μετάμελον ἐκεί- νῳ παρεχομένην ἕλκει διηνεκῶς. Τὸ γὰρ μὴ κατὰ καιρὸν χάριεν λυπεῖν ἀνάγκη μετέπειτα. Λήξαντι γὰρ ἀκολουθεῖ τοὐναντίον, κατὰ Πλάτωνα. Καὶ τοῦ ἡδέος τὸ λυπηρὸν διαρκέστερον. Ἐκεῖνο μὲν γὰρ τῷ βίῳ τούτῳ συντελευτᾷ, ἧν ἐπὶ μήκιστον ἔλθῃ χρό- νον· τὸ δὲ λυποῦν συμπαραμένει τῇ ψυχῇ. Οὕτως ἀσύμφορον τὸ κακὸν, λέγω δὴ τὸ τοῖς κακοῖς ἡμᾶς αὐτοὺς ἐκδιδόναι. Εἰ μὴ γὰρ ἐμαυτὸν ἐκδοίην τοῖς οὐκ ὀνήσουσιν, οὐκ ἂν ἐκεῖνα δύναιτο βλάπτειν. Ὁ D μέντοι χρηστὸς ἄνθρωπος φιλεῖ μὲν καθαρῶς αὐτὸν τῆς περὶ τὰ πράγματα γνώμης, ἡδόμενος δὲ διατελεῖ ἡδονὴν σὺν τῷ καλῷ τοῖς τῆς εὐθύτητος τρόποις. Οὐ διαιρεῖται τοὺς λογισμοὺς, ὥσπερ ὁ φαῦλος ἐκεῖνος· ἀλλ' ἔστιν ὁ αὐτὸς ἀεὶ, καὶ ἑαυτῷ, καὶ τοῖς εἰδόσι σύμφωνος ὤν. Οἷς γὰρ θαυμάζουσι τοῦτον, τὴν δόξαν αὐτῷ πιστοῦνται. Καὶ μὴν ὁ πάντα ἀγα- θὸς φθόνου μὲν ἀνώτερος ἕστηκε, μίσους δὲ ἐκτός ἐστι, καὶ οἱανοῦν ἀπέχθειαν παρ' οὐδέσι κέκτηται τῶν σωφρονούντων ἀνθρώπων· ἀλλ' ἔχει πάντας ἑξῆς ἐκείνους καὶ βουλομένους καὶ εὐχομένους αὐτῷ τὰ κάλλιστά τε καὶ τιμιώτατα διὰ τὴν τῆς ἀρετῆς τελειότητα, ἣ τε τούτῳ γίγνεται κόσμος, καὶ ὑφ' οὗ τὸ ἴσον αὕτη λαμβάνει. Καὶ τὸ δὴ μέγιστον καὶ

neque corporibus parcerent, nec opes admirarentur, nec voluptatibus inhiarent, nec vitam ipsam bonestæ famæ anteponerent. Ea vero virtutis rami quidam sunt, quæ germane se potitis non abs re sudorem fructus immortales conservaverit, cum ipsa prius sit ejusmodi. Virtus enim res immortalis est.

A bonis ergo viris qui bene vivere cupiunt, accedente sapientia et doctrina, quæ recte hoc ipsorum desiderium ad finem optatum perducere possunt, facile quod cognatum est, aut secus, agnoscitur. At qui participes boni non sunt, iis hæc agnitio parum facilis est et expedita : quo fit ut quem ipsi beatum prædicant, hunc illi miserum putent ; et quod illi admirantur, hi fugiant. Ac sit ita sane. Multis autem lacrymis dignus his omnium maxime videtur esse, qui nec ipse bonus est, et multos corrumpit, ac propter facinorum vitiosorum assiduitatem, neque fieri vult bonus, neque mutare hunc habitum in laudabilem ac præclarum potest. Hic vitiositati prorsus innutritus, ab his commiserationem impetrat (de illis loquor, qui non miseratione, sed laudibus digni sunt), illis in odio est, qui odio nimirum digna peragunt, ac seipsos oderunt, licet hoc dictu quiddam novum sit et insolens. Homo namque prorsus improbus, præterquam quod iis quibus est notus, in odio est et reprehenditur, etiam ipse se modo quodam odit, cum ejus conscientia sceleritatem odio persequatur. Omnis enim homo quod improbum est, velut alienum quiddam (nam extraria vitiositas est), non potest non odisse : sicut et virtute, posteaquam recte cognoverit eam esse bonum quidpiam, sibique cognatum, non potest non amore prosequi. Qui ergo vitiositatis est velut in contubernio, miro quodam et absurdo affectus est modo, cum sententiis animi bifariam scindatur : adeoque parum abest, quod ipsum attinet, quin ænigmati similis sit. Nam simul seipsum et diligit, cum naturam inficiari nequeat, et alio modo quodam odit, voluntatis pravæ causa ; vitamque perpetuo pœnitentiam ei parientem exigit. Nam quod bonum non est, quo tempore peragitur, id deinceps dolorem gignat necesse est ; postquam enim desiit, diversum sequitur, ut ait Plato. Et dolor voluptate durabilior est. Hæc enim cum hac vita desinit, si maxime diuturnum tempus attingat ; at vero dolor cum ipso durat animo. Usque adeo noxium est quod malum hoc est, vitiis nosmet addicere : quippe nisi meipsum addicerem non profuturis, illa me lædere nullo modo possent. Bonus autem vir et diligit sincere seipsum, propter id de rebus judicium, quo præditus est, et voluptate perpetua fruitur cum honesto, nec sine recti ratione; non illius improbi more cogitationibus dividitur, sed semper idem est, atque tam secum ipse quam cum iis, quibus est notus, consentit, quippe dum hominem illi admirantur, opinionem ejus confirmant. Quin etiam omnino bonus ille supra omnem positus est invidiam, et odio caret, nec inimicitias ullius probi ac modesti hominis experitur: sed omnes bonos erga

Digitized by Google

se sic affectos habet, ut ei tum optima, tum honestissima quæque velint et optent, ob perfectionem virtutis, quæ ut illi ornamento est, sic et ipsa vicissim ab eo par ornamentum accipit. Quod denique maximum et insigne quiddam est, non hic a se ipso tantum diligitur, et bonis viris, verum etiam malis; nec id sane mirum. Quemadmodum enim homo pravus etiam ipsi sibi est odio propter vitiositatem, eodem modo bonus ab improbis quoque diligitur, cum ab eis talis esse conspicitur qualis est. Nequit autem fieri ut situm supra montem oppidum abscondatur. Non enim permittit Deus ut in occulto virtus patefacta nemini maneat, cum ut ipsam honore afficiat, ut equidem arbitror, et alumnum ejus, tum ut omnes ad bonum excitet. Cogit enim modis omnibus ut domum suam convivis repleat, ne ab illo eximio quisquam epulo exclusus absit. Atqui si virtus aliis patefieret, nec diligeretur a quoquam, nec admirationi esset, instar splendentis auri, quod adhuc terræ permistum est, et gemmæ pellucidæ, in tenebris sitæ: imo potius ex ea, nequaquam in medium producta, nemo prorsus lucri quidquam capere posset; quippe virtus inefficax omni caret ornamento, quando ne lyræ quidem recte instructæ ullus est usus, si nemo sit qui chordas perite pulset. Nam egregia res virtus est, egregium quiddam virtutis cultor; sed alterum alterius indiget, ad manus atque dolabræ similitudinem. Est autem proprie virtus bonum quod a sciente ac prudente ex animi proposito et habitu perficitur; itidemque vir præditus virtute, qui virtutem existimat esse rem omnium præstantissimam, quodque præstantissimum est, diligit, et quod diligit, facit ac libenter quidem facit. Hic revera beatus est, hic recte judicantibus admirabilis. Hoc est esse virum; hoc nostra est perfectio, hoc hujusce vitæ beatitas, quoniam augustum quiddam, quoniam magnum. Quæ si vera sunt, quo pacto non eximium quiddam est homo, sacrarum ut Litterarum verbis utar, qui bonis se factis oblectat, ac vicissim, pravum quiddam, qui vitiositatem pro ipsa ducit vita, cum invisus sit et abominabilis omnibus qui eum noverunt, et suasmet cogitationes habeat velut indices, ipsamque conscientiam, incorrupte severeque judicantem? Haec cum ita sint, nimirum a natura sic omnis homo comparatus est ut improbitatem oderit, et honesti studio teneatur; omnesque consentiunt, virtutem esse rem bonam et improbitatem, malam. In judicando vero falluntur, diversaque vivendi genera constituunt, dum aliqui quod malum est, bonum esse propterea putant, quod vitia virtutibus adhæreant, ac pessimæ quoque res boni participes sint, velut a Deo conditæ: quod sane complures decipit, animumquæ non advertentes demulcet, ac pelliciens ad ipsorum interitum transversos rapit et depravat, quemadmodum ab initio statim a nobis est indicatum.

A ὑπερφυὴς, φιλούμενός ἐστιν οὗτος οὐχ ἑαυτῷ μόνον, καὶ τοῖς ἀνδράσι τοῖς ἀγαθοῖς, ἀλλὰ δὴ καὶ τοῖς κακοῖς. Καὶ τοῦτο οὐ θαυμαστόν. Καθάπερ γὰρ ὁ πονηρὸς ἄνθρωπος καὶ ἑαυτῷ μισητός ἐστι διὰ τὴν κακίαν, τουτονὶ τὸν τρόπον ὁ ἀγαθὸς καὶ ὑπὸ τῶν φαύλων φιλεῖται, φανεὶς ἐκείνοις οἷός ἐστιν. Ἀδύνατον δὲ κρυβῆναι πόλιν, ἐπάνω ὄρους κειμένην. Ὁ γὰρ Θεὸς τὴν ἀρετὴν οὐκ ἀνεπίδεικτον συγχωρεῖ μένειν· αὐτήν τε, οἶμαι, τιμῶν, καὶ τὸν αὐτῆς τρόφιμον, καὶ πρός γε ἔτι παρακαλῶν εἰς τὸ ἀγαθὸν ἅπαντας. Ἀναγκάζει γὰρ πάντα τρόπον, ἵν' ἐμπλήσῃ δαιτυμόνων αὐτῷ τὸν οἶκον, ὡς μηδένα στερηθῆναι τῆς καλῆς θοίνης. Καὶ μὴν εἰ ἀνεπίδεικτος ἦν ἡ ἀρετὴ, οὔτ' ἂν ὅλως ἐφιλεῖτο, οὔτ' ἂν ἐθαυμάζετο παρ' οὐτινοσοῦν τῶν ἁπάντων· ὥσπερ B καὶ χρυσὸς λαμπρὸς, τῇ γῇ φυρόμενος ἔτι, καὶ διαφανής τις λίθος, ἐν σκότει κείμενος. Μᾶλλον δὲ οὐδ' ἂν εἷς εἶχεν ἐξ ἐκείνης τὸ παράπαν κερδᾶναί τι, μηδαμῶς ἐπιδεδειγμένης. Ἀρετὴ γὰρ ἀνενέργητος ἀμωγέπως κόσμος. Ὅτι καὶ καλῶς ἡρμοσμένης λύρας οὐδὲν ὄφελος, τοῦ τὰς χορδὰς μετ' ἐπιστήμης κινήσοντος μηδαμῶς ὄντος. Καλὸν μὲν γὰρ ἡ ἀρετὴ, καλὸν δὲ ὁ ταύτης ἐργάτης· δεῖται δὲ ἀλλήλων ἑκάτερα, κατὰ τὴν τῆς ἀξίνης τε καὶ χειρὸς εἰκόνα. Τοῦτο δέ ἐστι κυρίως ἡ ἀρετὴ, τὸ διενεργούμενον ἀγαθὸν κατά γε γνῶσιν, καὶ πρόθεσιν, καὶ ἕξιν· καὶ ἐνάρετος ἀνὴρ ὁ τὴν ἀρετὴν νομίζων πάντων ἄριστον εἶναι, καὶ φιλῶν τὸ ἄριστον, καὶ ποιῶν ὅ γε φιλεῖ, καὶ ἡδέως τοῦτο πράττων. Οὗτος C εὐδαίμων ὡς ἀληθῶς· οὗτος ζηλωτὸς εὖ φρονοῦσι· τοῦτ' ἀνὴρ, τοῦτο τελειότης ἡ παρ' ἡμῖν, ἡ μακαριότης τοῦ τῇδε βίου· ὅτι σεμνὸν, ὅτι μέγα. Καὶ εἰ ταῦτα ἀληθῆ, πῶς οὐ μέγα ἄνθρωπος, κατὰ τὴν Γραφὴν, ἀγαθοῖς ἔργοις χαίρων; Καὶ τοὐναντίον φαῦλόν τι, ὁ τὴν κακίαν ποιούμενος ἑαυτῷ βίον· ὧν μὲν ἀπεχθανόμενος καὶ βδελυκτὸς τοῖς εἰδόσιν αὐτὸν ἅπασιν, ὧν δὲ καὶ τοὺς λογισμοὺς κεκτημένος ὥσπερ ἐλέγχους, καὶ τὸ συνειδὸς δικάζον ἀδέκαστά τε καὶ ἀπαραίτητα. Ὅτε τοίνυν ταῦθ' οὕτως ἔχει, δηλονότι πέφυκε ἅπας ἄνθρωπος εἶναι μὲν μισοπόνηρος, εἶναι δὲ φιλόκαλος· καὶ συμφώνως ἔχουσιν ἅπαντες, ὅτι καλὸν ἡ ἀρετὴ, καὶ κακὸν ἡ πονηρία. Περὶ δὲ τὰς κρίσεις διαμαρτάνουσι, καὶ διαιροῦνται τοὺς βίους, ἐνίων ἡγουμένων τὸ κακὸν ἀγαθὸν D εἶναι, τῷ τὰς κακίας ταῖς ἀρεταῖς παραπεπηγέναι, καὶ τῷ τὰ φαυλότατα μετέχειν ἀγαθοῦ, ὡς θεόθεν ὑπηργμένα. Ὅπερ ἀπατᾷ τοὺς πολλοὺς, καὶ τοὺς μὴ προσέχοντας θέλγει, καὶ πρὸς τὴν αὐτῶν ἀπώλειαν ἕλκον, παρασύρει τε καὶ λωβᾶται, καθάπερ ἡμῖν εἴρηται καταρχὰς εὐθύς.

Satis, opinor, ostensum est quod propositum nobis erat, finemque sibi convenientem assecuta

ORATIO III.

De electione, deque voluntario, tum quod malus non natura nec extrinsecus, sed suamet ipse culpa sit malus.

ΛΟΓΟΣ Γ'.

Περὶ προαιρέσεως καὶ ἑκουσίου· καὶ ὅτι οὐκ ἐκ φύσεως, οὐδὲ ἔξωθεν ὁ κακὸς, αὐτὸς ἀλλ' ἑαυτῷ αἴτιος γίνεται.

Δέδεικται μὲν, ὡς ἡγοῦμαι, τὸ προκείμενον ἡμῖν ἱκανῶς, καὶ πέρας ὁ λόγος εἴληφε προσῆκον αὐτῷ·

Digitized by Google

ἔστι δὲ λοιπὸν φάναι, διατί οἱ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο γινόμεθα, μιᾶς τιμῆς καὶ φύσεως ἠξιωμένοι. Καὶ φαμὲν, διὰ τὴν προαίρεσιν μόνην. Τῷ γὰρ ἀγαθῷ ἐθέλοντι εἶναι, καὶ τἀγαθὸν διώκοντι, οὐδέν τι τῶν πάντων κώλυμα ἔσται, ὡς μὴ εἶναι ἀγαθῷ. Ἀλλ' οὐ δικαία παραίτησις τῷ μὴ σπουδαίῳ γεγενημένῳ. Ἐκὼν γὰρ εἶναι οὐ γίγνεται. Εἰ γὰρ καὶ πολλὰ ἡμῖν ἐπιφύεται τῶν δεινῶν, ὥσπερ αὐτόματα καὶ αὐτόμολα· ἀλλ' οὐδὲν αὐτῶν ἂν εἴη οὕτω βιαιότατον καὶ τυραννικώτατον, ὡς καὶ τῆς θελήσεως ἡμῶν ἄρξαι. Εἴη γὰρ ἂν ταύτῃ γε δή πως ἀνῃρημένον ἡμῖν καὶ τὸ αὐτεξούσιον, ὡς κἂν τῷ πρὸ τοῦδε ἡμῖν εἴρηται λόγῳ. Τῆς δὲ προαιρέσεως μὴ νοσούσης, μηδὲ δουλιωθείσης καθάπαξ, κἂν ὅ τι πάθοι κακὸν τὸ σῶμα, οὐδὲν ἡμῶν ἐμποδὼν ἔσται, ὥστε ἀγαθοῖς εἶναι. Καὶ δηλοῖ τὰ τῶν ἁγίων σκάμματα νενικηκότα πᾶν βίαιον. Συνίστησι δέ μοι τὸν λόγον καὶ τοὐναντίον. Τὸ γὰρ ἀκουσίως καλὸν ποιεῖν οὐ στεφανοῖ τοὺς ἐργαζομένους. Τὸ τοίνυν ἄκοντα ποιεῖν, ἢ πάσχειν τι μὴ βουλόμενον, οὔτε ἀγαθοὺς ἡμᾶς, ἀλλ' οὐδὲ φαύλους ἐργάζεται· τῷ δ' ἑκουσίῳ θελήματι, ὅπερ ἐστὶ τῶν ἐφ' ἡμῖν, καὶ οὐκ ἠργμένον ἔξωθεν, οὐδ' ἐπαγόμενον ὁθενοῦν, ἀγαθὸς καὶ μὴ τοιοῦτος ἕκαστος γίνεται. Ὥστε τὸ πᾶν ἐκ τῆς προαιρέσεως. Πλὴν ὁ φαῦλος θέλων εἶναι, γέγονεν εὐθὺς τῇ θελήσει, κἂν μηδὲν ἐργάσηται τῶν κακῶν. Ἀρκέσειε γὰρ ἂν εἶναι κακὸν, τῷ θέλειν ἀπεῖναι τοῦ ἀγαθοῦ. Καὶ τοῦτο εὔλογον οἶμαι. Καὶ γὰρ αὐτὸ τὸ κακὸν τῇ ἀπουσίᾳ τοῦ καλοῦ ὑπάρχειν πάντως δοκεῖ, καὶ οἱονεὶ συνίσταται στερήσει μόνῃ, οὐχ ἕξει. Ὁ δὲ ἀγαθὸς ἀνὴρ, ἐπειδὴ τὸ ἀγαθὸν τέλειον (ἀγαθὸς γὰρ ὁ Θεὸς, ἐν ᾧ μηδὲν ἀτελὲς), οὐ στήσεται μέχρι τοῦ θέλειν, ἀλλὰ καὶ περαιτέρω προβήσεται, καὶ δείξει τὸν ἄνδρα αὐτοῖς ἔργοις, συνιστῶν τοῖς πράγμασιν, ὡς τὸ θέλειν ἀληθὲς ἐν αὐτῷ, μηδεμίαν κιβδηλότητα κεκτημένον. Ἄλλως γὰρ ἂν δόξειεν ἀγαθὸς, οὐκ ἔστι δὲ πάντως. Δεῖ δὴ τοὺς ἀγαθοὺς εἶναι σπουδάζοντας μηδαμῶς πρὸς τἀγαθὸν ἐλλιπῶς ἔχειν· ἀλλ' εἶναι μὲν ἀκμάζουσαν ἐν αὐτοῖς καὶ ὁρμὴν τὴν πρὸς αὐτὸ, καὶ προθυμίαν, καὶ βούλησιν, εἶναι δὲ καὶ τρόπον δεικνύντας αὐτοῖς τοῖς ἔργοις ἀδελφὸν τῇ προαιρέσει, ἵνα μὴ τῷ κρείττονι χωλεύωσι μέρει. Ὥστε τὸ βούλεσθαι μόνον οὐχ ἱκανὸν ἀγαθοὺς ἀποφῆναι. Ἀλλ' εἰ μὲν ἀληθές τε καὶ καθαρὸν εἴη, ἀρκέσειεν ἂν εὖ φρονοῦσιν ἀγαθοὺς ἐργάσασθαι. Καὶ τὸν ἀγαθὸν βουλόμενον εἶναι, τοῦτον δὲ μὴ εἶναι, ἀδύνατον. Ἕψεται γὰρ καὶ τὸ ἐνεργεῖν. Ὁ δὲ κακὸς βουλόμενος εἶναι (ὁ λόγος δὲ ἡμῖν οὐ περὶ μελαγχολώντων καὶ τετυφωμένων ἀνθρώπων) αὐτῷ τῷ βεβουλεῦσθαί τε καὶ θελῆσαι αὐτίκα γέγονεν ἀτεχνῶς ἐν τῇ καρδίᾳ αὐτοῦ, φησὶν ὁ Σωτήρ. Εἴη γὰρ ἂν τοῦτό γε, ὥσπερ ἂν εἰ τὰ κακὰ οὗτος αὐτὸς προὐκαλεῖτο, καὶ προσερχομένοις ὑπήντα, καὶ χερσὶν ὑπτίαις ὑπεδέχετο. Τὸ γὰρ ἐμβλέψαι πρὸς τὸ ἐπιθυμῆσαι, τοῦτό ἐστιν ἀντικρυς τὸ θέλειν εἶναι κακόν.

oratio. Restat, ut exponamus quamobrem de quibusdam e nobis hoc fiat, illud ex aliis, cum tamen unius dignitatis et naturæ simus. Ac dicimus hoc fieri solius electionis ratione. Nam qui bonus esse vult, quodque bonum est sectatur, illi nihil omnino esse impedimento potest quominus sit bonus. Nec ei qui non evasit in virum bonum, justa superat excusatio. Nam hoc volenti contingit. Quanquam enim multa dira graviaque, velut ex se ultroque venientia, nos adoriuntur, tamen nullum ex eis adeo violentum atque tyrannicum fuerit, ut etiam in voluntatem nostram imperium exerceat; nam cæteroqui nobis ipsa libertas voluntatis everteretur, sicut in oratione hac præcedente dictum est. Quod si animi electio nullo laboret vitio, nec prorsus in servitutem redacta sit, quodcunque tandem malum acciderit corpori, minime nobis erit impedimento quominus boni simus. Argumento sunt virorum sanctorum scammata, quæ omnem violentiam superarunt. Itidem quod dico, confirmat et id quod ei contrarium est: quippe non sponte quod bonum est facere, nulla facientes corona donat. Itaque vel invitum facere, vel nolentem aliquid pati neque nos bonos neque malos efficit. Nimirum voluntate spontanea, quæ nostra est in potestate, nec provenit extrinsecus, nec unde unde ingeritur, quisque bonus et non bonus efficitur; adeoque res ab electione tota pendet. Sed tamen qui malus esse vult, statim voluntate fit malus; etiamsi nihil mali peragat, quippe satis fuerit ad hoc ut sit malus quod a bono remotus esse velit. Atque hoc rationi consentaneum puto: nam malum ipsum ex absentia boni omnino videtur exsistere, quæsique constat privatione tantummodo, non habitu. At vero vir bonus, cum quod bonum est perfectum sit (Deus enim bonus est, in quo nihil imperfecti), non velle modo debebit, sed ulterius quoque progredietur, et virum factis ostendet, rebus ipsis comprobans, esse verum in eo velle, minimeque fucatum: nam cæteroqui bonus videbitur, cum omnino non sit bonus. Nequaquam certe, qui boni esse student, quod bonum est imperfecte debent amplecti, sed vegetum in eis et acrem ad bonum esse oportet impetum, et alacritatem et voluntatem; simulque factis ipsis mores instituto animi germanos probare debent, ne parte potiori claudicent. Unde colligitur, solum velle non sufficere ad hoc ut boni efficiamur, sed si verum sincerumque velle sit, satis habebit efficacitatis, ut homines sanos ac prudentes bonos efficiat: et hoc modo qui bonus esse vult, fieri non potest quin bonus evadat, nam et ipsa facta subsequentur. Qui autem vult esse malus (loquimur autem non de hominibus insanis et lymphaticis), ipsa consultatione ac voluntate malus statim factus est dubio procul in corde suo, quemadmodum ipse Salvator ait. Etenim hoc perinde fuerit atque si mala ipsemet arcesseret, et accedentibus occurreret manibusque supinis ea susciperet. Nam in hoc aspicere, ut concupiscas, id vero prorsus est malum esse velle.

Ἀλλ' οὐδὲ ἐκεῖνο ἀνέγκλητον, ἔχειν μὲν ἐν νῷ τὸ

Nec illud quoque reprehensione caret, habere

Digitized by Google

quidem in animo bonum, sed adeo fragile esse, ut hanc boni cogitationem subvertere conaturis idipsum facile factu ostendatur: vel e contrario non esse paratum ad resistendum fortiter rei nociturae, nec factus ostendere quæ nostra in potestate sint et electione, plus habere virium quam omnia quæ extrinsecus intenduntur. Nam si quis bonum simpliciter ita velit, cumque deinde factis præstandum est, segniter ac negligenter affectus sit, is vero longe remotus a perfectione non amplius est in bono, quod sane perfectum est. Sedenim quonam hoc pacto facile possim effugere, dicet aliquis. Nam res ex quæ per voluptates nobis imponunt et blandiuntur, omnino non mediocre robur habent, uti de rebus ipsis cognoscere licet. Alius enim aliis capitur, quantacunque animi contentione utatur; nec quisquam omnibus est superior. Ne quidem ipse dico, posse mala facile vitari, sed non nisi maximo tam studio quam tolerantia, quantum homini fas est. Idque adeo verum est, ut licet ei mali quid aliquando acciderit, non propterea sit malus. Atenim, dicit aliquis, complura quasi quodam fuco nobis imponentia, nosque demulcendo fallentia, fortassis evitavero, si perpetuis me certaminibus addixero: verum si res admodum mordaces, et extremum in modum violentas tamque natura formidabiles, ut animos etiam sola sui recordatione concutiant, per quas uxores, liberos, charissima quæque, vitam ipsam amittimus: hæ res igitur si vehemente cum impetu irruant, quonam eas pacto semper sustinuero, nec omnino cessero, quocunque duxerint, victorum in morem subsequens? Hujusmodi denuo nobis objiciens quispiam fortasse protulerit. At hæc vicissim a viris ex præscripto rationis et fortitudinis viventibus, audiet: Neque tu quidquam sentis, neque dicis, cujus vel per somnum oblati virum ratione præditum, et animo forti, non merito puduerit, et cujus causa non pœnas experrectus ipse de seipso sumpserit. Nam qui reapse viri sunt, nihil neque potentius neque formidabilius existimant eo qui revera potens est ac formidabilis, sicuti nec amantibus pudice quidquam amabilius et desiderabilius revera pulchro et bono. Quippe dira quidem ejusmodi sunt et plus quam dira, Quin etiam demus, ut territare ac vulgus hominum percellere vehementer possint, et omnia plane bona præsentia cum ipsa vita resistentibus adimere, tuas ut tibi superlationes illas omnes concedamus, non tamen, etiamsi talia sint (quanquam plura quoque, si voles, demus), æquiparanda cum animo verissimaque gloria veniunt, quorum causa vel ipsam vitam, qui sapit, multa cum alacritate profuderit. Par enim istud res alias universas nimium quantum excellit et superat. At illa gravia, quæ tu commemorans exhorrescere videbaris, etiamsi quis irruere confertim extrema cum acerbitate concesserit, tamen nec animo detrimentum afferunt, si quidem ei non etiam vehementer conducunt, nec infamiam conciliant, si

A ἀγαθὸν, εἶναι δὲ οὕτω σαθρὸν, ὡς τοῖς ἐπιχειρήσουσιν αὐτῷ τὸν λογισμὸν περιτρέψαι εὔκολον αὐτοῖς ἀναδείκνυσθαι· ἢ τοὐναντίον, μὴ εἶναι ἕτοιμον ἀντιστῆναι γενναίως τῷ βλάψοντι, καὶ δεῖξαι τοῖς ἔργοις, ὡς ἰσχυρότερα τὰ ἐφ' ἡμῖν καὶ τῆς προαιρέσεως τῶν ἔξωθεν ἐπαγομένων ἐξῆς ἁπάντων. Εἰ γάρ τις ἐθέλει τὸ ἀγαθὸν οὐτωσὶν ἁπλῶς, ἔπειτα δεῆσαν πράττειν, ὁ δ' ὀλιγώρως διάκειται καὶ ἠμελημένως, πολὺ τῆς τελειότητος ὑστερῶν, οὐκέτ' ἔστιν ἐν τῷ ἀγαθῷ, ὅ γε τέλειον. Ἀλλὰ πῶς ἂν ταῦτα ῥᾳδίως διαφύγοιμι; φησί. Τοῖς γὰρ διὰ τῶν ἡδονῶν ἐξαπατῶσι καὶ ὑποσαίνουσι πράγμασιν οὐκ ἐγεννής τις πάντως ἰσχὺς, ὡς ἀπὸ τῶν πραγμάτων ἔχομεν γνῶναι. Ἄλλος γὰρ ἄλλοις ἁλίσκεται, κἂν ὁπόσον θέλῃ φιλοσοφεῖν. Καὶ οὐδεὶς τῶν ὅλων ἀνώτερος.

B Οὐδὲ ἐγὼ ῥᾳδίως φημι, ἀλλὰ σπουδῇ καὶ καρτερίᾳ μεγίστῃ τὰ κακὰ διαφεύγειν δύνασθαι, ὅσον ἀνθρώπῳ δυνατόν· καὶ τοσοῦτον, ὥστε εἴ που καὶ ἀλοίη παθὼν, μὴ διὰ τοῦτο κακὸν εἶναι. Ἀλλὰ τὰ μὲν πολλὰ, φησὶ, τῶν φενακιζόντων τε καὶ κηλούντων διολισθήσαιμ' ἂν ἴσως, ἐμαυτὸν δεδωκὼς διηνεκέσιν ἀγῶσι· κομιδῇ δὲ πράγματα δακνηρὰ, βιαιότατα μὲν ἐς ἄκρον, οὕτω δὲ φύσει φοβερὰ, ὡς καὶ δονεῖν τὰς ψυχὰς αὐτῇ καὶ μόνῃ τῇ μνήμῃ, δι' ὧν γυναῖκας, παῖδας, τὰ τιμιώτατα, αὐτὸ τὸ ζῆν ζημιούμεθα, εἰ μετὰ σφοδρᾶς κωμάσεις ῥύμης, πῶς ἂν ὑποσταίην ἀεισθήποτε, ἀλλὰ μὴ παντάπασιν εἴξαιμι, καὶ οὗπερ ἂν ἄγάγοι, δεδεμένος παραπλήσιον ἑφεψοίμην; ἐρεῖ τις ἴσως τοιαῦτα ἀνθυποφέρων. Ἀκούσεται δὲ παρ'

C ἀνδρῶν ἐν λόγῳ ζώντων καὶ γενναιότητι· Οὐδὲν οὔτε φρονεῖς, οὔτε λέγεις, ὃ μὴ κἂν ὄναρ ἰδὼν ἀνὴρ μετέχων λόγου καὶ γενναιότητος, ᾐσχύνθη τε πάνυ δικαίως, καὶ δίκην γε τὴν γιγνομένην ἐξεγειρόμενος παρ' αὐτὸς αὐτοῦ εἴληφε. Τοῖς γὰρ ὡς ἀληθῶς ἀνδράσιν οὐδέν τι δυνατώτερόν τε καὶ φοβερώτερον τοῦ ὄντως δυνατοῦ τε καὶ φοβεροῦ· ὥσπερ οὐδὲ τοῖς ἐρῶσι σωφρόνως ἐρασμιώτερόν τε καὶ ποθεινότερον τοῦ ὄντως γε καλοῦ τε καὶ ἀγαθοῦ. Δεινὰ μὲν γὰρ, καὶ πέρα δεινῶν τὰ τοιαῦτα· ἔστων δὲ καὶ καταπλῆξαι καὶ κατασεῖσαι σφόδρα δυνάμενα τοὺς πόλλοὺς, καὶ ζημιῶσαι, πάνθ' ἑξῆς μετὰ τοῦ ζῆν τὰ παρόντα τοὺς αὐτοῖς ἀνθεστηκότας, ἵνα σου τῶν ὑπερβολῶν μηδεμίαν ἀφελώμεθα· οὐ μὴν τοιαῦτά

D γε ὄντα (ἔστων δὲ καὶ πλείω, εἰ βούλει), ἀντάξια δήπουθεν ψυχῆς καὶ δόξης ἀληθεστάτης, δι' ἃ γε καὶ τὸ ζῆν αὐτὸ δοίη τις ἂν εὖ φρονῶν μετὰ πολλῆς προθυμίας. Αὕτη γὰρ ἡ ξυνωρὶς τοῦ παντὸς ὑπέρκειται μετὰ μακρᾶς τῆς ὑπερβολῆς. Ἐκεῖνα δὲ τὰ δυσχερῆ, ἃ σύ γε λέγων ἐδόκεις φρίττειν, κἂν ἀθρόα δοίη τις εἰσκωμάσαι μετὰ δριμύτητος ἄκρας, οὔτε βλάπτει τὴν ψυχὴν, εἰ μὴ καὶ σφόδρα ὀνίνησιν, οὔτε ἀδοξίαν προξενεῖ, εἰ μὴ καὶ λαμπρῶς στεφανοῖ. Ὅλως δὲ τὰ λυπηρὰ εἰς ἑαυτὰ στρεφόμενα, ὡς τὰ πολυφλοίσβοιο θαλάττης κύματα, διαλύεται. Εἰ δὲ καθάψαιτο καὶ μακρὸν μεθ' ὅσης ἂν τις εἴποι σφοδρότητος καὶ πλεονεξίας, ἀλλὰ πᾶσα ἡ παροῦσα ζημία τῆς ἤδη τρεχούσης ἐστὶν ἡμέρας, εἰ δὲ βούλει γε στιγμῆς· καὶ ἐν ἀκαρεῖ γίνεται, ἢν ἀκριβῶς τις σκοπήσῃ τὰ περὶ τῶνδε. Καὶ συλλαμβάνονταί μοι

Digitized by Google

ταυτησὶ τῆς ἐννοίας, οἵ τε σοφοὶ τῶν παλαιοτέρων, καὶ τῶν καθ' ἡμᾶς ἱεροί τινες ἄνδρες. Ἀκήκοας δέ τι καὶ παρ' ἡμῶν περὶ τούτων σαφέστερον εἰρηκότων ἐν τῷ ἑξηκοστῷ δευτέρῳ τῶν πρὸς σέ μοι κεφαλαίων. Ἡ δὲ τούτων δὴ τῶν λυπηρῶν δύναμις ἡ τὸ φοβῆσαι προσδοκίαις ἐστὶν, ἢ τὸ παρόντα δακεῖν· καὶ τὸ μέγιστον κακὸν ἀφελέσθαι καὶ τὸ ζῆν. Καὶ ὅταν τοῦτο γένηται, τότε πλέον οὐδέν τι δέδρακεν, ἢ ὅ πάντως ἔπεισιν αὐτόματόν τε καὶ ἀπαραίτητον. Δεῖ γὰρ γυμνοὺς γεννηθέντας γυμνοὺς καὶ ἀπιέναι, κατὰ τὴν Ἰὼβ ἐκείνου φωνὴν, τὴν ἄχρι νῦν ὑμνουμένην. Μᾶλλον δὲ οὐδ' αὐτὸ συμπεριφέρειν τὸ σῶμα δυνάμεθα, ἐνθένδε μεταστάντες· ἀλλὰ καὶ τοῦτο λοιπὸν ἀνάγκη, ἄχρις οὗ καιρὸς ἐπαναλαβεῖν, ἀποδοῦναι γῇ τῇ μητρί. Οἷς οὖν ὁ βδρόμος σύντονος ἐπειγόμενος εἰς φθορὰν, καὶ ταύτην ἴσως αὐτίκα μάλα γενησομένην, τούτοις τί μένιμον, τί σταθηρὸν, τί πάγιον; Πῶς ἂν ἤ τι τῶν λυπηρῶν εὖ φρονοῦσι μέγα δόξειεν, ἤ τι τῶν ἡδέων προὐργιαίτερον ψυχῆς καὶ δόξης, ἀθάνατα διαμενούσης ἐξ ἀγαθῶν ἔργων; Καὶ τοίνυν κατὰ τῶν ἀνθρώπων ἐκείνων οἱστισι γνῶσις καὶ φρόνημα, παιδαρίοις παραπλήσια (τοῖς τῶν ἀντιλεγόντων δ' ἐντεῦθεν χρήσομαι λόγοις), οὐκ ἀγεννής τις πάντως ἰσχὺς, ὡς ἀπὸ τῶν πραγμάτων ἔχομεν γνῶναι. Ἄλλος γὰρ ἄλλοις ἁλίσκεται. Ὅσθ' ὁ τὰ τοιαῦτα λέγων ἔχει με συνᾴδοντά τε καὶ συμφωνοῦντα ὅσα γε πρὸς τοὺς τοιούτους ἀνθρώπους· οὐ μὴν καὶ πρὸς τοὺς βουλομένους ἀγαθοὺς εἶναι. Τοῖς γὰρ μὴ ῥᾳδίως ἁλίσκεσθαι προαιρουμένοις, μηδ' εὐχερῶς ἐθέλουσι καταπίπτειν, μηδὲ τὸ κρεῖττον τῆς ψυχῆς καὶ ὑψηλότερον μέρος τῇ συζυγίᾳ τῇ κατωτέρῳ καταδουλοῦσθαι (τὸ ἐπιθυμητικόν τε λέγω καὶ θυμικὸν, ἃ προσῆκεν ὑποκεῖσθαι καὶ ἡνιοχεῖσθαι τῷ λόγῳ), παιδιά τις ἀντικρὺς καὶ γέλως ἔσχατος ὅλως, ἅπαν δεινὸν δεδιττόμενον, καὶ ὅ τι παρεκτρέπει μορμολυττόμενον ὁδοῦ καὶ ψήφου τῆς ἀληθοῦς. Τοῖς γὰρ δὴ κατ' ἄνδρας ἀμύνεσθαι βουλομένοις, καὶ πάντων αἴσχιστον οἰομένοις, μὴ τοὺς ὑπὲρ τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ἱδρῶτάς τε καὶ πόνους ὑφίστασθαι, ὥστε μὴ προδοῦναι καταπατεῖσθαι τὴν τῆς ψυχῆς εὐγένειαν, εἰκόνος οὔσης τοῦ πλάσαντος, πῶς οὐκ ἔσται πάντων περιγενέσθαι, τὸν Θεὸν συλλήπτορα κεκτημένοις;

A quidem non splendida potius corona donant. Ipsa vero tristia, plane in seipsa conversa, instar fluctuum turbulenti maris, dissipantur. Quod si diu pungendo mordeant, tanta cum ingentis impetus vehementia, quanta verbis a quoquam exponi potest, tamen illa tota calamitas præsens diei modo currentis est: vel si mavis, puncti temporis; adeoque momento accidit, si quis accurate res ipsas consideraverit. Atque hanc sententiam meam comprobant tum illi prisci sapientes, tum de nostris sancti quidam viri. Præterea de his aliquid audivisti clarius expositum a nobis quoque sexagesimo secundo illorum capitum quæ ad te perscripsimus. Vis autem horum tristium in eo sita est, ut exspectatione terreant, vel ut præsentia mordeant, maxi-
B mumque malum est, si vitam adimant: quod quidem ubi factum est, nihil rei majoris effecere quam quæ tum sponte sua, tum inexorabiliter omnino tandem supervenire solet; quippe nudos in lucem editos etiam nudos migrare necesse est, secundum illud Jobi verbum quod hactenus celebratur. Imo vero ne corpus quidem ipsum cum hinc discedimus, una nobiscum abducere possumus, sed illud quoque necesse est terræ matri tradamus, usque dum resumendi tempus appetat. Itaque qui contento cursu ad interitum properant, eumque confestim fortasse secuturum, quid habent durabile, quæso, quid stabilis, quid solidæ rei? Quo pacto vel triste quidpiam mente præditis magnum videri possit, vel jucundum aliC quid videri prius atque potius animo et gloria bonis ex factis æternum durante? Igitur adversus illos homines qui tali sunt intelligentia præditi et animo qualis puerulorum est (utar autem verbis eorum qui nobis contradicunt), non omnino debile robur horum est, ut ipsis ex rebus cognoscere licet. Alius enim aliis capitur. Qui hæc dicit, me sibi plane consentientem habet, quod ejusmodi quidem homines attinet, verum non illorum quoque respectu qui boni esse volunt. Nam qui nolle se facile capi suis cum animis constituunt, nec ad labendum proclives esse volunt, neque partem animi præstantiorem et sublimiorem geminis illis inferioribus in servitutem addicere (de vi tum concupiscendi, tum irascendi, loquor, quas esse rationi subjectas et ab eadem gubernari convenit), iis extremus plane ludus atque jocus est, quidquid rei diræ terrorem infert, quasique larva quadam formidinem incutiens, ab itinere judicioque vero abducit. Etenim qui virilem in modum se propugnare volunt, omniumque turpissimum ducunt, non honesti virtutisque causa sudores atque labores sustinere, ne culpa sua proteri pedibus animi nobilitatem patiantur, qui Conditoris ipsius est simulacrum, quo pacto non illi superiores omnibus evaserint, cum Deum auxiliatorem habeant?

Ἀλλὰ τούτων μὲν ἄλις, φησί· συνεπεράνθη γὰρ ὡς ἐχρῆν, οἶμαι· τὸ δὲ κατ' ἄγνοιαν καθαράν, ἢ ἀπάτην θύραθεν ἐπιγιγνομένην, ἢ τὸ βιασθέντα εἶξαι πολλῇ καὶ ἀκαταμαχήτῳ δυνάμει εἴη ἂν ἀκούσιον ἀτεχνῶς, καὶ ποιεῖ τὸ ἁμάρτημα παντελῶς ἀνέγκλητον. Τοῦτ' ἂν ἴσως εἴποι τις πρὸς τὰ εἰρημένα. Καὶ ἀκολούθως οἶμαι ῥηθὲν, ἀναγκάζει πάντως ἡμῖν τὸν λόγον διελεῖν, καὶ παραδοῦναι σαφέστερον, οὐ περὶ τῆς προαιρέσεως μόνον, ἀλλὰ καὶ τί ποτ' ἐστὶν ἐκεῖνο τὸ καθαρῶς ἑκούσιον, καὶ τί τὸ ἐναν-

D Sed de his jam satis, dixerit aliquis. Est enim ita conclusum quemadmodum oportebat, opinor. At vero quod ex ignorantia mera fit, aut per accedentem extrinsecus fraudem; vel si quis vi coactus magnæ ac inexpugnabili potestati cesserit, id sane dubio procul involuntarium fuerit, ipsumque delictum omni culpa liberaverit. Hoc fortasse quispiam dixerit ad ea quæ indicata sunt. Cumque mea sane opinione convenienter dictum sit, omnino nos cogit ut orationem partiamur, et magis perspicue

Digitized by Google

disseramus, non de electione tantum, verum etiam quid tandem illud pure voluntarium sit, quidve huic contrarium; et rursus quodnam mistum ac in utramque partem propendens: et quibus hæc modis fiant, et quodnam horum agentes, quid mereamur, quibus rebus admirationem, quibus odium nobis conciliemus, quæ commiserationem impetrent, a nobis quoquo modo facta. Verum si hoc instituamus, in infinitum provecta oratio faciet, ut affecta (sat scio) molestia quadam juventus hæreat. Nam particulatim exponere velle quæcunque multiformi scenicæque huic vitæ contingere possunt, et quæcunque nobis eadem ostendit, dum larvam frequenter immutat, tantumque non fabulam quasi quamdam exhibet, alias aliis incidentibus, diversarum occasionum et personarum causa; cum ipsorum quoque temporum adeo variæ sint vicissitudines, ut eadem perpetuo nos de rebus iisdem cogitare nullo modo permittant: id vero, mea quidem sententia, prorsus huc non quadraverit. Etenim ambitiose potius philosophari velle videbimur quam te ad virtutem instruere. Nam ipsa quidem orationis series multas ostendere divisiones et subdivisiones cogit, gradusque plures facere, quasique scalam quamdam horum exhibere: sed deterret copia, magnumque pelagus eorum quæ necessario dicenda veniunt. Quamobrem de his prolixe disserere, quidquid est operæ pretium, Aristotelis et Platonis et aliorum talium esse statuens, eos ipsos de rebus hujusmodi philosophari sinam, quando fieri nequit ut quisquam de his rectius atque melius eis disserat. Nos vero duntaxat obiter, prout fieri licebit, his quasi delibatis, ad ulteriora deinde progrediemur. Nam et ipsa hæc docendi ratio, et princeps orationis institutum, tantopere nos evagari non sinit, ut omnibus obliquis velut excursionibus insistamus, quamvis ipsæ per se necessariæ pro viribus ut res tota brevibus exponatur.

Delicta partim ex ignoratione perfecta proficiscuntur, eaque sane fuerint a qua vis tum pœna, tum reprehensione immunia; partim a scientibus et prudentibus admittuntur, et accurata voluntate; quæ probationis haud egent, qua ostendatur, esse prorsus ea voluntaria, cum a pura electione animi proficiscantur. Nam ejusmodi manifesto voluntaria sunt; nec quidquam prohibet quo minus et vice versa dicatur, quidquid voluntarium sit, ad electionem pertinere. Non enim ubique requirendum est id quod ex altera parte respondet, nam quæ latius patent, una cum partibus suis et ipsa tum considerantur, tum sese offerunt: at in partibus non itidem, quod universalius est. Tale vero quiddam esse tam voluntarium quam electionem, visum est exercitatis in hoc genere viris, iisque tum plane bonis, tum virtute præditis. Aiunt enim, electionem non esse idem quod voluntarium, sed partem ejus. At in voluntaria subtiliter existimabuntur, quæcunque putat aliquis neminem sanum prorsus debere velle; quam quidem ob causam nec amat ea, nec facere cupit, imo vero pro insigni lucro ducit quod nihil sibi cum eis unquam

A τίον, καὶ ποῖον αὖθις ἐπίμικτον καὶ ἀμφιβρεπὲς, καὶ τίσι ταῦτα γίγνεται τρόποις, καὶ τί τούτων ποιοῦντες, τίνων ἐσμὲν ἄξιοι, καὶ τίσι θαυμαζόμεθα, καὶ τίσι μισούμεθα, καὶ τίσιν ἐλεούμεθα, τῶν ὁπωσδήποτε παρ' ἡμῶν γινομένων. Πλὴν εἰ τοῦτο ποιήσαιμι, εἰς ἄπειρον ὁ λόγος ἐξενεχθεὶς, εὖ οἶδ' ὅτι τὴν νεότητα ἀποκναίσας, ἰλιγγιᾷν προξενήσει. Τὸ γὰρ κατὰ μέρος πειρᾶσθαι φράζειν, ὅσαπερ ἐνδέχεται συμπεσεῖν τῷ πολυμόρφῳ καὶ σκηνικῷ τοῦδε βίῳ, καὶ ὅσαπερ ἡμῖν αὐτὸς δείκνυσι, πυκνὰ τὸ προσωπεῖον ὑπαλλάττων, καὶ μονονουχὶ δραματοποιῶν, ἄλλοτε ἄλλων παρεμπιπτόντων, διαφόρων ἀφορμῶν καὶ προσώπων ἕνεκα, καὶ προσέτι τῶν καιρῶν παντοδαπῶς μεταβαλλομένων, ὥστε μηδὲ συγχωρεῖν ταυτὰ νοεῖν διηνεκῶς περὶ τὰ αὐτὰ πράγματα, παντελῶς ἂν εἴη ἔξω τοῦ προσήκοντος, οἶμαι. B Δόξομεν γὰρ φιλοσοφεῖν φιλοτιμεῖσθαι μᾶλλον, ἢ σὲ πρὸς ἦθος παιδεύειν· ἡ μὲν γὰρ ἀκολουθία τοῦ λόγου καταναγκάζει διαιρέσεις τε πολλὰς καὶ ὑποδιαιρέσεις δεικνύναι, καὶ βαθμοὺς πολλοὺς ποιεῖν, καὶ οἱονεί τινα τούτων κλίμακα ἀποφῆναι· φοβεῖ δὲ μάλα τὸ πλῆθος καὶ τὸ πολὺ τῶν ἀναγκαίων εἰρῆσθαι πέλαγος. Ὅθεν δὴ τὸ προῦργου λέγειν περὶ τῶν τοιούτων εἰς μῆκος Ἀριστοτέλους, καὶ Πλάτωνος, καὶ τῶν ἄλλων τῶν τοιούτων εἶναι νομίσας, τούτους αὖ πάλιν ἐάσω τά γε τοιαῦτα φιλοσοφεῖν, ὅτ' οὐδὲν ἔστιν εἰπεῖν ὄντινοῦν ἐκείνων ἄμεινον. Ἡμεῖς δὲ μόνον ὡς ἐνεστιν ἀφοσιωσάμενοι τὰ περὶ τῶνδε, εἶτ' ἐπὶ τὰ πρόσω χωρήσομεν. Καὶ γὰρ καὶ τὸ σχῆμα τῆς ὁμιλίας, καὶ ἡ τοῦ λόγου καταρχὴ C ὁρμὴ, εἴργει τοσοῦτον ὑπερεκτείνεσθαι, πάσαις ἐπόμενον ταῖς παρεκδρομαῖς, κἂν ἀναγκαῖαι τὸ κατ' αὐτὰς λέγεσθαι. Ἀρκτέον δὴ καὶ πειρατέον, ὡς οἷόν τε, διὰ βραχέων ἀποδοῦναι τὸν λόγον.

victoria gaudet. Illud etiam meretur indicari. Tunc animis dolorem indit, cum nos coronatos tripudiare par erat. Cum enim ipsa superata et ovare nos æquum sit, et cum lætitia exsultare, nos e diverso tristes sumus; adeoque novum et insolens quiddam nobis usuvenit, qui mœrorem ceu fructum quemdam victoriæ reportemus. Vel potius novi nihil nobis accidit. Corrigendum est enim quod diximus. Quippe non propterea dolemus quod victoria potiti simus (nam hoc modo nobis plane monstrosum quiddam contingeret), sed furorem hujus contra nos, et atrocem iram, et incomparabilem simultatem intuentes, quodque fieri de se quidvis, quidvis facile pati vellet, dum nostrum spectat interitum, non tam læti sumus quam jure ringimur. Scimus enim, scimus eam finem pugnæ contra nos minime facturam. Nimirum semper illa bello nos petet, et aperte atque acrius manum victa conseret. Itaque præ formidine suspectarum rerum, quas nobis illam perpetuo scimus exhibituram, in dolore majori versamur quam lætitia sit ex victoria parta. Nam nemo non jure de iis quæ prius evenere quod futurum est conjicit.

A ἐστεφανωμένους ἡμᾶς χορεύειν. Ἡττηθείσης γὰρ αὐτῆς, παιᾶνας ᾄδειν πρόσηκον, καὶ σκιρτᾷν μετὰ φαιδρότητος. Ἡμεῖς δὲ τέως λυπούμεθα, καὶ ἄτοπόν τι πάσχομεν πάθος, λύπην ἀπὸ νίκης καρπούμενοι. Μᾶλλον δὲ οὐκ ἄτοπον πάσχομεν. Δεῖ γὰρ διορθώσασθαι τὸ ῥηθέν. Οὐ γὰρ διὰ τὸ νικῆσαι λυπούμεθα (ἦν γὰρ ἂν ταύτῃ τὸ πάθος περιφανῶς ἀλλόκοτον), ἀλλ' εἰς τὴν ταύτης λύτταν τὴν καθ' ἡμῶν, καὶ τὸν ἀνείκαστον θυμὸν, καὶ τὴν ἀπαράμιλλον ἔριν ὁρῶντες, καὶ ὡς πάντα ἂν γένοιτο, καὶ πάντα πάθοι ῥᾳδίως, πρὸς τὴν ἡμετέραν καθαίρεσιν ἀφορῶσα, οὐ μᾶλλον εὐφραινόμεθα, ἢ δικαίως ἀσχάλλομεν. Ἴσμεν γὰρ, ἴσμεν αὐτὴν μηδαμῶς γε λήξουσαν μάχης τῆς πρὸς ἡμᾶς. Ἀεὶ γὰρ δήπου καὶ πολεμήσει, καὶ συμπλακήσεται φανερῶς B μετὰ τὴν ἧτταν δεινότερον. Ἀλγοῦμεν τοίνυν τῷ δέει τῶν ὑφορωμένων πραγμάτων, ἃ δὴ ταύτην ἐγνωμεν παρεξομένην διηνεκῶς, ἢ χαίρομεν τῷ νενικηκέναι. Πάντες γὰρ τοῖς φθάσασι τὸ μέλλον γε δικαίως τεκμαίρονται.

Hactenus de voluptate dictum esto, quandoquidem ulterius progredi non oportet. Nam mihi quidem videtur, nec eum qui de hac verba faciat, facile hoc assequi posse, ut accurate rem perficiat; nec prolixitatem vitare volentem, quæ de hac dicenda veniunt, explicare dilucide posse. Saltem hoc unum cæteris adjiciendum est. Multiforme quoddam sit monstrum, variis vultibus nimium quantum fallens ac nocens: atque uti minora prætermittam, invenias voluptatem, si ab origine naturam ejus exploraveris, interitus procurandi causa varie transformatam. Hæc nimbis igneis olim Sodomitis pluit; hæc telluris abyssos aperuit, ipsumque cœlum, ut etiam natura rationis expers inundaretur aquarum diluvio, quamvis, ut natura nostra, rea non esset. Expende mihi, quæso, Judæos illos qui in solitudine prostrati occubuerunt; ubique facinorum ejus vestigia videre licet, ne rursus his recensendis immoremur. Hoc autem in ea pessimum quod, cum hæc nota nobis sint, tamen eam relinquere non possimus, licet id valde velimus; vel e contrario, cum fortasse possimus, nolumus. Quapropter ea natura voluptatis est, ut in utramque partem malum sit et detrimentum certissimum, illis inquam, qui non præditi sunt animo firmo ac stabili et variarum rerum experientia, et institutione præclara, et mente vitiis haud inquinata, et indole gloriæ cupida, et voluntate seipsam excitante, ac semper ad pulcherrima quævis et optima proclivi, quæque satis omnino virium habeat ad intelligendum quæcunque divinam ad virtutem ceu principes causæ nos deducunt; nec minus cupiditatis, ad perseverandum in iis quæ pulcherrima esse atque optima cognoverunt. Quinam ergo tanti viri fuerint, ut quæ nimia sunt, recto voluptatis usu vitare potuerint? Perpaucos hujusmodi nos inventuros arbitror, qui quidem ipsi cæteros longo post

Ἕως ὧδε τὰ περὶ τῆς ἡδονῆς ἔσται, ἐπεὶ μὴ δεῖ περαιτέρω. Οὔτε γὰρ ἐς τάχριβὲς ἐλθεῖν μοι δοκεῖ ῥᾴδιον εἶναι τὸν περὶ ταύτης λέγοντα, οὔτε τὸ μῆκος θέλοντα φεύγειν, τὰ κατ' αὐτὴν καθαρῶς εἰπεῖν δυνηθῆναι. Πλὴν ἐκεῖνό γε μόνον ἐπιλεκτέον· πολύμορφόν τι γίγνεται τέρας, παντοδαπαῖς ἰδέαις παράγουσα, καὶ λυμαινομένη πόσον δοκεῖς; Καὶ ἵνα τὰ ἐλάσσω παρῶ, εὖροις ἂν τὴν ἡδονὴν, τὸ κατ' αὐτὴν ἄνωθεν ἐξετάσας, ἀπωλείας ἕνεκα παντοδαC πὴν γεγονυῖαν. Αὕτη τὰς νιφάδας τοῦ πυρὸς ὗσέ ποτε Σοδομίταις, ἀβύσσους γῆς ἀνέῳξε, καὶ αὐτὸν τὸν οὐρανὸν, ὡς κατακλυσθῆναι καὶ φύσιν ἄλογον, οὐκ ἐνεχομένην, ὥσπερ ἡ ἡμετέρα. Σὺ δέ μοι λογίζου τοὺς ἐν ἐρήμῳ πεσόντας τῶν Ἰουδαίων. Τὰ ταύτης πανταχοῦ κατορθώματα, ἵνα μὴ καὶ αὖθις διατρίβωμεν καταλέγοντες. Τὸ δὲ ταυτηγὶ χείριστον, ὅτι ταῦτα γινώσκοντες οἱ ἄνθρωποι, οὐκ ἀπαλλαγῆναι δυνάμεθα, σφόδρα θέλοντες· ἢ τοὐναντίον ἴσως δυνάμενοι, οὐ βουλόμεθα. Ὥσθ' ἑκατέρωθεν κακὸν, καὶ ἀπαραίτητον βλαβερὸν ἡ ἡδονὴ πέφυκεν εἶναι· λέγω δὲ πάντως ἐκείνοις, τοῖς μὴ βεβηκός τε καὶ πάγιον κεκτημένοις φρόνημα, καὶ πεῖραν πραγμάτων παντοδαπῶν, καὶ παιδείαν ἀγαθὴν, καὶ νοῦν ἀθόλωτον πάθεσι, καὶ τρόπον δόξης D ἐρῶντα, καὶ ὅλως γε θέλησιν αὐτοκίνητον, καὶ ἀεὶ τὴν ῥοπὴν κεκτημένην πρὸς ὅ τι κάλλιστόν τε καὶ βέλτιστον, εὖ μὲν δυνάμεως ἔχουσαν γνῶναι, ὅσα αἰτιώτατα πρὸς τὴν θείαν ἀρετὴν ὄντα τυγχάνει, εὖ δὲ βουλήσεως μένειν ἐφ' οἷς καλλίστοις καὶ ἀρίστοις ἔγνωσαν οὖσι. Τίνες οὖν ἂν εἶεν τοσοῦτοι, ὡς διαφυγεῖν τῆς ἡδονῆς τὰς ὑπερβολὰς δυνηθῆναι τῇ γιγνομένῃ γε ταύτης χρήσει; Ὀλίγοι μοι δοκοῦσιν εὑρεθήσεσθαι, καὶ οὗτοί γε παρενεγκόντες τοὺς ἄλλους πολλῷ τῷ μέσῳ. Ὅτε γὰρ τὸν ὀφθαλμὸν τῆς ψυχῆς τυφλοῖ, καὶ μαλακίζει τὸν ταύτης τόνον ἡ τῆς ἡδονῆς ἴυγξ, πῶς οὐ τὸ ταύτης ἐπαγωγόν τε καὶ θέλγον μονονοὺ καὶ φύσεως ἰσχυρότερον; κα-

Digitized by Google

εἰ ταῖς ὑπερβολαῖς τῶν ἡδίστων κάκιστοι γινόμεθα πάντες ἄνθρωποι (οὐ γὰρ ἔστιν, οὐκ ἔστιν αὐταῖς χρωμένους, ἀγαθοὺς εἶναι), τὸ δὲ μέτριον ἄριστον πανταχοῦ, τοσοῦτον δὲ χαλεπὸν, καὶ μάλιστά γε ἐνταῦθα, ὁπόσον ἄρτι δεδήλωκεν ἡμῖν ὁ λόγο· πῶς οὐκ ἄντικρυς κακὸν τῷ βίῳ ἡ ἡδονὴ, δι' ἣν παρακαλούμεθά τε καὶ βιαζόμεθα πρὸς τὰς ἐκείνης ὑπερβολὰς, δι' ἃς γε δήπου τῶν καλῶν καὶ τῶν ἀγαθῶν, τῶν τε νῦν, τῶν τε μελλόντων ἐκπίπτομεν ἅπαντες; Ἦν ἄρα κρεῖττον τοιαύτην οὖσαν τὴν ἡδονὴν, ὁποίαν γε ἡμῖν διαγράψας ὁ λόγος ἔδειξεν, οὐκ ἀκριβῶς μὲν οἶμαι παντάπασιν, ὡς δ' οὖν οἷόν τε ὑπῆρξεν ἐκείνην διατυπώσασθαι, μηδαμῶς ταύτην εἶναι, μηδὲ παρεῖναι τῷδε τῷ βίῳ, μηδὲ τὴν ἀρχὴν ὑφεστάναι, καθαπερεὶ καταρχὰς εἰρηται. Οὕτω τινὲς τῶν σοβαρῶν μὲν ἄλλως καὶ ὑπερόγκων, πρὸς δὲ τὴν ἄκοσμον τρυφὴν πάντων ἐξῆς ἐπιλανθανόμενοι, ἑαυτούς γε κρύπτειν ἐθέλοντες, μηδὲ κρίνειν ἐπιστάμενοι πρεπόντως οἶμαι τὰ πρέποντα, τὴν ἡδονὴν διαβάλλουσι, λόγους τε πρτείνοντες, καὶ εἰκόνας πλάττοντες, τἆλλα μὲν ἴσως οὐκ ἀγεννῶς, πρὸς ἕν τι δὲ βλαβερῶς, ὡς ἄν ἐγωγε φαίην. Τῆς γὰρ σφῶν αὐτῶν κακίας αἰτιῶνται μὲν αὐτοὺς οὐδαμῶς, ἢ μικρόν τι, σοφὸν ποιοῦντες, τὴν δὲ ἡδονὴν κατὰ πάντα, μηδὲ Θεοῦ φειδόμενοι, ὡς προῖὼν ὁ λόγος δηλώσει. Τοῦτό μοι δοκεῖ κάκιστον εἶναι τῶν αὐτοῖς εἰρημένων. Οὕτω πάντες μὲν σοφοὶ πρὸς τὴν ἡμετέραν αὐτῶν ἀπώλειαν, ὅσοι δὴ τὴν ῥᾳθυμίαν, ὅσοι τὴν ῥᾳστώνην αὐτὴν τοῦ καλοῦ προκρίνομεν, καὶ τὸ αὐτίκα ἄλυπον τῶν ἐσύστερον μεγίστων ἀγαθῶν προτιμῶμεν· οἱ δὲ πολλοὶ τῶν τοιούτων οὐδὲ πείθειν ἑαυτοὺς δύνανται, ὡς ὤφθη γέ τις ἀνθρώπων, κρείττων τῶν ἡδονῶν. Ἀπὸ γὰρ τῶν ἡμετέρων ὡς ἐπιτοπολὺ τἀλλότριον κρίνομεν, καὶ τὸ ὑπὲρ τὴν ἡμῶν ἀνδρίαν ἀναφανὲν ὑπὲρ τὴν τῶν ὅλων εἶναι νομίζομεν.

A se intervallo reliquerunt. Nam cum illecebra voluptatis oculum animi excæcat, ejusque contentionem molliendo frangit, qui fieri potest ut insignis ejus in pelliciendo demulcendoque vis non ipsa prope natura sit fortior? Ac si pessimi evadimus universi mortales per ea quæ jucundissimis in rebus nimia sunt (nequit enim, nequit omnino fieri ut qui hæc sectantur boni sint), et si quod medium est, optimum id quidem est ubique, sed tanta cum difficultate conjunctum, præsertim in re proposita, quanta non ita pridem a nobis est indicata, quo pacto non vere noxia vitæ voluptas est, per quam et invitamur et cogimur ad ea quæ in hac nimia sunt, ob quæ quidem ipsa tam præsentis quam futuræ vitæ bona omnes amittimus? Nimirum voluptatem, quæ talis sit qualem nobis eam quasi picturam quadam hæc exhibuit oratio, non omnino quidem accurate, arbitror, quatenus tamen illam exprimere licuit, plane non esse præstabat, nec huic adesse vitæ, nec prorsus exsistere, quemadmodum ab initio dictum fuit. Hoc modo nonnulli, severi quidem alias et inflati, sed cum ad inhonestam voluptatem ventum est, omnium obliviscentes, dum occultare sese cupiunt, nec rectum ferre judicium norunt, voluptatem criminantur, et rationes prætexendo, et imagines quasi quasdam fingendo: idque cæteroqui fortasse non instrenue, verum unius rei respectu nocenter, ut equidem sentio: quippe seipsos vitiositatis suæ nomine nequaquam vel paulum saltem culpent, astute id quidem: ad voluptatem vero referunt omnia, ne Deo quidem parcentes, uti progressa ulterius oratio docebit. Hoc mihi pessimum esse videtur ex omnibus quæ ab ipsis prolata sunt. In hunc modum omnes nostram ad perniciem arguti sumus, quotquot ignaviam, quotquot ipsam desidiam honesto anteponimus, et momentaneam doloris vacuitatem potiorem quam secutura deinceps maxima bona ducimus. Ex eorumdem numero complures ne persuadere quidem sibi possunt, ullum unquam hominem conspectum fuisse, qui voluptatum vim pervicerit. Nam de nostris aliena plerumque judicamus, quodque supra fortitudinem nostram exsistit, omnium superare fortitudinem putamus.

ΛΟΓΟΣ Ε'.

Περὶ ἡδονῆς· ἀντίθεσις εἰς τὸν πρὸ τοῦδε λόγον.

Ταυτὶ μὲν οὖν τὰ παρὰ τῶν μεμφομένων τὴν ἡδονήν· ἐγὼ δὲ ταύτῃ πειράσομαι βοηθεῖν, δίκαια νομίζων ποιεῖν· καὶ ὅπως, ἤδη φανεῖται. Ἐπειδὴ γὰρ περὶ τῆς ἡδονῆς οἱ μὲν οὕτως ἔχουσι γνώμης, οἱ δὲ ἄλλως· καὶ τινὲς τελέως ἐκτρέπονται τῆς ὀρθῶς ἐπὶ τἀληθὲς φερούσης, κακόν τι καὶ ἀσύμφορον ταύτην εἶναι νομίζοντες· οὗτοι δὲ ἠπάτηνται, ὡς ἔγωγ' ἂν ἰσχυρισαίμην πάνυ θαῤῥούντως· πῶς οὐκ εἰσακτέον αὐτοῖς βοήθειαν, ὅστη δυνατή; Εἰ γὰρ τὸ πλανᾶσθαι λίαν κακὸν, τὸ δὲ πλανωμένους ὀρθοῦν πειρᾶσθαι, βοηθεῖν αὐτοῖς ἐστι, καὶ τὸ βοηθεῖν τοῖς ὁμογενέσιν εἰς δύναμιν ἅπασι χρέος κοινόν· καλὰ καὶ δίκαια ποιεῖ ὁ τὰ εἰκότα ἀμύνων τῇ ἡδονῇ, καθ' ὅ γε μέρος οὐκ ἔδει πολεμουμένη. Ὁ γὰρ ταύτῃ βοηθῶν βοηθεῖ τοῖς πλανωμένοις, καὶ ἀποδίδωσι χρέος, πᾶσι τοῖς ἀνθρώποις ὀφειλόμενον. Ὥστ' ἐμοὶ

ORATIO V.

De voluptate; qua præcedens oratio refellitur.

Hæc ergo sunt quæ in medium a voluptatem vituperantibus afferuntur. Ego vero opem ei ferre conabor, quod jure me id facere putem, cujus quidem instituti ratio mox apparebit. Cum enim de voluptate horum sit hæc sententia, illorum alia, cumque de recto ad veritatem itinere nonnulli plane deflectant, dum eam esse malum quoddam et rem noxiam arbitrantur, quos equidem in errore versari confidenter admodum affirmaverim, cur non eis succurramus, quantis sane viribus licebit? Nam si valde malum est hallucinari, et hallucinantium correctionem moliri, opem eis est ferre; proque viribus opem ferre generis conjunctione devinctis, si debitum quoddam est, præstandum communiter universis, nimirum honeste ac juste facit, qui consentaneis rationibus eatenus voluptatem defendit

Digitized by Google

quatenus oppugnari non debebat. Nam qui huic fert opem hallucinantibus succurrit, et æs alienum mortalibus universis debitum dissolvit. Quapropter hoc meæ personæ convenit, non ita duntaxat ut aliis, verum etiam duplici cum accessione : partim ratione dignitatis, partim tua quoque causa, propter quem in hoc certamen descendi, licet ipsa temporis ratio prorsus id mihi non concederet ; nisi quis dicere velit, nullum nos tempus a suscipiendis utilitatis tuæ causa laboribus arcere merito posse. Libet autem nonnullos errore quodam ita liberare, ut jam quasi prænunire auditores studeamus, ne alium in errorem incidant, cum ex iis quæ paulo ante protulimus, tum quæ dicturi modo sumus. Nam fortasse quidam, non recte quidem illi, sed cogitaverint tamen, quasi voluptate superiorem ostentare meipsum volens ac nequiter insolescere, tractandum hoc argumentum susceperim. Itidem si quæ simpliciter a nobis dicuntur iniqua cum susceptione acceperint, una opinione non recta super aliam cumulata, nobis illi quidem nihil damni dabunt, (quid enim ?) at ipsi magis nocere sibi nullo modo poterunt. Quippe non modo non sanabuntur, verum etiam morbo graviore proculdubio corripientur ; quod ipsum emendatu difficile fuerit. Itaque rationem ipsius decori hoc primum a vobis poscere putavi, viam uti nobis repurgaremus ipsi, qua deinceps incederemus. Singulos igitur et universos qui orationes hasce lecturi sunt, scire volumus, non ostentandi causa nos hæc proferre, nec studio declarandi, nos esse strenuos et voluptatis contemptores, has orationes instituisse. Cur enim istuc, nisi forte mens mihi perierit, et ipse mei prorsus oblitus sim ? Nemo enim me magis, opinor, expertus est intemperantiæ tela ; nec adeo vulneribus, ut ego, confectus ab ea discessit. Recte meipsum equidem novi, sicut e diverso recte non tenco quantopere a cultu moderationis omnibus in rebus absim. Quare non mea, sed pro ratione virium mearum, simpliciter utilitatis causa disseram.

Aio igitur voluptatem esse bonum quiddam iis qui boni esse velint, et recte ac honeste ea utentibus, rem plane bonam ac honestam, vitæque conservatricem, nec ullius conciliatricem mali, siquidem nos ita velimus. Ac oportebat illam profecto et existere, et vitæ mortalium adesse, et cum animatorum vitæ spatio porrigi. Nam orationi proxime hanc præcedenti, quæ contra voluptatem est habita, plane jam contraria pronuntio : quæ si vera sunt (et sunt sane vera, quemadmodum mox nobis hæc compendio quodam ostendet oratio, si divinum nacta favorem fuerit), argumentum omne confectum erit, probatumque, voluptatem esse rem honestam et optimam. Atque adeo vel unum quiddam brevissimum, mea quidem sententia, sufficerit. Quippe si consideraverimus, eum qui reapse bonus est, hanc animatorum naturæ insevisse ; quodque cujus auctor ipse est, id neque malum, neque rejiculum esse queat, sed potius e contrario valde sit bonum et expetendum, parebit omnino, voluptatem per se rem bonam et honestam esse, quod

A τοῦτο προσήκει οὐ μόνον ὥσπερ τοῖς ἄλλοις, ἀλλὰ καὶ μετὰ διπλῆς τῆς προσθήκης· τοῦτο μὲν διὰ τὸ σχῆμα, τοῦτο δὲ καὶ διὰ σὲ, δι' ὃν γε δήπουθεν ἐμαυτὸν εἰς τουτονὶ τὸν ἀγῶνα καθῆκα, μηδὲ τοῦ καιροῦ παντάπασιν ἐπιτρέποντος· εἰ μή τις ἂν τοῦτο φαίη, ὡς οὐδεὶς ἂν εἴρξῃ καιρὸς δικαίως τοὺς ἐπ' ὠφελείᾳ σῇ γιγνομένους ἡμῖν ἀγῶνας. Βούλομαι δέ τινος πλάνης ἐλευθεροῦν ἐνίους, ἤδη πειρώμενος προασφαλίσασθαι τοὺς ἀκροατὰς, ὡς μὴ πειραθεῖεν ἑτέρας πλάνης, ἔκ τε τῶν ἄρτι λεχθέντων, κἀκ τῶν ἤδη ῥηθησομένων. Ἴσως γὰρ ἄν τινες οὐ καλῶς μὲν, ἐνθυμηθεῖεν δ' οὖν ὅμως, ὡς ὑπὲρ ἐκείνην δεῖξαι βουλόμενος ἐμαυτὸν, καὶ κἀκοήθως ἀλαζονεύσασθαι, τουτονὶ τὸν λόγον ἐνεστησάμην. Καὶ εἰ τὰ παρ' ἡμῶν ἁπλῶς λεγόμενα μεθ' ὑποψίας ἀδίκου λάβοιεν, δόξαν τινὰ οὐκ ὀρθὴν ἐφ' ἑτέραν δεξάμενοι· ἡμᾶς μὲν οὐδὲν παραβλάψουσι, (τί γάρ ;) σφᾶς δὲ αὐτοὺς, οἶμαι, οὐδὲν ἂν ἔχοιεν ὅ τι μεῖζον ἀδικήσαιεν. Οὔτε γὰρ ἰαθήσονται, ἀλλὰ καὶ προσνοσήσουσιν ἀτεχνῶς, ὃ δὴ χαλεπὸν εἰς διόρθωσιν. Ἱρέπειν οὖν πρῶτον ᾠήθην τὴν ὁδὸν ἡμῖν καθᾶραι, ἔπειτ' ἐπ' ἐκείνης βαδίσαι. Ἴστω τοίνυν ἕκαστος, καὶ πάντες ὁμοῦ, ὅσοι τοῖς λόγοις ἐντεύξονται, ὡς οὐ κατ' ἐπίδειξιν λέγομεν, οὐδ' ἡμᾶς αὐτοὺς γενναίους ἀποφῆναι βουλόμενοι, καὶ τὴν ἡδονὴν διαπτύοντας, τουτωνὶ τῶν λόγων ἡψάμεθα. Πόθεν ; εἰ μὴ καὶ τὰς φρένας ἀπολωλέκειν, καὶ ἐμαυτοῦ παντάπασι λήθην ἔλαβον. Οὐδεὶς γὰρ οἶμαι μᾶλλον ἐμοῦ τῶν τῆς ἀκρασίας πεπείραται B βελῶν, οὐδὲ τραυματίας, ὡς ἐγὼ, ἐκεῖθεν ἀπελήλυθεν. Ἔγωγε καλῶς ἐμαυτὸν ἐπίσταμαι, ὡς οὐδ' ἐπίσταμαί γε καλῶς, ὅσον ἐνδέω τοῦ τιμᾶν ἐν πᾶσι τὴν συμμετρίαν. Ὥστ' οὐχ ὑπὲρ ἐμαυτοῦ, ἀλλ' ὅπως ἂν δυνάμεως ἔχοιμι, ὑπὲρ ὠφελείας ἁπλῶς ἐρῶ.

Φημὶ οὖν εἶναι τὴν ἡδονὴν ἀγαθὸν τοῖς ἀγαθοῖς ἐθέλουσιν εἶναι, καὶ τοῖς καλῶς τε καὶ σεμνῶς χρωμένοις αὐτῇ καλόν τι καὶ σεμνὸν ἄντικρυς, τῷ τε βίῳ συστατικὸν ἡμῖν, καὶ μηδενός γε πρόξενον τῶν κακῶν, εἴγε ἡμεῖς βουλόμεθα. Καὶ ἔδει γε αὐτὴν ὑφεστάναι καὶ παρεῖναι τῷ βίῳ τούτῳ, καὶ συμπαρεκταθῆναι τῇ τῶν ἐμψύχων ζωῇ. Τὰ γὰρ ἐναντία D φημὶ τῷ πρὸ τοῦδε κατ' αὐτῆς εἰρημένῳ λόγῳ. Καὶ εἰ ταῦτα ἀληθῆ (ἔστι δὲ, ὡς ἡμῖν ὁ λόγος διὰ βραχέων αὐτίκα δείξει, εἰ τῆς θείας ῥοπῆς ἀπολαύοι), τὸ πᾶν τῆς ὑποθέσεως εἴργασται, καὶ καλὸν καὶ βέλτιστον τὸ τῆς ἡδονῆς ἡμῖν ἀποδέδεικται χρῆμα. Ἓν δή τι πάνυ βραχύτατον ἀρκέσειεν ἄν, οἶμαι. Εἰ γὰρ δὴ τοῦτο σκοπήσαιμεν, ὡς ὁ τῷ ὄντι ἀγαθὸς τῇ τῶν ἐμψύχων φύσει ταύτην ἐνέσπειρε, καὶ οὗπερ ἐκεῖνος αἴτιος, οὐκ ἂν ποτ' εἴη τοῦτο κακὸν, οὐδ' ἀπόβλητον, ἀλλὰ τοὐναντίον σαφῶς καλόν τε σφόδρα καὶ αἱρετόν· φανεῖται πάντως ἡ ἡδονὴ ἀγαθόν τι καὶ καλὸν καθ' αὑτὴν οὖσα, κατὰ τὴν ἐπαγγελίαν τοῦ λόγου. Ὅτι δὲ θεόθεν ἡ ἡδονὴ, οὐδενὸς οἶμαι δεήσεσθαι λόγου. Ἐπειδὴ γὰρ τὰ πάντα ἡμῖν ἐκ

Digitized by Google

Θεοῦ, ὡς δὲ καὶ πᾶσι τοῖς οὖσι, καὶ τοῦτό γε δόγμα κοινόν· κοινὸν καὶ τοῦτο γένοιτ' ἂν, οἶμαι, δόγμα, ὡς ἡ ἡδονὴ καλὸν, καὶ δῆλον αὐτόθεν. Ἡ γὰρ οὐκ ἔστι τὸ τῆς ἡδονῆς χρῆμα, ἢ παρ' οὗ τὰ πάντα, κἀκείνη. Ἀλλ' ἔστι γε πάντων ἡ ἡδονή. Θεόθεν ἄρα. Καὶ τἀκεῖθεν ἀγαθά. Ἀγαθὴ ἄρα. Οὐ τοίνυν σοι πλειόνων οἶμαι δεήσει, πρὸς τὴν τῆς ὑποσχέσεως ἔκτισιν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἄνδρα πιστὸν διᾶραι στόμα τολμῆσαι πρὸς τοὐναντίον. Οἶμαι δὲ μηδ' ἄπιστον, ἐχοντά γε νοῦν διακρίνειν, καὶ λογιζόμενον, τὰς ὑπερβολὰς καὶ τὰς παραχρήσεις τοῖς οὐ καλῶς χρωμένοις εἶναι· τῆς δὲ ἡδονῆς τὴν σύστασιν αὖθις εἶναι τῇ συμμετρίᾳ τῆς μεταλήψεως. Ὥστε ἔξεστιν εἰπεῖν, Πρὸ τοῦ βαδίσαι ἔφθασας· ὅ τινι τῶν θείων ἀνδρῶν εἴρηται, ὑπερβολὴν εἰς ταχυτῆτα θέλοντι δεῖξαι. Οἶμαι δέ τινας τῶν παρόντων σαφέστερον ἐθέλειν ἀκοῦσαι, καὶ χρῆναι τούτοις παραμυθήσασθαί μοι δοκεῖ, ὅσον ἱκανόν. Ὅθεν δὴ διὰ πλειόνων ἐκθέμενος τὸν λόγον, ὀρθῶς γε ἔχον δείξω τὸ δόγμα, ἀνάγκαις, οἶμαι, πρεπούσαις. Καίτοι δοκῶ μοι λίαν σαφὲς κατασκευάζειν ἐπιχειρεῖν. Καλὸν δὲ ὅμως εἰπεῖν καὶ τὸ καθ' αὐτὸ συνιστάμενον ἀπὸ τῶν ἤδη ῥηθέντων διὰ κοινῆς (ὡς εἰπεῖν) ἐννοίας καὶ ἀξιώματος, ἔτι καὶ μᾶλλον συστῆσαι καὶ τῇ τῶν λόγων ἀκολουθίᾳ ἐν διαφόροις ἐπιχειρήμασι. Τὸ γὰρ δυοῖν συνιστάμενον, δύο δή τινας (ὡς εἰπεῖν) ἔχον πόδας, ἐδραιότερόν που τοῦ δι' ἑνὸς ὡς ἐξ ἡμισείας πως βεβηκότος, ὥσπερ ἐφ' ἑνὶ ποδί. Εἰ δὲ καὶ πλείοσιν ἐπερείδεται, πολύ γε τοῦτ' ἄμεινον. Καὶ δὴ σκοπῶμεν ὠδί. Ἀρξόμεθα δ' αὖθις ἐκ τῶν προτέρων. Θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ἔφη Παῦλος. Καὶ ὁδῷ βαδίζων ὁ λόγος, Θεοῦ συναιρομένου, συντόμως τὸ γιγνόμενον ἀποδώσει, ἀποδείξας μὲν ἐκεῖνα, ὧν μὴ δειχθέντων, οὐκ ἂν ἀρκούντως ἔχειν τὰ ῥηθησόμενα δόξαι· σιωπήσας δὲ πολλὰ, ἃ καὶ μὴ λεχθέντα φυγῇ τοῦ κόρου, οὐκ ἂν ἐνέγκαι ζημίαν, οἶμαι, τῷ προκειμένῳ σκοπῷ.

Εἰ γοῦν ἡ φύσις τῶν ὄντων παρὰ Θεοῦ, καὶ ἡ ἐπιθυμία πᾶσι τοῖς ζώοις ἐνέσπαρται, καθάπερ καὶ προείρηται, καὶ οὐκ ἔστιν ἔξωθεν τὸ ἐπιθυμεῖν, οὐδὲ ὑστερογενὲς, οὐδ' ἐπίκτητον, ἀλλ' ἔμφυτός τις δύναμις τῆς ψυχῆς, καὶ ἀχώριστος, καὶ μέρος γέ τι ταύτης (εἰ βούλει λέγειν) τῆς τριμεροῦς τε καὶ ἀμεροῦς (λέγω δὲ νῦν περὶ τῆς λογικῆς τε καὶ ἡμετέρας), δηλονότι ἀγαθὸν ἡ ἐπιθυμία, ἅτε δὴ παρὰ Θεοῦ τῇ ψυχῇ δεδομένη οὐχ ἧττον ἢ τὰ ἀδελφὰ αὐτῆς μέρη, τὸ λογικόν τε καὶ θυμικόν. Καὶ εἰ τοῦτο δοίη τις, ἀγαθὸν εἶναι τὴν ἐπιθυμίαν (δώσει δέ γε πᾶς τις, οἶμαι, οὐκ ὢν αὐθάδης τε καὶ ἀλλόκοτος), ἀγαθὸν καὶ ἡ ἡδονὴ φαίνεται, δι' ἣν τε ἔστιν ἐπιθυμεῖν, καὶ ἧς χωρὶς οὐδὲ τὴν ἐπιθυμίαν αὐτὴν εἰκὸς ἦν δήπου τῇ ψυχῇ ξυμπεφυκέναι τὴν πρώτην.

quidem de hac nostra pollicebatur oratio. Esse vero voluptatem a Deo, nullius egere probationis arbitror. Nam cum omnia nobis, sicut et rebus universis, a Deo tributa sint, quod quidem communi receptum est sententia, sequitur, et hoc commune quasi quoddam esse placitum, voluptatem esse rem bonam, idque vel hinc perspicuum est : vel enim nulla voluptas est, vel a quo cuncta sunt, ab eodem et ipsa. At vero voluptas est omnium : a Deo igitur. Quæ autem a Deo, bona sunt : bona igitur. Non ergo tibi pluribus, opinor, opus erit ad persolutionem rei promissæ. Non enim licet, non licet homini fideli diversam ut in partem audeat os aperire ; imo nec infideli, mea quidem opinione, modo mente, quæ judicium ferre possit, præditus sit ; et cogitet, quæ nimia sint, una cum abusibus, ad eos esse referenda qui non recte utantur ; voluptatis autem ipsius quasi fundamentum, in perceptionis moderamine consistere. Quo fit ut dicere mihi liceat : Antequam iter occiperes, pervenisti ; quod divinus quidam vir dixit, nimiam quamdam celeritatem volens ostendere. Arbitror autem quosdam hic præsentes dilucidius hæc audire cupere ; quibus equidem gratificandum, dum satis eis fiat, puto. Quamobrem pluribus omnem rationem explicans recte comparatam esse sententiam, necessariis et convenientibus, ut arbitror, argumentis probabo. Quanquam rem valde perspicuam astruere mihi velle videor, nihilominus bonum est hæc explicare, quodque per se consistit ex iis quæ jam dicta sunt, per communem, ut ita dixerim, notionem atque sententiam, magis etiam consentaneis rationibus probare, diversa per argumenta. Nam quod rebus duabus constat, duos quosdam, ut ita dicam, pedes habens, quodammodo stabilius est eo quod per unum aliquid, velut ex semisse, quasique pede duntaxat uno consistit. Quod si etiam pluribus fulcitur, longe id quoque melius est. Et consideratio sane nostra hoc quodam modo instituatur. Ordiamur autem rursus ex antecedentibus ; quippe fundamentum aliud poni nequit quam quod jactum est, ut Pauli verbis utar. Et ipsa oratio via quadam rationeque progrediente, opitulante Deo, compendiarie quod rectum erit exponet : demonstratis illis, quibus non probatis, haud satis bene constituta quæ dicentur videri queant, multisque silentio præteritis, quæ tametsi vitandi tædii causa prolata non fuerint, nullum tamen proposito scopo detrimentum, opinor, attulerint.

Si ergo natura rerum a Deo est, et appetitus cunctis animantibus insitus, sicut et ante dictum est, nec appetendi vis aut extrinsecus alicunde provenit, aut orta posterius est, aut ascititia, sed innata quædam et inseparabilis animi facultas et pars quædam ejus, si quidem ita loqui voles, quæ tripartita pariter et partium expers est (loquor autem modo de anima rationis participe ac nostra), sequitur, appetitum esse rem bonam, veluti qui a Deo non minus animo tributus sit, ac partes ipsius germanæ, ratiocinatrix et irascens. Ac si quidem aliquis dederit, appetitum esse rem bonam (dabit autem quilibet, opinor, qui neque contumax, neque insolens erit), parebit et voluptatem esse rem bonam, propter quam appetimus, et absque qua

Digitized by Google

ne ipsum quidem appetitum ab initio naturam animo indituram fuisse, consentaneum est. Frustra enim ab initio tributus nobis fuisset appetitus, si non et illud exstitisset, in quo animus hac etiam in parte posset in nobis efficax esse. At frustra factum aliquid esse a Deo, tam dictu quam cogitatu, nefarium fuerit. Sequitur ergo, vel animum a Deo non esse factum, (quis autem et animo præditus, et mentis particeps, hoc dixerit?) vel esse credendum, voluptatem animo divinitus tributam. Cum enim probatum sit, ne appetitum quidem esse debuisse, si plane nihil exsisteret, in quo appetitus se id esse quod est recte declarare posset, perspicuum prorsus est omnibus, nulla si voluptas esset, nec appetitum omnino exsistere debuisse, quippe manifestum est, appetitum lætitiæ voluptatisque causa moveri. Nec enim est aliud quidpiam, cujus hic causa moveri possit. Quapropter appetitu in hunc modum abolito, deque medio sublato, nec animus ipse remanserit. Etenim fieri nequit, ut animus aliqua re sua spoliatus, in eo permanere statu, quo conditus fuit, possit; quod sane de contrario paret. Nam neque consentaneum est, neque fieri potest, ut animus aliquid extrinsecus assumat, quo magis sit animus. Ideoque nec alterum fieri potest, ut aliquid scilicet amittat. Nam utrumque consimiliter absurdum est. Etenim animi erga se invicem, quod ipsam attinet substantiam et ortum primum, æqualiter et eodem affecti sunt modo. Nequit igitur animus animo, vel etiam se ipso, naturam quod attinet, aut deterior, aut melior fieri; ideoque nec assumere quidpiam extrinsecus, nec suum aliquid amittere potest. Nam si recte affectus erit per se animus, ubi vel suum aliquid amiserit, vel quiddam extrinsecus assumpserit, perspicuum est, eum recte affectum non esse, si suo in statu maneat. At vero dum in eo manet, in quo conditus ab initio fuit, in summo bono manet. Ergo manifestum est omnibus, futurum, ut tunc magis male sit affectus (loquor autem ex hypothesi), cum aliquid extrinsecus assumpserit aut suum amiserit. Nam assumendo nimius evadet; deficiendo quamdam quasi mutilationem sustinebit. Atqui si animus integer ac bonus inveniri posset, appetitu destitutus, superfluus et turpis esset ex appetitus accessione; sin illum nunc pulchrum et integrum videmus, perspicue manifestum erit, turpissimum et imperfectum fore, partis ademptione facta. Quippe contraria contrariis non minus demonstrantur quam similia similibus. Neutrum igitur horum contrariorum cum bono congruet, de amissione loquor et assumptione. Imo potius perspicue necessarium est, utrumque animo infestum esse, tam accessionem scilicet quam detractionem, ut neque superfluum aliquid assumat, neque mutiletur quod integrum est. Quamobrem hoc explicato, fieri scilicet haud posse ut animus incolumis sit absque appetitu, eadem ratione probatum arbitror, nec appetitum

A Μάτην γὰρ ἂν παρὰ τὴν ἀρχὴν τὸ ἐπιθυμεῖν ἐγεγόνει, οὐκ ὄντος ἐκείνου, ἐν ᾧπερ ἂν εἶχεν ἡ ψυχὴ καὶ κατὰ τόδε τὸ μέρος ἐνεργὸς ἡμῖν εἶναι. Μάτην δέ τι παρὰ Θεοῦ γεγονέναι βλάσφημον εἰπεῖν ἢ νοῆσαι. Συμβαίνει δὲ ἢ μηδὲ τὴν ψυχὴν ἐκ Θεοῦ γεγονέναι, (ὃ τίς ἂν εἴποι, ψυχήν τε ἔχων, καὶ νοῦ μετέχων;) ἢ καὶ τὴν ἡδονὴν τῇ ψυχῇ θεόθεν εἶναι πιστεύειν. Ἐπειδὴ γὰρ δέδεικται, ὡς οὐδὲ τὴν ἐπιθυμίαν ἐχρῆν εἶναι, οὐδενός τινος ὅλως ὄντος, ἐφ' ᾧπερ ἂν καλῶς ἐπεδείκνυτο αὐτό γε τοῦτο οὕτα ἐπιθυμία, δῆλον ἂν εἴη πᾶσιν ἐξῆς, ὡς καὶ τῆς ἡδονῆς μηδαμῶς οὔσης, οὐδὲ τὴν ἐπιθυμίαν γε ἕδει τοπαράπαν συνεστηκέναι. Πρόδηλον γὰρ ὡς ἡ ἐπιθυμία δι' εὐφροσύνην καὶ ἡδονὴν ἔχει τὴν κίνησιν. Οὐ γὰρ ἔστιν ἕτερόν τι τῶν πάντων, ὑπὲρ
B οὗ δήπουθεν αὖτη ἂν κινηθείη. Οὕτω δὲ τῆς ἐπιθυμίας ἀρθείσης, καὶ παντελῶς ἐκ μέσου γεγενημένης, οὐδὲ τὸ τῆς ψυχῆς χρῆμα παρέμεινεν ἄν. Οὐ γὰρ ἔστι τὴν ψυχὴν ἀφαιρεθεῖσάν τι τῶν αὐτῆς, ἐν ᾗ γέγονε καταστάσει μεῖναι. Δῆλον δὲ ἐκ τοῦ ἐναντίου. Οὐδὲ γὰρ εἰκὸς, οὐδὲ ἐνδεχόμενον, προσλαβεῖν τι θύραθεν τὴν ψυχὴν, ὥστε καὶ μᾶλλον ψυχὴν γενέσθαι. Οὐκοῦν οὐδὲ θάτερον δυνατόν ἐστι, τὸ ἀποβαλεῖν φημι. Ὁμοίως γὰρ ἑκάτερον ἄτοπον. Αἱ γὰρ ψυχαὶ καὶ πρὸς ἀλλήλας, καὶ πρὸς αὐτὰς, ἴσως ἀειδήποτε καὶ ὡσαύτως ἔχουσιν ὅσα κατὰ τὴν
C οὐσίαν αὐτὴν, καὶ τὸ ἐξαρχῆς εἶναι. Οὔκουν γε ψυχῆς ἢ χείρων, ἢ βελτίων, οὐδὲ ἑαυτῆς ποτε, κατὰ τὴν φύσιν γενέσθαι οἷός τε, οὐ τοίνυν οὐδὲ δέξασθαί τι τῶν θύραθεν, οὐδ' ἀποβαλεῖν τῶν οἰκείων. Εἰ γὰρ ὑγιῶς ἕξει γε τὸ καθ' αὑτὴν ἡ ψυχὴ, ἢ ἀποβαλοῦσά τι τῶν αὐτῆς, ἢ καὶ ἔξωθεν προσλαβοῦσα· δῆλον, ὡς οὐχ ὑγιῶς ἂν εἶχεν, ἐν τῷ καθ' αὑτὴν μένουσα. Ἀλλὰ νῦν γε μένουσα ἐφ' ᾧπερ τὴν ἀρχὴν ἐγεγόνει, ἐν τῷ ἄκρῳ τοῦ καλοῦ μένει. Ὥστε
D πᾶσι φανερὸν, ὡς τότε μᾶλλον κακῶς ἕξει (ἐξ ὑποθέσεως δὲ λέγω), ὅταν τι τῶν θύραθεν ἐπιδέξηται, ἢ τῶν ἰδίων ἀποβάλῃ. Τῇ μὲν γὰρ προσλήψει ὑπερβαλεῖ· τῇ δὲ ἐλλείψει ὡσπερεί τινα πήρωσιν ὑποστήσεται. Καὶ μὴν, εἰ ἦν τὴν ψυχὴν ἀκεραίαν καὶ καλὴν εὑρεθῆναι, τῆς ἐπιθυμίας ἀπούσης, περιττή πως καὶ αἰσχρὰ γένοιτ' ἂν τῇ τῆς ἐπιθυμίας προσθήκῃ. Εἰ δὲ νῦν αὐτὴν καλὴν καὶ ὁλόκληρον ὁρῶμεν, εὔδηλον ἂν εἴη σαφῶς, ὡς ἦν ἂν αἰσχίστη καὶ ἐλλιπὴς τῇ τοῦ μέρους ἀφαιρέσει. Τὰ γὰρ ἐναντία τῶν ἐναντίων ἀπόδειξις οὐχ ἧττον ἢ τὰ ὅμοια τῶν ὁμοίων. Τοιγαροῦν τῶν ἐναντίων οὐδέτερον τῷ καλῷ συμβήσεται· τὴν ἀποβολήν φημι καὶ τὴν πρόσληψιν. Μᾶλλον δ' ἀναγκαῖον σαφῶς ἐστι καὶ πολεμίως ἔχειν ἑκάτερον τῇ ψυχῇ, δηλαδὴ καὶ τὴν προσθήκην, καὶ τὴν ἀφαίρεσιν· ἵνα μήτε περιττόν τι προσλάβῃ, μήτε πηρωθῇ τὸ ὁλόκληρον. Οὐκοῦν ὡς τοῦτο γέγονε δῆλον, μὴ οἷόν τε εἶναι τὴν ψυχὴν διαμένειν ἐπιθυμίας χωρὶς, τὸν ἴσον, οἶμαι, δέδεικται τρόπον, μηδὲ τὴν ἐπιθυμίαν συνίστασθαι δυνατὸν εἶναι, τῆς ἡδονῆς μηδαμῶς οὔσης. Ὥστ' οὐδὲ ταύτης ἀπούσης οἷόν τέ ἐστι διασώζεσθαι τὸ τῆς ψυχῆς χρῆμα, εἴπερ τῇ μὲν ἡδονῇ τὴν ἐπιθυμίαν, ταύτῃ δὲ τὴν ψυχὴν ὁ λόγος γε ἡμῖν ἔδειξε συναι-

Digitized by Google

ρουμένην. Ταυτὶ δὲ εἴρηταί μοι καὶ κατεσκεύασται, ἵν' ᾖ τουτὶ φανερὸν, ὡς ἄρ' ἐμπέφυκε τῇ ψυχῇ διὰ τοῦ ἐπιθυμητικοῦ μέρους ἡ ἡδονὴ, οὖσά γέ τις δύναμις αὐτοῦ οὐσιώδης καὶ ἀχώριστος παντελῶς. Ὥστ' ὅπερ ὑπισχνούμεθα δείξειν, ἀγαθὸν εἴληφε τέλος, Θεοῦ συναιρομένου, βραχέσι λόγοις. Εἰ δὲ καὶ πλειόνων ἦν χρεία, ἐξῆν γε δήπου καὶ τοῦτο μετὰ πολλῆς τῆς ῥᾳστώνης γενέσθαι. Πέφυκε γὰρ τάληθὲς οἰκεῖον πηγάζειν τὰς ἀφορμὰς τῆς ἑαυτοῦ συστάσεως. Ἐπεὶ δὲ ἄλις ἔχει τὰ περὶ τούτου, καὶ δέδεικται ἡ ἡδονὴ ξυμπεφυκυῖα μὲν τῇ ψυχῇ, θεόθεν δὲ αὐτὴ δεδομένη, ἀγαθὴ δὲ ἀναγκαίως (τὰ γὰρ ἐκ Θεοῦ τοιαῦτα)· φέρε καλὴν αὐτὴν ἀποδείξωμεν καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν μετὰ λογισμῶν, ἦν οἷοί τε γενώμεθα τοῦτο ποιῆσαι.

A consistere posse, si nulla voluptas sit; ideoque si ea nulla sit, nec animus ipse salvus esse poterit, quandoquidem appetitum cum voluptate, cum appetitu animum quoque tolli e medio probavimus. Hæc autem a me dicta sunt et constituta, ut manifestum sit, innatam esse voluptatem animo per ejus partem appetentem, quæ substantialis et inseparabilis omnino facultas illius sit. Adeoque bonum ad finem perductum est, adjuvante Deo, paucis sane verbis, quod ostensuros nos pollicebamur. Quod si pluribus opus esset, etiam id perquam facile præstare possemus. Ea namque veritatis est natura, ut occasiones et causas stabiliendi seipsam ex se quasi fonte quodam profundat. Sed quia res satis est explicata, probatumque, voluptatem animo a natura inditam ac divinitus nobis concessam, adeoque necessario bonam esse (sunt enim ejusmodi quæ a Deo proficiscuntur), age, de ipsis etiam rebus eam bonam demonstremus, non sine ratiocinationibus, si quidem id facere poterimus.

Πολλαχόθεν μὲν οὖν ἔσται καταφανὲς, ὡς δύναται ἡ ἡδονὴ καθαρεύουσα κακῶν εὑρεθῆναι, εἴ τίς γε ἐκείνῃ χρῷτο, ὡς δέον χρῆσθαι. Τὸ γὰρ, οἶμαι, ἐφίεσθαι καὶ ἐπιθυμεῖν τῶν ὡς ἀληθῶς ἐφετῶν καὶ ἐπιθυμεῖσθαι δικαίων, καὶ ταῖς ἀπὸ τούτων αὖθις ἡδοναῖς ἐπαγάλλεσθαι, οὐδεμίαν γε δικαίαν δέξαιτ' ἂν μέμψιν, ὅπου γε καὶ τοὐναντίον πολλοὺς ἐπαίνους. Ὑφ' ἡμῶν γὰρ ζητουμένη ἡ ἐπισυμβαίνουσα τοῖς ζητουμένοις δι' ἐκεῖνό γε καὶ μόνον, ὃ τῇ φύσει δέδοται ζητεῖν ἐξαρχῆς εὐθὺς, δηλονότι τὸν Θεὸν, τὴν ἀρετὴν, τὴν ἑαυτῆς σύστασιν, πῶς οὐκ ἂν εἴη δικαία ἡ ἡδονὴ ἀγαθὴ νομίζεσθαι, καὶ καλοὺς ἐργαζομένη τοὺς αὐτῆς σωφρόνως μετέχοντας; Αὐτίκα γοῦν ἐν ταῖς ἐπουρανίαις δυνάμεσιν, ἐν αἷσπερ οὐκ ἐνδέχεταί τι τῶν οὐκ ἀγαθῶν εἶναι, εὕροις ἂν ἀμφότερα· καὶ τὴν ἐπιθυμίαν φημὶ, καὶ τὴν ἡδονήν· Εἰς ἃ ἐπιθυμοῦσι, φησὶν, ἄγγελοι παρακύψαι. Καὶ ἀπέραντος, καὶ ἄληκτος καλεῖται ἡ ἡδονὴ, ἣ τοῖς ἀσωμάτοις ἀεὶ σύνεστιν. Αὕτη παρὰ τῶν ἁγίων ἀνδρῶν καὶ τρυφὴ, καὶ εὐφροσύνη προσαγορεύεται, καὶ εἴ τι τοιοῦτον. Αὕτη καὶ δικαίων ψυχαῖς συνέσται διηνεκῶς, ἐντεῦθεν λαβούσαις τῆς ἡδονῆς τῆς ἐκεῖ τὸν καλὸν ἀῤῥαβῶνα. Εἰ δέ τις μέγα νομίζει τὸ τὴν αὐτὴν τοῖς ἀσωμάτοις τρυφὴν ἡμᾶς ἔχειν, καὶ ἀπολαύειν τῶν ἐκείνοις ἀπολαυστῶν μετὰ τὴν ἐνθένδε ζωὴν, ἀκουσάτω γε κἀκεῖνο, ὡς καὶ ἐνταῦθ' ἡμῖν ἔξεστι τούτου μετέχειν τοῦ ἀγαθοῦ. Τοῖς γὰρ εἰσάπαξ καθαροῖς, ἢ κεκαθαρμένοις, χάρις ἐκεῖθεν ἐπιφοιτᾷ, ἥ γε μέλλουσι συνεῖναι τὸν πάντα χρόνον, εἰ καὶ ἀδρανέστερόν πως καὶ ἀμυδρότερον ἐνταυθοῖ τοῦτο γίνεται. Διὰ γὰρ τὸ ἐπιπροσθοῦν ἤδη σῶμα τῇ τῆς ψυχῆς θεωρίᾳ καὶ τὰ ἀπὸ τοῦδε πάθη, καὶ τὰς διὰ ταῦτα φροντίδας, οὐδὲν ἂν δήπου καθαρῶς τῶν θεωρητῶν θεωρήσαιμεν, ἢ τῶν ἐφετῶν ἀπολαύσαιμεν. Τοῖς γε μὴν ἀΐδίοις μηδενὸς τοιούτου παρενοχλοῦντος καθαρώτερον ἐφεῖται ἐπιθυμεῖν καὶ εὐφραίνεσθαι τὰ ἐπιθυμητά γε καὶ εὐφραντὰ, ταυτὸ δ' εἰπεῖν τὰ ἡδέα. Ὅθεν ἀεὶ μὲν θεωροῦσιν ὡς ἔνεστι τὸ βασιλικὸν κάλλος, καὶ τῆς ἐκεῖθεν ἀστραπῆς κοινωνοὶ γίνονται, καὶ τῆς θαυμαστῆς ἀπολαύουσιν ὥρας. Κόρον δὲ οὔτε ἔλαβον, οὔτε λήψονται. Μακά-

B De multis ergo parebit, posse voluptatem inveniri, quæ immunis sit a vitiis, si quis ea sic utatur quemadmodum uti oportet. Nam, ut equidem arbitror, ea tum appetere, tum concupiscere, quæ vere sunt optabilia meritoque concupiscenda, quæque de his voluptates exsistunt, iis delectari, nullam id quidem justam reprehensionem meretur, si non e diverso multas potius laudes. Quippe si voluptas a nobis ea quæratur quæ rebus investigandis ultro accedit, et propter hoc solum quod statim ab initio naturæ datum est, ut quæratur, puta Deum, virtutem, suimet conservationem: quonam pacto non istæc jure bona ducatur esse voluptas, quæque bonos efficiat, quotquot eam rite percipiunt? Primum in ipsis cœlestibus, in quibus fieri nequit ut aliquid non bonum exsistat, utraque licet C invenire, tam concupiscentiam dico quam voluptatem, nam perscriptum legimus: Quæ inspectare angeli cupiunt. Itidem finis expers dicitur ea voluptas quæ istis corporum expertibus semper adest. Huic sancti viri et deliciarum, et lætitiæ, aliaque nomina tribuunt. Hæc et justorum animis æternum aderit, cum in altera vita præclarum voluptatis cœlestis arrhabonem acceperint. At si quis magnum aliquid esse ducit, quod easdem cum incorporeis delicias habituri nos simus, et post hanc vitam iis fruituri, quibus illi fruuntur, is velim de nobis audiat, in hac quoque vita nos ejus boni participes esse posse. Nam semel puris aut repurgatis ea contingit gratia, qua omni sunt ævo fruituri, quamvis hoc et imbecillius quodam modo et D imperfectius in hac vita fiat. Etenim propter corpus illud nostrum, quod jam in contemplatione animi quasi luminibus obstruit, et propter ortos inde morbos sequentesque deinde sollicitudines, nec res contemplandas pure contemplari, nec expetendis frui possumus; æternis autem cum nihil tale molestum sit, purius et expetenda expetere et lætitiam parientibus, hoc est jucundis, oblectari permittitur. Ideoque semper regiam illam venustatem pro viribus intuentur, ac profecti indidem

Digitized by Google

fulguris participes efficiuntur, admirandaque pulchritudine fruuntur. Eosdem nec ulla cepit unquam, nec capiet satietas. Itaque beati erimus si voluptatis hujus fructum percipere velimus, totisque viribus ea persequi, quæcunque nos ad illam solam ducunt. Quod si alia quoque voluptas esse moderata visa fuerit, ea moderatis itidem frui licebit; nam cum moderata sit, a moderatis moderate percipietur. Ac quæcunque sic facere licet, ut nulla nos obligent culpa, sed lætitiam afferant et utilitatem, nec impedimentum aliquod vituperio dignum habeant, ea vero et honesta, et bona et laudabilia mente præditi ducunt. Nam ejusmodi quiddam voluptas est: quotquot ea moderate sobrieque usi fuerint, præterquam quod illos nulla molestia, nullo detrimento afficit, etiam aliquid gratæ atque utilis rei vel in hac, vel in altera, vel in utraque vita præstat.

Quamobrem voluptas, uti nos probaturos affirmabamus, bona res est. Quod si alicui noxia fuerit, ad ipsius hoc abusum referatur, qui modum non servet aut servare nolit. Debent enim illi qui ex præscripto rationis vivere cupiunt, omni abusu repudiato, tantum voluptatis per sensus omnes percipere, quantum implendæ necessitati satis est, nec ulterius progredi. Quippe si male quis utatur (malum autem, quidquid nimium), non quod recte nobis utendum datum est, sed intemperantia pariter, et is qui male utitur, culpandus venit. Itaque si me quis uti consiliario velit, vitia sibi propria voluptati attribuat nemo. Nam equidem magno redimerem, si voluptatis causa nulla mihi sustinenda culpa foret; quippe mihi præ cæteris omnibus hoc expediret. Nunc ita minime res habet, sed contrarium potius in modum. Etenim si voluptati culpam ascribere liceret, quoties peccamus, atque ita nos omni liberari negotio, ne unus quidem ex iis qui punientur omnino plecteretur. Imo vero si vel hoc locum haberet, ut ii merito excusarentur qui per intemperantiam peccant, tamen ne sic quidem malum hoc leve foret. Nam malum aliquod designanti, hoc ipsum malum est, tametsi nullas det pœnas, nec eo nomine teneatur. Enimvero mihi conduxerit ad tribunal judicis haud sisti, ut causam male gestorum dicam. Cum enim Davidem ipsum audiamus obsecrare judicem illum, ne secum experiri judicio velit, quis, quæso, tam audax est ut non ad ipsam duntaxat judicii mentionem contremiscat? Optandum esset illis voluptatis mancipiis (adversarium modo meum compello) ut ita res esset affecta, quemadmodum tu dicebas, nimirum ut ea vis voluptatis foret, ut illos omnino deliros esse probaret, qui ejus excessus vitare cupiant. Sed admodum vereor ne alia veritatis sit ratio quam quidam arbitrantur; nam esse rem plane diversa ratione comparatam aio, quippe vis ejus illa tyrannica merum est delirium, modo quis ita velit. Atque hoc illud est quamobrem justus ille judex pœnas a nobis exigat, quoties illam mandatis ipsius anteponimus. Etenim si vis ejus invicta foret, cum in animos irrumpit, nec supplicium de nobis Deus

A ριον οὖν ἂν εἴη ταύτην ἡμᾶς ἐθέλειν καρποῦσθαι τὴν ἡδονήν, καὶ διώκειν ὁπόση δύναμις, ὅσα πρὸς ἐκείνην μόνην ἐνάγει. Καὶ εἴ τις δ' ἂν ἑτέρα σώφρων φανείη, μεθεκτὴ ἂν εἴη τοῖς σώφροσι. Σωφρόνως γὰρ τοῖς σώφροσιν ἡ σώφρων μεταληφθήσεται. Καὶ ὅσαπερ ἔξεστι ποιεῖν τῶν οὐκ εἰς εὐθύνας ἡμᾶς ἀγόντων, ἀλλ' εἶεν μὲν εὐφρόσυνα, εἶεν δὲ ὠφέλιμα, καὶ οὐδὲν αὐτοῖς προσίσταται τῶν ἐν αἰτίᾳ καὶ μέμψει, καλά τε δή που, καὶ ἀγαθά, καὶ ἐπαινετὰ τοῖς γε νοῦν ἔχουσι. Τοιοῦτον γὰρ τὸ χρῆμα τῆς ἡδονῆς· οἷς ἂν μεμετρημένως συγγένοιτο καὶ σωφρόνως, πρὸς τῷ μηδαμῶς ἐκείνους λυπῆσαι, ἢ κατά τι ζημιῶσαι, ἐχαρίσατό τε καὶ ὤνησεν ἢ ἐνταῦθα, ἢ ἐκεῖ, ἢ καὶ ἐν ἀμφοτέραιν ταῖν ζωαῖν.

B Ὥστε καλὴ ἡ ἡδονή, ὡς ἰσχυριζόμεθα δείξειν. Εἰ δὲ κακή τινι γένοιτο, τῇ ἐκείνου ἂν γένοιτο παραχρήσει, καὶ τῷ μὴ τιμᾷν τὸ μέτρον, ἢ μὴ βούλεσθαι. Δεῖ γὰρ τοὺς λόγῳ ζῆν αἱρουμένους, πᾶσαν παράχρησιν διαπτύσαντας, τοσοῦτον καρποῦσθαι τῆς ἡδονῆς διὰ πασῶν τῶν αἰσθήσεων, ὅσον τὸ ἐνδέον ἀναπληροῦν, καὶ μὴ περαιτέρω χωρεῖν. Ἐπεὶ εἴ χρῷτό τις κακῶς (κακὸν δὲ ἡ ὑπερβολή), οὐχὶ τοῦ καλῶς πρὸς χρῆσιν ἡμῖν δεδομένου, τῆς δ' ἀκρασίας καὶ τοῦ χρωμένου γίνεται σαφῶς τοὔγκλημα. Μηδεὶς οὖν τὰ οἰκεῖα κακὰ, ἐμοὶ συμβούλῳ χρώμενος, ἀνατιθέτω τῇ ἡδονῇ. Πριαίμην γὰρ ἔγωγε πολλοῦ τὸ μὴ μέλλειν εὐθυνεῖσθαι τῆς ἡδονῆς ἕνεκα. Ἐμοὶ γὰρ μᾶλλον τῶν πάντων συνήνεγκεν ἂν τοῦτο. Νυνὶ δὲ τοῦτο οὐκ ἔστιν, ἀλλὰ τοὐναντίον ἐστίν. Εἰ γὰρ C ἦν τὴν ἡδονὴν αἰτιᾶσθαι, ὅταν ἁμαρτάνωμεν, καὶ ταύτῃ γε πραγμάτων ἡμᾶς ἀπηλλάχθαι, οὐδ' ἂν εἷς δίκην εἰσεπράττετο τῶν εἰσπραχθησομένων γε πάντως. Οὐ μὴν ἀλλ' εἰ καὶ τοῦτό γε ἦν, παραιτεῖσθαί γε δικαίως τοὺς δι' ἀκρασίαν ἁμαρτάνοντας, ἦν μὲν ἂν οὐδ' οὕτω κοῦφον τὸ δυσχερές· τῷ γὰρ ἐργαζομένῳ τὸ πονηρὸν αὐτό γε τοῦτο κακὸν, κἂν μὴ δῷ τινα δίκην, κἂν οὐ καταστῇ πρὸς εὐθύνην· πλὴν ἐμοὶ συνήνεγκεν ἂν τὸ μὴ τῷ βήματι τοῦ κριτοῦ παραστῆναι, ὥστε δίκην ὑποσχεῖν τῶν οὐ καλῶς πεπραγμένων. Ὅτε γὰρ ἔστιν ἀκούειν αὐτοῦ Δαβὶδ, τὸν κριτὴν παραιτουμένου, ὡς ἂν μὴ πρὸς εὐθύνας ἐκείνῳ γένοιτο· τίς οὕτω τολμηρός ἐστιν, ὡς μὴ καὶ τῇ μνήμῃ τῆς δίκης μόνῃ κλονεῖσθαι; Ἔρμαιον ἂν D ἦν τοῖς τῆς ἡδονῆς δούλοις (ὁ λόγος δὲ πρὸς ἀντιλέγοντα), εἰ τὰ ταύτης, ὡς σύ γε φῂς, εἶχε· λέγω δὴ τὸ δύναμιν ἔχειν τοιαύτην τὴν ἡδονὴν, ὥστε καὶ τοὺς βουλομένους διαφυγεῖν τὰς ἐκείνης ὑπερβολὰς, ἀποδεικνύναι ληροῦντας. Ἡ που δὲ μέγα δέδοικα, μὴ οὐχ, ὥς τισι νομίζεται, τἀληθὲς εἴη. Ἐναλλὰξ γὰρ ἔχειν τὸ περὶ ταύτης ἐγώ φημι. Τὸ γὰρ τυραννοῦν αὐτῆς λῆρος, εἰ βούλοιτό τις. Καὶ τοῦτ' ἔστι τὸ ποιοῦν τὸν δίκαιον κριτὴν εἰσπράττειν γε ἡμᾶς δίκην, ἐπειδὰν ἐκείνην θῶμεν πρὸ τῶν αὐτοῦ προσταγμάτων. Ἐπεὶ, εἰ ἦν τὸ ταύτης ἰσχυρὸν ἀήττητον, εἰς τὰς ψυχὰς εἰσκωμάσαν, οὔτ' ἂν δίκην ἀφ' ἡμῶν ἐλάμβανεν ὁ κρίνων Θεὸς, εἰ δι' ἡδονὴν παρευδοκιμεῖτο τὸ ἐκείνου θέλημα, οὔτ' ἂν τὴν ἀρχὴν ἡμᾶς

Digitized by Google

κατ' ἐκείνης ὥπλιζε ταῖς θαυμασταῖς τε ἐντολαῖς καὶ παραινέσεσι.

Σύμφημι δέ γε τῷ λόγῳ τῷ καταρχὰς, ὡς ἄρ' ἔστιν ἡ ἡδονὴ τυραννικώτατον πάθος, καὶ τὴν περὶ ταύτης εἰκόνα οὐδαμῶς μέμφομαι. Οὐδὲ γὰρ ἀπάδει τοῦ ταύτης τρόπου. Οὐ μὴν ἴδε κατὰ πάντων ἑξῆς ἀνθρώπων τοσαύτην κέκτηται δύναμιν, ὁπόσης ὁ λέγων ἐβούλετο· μόνον δὲ τῶν οὐ γενναίως ἀνθισταμένων ταῖς αὐτῆς ἐφόδοις καὶ προσβολαῖς. Δῆλον δέ· ἀνδράσι γὰρ προσπεσοῦσα φορᾷ δριμείᾳ, κῦμά τι πρόβολον ἔπαισε μεγίστοις λίθοις εἴς ἔν τι καθηρμοσμένον ἀρίστῃ τέχνῃ, καὶ διελύθη, μηδὲν ἰσχύσαν· ἐκείνων δὲ τὰς ψυχὰς τῇ ποικιλίᾳ τῶν ὀρεκτῶν καθάπαξ ἀνηρημένη, ὡς μηδὲν εἶναι λοιπὸν, ἢ τὴν μὲν ἐπιτάττειν, τὰς δ' εἴκειν, εἰς ὅ τι χείριστον αὐτὰς παραπέμποι, καὶ οἱονεὶ πρὸς τὸ πέλαγος τὸ Ἀτλαντικὸν, τὸ πέρα Γαδείρων, τὸ ἄπλετον. Καὶ γάρ τοι ταύτας τὰς ψυχὰς καὶ παρασύρει, καὶ ἀποπνίγει, χειμάῤῥοῦν δίκην, ἐξ ὑστοῦ καταφερομένων πάνυ ῥαγδαίου σφοδρᾷ τινι ῥύμῃ καὶ φοβερᾷ, δούπῳ καὶ μόνῳ ποιούντων φρίττειν. Δῆλον γὰρ εἰς οἷον ἐμπίπτομεν βάραθρον, ὅταν τὰς ἡνίας ὅλας ἀφῶμεν τοῦ ἐπιθυμητικοῦ τῆς ψυχῆς μέρους. Πλὴν ἀλλὰ τῶν ἀρετῇ καὶ λόγῳ καθωπλισμένων οὐδ' ἂν οὐδένα τρώσειε τὸ ἐκείνης ὀπωσοῦν βέλος. Ὡς οἵ γε ἄνδρες, εὖ ἴσθι, τὴν σώφρονα καὶ ἀναγκαίαν ἡδονὴν σὺν τῷ καιρῷ καρπούμενοι, ταυτησὶ τῆς ἀκολάστου, τῆς ὑπὲρ χρείαν, καταγελῶσιν, ὡς οὐδὲν ἱερὸν οὖσης, ἐπειδὰν παντοδαπὴ μὲν γένηται, προτείνῃ δὲ σὺν μηχανῇ τε καὶ ποικιλίᾳ πᾶν ὁτιοῦν κάλλιστόν τε καὶ ἥδιστον ταῖς τοῦ σώματος αἰσθήσεσι, δι' ὧν ἰσχύει καὶ περιγίγνεται, εἰ μὴ κοσμίως αἰσθάνοιντο τουτωνὶ τῶν αἰσθητῶν, καὶ τοῖς ἡδίστοις ἡδύνοιντο μετὰ λογισμοῦ. Ὥστε τὸ πᾶν τῆς ὑπερβολῆς, καὶ τοῦ πολλοῦ, καὶ τῆς ἀμετρίας. Καὶ ταῦθ' ἡμέτερον ἔγκλημα, καθάπερ καὶ προείρηται, οὐχ ὡς αὐτῷ σοι δοκεῖ. Σὺ μὲν γάρ, ὦ τᾶν, ὡς ἔοικε, σαυτὸν αἰτίας ἐλευθεροῖς, καὶ τὴν ἀκρασίαν οὐδὲν λογίζῃ, καὶ τὴν ἐθελούσιον κίνησιν παρ' οὐδὲν τίθης· μόνην δὲ τὴν ἡδονὴν ἄνω καὶ κάτω στρέφεις, αἰτιώμενος ἁπλῶς πρὸς ἅπερ ἂν ποτέ σοι πραχθείη εἰς αὐθάδειαν καὶ τέρψιν. Καὶ παραινῶ σοι φείδεσθαι τῶν τοιούτων κρίσεων, καὶ μακρὰν ἀπέχεσθαι τουτωνὶ τῶν λογισμῶν, πόῤῥω που καὶ τούτων ὄντων τῆς ἀληθείας. Ποιεῖν γὰρ παραπλήσιον, ὥσπερ ἂν εἰ φάρμακον ἔδει σε πεπωκέναι, ὑπὸ ἰατρῶν ἀρίστων ἐσκευασμένον, εἶτ' ἀκαίρως αὐτὸς χρησάμενος τῷ φαρμάκῳ, πρὸς τοὐναντίον ἐκβάντος σοι τοῦ βουλήματος, ἀφεὶς σαυτὸν ἐπιπλήττειν, σὺ δὲ διαβάλλεις τὸ φάρμακον, καὶ τοὺς ἐκεῖνο σοφῶς κεράσαντας. Οὐ μόνον δὲ τὰ παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ πάνθ' οἷς χρώμεθα, εἴ χρῇτό τις οὐ καλῶς, οὐδὲ μετὰ τοῦ προσήκοντος μέτρου, βλαβερὰ ἂν γένοιτο πάντα τρόπον ἢ αὐτίκα, ἢ μετέπειτα, ἢ καὶ ἀπ' ἀρχῆς ἄχρι τέλους. Τοῦτο δὲ οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐκ ἔστιν. Οὐκ ἄρ' ἡ ἡδονὴ τὸ κακὸν, ἀλλ' ἡ παράχρησις ἐπὶ τῶν ἁπάντων. Ἐπεὶ καὶ πῦρ τῇ παραχρήσει

A ille judex noster sumeret, voluptatem ipsius voluptatis causa reprobantibus, nec ab initio nos adversus illam admirabilibus mandatis et admonitionibus armasset.

Assentior equidem priori orationis parti, voluptatem esse vitium longe violentissimum, nec expressam illius imaginem reprehendo : non enim abhorret ab illius ratione ac more. Verum non adversus omnes pariter homines tantam illa vim obtinet, quantam orator iste statuit, sed duntaxat in eos qui fortiter ejus impressionibus haud resistunt. Quod sane vel hinc paret : quoties enim acri cum impetu viros adoritur, instar fluctus alicujus objectam molem, de maximis lapidibus arte singulari compactam, ferit, irritoque constu dissipatur. B Alterorum vero animos ubi semel expetendarum rerum varietate cepit, nihil restat aliud quam ut ipsa imperet, illi pareant, ad quodcunque vel turpissimum ablegaverit, quasi quoddam ad pelagus Atlanticum, ultra Gades situm, planeque immensum. Nam illos animos et trahit et suffocat, torrentium in morem, qui vehemente pluvia cum impelluntur, ob aerem et formidabilem impetum vel solo strepitu horrorem incutiunt. Satis enim manifestum est in quale barathrum incidamus quoties illi animi parti qua vis appetens continetur, frena plane laxamus. At illorum qui virtutis et rationis armis muniti sunt, neminem ullo pacto telum ipsius vulneraverit. Nam qui viri sunt, eos C scire debes moderatam ac necessariam voluptatem opportune percipientes, istam effrenem et non necessariam ridere, quod nihil in eo sacri sit, quoties et varietatem induit, et arte quadam versutiaque corporis sensibus quidquid et pulcherrimum et jucundissimum est, objicit, atque horum adjumento corroboratur, et superior evadit, nisi res istas sensiles rite percipiant, et jucundissimis cum ratione semet oblectent. Quo fit ut tota res in nimio posita sit, et copia modique neglectu, quæ sane nostrum sunt crimen, uti supra quoque dictum est, non uti tibi videtur. Nam tu quidem, o bone vir, teipsum culpa liberare videris, et intemperantiam extenuas, ac motum voluntarium pro D nihilo ducis : voluptatem vero solam sursum deorsum volutans, simpliciter ad eam refers, quæcunque contumaciæ ac libidinis explendæ causa unquam abste gesta sunt. Quibus a judiciis ut abstineas, longeque cogitationes hujusmodi repellas, moneo, quando et ipsæ longe a veritate absunt. Nam perinde facis ac si, cum hauriendum tibi pharmacum esset, optimis a medicis paratum, tu intempestive pharmaco usus, eventu voluntati tuæ contrario subsequente, objurgatione tuimet ipsius omissa, pharmacum accuses et eos qui docte id miscuerant. Neque tantum pharmaca medicorum, sed etiam omnia quibus utimur, si quis haud recte utatur, neque cum modo conveniente, quin noxia futura sint, vel statim, vel in posterum, vel etiam a principio usque ad finem, fieri nulla ratione potest. Nec ulla est res,

Digitized by Google

in qua non idem hoc usu veniat. Non ergo voluptas malum quid est, sed abusus in rebus universis, quandoquidem et ignis abusu malus est, et aqua, et res omnino quælibet. Hæc enim ipsa cæteroqui necessaria, et absque quibus nemo salvus et incolumis fuerit, perinde ac noxiæ natura res, interimunt si ultra quam par sit fluant magna cum abundantia. Dic, obsecro, mihi, quid luce, quid aere melius? Si tamen et his abutamur, magnum quoddam fit malum, itemque nobis accidit quod iis qui horum minime participes sunt; nam utrisque calamitas intoleranda contingit, tam nobis quam illis. Et quonam id pacto, dicam. Radius, res omnium jucundissima, præbet oculis ut actu videndi vim habeant, et rebus aspectabilibus præbet ut conspiciantur id esse quod sunt. Nam et quæ pulchra sunt, et ipse oculus, potestate duntaxat id essent quod natura sunt, pulchra nimirum, et oculus, si beneficium suum radius ipse non præstaret; sed si quis hunc totum oculis immediate exceperit, facile vivendi facultatem amittet. Atqui si longo tempore radius oculis nullus illuxerit, nihil inde detrimenti eis acciderit; verum si supra modum in eos irruerit, mox inopinatum quiddam accidit, quando quod jucundissimum nobis est, in dolorem desinit, et per quem videre possumus, per eumdem videndi usum amittimus. Jam absque aeris usu ne brevissimo quidem tempore durare possumus, ut interim non dicam, mox interitura universa, ni circumfusus aer esset. Verum si et ille gravius nos afflaverit, et ingente cum impetu sic interna penetraverit per aures, per nares, per os, ut eum omnino nec emittere, naturali viscerum calore fervefactum, nec recentem, qui calorem insitum refrigeret, attrahere atque intromittere possimus, facile omnes perierimus. Sic omnia bona sunt quæ rite fiunt, nec absque hoc quidquam. Nam et membra corporis, et quæcunque usibus horum serviunt, per se bona sunt et ad bonum facta. Quin etiam conditionem suam moderatione servant; nam solo excessu, vel defectu illius, quod fieri par erat, tam ipsa membra quæ agunt, quam quæ per ea efficiuntur, esse mala putantur, cum nequaquam sint. Etenim quod nimium est, quodque parum, ubique nocet, uti jam ante dictum est. At illa per istæc instrumenta nonnunquam fiunt, nonnunquam ratione materiæ, quæ instrumentis, hoc est membris, agendi vim suppeditat; nonnunquam ex ipsius animi sententia. Non tamen illa quis jure vituperaverit, opinor, in ulla re : nec enim materies, quæ expers est animi, culpanda venit, nec membra, sed movens istæc animus, qui arbitratu suo movetur, ad meliora quidem cum a ratione gubernatur, ad deteriora vero cum brutas ad partes magis propendet. Quamobrem de duobus alterum sequetur, vel ut minime sit accusanda voluptas, quoties modus a nobis negligitur, progressis ulterius quam par fuerat : vel ut idem eodem modo de creatis universis fiat; imo potius, creatis omissis, Creatorem ipsum cavillemur. Nam qui noxio-

πώροις ἐκείνοις πολύ τι δακνηρότερα φαίνεται σφαγῆς αὐτῇ· καὶ θανάτου· εἰ μή τινες εἶεν ἐκείνων τῶν κάτω κύπτειν μεμαθηκότων, ἐπειδὰν καὶ ῥάπισμα κατὰ κόρρης δέξαινται. Οὕτω τὰ ἡμέτερα φιλάνθρωπα καὶ δίκαια, οὐδὲν οὐ μέγα οὐ καθαρόν· ἀλλὰ μικρά τινα, καὶ συγκεχυμένα, καὶ πρὸς τὸ ἡμῶν αὐτῶν συνοῖσον ἀφορῶντα μᾶλλον ἢ τὸ πρὸς οὓς γίγνεται. Θεοῦ δὲ γένοιτ' ἄν, οἶμαι, δικαιοσύνη τε καὶ φιλανθρωπία τὸ μεταμελομένους ἡμᾶς ὡς δεῖ, ἐφ' οἷς γε ἐξυβρίσαμεν εἰς τὸν αὐτοῦ νόμον τῇ παραβάσει τῶν ἐντολῶν, εὐθὺς αὐτὸν δέχεσθαι, καὶ μὴ ζητεῖν τιμωρήσασθαι, εἰ μὴ τὴν ἰσόρροπον ἐκείνῳ τιμὴν ἀντεισενεγκεῖν δυνηθείημεν· ἐπεὶ καὶ ἄλλως τοῦτο ἀδύνατον. Τὸ μὲν γὰρ εἰς Θεὸν ὑβρίσαι εὐχερές· τιμῆσαι δέ γε τοῦτον ἀμήχανον. Διατί; Ὅτι καὶ τὸ τιμῆσάι τοῦτον ἐκεῖθεν ἡμῖν. Ὥστε καὶ τὸ δυνηθῆναι ποιῆσαί τι τῶν δόξαν Θεῷ νομιζομένων προσφέρειν γένοιτ' ἂν εἰκότως ἡμῖν οὐκ ἐκκοπή τινος χρέους, ἀλλὰ προσθήκη. Ὅλως δὲ τὰ τῶν ἐλαχίστων πρὸς τοὺς μεγίστους, εἰ μὲν ἀτιμίαν εἰσφέρει, ἔστω δὲ μικρά τις αὕτη καὶ φαυλοτάτη, δόξειεν ἂν μεγίστη καὶ περιφανεστάτη· ἢν δὲ καὶ πᾶσαν εἰσενέγκοι τιμὴν μεθ' ὅσης ἄν τις βούλοιτο τῆς ὑπερβολῆς, οὐ δύναταί τι προσθεῖναι δόξης. Ὁ δὲ Θεὸς ὢν ἀγαθὸς, δέχεται τὸ προθυμεῖσθαι ταύτην εἰσφέρειν, ὥσπερ ἂν εἰ ἐδυνάμεθα τοῦτο πρᾶξαι. Προθυμουμένων γὰρ ἡμῶν τὸ χρέος ἅπαν ἐκτῖσαι, εἰ ὑπερνικήσῃ τὸ ὀφειλόμενον τὴν ἡμετέραν ἰσχὺν, οὐδὲν τοῦτο λογίζεται. Οὐδὲ γὰρ δεῖται παρ' ἡμῶν οὐδενὸς, ἢ ὧν ἐσμεν κύριοι. Πῶς οὖν εἰκὸς κολασθήσεσθαι τοὺς σφᾶς αὐτοὺς ἐπιῤῥίψαντας εἰς τὴν ἐκείνου φιλανθρωπίαν διὰ καθαρᾶς μετανοίας; καίτοι παρέλκον εἰπεῖν, καθαρὰν μετάνοιαν. Οὐ γὰρ ἔστι μετάνοιαν εἶναι τὴν μὴ παντάπασι καθαρὰν οὖσαν· ὅτι δι' αὐτῆς καθαιρόμεθα. Καὶ πῶς ἂν εἴη καθαίρεσθαι τῷ μὴ καθαρῷ; Ἔστι μὲν οὖν μετάνοια τὸ μεταγνόντας ἐπὶ τοῖς πεπραγμένοις, καὶ δεικνύντας τὴν μετάνοιαν ἔργοις, παρὰ τὸν δυνάμενον σώζειν τρέχειν *ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου*, φησὶν ὁ παλαιὸς νόμος. Ὁ δὲ Θεὸς οὕτως ἐστὶν ἀγαθὸς, ὡς καὶ τὴν ὁπωσοῦν μεταμέλειαν ἐπιεικῶς δέχεσθαι. Εἰς γὰρ τὸ θέλειν ἀφορᾷ, καὶ τὸ δυνατὸν, ὁ φιλάνθρωπος, ὡς προείρηται. Πρόσεστι δὲ κἀκεῖνο τὸ ἀγαθόν. Ἐπειδὰν γὰρ ἡμεῖς ὀλίγον τι προεισενέγκωμεν τῆς ἀγαθῆς θελήσεως, αὐτίκα πως ἡμῖν παραγίγνεται ἡ τοῦ Θεοῦ ῥοπὴ, καὶ τὸ τελέως θελῆσαι παρ' αὐτῆς δίδοται. Καὶ τί λέγω, ἐπειδὰν προεισενέγκωμεν; ὅπου γε καὶ μὴ βουλομένους ἐνάγει πρὸς τἀγαθὸν ὁ δημιουργὸς ἅπασι τρόποις, ἄνευ μέντοι τοῦ βιάσασθαι, ὡς οὐ προσῆκον ταύτῃ γενέσθαι. Ἡ γὰρ τῆς ψυχῆς θεραπεία ἰατροῦ μὲν δεῖται μόνου Θεοῦ· ἔστι δὲ καὶ τῶν ἐφ' ἡμῖν. Δεῖ γὰρ τέως αἰσθέσθαι τῆς ἀῤῥωστίας, καὶ τὸν ἰατρὸν εἰδέναι, καὶ πρὸς ἐκεῖνον ἐθελῆσαι δραμεῖν, τούς γε ὑγείας ἐφιεμένους. Ὥστε οἱ πειραθησόμενοι τῶν κολάσεων (ὁ λόγος δὲ νῦν οὐ περὶ τῶν πιστῶν μόνον) αἴτιοι σφίσιν αὐτοῖς αὐτοί γε πάντως, οὐχ ὁ

tiæ lex est ut eis qui satisfecerint injuriam condonemus. Quod si quis persolvere nequiverit, adsunt verbera, compedes, carcer, omniaque hujusmodi alia: nonnunquam et mors sequitur, cum quæ diriter premunt, oppressorum vires superent. Taceo contumelias, convicia, quidquid ignominiam affert, multa cum iracundiæ vehementia factum: quæ res miseris illis ipsa cæde ac morte longe mordaciores videntur, nisi de numero sint eorum qui vultum demittere didicerunt, etiam cum alapas acceperint. Sic nimirum clementia justitiaque nostra nihil neque magnum neque purum est, sed exile quiddam et confusum, potiusque nostrum ad commodum spectans quam illorum quibus exhibetur. At Dei justitia clementiaque fuerit, opinor, ejusmodi, mox uti nos resipiscentes, ceu decet, ob admissa neqniter in ipsius legem per ipsam mandatorum violationem, recipiat, minimeque pœnis afficere velit, si parem ac respondentem ipsi honorem vicissim exhibere non possimus: quippe cæteroquin etiam hoc fieri nullo modo potest. Nam facile quidem est, Deum offendere, sed eumdem honore afficere nullo modo possumus. Quamobrem? Quod ab ipsomet nobis conceditur, ut eum honore afficiamus, quo fit ut ipsum illud posse quid facere, quod ad Dei gloriam cedere putetur, haud abs re non pro dissolutione debiti, sed accessione sit habendum. In universum vero, quæ a minimis erga maximos fiunt, si quidem infamiam adferunt sane quam pusillam et minimi momenti, pro maxima splendidissimaque haberi solet: sin omnis oblatus fuerit honos, etiam cum qualibet exsuperantia, nihil hoc adjicere gloriæ potest. Deus vero, qui bonus est, etiam cupiditatem exhibendi honoris ita probat et admittit, atque si rem ipsam præstare possemus. Quippe cum nos æs alienum omne dissolvere cupimus, si maxime quod debetur facultates nostras superet, pro re momenti nullius id ipse ducit; nec enim a nobis quidquam desiderat, nisi quod nostra sit in potestate positum. Quinam ergo consentaneum sit, illos pœnas daturos qui seipsos per puram pœnitentiam totos in eum rejecerint? Atqui supervacaneum est puram dicere pœnitentiam; nam fieri nequit ut sit pœnitentia, quæ omnino pura non sit: per hanc enim purificamur, et quo pacto fieri purificatio per rem non puram possit? Enimvero pœnitentia est, resipiscentes de admissis et factis pœnitentiam ostendentes, ad eum currere qui servare potest, idque toto corde tuo, toto animo totisque viribus tuis, uti lex prisca loquitur. Dei vero ea bonitas est, ut etiam qualem qualem pœnitentiam benigne recipiat. Nam cum clemens sit, ipsum velle respicit et quod nostris est positum in viribus, ceu diximus. Præterea bonum illud etiam accedit: nam cum nos primi vel paulum bonæ voluntatis attulerimus, confestim Dei nobis adest impulsio, per quam perfectum velle nobis tribuitur. Et quid ego dico, cum primi nos attulerimus? quando etiam non volentes opifex ille rerum modis omnibus ad bonum

Digitized by Google

impellit, absque coactione tamen et violentia, quod ita rem fieri minime conveniat. Animi namque sanatio medico quidem indiget solo Deo; sed interim rerum ex earum est numero quæ a nostra voluntate pendent. Oportet enim primum habere sensum imbecillitatis suæ, deinde nosse medicum, et ad eum currere velle, si qui valetudinem integram desiderant. Quapropter illi qui pœnis afficiendi sunt (neque nunc de fidelibus tantum loquor), ipsimet omnino sibi pœnarum auctores sunt, non Deus, qui sane permittit hoc fieri, non justitiæ suæ causa tantum, sed etiam quod aliquid tacitæ utilitatis admistum sit ipsis pœnis. Nam hoc uti credamus, omnino nos ipsius erga nos bonitas cogit.

Quare si hæc ita se habere videntur (videntur autem omnino), quonam pacto fas sit ut de homine vel pravissimo atque pessimo in hac vita quis desperet, cum medelam is in manibus habeat, salutarem illam pœnitentiam, sicut et supra dictum a nobis est? Et quando Salvator ipse nobis promittit, se mox invocantibus adfuturum, adeoque inaspectabiliter adest, et manifesto ad salutarem hanc voluntatem juvat omnes qui hoc ab eo flagitant, quis obsecro, nisi vehementer insaniat, recte vel de jacentibus in ipso malorum gurgite desperaverit unquam, si soli misericordiæ potestatique fidentes illius qui gratis servat, resipiscant? Quamobrem de nullis omnino desperandum, nisi qui magna quadam insania de seipsis desperarunt. Nam propter acervum multiplicium peccatorum desperare, stultum omnino fuerit, donec vitam hanc præsentem non deposuerimus. Nam velle Deum misericordia motum uti potestate sua pro iis qui eum invocant, satis, opinor, consentaneum est: idem si quid facere voluerit, in eo perficiunde viribus ut destituatur, fieri nullo modo potest. Nihil igitur iis qui hærent in peccatis, ad hoc deest, ut salvi fiant, quam ut germanam agere pœnitentiam velint: quippe qui Jonam e ventre belluæ atque imo maris eripuit, idem hos quoque de ventre hostis et imo vitiositatis fundo extrahere potest. Atqui Jonæ conservatio prodigium quoddam erat, neque necessario requirebatur ut Deus id faceret; non enim certe flagitabimus ab eo, quæcunque potest, eadem ut omnia faciat, verum uti prostratis a peccato, qui deinde corrigi velint, manum ipse porrigat, haud dubie necessarium est. Quamobrem? Quoniam istuc ipse facturum se promisit, dum ad petendum, et quærendum, et pulsandum hortatur universos. Non enim ut illa quidem faciamus nos adhortatus est, at quid inde sit eventurum tacuit, cogitationibus nostris in ambiguo relictis, sed illud ipsum quoque nobis ostendit, cum petitioni adjicit impetrationem, quæsitioni inventionem, quodque fores aperiendæ sint ad illorum qui pulsant ictus. Itaque promissum hoc gratia est, cujus certior persolutio quam omnium inter homines debitorum. Nam nos sane quod attinet, qui multis affixi sumus vitiis, ac non raro quidem resipiscimus, verum plerumque justam ad persolutionem nimis imbecilles sumus, consentaneum est, neque gratiam, neque debitum exsolvi, quando malum hoc etiam accedit. Quippe cum nonnunquam id præstare possemus quod decebat, præstare non volumus. At ista locum in Deo non habent:

A Θεός. Συγχωρεῖ δὲ τοῦτο γενέσθαι οὐ διὰ τὸ δίκαιον μόνον, ἀλλ' ὅτι καὶ συμφέρον τι λανθάνον μίγνυται ταῖς κολάσεσιν. Ἦ γὰρ δὴ περὶ ἡμᾶς ἐκείνου χρηστότης πανταχόθεν ἀναγκάζει ταυτὶ πιστεύειν.

Εἰ οὖν δὴ ταῦτα δοκεῖ (δόξειε δ' ἂν πάντως), ποῦ καιρὸν ἔχον ἐστὶ, τὸν ἐνταυθοῖ φαυλότατον καὶ χείριστον ἀπογνῶναι, ἐν χεροῖν τὸ φάρμακον ἔχοντα, τὴν σώζουσαν μετάνοιαν, ὡς κἂν τοῖς προλαβοῦσιν ἡμῖν εἴρηται; Ἐπεὶ δὲ καὶ ὁ Σωτὴρ ἡμῖν ὑπισχνεῖται, ἐπικαλουμένοις εὐθὺς παρέσεσθαι, καὶ πάρεστιν
B ἐκ τοῦ ἀφανοῦς, καὶ βοηθεῖ φανερῶς πρὸς τὴν σωτήριον ταύτην βούλησιν πᾶσι τοῖς αὐτὸν ἐκζητοῦσι τίς, εἰ μὴ σφόδρα μαίνοιτο δίκαιος ἂν εἴη ποτὲ καὶ τοὺς ἐν αὐτῷ τῷ βυθῷ τῶν κακῶν κειμένους ἀπογινώσκειν, ἐλέῳ μόνῳ θαρροῦντας, καὶ τῇ δυνάμει τοῦ προῖκα σώζοντος μεταμελομένους; Ὥστ' οὐδένας γε τῶν πάντων ἀπογνωστέον ἡμῖν ἂν εἴη, εἰ μὴ τοὺς σφᾶς γε αὐτοὺς ἀπεγνωκότας πολλῇ μανίᾳ. Διὰ γὰρ σωρὸν ἁμαρτημάτων πάντοδαπῶν εὔηθες παντάπασιν ἀπογνῶναι, ἕως ἂν μὴ τὴν παροῦσαν ζωὴν ἀποθώμεθα. Θελῆσαι μὲν γὰρ τὸν Θεὸν ὑπὸ ἐλέους κινούμενον τῇ δυνάμει χρήσασθαι ὑπὲρ τῶν αὐτὸν ἐπικαλουμένων ἐπιεικὼς εἰκός ἐστιν, οἶμαι· ἀτονῆσαι
C δέ ποτε θελήσαντά τι διαπράξασθαι παντάπασιν ἀδύνατον. Οὐδὲν ἄρα λείπεται τοῖς ἐν ἁμαρτίαις πρὸς τὸ σωθῆναι, ἢ τὸ θελῆσαι γνησίως μετανοῆσαι. Ὁ τοίνυν καὶ τὸν Ἰωνᾶν θηρὸς γαστρὸς ἀναρπάσας, καὶ θαλαττίου βυθοῦ, δύναται καὶ τουτουσὶν ἀνελκύσαι τῆς τε γαστρὸς τοῦ ἐχθροῦ, καὶ τοῦ τῆς κακίας βυθοῦ. Καίτοι τὸ τοῦ Ἰωνᾶ θαῦμα ἦν, καὶ οὐκ ἦν ἀνάγκη τοῦτο ποιῆσαι. Οὐ γὰρ ἀπαιτήσομεν αὐτὸν, ὅσα δὴ καὶ δύναται, ταῦτα ποιεῖν ἅπαντα. Τὸ δὲ τοῖς καταβληθεῖσιν ὑπὸ τῆς ἁμαρτίας, ἔπειτα θελῆσαι ἐπανορθωθῆναι, χεῖρα ὀρέγειν σαφὴς ἀνάγκη. Πῶς; Ὅτι τοῦτ' αὐτὸς ἐπηγγείλατο, ἐν οἷς αἰτεῖν τέ καὶ ζητεῖν, καὶ κρούειν ἅπασι παραινεῖ. Οὐ γὰρ
D δὴ πρὸς ταῦτα μὲν παρακέκληκε, τὸ δὲ ἀπὸ τούτων ἐκβησόμενον σεσίγηκεν, ἐν ἀδηλίᾳ τοὺς λογισμοὺς ἀφείς· ἀλλὰ καὶ τοῦτο ἡμῖν ἔδειξε, προσθεὶς τῇ μὲν αἰτήσει τὴν δόσιν, τῇ δὲ ζητήσει τὴν εὕρεσιν, καὶ τὸ τὰς θύρας ἀνοιγήσεσθαι μέλλειν τοῖς τῶν κοπτόντων κρούμασι. Χάρις μὲν οὖν τὸ ἐπάγγελμα, πάντων δὲ τῶν ἐν ἀνθρώποις ὀφλημάτων ἀσφαλεστέραν τὴν ἀπόδοσιν ἔχει. Ἐφ' ἡμῶν μὲν γὰρ τῶν προσηλωμένων πολλοῖς πάθεσι, καὶ μεταμελομένων μὲν οὐκ ὀλιγάκις, πρὸς δὲ δικαίαν ἔκτισιν ἀδυνατούντων πολλάκις, εἰκός ἐστι καὶ χάριν καὶ ὄφλημα μὴ ἀποδοθῆναι. Ἐπεὶ καὶ τοῦτο γίγνεται τὸ δεινόν. Δυνάμενοι γὰρ ἔστιν ὅτε τὸ πρέπον ἐργάσασθαι, οὐ βουλόμεθα. Ἐπὶ δὲ Θεοῦ τὰ τοιαῦτα χώραν οὐκ ἔχει. Ὅπου γὰρ Θεὸς ὁ ἐπαγγελλόμενος, οὐκ ἴσθ' ὅπως οὐκ ἐκτελέσει, καὶ δῶ ταῖς ὑποσχέσεσι τέλος ἴσχειν· ὥστ' οὐδεὶς ἐν ἀπογνώσει, εἰ μὴ ὁ ἀπογινώσκειν νομίζων ἄξιος εἶναι. Μηδεὶς οὖν ταῦτα γινώσκων

Digitized by Google

καὶ σωφρονῶν, ἐμοὶ πειθόμενος, ἀπογνῷ· ἀλλ' ἢ τρυφάτω ταῖς ἀγαθαῖς ἐλπίσι ζῶν, ἐν ἀγαθαῖς ἀεὶ πράξεσιν, ἢ περὶ τὴν ἐνδεκάτην ἐλθὼν εἰς τὸν καλὸν ἀμπελῶνα, ἐκδεχέσθω προῖκα λαβεῖν, ὅσον δικαίως δέδοται τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσονα. Ἐγὼ τοὺς πάντας ὑπερελάσας ἐπὶ κακοῖς, οὐκ ἐμαυτὸν ἀπογνώσομαι· καὶ διὰ τοῦτο, οὐδ' ὀντινοῦν τῶν ἁπάντων· ὡς ὄφελόν γε καὶ σὲ τὸν ἄπταιστον, ἵνα μὴ κρίνων τοὺς ἄλλους, αὐτὸς κριθῇς, καὶ καταδικάζων ἀπαραίτητα, αὐτό γε τοῦτο πάθῃς ὑπὸ Θεοῦ, κατὰ τὸν ἐκείνου χρησμόν. Εἰ γὰρ ἑαυτὸν οὐ δίκαιον ἀπογνῶναι, οὕμενουν οὐδένα τῶν πάντων, οὐδ' ἂν ὑπὸ πάντων ἀπογινώσκηται· πῶς ἂν τις δικαίως τοὺς ἄλλους, μήτε τὰ ἐκείνων πλημμελήματα ἀκριβῶς εἰδὼς, ὡς τὰ οἰκεῖα κακὰ, μήτε τὴν τότε διάθεσιν τῆς ἐν ἑκάστῳ ψυχῆς, ἢ τἄνδον, ἢ τὰ θύραθεν αὐτοῖς ἐπισυμβαίνοντα πράγματα; Καὶ διὰ ταῦτα οἱ τῶν ἀνδρῶν ἄριστοι οὔτ' ἀπογινώσκουσι τοὺς οὐκ ἀπογνόντας, οὔτ' εὐχερῶς κατακρίνουσι. Τοῦτο γὰρ κεκρίκασιν εὔλογον εἶναι, σφᾶς μὲν αὐτοὺς κατακρίνειν, ἐπειδάν που τοῦ πρὸσήκοντος παρεξέλθωσι, μακρὰν ἐλαυνομένης ἅπασι τρόποις τῆς καθ' ἡμῶν λυττώσης ἀπογνώσεως· τοὺς δὲ ἑτέρους κρίνειν ἐᾷν τὸν Δημιουργὸν, ᾧ μηδὲν τῆς κτίσεως ἄβατον. *Κριτικὸς γὰρ ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας*, ὁ μακάριος ἔφη Παῦλος. *Μὴ κρίνετε*, φησὶν ὁ Σωτὴρ, *καὶ οὐ μὴ κριθῆτε. Μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε.* Τούτων τοίνυν τῶν φωνῶν διαπαντὸς μεμνημένοι, οὐδ' ὀντινοῦν κατακρίνουσιν, οὐδὲ μισοῦσιν. Ἄπαγε! οὐδὲ γὰρ τοσοῦτον ὁμόσε χωρήσουσι κατὰ τῆς κοινῆς φύσεως, κἂν ὅ τι πάθῃ διὰ προαίρεσιν· ἀλλὰ τὴν μὲν μοχθηρίαν βδελύξονται, τοὺς δὲ ἁμαρτάνοντας δακρύσουσιν· ὃ ποιεῖν εἰώθαμεν, μέλους ἡμῖν σηπομένου πονήρῳ ἕλκει, ἢ ἡνίκα τις νοσεῖ τῶν μάλιστα συνήθων καὶ συγγενῶν. Εἰδότες δὲ καὶ τὸν Χριστὸν ὑπὲρ τῶν σταυρωσάντων εὐξάμενον, καὶ διὰ πάντων ἐνάγοντα πρὸς μετάνοιαν τὸν ὀλίγοις ἀργυρίοις αὐτὸν πεπρακότα, τὸν προδεδωκότα, τὸν φιλήματι παραδεδωκότα, τὸν, κἂν ὅ τι γένηται, διαμενοῦντα κακόν· ταῦτά δὴ καὶ τὰ τοιαῦτα πρὸ ὀφθαλμῶν ἔχοντες, καὶ κήδονται τῶν ἡμαρτηκότων, καὶ πειρῶνται θεραπεύειν τὸ λυποῦν, καὶ γίνονται, καὶ πράττουσιν ἅπαντα πρὸς τὴν τοῦ κακοῦ λύσιν, καὶ χαίρουσιν ἀνύοντες, καὶ ἀνιῶνται μηδὲν περαίνοντες· εἰκότως. Εἰ γὰρ μετὰ τὴν πολλὴν ἐπιμέλειαν, καὶ τὰ λεξιτήρια φάρμακά, τὸ διενοχλοῦν χωρεῖ, δέος ἐστὶν οὐ μικρὸν, μὴ ὑπερνικῆσαν τῷ χρόνῳ, εἰς τοὺς τῆς ἀπογνώσεως βυθοὺς τὰς τῶν ἁλωκότων ψυχὰς παραπέμψῃ, πρὸς οὓς οὐδεὶς πω κατελθὼν ἐπανῆκεν. Οὕτως οἱ ἀκίβδηλον τὴν ἀρετὴν κεκτημένοι. Ἀλλ' οἷς γε ταύτης μέτεστι μὲν, νενοθευμένης δ' οὖν ὅμως, τοὺς ἐν ἁμαρτίαις κατειλημμένους οὐχ ὡς σχετλίους δακρύουσιν, οὐδ' ὡς νοσοῦσι τούτοις ἀμύνουσιν, οὐδὲ παρερχόμενοι τὰ συνοίσοντα διδάσκουσι, καὶ περινοστοῦντες ζητοῦσιν ὅθενοῦν βοήθειαν τούτοις εἰσαγαγεῖν· ἀλλ' ὡς ἐκραγέν τι

A nam ubi Deus est qui promittit, fieri non potest quin idem perficiat et ad finem promissa perducat. Itaque de nemine desperandum, nisi se dignum arbitretur de quo desperetur; eaque de causa nemo, qui novit hæc et sapit, mihi si parere velit, desperet, sed vel bona spe fretus gestiat, bonis in operibus vitam semper exigens, vel in egregiam illam vineam veniens ad undecimam horam, gratis exspectet accipere quantum jure datum est iis qui et onus et æstum diei tulerunt. Ego qui vitiis omnes antegressus sum, de me ipse non desperabo; et eamdem ob causam, nec de quoquam omnium. Quod utinam tu quoque, qui lapsus es expers, facias, ne judicans alios, ipse judiceris, et inexorabiliter damnans, quod est in oraculo, itidem a Deo damneris. Nam si de seipso quemquam

B desperare haud par est, nec etiam de quoquam omnino, non si maxime de eo desperent universi, quonam pacto de aliis jure quis desperaverit, quorum nec accurate delicta sic novit, ut mala propria, nec ejus temporis animi affectionem in quolibet, aut res vel intus vel extrinsecus eis accidentes? ideoque viri præstantissimi nec desperant de iis qui non desperarunt, nec facile condemnant: nam hoc rationi consentaneum esse judicant, seipsos quidem uti damnent, sicubi præter officium fecerint, longe interim remota modis omnibus furente contra nos desperatione, at vero judicium de aliis ut opifici rerum permittant, cui nihil in rebus creatis est

C incognitum, quippe facultatem judicandi de cogitationibus et conceptis cordis habet, ut beatus ille Paulus inquit. *Non judicate*, ait Salvator, *et non judicabimini*[1]. Quapropter horum dictorum semper memores, neminem condemnant, nec odio prosequuntur. Absit ut hoc faciant. Non enim tantopere contra naturam communem quasi pede collato pugnabunt, licet ei quidvis accidit ex ipsius animi proposito, sed vitium quidem ipsum abominabuntur, peccantes vero deflebunt: quale quiddam facere consuevimus, cum ulcere malo membrum aliquod nostrum putrescit, vel quis maxime familiaris aut propinquus ægrotat. Idem cum norint Christum etiam pro iis deprecatum, qui eum in crucem egerunt, et omnibus illum modis ad resipiscendum invitantem, qui paucis ipsum nummis argenteis vendiderat,

D qui prodiderat, qui osculo tradiderat, qui denique, quidquid tandem fieret, malus tamen permansurus erat: hæc igitur, et hujusmodi cum ante oculos habeant, et solliciti sunt de iis qui deliquerunt, et ægritudinem sanare conantur, omniaque fiunt et agunt mali levandi causa, atque uti re succedente gaudent, ita si nihil perficiant, dolent. Ac merito quidem: nam si post adhibitam curam diuturnam salubriaque remedia, malum ulterius serpat, non parum verendum est, ne cum paulatim prævaluerit, in desperationis vortices correptorum animos deturbet, in quos præcipitatus nemo unquam emersit. Ita se gerunt illi qui germanam minimeque vitiatam vir-

[1] Matth. v, 1.

Digitized by Google

tutem possident : at qui participes quidem illius sunt, sed adulteratæ corruptæque, deprehensos in peccatis non ut miseros deflent, nec ut ægris subveniunt, nec prætereuntes profutura docent, aut obvagantes opem undecunque conquirunt, quam eis ferant, sed veluti membrum quoddam a corpore toto avulsum, et emortuum marcidumque jam factum, abdicant atque rejiciunt, canibus et corvis dilacerandum, vel uti magis proprie loquar, malis genüis devorandum. Poeta quidem diceret,

A μέλος τοῦ ὅλου σώματος, καὶ νεκρὸν, καὶ ἔωλον γεγενημένον, ἀπαγορεύουσί τε καὶ ἀποῤῥίπτουσι, σπάραγμα κυσί τε καὶ κόραξιν· ἢ τό γε οἰκειότερον φάναι, βρῶμα δαίμοσιν·

. . . Ipsos autem canibusque avibusque. cunctis obtulit in prædam.

. . . Αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν, οἰωνοῖσί τε πᾶσιν. . . . .

At quos homines, obsecro ? quorum vel hostis misertus fuerit, humique jacentibus manum porrexerit. Imo mortuos etiam homines honoribus afficere consuevimus, et multa eis justa necessario persolvimus : ab eisdem membrum quoque abcissum, ac quocunque modo mortuum, nonnunquam B ab illis ipsis qui resecuerunt, et commiserationem, et sepulturam consequitur : quarum sane legum meminisse multo magis oportebat in iis qui et vivi sunt et ægri, quam in illis qui omnis opis sensu carent. At isti præclararum in hac parte legum obliviscuntur, ubi multo maxime illarum meminisse debebant, etiamsi cæterarum omnium obliviscerentur ; non eo duntaxat quod ita rationem habituri vivorum essent ac plerumque sanabilium, verum etiam propterea quod hi morbo laborent minante non corpori mortem, quam obire necessario cogimur, accedentem sponte sua, perque resurrectionem abolendam, sed animo, cujus æterna mors est, cum et ipse sit æternus ; animi namque mortem intelligere debemus esse diremptum a Deo. Quod si Deus vera vita est, qui prorsus Deo spoliati sunt animi, veram vitam amiserunt, ad quam reditus omnino nullus esse potest. Cæteroqui vero corpus ubi mortuum fuerit, ut cum eo moriatur animus fieri non potest. At ubi tristissimam illam mortem oppetierit animus, etiam corpus ipsum post resurrectionem quasi mortuum et miserum modis omnibus erit : nam quo pacto res aliter habere se possit, cum id quod ipsum corpus vivificat, veram vitam, quæ Deus est, amiserit? Eadem est et dæmonum ratio ; nam eos, qui veram vitam amiserunt, non fas est mutatis animis ad eam redire : quod quidem illis si superesset, consimiliter fieri posset, ut emendati vita illa quoque potirentur. D

Quamobrem mors animi res est omnium maxime formidabilis, et qui morbo laborant ad malum hoc tendente, non mente præditi esse odio debent, sed misericordiam potius mereri. Ac par quidem erat dubio procul, ut qui et virtutem et vitiositatem, quasique ambo istæc promiscue possident, adversus cæteros sese non efferrent ob unam illam partem meliorem, nec vitiositatis causa vultum in terram defigerent. At isti contrario, quam par erat, modo se gerunt. Nam propter virtutis portionem, tantum non ipsum cœlum somniantes, graves ac intolerabiles sunt, cæteros pro nihilo ducentes, ipsam vero vitiositatem, quæ in eis est, nec recte agnoscunt, cum ab ea mens ipsorum corrupta sit, e' agnitam oro re lev' ducunt,

εἶπεν ἂν ὁ ποιητής. Καὶ ταῦτα, τίνας; οὓς κἂν ἐχθρὸς ἠλέησεν ἄνθρωπος, καὶ χεῖρά γε κειμένοις ὤρεξεν ἄν. Καίτοι καὶ νεκροὺς ἀνθρώπων ἔθος τιμᾶν, καὶ πολλὰ τὰ νομιζόμενα ἐπ' αὐτοὺς ἀνάγκη τελεῖν· καὶ μέλος δὲ αὐτοῖς τμηθὲν, καὶ ἀποθανὸν καθ' οἱονδήτινα τρόπον, καὶ ἐλέους, καὶ ταφῆς, καὶ παρ' ἐκείνων αὐτῶν ἔστιν ὅτε τῶν ἀποτεμόντων αὐτὸ τυγχάνει. Καὶ ἔδει γε μεμνῆσθαι τῶν νόμων τούτων πολλῷ γε μᾶλλον ἐπὶ τῶν ζώντων τε καὶ νοσούντων, ἢ τῶν μηδαμῶς αἰσθανομένων ἡστινοσοῦν βοηθείας. Οἱ δὲ ἐνταῦθα τῶν καλῶν ἐπιλανθάνονται νόμων, ἔνθα πάντων μάλιστ' ἐχρῆν μεμνῆσθαι, κἂν εἰ πάντων ὁμοῦ τῶν ἄλλων ἐπιλανθάνοιντο· οὐ μόνον ὅτι ζώντων ἐπιμελήσονται καὶ ἰασίμων ὡς ταπολλά, ἀλλ' ὅτιπερ καὶ νόσον οὗτοι νοσοῦσιν, ἀπειλοῦσαν οὐ τῷ σώματι θάνατον, ὃς καὶ ἀναγκαῖος ἡμῖν ἐστι, καὶ ἔπεισιν αὐτόματος, καί ποτε λυθήσεται τῇ ἀναστάσει· ἀλλὰ τῇ ψυχῇ, ἧς ἀθάνατος ὁ θάνατός ἐστιν· αἰώνιος γάρ. Ψυχῆς γὰρ θάνατον δεῖ νοεῖν τὸ κεχωρίσθαι Θεοῦ. Καὶ εἰ ὁ Θεός ἐστιν ἡ ἀληθινὴ ζωὴ, αἱ τὸν Θεὸν καθάπαξ ζημιωθεῖσαι ψυχαὶ τὴν ἀληθινὴν ζωὴν ἀπέβαλον· εἰς ἣν γε πάλιν ἐπανελθεῖν ἀμήχανον παντελῶς. Χωρὶς δὲ τούτων ἀποθανόντι μὲν τῷ σώματι οὐκ ἔνεστι συναποθανεῖν αὐτῷ τὴν ψυχήν· τῆς δὲ ψυχῆς τεθνηκυίας τὸν οἰκτιστον ἐκεῖνον θάνατον, καὶ τὸ σῶμα μετὰ τὸ ἀναστῆναι ὡσπερεὶ τεθνεὸς καὶ ἄθλιον παντάπασιν ἔσται. Πῶς γὰρ οὔ ; τοῦ ζωογονοῦντος αὐτὸ, τὸ κυρίως ζῆν, λέγω δὴ τὸν Θεὸν, ἀπολωλεκότος. Οὕτω καὶ οἱ δαίμονες. Τὴν γὰρ ἀληθινὴν ζωὴν ἀπολέσαντας, οὐκ ἔνεστιν ἐπανελθεῖν εἰς αὐτὴν μεταγνόντας. Ὡς εἰ καὶ τοῦτο περιῆν, ἦν ἂν ὁμοίως διορθωθέντας, καὶ τῆς ζωῆς ἐκείνης τετυχηκέναι.

'Ο τῆς ψυχῆς ἄρα θάνατος τὸ φοβερώτατόν ἐστιν ἁπάντων· καὶ οἱ νόσον γε νοσοῦντες εἰς τοῦτο φέρουσαν τὸ δεινὸν οὐ μισητέοι νοῦν ἔχουσιν, ἀλλ' ἐλέους ἄξιοι. Ἦν μὲν οὖν, οἶμαι, προσῆκον ἐπιεικῶς τοὺς κεκτημένους μὲν ἀρετὴν, κεκτημένους δὲ κακίαν, καὶ οἷον ἀναμὶξ ἄμφω, μὴ τῶν ἄλλων κατεπαίρεσθαι διὰ τὸ χρηστότερον μέρος· τῆς δὲ κακίας ἕνεκα κάτω κύπτειν, οἱ δ' ἐναλλὰξ ἐργάζονται τὸ προσῆκον. Διὰ γὰρ τὸ μέρος τῆς ἀρετῆς, μονονοὺ τὸν οὐρανὸν ὀνειροπολοῦντες, βαρεῖς εἰσι καὶ ἀφόρητοι, μηδὲν τοὺς ἄλλους εἶναι νομίζοντες· αὐτὴν δὲ τὴν κακίαν τὴν ἐν αὐτοῖς οὔτε καλῶς γινώσκουσιν, ὑπ' ἐκείνης γε τὰς φρένας βεβλαμμένοι, καὶ παρὰ φαῦλον ἄγουσιν ἐγνωσμένην. Καὶ οὐδὲ αἰσθάνονται ταῦτα πάσχοντες. Ἦν δὲ τοῖς αὐτοῖς ἐκείνοις ἀλῷ τις ἕτερος πάθεσι,

Digitized by Google

καὶ αὖθις ταῖς αὐταῖς ἀρεταῖς φανῇ κεχρημένος, αἱ μὲν ἀρεταὶ ἐν λήθῃ· ψῆφος δέ τις κατ' αὐτῶν μετὰ σκωμμάτων ἐξενήνεκται. Καί τοι, τί πολλά φημι πάθη; ἂν γὰρ ἐλεγχθῇ τις δουλεύων ἑνὶ τῷ πάθει καὶ μόνῳ, καὶ τούτῳ γε τῶν κουφοτέρων εἶναι δοκούντων, εὐθὺς ἀκήκοε παρ' αὐτῶν, Ὁ σχέτλιος, ὁ τάλας, πολλὰ ἕτερα. Καὶ ὦ σὺ, ποίαις κολάσεσιν ὢν ὑπεύθυνος, οὐ καταποντίζεις σεαυτόν; Οὐ τοίνυν ἀπαλλάττονται, πρὸ τοῦ τὸν ἄνθρωπον δεῖξαι μυρίων ὄντα κολάσεων ἄξιον, ῥητορείᾳ θαυμαστῇ πρὸς τοῦτο χρώμενοι. Εἴτε γὰρ νωθεία τίς ἐστι τὸ διαβαλλόμενον, εἴτ' ἐλιγωρία πρὸς τἀγαθόν, ἢ ὅ τί περ ἂν τῶν ὀπωσοῦν οὐ καλῶν, ἐξαίρουσιν αὐτὸ μεθ' ὑπερβολῆς· τὰς δ' ἐνυπαρχούσας αὐτῷ ἀρετάς, κἂν τῶν ἄγαν δυσπορίστων, καὶ δυσκατορθώτων ὦσιν ἀνθρώποις, νενοθευμένας οἵδε καλοῦσι διὰ τὴν τῆς κακίας ἐπιμιξίαν. Εἶτα πῶς ἐκεῖνος μὲν κακὸς, ὁ ἀμφιῤῥεπὴς, σὺ δ' ἐκείνῳ πάντα ὢν καὶ τὴν ἀρετὴν, καὶ τὴν πονηρίαν ἐφάμιλλος, βέλτιστος ἂν εἴης, καὶ ἀγαθός; Ἢ γὰρ κἀκεῖνος ἀγαθὸς, ὅμοιός σοι· ἢ καὶ σὺ πάντως κακὸς, ἴσος ὢν ἐκείνῳ τῷ παρὰ σοὶ καταδίκῳ. Καὶ μήν, κἂν τούτῳ πλεονεκτεῖς εἰς τὸ πονηρὸν, ὅτι μισεῖς οὐ μισούμενος, καὶ κατακρίνεις ἐκείνους, ὑφ' ὧν οὐ πάσχεις αὐτὸς τὰ ἴσα. Ἀλλ', ὡς ἔοικεν, εὐχερέστερον πρὸς τὰ κακὰ ῥέπομεν, ἢ πρὸς τἀναντία τούτοις. Τὰ μὲν γὰρ τῶν ἄλλων ὀξέως ὁρῶμεν· πρὸς δὲ τὰ οἰκεῖα κακὰ οὔτε ὀφθαλμὸν ἔχομεν, οὔτε οὖς, οὔτε γνῶσιν· οὔτε μὴν ἐθέλομεν ἔχειν. Οὐ μὴν ἀλλὰ καὶ ἕτερον ἔστιν ἰδεῖν ἐν ἡμῖν γινόμενον, οὐδὲν ἄμεινον τοῦ προτέρου, εἰ μὴ καὶ πολλῷ χεῖρον. Τὰ μὲν γὰρ τῶν ἄλλων πλεονεκτήματα ὡς ἐπιτοπλεῖστον οὐδὲ γινώσκομεν. Πολλὰ δ', ὧν ἀφεστήκαμεν, ὅσῳ καὶ τῶν Ἡρακλείων στηλῶν τὰ ὑπερβόρεια μέρη, ἡμῖν αὐτοῖς ἀνατίθεμεν· καὶ τὴν ὀφρὺν ὡς μάλιστα ἀνασπῶντες, κρατεῖν δοκοῦμεν καὶ οὐδὲ μετὰ τῶν ἀνθρώπων εἶναι νομίζομεν, ἀλλ' ἐν οὐρανοῦ τινι μοίρᾳ· καὶ δὴ χεῖριστον πάντων, αὐτὴν δὴ τὴν κακίαν, τὴν ἐν ἡμῖν, ὑπὲρ τὰς τῶν ἄλλων ἴσως ὑπάρχουσαν, ἀρετὴν προσαγορεύομεν· καί που καὶ πειρώμεθα ταύτην ὑπὲρ τὰς τῶν πάντων ἀποδεικνύναι. Οὐ μήν γε μέχρι τούτου ἱστάμεθα, ἀλλὰ καὶ φθονοῦμεν τοῖς ἀγαθοῖς ἀνδράσι, καὶ τὰς ἐκείνων ἀρετὰς κακίας ἀποκαλοῦμεν. Πρόσεστι δέ τι καὶ βδελυκτὸν, τὸ μηδὲ ἐρυθριᾷν, ἀλλὰ καὶ ἀναίδην οὕτω χωρεῖν, ἐφ' οἷς ἐχρῆν ἐγκαλύπτεσθαι, ὥσπερ ἂν εἴ τις ἀνὴρ ποιῶν ἐκεῖνα παῤῥησιάζοιτο, δι' ὧν ἂν ἔμελλε στεφανωθήσεσθαι· καὶ ἐοίκαμεν σοφοῖς εἰς τὸ κατακρίνειν τοὺς ἄλλους· τὰ δὲ καθ' ἡμῶν αὐτῶν ἐπιμελῶς πράττοντες, οὐδαμῶς αἰσθανόμεθα· οὔ τί ποτ' ἂν χεῖρον φανείη; Ὅπου γὰρ ἀσύμφορόν τε καὶ βλαβερὸν ἐν ἴσῳ τὰ ἡμῶν αὐτῶν, καὶ τὰ τῶν ἄλλων ἁμαρτήματα κρίνειν (οὐδεὶς γὰρ οἶδε τὰ τοῦ ἑτέρου· καὶ, *ἕκαστος τὸ ἴδιον φορτίον βαστάσει*), ὅταν τοῖς μὲν ἄλλοις βαρέως ἐπικεώμεθα, καὶ ὧμεν ἀπαραίτητοι δικασταὶ μικρὰ τοῦ γιγνομένου παρεξελθοῦσι, τὰ δ' ἡμέτερα κακὰ, οὐδὲ φορητὰ τυχὸν ὄντα, μετεγκεντρίζωμεν εἰς πλεονεκτήματα, πῶς οὐχ ὥσπερ ἐξεπίτηδες τὰ καθ' ἡμῶν αὐτῶν πράττομεν;

imo ne quidem sentiunt hæc sibi accidere. Sin alius quispiam in eadem inciderit vitia, et vicissim virtutibus iisdem semet exercuerit, ipsæ virtutes oblivioni traduntur, et adversus eos sententia plena cavillis profertur. Et quid ego plura dico vitia? Nam si quis convictus fuerit uni tantummodo servire vitio, quodque levius etiam esse videatur, statim ab illis audit, Miser ille, infelix ille, aliaque plura talia; item, O tu, qualium reus suppliciorum non teipsum demergis? itaque non desinunt prius quam ostenderint, hominem sexcenta meritum supplicia. Quam ad rem admirabili facundia quadam utuntur: nam sive ignavia est quæ crimini datur, sive segnities ad bonum, vel quidvis aliud quocunque modo non bonum, nimium quantum rem illam extollunt et amplificant; quæ vero sunt in eis virtutes, quam vis admodum sint acquisitu difficiles, quamvis eas homines assequi vix possint, tamen vitiatas hi vocant propter vitiositatis admistionem. Et quonam ille pacto malus est, in utramque quasi partem propendens: tu, qui ei per omnia par es, sive virtutem, sive pravitatem spectemus, egregius sis atque bonus? Aut enim et ipse bonus, qui tui similis, aut tu quoque malus omnimodo qui abs te condemnato par es. Quin etiam in hac parte superas illum alterum pravitate, quod odio prosequaris, cum ipse non sis illi odio, quodque damnes eos qui tibi par pro pari non referunt. Sed, uti videtur, facilius ad mala quam bona proclives sumus. Nam acute aliorum vitia cernimus, in nostris nec oculum habemus, nec aurem, nec ullam intelligentiam, ac ne quidem habere volumus. Imo videre est et aliud quiddam nobis accidere, nihilo melius illo priore, si non multo quoque deterius est. Nam quæ in aliis eximia sunt, plerumque non agnoscimus: at multa, longius a quibus absumus quam a partibus Hyperboreis Herculeæ columnæ, nobis ipsi vindicamus, elatoque maxime supercilio, nos aliis superiores esse putamus, ac ne quidem inter homines esse nos arbitramur, sed quadam in parte cœli: quodque omnium pessimum est, ipsam vitiositatem quæ in nobis est, vincentem aliorum fortasse vitia, virtutem appellamus, ac nonnunquam probare conamur hanc supra virtutes omnium positam esse. Ne hic quidem insistimus, sed bonis etiam viris invidemus, eorumque virtutibus nomina vitiorum indimus. Simul abominabile quiddam admisum est, quod ne quidem erubescamus, sed impudenter adeo progrediamur in iis quorum nos pudere debebat, quasi si quispiam sese licentius gerat, ea designans ob quæ coronam sit promeriturus: adeoque similes sapientibus sumus, in condemnandis aliis, at interim non persentiscimus, a nobis ea studiose fieri quæ contra nos ipsos sint. Quo sane quid videri deterius possit? Nam cum malum sit atque noxium, nostra et aliorum peccata paria facere (nam aliena nemo novit; item, *Onus quisque suum portabit*[1]), quoties aliis graves sumus, et inex-

[1] Galat. vi, 5.

Digitized by Google

quorum maximam partem ex sese nobis suppeditant animalia, quæ ipsa quoque voluptate conservantur, sane quam perspicuum efficitur, etiam ipsorum voluptate vitam nostram conservari atque ornari : qua prorsus abolita, nihil dubium est, aboleri quæ bruta sunt, unaque cum eis aboleri quæ ratione præditorum vitæ sunt necessaria, nec aliud superat nisi ut ærumnosam lubricamque vitam agamus. Et quid ego dico? Brutorum omnino vitæ vita nostra similis esset, si ea de medio sublata forent; imo, si dicere liceat, multo miserius quam ipsa sine ipsis viveremus; nam ipsorum bene vivere nihil est aliud quam ita vivere sicuti nunc vivunt. At vita nostra male affecta foret si vivendi ratio nostra belluinæ responderet, sublatis e medio scilicet iis quæ nostra causa facta sunt. Nec id tacendum : cum duplex sit voluptas, ab utraque commodum aliquod percipere licet. Nam et illa voluptas (loquor autem de inhonesta et turpissima, quæ a bonis male audit, quasi caput quoddam vitiorum), si quidem nos velimus, delicias nobis æternas et sobrias cum gloria conciliaverit. Quo fit ut in utramque partem voluptas iis qui volunt emolumento sit. Si bona est, hoc ipso prodest; sin mala, et insidiatrix, quod cum talis sit, nihil perfecerit. Nam si hastam in nos illa contorserit, quæ nos accurate recteque munitos attentione tolerantiaque conveniente reperiat, præterquam quod nihil ullo modo nocuerit, etiam maxime profuerit iis quibus insidias struebat. Quippe cum emissum ab ea telum in soliditatem thoracis et scuti, quorum artifex virtus est, impactum fuerit, impetuque suo reflexum ad eam quæ emiserat, vulnus ipsa quidem accipit letali verbere, nobis autem invita suppeditat, ut marcescente nunquam corona exornati, deliciis nullum finem habituris fruamur. Et merito id quidem. Nam si cornu contra nos voluptas extulit, et stimulum mortis acquisivit, propter gulositatem nostram, quam ex illa prima intemperantia velut hæreditate consecuti sumus, sequitur eos qui per continentiam semet immunes ab insatiabili libidine declaraverint, merito coronandos vitaque fruituros immortali cum deliciis tali vitæ congruentibus. Nec abs re Deus hoc faciet : nam si pœnas ab iis exigit qui vixerunt intemperanter, multo magis ei convenit, justa bonis præmia dare, qui necessitatibus modum constituere norunt, et a re quavis bas superante semet abstinent, cum delicias hi nullas admirentur, haud affecti erga quidvis promiscue quod ultra necessitatem boni speciem habet. Denique secundum expositas hactenus rationes, existimare convenit, voluptatem his bonam esse, illis e contrario malam. Nam qui malo feruntur impetu, navium in morem, instrumento suo carentium, utcunque libidinem appetitus afflare contigerit, iis haud dubie formidabilis hostis est, et audax pariter atque subdolus, et infinitis artibus eos tentans quibuscum pedem conserit, adeoque simpliciter illorum omnium formam retinens, quæcunque simulacrum illud voluptatis illo-

κοσμεῖται· ἧς ἀναιρεθείσης καθάπαξ, ἀναιρεῖται μὲν σαφῶς τὸ τῶν ἀλόγων γένος, συναναιρεῖται δὲ αὐτοῖς τὰ πρὸς τὸν λογικὸν βίον ἡμῖν ἐπιτήδεια· καὶ ὁ λοιπὸν, ἐπίμοχθόν τινα βίον καὶ σφαλερὸν ἕλκει τὸ γένος ἡμῖν. Καίτοι τί λέγω; Τῷ τῶν ἀλόγων ἀντικρυς βίῳ ὁ καθ' ἡμᾶς ἂν ἐφῆκε, αὐτῶν ἐκ μέσου γεγενημένων· ἐὰν δὲ ἐξῇ μοι καὶ τοῦτ' εἰπεῖν, πολλῷ κἀκείνων ἐλεεινότερον ἂν ἐζῶμεν ἄνευ ἐκείνων· ὅτι τὸ μὲν ἐκείνων εὖ ζῆν τοῦτ' ἔστι, τὸ ζῆν ὡς νῦν· ἡμῖν δὲ ἂν εἶχε κακῶς ὁ βίος, θηρίοις ἐοικόσι τῇ πολιτείᾳ τε καὶ τῇ διαγωγῇ, ἅτε δὴ τῶν δι' ἡμᾶς γεγενημένων ἠφανισμένων. Ἀλλὰ μὴν οὐδὲ ἐκεῖνο σιωπῆς ἄξιον· διπλῆς γὰρ οὔσης τῆς ἡδονῆς, ἔστι καὶ παρ' ἑκατέρας ὠφεληθῆναι. Καὶ γὰρ καὶ αὕτη ἡ ἡδονὴ (λέγω δὲ νῦν τὴν ἄσεμνον, τὴν αἰσχίστην, ἣ παρὰ τῶν χρηστοτέρων κακῶς ἀκούει, ὡς ὅ τι περ κεφάλαιόν ἐστι τῶν κακῶν), εἴγε ἡμεῖς βουλοίμεθα, γένοιτ' ἂν ἡμῖν πρόξενος αἰωνίων καὶ σωφρόνων μετὰ δόξης ἀπολαύσεων. Ὥστε καθ' ἑκάτερον μέρος ἡ ἡδονὴ λυσιτελεῖ τοῖς βουλομένοις. Εἰ μὲν ἀγαθή ἐστιν, αὐτῷ γε τούτῳ· εἰ δὲ κακὴ καὶ ἐπίβουλος, ὅτι οὖσά γε τοιαύτη, οὐδὲν ἤνυσεν. Εἰ γὰρ ἐκείνη καθ' ἡμῶν ἀκοντίσει τὸ δόρυ, εὗροι δὲ ἡμᾶς τὸ δόρυ ἀκριβῶς τε καὶ καλῶς πεφραγμένους προσοχῇ καὶ καρτερίᾳ τῇ γιγνομένῃ, πρὸς τῷ μηδαμῶς μηδὲν παραβλάψαι, ἡ δὲ καὶ ὤνησεν ἐς τὰ μάλιστα, οἷς γε ἐπεβούλευεν. Ὅταν γὰρ τὸ ταύτης ὅπλον ἀφεθὲν ἀντικρουσθῇ στερρότητί τε θώρακος καὶ ἀσπίδος, ὧν ἐστι τεχνίτης ἡ ἀρετὴ, καὶ τῇ ἑαυτοῦ φορᾷ ἀντεπιστρέψῃ πρὸς τὴν ἐκπέμψασαν, ἐκείνην μὲν ἐργάζεται τραυματίαν πληγῇ καιρίᾳ, ἡμῖν δὲ ἄκουσα χορηγεῖ, ἀγήρῳ στεφάνῳ κεκοσμημένοις, ἀγήρῳ τρυφῆς ἀπολαύειν. Εἰκότως. Εἰ γὰρ τὸ κέρας ἔσχηκεν ἡ ἡδονὴ καθ' ἡμῶν, καὶ θανάτου προσεκτήσατο κέντρον, διὰ τὸ λιχνῶδες τὸ παρ' ἡμῖν, ἐκ τῆς ἀρχῆθεν ἀκρασίας κληροδοχούμενον· οἱ δι' ἐγκρατείας ἐλεύθεροι τῆς ἀπληστίας ἀναφανέντες δικαίως στεφανώσονται, καὶ ζωῆς μεθέξουσιν ἀθανάτου, καὶ τρυφῆς οὐκ ἀπᾴδούσης τῇ ζωῇ. Δίκαιος ἂν εἴη Θεὸς τοῦτο πρᾶξαι. Εἰ γὰρ δίκην γε εἰσπράττει τοὺς ἀκρασίᾳ συζήσαντας, πολλῷ γε μᾶλλον αὐτῷ προσήκει τοὺς γιγνομένους μισθοὺς διδόναι τοῖς ἀγαθοῖς, εἰδότι μέτρα θεῖναι ταῖς χρείαις, καὶ παντὸς τοῦ ὑπὲρ ταύτας ἀποπηδῶσιν· ὡς οἵδε οὐκ ἐπτόηνται περὶ τὴν τρυφὴν, διακεχυμένως ἔχοντες, πρὸς ὅ τι ἂν που τῶν ὑπὲρ τὴν χρείαν καλῶν φανείη. Κατὰ δὲ τοὺς ἤδη ῥηθέντας λόγους προσήκει νομίζειν τὴν ἡδονὴν τοῖς μὲν ἀγαθὴν εἶναι, τοῖς δὲ τοὐναντίον. Τοῖς μὲν γὰρ κακῶς φερομένοις κατὰ τὰ ἀνερμάτιστα πλοῖα, ὡς ἂν ποτε τύχῃ πνεῦσαι τὴν ἔφεσιν, ἀντικρις πολέμιός ἐστι φοβερὸς, θρασύς τε ἅμα καὶ ὕφαλος, μυρίαις τε πειρώμενος μηχαναῖς οἷς συμπλέκεται, καὶ ἁπλῶς ἐκείνων πάντων διασώζων τὸν τύπον, ὅσαπερ ἡ ταύτης εἰκὼν ὑπὸ τῶν γραψάντων αὐτὴν ἡμῖν ἔδειξεν. Ἐξ ὧν δὴ πάντων συνάγεται, ὡς τὸ νικῆσαι πρόδηλον ἔχει τῆς εἰκόνος πρωτότυπος, ἀνθ' ὧν γε πρὸς ἀντίπαλον ἀποδύεται εὐεπιχείρητον καὶ νωθρόν· τοῖς δὲ λόγον ποιουμένοις τῆς ὡς ἀληθῶς ζωῆς, καὶ μόνης πρὸς

Digitized by Google

ἠκούσης ἀνθρώποις, ζῶσί τε προσήκοντι σχήματι, καὶ λογισμῷ τὰ κατ' αὐτοὺς ἰδύνουσι πράγματα, ἀγαθήν τε εἶναι καθ' αὑτὴν, καὶ αὐτοῖς πρόξενον ἀγαθῶν μεγίστων, τὸν τῇδε βίον ἀμείψασι, προσέτι δὲ καὶ ἡδονῆς ἀληθεστάτης τε καὶ μονίμου μετὰ δόξης γιγνομένης τῷ τότε βίῳ. Ὡς τά γε παρόντα ἀγαθὰ, καὶ λαμπρότης ἅπασα, καὶ ἡ ἡδονὴ, καὶ ἡ δόξα, ψευδώνυμά τινά ἐστι καὶ μικρὰ, καὶ μόγις που τῇ χρείᾳ συμπαραμένοντα. Καὶ πάντα δὲ ἐκεῖνα, ὅσα ζητητέα ἡμῖν ἐστιν, οὐ μᾶλλόν γε αὐτῶν ἕνεκα ἢ ἑτέρων τοιαῦτ' ἂν εἴη. Οἷς γε σύστοιχόν ἐστι καὶ τὸ τῆς ἡδονῆς χρῆμα. Νομίζομεν δὲ καλὸν εἶναι, ἐνταῦθα τὸν λόγον κεφαλαιώσαντας, ὥσπερ ἐν συμπεράσματι ἀποδοῦναι.

A rum opera nobis ostendit, quibus pictura quasi quadam exprimebatur. Ex quibus omnibus sane colligitur, ipsam voluptatem, cujus imago repræsentabatur, manifesto victricem esse propterea quod cum adversario superatu facili et ignavo in certamen descendat : cum aliis, qui veræ vitæ, quæque hominibus sola competit, rationem habent, et convenienti cum dignitate vivunt, resque suas ratione moderantur, bona per se sit, et maxima bona conciliet, ubi de hac vita migrarunt, prætereaque voluptatem verissimam ac durabilem, cum gloria vitæ secuturæ convenienti, pariat. Nimirum præsentia bona, splendor universus, voluptas, gloria, vana quædam nomina sunt et res exiles, quæque vix ad usum necessitatemque durant, omniaque adeo, quæcunque nobis quærenda sunt, non tam sua causa quam aliorum, taliq sunt, quorum serie voluptas quoque continetur. Recte vero nos facturos arbitror, si capitibus orationis ad summam hoc loco revocatis, velut in conclusione rem explicemus.

Εἶναι μὲν οὖν φημι τὴν ψυχὴν, καὶ πάντα τὰ αὐτῆς μέλη, ὡς ἄν τις εἴποι, καὶ τὰς δυνάμεις, παρὰ Θεοῦ. Πῶς γὰρ οὔ ; εἶναι δὲ καλὰ καὶ ἀγαθὰ, ὡς ἀπὸ Θεοῦ. Τοῦτο γὰρ πάσαις ἀνάγκαις. Καὶ τὴν ἐπιθυμίαν αὖ πάλιν, ἅτε τὴν ψυχὴν τελειοῦσαν τῷ παρ' ἑαυτῆς μέρει, καὶ κατὰ τοῦτο ἀγαθήν· τὸ γὰρ ἀτελὲς, οὐ καλόν. Ὡς δὲ καὶ τὴν ἡδονὴν ἔχειν, ἥ τε τὸν βίον ἡμῖν συνίστησι, καὶ δι' ἣν τὸ ἐπιθυμητικὸν ἐνεργόν ἐστιν ἐν ἡμῖν, καὶ οὐχ ὡς νεκρὸν οὕτως κείμενον, δυνάμει μόνον τὸ ἑαυτοῦ κεκτημένον. Καὶ ἐπειδήπερ ταῦτ' οὕτως ἔχει, καὶ τὰ τῆς ζητήσεως τέλος ἴσχει, καὶ ἀγαθὸν τὸ τῆς ἡδονῆς ἡμῖν ἀποδέδεικται χρῆμα τῶν τε ἄλλων ἕνεκα, καὶ ὡς ἀπὸ Θεοῦ δεδομένον τῇ τε λογικῇ καὶ αἰσθητικῇ φύσει· τί δὴ φῂς ὁ τὴν ἡδονὴν ἁπλῶς διαβάλλων ; Εἰ γὰρ σιωπᾷς, αὐτὸς ἐρῶ σοι τελευταῖον ἐγὼ, ὅπερ ἂν ἡδέως ἀκούσαις, οἶμαι. Ἐγώ σου τοὺς λόγους ἐπικυρώσας, δι' ὧν σὺ τὴν εἰκόνα τῆς ἡδονῆς μικροῦ συντόμως ἀνεζωγράφησας, ἓν γέ τι μόνον ἀποκυρῶ, τὸ κατὰ πάντων τοσοῦτον νομίζειν αὐτὴν δύνασθαι, ὡς μικροῦ μάταιον εἶναι πᾶσαν ἀνθρωπίνην σπουδὴν, ἐθελόντων πρὸς ἐκείνην ἀγωνίζεσθαι. Εἰ γοῦν καὶ αὐτῷ σοι ταῦτα δοκεῖ, καὶ τὴν ἡδονὴν νομίζεις τὴν ὑπὲρ χρείαν, τὴν ἄκοσμον, τὴν πάντα ἐπιβλαβῆ, δυνατὴν μὲν ἀσθενοῦσι τὴν προαίρεσιν, ἀσθενῆ δὲ δυναμένοις ὀρθὰ λογίζεσθαι, καὶ ποιεῖν ἐθέλουσιν, ἃ λογίζονται· εὔγνωμον, οἶμαι, ποιήσεις, ἵν' ᾖς ἐκ μέρους ἐπιεικὴς, ἐμὲ πρὸς τοῦτο μιμούμενος, οὔτε πάντα σοι τὸν λόγον ἐπαινοῦντα, καὶ οὐ πρὸς πάντα μεμφόμενον. Καὶ μὴν, εἰ ἔγωγε τοῖς σοῖς συμφαίην ἐξ ἡμισείας, καὶ σὺ ταυτό γε πράξαις πρὸς τἀμὰ, συνάδοντες ἀλλήλοις εὑρεθησόμεθα· καλλίστην μὲν, καὶ ἀγαθὴν, καὶ ὠφέλιμον, τὴν ἀναγκαίαν καὶ κοσμίαν ἡδονὴν ἀνακηρύττοντές τε καὶ ἀποφαίνοντες· τὴν δὲ πλεονάζουσάν τε καὶ ἄκοσμον τούναντίον οὐ καλὴν, οὐδὲ ἀγαθὴν, οὐδ' ὠφέλιμον· καὶ τοὺς αὐτῇ γε χρωμένους οὐκ ἐν καιρῷ, οὐδ' ἐν μέτρῳ, μὴ παρ' αὐτῆς, ἀλλ' οἴκοθεν τὴν βλάβην δεχομένους, ὡς σφᾶς αὐτοὺς ἐκδεδωκότας ταῖς παραχρήσεσιν. Ἐπεὶ καὶ πάντα τοῦ βίου τὰ ἀγαθὰ εἰς κακὸν ἂν, ὡς εἰπεῖν, μεταβάλοι, εἴ τις γε

B Aio igitur et animum et omnes ejus partes, uti quis eas appellaverit, omnesque facultates, a Deo esse. Cur enim non sint ? Itidem cum a Deo sint, esse res egregias et bonas : nam hoc omnino necessarium est. Rursus appetitum quoque cum adjectione partis suæ perfectum constituat animum, hac ipsa de causa bonum esse; nam quod imperfectum, bonum esse nequit. Eamdem esse rationem voluptatis, quæ vitam nostram fulcit, et per quam vis appetens in nobis est efficax, nec quasi si mortua jaceret, potestate duntaxat vim suam obtinet. Quæ cum ita sint, et ad finem perducta quæstione jam sit demonstratum, voluptatem esse rem bonam, cum alias ob causas, tum quod a Deo tam rationis quam sensus participi naturæ sit concessa, quid C tu tandem ais, qui voluptatem simpliciter criminaris ? Nam si quidem ipse siles, dicam ego tibi postremum quod lubenter audies. Confirmatis equidem suffragio meo rationibus tuis, quibus imaginem voluptatis breviter expressisti, unum hoc duntaxat abrogo quod adversus omnes eam tantum posse arbitraris, ut vanum prope sit omne studium mortalium qui certamen adversus eam suspicere velint. Saltem si hæc tibi quoque videntur, et si putas voluptatem superfluam, inhonestam, omnino noxiam, valentem quidem esse in iis quorum in eligendo vis animi debilis est, at invalidam in illis qui recte res æstimare possunt, et quæ ducunt esse bona facere volunt, æquum te geres, opinor, ut ex parte scili- D cet moderatus sis, exemplum meum imitatus, qui nec omnem orationem tuam laudo, nec in omnibus reprehendo. Atqui si tuis ego assentiar ex semisse, tuque vicissim in meis idem feceris, alter alteri consentire deprehendemur, qui pulcherrimam, et bonam, et utilem prædicemus ac pronuntiemus eam voluptatem quæ necessaria, quæ decens ac honesta sit ; viceque versa non honestam, nec bonam, nec utilem, quæ modum excedat et expers sit decori : qui denique voluptate non opportune nec moderate utantur, eos non a voluptate, sed seipsis detrimentum accipere, cum seipsos abusibus dedant, quam

Digitized by Google

doquidem omnia quoque vitæ bona in malum, ut ita dixerim, mutata transeunt, si quis illis præter necessitatem utatur. Age igitur, siquidem ita tibi videtur, verbis tandem in unum coeamus, quando rationes nostras eodem tendere arbitror. Nam quæ voluptati tu tribuis, exsuperantiam scilicet excessumque rebus in omnibus quorum fruitio expetitur, ea vicissim ego nostra esse aio. Quamobrem verbis, non sententiis dissidemus. Tibi quidem si quod bonum est, appellare voluptatem placet, et eamdem abusum dicere, non dissentiam; saltem et ipse mihi concedito, moderatam ut voluptatem esse rem bonam profitear.

A παρὰ τὴν χρείαν αὐτοῖς χρῶτο. Ἄγε οὖν, εἴ σοι δοκεῖ, συμβῶμεν ἅμα τοῖς λόγοις. Τοὺς γὰρ λογισμοὺς ἡμῖν εἰς ταυτὸν εἶναι νομίζω. Ἃ γὰρ σὺ φῂς τῆς ἡδονῆς εἶναι, τὴν ὑπερβολὴν καὶ τὴν πλεονεξίαν, ἐπὶ τῶν ἀπολαυστῶν πάντων, ταῦτ' ἐγώ φημι ἡμέτερα εἶναι. Ὥστ' ἐν λόγοις ἡμῖν ἡ διαφορὰ, οὐ τοῖς λογισμοῖς. Ἀλλ' εἴ τί σοι καλὸν δοκεῖ τοῦτο καλεῖν ἡδονὴν, τὴν δ' αὐτὴν παράχρησιν, οὐ διοίσομαι. Μόνον δός μοι καὶ αὐτὸς ἀγαθὸν τὴν σύμμετρον ἡδονὴν λέγειν.

ORATIO VI.

ΛΟΓΟΣ Ϛ'.

Peccatum esse quiddam longe pessimum. Neminem vero desperare debere nec de seipso, nec de altero, sed judicare seipsum, et non alterum; nec eos odisse qui deliquerunt, sed miserari; deque pœnitentia, et providentia Dei, et dilectione, et in homines clementia.

Ὅτι ἡ μὲν ἁμαρτία τὸ πάντων χείριστον· δεῖ δὲ μηδένα ἀπογινώσκειν, μήτε ἑαυτὸν, μήτε ἕτερον, κρίνειν δὲ ἑαυτὸν, καὶ οὐχ ἕτερον· καὶ τοὺς ἡμαρτηκότας οὐ μισεῖν, ἀλλ' ἐλεεῖν καὶ περὶ μετανοίας, καὶ τῆς τοῦ Θεοῦ προνοίας, καὶ ἀγάπης καὶ φιλανθρωπίας.

Hactenus de voluptate disseruimus, ut quidem licuit, institutamque de hac orationem exhibuimus. Ac sit sane, non prorsus ut a decori ratione recesserimus, sed visi saltem simus auditoribus nostris mediocriter prospere navigationem susceptæ tractationis absolvisse. Cæterum debere nos arbitror, ratione hujus omni explicata, siquidem officium facere velimus, etiam de desperatione disserere. Nam ex intemperantia voluptatibus abutente peccata nostris in animis emergunt; de frequenti peccato desperatio exsistit, quam deinde major alia comitatur; atque ita dum malum ipsum progreditur, necesse tandem est in infinitum porrigi, extremumque vulnus animis infligi, dum lues semper in deterius tendit, minus ut ea liberari liceat. Multos admodum voluptas prostratos subegit, multos etiam vulneribus affecit. Ac nonnulli, quod in animum suum viriliter certare non induxissent, ne primam quidem ejus aggressionem sustinuere, sed captivi plane facti, spectatorum sibilis explosi sunt. Deinde cum voluissent, non modo cladis acceptæ labem abolevere, verum etiam debitis victoriæ coronis redimiti fuerunt. At vero quotquot ense desperationis læsi sunt, eorum nemo curari potest: letalis enim ista plaga est nec ulla ratione sanabilis. Quamobrem ipsa poscit necessitas, quod aiebam modo, ut cum hactenus de voluptate disseruerim, nunc de desperatione verba faciam, proque viribus opem illis feram qui desperationis in periculo versantur. Quippe si de voluptate non recte sentientes, haudquaquam silentio transeundi erant, uti nec a nobis est factum, multo minus arbitror existimaturum aliquem, non illis opem ferendam, qui eo sunt periculo constituti, deterius ut quiddam ipsis accidat. Nam ex alio quodam errore diuturno plures, ex assidua desperatione revocatus est nemo. Nec vanum aliquid moliri nos arbitramur, nec in hoc conatu nostro quidquam esse vel tumoris vel audaciæ. Nam æquum esse censemus, ut minime silentio morbum illum prætereamus, qui procul dubio perniciem illis affert, quibus ad aliquod tempus ad-

B

C

D

Περὶ ἡδονῆς προδιαλεχθέντες, ὡς οἷοί τ' ἦμεν, ἀποδεδώκαμεν τὸν περὶ ταυτησὶ λόγον· καὶ εἴη γε μὴ παντελῶς τοῦ πρέποντος ἀποπεπτωκέναι, ἀλλὰ μετρίως γοῦν καλῶς τὸν περὶ τῆς ἐγχειρήσεως πλοῦν δόξαι τοῖς ἀκούσασιν ἠνυκέναι. Δεῖν δὲ ἡμᾶς οἶμαι, περὶ ἐκείνης διεξιόντας, καὶ περὶ ἀπογνώσεως διαλέξασθαι, εἰ μέλλοιμεν ποιεῖν τὸ προσῆκον. Ἀπὸ μὲν γὰρ τῆς τῶν ἡδονῶν ἀκρασίας τὰ ἁμαρτήματα εἰς τὰς ἡμετέρας ψυχὰς κατασκήπτει· ἐκ δὲ συχνῆς ἁμαρτίας ἀπόγνωσις· καὶ ἐξ ἐκείνης ἑτέρα μείζων· καὶ οὕτω γε προβαῖνον τὸ κακὸν, ἀναγκαῖον εἰς ἄπειρον ἐκταθῆναι, καὶ τὴν τελευταίαν πληγὴν τὰς ψυχὰς δέξασθαι, χωρούσης γε ἀεὶ τῆς λύμης ἐς τὸ δεινότερόν τε καὶ δυσαπαλλακτότερον. Ἡ ἡδονὴ πολλοὺς μὲν πάνυ κατήνεγκε, πολλοὺς δ' αὖ εἰργάσατο τραυματίας. Καί ἔνιοι, τῷ μὴ κατ' ἄνδρας ἀγωνίζεσθαι προῃρῆσθαι, οὐδὲ τὴν πρώτην εἰσβολὴν ἐκείνης ὑπέστησαν, ἀλλ' αἰχμάλωτοι καθάπαξ γεγονότες, παρὰ τῶν ὁρώντων ἐσυρίττοντο. Ἔπειτα θελήσαντες οὐ μόνον τὴν ἀπὸ τῆς ἥττης αἰσχύνην ἀπετρίψαντο, ἀλλὰ καὶ τοὺς ἀπὸ τῆς νίκης στεφάνους ἀνεδήσαντο. Τῶν δὲ βεβλημένων τῷ ξίφει τῆς ἀπογνώσεως οὐκ ἔστιν οὐδένα θεραπευθῆναι. Καιρία γὰρ ἡ πληγὴ καὶ οὐδαμῶς ἴάσιμος. Ὥσθ' ὅπερ εἶπον, ἀναγκαῖον ἐμοὶ γίνεται, περὶ ἡδονῆς προδιαλεχθέντι, καὶ περὶ ἀπογνώσεως νῦν εἰπεῖν· καὶ βοηθῆσαι, ὁπόση δύναμις, εἰ κινδυνεύουσί τινες ἀπογνῶναι. Εἰ γὰρ τοὺς περὶ τῆς ἡδονῆς οὐ τὴν γιγνομένην ἔχοντας δόξαν, οὐκ ἔδει παραδραμεῖν, οὔκουν οὐδὲ γέγονε, σχολῇ γ' ἄν, οἶμαι, τοῖς κινδυνεύουσί τι χεῖρον παθεῖν οὐ συλληπτέον ἂν δόξαι. Πολλοὶ μὲν γὰρ ἀπὸ μακρᾶς τινος ἄλλης πλάνης, οὐδεὶς δ' ἀπὸ συχνῆς ἀπογνώσεως ἐπανῆκε. Δοκοῦμεν δὲ μηδὲν εἰκῇ βούλεσθαι, μηδὲ μετέχειν ταυτηνὶ τὴν ἐγχείρησιν ὄγκου τινὸς ἢ θρασύτητος· εἶναι γὰρ γιγνόμενον, μὴ σιγῇ παραδραμεῖν ἐκείνην τὴν νόσον, ἥτις οἷς συγγένοιτ' ἄν τινα χρόνον, τούτους ἀτεχνῶς διαφθείρει. Δεῖ δ' ἐπιθεῖναι τῷ θραύματι κατάλληλον, οἶμαι, φάρμακον, εἰ μέλλοιμεν αὐτὸ καταστέλλειν τε καὶ ἰᾶσθαι· ἀλλὰ μὴ προσπαροξῦναι τοῖς ἐναντίοις, οἴκοθεν

Digitized by Google

ὀργῶν καὶ φλεγμαίνον. Καὶ ἁπλῶς δὲ πᾶσιν ἐξῆς οὕτω γε βοηθητέον ταῖς γνησίοις βοηθείαις, καὶ οὐκ ἀπιδούσαις τοῦ χρῄζοντος τῆς παρ' ἡμῶν συμμαχίας. Ἄλλως γὰρ ἂν εἴη μηδὲ ἐγχειρεῖν ἄμεινον· βλάψαι γὰρ ἄν, οὐκ ὀνήσαι τοὺς ὑφ' ἡμῶν γε δῆθεν βοηθουμένους. Οὐ χαλεπὸν δὲ οἶμαι εὑρεῖν τὸ κατάλληλον τοῦτο φάρμακον. Χορηγεῖ γὰρ οἰκοθεν αὐτὸ ἡ τοῦ Σωτῆρος φιλανθρωπία, ἡ μόνη πάντων ἰατρὸς τῶν γε τοιούτων ἀῤῥωστημάτων· ἧς τὰ ἁμαρτήματα τῶν ἀνθρώπων τοσοῦτον ἔλαττον ἔχει, ὅσον οὐδ' ἔστιν ἐνθυμηθῆναι. Ὥστ' ἀπὸ βαλβίδος, φασὶ, τὸ ζητούμενον ἡμῖν εὕρηται.

A hæserit. Imponendum autem vulneri conveniens medicamentum puto, siquidem id sedare velimus ac sanare, non per se tumens et æstuans magis etiam contrariis exacerbare. Simpliciter autem cunctis hoc modo succurrendum nativis remediis, et a quibus ille non abhorreat, auxilio qui nostro indiget. Nam cæteroqui præstiterit, nihil nos omnino moliri, quippe detrimentum, non emolumentum accipereut quibus adhibere remedium vellemus. Nec inventu difficile conveniens illud medicamentum arbitror. Etenim id ex sese suppeditat ipsa Salvatoris erga nos clementia, quæ sola cunctis hujusmodi morbis medetur, et qua tanto sunt inferiora mortalium delicta, quantum ne cogitando quidem concipi potest. Quapropter ab ipso limine, quod aiunt, inventum nobis est quod quærebamus.

Ἀλλ' ὁ δεῖνά γε, φησὶν, ὕψους ἀπερράγη, καὶ κατηνέχθη, καὶ γέγονέ τι πτῶμα δεινὸν ἅπασι τοῖς τοῦτον ὁρῶσι. Καὶ τί ταυτὶ πρὸς τὸ ἀπογνῶναι; Βουληθῆναι δεῖ μόνον, καὶ πρὸς τῷ ἀπονίψασθαι τὰ κακὰ καὶ πτηνῶν ἂν τάχιον ἐπ' αὐτὴν τὴν τῶν καλῶν ἀνέλθοι κορυφήν. Λέγω δὲ βούλησιν νῦν τὴν διὰ τῶν ἔργων μαρτυρουμένην· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ὡς ἀληθῶς, θελήσαντας, ἀποτυχεῖν τοῦ σκοποῦ. Ἐκ γὰρ τοῦ μὴ βούλεσθαι ἰαθῆναι τὰ τῆς ψυχῆς παθήματα ἐπιμένειν εἴωθεν ἡμῖν· ὡ; ἂν ἀντιστῶμεν γενναίως, οὐδὲ τὴν ἀρχὴν εἰσκωμάζει. Τό τε γὰρ γεγονέναι, τό τε διαμεμεγηκέναι κακοὺς, καὶ αὖ τὸ ἀγαθοὺς εἶναι, καὶ διαρκέσαι, οἰκοθεν σαφῶς τοῖς ἀνθρώποις. Οὐ γὰρ ἔστι, καλοὺς ἐθέλοντας εἶναι, τινὶ τῶν θύραθεν βιασθῆναι κακοὺς γενέσθαι· οὐδὲ φαύλους γεγονότας διὰ κακίστην προαίρεσιν, εἶτα μὴ διορθωθῆναι, τοῦτο θελήσαντας. Καὶ εἰ τοῦτό γε ἀληθὲς, εὕρηται τὸ φάρμακον, καὶ ἡ τῆς ἀπογνώσεως ὑπεχώρησε νόσος. Ναὶ, φησίν· ἀλλ' οὗτός γε ὁ σχέτλιος τραυματίας γέγονε πάντων ἐξῆς τῶν παθῶν· καὶ πολλάκις ἰαθεὶς, πολλάκις πάλιν τέτρωται. Καὶ πῶς ἂν ἔχοι διορθωθῆναι; Μὴ ἀπογνῶμεν τὸν ἄνθρωπον. Ἂν γὰρ ἡ καιρία μὴ παραγένηται, τὴν ἀπόγνωσιν λέγω, ἰάσιμόν γε τὸ πάθος τοῖς βουλομένοις τὴν ἰατρείαν ἀσμένως δέξασθαι. Εἰ γὰρ μὴ τοῦτον τὸν τρόπον εἶχε τὰ καθ' ἡμᾶς, οὐδ' ἂν εἷς πάντως ἐσώθη. Ὡς γὰρ οὐδεὶς ἀγαθὸς, κατὰ τὸν θεῖον χρησμὸν, οὐδ' ἁμαρτίας ὄντως ἐλεύθερος, κἂν ὑπερβάλλῃ πολλῷ τοὺς ἄλλους εἰς ἀρετήν. Δεήσει τοίνυν ἅπασι τοῦ φαρμάκου τουτουΐ· καὶ τούτου καταλλήλου τετυχηκόσι, τὸ εὐκτεῖν εὐθὺς ἕπεισι. Κἂν τις ἀνθρώπων ὑπερελάσῃ πολλῷ τῷ μέτρῳ ὁμοῦ τοὺς ὄντας καὶ γεγονότας ἐπὶ κακίᾳ βεβοημένους, θρήνων μὲν ὅτι πολλῶν ὁ τοιοῦτος ἄξιος ὡς ἀληθῶς γέγονεν, ὅτι καλὸς καὶ ἐπ' ἀγαθοῖς δημιουργηθεὶς, ὁ δὲ πολλῶν ἐκὼν κακῶν τὴν ἑαυτοῦ ψυχὴν ἐνέπλησεν, ὡς οὐδεὶς ἕτερος. Πλὴν καὶ οὗτός γε αὐτὸς, ἂν ἐραστὴς μανικώτατος τῆς ἰδίας διορθώσεως γένηται, εἰ μὲν ἀπογνῷ, εὐήθης, μᾶλλον δὲ ἀνόητος, τὴν φιλανθρωπίαν τὴν ἄπειρον, ἁμαρτίας πέρας ἐχούσης, ἧττω νομίσας. Εἰ δὲ Θεῷ θαῤῥήσας οὑτοσὶ, τῶν μὲν κακῶν ἀποσταίη, ἀνθέξεται δὲ τῶν καλῶν ὅση δύναμις, οὐδὲν κωλύσει τοῦτον ἐπανιόντα, τὴν προτέραν κατάστασιν ἐπαναλαβεῖν, ἢ καὶ πολλῷ παρελθεῖν· εἰ δὴ καὶ ὑπερβολὴ

C ὅν γε πάντως ἄδηλον, εἰ μενεῖ τὴν θεραπείαν τὸ τέλος. Πλὴν ἐν ἀγαθαῖς ἐλπίσι καὶ οἱ δεινόν τι νοσοῦντες, ὁπόσον βούλει, Θεῷ τῷ πάντων ἰατρῷ σφᾶς γε αὐτοὺς ἐπιῤῥίψαντες, καὶ τὸ προθυμεῖσθαι θεραπευθῆναι εἰσενεγκόντες. Καὶ ταῦτα λέγω θαῤῥούντως, εἰς τὴν ἀνυπέρβλητον ὁρῶν ἀγαθότητα, εἰς τὴν πρὸς ἡμᾶς ἐκείνης ἀγάπην, ὑπερεκπλήττουσαν καὶ νοῦν καὶ λόγον, καὶ πᾶσαν ἔννοιαν, εἰς τὸ τῆς θείας βουλῆς καὶ φύσεως ἀμετάτρεπτον. Οὐ γὰρ ἐκ τούτου πρὸς ἐκεῖνο ὁ τῆς ἀκινήτου φύσεως ἔρως μετατεθήσεται, καὶ πάθοι δύο ταυτὶ Θεὸς, μετάμελόν τε καὶ κίνησιν. Τὸ Θεῖον γὰρ ἀκίνητον, καὶ τὰ αὐτόθεν ἀμεταμέλητα. Οὐ τοίνυν ἡ αὐτοαγαθότης τε καὶ φιλανθρωπία, καὶ αὐτοαγάπη, μισήσει γέ ποτε καὶ ἀποστραφήσεται τὸν αὐτῇ τοσοῦτον πεφιλημένον, ὅσον οὐδ' ἐνθυμηθῆναι οἷόν τε.
D Οὐ πειραθήσεταί τινος πάθους ὁ ἀπαθὴς, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα, κατὰ τὸν θεῖον Ἰάκωβον, ὃς δήπου καὶ τοῦτό φησιν· *Ὁ Θεὸς ἀπείραστός ἐστι κακῶν. Πειράζει δὲ αὐτὸς οὐδένα*. Ἀνθρώπινον τουτὶ τὸ κακὸν μεταβεβλῆσθαί τε καὶ μισεῖν τοὺς πρὸ τοῦ πεφιλημένους. Οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων, ὀστράκου (φασὶ) μεταπεσόντος, εὐθὺς κινούμεθα· καὶ δι' οὓς ῥᾳδίως ἂν ἐτεθνήκειμεν, οὐδ' ὀβολὸν ὑπὲρ αὐτῶν χρείας καλούσης καταβαλλόμεθα. Ἐῶ γὰρ λέγειν κἀκεῖνο, ὡς καὶ τοῦ αἵματος αὐτῶν ἡδέως ἄν τινες πίοιεν. Καὶ τὸ αἴτιον πάνυ σαφές. Οὐ γὰρ δι' αὐτοὺς ἐκείνους, οὓς γε φιλοῦμεν, οὐδὲ διὰ τὸν Χριστὸν καὶ τὰς ἐντολὰς αὐτοῦ, καὶ τὸ ἀγαθὸν αὐτὸ, ἀλλ' εἰς τὸ δοκοῦν

Digitized by Google

λυσιτελὲς ἀφορῶντες, καὶ τὸ ἡδὺ, πάντα πράττομεν. A
Ὅθεν δὴ καὶ τῆς ἀγάπης, ὡς ἔοικεν, οὐκ ἀληθευούσης, εἰ καί τι λήψονται παρ' ἡμῶν οἱ δεόμενοι τῶν φίλων, ἢ προτέρων ἕνεκα δωρεῶν τοῦτο γίνεται, ἢ ἐλπιζομένων ἑτέρων. Ταῦτα δὴ τὰ τὴν φιλίαν ἡμῶν συνιστῶντα, εἴ γε καὶ φιλίαν ταύτην καλεῖν χρὴ, ἀλλὰ μὴ καπήλοις τισὶ πρέπουσαν ἐμποριαν. Τὰ γοῦν καθ' ἡμᾶς, καὶ ἡμέτερα, τοιαῦτα καὶ οὕτως ἔχοντα. Ὁ δέ γε πλάσας ἡμᾶς Θεὸς χαίρει τῷ διδόναι μᾶλλον, ἢ ἡμεῖς λαμβάνοντες. Καὶ οὐδὲ λήψεταί ποτε κόρον εὐεργετῶν, ἀγαθότητι κινούμενος. Οὐ γὰρ, ἵν' ἐκείνῳ προσγένηταί τι ἀπὸ τῶν αὐτοῦ δημιουργημάτων, οὐδὲ ὡς ὑπαρξάντων ἐκείνων ἡστινοσοῦν χάριτος· πῶς γάρ; διὰ δὴ ταῦτα οὐδὲ τὴν ἀγάπην ἐκείνου τὴν πρὸς ἡμᾶς τῶν ἐνδεχομένων ἔστι κινηθῆναι. Ἐπειδὴ γὰρ εἰς τὸ ἀγαπᾷν τε καὶ εὖ ποιεῖν τὸ κινοῦν οὐδέν ἐστιν ἕτερον ἢ ἡ ἄπειρος ἐκείνου χρηστότης τε καὶ ἀγαθωσύνη· ταύτην δὲ πᾶσα ἀνάγκη ὡσαύτως ἔχειν, καὶ τὴν αὐτὴν εἶναι· φανερὸν ἅπασι γίγνεται, ὡς ἔσται καὶ τὰ πρὸς ἡμᾶς ἐξ ἐκείνου, ὁποῖόν τί ἐστι κἀκεῖνο τὸ κινοῦν. Καὶ τοῦτο παντί που δῆλον. Ἐκ περιουσίας δὲ νῦν ἐρῶ. Ὅταν γὰρ τὰ τὴν ἀγάπην ἡμῖν κινοῦντα, μηδ' ὁπωστιοῦν κινηθῇ, τότε καὶ ἡμεῖς δηλονότι παντάπασι παγίως ἱστάμεθα ἐν τῷ ἀγαπᾷν. Καὶ εἰ ἐφ' ἡμῶν τοῦτο γίγνεται πολλῷ γε μᾶλλον ἐπὶ Θεοῦ. Ἐπεὶ δὲ ἡ τοῦ Θεοῦ πρὸς ἡμᾶς ἀγάπη οὐκ ἔξωθέν ποθέν ἐστι πάντως, ἀλλ' ὑφ' ἑαυτῆς κινεῖται· ἀνάγκη ταύτην ὡσαύτως ἔχειν τὸν πάντα χρόνον, καὶ τὰ πρὸς ἡμᾶς ἐξ ἐκείνης τῷ ταύτης ὕψει C
μᾶλλον συμβαίνειν ἢ τῇ ἡμετέρᾳ φαυλότητι. Διὰ ταῦτα καὶ προτείνει πᾶσιν ἑξῆς πρὸς τοὺς ἄλλοις ἀγαθοῖς ὁ Σωτὴρ κἀκεῖνον ἀφθόνως τὸν θησαυρὸν, ὃν ἐκεῖνος ἀφῖκτο φέρων ἐξ οὐρανοῦ. Καὶ τὸ εἰς ἐκεῖνον ἧκον, οὐδεὶς πω τῶν ἀνθρώπων ἐστέρηται τῆς τηλικαύτης εὐεργεσίας· ἀλλὰ ῥεῖ τὸ ἀγαθὸν, καὶ ἐκχεῖται παντὸς τῆς οἰκουμένης ἁπάσης, καὶ ἔξεστι τοὺς πάντας προῖκα πλουτεῖν, καὶ ἀκονιτὶ τῶν ἀγαθῶν ἐμφορεῖσθαι· ἔδωκε γὰρ αὐτοῖς, φησὶν, ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. Εἰ δὲ τἀγαθόν τις ὁρῴη ἐπ' αὐτὸν ὥσπερ αὐτομολοῦν, εἶτα διαπτύει τοῦτο καὶ ἀποστρέφεται, οὐ λογιστέον τοῦγκλημα τῷ γε διδόντι τὴν χάριν, ἀλλὰ τοῖς μηδὲ τὴν ἀρχὴν δεξαμένοις, ἢ καὶ μετὰ τὸ λαβεῖν ἀτιμάσασι καὶ D
παρωσαμένοις, οὕτω μὲν δὴ ἀγαθὸν, οὕτω δὲ μέγα, καὶ προσέτι μόνιμον, καὶ ῥᾳδίως ἐπιδιδοῦν, εἴ τις τοῦτο βούλοιτο.

quidem ipsa valde perspicua est. Non enim propter illos ipsos quos diligimus, neque propter Christum et ejus mandata, neque ipsius boni causa, sed id quod expedire videtur, et voluptatem intuentes, omnia facimus. Quapropter et ipsa charitas, uti videtur, cum vera non sit, etiamsi quid a nobis egentes amici accipiant, tamen hoc vel præcedentium vel positorum in spe munerum causa fit. Hæc sunt illa scilicet amicitiam quæ nostram stabiliunt, si quidem appellanda est hæc amicitia, ac non potius decens caupones quæstus. In hunc modum res nostræ comparatæ sunt. At ipse, qui nos finxit, Deus, largiendo magis delectatur quam nos accipiendo. Nec unquam benefaciendi satietas eum capiet, qui ad hoc bonitate sua impellitur. Non enim B
hoc ideo facit, ut ei suis a creatis aliquid accedat, nec quod illa prius aliquod in eum beneficium contulerint : quo enim id pacto? quibus sane de causis, nec ipsius erga nos amor ut loco moveatur aut mutetur, conferi potest. Nam cum nulla res alia sit quæ ipsum ad amandum et benefaciendum impellat quam infinita benignitas ejus atque bonitas, eam vero plane necesse sit eodem affectam modo et eamdem esse : manifesto patet omnibus, et illa quæ in nos ab ipso proficiscuntur, talia fore, quale quiddam est id quod eum impellit, atque hoc perspicuum cuivis est. Dicam autem aliquid ex supervacuo. Quippe cum ea quæ amorem in nobis excitant plane non amplius impulsa motaque fuerint, tunc etiam nos scilicet in amore velut immoti subsistimus. Quod quidem in nobis si usuvenit, multo magis in Deo. Verum quoniam Dei erga nos amor non extrinsecus alicunde proficiscitur, sed a seipso movetur, necesse est eum semper eodem affectum esse modo, et quæ in nos ab eo proficiscuntur, magis ipsius convenire sublimitati quam vilitati nostræ. Ideoque Salvator ille noster, præter alia bona, cunctis et illum thesaurum jugiter offert quem ipse de cœlo descendens secum attulit. Et quidem quod ipsum attinet, nulli hominum unquam tantum beneficium denegatum fuit, sed fluit hoc bonum, et ubique terrarum effunditur, omnibusque gratis ditescere licet ac absque labore bonis satiari. Dedit enim eis, inquit, potestatem evadendi in filios Dei. D
Jam si quis bonum ipsum cernens ad se sponte quasi sua venire, mox illud respuat et aversetur, non imputanda illi culpa, qui beneficium dedit, sed iis qui prorsus id non acceperunt, aut postquam accepissent, cum ignominia repulerunt, rem adeo bonam, adeo magnam, et præterea durabilem et augescentem facile, si quis hoc velit.

Καὶ τοίνυν ὁ τοιοῦτος Δεσπότης, καὶ τὸν τὴν μεγάλην δοκὸν ἐκεῖνον, καὶ τὸ κάρφος ἔχοντα τὸ μικρὸν (τῶν γὰρ ἐξαρχῆς μνησθήσομαι λόγων) οὐ περιόψεταί ποτε, ἀλλὰ πάντα πράξει καὶ πραγματεύσεται ὑπὲρ τῆς αὐτῶν σωτηρίας. Γίγνεται γὰρ παντοδαπὸς ἐπίκουρος ἡμῖν, καὶ νῦν μὲν τοῦτο τὸ φάρμακον, νῦν δὲ ἐκεῖνο προσάγει. Καὶ τοῖς μὲν φλεγμαίνουσι τῶν τραυμάτων τὰ τῆς παραμυθίας προσάγει· τὰς δὲ σηπεδόνας ἐκκόπτει, τὴν ἐπὶ τὰ χείρω νομὴν συστέλλων. Οὐ μὴν ἀλλὰ καὶ μέμψεταί

Talis ergo Dominus nec illum magna cum trabe, nec alterum exili cum festuca (licet enim ante dicta repetere) aspernabitur unquam, sed omnia pro ipsorum salute faciet atque molietur. Variis enim modis ac rationibus nobis opitulatur, ac modo quidem hoc medicamentum, modo illud adhibet. Si quæ vulnera suppurantia tument, ea mitigat : putredines excindit, ut quo minus in pejus serpant, impediat. Quin etiam sæpius objurgabit ægrotos, et castigatione, si sit opus, coerc.

Digitized by Google

bit. Nonnunquam et severioribus remediis utetur, cum bonitate clementiaque sibi familiari. Non volet illis esse male, quos de nihilo condidit, manibusque propriis formavit, sed eis perpetuo benefaciet, ac per omnia, dextra inquam et sinistra, ut divus ille Apostolus loquitur, sive recte vivant, sive secus. Quemadmodum scilicet et pluviam et solem eis suppeditat, rursus etiam ipsorum utilitatem spectans, ad tempus aliquod eadem inhibet. Ad summam, non una via, sed multis ac diversis, perque res contrarias nonnunquam, ad unum nos finem perducit, ut recte vivere possimus. Et quo pacto consentaneum esset, aliter eum agere, qui pro universis est mortuus, crucem sustinuit ac nuditatem, rem maleficis destinatam, quique dedecus et ignominiam omnino non curavit, infinitaque sustinuit, ad infinitam inventa contumeliam, illis solis competentem, qui ea ipsum affecerunt? Hæc ergo cum cognoscamus, auditores, quotquot adestis, illum omnium stolidissimum judicemus, qui facile condemnat, oblitus supremæ illius clementiæ, bonitatis incomparabilis, inexsuperabilis benignitatis, et ejus, qui peccatum omne sustulit, et mortis ab eo pro nobis obitæ, probrorum, cruciatuum, injuriarum, et quæcunque tunc comitata sunt absurdam iracundiam sceleratorum, ex invidia cædem ipsius sitientium, ut cavilli, atroces injuriæ, maledicta, sputa, alapæ, nulla non illusionum species, atque etiam corona contumeliæ, caputque feriens calamus. Nimirum destillabat tunc e beata facie divini capitis, vulnerati, mea quidem sententia, tam a calamo quam a spinis, de quibus salutaris illa nobis corona manibus homicidarum contexta fuit. Babæ, quanta fecit! quanta sustinuit! et quidem pro inimicis, pro condemnatis hominibus: propter quos et homo factus est, e muliere natus, et carnem ac paupertatem nostram suscepit, quo pati posset: ut nos liberaret a cruciatu et malis æternis animi pariter atque corporis, quibus universum genus hominum obnoxii, multorum magnorumque causa delictorum eramus. Hæc autem omnia demonstrant ipsius erga nos amorem quemdam ineffabilem, et supra mentis intelligentiam positum. Poterat enim cœlum incolens, nequaquam assumpta natura nostra, verbo duntaxat ac nutu liberare genus nostrum e diaboli vinculis ac tyrannide, nosque per omnia beneficiis afficere. Itidem pati non potuisset, non factus ejusdem nobiscum substantiæ particeps. Verum ut amorem erga nos, proh quantum! ostenderet, non contentus uno, nimirum ut nobis benefaceret, etiam alterum adjecit, cruciatus videlicet propter nos suos, quos carne passus est. Nam tale quiddam est verus amor: facit ut amans continere se non possit, quin propter dilectum patiatur. Atque hoc mihi caput demissionis et societatis erga nos Salvatoris nostri videtur esse. Nam si hunc amorem in hominibus etiam invenire licet, neque Dei tantum causa, sed hominum quoque, mortuos scimus ali-

γε πολλάκις τοῖς ἀῤῥωστοῦσι, καὶ ἐπιπλήξει τούτους δεῆσαν. Καί που καὶ τοῖς αὐστηροτέροις βοηθήμασι χρήσεται μετὰ τῆς συνήθους αὐτῷ χρηστότητος καὶ φιλανθρωπίας. Οὐ δὴ θελήσει κακῶς ἔχειν, οὓς ἐξ οὐκ ὄντων παρήγαγε, καὶ ταῖς ἑαυτοῦ χερσὶν ἔπλασεν· ἀλλ' εὖ ποιήσει τούτους διηνεκῶς διὰ πάντων, τῶν τε δεξιῶν φημι καὶ ἀριστερῶν, κατὰ τὸν θεῖον Ἀπόστολον, ὀρθῶς βιοῦντας καὶ μή· ὥσπερ ἀμέλει καὶ ὑετὸν καὶ ἥλιον τούτοις παρέχει. Καὶ αὖθίς γε πρὸς τὸ συμφέρον αὐτῶν ὁρῶν, ἐπί καιρόν τινα ταῦτα ἐπέχει. Καὶ ὅλως οὐ διὰ μιᾶς ὁδοῦ, ἀλλὰ πολλῶν τε καὶ διαφόρων, καὶ πραγμάτων ἐναντίων ἐστὶν οὗ, πρὸς ἕν τι τέλος ἡμᾶς ἐνάγει, τὸ ζῆν ὀρθῶς δυνηθῆναι. Καὶ πῶς ἂν ἄλλως εἰκὸς ἦν πράττειν, ὃς ὑπὲρ πάντων ἀπέθανε, σταυρὸν μὲν ὑπομείνας καὶ γύμνωσιν, πρᾶγμα κακούργοις διωρισμένον, αἰσχύνης δὲ παντάπασιν ἀλογήσας, καὶ μυρία πράγματα ὑποστὰς πρὸς ὕβριν μυρίαν ἐξευρημένα, μόνοις ἐκείνοις πρέποντα τοῖς ἐξυβρίσασιν εἰς αὐτόν; Ταῦτ' οὖν γινώσκοντες, ὦ παρόντες, πάντων εὐηθέστερον τοῦτον κρίνωμεν, τὸν εὐχερῶς κατακρίνοντα, ἐπιλανθανόμενον τῆς ἀνωτάτω φιλανθρωπίας, τῆς ἀνεικάστου ἀγαθωσύνης, τῆς ἀνυπερβλήτου χρηστότητος, τοῦ τε ἀναιρέτου τῆς ἁμαρτίας ἁπάσης, καὶ τοῦ δι' ἡμᾶς ἐκείνου θανάτου, τῶν ὀνειδῶν, τῶν παθημάτων, τῶν ὕβρεων, καὶ ὅσα τότε παρηκολούθησε τῷ παραλόγῳ θυμῷ τῶν φονώντων ἐκ τοῦ φθόνου καθαρμάτων, σκώμματα, προπηλακισμοί, βλασφημίαι, ἐμπτυσμοί, ῥαπίσματα, ἅπαν ἐμπαιγμῶν εἶδος· καὶ δὴ καὶ στέφανος ὕβρεως, καὶ κάλαμος κατὰ κορυφῆς παίων. Ἡ που κατέσταξε τοῦ μακαρίου τότε προσώπου τὸ τῆς θείας κεφαλῆς αἷμα, τρωθείσης, οἶμαι, καὶ τῷ καλάμῳ, καὶ ταῖς ἀκάνθαις, αἷς ὁ σωτήριος ἡμῖν χερσὶ τῶν ἀλαστόρων ἐπλάκη στέφανος. Βαβαί, ὅτ' ἔπραξεν! ὅσ' ὑπέστη! ὑπὲρ ἐχθρῶν, ὑπὲρ κατακρίτων ἀνθρώπων· δι' οὓς καὶ γέγονεν ἄνθρωπος, ἐκ γυναικὸς γεννηθείς, σάρκα καὶ πενίαν τὴν ἡμετέραν καταδεξάμενος, ὑπὲρ τοῦ παθεῖν δυνηθῆναι· ἵν' ἡμᾶς ἐλευθερώσῃ πάθους, καὶ δεινῶν ἀθανάτων ὁμοῦ ψυχῆς τε καὶ σώματος, ὧν τὸ γένος ἅπαν ὑπόχρεῳ ἦμεν, ἀντὶ πολλῶν καὶ μεγάλων ἁμαρτημάτων. Ταῦτα δὲ πάντα δείκνυσι τὴν εἰς ἡμᾶς ἀγάπην αὐτοῦ, ἄῤῥητόν τινα καὶ ἀκατανόητον οὖσαν. Ἐδύνατο μὲν γὰρ, τὸν οὐρανόν τε οἰκῶν, καὶ μηδαμῶς ἀναλαβόμενος τὸ ἡμέτερον, καὶ λόγῳ μόνῳ, καὶ νεύματι, τῶν τοῦ διαβόλου δεσμῶν, καὶ τῆς τυραννίδος, λύσασθαι τὸ γένος ἡμῖν, καὶ διὰ πάντων εὐεργετεῖν· παθεῖν δὲ οὐκ ἂν εἶχε, μὴ τῆς αὐτῆς ἡμῖν κοινωνήσας οὐσίας. Τὸ δ' οὖν εἰς ἡμᾶς ἐπιδεικνύμενος φίλτρον ὅσον; Οὐκ ἠρκέσθη γε θατέρῳ, λέγω δὴ τῷ εὖ ποιεῖν, ἀλλὰ καὶ θάτερον προσέθηκε, τὰ δι' ἡμᾶς ἐκείνου παθήματα διὰ τῆς σαρκός. Τοιοῦτον γὰρ ὁ ἀληθὴς ἔρως. Οὐκ ἀνέχεσθαι ποιεῖ τὸν ἐρῶντα, εἰ μὴ διὰ τὸν ἐρώμενον πάθοι. Καὶ τοῦτό μοι δοκεῖ τὸ κεφάλαιον εἶναι τῆς πρὸς ἡμᾶς τοῦ Σωτῆρος συγκαταβάσεώς τε καὶ κοινωνίας. Εἰ γὰρ ἐν ἀνθρώποις ἔστιν εὑρεῖν τοιοῦτον τὸν ἔρωτα, καὶ οὐχ ὑπὲρ τοῦ Θεοῦ μόνον, ἀλλὰ καὶ ὑπὲρ ἀνθρώπων χαίροντές τινες τεθνᾶσι πολλὰ πα-

Digitized by Google

θόντες, πῶς οὐκ ἂν ἀρμόσειε τοῦτο τῷ τῆς ἄκρας ἀγαθότητος ἔρωτι; Διὰ πολλῶν μὲν γὰρ καὶ ἄλλων ἠδύνατο τρόπων σῶσαι τὸν ἄνθρωπον ὁ Σωτήρ, ἔσωσε δ' οὖν σαρκωθείς, πρέπον ὂν οὕτω γενέσθαι, πολλῶν μὲν ἕνεκα καὶ μεγάλων, μάλιστα δὲ τῆς πρὸς ἡμᾶς ἀγάπης αὐτοῦ, ὑπερφυοῦς οὔσης. Καὶ ταῦτ' εἰδὼς πᾶς ὁστισοῦν τῶν προβάτων ἐκείνων, ἃ δὴ τῆς αὐλῆς ἐστι τῆς δεσποτικῆς, σκιρτάτω χαίρων καὶ φαιδρυνόμενος. Ἂν μὲν γὰρ ᾖ τῇ μάνδρᾳ συνδιατρίβων, καὶ πληρῶν τὸν ἀριθμὸν τῆς θρυλλουμένης ἑκατοντάδος (εὖ γὰρ ποιῶν ὁ λόγος ἡμᾶς ἐνήγαγεν ἐπὶ τὴν παραβολὴν ἤδη ταύτην), ὑπ' αὐτοῦ ποιμένος ἀχθήσεται, τοῦ καλοῦ τε, καὶ τὰ πρόβατα κτησαμένου πολλῷ τιμήματι. Καὶ γὰρ αὐτὸς ὑπὲρ αὐτῶν τὴν ψυχὴν τέθεικε, καὶ τὸ ἴδιον ἐξέχεεν αἷμα, καὶ ἑαυτοῦ τὸν τρόπον τοῦτον πεποίηκεν, οὐδέποτε καὶ πρὶν ὄντα ξένα. Τί γὰρ καὶ παραδραμεῖται τὴν αὐτοῦ δεσποτείαν; τριπλῇ γὰρ πάντων δεσπότης οὗτός ἐστι· τῷ παραγαγεῖν καὶ δημιουργῆσαι, τῷ προνοεῖν τε καὶ εὖ ποιεῖν, τῷ δύνασθαι καὶ νεύματι διαφθεῖραι. Τὸ δὲ μυστήριον γέγονε τὸ φρικτὸν, ἵν' ᾖ τὸ φύσει προσὸν αὐτῷ καὶ γνώμῃ βασιλευόμενον. Εἰς τοῦτο γὰρ οἶμαι φέρειν τὸ, *Ὁ Κύριος ἐβασίλευσε*. Τὸ γὰρ βασιλευόμενον μὲν, ἄκον δὲ, δι' ἄγνοιαν τοῦ δημιουργοῦ, νυνὶ τῆς ἐπιγνώσεως ἐπιλαμψάσης τῷ κόσμῳ, αὐτομολεῖ τε, καὶ ζητεῖ τὸ βασιλεύεσθαι παρ' αὐτοῦ. Ὅστις μὲν οὖν τὴν τοῦ ποιμένος φωνὴν οἶδε, καὶ ἀκολουθεῖ κατ' ἴχνος πορευομένῳ, ἐν χλοερᾷ τῇ πόᾳ κατασκηνώσει, καὶ ἐπὶ ὕδατος ἀναπαύσεως ἐκτραφήσεται· καὶ οὐ φοβηθήσεται κακὰ, οὐδ' ἂν τύχῃ πορευόμενος ἐν μέσῳ σκιᾶς θανάτου. Ἐὰν δὲ πλάνης πειραθῇ, καὶ ἀπολωλός ποτε γένηται (ἀνθέξομαι γὰρ τῆς παραβολῆς), οὐδ' οὕτω τέως ἀμεληθήσεται· ἀλλὰ σπουδῇ ζητηθήσεται, καὶ εὑρεθὲν ἐπὶ τῶν ὤμων ἀχθήσεται, καὶ τοῖς μὴ πεπλανημένοις ὁμοταγὲς ἔσται. Καίτοι καὶ μειζόνως χαίρει τῷ ἑνὶ τούτῳ ἢ τοῖς πολλοῖς ἐκείνοις, τοῖς ἐν τῇ μάνδρᾳ, τοῖς ἀεὶ σὺν αὐτῷ μένουσιν. Αὐτὸς τοῦτο εἴρηκε. Συνίστησι δὲ τὸν λόγον καὶ αὐτοῖς πράγμασι. Τοσοῦτον γὰρ ἐπεδείξατο φίλτρον πρὸς τὸ πλανώμενον, ὡς ἀφεῖναι μὲν ἐκεῖνα τὰ πολλὰ, ἐπὶ δὲ τὴν τοῦ ἑνὸς ζήτησιν ἐξελθεῖν· οὕτω τὴν αὐτοῦ σωτηρίαν τοῦ παντὸς ἡγεῖται ἀξίαν εἶναι. Καὶ δηλοῖ τὸ μηδενὶ τὸ πρᾶγμα τοῦτο πιστεῦσαι. Οὐ γὰρ πολλοὺς μισθωσάμενος ἔπεμψεν, οὐδὲ ἀνέθηκέ τισι τὴν τοῦ ἔργου ἐπιμέλειαν, οὐ δούλοις, οὐ φίλοις, οὐ τοῖς ἀγγέλοις αὐτοῖς, ἀλλ' ἑαυτῷ γε μόνῳ τὸ πᾶν ἐθάρρησε· παιδεύων ἡμᾶς, οἶμαι, οὐ μόνον πράττειν ἃ χρὴ, ἀλλὰ καὶ τῷ βελτίονι τρόπῳ· καὶ μήτε δόξαν τὴν φθειρομένην, μήτε τρυφὴν, μήτ' ἀσφάλειαν, τοῦ καλοῦ καὶ πρέποντος προτιθέναι. Οὐ μὴν ἀλλὰ καὶ τὴν ὑπερβολὴν τῆς ἀγάπης ταύτῃ δεικνὺς, ἣν πρὸς ἕκαστον ἡμῶν οὗτος ἔχει, τὴν εἰς ἀλλήλους σφόδρα ἀνάπτει. Τοσοῦτον γὰρ ἥκμαζεν ἐν αὐτῷ τὸ τοῦ ἑνὸς φίλτρον, ὡς ἅπαν ὄρος, πᾶν ἄλσος, πᾶν ἄβατον, βάσιμον αὐτῷ φαίνεσθαι, καὶ μάλα κοῦφον νομίζειν ἀχθοφορεῖν, ἵν' αὐτὸ τὸ πλανηθὲν τοῖς πλείοσι συναριθμηθῇ. Εἴποι τις ἂν, οἶμαι, θαυμάσας τοῦτο τὸ ἔργον, ὡς ἡ μὲν ζήτησις ἀναγκαία, καὶ τὰ ἐν αὐτῇ

A quos cum voluptate, multa prius perpessos, quo pacto non idem hoc illius supremæ bonitatis amori competierit? Quippe multis aliis etiam modis hominis saluti consulere Salvator poterat, et tamen eum servavit, assumpta carne, quod ita rem consteri deceret, cum plures et magnas ob causas, tum imprimis ob ipsius erga nos amorem eximium. Atque hoc cum norit quilibet earum ex ovium numero quæ hujus ad heri stabulum pertinent, lætus et hilaris exsultet. Nam si caula non relicta, notum illum centenarium numerum implet (recte jam enim ad eam similitudinem ipsa nos invitat oratio), ab ipso pastore ducetur, illo, inquam, pastore bono, quique magno suas oves pretio comparavit. Etenim ipse pro eis animam suam posuit,
B et proprium sanguinem effudit, atque hoc modo suas fecit, quæ ne prius quidem unquam erant alienæ. Quid enim ipsius effugere dominium possit? Triplici namque ratione Dominus est omnium: quod in ortum produxerit et condiderit,, quod curam gerat et benefaciat, quod etiam nutu perdere possit. Incarnationis vero tremendum mysterium contigit, ut quod natura ipsius erat, sponte se regno ejusdem subjiceret. Huc enim illa spectare verba puto: *Dominus reynavit*. Nam quod recto subjectum erat, invite tamen, propter ignorationem ipsius Opificis, nunc postquam ejus agnitio toti mundo illuxit, sua sponte accedit et regno ejus contineri cupit. Quisquis ergo vocem pastoris novit, et vestigiis præeuntis insistit, in viridi gramine commo-
C rabitur et ad requietis aquam pascetur: nullis a malis sibi metuet, ne quidem si eum in medio letalis umbræ contingat iter facere. Quod si aberrando deflexerit, ovisque perdita factus fuerit (inhærebo namque similitudini propositæ), ne sic quidem negligetur, sed studiose perquiretur, et humeris imposita perferetur, ac cæteris, quæ non aberraverint, aggregabitur. Imo majorem ex hac una voluptatem pastor percipit quam de pluribus illis in caula commorantibus et semper apud eum manentibus. Hoc ipsemet dixit et orationem suam factis comprobat. Tantum enim amorem erga ovem, quæ erat perdita, demonstravit, ut illis pluribus amissis, ad hanc unam inquirendam exiret, adeo
D salutem hujus pretii quantivis ducit; estque hoc ipsum indicio quod nemini rem hanc commiserit. Quippe non plures pretio conductos ablegavit, nec curam operis hujus aliquibus imposuit: non servis, non amicis, non angelis suis, sed sibi soli totam rem credidit, nos, ut equidem opinor, erudiens, non tantum ut ea faciamus quæ oportet, sed etiam meliorem in modum, utque nec evanescentem gloriam, nec voluptatem, nec securitatem, honesto atque decoro anteponamus. Præterea, cum hac ratione suum in nos singulos amorem, nimium quantum, demonstrat, vehementer amorem erga nos mutuum accendit. Nam in ipso tantus unius erat ovis amor, ut omnem montem, saltum omnem et quidquid inaccessum, pro pervio duceret, ipsam-

Digitized by Google

que gestationem oneris minime gravem putaret, modo deperdita per errorem ovis ad cæteras rediret. Fortasse quis, opinor, dixerit, factum hoc admiratus, ovem necessario quæsitam, et in quærendo molestias non abs re obitas, quodamque modo tolerandas quærenti fuisse. Verum quæ res ursit ut inventa ovicula non more vulgari duceretur, sed in humeris portaretur, quanquam sola cæteras inter oves negotii tantum exhibuisset? Nimirum hoc ipso demonstrari videtur, pastorem hunc plurimi securitatem nostram facere. Præterea licet hinc etiam illud æstimare, quod scilicet errabunda ovis inventa, de ipsis obvagationis incommodis afflicta graviter fuerit et eum in modum affecta, ut non facile reverti posset, sed auxilio boni pastoris ad hoc indigeret. Fortasse nec alacris, uti debebat, optimam ad reditionem erat, nam cæteroqui pedibus usa pro virili fuisset. Ideoque cum cognoscamus, eam ne paulum quidem progressam, non abs re videri possit, cogitationes ejus adhuc quasi bifariam fuisse divisas. Nam consuetudo malum sæpe jucundum reddit, ac propterea qui oviculam servare volebat, in humeris illam portans, pedibus ipse suis alacriter usus pro ea fuit: ad omnia denique simpliciter, quæ illa quidem præstare debebat, sed minime poterat, operam ipse suam confert.

Quilibet ergo resipiscentia fretus, ampla cum spe bonum ad hunc pastorem accedat, qui et drachmam illam perditam quæsivit, ejusque reperiundæ causa valde laboravit, et cum eam recuperasset, tanti dedit indicia gaudii, quantum ne illi quidem percipiunt qui bona quadam fortuna thesauros inter fodiendum reperiunt, licet auri magna copia sit, et pauperes hi quidem, at gravi avaritiæ morbo laborantes; accedat, inquam, ad eum qui ferre non potuit, ut filius ille prodigus domum veniret, quando adventantem autem acceperat, sed ad conspectum illius et occursum prodiit, eumque multo cum honore excepit, et frequenti complexuum iteratione quemdam admirabilem in illum amorem ac desiderium declaravit, et ob ejus salutem, celebritatem quamdam communem instituit: ad eum accedat, qui nequaquam abominatus est scortum illud nobile, quod ipsum et aspiciebat et contrectabat, purosque pedes ejus exosculabatur, et multis eosdem rigabat lacrymis, ac vicissim magno pietatis studio capitis sui capillis eas abstergebat. Et tamen per istæc omnia, quibus tunc castum illum amorem recte declarabat, cum prius libidine flagraret, multos perdiderat, et fortasse qui aliquid esse viderentur. Nihilominus hanc ipse non repulit, nec impudentem ac procacem appellavit, sed illi quoque Pharisæo prætulit qui magna in opinione virtutis erat, ac laudes denique quasdam ei tribuit. Idem et publicani humilitatem, si quidem ita erat appellanda propriorum malorum agnitio, pluribus ipsius delictis opponens, magis eum justificatum e templo deduxit, quam alterum, qui recte quidem vixerat, sed actæ præclare vitæ causa superbiebat. Ezechiæ lacrymas admittit, et conversionem filii ejus, consimili modo factam, velut aliorum opera eximia libenter

A χαλεπὰ ἀκολούθως ἔπεισι, καὶ δεῖ πως φέρειν τόν γε ζητοῦντα· τί δὲ ἦν τὸ κατεπεῖγον, μετὰ τὸ εὑρεθῆναι τὸ πρόβατον, οὐκ ἄγεσθαι κατὰ τὰ πολλά, ἀλλ' ἐπὶ τῶν ὤμων κομίζεσθαι, καίπερ τοσαῦτα παρεσχηκὸς πράγματα μόνον τῶν ἄλλων προβάτων; Καὶ δοκεῖ τοῦτο δεικνύναι, ὅσον περὶ πλείστου ποιεῖται τὴν ἡμετέραν ἀσφάλειαν. Προσέτι δὲ κἀκεῖνο μαθεῖν ἔξεστιν ἀπὸ τούτου, ὅτι τὸ πλανώμενον εὑρεθὲν πολὺ τετριχωμένον ὑπῆρχεν ἐκ τῶν τῆς πλάνης, οἶμαι, κακῶν· καὶ ἦν οἷον μὴ δύνασθαι ῥᾳδίως ἐπανέρχεσθαι, ἀλλὰ τῆς τοῦ ἀγαθοῦ ποιμένος δεόμενον ἐπικουρίας εἰς τοῦτο. Ἴσως οὐδὲ πρόθυμον ἦν τοσοῦτον πρὸς τὴν ἀρίστην ἐπάνοδον· ἢ γὰρ ἂν ἐχρῆτο τοῖς ποσὶν, ὅσον οἷόν τε. Ἐπειδὴ δὲ τοῦτο μανθάνομεν οὐδὲ γοῦν σμικρόν τι βαδίσαν. δόξειαν ἂν εἰκότως B ἔτι πως τοὺς λογισμοὺς δίχα τεμνόμενον εἶναι. Ἡ γὰρ συνήθεια τὸ κακὸν πολλάκις ἡδὺ ποιεῖ, καὶ διὰ ταῦτα ὁ θέλων τοῦτο σωθῆναι, ἐπὶ τῶν ὤμων κομίζων, τοῖς ποσὶν ὑπὲρ ἐκείνου προθύμως κέχρηται. Καὶ ἁπλῶς πρὸς ἅπαντα, ἅπερ ἐχρῆν μὲν ἐκεῖνο, οὐκ ἦν δὲ δύναμις ταῦτα πράττειν, οἴκοθεν αὐτὸς συνεισφέρει.

Πᾶς τις οὖν τῇ μεταγνώσει θαῤῥήσας, προσιέτω μετὰ λαμπρῶν τῶν ἐλπίδων τῷ καλῷ τούτῳ ποιμένι, τῷ καὶ τὴν ἀπολλυμένην δραχμὴν ζητήσαντι, καὶ κομιδῇ μογήσαντι πρὸς τὴν εὕρεσιν ἐκείνης καὶ χαρὰν ἐνδειξαμένῳ τοσαύτην, ἡνίκα ταύτην ἐπανεκτήσατο, ὅσην οὐδ' οἱ θησαυροὺς ἐν τῷ ὀρύττειν εὑρίσκοντες ἐξ ἀγαθῆς τινος τύχης, ὁπόταν ᾖ καὶ τὸ C χρυσίον ἀδρὸν, καὶ οἵδε τῶν πενήτων μὲν, μακρὰν δὲ πάνυ φιλαργυρίαν νοσούντων· τῷ μηδ' ἀναμείναντι τὸν ἄσωτον οἴκαδ' ἐλθεῖν, ἐπειδήπερ ἔγωγε τοῦτον ἐρχόμενον, ἀλλὰ καὶ πρὸς τὴν ἐκείνου θέαν τε καὶ συνάντησιν ἐξελθόντι, καὶ ὑποδεξαμένῳ τοῦτον πολλῇ τιμῇ, καὶ ταῖς συχναῖς περιπλοκαῖς θαυμαστὸν ἐνδειξαμένῳ τὸν πρὸς ἐκεῖνον ἔρωτά τε καὶ πόθον, καὶ κοινὴν πανήγυριν τὴν ἐκείνου σωτηρίαν ποιησαμένῳ· τῷ μηδαμῶς βδελυξαμένῳ τὴν ὀνομαστὴν τότε πόρνην, ὁρῶσάν τε αὐτὸν, καὶ ἁπτομένην αὐτοῦ, καὶ τοὺς ἀχράντους πόδας καταφιλοῦσαν, καὶ συχνὸν τὸ δάκρυον αὐτῶν καταχεύουσαν, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἐξ αὐτῶν ἐκμάττουσαν τοῦτο ὑπὸ D πολλῆς εὐλαβείας. Καίτοι διὰ πάντων ἐκείνων, οἷς τὸν σώφρονα ἐκεῖνον ἔρωτα καλῶς ἐπεδείκνυτο, ἀκολασταίνουσα τοπρὶν, τοὺς πολλοὺς ἀπώλεσεν, ἴσως δ' ἂν καὶ τῶν δοκούντων εἶναί τι. Ὁ δ' οὐκ ἀπεσείσατο ταύτην, οὐδὲ ἀναιδῆ προσεῖπε καὶ ἰταμόν· ἀλλὰ καὶ τοῦ Φαρισαίου προῦθηκε, τοῦ πολλοῦ νομιζομένου τὴν ἀρετὴν, καὶ κατ' αὐτῆς ἐγκώμιά τινα εἰρηκεν. Οὗτος δὲ καὶ τοῦ τελώνου τὴν ταπείνωσιν, εἴγ' ἐχρῆν οὕτω καλεῖν τὴν τῶν ἰδίων κακῶν ἐπίγνωσιν, ἀντιτιθεὶς τοῖς πολλοῖς ἐκείνου πλημμελήμασι, κατήγαγεν αὐτὸν ἐκ τοῦ ἱεροῦ δεδικαιωμένον ὑπὲρ τὸν καλῶς μὲν βεβιωκότα, μεγάλα δὲ φρονήσαντα τῷ καλῶς βιοῦν. Δέχεται τοῦ Ἐζεκίου τὰ δάκρυα, καὶ τοῦ παιδὸς αὐτοῦ τὴν ἐπιστροφὴν ὁμοίῳ τρόπῳ γεγενημένην ὡς ἄλλων ἀριστείας ἠσπάσατο. Τὴν γὰρ

Digitized by Google

ἰσόῤῥοπον ἔκτισιν ζητεῖ τῶν ἁμαρτημάτων ἐκ τῆς προαιρέσεως τῶν μετανοούντων· τὰ δὲ ἔργα κατὰ δύναμιν, ὡς κἀν τοῖς φθάσασιν εἴρηται. Ὡς ἂν μηδαμῶς ἐξῇ συνεισενεγκεῖν καὶ ταῦτα, ἀρκέσει τούτῳ καὶ γνώμη μόνη. Οὕτω τοι καὶ τὸν λῃστὴν αὐθημερὸν ἐδέξατο, μᾶλλον δὲ καὶ αὐθωρὸν, εἰ δὲ βούλει γε, καὶ ἐν ἀκαρεῖ, ὁμολογίᾳ στόματος μόνῃ, δι' ἣν οὐδὲν ὑπέστη δεινὸν, οὐδ' ἦν εἰκὸς φοβηθῆναι. Τί γὰρ καὶ πλέον ὧν ἔπασχε, καὶ αὐτῆς τῆς ἀποφάσεως τοῦ θανάτου; Ἀλλ' ἐπειδὴ φωνῆς ἦν Κύριος τότε μόνης, ταύτην πιστῶς εἰσενηνοχὼς, αὐτὸν ἐκέρδανε τὸν παράδεισον, ἄθλον μακαρίοις ἀφωρισμένον· ὃν γε οἱ προπάτορες ἀπώλεσαν, οὐχ ὅτιπερ ἐξήμαρτον εἰς τὸν εὐεργέτην, ἀλλ' ὅτιπερ ἀπέγνωσαν τῆς σφῶν αὐτῶν σωτηρίας. Εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν Ἀδὰμ ἐπὶ τὴν γυναῖκα, ἐκείνη δὲ ἐπὶ τὸν ὄφιν, τὴν τῆς παραβάσεως αἰτίαν ἀνετίθεσαν· ἀλλ' ὡμολόγουν μὲν τὸ κακὸν, προσήγγελλον δὲ ἑαυτοὺς, καὶ ἀπῄτουν τὴν διόρθωσιν ἀπὸ παντὸς τρόπου.

Ἀλλ' ἵνα μὴ τῇ χρείᾳ τῶν λόγων ὁ χρόνος οὐκ ἐξαρκέσῃ, τὰς ἀβύσσους τῶν τοιούτων ἐρευνῶν, τὰ μὲν πολλὰ τῶν ἐπὶ τοῦτο φερόντων παρίημι, ὅτε καὶ τοῖς εἰρημένοις αὐτοῖς ἀρκούντως οἶμαι δεδεῖχθαι, ἃ μοι σκοπὸς ἦν ἐξαρχῆς· ἐκεῖνο δ' ἂν τοῖς ἅπασι συμβουλεύσαιμι, καὶ πρὸ πάντων ἐμαυτῷ, προσδραμεῖν ἐν μετανοίᾳ καὶ δάκρυσι τῷ καλοῦντι τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν, τοὺς διψῶντας ἐπὶ τὸ ζῶν ὕδωρ, ἐπὶ τὸν χρηστὸν ζυγὸν καὶ τὸ φορτίον τὸ ἐλαφρὸν τοὺς κοπιῶντας καὶ πεφορτισμένους πόνῳ καὶ ἄχθει τῆς ἁμαρτίας· τῷ ταῖς ἡμετέραις ψυχαῖς παρεχομένῳ τάλεξιτήρια τῶν κακῶν οὐ μόνον προῖκα καὶ ἀμισθὶ, ἀλλὰ καὶ χάριν γινώσκοντι, εἴ τινες αὐτὰ δέξαιντο· ὃς οὐκ ἐξεδέχετο μένων οἴκοι τοὺς ἀφιξομένους ὡς αὐτὸν ὑπὲρ θεραπείας, ἢ γοῦν τὸν καλέσοντα καὶ μεταπεμψόμενον κατὰ τοὺς τῶν ἰατρῶν νόμους, τουτωνὶ τῶν δυναμένων ἀμύνειν· ἀλλ' αὐτὸς ἀεὶ παρερχόμενος, τοὺς χρείαν ἔχοντας αὐτοῦ προὐκαλεῖτο, παρεκάλει, μετεδίδου παντὸς ἀγαθοῦ, καὶ εὖ ποιῶν γε πάντας ἐξῄει, εὐθὺς αὐτῶν ἀπηλλάττετο, ἵνα μὴ μισθὸν ἄκων λάβοι. Τίνα δὴ τοῦτον; Τὴν ἐκείνων εὐφημίαν μετὰ κρότων γιγνομένην. Χαίρομεν τοίνυν ὁμοῦ πάντες. *Τῶν γὰρ εἰς ἐκεῖνον πεπιστευκότων οὐ λογίζεται τὰ ἁμαρτήματα*, ὁ ἀπόστολος Παῦλος εἶπε. Ταύτην δὲ δήπου τὴν χάριν δίδωσι μὲν ἅπαξ τὸ βάπτισμα, δίδωσι δὲ ἡ μετάνοια, ἐκείνῳ γε βοηθουμένη τῷ λουτρῷ, ὁσάκις ἂν τις γνησίως ἐκείνῃ χρήσαιτο. Ὥστε ἐκεῖνος ἀγαθὸς καὶ τοῖς ἀγαθοῖς, καὶ τοῖς μὴ τοιούτοις. Καὶ πῶς οὐ πάντας χαίρειν δεῖ, τοιοῦτον ἔχοντας δεσπότην, οἷον ὁ λόγος ἡμῖν ἔδειξε; Μᾶλλον δὲ οἷον οὐδ' ἂν εἷς ἔδειξε λόγος, οὐδ' ἂν συνῆλθον ὁμοῦ καὶ τῶν ἀγγέλων, καὶ τῶν ἀνθρώπων αἱ γλῶσσαι. Οὐ μὴν ἀλλ' ἔστιν ἔν τι καὶ λυπεῖν ἄξιον τοὺς ἐξ ἁμαρτίας μετανοήσαντας, καὶ τῆς ἀπείρου φιλανθρωπίας τετυχηκότας. Τί τοῦτο; Τὸ μεμνῆσθαι, εἰς οἷον ὄντα πρὸς αὐτοὺς ἐξυβρίκασι. Καὶ τί ἂν ἦσαν, μὴ τοῦτο πρά-

accepit: quippe luitionem delictorum velut æquilibrem requirit, ex instituto animi resipiscentium; opera vero, pro viribus, uti supra quoque dictum est: quæ sane si nequaquam simul afferre liceat, ipsa duntaxat voluntas ei sufficiet. Sic et latronem illum eodem die recepit, vel potius eadem hora, vel si mavis, in momento temporis, per solam confessionem oris, propter quam nihil perpessus est mali, nec formidari quidquam par erat. Quid enim illi metuere majus poterat quam quæ tunc perpetiebatur et ipsa mortis sententia? sed quia vocis tunc solius dominus erat, ea fideliter collata, paradisum ipsum lucratus est, præmium beatis destinatum: quem parentes illi primi amisere, non quod adversus benefactorem suum deliquissent, sed quod de salute sua desperassent. Nam absque hoc fuisset, non Adamus in uxorem, illa rursus in serpentem, transgressionis culpam contulissent, sed confessi delictum, seipsos reos fecissent omnique modo emendationem flagitassent.

Verum ne orationis usui tempus ipsum haud sufficiat, dum hujusmodi rerum abyssos investigo, complura, quæ huc spectant omitto, quando per hactenus indicata satis ostensa puto quæ ab initio proposita nobis erant. Hoc quidem universis consuluero, et imprimis mihimet ipsi, ut in resipiscentia et lacrymis ad eum curramus, qui peccatores ad resipiscendum invitat; sitientes ad aquam vivam; fessos et oneratos dolore pondereque peccati, ad commodum jugum et onus leve; ad eum qui animis nostris malorum remedia non modo gratis et absque pretio suppeditat, verum etiam si qui ea recipiant, gratiam habet; qui non domi manens, exspectabat opis impetrandæ causa venturos, aut saltem aliquem se vocaturum et arcessiturum, eorum medicorum more qui succurrere laborantibus possunt, sed ipsemet semper prodiens, in transitu eos qui ope ipsius indigerent, invitabat, hortabatur, participes omnis boni reddebat; et postquam omnibus benefecisset, mox ab eis discedebat, ne præmium invitus acciperet. Quodnam illud? Ipsorum cum plausu faustam acclamationem. Itaque læti pariter omnes simus. Nam *illis qui crediderunt in eum, peccata non imputantur*[1], inquit apostolus Paulus. Hanc vero gratiam semel quidem nobis ipse baptismus tribuit, sed tribuit et resipiscentia succurrens illi lavacro, quoties ea germane qui usus fuerit. Itaque bonus est ipse tam bonis quam non bonis. Et quo pacto non omnes lætos esse convenit, qui talem Dominum habeamus qualem ostendit oratio, vel potius qualem nulla possit ostendere oratio, ne quidem si coeant in unum omnes et angelorum et hominum linguæ? Sed tamen unum aliquid est quod non absre dolorem illis affert, qui ex peccato resipuerunt, et illius infinitæ clementiæ participes facti sunt. Quid istuc? Quod recordantur in qualem erga se flagitiose se gesserint. Et quid essent, obsecro, si

[1] Rom. v, 13.

Digitized by Google

hoc non fecissent? Nam qui non pie vixerunt, ac deinde resipiscentes ex istis facinoribus, ipsa propensione ad bonum propitium experti sunt Deum ab se læsum, tantumque boni ab eo consecuti, quantum optarant, quem impetrassent honorem, obsecro, si plane polluti non fuissent? Quod si fieri potest ut in altera quoque vita eorum animi dolorem ullum omnino sentiant, hoc ecs mea quidem opinione punget, quod vehementer amanti molestiam peccando crearint seque vitis ipsi polluerint. Quapropter universos equidem monuerim et ante omnes meum ipsius animum, ne committere velimus, propter quæ multas profusuri simus lacrymas atque gemitus, ubi viam ad optimam reversi fuerimus, sed ut illis inhæreamus, de quibus pura percipi voluptas possit, pure nimirum vivendo, sperandoque nos potituros æternis illis voluptatibus : quæ scilicet oculus neminis aspexit, nec auris audivit, inque cor hominis non penetrarunt, ut divus ille Apostolus loquitur [1]. Cum autem hic orationi nostræ finem imponendum censeam, dicam aliquid de summa illa clementia, breve quidem illud admodum, sed recte tamen omnem rei scopum, mea sane sententia, commonstraturum.

Aio Dei nostrum erga genus clementiæ, quæ prorsus est infinita, non posse quidquam æquiparari vel cum ea comparari, nedum lapsus hominum, qui omnino fines suos habent. Quod cum ita sit, nequaquam divinæ clementiæ suffecerit, ad accuratissimum sui specimen, abolevisse delicta universorum hominum, qui videlicet in Deum revera spem suam collocarunt : nullo, inquam, modo, non si contingere posset, ut illa millies majora seipsis fierent. Non pertingit hominis mens ad aliquid eorum, de Deo quæ considerantur, nec propinquo ab illis intervallo abest. Quidquid ergo magnum est et augustum, sive nomen, sive res, aut quidcunque tandem fuerit, quod mentis potestate naturaque formari et percipi possit, id ostensum est infra perceptionem accuratam clementiæ Salvatoris esse positum. Ipsi gloria, cum Patre sanctoque Spiritu, in sæcula tribuatur. Amen.

ORATIO VII.

De humilitate, atque etiam ex parte, de dilectione.

Postremum caput ex iis quæ tibi a nobis ad excolendum mores laudabiles tradita sunt, de humilitate disserebat. Itaque non abs re postrema quoque sic a nobis instituatur oratio, ut in ejusdem virtutis prædicatione cum illo consentiat. Quin etiam illa in oratione, qua te ad eloquentiæ studia cohortabar, obiter quasi quiddam de moderatione disserebam, ipso nos orationis impetu secum abripiente. Intelligere vero potui, fuisse tunc arrectas illorum aures, qui aderant, velut existimantium se illo de bono prolixius aliquid audituros. At ego tunc quidem eis non gratificabar, ne temere quasi transversus age-

[1] I Cor. II, 9.

ξαντες; Οἱ γὰρ οὐχ ὁσίως βεβιώκεσαν, ἔπειτα τῇ μεταγνώσει τῶν ἔργων, καὶ τῇ πρὸς τὸ ἀγαθὸν νεύσει, πλεώ τε πεπείρανται τοῦ ὑπ' αὐτῶν ὑβρισθέντος, καὶ τοσοῦτον εὖ πεπόνθασι παρ' αὐτοῦ, ὁπόσον ἂν εὔξαιντο, πόσης ἂν ἠξίωντο τιμῆς, μὴ μολυνθέντες τὴν πρώτην; Εἰ δ' ἔνεστι κἀκεῖ τὰς τούτων ψυχὰς λύπην ἠντινοῦν ὅλως ἴσχειν, τοῦτ' ἂν οἶμαι τὸ πλῆττον, ὅτι τὸν σφόδρα φιλήσαντα ἐλύπουν ἁμαρτάνουσαι, καὶ τοῖς κακοῖς μολύνουσαι ἑαυτάς. Καὶ διὰ ταῦτα τοῖς πᾶσιν ἂν παραινέσαιμι, καὶ πρό γε πάντων τῇ ἐμαυτοῦ ψυχῇ, μὴ ταῦτα πράττειν ἡμᾶς ἐθέλειν, δι' ἃ δεήσει πολλῶν δακρύων καὶ στεναγμῶν, ἐπὶ τὴν ἀρίστην ὁδὸν ἐπιστρέψασιν· ἀλλ' ἐκείνων ἐχέσθαι, οἷς ἂν εἴη καθαρῶς ἥδεσθαι, τῷ τε καθαρῶς βιοῦν, τῷ τε ἐλπίζειν τεύξεσθαι αἰωνίων ἀπολαύσεων, ἃ *ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη*, κατὰ τὸν θεῖον Ἀπόστολον. Ἐνταῦθα δέ μοι τὸν λόγον οἰομένῳ δεῖν καταλῦσαι, εἰρήσεταί τι περὶ τῆς ἀνωτάτω φιλανθρωπίας, βραχὺ μὲν πάνυ, καλῶς δ' οὖν ὅμως τὸ πᾶν δεικνύον, ὡς ἔμοιγε παρίσταται, τοῦ σκοποῦ.

Λέγω δὴ τῇ τοῦ Θεοῦ περὶ τὸ γένος φιλανθρωπίᾳ, ἀπείρῳ γε παντάπασιν οὔσῃ, μὴ δύνασθαί τι τῶν πάντων ἐξισωθῆναι, ἢ γοῦν ἐκείνῃ παραβληθῆναι, μήτοι γε τὰ πταίσματα τῶν ἀνθρώπων, ὧν ἐστι πεπερασμένα τὰ πάντα. Καὶ ὅτε τοῦθ' οὕτως ἔχει, οὐδαμῶς ἀρκέσειεν ἂν αὐτῇ πρὸς τὴν ἑαυτῆς ἀκριβεστάτην ἐπίδειξιν τὸ τὴν ἁμαρτίαν ἀνῃρηκέναι πάντων ἀνθρώπων, δηλαδὴ τῶν εἰς Θεὸν ὡς ἀληθῶς ἠλπικότων· οὔμενουν οὐδαμῶς, οὐδ' εἰ δυνατὸν ἦν αὐτὴν μυριάκις ἑαυτῆς μείζω γενέσθαι. Οὐ νοῦς ἀνθρώπινος ἐφικνεῖται πρός τι τῶν περὶ Θεὸν νοουμένων, οὐδ' ἐγγύς. Πᾶς οὖν ὁ μέγα τε καὶ σεμνὸν εἴτε πρᾶγμα, εἴτε τ' ὄνομα, ἢ ὅ τι ποτ' ἂν καὶ εἴη, νοῦ καὶ ἐξουσίᾳ καὶ πεφυκότι πλασθῆναί τε καὶ νοηθῆναι δυνάμενον, εἴσω πίπτον δείκνυται πρὸς ἀκριβῆ κατάληψιν τῆς τοῦ Σωτῆρος φιλανθρωπίας. Αὐτῷ ἡ δόξα ἅμα τῷ Πατρὶ, καὶ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΛΟΓΟΣ Ζ'.

Περὶ ταπεινοφροσύνης· ἐκ μέρους δὲ καὶ περὶ ἀγάπης.

Τῶν κεφαλαίων τὸ ὕστατον, ἃ σοι παρ' ἡμῶν ἀποδέδοται εἰς ἠθῶν σπουδαίων ἐπιμέλειαν, περὶ ταπεινοφροσύνης διελέγετο. Εἰκότως ἂν οὖν γένοιτο καὶ ὁ τελευταῖος ἡμῖν λόγος οὗτος, ἐκείνῳ συμφθεγγόμενος, τῷ τὴν αὐτὴν ἐκείνῳ ἀρετὴν ἐξυμνεῖν. Οὐ μὴν ἀλλὰ καὶ ἐν τῷ πρὸς λόγους σε προτρέποντι λόγῳ εἶπόν τι ὡς ἐν παρέργῳ περὶ μετριότητος, βίᾳ τοῦ λόγου παρενεχθείς. Συνῆκα δ' οὖν ποιήσας μετέωρον τὴν ἀκοὴν τῶν παρόντων, ὡς νομιζόντων ἀκούσεσθαί τι μακρότερον περὶ τουτουΐ τοῦ καλοῦ. Ἐγὼ δὲ τότε μὲν αὐτοῖς οὐκ ἐχαρισάμην, ὡς μὴ ἐκφερόιμην ὅποι ἀντύχοι· ἀλλ' ἐχώρουν, ἐφ' ὅπερ ἔδει, τοῦ

Digitized by Google

προκειμένου μόνου ἐχόμενος, καὶ ὑπισχνούμενος ἐρεῖν μετὰ τοῦ καιροῦ. Καὶ δή μοι τελεσθέντος τοῦ πρὶν διαύλου, ὥρα κἀκείνοις χαρίζεσθαι, καὶ σοὶ τὸ δίον ἀποπληροῦν· τὸ δὲ ὕστατον εἰπεῖν περὶ τῆς πάντα ἀγαθῆς ταπεινοφροσύνης οὐ κατὰ τύχην γέγονεν, ἀλλ' οὕτω δόξαν ἀκόλουθον εἶναι. Ἐπειδὴ γὰρ ἐν τοῖς κεφαλαίοις ἐκείνοις, καὶ ἐν τοῖς πρὸ τοῦδε λόγοις ἔπλαττον μέν σου τὴν φύσιν, ὡς ἂν τις εἴποι, ἐπήλειφον δὲ τὴν γνώμην πρὸς τὰ βελτίω, καὶ τὸν ἔρωτα τῶν ἀγαθῶν ἔργων ἐνετύπουν διὰ πάντων ἐν ταῖς τῆς ψυχῆς σου δυνάμεσιν· ὁ δὲ τὰ καλὰ κτησάμενος πάντα οὐδὲν ἑαυτὸν ὤνησεν, εἰ μὴ καὶ τὴν ταπεινοφροσύνην προσεκτήσατο, ὡς οὖσάν γε ταύτην μόνην μάλιστα πασῶν ἀρετῶν λαμπτῆρά τε, καὶ φύλακα τῶν ἀγαθῶν πάντων. Ὅτε τοίνυν ταῦθ' οὕτως ἔχει, ἔδει με δήπου περὶ τῶν ἄλλων εἰπόντα, οἷς ἂν γένοιτο ἀνὴρ τε καὶ βασιλεὺς ἀγαθὸς, τελευτῶν καὶ περὶ τῆς καλλίστης τῶν ἀρετῶν ταυτησὶ διελθεῖν. Ἐπεί τοι καὶ σαφῶς ἐστι κατὰ πολὺ χαλεπώτερον τό γε φυλάξαι τἀγαθὰ καὶ διασώσασθαι μέχρι τέλους τοῦ τὴν ἀρχὴν ταῦτα κτήσασθαι. Καὶ ταύτην τὴν γνώμην εἶπε μέν τις τῶν πάλαι θαυμαζομένων ἐπὶ σοφίᾳ (Δημοσθένης οὗτός ἐστιν, οὗ μετὰ μνήμης ἀγαθῆς ὁ διὰ μέσου πᾶς χρόνος διατετήρηκε τοὔνομα)· ἐφάνη δὲ ἐκ τῶν πραγμάτων ἀληθεστάτη, καὶ οὐδ' ἂν εἷς ἔχοι πρὸς αὐτὴν ἀντερεῖν. Οὐ χρὴ δὲ οἶμαι θαυμάζειν, εἰ καθῆκα ἐμαυτὸν εἰς ὃν ἐχρῆν ἀποδιδράσκειν ἀγῶνα. Οὐ γὰρ ἐξ ἀπονοίας κατενεχθέντες τὰς φρένας ἀπολωλεκότες ἐσμὲν, ὡς καὶ τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, καὶ οἴεσθαί γε γλῶτταν χαμαίζηλον δύνασθαί τι περὶ ἐκείνης προσῆκον εἰπεῖν, τῆς ὑψοῦ μὲν πετομένης, ὑψοῦ δὲ ἐπιτρούσης ἐκείνους, οἳ τἀγαθὸν ἐργαζόμενοι, οὐκ ἴσασιν ἐπαίρεσθαι. Οὐ τοίνυν ἢ τὸ μέγεθος τῆς νῦν ἐγχειρήσεως, ἢ ἐμαυτὸν ἀγνοῶν, ἐνταῦθα τόλμης ἐξελήλυθα. Οὐδὲ γὰρ Φαῖδρον ἀγνοῶ, εἰ μὴ καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, κατὰ τὸν Ἀρίστωνος Πλάτωνα. Σὺ δέ μοι πάντως, ὦ φίλτατε, καὶ τὸ περὶ σὲ μέγα φίλτρον, ὑπόθεσίς μοι τοῦ τολμήματος ἦδη πως γέγονε. Σὲ μὲν γὰρ εἰ μὴ ἴδοιμι πάντα ἀγαθὸν ἄνδρα, οὐδὲν τῶν ἐν τῷ βίῳ τερπνῶν ἡγησαίμην ἄν ποτε τῶν τερπνῶν εἶναι. Τὸ φίλτρον δέ γε τοσοῦτον, ὅσον με καὶ παροτρῦναι πράγμασι παντάπασι μείζοσιν ἢ κατὰ τὴν ἡμετέραν ἰσχὺν ἐγχειρεῖν. Τοῦτό μοι τὸ φίλτρον εἰργάσατο τούς τε λόγους τουτουσὶ τοὺς πολλοὺς, καὶ τὰ πρὸς σὲ κεφάλαια σὺν ἐπιστολαῖς. Τοῦτο καθ' ὑπερβολὴν, μεθ' ἑαυτῆς τὸ εὔλογον ἔχουσαν, βιαζόμενον, εἰς τοῦτό με πραγμάτων ἐξήνεγκεν, ἐν καιροῖς οὐ συγχωροῦσι τὸν ἐπὶ τῶν σιάκων καθήμενον, ἀλλοσέ ποι τοὺς ὀφθαλμοὺς τρέπειν ἢ πρὸς μόνας τὰς τῶν κυμάτων ἐπιφοράς.

A rer; sed pergebam, quo res ipsa vocabat, instituto nostro duntaxat inhærens, ac promittens ea de re suo me tempore dicturum. Nunc absoluto priore curriculo, tempus ipsum flagitat, et illis uti gratificer, et ex officio tibi quoque satisfaciam. Quod autem de humilitate, re prorsus optima, postremo loco dicamus, non fortuito factum est, sed quod ita consentaneum nobis visum esset. Cum enim in istis capitibus, et in orationibus hanc præcedentibus, naturam tuam finxerim, ut ita loquar, ac voluntatem ad meliora velut athletam ungens excitaverim, omnibusque modis in animi tui facultatibus amorem bonorum operum impresserim; at ille bonis omnibus acquisitis, cum nihil sibi fructus attulerit, si non et humilitatem compararit, uti quæ sola potissimum sit lumen virtutum universarum, bonorumque custos omnium: hæc ergo cum ita sint, sane par erat ut qui de cæteris disseruissem, per quæ tam in virum quam regem bonum evaderes, postremum etiam de hac pulcherrima virtute pertractarem. Quippe dubio procul difficilius est sæpenumero, custodisse bona et ad finem usque conservasse quam eadem ab initio acquisivisse. Quam sane sententiam protulit quidam, qui olim sapientiæ nomine in admiratione erat (Demosthenes, inquam, cujus nomen honesta cum recordatione conservavit tempus id omne quod inter ipsum ætatemque nostram intercessit), deque rebus ipsis apparuit, eam esse verissimam, cui nemo contradicere possit. Neque vero mirandum, opinor, in id me descendisse certamen quod fugere debebam. Quippe non impulsi temeritate, mentem amisimus, ut ea conemur quæ præstari nequeant, humilemque linguam putemus aliquid illa virtute dignum proferre posse, quæ in sublimi volat, et in altum attollit eos qui quod rectum est cum peragant, animis tamen efferri nesciunt. Non, inquam, vel conatus ipsius magnitudinem, vel meipsum ignorans, huc audaciæ progressus sum. Nec enim ignoro Phædrum, nisi meimet ipsius oblitus sim, secundum filium Aristonis Platonem. Nimirum tu, charissime fili, et eximias erga te meus amor, audacis hujusce facinoris causam mihi præbuit. Nam nisi te per omnia virum egregium videam, nihil in vita jucundum volupe mihi unquam fuerit. Amor vero tantus est, ut ad tentandum res omnino viribus nostris majores impellere potuerit. Hic amor et complures hasce orationes, et illa mihi capita, cum epistolis, elaboravit: hic me nimia vi quadam urgens, cum qua conjuncta probabilis esset ratio, ad has abripuit commentationes, et illis quidem temporibus quæ minime permittunt ut qui sedet ad clavum alio convertat oculos quam solos ad impetus procellarum. Nam is,

Cui populi commissi, et talia tantaque curæ,

quemadmodum poeta loqueretur, non facile quibus vult uti potest. Etenim occupationes pro republica mentem ejus ad se retrahentes, quasique vinctum aliquem pedicis constringentes, accurate detinent,

Ὃ γὰρ λαοί τ' ἐπιτετράφαται, καὶ τόσσα μέ[μηλε,

εἶπεν ἂν ὁ ποιητὴς, οὐ ῥᾳδίως δύναται οἷς ἂν ἐθελήσειε χρῆσθαι. Αἱ γὰρ ὑπὲρ τῶν κοινῶν ἀσχολίαι, πρὸς ἑαυτὰς τὸν νοῦν ἐπιστρέφουσαι, ὥσπερ τινὰ δεσμώτην πεδοῦσαι τοῦτον, ἀσφαλῶς διακατέχουσι.

Digitized by Google

Et pedicas atque vincula merito quis existimaverit, opinor, urgentes illas perpetuo rerum difficultates. Cum autem plures et magni viri, tam priscis quam nostris temporibus, orationes ante nos de humilitate habuerint, nemo tamen unquam omnia dixit. Atqui suis illam orationibus quam egregie putas ornarunt? Tamen cum angelis ea degens, nimiopere supra laudes omnes quæ ipsi tribuuntur sita est. Scimus igitur illos præclare locutos, si quis et ipsorum hominum et orationum vim spectet, sed iidem scimus et hanc virtutem eos qui aliquid de ea dicere conantur, cupiditati suæ minime pares declarare. Quamobrem manifesto patet, neminem id assecuturum, ut ex dignitate de hac disserat. Quippe virtutem per se tam egregiam, tam splendidam, tam omnino bonam et excellentem, quænam æquare possit oratio? Nec tamen idcirco silendum universis, sed prorsus e contrario dicenda conferendaque in medium, quæcunque proferri possunt. Fortasse quispiam non celebris orator de ea quid dixerit ab ejus eminentia non alienum, et alius rursum, similiter, iterumque fortassis et alius. Nam a ratione non abhorret, aliquem una in parte magis illam ornaturum quam alios illo præstantiores. Vidi equidem hoc rebus in omnibus evenire, nec non cum feram nactum, qui non admodum arte sagittandi excelleret, ac felicius quidem vel ipso Teucro et Ida prisco, et si quis alius arcu maximam adeptus est gloriam. Quapropter omnes conferre debent cum declarandæ rei toti majorum orationes non sufficiunt, ac siquidem sua quisque adjecerit, et congesta fuerint omnium dicta, quasi per collectam quamdam, ipsorumque oratorum ora visa fuerint os unum esse, fortasse propius accesserint, de ea qui disserunt, ad hoc, ut omnino quiddam ea dignum dicere videantur. Et quidem usuvenit, ut ænigmati consimile sit, hanc circa virtutem quod accidit. Non enim illam ex dignitate admirando, maximam esse declarant, sed dum pariter omnes eam convenienter laudare nequeunt, nullam orationem posse sublimitatem hujus assequi, ostendunt. Quo fit ut omnino sint hæc ænigmati similia, siquidem per non convenientes laudes convenienti corona se redimit. Ideoque rogatos auditores volumus, ne quid acerbius de nobis cogitent, neve temeritatis nos accusent, qui tanta de re disserendum cogitaverimus, cum vires in nobis sane tenues sint; nam recte nos excusant quæ prius diximus. Et cætero qui jure facta a nobis hanc excusationem arbitror. Etenim primum id quod compulit nos ut in hoc pelagus nosmet immitteremus, acres ad persuadendum vires habet, ut audacter rem aggrederemur, et omnem laborem atque periculum pro levi ac tolerabili duceremus. Fecit enim hoc amor filii, tum virtute præstantis, tum sceptrum in manibus gerentis. Deinde considerandum hoc quoque venit. Non enim ostentationis causa certamen hoc suscepimus, nec eo spectabamus ab initio, quod admirationi nobis esset humilitas (non enim ea nostris laudatio-

A Πέδας δ' ἂν οἶμαι καὶ δεσμὰ δικαίως πᾶς τις νομίσειε τὰς ἀεὶ κατεπειγούσας ἀνάγκας. Πολλῶν δὲ ὄντων καὶ μεγάλων τῶν περὶ ταπεινοφροσύνης προειρηκότων καὶ ἐν τοῖς πάλαι, καὶ ἐν τοῖς νῦν, οὐδεὶς οὐδέπω τὸ πᾶν εἴρηκε. Καίτοι τοῖς παρ' ἑαυτῶν λόγοις πῶς οἴει ταύτην ἐκόσμησαν; Ἀλλ' ἥδε τοῖς ἀγγέλοις συνδιαιτωμένη, μετὰ πολλῆς τῆς ὑπερβολῆς ὑπέρκειται τῶν κατ' αὐτῆς ἐγκωμίων. Ἴσμεν τοίνυν ἐκείνους μὲν καλῶς εἰπόντας, εἴ τις εἰς τὴν τῶν ἀνθρώπων καὶ τὴν τῶν λόγων ἰσχὺν ἀπίδοι· ἴσμεν δὲ καὶ ταύτην τὴν ἀρετὴν πολὺ κατόπιν τῆς προθυμίας ἀποδεικνῦσαν τούς γε περὶ αὐτῆς τι λέγειν ἐπιχειροῦντας. Ὥστε φανερὸν ἡμῖν γίγνεται, μηδ' ὀντινοῦν δυνήσεσθαι τὸν κατ' ἀξίαν εἰπεῖν.

B Ἀρετῇ γὰρ οὔσῃ καθ' αὐτὴν οὕτω καλῇ, οὕτω λαμπρᾷ, οὕτω πάντα ἀγαθῇ καὶ βελτίστῃ, τίς ἂν ἐξισωθείη ποτὲ λόγος; Οὐ μήν γε διὰ τοῦτο προσήκει σιγὴν τοὺς ἅπαντας ἄγειν, ἀλλὰ τοὐναντίον ἅπαν λέγειν τε καὶ συνεισφέρειν τὸ κατὰ δύναμιν. Τάχα τις περὶ αὐτῆς καὶ τῶν οὐκ εἰς λόγους εὐδοκιμούντων ἐρεῖ μὴ πάμπαν ἀπᾴδον τοῦ ταύτης ὕψους· καὶ ἄλλος αὖθις ὁμοίως· καὶ πάλιν ἕτερος ἴσως. Οὐ γὰρ ἀπεικὸς τὸν δεῖνα ἑνί τῳ μέρει ταύτην κοσμῆσαι ὑπὲρ τοὺς μείζους. Εἶδον τοιγὶ γιγνόμενον ἐπὶ τῶν ἁπάντων, καὶ τετυχηκότα θηρίου μὴ πάνυ θαυμαζόμενον ἐπὶ τοξικῇ, ἄμεινον οἶμαι καὶ Τεύκρου, καὶ Ἴδα τοῦ παλαιοῦ, καὶ εἴ τις ἄλλος ἐπὶ τοῖς τόξοις μεγίστην κέκτηται δόξαν. Ὥστε δεῖ τοὺς ἅπαντας συνεισφέρειν, ὅταν τὸ πᾶν ἐνδείξασθαι τὰ τῶν μειC ζόνων οὐκ ἐξαρκῇ· κἂν προσθῶσιν ἕκαστος τὰ παρ' ἑαυτῶν, καὶ συνενεχθῇ τὰ πάντων ὡς ἐξ ἑνός, καὶ ἓν γε δόξῃ στόμα τὰ τῶν εἰπόντων, ἔλθοιεν ἂν ἐγγὺς οἱ περὶ ἐκείνης εἰπόντες τοῦ λέγειν ὅλως ἄξιον περὶ ταυτησὶ δόξαι. Συμβαίνει δή τι δοκεῖν αἰνίγμα τὸ περὶ τήνδε γιγνόμενον. Οὐ γὰρ τῷ ἀξίως θαυμάσαι, μεγίστην ταύτην οὖσαν ἐμφαίνουσιν, ἀλλ' οἷς γε πάντες ὁμοῦ τοῦ προσήκοντος ἐπαίνου διαπίπτουσι, τὸ μηδένα δύνασθαι λόγον ἐφικέσθαι τοῦ ταύτης ὕψους δεικνύουσιν. Ὥστε σαφῶς αἰνίγματι ταῦτα ἔοικεν, εἰ δὴ τοῖς μὴ γιγνομένοις ἐπαίνοις τὸν γιγνόμενον στέφανον ἑαυτῇ περιτίθησι. Καὶ τοίνυν παραιτούμεθα τοὺς ἀκροατάς, μηδὲν δυσχερὲς ἐντεθυμῆσθαι περὶ ἡμῶν, μηδὲ προπετείας γραφὴν ἡμᾶς γράψασθαι, οἳ προὐθυμήθημεν εἰπεῖν περὶ τοσούτου πράD γματος, οἳ τὴν ἰσχὺν ἀδρανῆ κεκτημένοι. Παραιτεῖται γὰρ καλῶς τὰ προειρημένα. Καὶ ἄλλως δὲ σὺν τῷ δικαίῳ τὴν νυνὶ παραίτησιν γεγενῆσθαί μοι φαίνεται. Πρῶτον μὲν γὰρ τὸ συνελάσαν ἡμᾶς εἰς τοῦτ' ἀφεῖναι τὸ πέλαγος δεινόν τι πείθειν τολμᾷν, καὶ πάντα πόνον καὶ κίνδυνον κοῦφον ἡγεῖσθαι καὶ φορητόν· παιδὸς γὰρ φίλτρον, καὶ ἀγαθοῦ, καὶ σκῆπτρον ἔχοντος ἐν χερσίν· ἔπειτα καὶ τοῦτο σκοπεῖν δεῖ. Οὐ γὰρ δὴ κατ' ἐπίδειξιν πρὸς τουτονὶ τὸν ἆθλον ἀπεδυσάμεθα, οὐδὲ τὸ θαυμάσαι τὴν ταπεινοφροσύνην οὕτως ἁπλῶς ὁ σκοπὸς ἡμῖν ἐξαρχῆς ἦν (οὐδὲ γὰρ δεῖται τῶν παρ' ἡμῶν ἐπαίνων ἐκείνη γε)· ἀλλ' ὅπως αὕτη γένοιτο τῷ παιδὶ φίλη, καλλίστη τούτῳ φανεῖσα· καὶ ζητηθῇ, διὰ τὸ φιλεῖσθαι· καὶ εὑρεθῇ που πάντως αὐτῷ, σπουδαίως ταύτην ἰχνεύ-

Digitized by Google

οντι · καὶ ἡ κτῆσίς γε αὐτῆς χαρίεσσά τις γένηται καὶ ἡδίστη διὰ τὴν μετὰ σπουδῆς ζήτησιν · καὶ φυλαχθῇ φιλοπόνως τῶν εἰρημένων ἕνεκα πάντων. Τοῦ γὰρ ὡς ἔτυχεν εὑρεθέντος οὐδὲ πολύ τι δάκνον ἢ λυπηρὸν ἡ στέρησις καθίσταται, εἰ καὶ ταχὺ μεταστάίη, ὅ γε καὶ συχνῶς φιλεῖ γίγνεσθαι. Κἂν ᾖ τὸ κτῆμα πνευματικὸν, πτηνοῦ τινος δίκην πολλάκις ἀφίπταται τῆς ψυχῆς, καὶ οὐδὲ αἰσθάνεται ὁ μὴ σὺν πόθῳ κτησάμενος, δεινόν τι πεπονθώς. Εἴη δέ σοι τῷ φιλτάτῳ κατὰ τὰς ἐλπίδας ἐκβῆναι τὰ παρ' ἡμῶν εἰρημένα. Καὶ εἰ δόξαιμεν ἡμεῖς μήτε τὰ δέοντα εὑρηκέναι περὶ ταυτησὶ τῆς ὕλης εἰπεῖν, μήτε μὴν τὰ εὑρεθέντα καλῶς ἁρμόσαι πρὸς ἄλληλα, μήτε εἰρηκέναι ταῦτα τὸν κόσμῳ, ὥστε ἐῤῥωμένως ἔχειν ἐφ' οἷς πόλλ' ἐμόγησα. Ὁμηρικῶς εἰπεῖν · οὐ μόνον πρᾴως οἴσομεν, ἀλλὰ καὶ χάριν ἀνοίσομεν τῷ τοιαύτην δεδωκότι σοι χάριν, ὡς ὠφελεῖσθαι δύνασθαι πανταχόθεν, καὶ οἷς οὐκ ἂν ἕτερος. Ἡμῖν δ' ἐνταῦθα γενομένοις τοῦ λόγου ὄκνος τις ἐπέρχεται θαυμαστὸς, καὶ ἀποπηδᾷν παραινεῖ εἰς τὴν ἡμετέραν αὐτῶν δύναμιν ἀφορῶσι, καὶ τὸ τοῦ πράγματος μέγεθος. Ἐνταῦθα γὰρ τὸ δυσχερὲς οὕτω νικῶν ἐστι μεθ' ὑπερβολῆς, ὡς οὐδὲν ἕτερον. Λύει τε γὰρ τόνον ψυχῆς, καὶ χαυνοῖ τοὺς λογισμοὺς, καὶ τὴν διάνοιαν ἕκλυτον ἀποφαίνει. Τίς γὰρ οὕτω παῖς ἐστιν, ἢ πόῤῥω που τοῦ δέοντος ὑπὸ θράσους ἀκαθέκτου παρασυρεὶς, ὡς οἴεσθαι γλῶτταν γήϊνον εἰς ὕψος ἀναβήσεσθαι τῆς ταπεινοφροσύνης ; Τί δὲ καὶ εἰπὼν περὶ ταύτης οὕτω μεγαλοπρεποῦς οὔσης, ἐγγύς που τοῦ προσήκοντος εἰρηκέναι δόξει ; Οὐδὲν γὰρ οἶμαι σεμνὸν, ἢ μέγα, ἢ λαμπρὸν, μεθ' ὅσης δύναταί τις ὑπερβολῆς εἰπεῖν, ὃ μὴ ἂν πρὸς τοὐναντίον περιστῇ τῷ βουλομένῳ ταύτην κοσμεῖν, τὴν ἀέριον, τὴν αἰθέριον, τὴν οὐράνιον, τὴν ὑπερουράνιον, τὴν ἐν τοῖς κόλποις τοῦ Πατρὸς νῦν οἰκοῦσαν, εἴπερ ὁ Σωτὴρ ἡμῖν, ὁ θησαυρὸς ἐκείνης ἁπάσης, ὑπερουράνιος ἀληθῶς, καὶ ἐν τοῖς τοῦ Πατρός ἐστι κόλποις. Ἔστι γὰρ πᾶσα ἀνάγκη, ὅπουπερ ἂν ὁ Χριστὸς εἴη, ἐκεῖ καὶ ταύτην εἶναι διηνεκῶς. Καὶ ἣν ἀμέλει ἐν αὐτῷ ὁ ταύτης ἔρως ὑπερφυῶς καὶ πρὸ τοῦ καθ' ἡμᾶς ἐκεῖνον γενέσθαι. Εἰ μὴ γὰρ τοῦτο ἀληθὲς, οὐκ ἂν αὐτὸς ἡμῖν ἐπεδήμησε μετὰ τῆς σαρκὸς, κλίνας μὲν τοὺς οὐρανοὺς, κατὰ τὸν προφήτην, μηδαμῶς δὲ χωρισθεὶς τῶν πατρικῶν κόλπων · οὐδ' ἂν ὑπήνεγκεν ὑπὲρ ἡμῶν ἅπαντα, ἃ καὶ τοῖς δούλοις οὐ φορητά. Ὥσθ' ὅπερ εἶπον, ὑπερουράνιον ἀποδείκνυται τὸ χρῆμα τῆς ταπεινοφροσύνης. Δῆλον δὲ καὶ κατ' ἐκεῖνον τὸν τρόπον. Ὑπὲρ γὰρ τοὺς οὐρανοὺς ἀναβεβηκυῖα, τὸν ὑπερουράνιον ὡς ἡμᾶς κατήγαγε · μᾶλλον δὲ αὐτῷ συμπαραμαρτοῦσα, ὅπουπερ ἐκεῖνος, κἀκείνη. Εἴ τις μὲν οὖν σκοπήσειεν ἀκριβῶς, καὶ ἀπὸ τῶν προοιμίων αὐτῶν εὑρήσει ταύτην ἥτις ἐστὶ, καὶ εἰς οἵαν γέ τινα τὴν ὑπεροχὴν ἀναβέβηκεν· ἡμεῖς δὲ μακρότερον περὶ αὐτῆς ἤδη λέγωμεν, ἵνα καὶ διὰ πλειόνων αὐτὴν κοσμήσαιμεν. Τὸ γὰρ πλείοσι φανὲν μᾶλλον φιλεῖσθαι δίκαιον μᾶλλον καὶ φιλεῖται.

nibus indiget), sed ut filio chara fiat, visa ei pulcherrima ; et quæratur, quoniam chara sit ; et omnino inveniatur ab eo, studiose hanc indagante ; et acquisito ejus grata sit et jucundissima, propter indagationem studiosam ; et diligenter custodiatur, propter omnia nunc indicata. Nam ejus quod inventum est fortuito, non admodum mordax est aut molesta privatio, tametsi celeriter amittatur quod sane frequenter fieri solet. Ac siquidem res spiritualis fuerit, avis instar ex animo sæpius avolat ; quique non eam cum desiderio comparavit, ne sentit quidem aliquid grave sibi accidisse. Opto autem ut tibi longe mihi charissimo, ex animi voto eveniant quæ a nobis dicta sunt. Nos quidem si nec invenisse videbimur quæ de hac materia dici par erat, nec inventa recte coagmentasse, nec ea cum dignitate concinnitateque exposuisse, robur ut aliquid habeant scilicet, in quibus equidem multum laboravi, ut Homerico verbo utamur : non solum id commode feremus, verum etiam illi gratiam habebimus, qui talem tibi concessit gratiam, ut emolumentum rebus ex omnibus capere possis, et iis quidem unde nihil alii fructus accesserit. Cæterum progressis nobis ad hanc orationis partem, formido quædam admirabilis se offert, quasique resiliendum ab instituto monet, siquidem et vires nostras et rei magnitudinem spectare velimus. Quippe tanta difficultas hic nimiopere regnat quanta vix alia fuerit. Nam et animi contentionem laxat, et cogitationes frangit, et mentem languidam reddit. Quis enim adeo puer est, vel effreni quadam audacia tam procul extra decori limites abreptus, ut linguam terrenam ad humilitatis sublimitatem conscensuram putet ? quidnam de hac in medium proferens, quæ sane tam magnifica est, ex dignitate dixisse videbitur ? Nam nihil, opinor, tam augustum, vel magnum, vel splendidum abs quoquam dici potest, quod in contrarium non cadat ei qui hanc ornare velit, aeriam, ætheriam, cœlestem, ultracœ estem, in sinu Patris nunc habitantem : siquidem omnis humilitatis thesaurus, Servator ille noster, revera ultracœlestis est, et in sinu Patris commoratur. Quippe necesse est omnino ut ubicunque Christus est, ibidem et hæc perpetuo sit. Et erat dubio procul in ipso hujus amor eximius etiam priusquam nostri similis fieret. Nam si absque hoc fuisset, ad nos cum carne non venisset, inclinatis quidem cœlis, uti vates loquitur, at nullo modo patris a sinu avulsus, neque pro nobis omnia pertulisset, nec mancipiis toleranda. Quo fit ut humilitatem, ceu dictum est, rem cœlestem esse, sit demonstratum ; quod sane vel hoc etiam modo perspicuum est. Nam cœlos ipsos supergressa, ultra cœlestem illum ad nos deduxit, vel potius comitans cum, ubicunque scilicet ipse est, ibidem et ipsa. Quod si quis accurate rem spectaverit, de ipsis exordiis, quænam hæc sit, inveniet, et qualem ad eminentiam ascenderit. Nos autem prolixius de ea nunc disseramus, ut pluribus eam ornemus ; quod enim pluribus apparet merito diligendum, magis etiam diligitur.

Τὸ θεῖον τοίνυν καὶ πολυύμνητον χρῆμα ἡ ταπει-

Humilitas ergo, divinum quiddam multisque celo-

Digitized by Google

bratum laudibus, nulla non parte venusta et incomparabili cum pulchritudine circumiens, omnes ad se pertrahit, et in amorem sui pellicit prudente quadam cum insania, licet ista duo vocabula, prorsus invicem sibi contraria, coire non posse videantur ; quod equidem opinor minime mirum videri debere, nam omnino complura in hac, quæ repugnare sibi videntur, coeunt, sicut et in illo vitio quod huic adversum est, nimirum in elatione. Quippe vocabulo quidem tenus hæc sublimis est, cum nihil ea sit humilius nec magis affixum humo, quandoquidem et illorum quibus adest animos dejicit et ad infimum usque barathrum ablegat. Indicio sunt ea quæ Pharisæum illum deturbavere, perpauca sane verba, gratiarum quidem actionem erga Deum continentia, propter eam virtutem qua præditus esset, sed itidem et superbi quidpiam complectentia, quod tacite mistum (uti quis dixerit) gratiarum illis actionibus æquis et justis esset. Modestiæ vero inest quidem ipsum nomen humilitatis, qua appellatione quid esse demissius potest? sed in sublimi habitans, suscitat de terra inopem, deque stercore pauperem erigit. Atque huic orationi meæ testimonio est, quod publicano divinitus contigit. Quare vel insanissimus amor in hac ut summa cum prudentia coeat, fieri potest. Nam quæ in ea sunt omnia, quasi nova et hominum ab opinione abhorrentia videntur. Quin et hoc novum quiddam esse arbitror. Cum enim hæc in iis quibus chara est, si quidem velint, exsistere soleat, contrarium illi vitium nolentes occupat, quotquot eo laborant. Quippe tantum abest ut id nobis inesse velimus, ut etiam extrema nos affici putemus injuria, si quis superbiæ nos deditos dicat. Cæterum volenti mihi de proprietatibus hujus etiam prolixius disserere, quod istuc quoque convenire dicenti de humilitate videretur, interim alia quædam ad animum accidit cogitatio, quæ potior esse visa fuit. Quippe cogitabam, non instituendam esse de hoc vitio longiorem orationem, cum paucis officio satisfacere liceat. Etenim dum laudationem humilitatis conteximus, elationis quoque vituperationem perficimus. Nam cum hæ sibi repugnent invicem, etiam repugnantia sunt de iis quæ dicuntur. Unam enim ornare, probris est alteram afficere. Similiter et vice versa, vituperium unius certa laus est alterius.

Humilitas ergo, quam ornare decrevimus, animis exigit vitia, saneque mirabilia quædam efficit cum fidelibus adest, et malis geniis ut exitialis, sic eorumdem expultrix est. Copias illas cœlestes, quæ circa Deum sunt, in statu suo conservat : non enim in ista luce permansissent, si ab eis ipsa recessisset. Argumento est quod lapsus sit Lucifer, ob splendorem nimium animo supra dignitatis conditionem elato. Hoc ipse telo vulneratus, idem adversus nos quoque continuo torquet, contra quosvis id serviturum sibi putans : quam quidem opinionem suis ex malis haurit. Et est sane telum hoc alio quovis nocentius, nisi objecta huic modestia, vim ejus irri-

A νοφροσύνη, πολλαχόθεν οὖσα κοσμία, καὶ σὺν ἁμηχάνῳ κάλλει περιιοῦσα, πρὸς ἑαυτὴν ἑφέλκεται πάντας, καὶ ποιεῖται ἑαυτῆς ἐραστὰς μετὰ μανίας σώφρονος, εἰ καὶ τὼ ὀνόματε τούτω, ὄντε ἐναντίω καθάπαξ, δοκεῖ μὴ δύνασθαι συνελθεῖν. Καὶ τοῦτο, οἶμαι, οὐ χρὴ θαυμάζειν. Πολλὰ γὰρ πάντως ἐπ' αὐτῇ τὰ ἀντικεῖσθαι δοκοῦντα συνέρχεται · ὥσπερ καὶ τῇ πρὸς αὐτὴν ἐναντίως διακειμένῃ κακίᾳ, τὴν ἔπαρσιν λέγω. Ἥδε μὲν γὰρ ἐκ τῆς κλήσεως ὑψηλή, ἧς οὐδὲν ἂν γένοιτο ταπεινότερον, οὐδὲ χαμερπέστερον, ὅπου καὶ οἷς γε σύνεστι, καταβάλλει τὰς τούτων ψυχὰς, καὶ παραπέμπει πρὸς τὸ κατώτατον βάραθρον · καὶ δηλοῖ τὰ Φαρισαῖον ἐκεῖνον κατενεγκόντα βραχέα ῥήματα, εὐχαριστίαν μὲν ἔχοντα πρὸς Θεὸν διὰ τὴν αὐτῷ συνοῦσαν ἀρετὴν, ἔχοντα

B δέ τι καὶ ὑπερήφανον, μεμιγμένον εἴποι τις ἂν λεληθότως ταῖς γιγνομέναις εὐχαριστίαις · τῇ δὲ μετριότητι πρόσεστι μὲν τὸ τῆς ταπεινώσεως ὄνομα, καὶ ταυτησὶ τῆς κλήσεως τί καὶ ἂν γένοιτο κατωτέρω ; ἀλλ' ὑψοῦ τὴν οἴκησιν κεκτημένη, ἐγείρει μὲν ἀπὸ γῆς τὸν πένητα, ἀπὸ δὲ κοπρίας ἀνίστησι τὸν πτωχόν. Καὶ μαρτυρεῖ μοι τῷ λόγῳ τὸ παρὰ Θεοῦ πρὸς τὸν τελώνην γεγενημένον. Ὥστε καὶ τὸν μανικώτατον ἔρωτα μετὰ σωφροσύνης ἀκροτάτης ἐπὶ ταύτης συνελθεῖν οὐκ ἀδύνατον. Δοκεῖ γὰρ εἶναι τὰ αὐτῆς ὡσπερεὶ παράδοξα πάντα. Καὶ μὴν καὶ τοῦτό γε καινὸν οἶμαι. Ταύτης γὰρ ἐπιδημούσης τοῖς φίλοις, ἂν ἐθέλωσιν, ἡ ἐξ ἐναντίας κακία μὴ βουλομένοις τοῖς ταύτην ἔχουσιν ἐπεισέρχεται. Τοσοῦτον γὰρ ἀπέχομεν ταύτην ἐθέλειν ἡμῖν παρεῖ-

C ναι, ὅσον καὶ τὰ ἔσχατα προπηλακίζεσθαι νομίζομεν, εἰ ὑπερηφανίᾳ κεκρατημένους ἡμᾶς τις εἴποι. Βουλομένῳ δέ μοι μακρότερον λέγειν καὶ περὶ τῶν ταύτης ἰδιωμάτων (ἐδόκει γὰρ καὶ τοῦτο προσήκειν τῷ περὶ ταπεινοφροσύνης λέγοντι) ἐπῆλθεν ἕτερος λογισμὸς ἐν τῷ μεταξὺ, καὶ ἔδοξεν ἐπικρατέστερος εἶναι. Ὁ δὲ λογισμὸς μὴ δεῖν ἐπεκτείνεσθαι περὶ ἐκείνης λέγοντας, παρὸν συνεσταλμένως εἰπόντας, τὸ δέον ἀποπληρῶσαι. Δι' ὧν γὰρ δήπου τὸν ὑπὲρ τῆς ταπεινοφροσύνης ἐξυφαίνομεν ἔπαινον, καὶ τὸν κατὰ τῆς ἐπάρσεως ἐξεργαζόμεθα ψόγον. Ἐπειδὴ γὰρ αὗται ἀντίκεινται, καὶ τὰ περὶ αὐτῶν λεγόμενα δηλονότι. Τὸ γὰρ τὴν ἑτέραν κοσμῆσαι καταισχῦναι τὴν ἑτέραν ἐστίν. Ὡσαύτως δὲ καὶ τὸ ἔμπαλιν. Ὁ

D γὰρ τῆς ἑτέρας ψόγος τῇ ἑτέρᾳ σαφὴς ἔπαινος γίνεται.

Ἡ τοίνυν ἡμῖν προκειμένη κοσμεῖσθαι τὰ μὲν πάθη τῶν ψυχῶν ἐξελαύνει, θαυματουργεῖ δὲ κομιδῇ πιστοῖς ἀνδράσι συνοῦσα · καὶ γίνεται τοῖς δαίμοσιν ὀλέθριός τις καὶ ἀποτρόπαιος. Τὰς περὶ Θεὸν δυνάμεις ἐν τῷ καθεστηκότι τηρεῖ. Οὐ γὰρ ἂν διέμενον ἐν τῷ φωτισμῷ, αὐτῆς ἐκείνων διισταμένης. Καὶ δείκνυσι τὸ πεπτωκέναι τὸν ἑωσφόρον ἀπὸ τῆς ἄγαν λαμπρότητος, ὑπὲρ τὸ σχῆμα φρονήσαντα. Τούτῳ τῷ βέλει τρωθεὶς αὐτὸς, καὶ καθ' ἡμῶν ἀφίησιν αὐτὸ συνεχῶς, νομίζων ἔσεσθαι οἱ κατὰ παντὸς, ἐκ τῶν ἑαυτοῦ κακῶν τὴν δόξαν ταύτης λαμβάνων. Καὶ μέντοι γε καὶ βλάπτον ἐστὶν ὡς οὐδὲν ἕτερον, ἐὰν μὴ τὸ μέτριον προβληθὲν

Digitized by Google

ἄπρακτον αὐτὸ δείξῃ. Ὥστε ἡ μὲν ἔπαρσις καὶ τοὺς ἀγγέλους ἀπόλλυσι· τὸ δὲ ταύτης ἐναντίον τὸ μέτριον ἀναγκαίως τἀναντία διαπράξεται, καὶ ἐπανασώσει τοὺς ἀνθρώπους τῷ πλάσαντι, ὧν τοὺς προγόνους ἀπώλεσεν ἡ ἐξεναντίας τῇ ταπεινοφροσύνῃ κακία. Ἰσοθεΐαν γὰρ φαντασθέντες, ἐκπίπτουσι μὲν ἐκεῖνοι τοῦ παραδείσου καὶ τοῦ Θεοῦ, τὸ δέ γε τούτοις συμβὰν ἀκολούθως καὶ τοῖς ἐξ αὐτῶν ἐπισυμβαίνει παισίν. Ἀλλ' ἐπὶ νύσσαν τὸν πῶλον. Ἡ τοίνυν ταπεινοφροσύνη καὶ τῆς Αἴαντος ἀσπίδος ἀμείνων προβεβλημένη. Ἦν μὲν γὰρ κἀκείνη τοιαύτη, βύρσαις ἑπτὰ κατεσκευασμένη, οἷα τὰ τῶν πολεμίων βέλη μηδὲν ὄντα δεῖξαι. Οὐ μὴν κἀκεῖνο παρεῖχε θαρρεῖν, ὡς ἄρ' οὐδὲν ἔσται μηχάνημα, τὸ δυνησόμενόν ποτε ταύτην βλάψαι. Ἡ δὲ ταπεινοφροσύνη, μονοειδής τις οὖσα καὶ ἁπλῇ τῇ ψυχῇ δύναμις, εἴτ' οὖν ἕξις, διασώζει τοὺς αὐτὴν κεκτημένους, ἀφ' ὅσων ἂν φοβερῶν ἐνθυμηθῆναι οἷόν τε. Οὐ μόνον δὲ τοῖς εἰς αὐτήν γε τεθαρρηκόσι πάντ' ἂν γένοιτο τὰ προειρημένα, ἀλλὰ καὶ πάντες ἑξῆς οἱ καρποί, οὓς οἱ τῆς ἀρετῆς φέρουσι πόνοι, εἰ σὺν αὐτῇ καὶ καλοί, ἄνευ δὲ ταύτης οὐκέτι· ὅτε καὶ λυμήνασθαι δύνανται τοῖς μὴ μετὰ τῆς πρεπούσης μετριοφροσύνης αὐτοὺς τρυγῶσιν. Οὐ μὴν ἀλλ' ἐστὶ καὶ μοχλὸς αὕτη, παντάπασιν ἀνεπιχείρητος κλέπταις. Τοὺς δ' ἐπιβουλεύοντας πάντα τρόπον ἀναγκάζει σωφρονεῖν καὶ μὴ βουλομένους, ἀπόγνωσιν αὐτοῖς ἐμποιοῦσα. Ἅρπαξί τε καὶ λησταῖς, καὶ πᾶσι τοῖς τοιούτοις ἀναιδεστάτοις, οὐδὲ πειρᾶσθαι δίδωσιν ἀφελέσθαι τὸ μετὰ μετριοφροσύνης τινὶ κτηθέν. Λῆρον ἄντικρυς σαφῆ καὶ γέλωτα ἀποφαίνει πᾶσαν μηχανὴν κατ' αὐτῆς εὑρημένην τὸν πάντα χρόνον. Σήμαντρον μὲν ἀκριβές ἐστι, σφραγὶς δὲ πάνυ θαυμαστή, ἐγκεκολαμμένη καλῶς ἐς βάθος. Ὅλως δὲ τῶν εἰρημένων ἁπάντων διασώζουσα τύπον, ἀσφαλίζεται τοὺς θησαυροὺς τοὺς ἐξ ἀγαθῶν αὐλλεγέντας ἔργων, ἀποσοβοῦσα τοὺς κακουργεῖν ἔργον ἔχοντας ἅπασι τρόποις. Καὶ μὴν κἀκείνως ἄν τις ἔχοι θαυμάσαι. Ἔστι γὰρ οὐ μόνον τούτων, οἷς ἐξασφαλίσαιτ' ἄν τις αὐτὸν καὶ τὰ ἑαυτοῦ πάντα, εἰκών τις μάλα ἐμφερεστάτη, ἀλλὰ δὴ καὶ τῶν ἀνθρώπων ἐκείνων, οἳ περὶ τοὺς τυραννεύοντας ἵστανται καταπεφραγμένοι, ἅπαν ὅπλον ἔχοντες ἐν χεροῖν, ὡς ἂν γενναίως ἀμύνεσθαι δύναιντο, εἴ τινές ποτε κατ' αὐτῶν ἔλθοιεν. Καὶ ἤδε γὰρ τοῖς δαίμοσιν, ἐπειδὰν ἐπέλθωσι καθ' ἡμῶν, ἀντεπερχομένη, οὐκ ἐᾷ τούτους λῃσασθαι τὰ ἐξ ἀρετῆς ἡμῖν περιγενόμενα κέρδη. Ἦν καλῶς εὑρεθῇ ταυτὶ συμπεφορημένα ἐν ταῖς καλαῖς ἀποθήκαις τῆς μετριότητος, λῆρος αἱ ἐκείνων προσβολαὶ καὶ μέθοδοι. Ἀπέκρυψε μὲν ὑπασπιστὰς ἡ ταπεινοφροσύνη, τοὺς ἀκριβῶς τὴν τάξιν διατηρήσαντας, ἐν καιροῖς οὐ συγχωροῦσιν ἀτρέμας ἵστασθαι· ὑπερηκόντισε δὲ δορυφόρους, οἵστισι φιλοτιμία παρενεγκεῖν θερμότητί τε ψυχῆς, καὶ συχνῇ πείρᾳ πολέμου, ὁρμὴν λεόντων καὶ δύναμιν. Ἀφῆκέ τε κατόπιν τὸ τάγμα, οἷς γε καθεύδειν οὐκ ἔξεσιν, ἔχουσι σχῆμα φυλάκων. Καὶ εἰ δεῖ τὸ πᾶν συνελόντα εἰπεῖν, ὅλῳ τε καὶ τῷ παντὶ ὑπερήλασεν, ἅττα ἂν ὑπερμαχήσειεν οὐτινοσοῦν πράγματος,

A tam reddat. Quamobrem elatio ipsos etiam angelos perdit, at ei contraria modestia necessario diversum efficiet, hominesque salvos opifici suo restituet, quorum primos parentes oppositum humilitati vitium perdidit: quippe cum apud animos suos æqualitatem cum Deo quamdam imaginati fuissent, ipsi quidem excidere tam paradiso quam Deo. Quod autem eis accidit, idem consimili modo posteris etiam ipsorum usuvenit. Verum ad metam equus agitor. Humilitas ergo, telis istis objecta, vel ipsum Ajacis clypeum superat. Nam et ille de boum tergoribus septem ita confectus erat, ut hostium tela nullius esse momenti declararet. Neque tamen eam præbere fiduciam poterat, ut quis sibi polliceretur, B se nullo unquam commento lædi posse. Humilitas vero, cum uniformis sit ac simplex animi sive facultas, sive habitus, se præditos a quibusvis formidabilibus, quæcunque mentis cogitatione concipi possunt, servat. Neque tantum hac fretis hactenus indicata contingunt omnia, sed omnes omnino fructus, quos exantlati virtutis labores ferunt, si quidem conjuncti cum hac fuerint, boni erunt: sin autem, non amplius boni; quandoquidem et noxii possunt illis esse, quotquot eos non conveniente cum modestia decerpunt. Eadem et repagulum quoddam est quod omnino fures attentare nequeunt. Insidiatores vero modis omnibus cogit, ut etiam nolentes modesti sint, dum in eis desperationem excitat. Raptoribus, latronibus, et uniC versis talibus, longe impudentissimis, ne id quidem concedit, ut auferre tentent, quod cum moderatione ab aliquo est acquisitum. Ad meras plane nugas, merumque risum redigit, quidquid adversus eam commenti quovis tempore excogitatur. Signaculum accuratum est, sigillum admirabile, recte atque alte incisum. Denique formam indicatorum omnium retinens atque conservans, thesauros ex bonis collectos operibus in tuto collocat; eos abigens, qui modis omnibus hoc unum agunt, ut stellionum more damnum dent. Quin etiam hac ratione quis illam admiretur. Non enim horum duntaxat, quibus securitati suæ, rerumque suarum omnium, prospicere quis possit, aptissima quædam imago est: sed illorum etiam hominum, qui muniti rerum D potientes circumstant, nullum non genus armorum manibus tenentes, ut fortiter vim propulsare queant, si qui hos invaserint. Nam hæc quoque malis geniis nos adorientibus occurrens, non sinit, ut illi nobis eripiant ea lucra, quæ ex virtute consecuti sumus. Quippe si hæc recte congesta fuerint in egregias illas apothecas et horrea modestiæ, nil nisi nugæ sunt ipsorum aggressiones et artes. Obscurat vel illos protectores humilitas, qui locum suum accurate tuentur, et illis quidem temporibus, quibus intrepide stare non permittitur: satellites superat, qui animi calore bellandique usu assiduo vincere leonum impetum atque vires student: legionarios a tergo relinquit, quibus dormire non licet, excubitorum officio fungentibus. Si denique tota res explicanda

Digitized by Google

brevibus est, in universum præstat omnibus, quæcunque propugnare quamcunque rem possunt, valde gratam acceptamque possidentibus, et cujus adipiscendæ causa cæteri omnes strenue pugnant. Quin etiam si fieri posset ut animus purpuram sumeret, atque hoc modo adversus vitia regnum obtineret : non hoc aliter futurum arbitror, quam ipsam humilitatem induendo. Quamobrem dicere fas est de hac disserenti, esse dubio procul longe meliorem illis, quæ ad securitatem hominum inventa sunt, et eamdem eximium in modum eos ornare, quibus adest ; omneque virtutum agmen proprietate sua, vique nativa, singulari cum majestate ac magnificentia cohonestare. Itaque non abs re virtus hæc, quam prædicamus, indicatas hactenus appellationes omnes recipit. Imo si fieri posset, ut appellationes quæcunque honestæ, quæcunque bonæ, quæcunque gratæ, excogitarentur, et modestiæ tribuerentur : fortasse quidem is, qui hoc faceret, rem non levem peregerit; at humilitati, quæ Salvatoris ipsius est quasi collactanea, minime magnum aliquid contulerit; non enim quod alicui magnum, idem et universis magnum. Usque adeo vincit omnia ipsius sublimitas et magnitudo, quæcunque vel securitatis, vel pulchritudinis, vel honestatis significationem habentia vocabula vel sunt, vel erunt, vel excogitari possunt. Quonam igitur hanc pretio quis redimens, non egregium quæstum fecerit? aut quam virtutem aliam quis ista dicere præstantiorem possit? Quod si quis etiam cunctis hanc anteponere velit, is mea sane sententia jure non reprehendetur. Ego quidem hanc virtutem ut cæteris digniorem, ita dilectioni parem arbitror. Nec abs re dixerit aliquis, has adeo cognatas esse, ut propemodum idem quiddam iis esse videri possint, quorum mens perspicacius res sublimiores penetrat. Quippe dilectio principium est ipsius virtutum circuli : modestia vero finis. Circulorum vero principia et fines idem sunt. Quin etiam cum principium sint, et finis, ac propterea de relatorum ad aliquid numero : propter hanc quoque rationem omnino separari non potuerunt, atque ubi dilectio, ibidem erit et modestia ; similiterque vice versa. Quapropter hoc quoque perspicuum. Nam ubi non adest una, ibi et alteram abesse necessario sequitur. Ideoque nequit horum alterutrum vel esse, vel cogitatione comprehendi, quidquid sane fiat, si alterutrum vel non sit, vel mente non percipiatur. Quare si absit humilitas, etiam abest dilectio. Si vero par istud absit, ne quidem universum corpus virtutum aquirere quis unquam potest. Nam si neque principium, neque finis exsistant, etiam intermedia cuncta fortassis hoc habere possunt, ut esse sibi videantur; non autem ut revera sint. Consequitur ergo, dilectionem abesse, si modestia non adsit ; eaque conjunctione si careamus, nullam homini virtutem reliquam esse : quæ sane si absint, nec virtutis esse particeps, quod secundum virtutem factum videatur.

Et hæc quidem in hunc modum esse comparata, de iis constat quæ dicta sunt. Scire vero debemus,

A σφόδρα μὲν περιποθήτου τοῖς κεκτημένοις, περιμαχήτου δὲ κομιδῇ πᾶσιν ἄλλοις. Οὐ μὴν ἀλλ' εἴγε ἔνεστι ψυχῇ περιβεβλῆσθαι πορφύραν, καὶ ταύτῃ βασιλεῦσαι κατὰ παθῶν, μὴ ἂν ἑτέρως οἶμαι τοῦτο γενέσθαι, ἢ τὴν ταπεινοφροσύνην αὐτὴν ἐνδύσασθαι. Ὥστε ἔξεστιν εἰπεῖν, περὶ ταύτης διαλεγόμενον, ὡς ἔστι μὲν ἀτεχνῶς πολύ τι κρείσσων ἐκείνων ἥδε τῶν εἰς ἀσφάλειαν ἐξευρημένων ἀνθρώποις, ἔστι δὲ οἷς ἂν προσῇ ὑπερφυῶς τούτους κοσμοῦσα, καὶ τὸ τῶν ἀρετῶν ἅπαν σύνταγμα μετὰ πολλῆς σεμνότητος καὶ μεγαλοπρεπείας φαιδρύνουσα τῷ ἑαυτῆς ἰδιώματι καὶ τῷ πεφυκότι. Εἰκότως ἂν οὖν δέξαιτο ἡ νῦν ἡμῖν ὑμνουμένη τὰς περὶ αὐτῆς εἰρημένας προσηγορίας ἁπάσας. Οὐ μὴν ἀλλ' εἰ κἀκείνα δυνατὸν ἦν, ὅσας σεμνάς, ὅσας ἀγαθάς, ὅσας προσφιλεῖς, ἐξευρηκέναι

B καὶ προσδιδόναι τῇ μετριότητι, ἴσως μὲν ὁ τοῦτο ποιήσας κατώρθωκέ τι τῶν οὐ ῥᾳδίων · τῇ δὲ τῷ Σωτῆρι συντρόφῳ, ἵν' ἀντὶ πάντων τοῦτ' εἴποιμι, οὐδὲν προσήνεγκε μέγα. Οὐ γὰρ δὴ τὸ μέγα τινὶ μέγα ἂν εἴη καὶ πᾶσιν. Οὕτως ἅπαντα νικᾷ τὸ' κείνης ὕψος καὶ μέγεθος, ὅσα πρὸς ἀσφάλειαν, καὶ φαιδρότητα, καὶ καλοκαγαθίαν προσρήματα ἥ ἐστιν, ἢ γενήσεται, ἢ νοηθῆναι οἷά τε. Τίνος οὖν ἂν τις ταύτην ὠνησάμενος, μὴ πάνυ καλῶς ἐμπορεύσαιτο ; Ἢ πλείαν ἄλλην τῶν ἀρετῶν ἐρεῖ τις ταύτης ἀμείνω ; Εἰ δὲ καὶ πασῶν τινι φίλον ταύτην προθεῖναι, ὁ δὴ τοιοῦτος οὐκ ἂν δικαίως οἶμαι δέξαιτο μέμψιν. Ἐγὼ δὲ ταύτην τὴν ἀρετὴν μείζω μὲν τῶν ἄλλων ὑπολαμβάνω, ἀγάπῃ δὲ ὁμότιμον. Εἴποι δ' ἄν τις ταύτας οὐκ ἀπεικότως οὕτω πως ἔχειν γνησίως, ὡς μικροῦ ταυτὸν εἶναι

C δόξαι, οἷς γε θεωρητικώτερον ὁ νοῦς ἐμβατεύει τοῖς τῶν πραγμάτων ὑψηλοτέροις. Ἀρχὴ γὰρ δήπουθεν ἡ ἀγάπη τοῦ τῶν ἀρετῶν ἐστι κύκλου · ἡ δὲ μετριότης τὸ τέλος. Καὶ τῶν κύκλων αἱ ἀρχαὶ, καὶ τὰ τέλη, ταυτόν. Οὐ μὴν ἀλλ' ἐπειδήπερ ἀρχὴ καὶ τέλος, καὶ διὰ τοῦτο τῶν πρός τι, εἶεν ἂν καὶ διὰ τοῦτον τὸν λόγον παντελῶς ἀχώριστα, καὶ ἵνα ἡ ἀγάπη, καὶ τὸ μέτριον · ὡς δὲ καὶ τὸ ἀνάπαλιν · ὥστε κἀκεῖνο σαφές. Ἵνα γὰρ οὐ πάρεστιν ἡ ἑτέρα, καὶ τὴν ἑτέραν ἀπεῖναι τῶν ἀναγκαίων. Οὐκ ἔστι τοίνυν θάτερον εἶναι, ἢ νοηθῆναι, κἂν ὅ τι γένοιτο, θατέρου γε μὴ

D ὄντος ἢ νοουμένου. Ἂν οὖν ἀπῇ τὸ ταπεινὸν, καὶ τὸ τῆς ἀγάπης ἄπεστι χρῆμα. Ταύτης δὲ τῆς ξυνωρίδος ἀπούσης, οὐδ' ἂν οὐδὲ τῶν ἀρετῶν ἅπαν σύστημα προσγένοιτό ποτέ τινι τῶν ἀνθρώπων. Τῆς γὰρ ἀρχῆς καὶ τοῦ τέλους μηδαμῶς ὄντων, καὶ τὰ διὰ μέσου πάντα τό γε δοκεῖν μεθ' ἑαυτῶν ἴσως ἔχουσιν, οὐ τὸ ἀληθῶς εἶναι. Συμβαίνει δὴ τὴν μὲν ἀγάπην ἀπεῖναι, ἂν μὴ παρῇ καὶ τὸ μέτριον · ταύτης δὲ τῆς συζυγίας ἡμῖν οὐκ οὔσης, μηδεμίαν ἀρετὴν ἀνθρώπῳ προσεῖναι · καὶ τῇ τούτων αὖ ἀπουσίᾳ μηδὲ ἀρετῆς μετέχειν τό γε δοκοῦν πεπρᾶχθαι κατ' ἀρετήν.

Ὅτι μὲν οὖν ταῦτα τῇδε, δῆλον ἤδη γέγονεν ἐκ τῶν εἰρημένων · δεῖ δὲ ἡμᾶς τὴν μακαρίαν ἀγάπην

Digitized by Google

κρηπῖδα καὶ θεμέλιον ἀσφαλὲς εἶδέναι, ἐρηρεισμένην ἐπὶ τῆς πέτρας, αὐτοῦ Χριστοῦ· ῥίζαν τε τῶν ἀγαθῶν ἑξῆς ἁπάντων, διικνουμένην ἐς βάθος μέγα, καὶ ὕψος ὄντως ἀνεξερεύνητον, εἴπερ τὰ μὲν τοῦ Θεοῦ τοιαῦτα· ἡ δὲ τοσοῦτον ἐν τῷ Θεῷ, ὅσον καὶ αὐτοαγάπην ἐκεῖνον λέγεσθαι. Καὶ εἰ δεῖ τὸ πᾶν εἰπεῖν, σειρᾷ μὲν ἔοικεν ἄντικρυς τὸ τῶν ἀρετῶν ἄθροισμα, καὶ ἀλλήλων ἔχονται πᾶσαι, ταυτησὶ δὲ μόνης ἐξήρτηνται τῆς ἀγάπης. Ὥστε πάντα ἂν ἁρμόσειε τὰ μέγιστα, καὶ βέλτιστα, καὶ κάλλιστα, καὶ τίμια, καὶ σεμνά, εἴ τις ἀγείρας καὶ συνελὼν, αὐτῇ γε ταῦτα προσοίσει. Οὐδὲν γὰρ οἶμαι, οὐδὲν τῶν ἀγαθῶν ἑξῆς πάντων, ὅπερ ἂν ἀπᾴδον εἴη τῶν ἐκείνῃ γε προσόντων ἰδιωμάτων· ὥσπερ οὐδ' ἔστι τῶν ἁπάντων, εἴγε τῆς μερίδος τῶν ἀγαθῶν ἐστιν, ὅπερ μὴ πάνυ συμβήσεται τῇ τῆς ταπεινοφροσύνης ἀκρότητι. Οὔσης οὖν ἐκείνης ὃ τιπερ κεφάλαιον τῶν καλῶν, οὐδέν που ταπεινότερον ὅμως τὸ τῆς μετριότητος μέγεθος τοῦ τῆς ἀγάπης ὕψους καὶ ἀξιώματος. Καὶ γάρ ἐστι καὶ καθ' αὑτὴν ἀγαθὸν ἡ ταπεινοφροσύνη, καὶ θησαυρὸς ἀποδέδεικται τῶν συνειλεγμένων ἡμῖν καλῶν ἐκ τοῦ τῆς ἀγάπης εὐθέων πτόρθων. Ὥστε ἐξ ἀμφοῖν ἀρίστη. Εἴτε γὰρ ὡς τέλος αὐτὴν θεωρήσαιμεν, οὐδὲν αὐτῆς ἄμεινον· εἴθ' ὡς πρὸς τὸ τέλος αὐτῇ χρησαίμεθα, οὐκ ἔστιν ἀποτυχεῖν τοῦ σκοποῦ. Ἀγαθὴ γάρ ἐστι καθ' αὑτὴν, ὡς εἰρηνική τε καὶ πραοτάτη, ὃ δὴ Θεοῦ ἐστιν ἴδιον. Ἀγαθὴ δὲ αὖ καὶ ἄλλων ἕνεκα πλείστων· καὶ διὰ τοῦτο θησαυρὸς πάντων ἑξῆς τῶν καλῶν καὶ εἴρηται, καὶ ἔστιν· ἐπειδὴ ταύτης χωρὶς παντελῶς ἀδύνατον ἢ διαρκέσαι χρηστόν τινα ἄνθρωπον ὄντα, ἢ καὶ τὴν ἀρχὴν γεγονέναι. Ἴσμεν δὲ αὐτὴν καὶ τοῦτο χορηγοῦσαν ἡμῖν τὸ καλόν. Πρὸς γὰρ τὸν εἰρηνικώτατον καὶ πραότατον κηδεμόνα τε καὶ δεσπότην ἡμᾶς τὴν ταχίστην ἀναβιβάζει. Ταύτην γὰρ ἐκεῖνος ὑπερφυῶς διανύσας, ἐξ ἀγάπης ἀμηχάνου κινηθείς, ἡμᾶς ἐκ τοῦ βαράθρου τῆς γῆς ἀνήγαγεν εἰς τὸν οὐρανὸν, ἑπομένους αὐτῷ κατ' ἴχνος. Εἰ γὰρ τὴν αὐτὴν ἐκείνῳ χωρήσει τις ἀσφαλῶς, πῶς οὐ ῥᾳδίως αὐτὸν καταλήψεται; οὗ τί μακαριώτερον γένοιτ' ἄν; καὶ διὰ ταῦτα, ἐὰν παραδῶ τὰς σάρκας μου, ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω; οὐδὲν ὠφελοῦμαι. Καὶ γινώσκειν παρὰ τοῦ Σωτῆρός δεδίδαγμαι, τοῦ ἔργοις με τὸ μέτριον μᾶλλον ἢ λόγοις διδάξαντος, δοῦλον ἀχρεῖον ἐμαυτὸν, ὅταν εὑρεθῶ πληρῶν καὶ πάντα τὰ ἐκείνου προστάγματα. Ὅτι μὲν οὖν οὕτως ἔχει τὰ τῆς ἀγάπης καὶ μετριότητος, δῆλον.

Εἰ δὲ δὴ καὶ τοῦτο χρεών ἐστι, συνελόντας ἡμᾶς εἰπεῖν ὥσπερεὶ κεφαλαιωδέστερον, ἑκατέρας τοὔργον καὶ τὸ ἴδιον ἔστι μὲν ἡ ἀγάπη, μήτηρ τε ἅμα, καὶ τροφὸς, καὶ ῥίζα, καὶ κρηπὶς ἄντικρυς τῷ τῶν ἀρετῶν συστήματι, ἀρχή τε τοῖς ὁδεύουσι πρὸς ἀρετὴν ἅπασι, καὶ πλάστης, καὶ ἀλείπτης, ὡς ἄν τις εἴποι, καὶ ἁπαξαπλῶς πᾶν τοιοῦτον, οὗ χωρὶς οὐκ ἔνεστι γενέσθαι τι τῶν χρηστῶν ταῖς ἡμετέραις ψυχαῖς· ἔστι δὲ ἡ ταπεινοφροσύνη οἱονεί τις ὁδὸς, καὶ πέρας, καὶ ὅ τιπερ ἂν γένοιτο ἢ νοοῖτο ἔρεισμα καὶ φυλα-

A beatam illam dilectionem esse crepidinem et fundamentum certum, innixum petræ, nimirum ipsi Christo, radicemque bonorum omnium, pertingentem ad magnam profunditatem, et altitudinem reapse non perscrutabilem, siquidem quæ Dei sunt talia sunt; et ipsa usque adeo in Deo est, ut is ipsissima quoque dilectio nuncupetur. Ad summam, catenæ consimilis est virtutum cœtus; et ut omnes invicem cohærent, sic a sola dilectione pendent. Quamobrem huic omnia congruerint maxima, et optima, et pulcherrima, et veneranda, et augusta; si quis ea collecta, congestaque, huic attribuerit. Nullum enim, opinor, nullum omnino bonum est, quod iis a proprietatibus diserepet, quæ huic adsunt: sicuti nec omnino quidquam est, modo bonorum a B societate non excluditur, quod non insigniter humilitatis eminentiæ supremæ conveniat. Cum igitur ipsa caput et vertex quasi quidam bonorum sit, non tamen humilior est modestiæ magnitudo, quam dilectionis eminentia sit atque dignitas. Est enim et per se bonum quoddam humilitas, et ostensum est, hanc esse thesaurum bonorum a nobis de rectis dilectionis ramis collectorum. Quamobrem utraque ratione præstantissima est. Nam sive illam ut finem consideraverimus, nihil ea melius: sive tanquam ad finem ea fuerimus usi, aberrare a scopo non possumus. Est enim et per se bona, tanquam pacifica et mitissima, quod sane Deo proprium est: et bona rursus, alias plurimas ob causas; ideoque thesau- C rus bonorum omnium et appellatur, et est: quandoquidem absque hac fieri nulla ratione potest, ut homo vel bonus esse perseveret, vel bonus omnino fiat. Eamdem scimus hoc quoque boni nobis suppeditare. Nam ad summe pacificum mitissimumque curatorem ac dominum nostrum quam celerrime nos sustulit. Hujus enim ille cursum cum mirifice complesset, amore motus immenso, nos e terræ barathro subduxit ad cœlum, vestigiis ejus inhærentes. Nam si quis eodem cum illo secure pergat itinere, quo pacto non ad eum facile perveniet? quo sane quid accidere beatius homini possit? ideoque si tradam carnes meas, ut comburar, dilectionem vero non habeam; nihil inde consequor emolumenti. Et edoctus a Salvatore sum, qui modestiam factis D potius quam verbis me docuit, ut meipsum agnoscam inutilem servum, etiam cum mandata ipsius omnia me implesse constiterit. Enimvero hanc tum dilectionis, tum modestiæ rationem esse, manifesto paret.

Quod si autem a nobis et hoc requiritur, ut breviter quasique summatim utriusque tam officium, quam proprietatem exponamus; dilectio quidem mater est pariter, et nutrix, et radix, et crepido totius virtutum corporis, atque principium pergentibus ad virtutem universis, et formatrix, et unctrix, uti quis dixerit, et simpliciter nihil non ejusmodi, absque quo boni quidpiam nostris in animis exsistere nequit. Humilitas vero quasi via quædam est, et finis et quodcunque vel esse, vel cogitari possit

Digitized by Google

fulcrum, accuratumque præsidium bonorum omnium, virtutumque terminus, et requies, et portus salutaris, et locus tutus, ultra quem progredi longius minime fas est, sed victores hic firmiter insistentes, spe reconditorum sibi præmiorum semet oblectent. Quin etiam hac ratione velut in æquilibrio par istud est. Quemadmodum enim si dilectio non adsit, nihil boni fieri potest : ita si absit humilitas, nulla dilectionis bona nobis salva manebunt, sed confestim quasi dilapsa peribunt, instar hibernorum florum, quorum splendor diu non durat, et fragrantia exilis est, et fructus intempestivus, si maxime proveniat ac maturescat, perexiguus est ac ingratus, neque durare potest. Hæc, ut equidem opinor, proprietatibus harum congruerint. Quid autem eis commune sit, cognoscere si cupias : id mea sane sententia hoc ipsum imprimis fuerit.

Esse mihi videntur alæ illius egregiæ columbæ, nimirum Spiritus, quas et Davides optavit, ut avolaret ac requiesceret. Sed reprehendent fortasse nos quidam, ut qui metum dilectioni non præposuerimus. Aiunt enim divini doctores, pios viros incipientes ad virtutem tendere, a metu supplicii, tanquam a carceribus, progredi; deinde per alias pergendo cogitationes, ad amorem quemdam admirabilem reconditarum fruitionum pervenire, atque hunc in modum deposito metu, amorem erga Deum apprehendere. Quippe nequeunt ambo pariter adesse, sed ex eis alterum loco cedere necesse est, siquidem alterum adesse debeat. Hæc igitur illi, de hisce duobus disserentes, adeoque longe plura pulchrioraque tradunt. Ego vero reprehensuros illos orationem fortasse nostram, verbis hujusmodi compellavero. Heus tu, bone vir, hoc etiam considerandum venit. Mihi propositum erat ab initio, de virtutibus, et earum inter se cognatione quiddam quasi perfunctorie disserere, non de affectibus loqui. Et quia metum scio non laudabilem affectum esse per se, licet ad optima quæque cooperetur, si secundum Deum sit ; minime referendum inter virtutes censui, quapropter non abs re silentio præteritus est. Itaque Deo te juvante in suscipiendis pro virtute certaminibus (namillum venire tecum in partem laborum necesse est, si quid egregie sis præstaturus) cæteris præditus virtutibus, et exorsus a dilectione mordicus inhæreto modestiæ; quæ quidem hoc tibi tribuet, ut vere bonus factus, in bonis perseveres, talisque sis ac videaris, qui capite suo recipere dignus sit et servare coronas bonis viris repositas, et quidem expertes interitus ; quarum materiem laudatissima dilectio suppeditat, et quas cæteræ virtutes contexunt, modestiaque capitibus illis, quibus conveniunt, imponit. Quo fit, ut solam inter virtutes omnes modestiam demonstratum sit eam esse, quæ coronas nos redimit. Modestiam vero appello, in sublime quidem attollentia facere, sed interim valde modeste

κτήριον ἀκριβὲς πάντων ἐξῆς τῶν καλῶν, λῆξίς τε τῶν ἀρετῶν, καὶ ἀνάπαυσις, καὶ σωτήριος λιμὴν, καὶ χωρίον ἀσφαλὲς, οὗ γε δεῖ μὴ περαιτέρω χωρεῖν, ἀλλ' ἑδραίους ἱσταμένους ἐνταῦθα τοὺς ἀριστέας εὐφραίνεσθαι ταῖς ἐλπίσι τῶν ἀποκειμένων αὐτοῖς γερῶν. Καὶ μὴν καὶ κατὰ τόδε ἰσόῤῥοπός ἐστιν ἡ ξυνωρὶς αὕτη. Ὡς γὰρ τῆς ἀγάπης ἀπούσης, οὐδὲν ἂν δήπου τῶν ἀγαθῶν γένοιτο, οὕτω καὶ τῆς ταπεινοφροσύνης ἀφεστηκυίας, οὐδὲν ἡμῖν παραμενεῖ τῶν τῆς ἀγάπης καλῶν, ἀλλὰ αὐτίκα οἰχήσεται καταῤῥυέντα περὶ αὐτὰ, κατὰ τὰ χειμερινὰ τῶν ἀνθέων, ὧν οὐκ εἰς μακρὸν ἡ λαμπρότης, καὶ τὸ εὐῶδες ἀδρανές· καὶ ὁ μὴ σὺν ὥρᾳ καρπὸς εἴ πού γε καὶ γένοιτο, καὶ τελεσφορήσει, ἐξίτηλός τις καὶ ἀηδὴς, καὶ διαρκεῖν μὴ δυνάμενος. Ταυτὶ μὲν οὖν ἁρμόσειεν ἂν οἶμαι ταῖς ἐκείνων ἰδιότησιν· ὃ δὲ κοινόν ἐστιν αὐτοῖς, εἴγε ζητοίης μαθεῖν, ἐκεῖνο ἂν εἴη μάλιστα πάντων, ὡς ἔμοιγε παρίσταται περὶ τῶνδε.

Δοκοῦσί μοι πτέρυγες εἶναι ἐκεῖναι τῆς καλῆς περιστερᾶς, δηλαδὴ τοῦ Πνεύματος, ὧν ὁ Δαβὶδ ἐπεθύμησεν, ὡς πετασθῆναι καὶ καταπαῦσαι. Ἀλλ' ἴσως γέ τινες ἡμῶν ἐπιλήψονται, ὡς μὴ τῆς ἀγάπης προτεθεικότων τὸν φόβον. Ἐπειδὴ φασιν οἱ θεῖοι διδάσκαλοι, ὡς οἱ εὐσεβεῖς ἄνδρες ἀρχόμενοι πρὸς ἀρετὴν ἀνάγεσθαι, ἀπὸ τοῦ τῆς κολάσεως φόβου, ὡς ἀπὸ βαλβῖδος, ὁρμῶνται. Εἶτα δι' ἄλλων ὁδεύοντες λογισμῶν, καταντῶσιν εἰς θαυμαστόν τινα ἔρωτα τῶν ἀποκειμένων ἀπολαύσεων. Καὶ ταύτῃ γε τὸν φόβον ἀποθέμενοι, τῆς πρὸς τὸν Θεὸν ἀγάπης ἐπιλαμβάνονται. Οὐ γὰρ ἔστιν ἅμφω παρεῖναι, ἀλλ' ἀναγκαῖον ὑποχωρῆσαι τὸ ἕτερον, εἰ μέλλει παραγίνεσθαι θάτερον. Ταυτὶ μὲν οὖν ἐκεῖνοι, τὰ περὶ τοῖνδε φιλοσοφοῦντες, καὶ πλείω καὶ καλλίω πολλῷ τῷ περιόντι διδάσκουσιν· ἐγὼ δ' ἂν εἴποιμι ταῦτα πρὸς τοὺς ἐπιληψομένους ἴσως τοῦ λόγου. Ἀλλ' ὦ τᾶν, σκοπεῖν κἀκεῖνο χρή. Ὁ γὰρ ἐμοὶ σκοπὸς ἐξ ἀρχῆς περὶ ἀρετῶν καὶ τῆς εἰς ἀλλήλας γνησιότητος εἰπεῖν τι, καὶ ἀφοσιώσασθαι ἦν, οὐ περὶ παθῶν λέγειν. Καὶ ἐπειδήπερ τὸν φόβον πάθος οὐκ ἐπαινετὸν οἶδα τὸ καθ' αὑτὸν, εἰ καὶ συνεργεῖ πρὸς τὰ βέλτιστα κατὰ Θεὸν γινόμενος, οὐκ ἐν τῷ χορῷ τῶν ἀρετῶν τοῦτον ἠξίωσα τάξαι. Εἰκότως οὖν σεσίγηται διὰ ταῦτα. Θεοῦ σοι τοίνυν συναιρομένου πρὸς τοὺς ὑπὲρ ἀρετῆς ἄθλους (δεῖ γὰρ ἐκεῖνον μερίτην εἶναί σοι τῶνδε τῶν πόνων, εἴ μέλλεις τι κατορθώσειν), ἔχων τὰς ἄλλας ἀρετὰς, ἐκ τῆς ἀγάπης ἀρχόμενος, ἀπρὶξ ἔχου τῆς μετριότητος, δι' ἣν ἂν σχοίης ὡς ἀληθῶς ἀγαθὸς γενόμενος ἐναπομεῖναι τοῖς ἀγαθοῖς, εἶναί τε τοιοῦτος καὶ δοκεῖν, οἷος ἂν δέξασθαι τῇ κεφαλῇ καὶ τηρῆσαι τοὺς τοῖς ἀγαθοῖς ἀνδράσιν ἀποκειμένους στεφάνους, ἀφθάρτους ὄντας· ὧν τὴν ὕλην μὲν παρέχει τὸ τῆς ἀγάπης πολυθρύλλητον χρῆμα, αἱ δὲ ἄλλαι ἀρεταὶ τούτους πλέκουσι, τὸ δέ γε μέτριον ἐπιτίθησιν αἷς ἂν ἁρμόσειε κεφαλαῖς. Ὥστε καὶ μόνη τῶν ἀρετῶν στεφοθέτης δέδεικται ἡ μετριοφροσύνη. Λέγω δὲ μετριοφροσύνην τὸ ποιεῖν μὲν τὰ ὑψοῦντα, φρονεῖν δὲ πάνυ μέτρια· καὶ μεγάλα πράττοντα, μηδαμῶς ἐπαίρεσθαι· καὶ τὴν εἰς

ὕψος πορείαν ποιούμενον, δοκεῖν ἑστάναι μετὰ τῶν κάτω· οὐ τῷ μηδὲν ἑαυτῷ συνειδέναι καλῶς ποιοῦντι (πῶς γάρ;), ἀλλὰ τῷ καλῶς εἰδέναι ὑψηλοτέρας οὔσας τὰς ἀρετὰς τῶν ἡμετέρων ἔργων. Τοῦτο γὰρ οἶμαι ταπεινοφρόνων, οὐ τὸ φαῦλα πράττοντας καὶ πολλῶν ἄξια θρήνων, κάτω που κύπτειν ἐθέλειν, καὶ μὴ τὴν ὀφρὺν ἀνασπᾷν. Τὸ γὰρ δὴ μεγάλα φρονεῖν οὕτως ἔχοντα οὐδὲ νοῦ μετέχοντός ἐστιν, οἶμαι. Ἀλλ' οὐδὲ ἐκεῖνό γε μέτριον, οὐδὲ ἀγαθόν, τὸ ποιεῖν τὸ ἀγαθὸν ἢ μηδαμῶς ἐπιστάμενον, ἢ μὴ καθαρᾷ προαιρέσει. Τὸ μὲν γὰρ πάντως ἄγνοια· τὸ δέ τις βία ποιεῖ. Τούτοιν δὲ οὐδέτερόν ἐστιν ἀγαθόν· οὐκοῦν οὐδὲ μέτριον· ἐπεὶ τὸ μέτριον ἀγαθόν.

A de se sentire; magnaque præstantem, nequaquam efferri animo : in sublime denique pergentem, cum infimis stare videri : non quod nullius operis boni nobis conscii simus, a nobis peracti (quo enim id pacto?), sed quod recte sciamus, virtutes ipsas nostris factis sublimiores esse. Hoc enim arbitror esse humilium, non ut mala designans, et multis digna lacrymis, oculos dejiciant, et supercilia non attollant. Nam eum, qui sic affectus sit, magnifice de se sentire, ne mente quidem præditi fuerit, opinor. Nec item illud vel modestum fuerit, vel B bonum, facere scilicet boni quidpiam vel non intelligentem, vel instituto animi non puro, nam alterum, ab ignoratione, alterum a vi quadam proficiscitur. Horum vero neutrum bonum est, ideoque nec modestum, quia bonum est, quod modestum.

Ἀλλ' ἐρεῖς, ὦ φίλτατε, πρὸς ἡμᾶς, δίκαιον γάρ, ὡς τὴν ταπεινοφροσύνην πολὺ θαυμάσας, ὃ δεῖ θαυμάζειν τεθαύμακας. Ὑψώσας δὲ ταύτην ὑπερφυῶς, πολὺν τὸν ταύτης ἔρωτα καὶ πρὶν ἐντετηκότα μου τῇ ψυχῇ, πολλῷ γε μᾶλλον νῦν ηὔξησας. Τοῖς γὰρ δὴ παρὰ σαυτοῦ λόγοις ἐργάσομαι (πῶς δοκεῖς;) ταύτης μανικώτατον ἐραστήν. Οὐ μήν γε διὰ ταῦτά μοι φαίνῃ τὸ δέον ἅπαν ἡμῖν ἐκπλήσας. Χρὴ γὰρ προστιθέναι τοὺς τρόπους, δι' ὧν ἂν γένοιτο σαῖς εὐχαῖς τὸν πλοῦτον τοῦτον ἡμᾶς πλουτῆσαι. Δοκεῖ γάρ μοι δυσπόριστος κομιδῇ καὶ τοῖς μετὰ σφοδροῦ τινος ἔρωτος τοῦτον θηρᾶσαι περινοστοῦσιν. Οὐ γὰρ τῷ ἐρᾷν τε καὶ ζητεῖν ἀναγκαίως ἕπεται καὶ τὸ τυγχάνειν τῶν ἐρωμένων· ἀλλὰ πολλὰ μὲν τῶν πραγμάτων οὐκ εὐχερῶς εὑρίσκεται τοῖς ζητοῦσιν· ἔνια δέ τισι παραγίνεται, μηδ' ὀντινοῦν ὑποστᾶσι πόνον. Ἐπὶ δὲ τὸν καὶ μάλισθ' ὅταν ᾖ τῶν καλλίστων, οὐχ οὕτω φιλεῖ γίγνεσθαι, ἀλλ' ὅσῳ ζητητέα δοκεῖ, τοσούτῳ καὶ δυσπόριστα. Χρεὼν εἶναί σοι τοίνυν ὑπολαμβάνω, ὅπως ἂν κτησαίμην ταύτην, φράζειν. Ἀλλὰ σοὶ μέν, ὦ 'γαθὲ τοιαῦτα λέγοντι τὸ γιγνόμενον εἰρήσεται· καὶ ἅπερ ἂν εὐξαίμην περὶ σοῦ, ταῦτα πράξεις· τουτὶ δὲ τὸ γιγνόμενον χαλεπὸν ἐμοὶ λέγειν. Καὶ εἶχόν γε δεικνύναι τὸ δύσκολον πολλοῖς τισιν οἶμαι τρόποις. Τὸν κόρον δὲ βουλόμενος φεύγειν, ἐρῶ τοσόνδε. Εἴπέ τις μέγας ἀνήρ, Ἰωάννης τοὔνομα (ἦν δὲ τῶν ζώντων τῷ Θεῷ, καὶ οὐχ ἑαυτοῖς) τριβόλῳ ἐοικέναι τὴν ὑπερηφανίαν. Καὶ δὴ προσαγορεύσας αὐτὴν ταύτῃ, εἶτα καὶ καλῶς εἰπών, ἔδειξεν. Ἔφη γὰρ (ἐρῶ δὲ τὸν ἐκείνου σκοπὸν, οὐ τὰ ῥήματα)· Ἂν πράξω τι τῶν καλῶν, ἐκείνη παρελθοῦσα κροτεῖ, καὶ μετὰ βοῆς ἐξαίρει τοὔργον ἐκεῖνο. Ἦν δὲ καὶ τῶν οὐ ῥᾳδίως κατορθουμένων ᾖ τὸ πραχθὲν, ὑπὲρ ἀνθρώπους με πάντας τίθησι· κἂν ἀποκρουσθῇ τὴν πρώτην, οὐκ ἀφίσταται· καὶ πολλάκις ἠττηθεῖσα, ἐπανέρχεται χείρων ἑαυτῆς, πῶς οἶει; ἅπαν ὕφαλον μεθ' ἑαυτῆς ἔχουσα. Ταῖς γὰρ ψυχαῖς τῶν ἐξ ἀγαθῶν ὑψωθέντων ἔργων, εἶτα μηδὲν ὑψηλὸν ὑπὲρ αὐτῶν φαντασθέντων, ἀλλὰ μεινάντων ἐφ' ᾧπερ ἔδει, λελῃθότως ὑπεισέρχεται, καὶ ἡσύχως τὸ ζιζάνιον ὑποσπείρει, ἴσως που καὶ καθευδούσαις αὐταῖς ἐκ τῆς πολλῆς καὶ συντόνου νήψεως. Λέγω δὲ ζιζάνιον νῦν τὸ ὑπολογίσασθαι τάληθὲς, ὡς

Sedenim fortasse nos, charissime fili, verbis hujusmodi compellabis, et merito quidem : magnopere nos admiratos scilicet humilitatem, id admiratos esse, quod admirationem mereatur. Eamdem eximie dum extulerimus, magnum ejus amorem prius etiam insitum animo tuo, nunc insigniter auxisse. Rationibus enim meis effectum, ut hanc insanissimo quodam amore depereas. Non tamen idcirco nos tibi videri satis omnino fecisse. Quippe necessario modos etiam adjiciendos, quibus modis conferi possit ex animi tui votis, ut opes hasce consequaris. Nam videri tibi valde difficilem harum adquirendarum rationem, etiam iis, qui vehemente cum desiderio circumeunt, ut eas consequantur. C Quippe desiderium et inquisitionem non necessario comitari rerum exoptatarum adeptionem : sed res plerasque difficulter a quærentibus inveniri, nonnullas aliquibus contingere, nullum omnino laborem perferentibus. In illis autem, quæ præsertim pulcherrimæ sint, non sic evenire solere : sed quanto magis quærendæ videantur, tanto esse acquisitu difficiliores. Quamobrem videri tibi necessarium, ut quo pacto hanc comparare possis, exponam. Indicabitur tibi, strenue fili, qui hujusmodi profers, quod indicari conveniet. Tu quod in votis est mihi de te, facies; mihi quidem certe difficile dictu, quod dicendum venit. Et poteram sane difficultatem hanc multis, opinor, modis ostendere : D sed vitandi tædii studio, tantum proferam. Dixit quidam vir magnus, cui nomen Joannes (erat autem eorum e numero, qui Deo vivunt, non sibi), tribulo similem esse superbiam, et quidem hac ei primum appellatione indita, deinde recte ab se verbum hoc prolatum ostendit. Nam si quid, inquit, boni fecero (scopum autem ipsius indicabo, non verba), mox illa prodiens applaudit, et cum clamore factum extollit. Quod sane si præstitu difficile fuerit, omnes me supra mortales collocat. Ac siquidem initio fuerit rejecta, non desistit : et sæpius quoque victa, pejor seipsa multis modis revertitur, nihil non subdoli secum afferens. Nam animos illorum, qui bonis ex operibus eminentes facti sunt, ac deinde nihil sublime de seipsis concipiunt, sed intra limites sese

Digitized by Google

continent, clanculum subit, taciteque lolium in eis serit, fortasse dormitantibus ob nimis assiduam vigilantiam. Lolium autem nunc appello, quod secum ipsi reputant, nullam inesse sibi superbiam: quandoquidem superbiam repulerint. Hoc autem, vel in primis superbum quiddam est: propeque gravius arbitror, quam ut sanari possit. Quid enim deterius, quam si humilem se putet, qui superbiæ morbo laborat? Aut quo pacto medicinam quæret, qui mali nihil se pati suspicatur? Quo fit ut tametsi sim factus humilis, rursum tamen extollar; quandoquidem me humilem factum novi. Adeoque ne sentio quidem elato me animo esse. Licet elationem statim agnoscam, eamque valde perosus abigam, ac meipsum propter hanc reprehendam: tamen rursus humiliatum me non ignorabo, meque recte agentem collaudabo. Atque hæc mihi cum accidunt (utinam quidem ne fierent), unde fueram exorsus, velut in circulo revertor. Quamobrem tribulus est superbia, stimulumque rursum erectum habet, quem difficulter evitare possunt, etiam qui magno mentis pondere sunt præditi. Cujus quidem orationis testes producere multos ex iis ipsis possem, qui hunc stimulum experti fuere. Sed cum res ipsa perspicua sit et manifesta, nullius egere probationis videtur, præsertim apud te, qui antea dicebas, humilitatem esse divitias acquisitu difficiles. Itaque traducenda erit ad modum oratio, quo quis efficiens quod bonum est, evitare possit, ne magnam de se concipiat opinionem; et ut modeste de se sentiens, non efferatur; quod etiam esse demonstratum est illo priore difficilius.

Arbitror igitur, unam quamdam hanc viam esse, quæ nos ad humilitatem evehat: ut recte facta scilicet ad Deum ipsum referamus. Nequit enim, nequit omnino fieri, nobis ut ipsis, quæ facta sunt, adscribentes, cogitationibus hoc vitio superiores evadamus. Opinio namque de recte factis dubio procul in nobis maxima superbiæ occasio est, uti jam ante docuimus. Tantum vero malum hoc est, ut etiam Chrysostomus alicubi docuerit, citra controversiam melius esse, non facere boni quidpiam pœnæque se maximæ reum ducere, quam opera præclara facientem putare, se supra omnes esse positum. Quamobrem actiones bonas imputet Deo, non sibi, qui modestus esse cogitat. Hæc opinio immunis est ab omni errore, ac veritati summe innititur, posita pariter extra pericula et tela quæ contra nos versuta torquet elatio. Nec enim decipit, nec in periculum venire potest, qui cuicunque vero fretus est. Quid autem magis verum, quam existimare, Deum esse largitorem bonorum omnium, et ab eodem universos mortales bona consequi? Argumento est, quod a Salvatore discipulis est dictum: *Sine me nihil potestis facere.* Quod sane verbum ut esse verissimum demonstretur, hoc unum dicere sufficit, a Salvatore prolatum esse. Non rationibus opus erit mihi nec priscorum, nec recentium; quibus hanc sententiam, ceu veram, probare liceret. Non exemplis utar, non syllogismis. Nihil omnino perquiram, quod hac in parte mihi patrocinaretur, si res ita posceret. Nam ubi veritas ipsa velut oraculo quid decernit, mera

A ἀρ' οὐδὲν ἐν αὐταῖς ὑπερήφανον, ἐπειδὴ τὴν ὑπερηφανίαν ἀπεκρούσαντο. Τοῦτι δὲ ὑπερήφανον μάλιστά γε καὶ μικροῦ δεῖν κρεῖττον εἶμαι, ἢ ἁθῆναι οἷόν τε εἶναι. Τοῦ γὰρ ταπεινοῦσθαι νομίζειν τὸν ὑπερηφανίαν νοσοῦντα τί χεῖρον; Ἢ πῶς ζητήσει τὴν ἴασιν ὁ μηδὲ πάσχειν ὑπολαμβάνων; Ὥστε κἂν ταπεινωθῶ, πάλιν αἴρομαι· εἰδὼς, ὡς τεταπείνωμαι· καὶ ὑπερφρονήσας, οὐδὲ αἰσθάνομαι· κἂν γνῶ τὴν ὑπερηφανίαν εὐθὺς, καὶ ἀποσοβήσω μάλα μισήσας καὶ τῆς ὑπερηφανίας ἐμαυτὸν μέμψωμαι, οὔτ' ἀγνοήσω πάλιν ταπεινωθεὶς, καὶ ἐπαινέσω ἐμαυτὸν κατορθοῦντα. Ἃ δὴ παθὼν, ὡς μὴ ὤφελον, ὅθεν ἠρξάμην ὥσπερ ἐν κύκλῳ κατήντηκα. Ὥστε τρίβολός ἐστιν αὕτη, καὶ τὸ κέντρον ὄρθιον ἔχει, καὶ χαλεπὸν διαφυγεῖν καὶ τοὺς πολύ τι βάρος νοῦ κεκτημένους.

B Καὶ πολλοὺς ἂν εἶχον μάρτυρας ἀναστῆσαι τοῦδε τοῦ λόγου, αὐτοὺς ἐκείνους τοὺς βεβλημένους τῷδε τῷ κέντρῳ. Σαφὲς δὲ ὂν τὸ πρᾶγμα καὶ πρόδηλον, οὐ κατασκευαστέον εἶναι δοκεῖ, ἄλλως τε καὶ πρὸς οἱ δυσπόριστόν τινα πλοῦτον τὴν ταπεινοφροσύνην προειρηκότα. Ἀκτέον δὴ τὸν λόγον ἐπὶ τὸν τρόπον, ᾧ ἄν τις πράξας τὸ ἀγαθὸν, διαφύγοι τὸ περὶ αὐτοῦ δοξάσαι τι μέγα, καὶ τὰ μέτρια φρονήσας, μὴ ὑψωθῆναι, ὃ καὶ χαλεπώτερον δέδεικται τοῦ προτέρου.

Δοκῶ τοίνυν μοι μίαν τινὰ τὴν ὁδὸν εἶναι, τὴν

C ἐπὶ τὴν ταπεινοφροσύνην ἀναβιβάζουσαν· τὸ πρὸς τὸν Θεὸν δηλονότι τὰ καλῶς πραττόμενα ἀναφέρειν. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἑαυτοῖς τε ἀναγράφειν τὰ πεπραγμένα, καὶ λογισμοῖς κρατῆσαι τοῦδε τοῦ πάθους. Τὸ γὰρ κατορθῶσαι νομίσαι γίγνεται σαφῶς ἡμῖν ὑπερηφανίας μεγίστη πρόφασις, ὡς ὁ λόγος ἤδη διδάξας ἔφθη. Τοῦτο δὲ τοσούτῳ κακὸν, ὥστε καὶ τὸν Χρυσορρήμονά που διδάξαι βέλτιον σαφῶς εἶναι μὴ πρᾶξαί τι τῶν καλῶν, καὶ ὑπὸ δίκην ἑαυτὸν μεγίστην ὑπολαμβάνειν, ἢ κατορθοῦντα οἴεσθαι πάντων ἐξῆς ὑπερκεῖσθαι. Ὥστε λογίζεσθαι χρὴ τὰς ἀγαθὰς

D πράξεις τῷ Θεῷ, καὶ οὐχ ἑαυτῷ, εἰ μέλλει τις μετριάζειν. Αὕτη ἡ δόξα καθαρεύει μὲν πλάνης ἁπάσης, ἔχεται δὲ τῆς ἀληθείας ἐς ἄκρον, κινδύνων δὲ ἐκτὸς ἕστηκε καὶ βελῶν, ἃ καθ' ἡμῶν ἀφίησιν ἡ πολυμήχανος ἔπαρσις. Οὔτε γὰρ ἀπατηθῆναι, οὔτε κινδυνεῦσαι οἷόν τε, τὸν ἐφ' ὁτῳοῦν ἀληθεῖ θαρρήσαντα. Τί δὲ ἀληθέστερον τοῦ δοξάζειν εἶναι μὲν πάντων τῶν ἀγαθῶν δοτῆρα τὸν Θεὸν, εἶναι δὲ πάντας ἀνθρώπους ἐκεῖθεν δεχομένους τἀγαθά; Καὶ ὅηλοῖ τὸ τῷ Σωτῆρι πρὸς τοὺς μαθητὰς εἰρημένον· *Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.* Ἀπόχρη εἰπεῖν ἡμᾶς τὸ τὸν Σωτῆρα τοῦτ' εἰρηκέναι, πρὸς τὸ ἀληθέστατον τὸν λόγον ἀποδεικνύναι. Οὐ δὴ δεήσει μοι λόγων, οὔτε παλαιῶν, οὔτε νέων, οἷς ἂν ἦν συστῆσαι τοῦτο τὸ δόγμα, ὡς ἀληθές. Οὐ παραδείγμασι χρήσομαι, οὐ συλλογισμοῖς· οὐδὲν ἐπιζητήσω τῶν πάντων, ὃ συνηγόρησεν ἂν μοι πρὸς τοῦτο δεῆσαν. Ὅπου γὰρ ἡ αὐτοαλήθεια χρηματίζει, ἀντικρυς βλασφημεῖν ἐστιν ἐπιχειρεῖν ἀμύνειν τῷ ἐκείνης λό-

Digitized by Google

γῳ. Ἐκείνοις γὰρ βοηθητέον ἡμῖν ἐστιν, οὓς ἂν γνοίημεν δεομένους τῆς παρ' ἡμῶν συμμαχίας, ἐλλιπῶς καθ' ὁτιοῦν ἔχοντας πρός γε τὸ σφίσιν αὐτοῖς ἐπαρκεῖν. Θεῷ δὲ τίς ἀσθένεια, ὡς δεῖσθαί που τῆς παρ' ἡμῶν βοηθείας; Ἀλλὰ γὰρ καὶ τοῦτο παρέλκον οἶμαι, τὸ καὶ τοῖς ὀλίγοις τούτοις ἐνταῦθα χρήσασθαι λόγοις. Τίς γὰρ οὐκ οἶδεν, ὡς εἰ μὲν ἀνθρώπινον, οὐ καλόν; εἰ δὲ Θεοῦ, καὶ καλόν; Λέγω δὲ ἀνθρώπινον μὲν τὸ τῆς τοῦ Θεοῦ ῥοπῆς παντάπασι ψιλὸν ὂν· Θεοῦ δὲ τὴν ἐκείνου πρὸς ἡμᾶς εὐδοκίαν. Τὸ γὰρ ἐγκαταλελεῖφθαι, καὶ τῆς ὀργῆς αὐτοῦ πειραθῆναι, ἡμέτερον. Οὐδὲ γὰρ ἔργον Θεοῦ. *Ἐκεῖνος γὰρ ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ οὐδένα*, κατὰ τὸν Ἀδελφόθεον. Ὥστε τὸ καλῶς ποιεῖν ἀτεχνῶς παρὰ Θεοῦ τοῖς ἀνθρώποις, τὸ δὲ κακῶς ἐξ ἀνθρώπων, καὶ τῆς προαιρέσεως μόνης. Καὶ εἰ κάλλιστόν ἐστι τὸ ἐπὶ ταῖς ἀγαθαῖς πράξεσι ταπεινοφρονεῖν, σαφῶς καὶ τοῦθ' ἡμῖν πολλῷ γε μᾶλλον, ὡς ὄν γε μεθ' ὑπερβολῆς ἀγαθόν. Καὶ ἐπεὶ ταυτὶ ξυνδοκεῖ (πῶς γὰρ οὔ;), οὐ δεῖ τὸν κατορθοῦντα ἐπαίρεσθαι. Εἰ γὰρ ἐφ' ἡμῶν τῶν ἀνθρώπων οὐδεὶς ἂν μέγα ποτὲ φρονήσειεν ἀριστεύσαντος ἑτέρου (πόθεν; πολλοῦ γε καὶ δεῖ), πῶς ἂν εἴη δίκαιον ὑψηλοφρονῆσαι, τοῦ Θεοῦ κατωρθωκότος δι' ἡμῶν τὸ ὑπὲρ ἡμῶν; Ἀλλ' ἐρεῖ τις ἴσως ἁρπάσας τὸ, Δι' ἡμῶν, ὡς ἄρα τι καὶ τὸ ἡμέτερον συνεισφέρει. Συνεισφέρει μέν, ὦ τᾶν, *Οὐδὲν δὲ ἔχεις*, φησὶν, *ὃ οὐκ ἔλαβες. Τὰ γὰρ πάντα ἐκ Θεοῦ. Καὶ αὐτός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.* Καὶ, *Ἐν αὐτῷ καὶ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν.* Καὶ ὅλως αἵ τε ψυχαὶ, τά τε σώματα, καὶ αἱ κατὰ Θεὸν πράξεις, καὶ ὅπερ ἂν μετέχον εἴη χρηστοῦ τινος, οὐδαμόθεν ἀτεχνῶς, ἢ παρὰ Θεοῦ τοῖς ἀνθρώποις. Ὥστε καὶ τὸ συνεισφερόμενον, καὶ αὐτὸ τὸ συνεισενεγκεῖν προθυμεῖσθαι, θεόθεν ἡμῖν. Καὶ δεῖ γε ὑπὲρ τούτων εἰδέναι χάριν, οὐχὶ ὑψηλοφρονεῖν. Καὶ τί ταῦτα λέγω; ὅπου καὶ τοῦ διὰ μαρτυρίου θανάτου τὸν Θεὸν αἰτιατέον ἐστὶ, καὶ τὴν μεγίστην, αὐτῷ καὶ ὑπὲρ τούτου χάριν εἰδέναι ὀφείλομεν, εἴ τις ἀκριβῶς σκοπήσειε, καὶ οὐκ οἰητέον τούτου χάριν αὐτὸν ὀφειλέτην ἡμῖν καθιστάναι. Τὰ γὰρ πάντα ἐκ Θεοῦ, καθὼς οἱ πρόσθεν ἡμῖν σαφῶς ἀπέδειξαν λόγοι. Εἰ γὰρ τῷ ῥήτορι δοκεῖ εἶναι τῶν φύντων αἴτιον τὸν παρασχόντα τὸ σπέρμα, καὶ ὁ λόγος ἦν, οὐ περὶ Θεοῦ, ἀλλὰ περὶ ἀνθρώπων· πῶς οὐχὶ τῶν ἐν ἡμῖν ἀγαθῶν πάντων τὸν Θεὸν αἰτιατέον; ὄντα μὲν δημιουργὸν, ὄντα δὲ κηδεμόνα, καὶ ταμίαν, καὶ δοτῆρα πάντων ἑξῆς τῶν εἰς ἡμᾶς ἀεὶ γινομένων. Οὐ μὴν ἀλλ' ἔν γε ἔτι λείπεται βέλος τοῖς ὑπερηφανίαν νοσοῦσι· καὶ τοῦτό γε ὕστατον μὲν (κεκένωται γὰρ αὐτοῖς ἡ φαρέτρα) οἷον δὲ παρέχειν ἐλπίζειν, ὡς ἄρα τρώσειεν ἀφεθέν. Οὐκοῦν κἂν τοῦτο τοῖς προλαβοῦσιν ἀκολουθῆσαν, μηδὲν ἰσχῦσαν φανῇ, ἀλλ' ἄπρακτον ἐξενεχθῇ τοῖς καθ' ἡμῶν ἀφιεῖσιν, εἴη ἂν ὁ λόγος οὗτος καλῶς ἡμῖν συμπεπερασμένος. Καὶ δὴ τὸ βέλος ἐκείνοις, τὸ φάσκειν οἶμαι τοιάδε, ὅτι τὰ μὲν ἀνθρώποις ἐξειργασμένα, εἰ μὲν παραθείη τις ταῖς ἀπὸ τοῦ Θεοῦ χάρισιν, οὐδὲν ὄντα εὑρήσει. Ἄλλως γὰρ, οὐκ ἄν

A blasphemia est, orationem ejus tueri velle. Nimirum illi nobis defendendi sunt, quos intelligimus indigere nostro auxilio, viribus aliqua parte deficientes, quo minus opem ipsi sibi ferre possint. At in Deo quænam est imbecillitas, nostræ ut opis indigeat? Enimvero supervacaneum et illud arbitror, quod etiam perpaucis hisce verbis hoc loco simus usi. Quis enim ignorat, si quid humanum sit, non esse bonum? sin Dei, bonum esse? Humanum autem id appello, quod auxilio Dei plane destituitur: divinum vero, ipsius erga nos propensionem. Quippe deseri, atque iram ipsius experiri, nostrum est. Nequit enim Dei hoc opus esse. Nam Deus malorum expers est, et neminem tentat, quemadmodum frater ille Christi loquitur. Unde colligitur, opera B bona dubio procul in hominibus a Deo proficisci: mala vero ab hominibus, et animorum duntaxat instituto. Ac si pulcherrimum quiddam est, in egregiis factis humiliter sese gerere: non dubium est, hoc ipsum quoque nobis a Deo multo magis concedi, cum eximium bonum sit. Atque his necessario cum assentiri cogamur, qui res præclaras agit, animo non debet efferri. Nam si nos inter homines nullus unquam propterea magnifice de se senserit, quod alius egregie se gessit (quo enim jure? nullo certe); quinam fuerit æquum sublimia nos de nobismet sentire, cum Deus per nos utile nobis opus efficit? Sed dicet fortasse quispiam, rapto illo verbo nostro, Per nos; hoc ipsum scilicet, C etiam nostrum aliquid secum inferre. Sane vero ita est, o bone. Sed *nil habes*, inquit Apostolus, *quod non accepisti. Ex Deo namque omnia. Deus est, qui efficit in nobis, et ut velimus, et ut perficiamus, pro sua in nos propensione.* Item: *In ipso et vivimus, et movemur, et sumus.* Ad summam, et animos, et corpora, et actiones Deo gratas, et quidquid boni particeps est, nusquam aliunde mortales habent quam a Deo. Quapropter et quod a nobis confertur, et ipsa cupiditas conferendi, divinitus nobis conceditur. Quorum sane causa sunt habendæ gratiæ, non superbiendum. Et quid hæc profero? quando etiam mortis obitæ in martyrio causa referri ad Deum debet, maximæque illi habendæ propterea gratiæ, si quis accurate rem consideret; D nec idcirco putandum, nostro in ære Deum esse. Nam a Deo proficiscuntur omnia, quemadmodum antehac clare probavimus. Quippe si oratori videtur eorum, quæ nata sint, ad illum referenda causa, qui semen suppeditarit, ubi quidem non de Deo, sed hominibus loquitur: quo pacto non omnium bonorum in nobis Deus auctor habendus? qui et opifex noster est, et curam nostri gerit, suppeditat atque largitur omnia, quæcunque perpetuo nobis obveniunt. Enimvero telum adhuc unum restat superbiæ morbo laborantibus, et postremum id quidem (nam exhausta ipsorum est pharetra), quod tamen spem aliquam præbeat, quasi vulnus sit inflicturum, si emittatur. Itaque si hoc etiam secutum præcedentia, nullas habuisse vires

Digitized by Google

Εὐχαριστῶ σοι τῷ Θεῷ καὶ Πατρὶ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ σου Πνεύματι, ὅτι μακροθυμήσας καὶ παριδὼν τὸ πλῆθος τῶν παντοδαπῶν μου κακῶν, ἠξίωσάς με τὸ φῶς ἰδεῖν τὸ ἡλιακὸν, καὶ ἐκ τούτου μου τὸν νοῦν ἀναχθῆναι τὸν ἐσκοτισμένον τοῖς πάθεσι, πρὸς ἔννοιάν σου τοῦ ἀληθινοῦ καὶ ἀνεσπέρου φωτός· καὶ δέδωκας τὴν δέησιν ἐκχέαι με πρὸς σὲ, καί σοι τὰς θλίψεις ἀπαγγεῖλαι, καὶ τὰς ἐφέσεις, τῷ ἔτι λαλοῦσιν ἡμῖν παρεῖναι, καὶ θυροκοποῦσιν ἀνοίγειν ἐπαγγειλαμένῳ.

C Tibi Deo ac Patri gratias ago, cum unigenito Filio tuo, et sancto tuo Spiritu, quod usus tolerantia tua diuturna, et connivens ad omnis generis malorum meorum multitudinem, aspiciendæ lucis solaris facultatem mihi concesseris; per quam mens mea, vitiorum obducta caligine, subveheretur ad intelligentiam tui, qui vera et inoccidua lux es; quodque copiam feceris has ad te preces fundendi, et ærumnas ac desideria mea tibi exponendi; qui te nobis adhuc loquentibus affuturum foresque pulsantibus aperturum promisisti.

Δὸς οὖν, πανάγαθε Δέσποτα, ἄφροντιν εἶναι τοῦ λοιποῦ, σοὶ τῷ καλῷ κυβερνήτῃ τοὺς τῆς ζωῆς μου οἴακας ἐγχειρίσαντα· καὶ ἡ ψυχή μου κολληθήτω ὀπίσω σου, ὅπως ἀντιλάβοιτό μου ἡ δεξιά του. Ὁδήγησόν με ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Δίδαξόν με, πῶς ἂν διεξάγοιμι καὶ ἐμαυτὸν, καὶ τοὺς ὑπ' ἐμέ. Στήριξον εἰς τὴν καρδίαν τοῦ δούλου σου τὸν εὐφρόσυνον φόβον σου· ᾧ με καὶ πρὸς τὴν ἀγάπην τὴν σὴν, σὲ δὲ

D Da igitur, benignissime, Domine, curis ut in posterum solutus agam, tibi, gubernatori bono, vitæ meæ clavo permisso. Tibi meus animus adhærescat, ut tua mihi opituletur dextera. Dux esto meus in vita tua, et ambulabo in veritate tua. Instrue me, quonam modo tam meipsum, quam subditos meos gubernare debeam. Hilarem illum metum tui constabilito in corde servi tui, eodemque me instruas, ut dilectioni tuæ, vel tibi potius, qui re-

Digitized by Google

apso dilectio es, et rerum expetendarum vertex, A tutus inhiem: ut ab omni malo in universum deflectam, concedito; meque mandatorum tuorum effectorem eximium reddito, per intercessionem unigeniti Filii tui, Servatoris nostri, Jesu Christi. Amen.

μᾶλλον τὴν ὄντως ἀγάπην, καὶ τῶν ἐφετῶν τὴν ἀκρότητα, κεχηνέναι στοιχείωσον, καὶ κακοῦ παντὸς ἐκκλίναι καθάπαξ ἀξίωσον. καὶ τῶν ἐντολῶν σου ἐργάτην ἄκρον ἀνάδειξον, πρεσβείᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΚΕΦΑΛΑΙΑ ΚΑΤΑΝΥΚΤΙΚΑ

ΔΙΑ ΣΤΙΧΩΝ (1).

—

CAPITA COMPUNCTIONIS

VERSIBUS EXPOSITA.

—

Quod ipse dignus haud sim,
Qui particeps tui esse
Queam: fame en perire
Animam vides miseliam.
Vitæ hanc alas misertus,
Servator, ore, pane;
Fidelibus teipsum
Qui Christe das edendum.
Ut ille dives olim,
Siti liquesco acerba;
Flammaque aduror intus,
Quæ conscientia ipsa est.
Vitæ perennis at tu
Fons, irrigato me unda
Viva: sitim ferentes
Qui ad te jubes venire.
Incontinentia olim
Me ejecit horto Edenis,
Diremptus atque nostro
Abs te Deo nefandus.
Tu colligas vicissim
Me, qui polo repostus,
Me propter, hospes inis
Partu novo fuisti.
Sum nudus ipse, mente
Amissa, heu, bonisque;
Tu prodigum stola me,
Benigne Christe, vesti:
Qui propter hanc ce causam
Carnem meam induisti,
Nudusque mortem obisti
Inter malos latrones.
Morbo simul, gravique
Me carceri illigatum
(Delicta namque propter,
Utrumque mi ferendum)
Invise, quæso, Christe,
Tua benignitate.
Medicus tu es ac redemptor,
Homo factus, universis.

Διὰ τὸ μὴ εἶναί με
Ἄξιον σοῦ μετασχεῖν,
Νῦν ὁρᾷς μου τὴν ψυχὴν
Τελευτῶσαν ἐν λιμῷ·
Ἧν καὶ θρέψον σπλαγχνισθείς,
Σῶτερ, ἄρτῳ ζωηρῷ,
Ὁ δι' οἶκτον τοῖς πιστοῖς
Δοὺς τροφὴν σαυτόν, Χριστέ.
Ὡς ὁ πλούσιος, κἀγὼ
Δίψῃ τήκομαι πικρᾷ,
Φλόγα ἔχων ἔνδοθεν,
Ἐμαυτοῦ τὸ συνειδός.
Ἡ πηγὴ δὲ τῆς ζωῆς,
Πότισόν με ὕδωρ ζῶν,
Ὁ φωνήσας ἅπαντας
Τοὺς διψῶντας σοὶ φοιτᾷν.
Ἀκρασία ξένον με
Τῆς Ἐδὲμ πεποίηκε·
Καὶ τὸ μακρυνθῆναί με
Ἀπὸ σοῦ, φεῦ! τοῦ Θεοῦ.
Σὺ δέ με συνάγαγε,
Ὃς τὸν οὐρανὸν οἰκῶν,
Ὤφθης ξένος ἐπὶ γῆς·
Ξένῳ τόκῳ δι' ἐμέ.
Τὴν οὐσίαν φθείρας, φεῦ!
Σὺν φρεσὶ, γεγύμνωμαι.
Σὺ δέ με τὸν ἄσωτον,
Σῶτερ, σκέπασον στολῇ,
Ὃς γε τούτου ἕνεκα
Τὴν ἐμὴν ἐνδέδυσαι
Σάρκα, καὶ γεγύμνωσαι
Σὺν λῃσταῖς σταυρούμενος.
Νόσῳ με τρυχόμενον,
Καὶ ἐν φυλακῇ δεινῶς
(Ἄμφω γάρ ἐστιν ἐμοὶ
Ἁμαρτία ἡ ἐμή),
Σῶτερ, ἐπιδήμησον
Πρός με τῷ ἐλέει σου,
Ὁ φανεὶς πᾶσι σαρκὶ
Ῥύστης τε καὶ ἰατρός.

(1) In Anecdotis P. Matrangæ, t. II, legitur Manuelis Palæologi *Anacreonticon in quemdam ignorantem et loquacem*, quod hic repræsentamus:

Τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Παλαιολόγου στίχοι Ἀνακρεόντειοι πρός τινα ἀμαθῆ καὶ πλεῖστα φληναφοῦντα.

Ἀκριτόμυθε Θερσίτα,
Ὃς ῥοᾷς μὲν μάλιστά γε,
Σιωπᾷς δὲ ἥκιστά γε,
Πῶς σέ τις παύσῃ ληροῦντα,
Φλυαροῦντα, φληναφοῦντα,
Καὶ μὴ ῥόδῳ σου συνθλάσῃ
Τὸ κρανίον εὖ ποιήσας;
Ἐὰν γάρ τίς σου τὴν γλῶσσὰν
Πρόῤῥιζον ἐξανασπάσῃ,
Ἀλλὰ σὺ καὶ ταύτῃ πλέον
Παρελθὼν διενοχλήσεις,
Καὶ φωναῖς ἀσήμοις αὖθις
Οὐκ ἀνέξεις· ὡς γλωττίζων
Ἔρδες κόρακας τὸ τάχος,
Οὐδὲ γὰρ ἀνέχομαί σου.

Digitized by Google

ΕΑΡΟΣ ΕΙΚΩΝ

ΕΝ ΥΦΑΝΤΩ ΠΑΡΑΠΕΤΑΣΜΑΤΙ ΡΙΓΙΚΩ.

—

IMAGO VERIS

IN AULÆO TEXTILI, OPERIS PHRYGII.

—

Ἦρος ὥρα, καὶ δηλοῖ τὰ ἄνθη, καὶ λευκὸς οὗτος ἀὴρ διακεχυμένος ἐπ' αὐτὰ μάλα ἡμέρως. Διὰ τοῦτο ψιθυρίζει ἡδὺ τὰ φύλλα, καὶ δοκεῖ κυμαίνεσθαί πως ἡ πόα, αὔραν δή τινα δεχομένη, φιλίαις ταύτην ὑποκινοῦσα ἐπιφοραῖς. Χάριεν ἰδεῖν. Ποταμοὶ δὲ ἤδη ταῖς ὄχθαις σπένδονται, καὶ ὁ πολὺς ἐπέχεται ῥοῦς, καὶ τὰ πρὶν πλημμύραις ἀφανιζόμενα τῶν ὑδάτων ὑπερφαίνεται, καὶ παρέχει χερσὶ θηρᾶσθαι τὰ παρ' ἑαυτοῖς ἀγαθά. Τούτων ἓν τὸ χειρωθὲν ἤδη τῷ νεανίσκῳ· ὃ κατέχων τῇ λαιᾷ, κεκυφὼς ἠρέμα, καὶ συγκαθίσας, ὅσον μὴ τῷ ῥείθρῳ τοὺς μυκτῆρας βαπτίσαι, τὴν δεξιὰν ἀφοφητὶ γυμνὴν τοῖς ὕδασιν ἐμβαλὼν, τὰς ὑπὸ τὸ ῥόθιον χαράδρας διερευνᾶται, ψηλαφῶν καὶ τοῖς δακτύλοις τὰς τρώγλας, μή τι τῶν ὑδάτων ταρασσομένων τοῖς ποσὶ τοῦ νεανίσκου, φόβῳ τῶν πατάγων ἐγκέκρυπται. Οἱ δὲ δὴ πέρδικες γαίρουσι, τὴν ἀποβληθεῖσαν αὐτοῖς ἰσχὺν ὑπερβολαῖς τῶν πεφυκότων λυπεῖν, ἀπολαμβάνοντες ἤδη, ἀκτῖνος ταύτην αὐτοῖς ἐπανασωζούσης, μηδὲν λυπούσης δι' ἀμετρίαν. Ὅθεν δὴ σὺν εὐθυμίᾳ τοῖς ἀγροῖς ἐνδιαιτῶνται, καὶ τὰ νοσσία πρὸς τροφὴν ἄγοντες, πρῶτοι ταύτης ἅπτονται, ἔργῳ δεικνύντες τὴν τράπεζαν. Ὠδικοὶ δὲ ὄρνιθες τοῖς δένδρεσιν ἐγκαθήμενοι, ὀλίγον μὲν ἅπτονται τῶν καρπῶν, τὸ πολὺ δὲ τούτοις τοῦ χρόνου εἰς τὸ ᾄδειν ἀναλίσκεται. Κηρύττειν οἶμαι βούλεσθαι τουτοισὶ τὴν φωνὴν, τὰ κρείττω παραγίγνεσθαι, τῆς τῶν ὡρῶν βασιλίσσης ἐπιλαμψάσης, καὶ λοιπὸν εἶναι αἰθρίαν μὲν ἀντὶ τῆς νεφέλης, γαλήνην δὲ ἀντὶ τρικυμίας, καὶ ὅλως ἀντὶ τῶν λυπούντων τὰ τερπνά. Πάντα παῤῥησιάζεται, καὶ αὐτὰ τῶν ζωῴων τὰ φαῦλα, ἐμπίδες, μέλιττα, τέττιγες, γένη τῶν τοιούτων παντοδαπά· ὧν τὰ μὲν τῶν σιμβλων ἐξορμηθέντα, τὰ δὲ τὴν γένεσιν ἐσχηκότα τῇ συμμετρίᾳ τῆς ὥρας, εἰ δὲ βούλει, τῇ τῆς θέρμης εἰσβολῇ πρὸς ἀνάλογον ὑγρότητα, περιβομβεῖ τὸν ἄνθρωπον, καὶ ὁδοιπόρου προΐπταται, καὶ ᾄδοντί που τούτῳ συνᾴδει τὰ μουσικώτερα. Ἔνια μὲν ἀμιλλᾶται, ἔνια δὲ μάχεται, τὰ δ' ἐφιζάνει τοῖς ἄνθεσι.

Πάντα δὲ ἡδὺ θεαθῆναί. Τὰ δὲ παιδία παρὰ τὸν κῆπον ἀθύροντα, ἐκεῖνα θηρεύειν ἐπιχειρεῖ μάλα ἀκεραίως ἅμα καὶ χαριέντως. Τὸ μὲν γὰρ ἤδη τῶν παιδίων γυμνῶσαν τὴν αὐτοῦ κεφαλὴν τοῦ καλύμματος, ἀντ' ἄλλου τινὸς θηρατηρίου τούτῳ κατασκέχρηται,

Veris hoc tempus est, et indicio sunt flores, ac serenus hic aer, in eos leniter admodum diffusus. Propterea suave folia susurrant, et gramen quasi fluctuare videtur, auram quamdam excipiens, amicis illud commoventem flatibus. Res sane visu grata. Flumina vero jam fœdera cum ripis ineunt, eorumque vehemens inhibetur impetus; et quæ prius aquarum inundatione tecta latebant, ea nunc extra undas eminentia conspiciuntur, faculiatemque præbent manibus ipsorum bona prehendendi. Ex his unum est, quod adolescens hic cepit, qui quidem id manu sinistra tenens, et paulatim demisso capite considens, tantum ut nares in flumine non mergat, nuda dextra sine strepitu aquis injecta, undarum explorat alveos; ipsis etiam digitis foramina perscrutans, ne quid undis ab adolescentis pedibus turbatis, strepitus metu in eis abditum lateat. Perdices vero gaudent, se robur amissum per res nimis natura sua lædere solitas, modo recuperare; solaribus radiis vires eis restituentibus, qui nunc ob temperamenti æquabilitatem minime sunt noxii. Quapropter alacres in agris degunt, et pullos ad pastum adducentes, ipsi primi cibos attingunt, facto mensam indicantes. Aves autem canoræ arboribus insidentes, raro fructus attingunt, majoremque temporis partem canendo consumunt. Earum vocem hoc prædicare velle puto, meliora nunc scilicet imminere, postquam anni temporum regina illuxerit: adeoque deinceps serenitatem pro nebula, tranquillitatem pro tempestate, pro molestis denique sequi jucunda. Omnia liberius se movent, etiam animalcula viliora: culices, apes, cicadæ, hujusque modi variæ species. Harum aliæ de alveolis progressæ, aliæ nunc primum natæ, propter ipsum temperamentum hujus anni temporis, vel si mavis, propter accessum caloris ad humorem sibi respondentem, circum hominem strepunt, et ante viatorem provolant; quæque magis canoræ sunt, cum eo canente canunt. Quædam inter se certamen suscipiunt, quædam pugnant, quædam floribus insident.

Omnia spectatu jucunda. Pueli vero propter hunc horum ludentes istæc animalcula venari magna cum simplicitate pariter et lepore conantur. Nam ille quidem nudato capite, pro instrumento ad venandum, velamento capitis utitur; ac plerum-

Digitized by Google

que nihil efficiens, æqualibus risum movet. Alter ad se manus attrahens, ac totum animalculo corpus injiciens, atque id volens hac ratione capere, quo pacto non voluptatem et risum cieat? Vident illum præstantem corpore? Tandem enim, ac vix sane, capto quodam ex iis quæ a siccis membranarum alis nomen habent, præ gaudio bacchanti similem se gerit, extremæque tunicæ fimbriam sustollens, ut prædam captam huic involvat, abiturus alterius quærendi causa, non animadvertit eas se corporis nudare partes, quæ tegendæ erant. Sedenim festivior is puer est, qui ætate minor. Nam admodum tenui filo animalcula duo colligata volare sinit, extremisque digitis stamen ipsum ex intervallo retinens, volatum impedit, quo minus eis ex more succedat; et rident, et lætus est, et exsilit, ludicrum hoc pro re seria ducens. Ad summam, ars texti operis invitat oculum, voluptatemque spectatoribus conciliat. Omnium autem horum causa ver est: quod tristitiam dissipat, vel si mavis, hilaritatem conciliat.

καὶ διαμαρτάνον ὡς τὰ πολλὰ, γίνεται τοῖς ἡλιξὶ γελως· ἄλλο δὲ τὼ χεῖρε ἔχον παρ' ἑαυτῷ, ὅλον ἐπιρριπτον τὸ σῶμα τῷ ζωῦφίῳ, καὶ θηράσαι τοῦτο ταύτῃ βουλόμενον, πῶς οὐχὶ ἡδὺ καὶ γελοῖον; ὁρᾷς τὸ ὑπερφέρον τῷ σώματι; ὀψὲ γὰρ δὴ καὶ μόγις τινὸς λαβόμενον τῶν, ἃ καλοῦσιν ἔνιοι πτιλωτὰ, βακχεύοντι ἔοικεν, ὑπὸ τῆς χαρᾶς, καὶ τὰ κράσπεδα ἀνελόμενον τοῦ τελευταίου χιτῶνος, ὡς ἔλίσσον τούτοις τὸ θηραθὲν, πορεύεσθαι ζητεῖν ἕτερον, οὐκ αἰσθάνεται γυμνοῦν ἃ δέον κρύπτειν τοῦ σώματος. Ἐκεῖνο μέντοι γε ἀστειότερον, τὸ τὴν ἡλικίαν βραχύτερον. Νήματι γὰρ πάνυ λεπτῷ πεδῆσαν δύο τῶν ζωῦφίων, ἐᾷ δῆθεν πέτεσθαι. Κατέχον δ' ἄκροις δακτύλοις ἐκ διαστήματος τὴν ἡτρὰν, εἴργει τὴν πτῆσιν, κατὰ τρόπον τουτοισὶ γίγνεσθαι, καὶ γελᾷ, καὶ γέγηθε, καὶ ὀρχεῖται, σπουδαῖόν γέ τι νομίζον τὴν παιδιάν. Ὅλως δὲ ἡ τέχνη τῶν ὑφασμένων ἐστιᾷ τὸν ὀφθαλμὸν, τρυφὴ γιγνόμενα θεαταῖς. Αἴτιον δὲ τὸ ἔαρ, κατηφείας λύσις, εἰ δὲ βούλει, φαιδρότητος πρόξενον.

IN PERSONA TAMERLANIS [1].

Quibus usus sit verbis Persarum Scytharumque dux, ad Turcorum tyrannum, magna quædam ac superba proferentem, et minis intolerabilem, rebus adhuc prosperis: post victoriam vero, diversam in partem mutatum.

Quod ex longo temporis intervallo, et ipso quidem ab initio, simultates exercere vult, infestum est natura, ceu videtur, impetuque naturali commotum, continere se nequit, quo minus ægre facere quovis tempore nitatur. Itidem tu quoque nullo non tempore, cum peragenda mente versareris, in hoc incumbens, meis ut institutis quacunque posses arrogantia petulantiaque adversareris (non enim factis poteras), nunc illo tibi supercilio dejecto, quod prius elatum erat et grave, vanoque fastu in nihilum redacto, nihilominus alio quodam modo nobis infestus esse pergis. Victus enim dum ploras (cum vitam hanc varie reciprocis plenam fluctibus esse nesciveris, nec exspectaveris, ut ipsa res indicat, fortunæ prosperæ mutationem, quanquam ea perusitata sit, et nec abs re contingat, nec ita comparata sit, ut nunquam accidere possit), præclarum facinus meum extenuas, nec modo minus, quam antehac, eo ipso me mordes, quod animum mox abjeceris. Ego verò putabam, me claram et durabilem habiturum gloriam, veluti victo viro claro, qui res magnas gessisset. Hanc opinionem tu meam minime veram redarguis, dum ignominia teipsum afficis, teque victu facilem fuisse demonstras, minime viriliter hanc calamitatem ferendo. Quamobrem fortuito, non per virtutem antehac adeptus es victorias:

Τίνας ἂν εἶπε λόγους ὁ τῶν Περσῶν τε καὶ Σκυθῶν ἐξηγούμενος τῷ τυραννοῦντι τῶν Τούρκων, μεγάλα τε καὶ σοβαρὰ φθεγγομένῳ, καὶ ἀφορήτῳ ὄντι ταῖς ἀπειλαῖς, ἡνίκα εὖ ἔπραττε, ταπέντι δὲ πρὸς τοὐναντίον μετὰ τὴν νίκην.

Ὡς ἔοικε, τὸ πόρρωθεν εὐέλον καὶ ἐξαρχῆς πολεμεῖν φύσει πολέμιόν ἐστι, καὶ τῷ πεφυκότι κινούμενον, οὐ δύναται κατέχειν ἑαυτὸ, τοῦ μὴ λυπεῖν ἐπιχειρεῖν ἐν ἅπασι τοῖς καιροῖς. Καὶ σὺ δὴ πάντα τὸν χρόνον, ἡνίκα τὰ πρακτέα σοι κατὰ νοῦν ἔτρεχε, τοῖς ἐμοῖς ἐναντιοῦσθαι πειρώμενος ἀλαζονείαις καὶ ὕβρεσιν (οὐδὲ γὰρ τοῖς πράγμασιν ἴσχυες), ἤδη τῆς ὀφρύος σοι πεπτωκυίας, τῆς ἐπιρρμένης τε καὶ πολλῆς, καὶ τοῦ κενοῦ φρυάγματος εἰς οὐδέν σοι λήξαντος, οὐχ ἡκιστά γε καὶ νῦν ἐχθρῶς πρὸς ἡμᾶς διάκεισαι τρόπον ἕτερον. Κλάων γὰρ μετὰ τὴν ἧτταν (οὐ γὰρ ἐπέγνως τόνδε τὸν βίον πολλῆς παλιρροίας γέμοντα, οὐδὲ προσεδόκησας, ὡς δηλοῖ τὰ πράγματα, τὴν ἀγαθήν σοι τύχην μεταπεσεῖσθαι, καί τοι εἰωθὸς ὂν πρᾶγμα, οὐκ ἀπεικὸς, οὐδ' ἀνένδεκτον), τοὐμὸν ἀνδραγάθημα σμικρύνεις, καὶ δάκνεις γε οὐχ ἧττον νῦν ἢ πρὸ τοῦ, τῷ τὸ φρόνημα αὐτίκα ἀποβαλέσθαι. Καίτοι γε ὥμην ἐγὼ λαμπράν τινα καὶ διαρκέσουσαν σχήσειν εὐκλειαν, ὡς δῆθέν γε ἀνδρὸς λαμπροῦ περιγεγονὼς, ἀρετῇ μεγάλα κατωρθωκότος. Σὺ δὲ ἐλέγχεις τὴν δόξαν οὐκ ἀληθεύουσαν, αἰσχύνῃ σεαυτοῦ καταχέων, καὶ ἀποφαίνων σεαυτὸν εὐεπιχείρητον ἄνθρωπον, ἐν οἷς οὐ φέρεις κατ' ἄνδρα τὴν συμφοράν. Τύχῃ σοι τοίνυν τὸ νικᾶν, οὐκ ἀρετῇ συγκεκλήρωται· καί μοι νῦν ἀντιπίπτεις, καὶ λυμαίνῃ τοῖς ἐμοῖς κατορθώμασι,

(1) Qui Bajazetum regem Turcorum, Græcis infestum, ceperat.

Digitized by Google

τὴν δόξαν περιτρέψας εἰς τοὐναντίον τὴν περὶ σοῦ. Ὁ γὰρ μὴ γενναίου κρατήσας ἐγὼ πῶς ἂν ταύτῃ γενναῖος δόξαιμι; Ἐρρέτω τοίνυν χρυσὸς, ἐρρέτω λάφυρον ἅπαν, καὶ ὁ πολύς σοι πλοῦτος πολλαχόθεν συνειλεγμένος, ἀπούσης δόξης, ἧς ἥρων. Αὕτη με τερμάτων τῆς γῆς γεγηρακότα κατήγαγεν ἐπὶ σέ. Καὶ νῦν ὁρῶ μου τοὺς πόνους ἠπατημένους.

A mihique nunc adversaris, et rebus a me fortiter gestis officio, opinione de te mea diversam in partem traducta. Nam qui victoria de viro non forti potitus sum, quonam pacto vir fortis hujusce facinoris causa videbor? Valeat igitur aurum, valeant universa spolia, magnæque divitiæ tuæ, undecunque collectæ, quando abest gloria, quam equidem expetebam. Ea me senio confectum, ab ipsis terræ finibus adversum te duxit. Nunc meos labores irritos fuisse video.

ΕΝ ΕΙΔΕΙ ΨΑΛΜΟΥ,

Περὶ Κεραυνοῦ τοῦ Ἀγαρηνοῦ· ὁπότε ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ διὰ τῶν ἐχθρῶν αὐτοῦ τὸν παντοδαπὸν ἀπέκτεινε θῆρα.

Ὕψιστος ὁ Κύριος ἐν ἀρχῇ, ὁ Θεὸς ἡμῶν εἰς αἰῶνα αἰῶνος ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ πᾶσαν τὴν γῆν, πρὸ τοῦ τὰς δυνάμεις παρῆχθαι, ἦν· καὶ ὁ αὐτὸς μενεῖ. Νῦν οἱ κτηνώδεις συνῆκαν. Καὶ γὰρ εἶδον τὰ θαυμάσια αὐτοῦ, ἐπ' αὐτοὺς γεγενημένα, καὶ τὰ βέλη αὐτῶν ἐξησθενηκότα· τὸν δὲ κεραυνὸν, ἐμπρησθέντα τῇ ἰδίᾳ ματαιότητι· ὃς ἀναβαλλομένης τῆς ἀγαθότητος, καὶ τῆς προνοίας οἰκονομούσης, κατωλιγώρει. Ἐπίσχεν ὁ Θεὸς ὀργὴν, ὁ δὲ ὑπερεφρόνει· βλασφημοῦντος, ἐμακροθύμει· καὶ ὁ ἀσεβὴς ὑψοῦ τὴν κεφαλὴν ἦρεν. Ὠνειροπόλει τὴν γῆν, καὶ τὸν οὐρανοῦ Δεσπότην οὐκ ἐδίδου ταύτης ἄρχειν. Ἀλλ' ἐν τῷ μεγαλαυχεῖν ἐν τῇ δυνάμει αὐτοῦ, καὶ πολυχειρίᾳ θαῤῥοῦντα κατεπαίρεσθαι τῆς πρίμνης τοῦ Θεοῦ, ἔφθασεν ἡ σύῤῥοια τῶν κακῶν· καὶ τὰ ἐξαρχῆς ἀδικήματα ἅμα ἀποδέδωκε. Γνώτω δὴ πᾶσα ἡ γῆ, καὶ μὴ ὑψούσθω ἐν ἑαυτῷ γηγενής. Τῷ γὰρ Θεοῦ νεύματι ἅπαν εἶχεν· καὶ εἰς μακρὸν ἀνεχόμενος, ἐξάπινα ἀκοδίδωσιν. Ὁ δὲ ἐλπίζων ἐπ' αὐτὸν μὴ φοβηθήτω κακά. Τοὺς γὰρ ὑπομένοντας σώζει, ἐὰν παρ' αὐτῶν θυσίαν ἐξομολογήσεως λάβῃ, καὶ ἀνταποδοῖη ὑπὲρ αὐτῆς, ὅτι χρηστότητος πέλαγος. Δότω δόξαν ὁ λαὸς αὐτοῦ, καὶ ἐλπίδων ἀγαθῶν ἐμφορείσθωσαν οἱ πεποιθότες ἐπ' αὐτόν.

IN FORMA PSALMI.

De fulmine (1) *Agareno: quo tempore Deus populum suum respexit, et per hostes suos illam versutam belluam necavit.*

B Altissimus ille Dominus in principio, Deus noster infinitis sæculis, in cœlo et in universa terra, priusquam cœlestes illæ copiæ creatæ forent, erat; et idem manebit. Nunc tandem intellexere belluini. Viderunt enim ipsius prodigia, quæ in eos facta sunt, telaque sua debilitata; fulmen ipsum, stoliditate sua succensum; qui vir procrastinante divina bonitate, providentiaque dispensante, flocci Deum faciebat. Iram Deus inhibere, contemptim hic illum habere; hoc Deum proscindente conviciis, diuturna Deus uti patientia, quo factum, ut impius iste caput in altum sustulerit. Terram universam per somnium devorabat, nec ejus imperium cœli Domino permittebat. Sed dum magnifice vires ob suas se jactat, copiarumque multitudine fretus, contra Dei C gregem semet effert, hominem malorum colluvies antevertit, et injuriis priscis mercedem una vice persolvit. Norit hoc universa terra, nec intra se terra editus semet attollat. Quippe Dei nutui quidlibet cedit, et diuturna utens ille tolerantia, subito retribuit. Qui vero sperat in eum, mala non metuat. Nam servat adversa sustinentes, si confessionis sacrificium ab eis acceperit, ac vicem pro eo rependerit. Bonitatis enim pelagus est. Tribuat ei gloriam populus ipsius, et qui confidunt in eo, spe bona pleni sint.

(1) *Ilderim.* Sic appellant Turci Bajazetum.

Fragmentum epistolæ Manuelis Palæologi ad Manuelem Chrysoloram, ab imperatore scriptæ cum in aula regis Anglorum Henrici quarti versaretur, auxilium labenti imperio emendicans.

Μάλιστα δὲ πάντων ὁ ἄρχων παρ' ᾧ τανῦν διατρίβομεν, ὁ τῆς Βρετανίας ῥῆξ τῆς Μεγάλης, τῆς δευτέρας, ὡς ἂν εἴποι τις, οἰκουμένης, ὁ πολλοῖς περιῤῥεόμενος ἀγαθοῖς καὶ παντοδαπαῖς κομῶν ἀρεταῖς, καὶ τοῖς μὲν αὐτὸν οὐκ εἰδόσι τῇ φήμῃ θαυμαζόμενος, πρὸς δὲ αὖ τοὺς ἅπαξ ἰδόντας λαμπρῶς τὴν φήμην ἐλέγχων μηδαμῶς θεὸν οὖσαν, ἅτε δὴ μὴ δυναμένην δεῖξαι τὸν ἄνδρα ἡλίκον ἡ πεῖρα παρίστησιν· οὗτος ὁ λαμπρότατος μὲν τὸ σχῆμα, λαμπρότατος δὲ τὴν γνώμην, καὶ τῇ μὲν ῥώμῃ πάντας ἐκπλήττων, τῇ δὲ συνέσει φίλους ποιούμενος, καὶ χεῖρα πᾶσιν D ὀρέγων, καὶ ἑαυτὸν παντοδαπὸν ἐπίκουρον παρεχόμενος τοῖς χρῄζουσι βοηθείας, καὶ νῦν τῇ φύσει χρησάμενος ἀντὶ λιμένος ἡμῖν κατίστη μετὰ διπλοῦ τοῦ χειμῶνος, τοῦ τε τῆς ὥρας, τοῦ τε τῆς τύχης, εἰς αὐτόν τε καὶ τοὺς τρόπους τοὺς αὐτοῦ κατηρκόσιν, ἡδὺς δὲ μάλα φανόμενος ταῖς συνουσίαις, καὶ διὰ πάντων ἡμᾶς εὐφραίνων, καὶ τιμῶν ὡς μάλιστα καὶ φιλῶν οὐχ ἥκιστα, καὶ ὑπερβολαῖς ἐν ἅπασι κεχρημένος τοῖς εἰργασμένοις, μικροῦ δοκεῖ καὶ ἐρυθριᾶν, πολὺ τοῦ δέοντος ἐλλείπειν μόνος οἰόμενος· οὕτω μεγαλόψυχος ὁ ἀνήρ...

Digitized by Google

ANNO DOMINI MCDXXX.

JOANNES ANAGNOSTA.

NOTITIA.

(Hankius, *De Rer. Byzantin. script.*, p. 636.)

I. Tempus, quo superstes Anagnosta fuit, cognoscimus ex Thessalonicæ Macedonum urbis [quæ scriptoribus Græcis recentioribus etiam Therma dicitur] extremis calamitatibus. Eam, ab imperatore Manuele Palæologo patre acceptam, imperatoris Joannis Palæologi fratris [qui ab A. C. 1419 ad 1448 imperavit] ætate possidebat Andronicus Palæologus despota. Ducas Michaelis nepos in *Historia Byzantina*, cap. 29, interprete Ismaele Bullialdo: *Andronicus despota Manuelis imperatoris filius post Joannem imperatorem et Theodorum tertio genitus, quique sacro morbo consumptus est, Thessalonicæ dominabatur.* Laonicus Chalcocondylas *De rebus Turcicis*, libro IV, interprete Conrado Clausero: *Andronico autem* [Manuel Palæologus imperator] *imperio regendam concessit Thermam, qui virtute post Joannem secundus inter filios regios erat.*

II. Eamdem urbem a Turcis, Bajazetem principem habentibus, graviter oppugnatam, cum Andronicus parum defendere valeret, imperio suo Veneti subdiderunt. His ab Andronico venditam commemorant Laonicus Chalcocondylas loco dicto: *Thermam quoque, ut quæ non amplius retineri posset, propter res civitatis admodum accisas, Venetis vendidit. Cum igitur judicaret eam venditionem tum sibi, tum urbi expedire, parvo pretio accepto eam Venetis tradidit.* Georgius Phranza lib. I *Chronici*, cap. 21: *Etiam Despota Andronicus Thessalonicam Venetorum Senatui quinquagenis aureorum millibus venundedit.* Contra deditione voluntaria, invito Andronico, traditam Ducas in *Historia Byzantina* refert cap. 29. *Indignati Thessalonicenses Turcorum incursiones quotidianas, nec ab ullo suorum liberatum iri sperantes, quod urbs calamitatibus intestinis premeretur, nec tolerare posset famem urgentem, omniumque necessariorum penuriam, consilio habito, Despota volente nolente, primarios urbis cives ad Venetos misere, qui Thessalonicam eis dederent.*

III. Thessalonicam Venetis, seu venditione, seu deditione traditam Murates II, Turcarum princeps, expugnabat die Martii XXIX, anno imperatoris Joannis Palæologi junioris 12, mundi Græco 6938, Christi 1430. Georgius Phranza lib. II *Chronici*, cap. 9: *Quo tempore etiam Amuras Amurates Thessalonicam obsedit, quam tum Veneti tenebant.* Ibidem paulo post: *Atque ita mense Aprili* [non Aprili, sed Martio, si nostro credimus Anagnostæ, qui potiorem hac in re fidem meretur] *ejusdem anni* [6938] *inclytam Thessalonicam armis subjugavit.* Ipse noster Anagnosta in libro *De excisa Thessalonica* cap. 13, interprete Leone Allatio: *Is* [e Turcis, qui primus Thessalonicensium muros ascenderat] *Latini inter propugnacula confossi vulneribus et extremum spirantis caput abcissum inter confligentes projecit, innuens, se partis illius potitum, et desertis muris plane omnes in fugam sese, reditus immemores, conjecisse. Diem tum aperiebat mensis Martius nonum et vicesimum anni sex millesimi nongentesimi tricesimi octavi. Quare ille pedites omnes adhortans et destitutum a defensoribus locum significans, ut illico ascenderent, clamare. Illi ut poterant subito scalis universis admotis, frequentes ascendere, clamore et strepitu, qui tympanis corio confectis elicitur.*

IV. Anagnosta noster, cum Murates imperio Thessalonicam Turcico subjiceret, in ea vivebat, communium malorum, quibus incolæ tum fuerunt obnoxii, consors. Testis est ipsemet in libro jam laudato, cap. 2, ubi compellat his verbis amicum: *Ipse vero ea solummodo complectar, quæ hæc civitas hoc sui excidii tempore passa est, tuque nobis paulo ante quam ex ea excederes, insinuaras, propterea que infortunii, quod eam oppressit, non admodum gnarus. Res siquidem Latinorum tu etiam, cum in urbe quotidie, quæ gererentur, conspiceres, optime* [*nec fallor*] *tenes.* Ibidem paulo post: *Neque enim Turcæ cum Latinis fœdus inire, licet sæpius legatione missa id pertentassent, supplicesque etiam rogassent: neque erat in nostra potestate, copiis nostris in angustum oppido coactis, et discordantibus votis ab unanimi sententia convulsis, aliquid agere, ut tute etiam nosti, qui una nobiscum eras, malorum perinde, atque alii, expertus.* Cap. 8: *Omnibus ergo ad pugnandum et adversus irruentes, animo virili præsentique paratis, aliud præter nostram exspectationem Murates exsequitur. Nos enim omnes suspicabamur, tantam copiarum molem et machinarum, quas multitudo camelorum et curruum quotidie advehebat, conspicati, primo sui appulsu furenter iratum muros appetiturum, eosque lapidum manufacto tonitru diverberaturum, nec non et supra muros stantes su-*

Digitized by Google

gitiis impulsis dimoturum, machinasque omnes ad urbem excidendam usurpaturum. Cap. 13, cum a Turcis urbem superatam memoravisset : *Omnes itaque nos, ut cuique licuit, fugam maturantes, alii in ædibus sese abdere, alii in cuniculos et sepulcra, et si quid aliud saluti conducibilius videbatur, non absque tremore subrepere.* Cap. 18, ubi de Muratis a Thessalonicensibus abitu loquitur : *Primatibus suis* [Muratem] *quidam etiam sacramento ferunt dixisse : Injustum est, cum rebus debellatorum* [Thessalonicensium] *debellatos quoque in vincula conjici, et patria alio abductos spoliari : libertatem itaque illis stabiliamus, si ita videtur, aut sine pretio illos accipientes, aut illud nos erogantes : auditorum alios sententiam laudasse, adhortatos, ut faceret ; sed unum ex ducibus, qui dignitate cæteros antecellebat, non tantum non approbasse verba de libertate, sed et quibus poterat rationibus, consilium principis impedivisse : et vero similia dicere, quod alios anteiret, visus est. Erat plane id quoque meorum scelerum fructus, ut ipse mihi suadeo, quemadmodum et quæ evenere reliqua ; licet nonnulli sermonem hunc non patentibus auribus arripientes, neque semetipsos causam fuisse judicantes, divinis præceptis neglectis, hominibus eventuum causas ascribant. Ego vero, quidquid id fuerit, divinæ punitioni propter meam correctionem tribuo.*

V. Post hæc, nudam civibus Thessalonicam Murates incolis instructam cupiebat, ideoque diversis in locis commorantes Thessalonicenses in eamdem revocabat. Inter hos, qui Thessalonicam repetierant, postea vero suum in eam reditum damnabant, cum Murates aliquot annis elapsis post excidium, ingressus urbem, promissa Thessalonicensibus non servaret, noster Anagnosta fuit. Tradit hæc cap. 19 : *Porro abiere præcones,* inquiens, *ad multa illius ditionis loca, ut dictum est, quos reperere Thessalonicenses, qui ante nonnullos annos rerum angustiis pressi ex ea secesserant, etiam vi reduces fecere, captivos item quoquo modo in libertatem vindicatos.* Ibidem paulo post : *Opinabamur vero, urbem rursus pristinum decorem recepturam, et pietatem novis floribus emersuram, et, ut antea, longe lateque divagaturam. Et forte effectum habuisset, ni rursus meorum delictorum copia obstitisset, datusque esset locus improbitati. Ex quo enim civitas captivitate pressa fuerat, et Murates omnia, et ædificia, et possessiones, et sacra templa, e monasteria, et eorum reditus, nobis revertentibus quoquo modo liberis factis magnifice et scripto, et sermone elargitus est, et locis ex omnibus advenientibus libertatem palam edixit, et suas domus, et quæcunque immobilia omnes recuperarunt, et ordo omnis, et gens universa civitatis secundo augeri renovarique haud improspere cœpere, et pastor urbis creatus, et Ecclesia constitit suis institutis conspicua, et monachi monasteria tenuerunt, et studiose admodum eorum augmentis inhiabant, omnesque spe lactubamur bona et, ut breviter me expediam, propter excidium nobis malorum illatorum memoriâ amissa, gaudebamus pro iis, quæ nobis insperato obtigerant, et pristinam felicitatem tranquillitatemque consecuturam urbem sperabamus ; tum ex nobis, ut proverbio fertur, lorum sumptum est, et, quæ expectabantur bona, in contrarium reciderunt.* Cap. 20 : *Nam Thessalonicam repetens Murates* [*secundus tum currebat vel tertius post excidium annus*] *ut eam inviseret, accuratiusque res illius addisceret, et bonis illius frueretur, et muneribus munificis contenderet cum suo progenitore, illiusque vestigiis insisteret : qui Thessalonica potitus gratias innumeras largitionesque maximas fecit : hac, inquam, fretus mente, illiusque exsequendæ causa veniens, postmodum malis aliorum monitionibus distractus, consilium pristinamque sententiam mutat : et quæ, quo capti sumus tempore, non peregit, eo temporis perficere constituit. Igitur, licet ille diceret, ideo se venisse ut urbem et singula illius circumspiceret, otioque et laboris remissione uteretur, bonisque illius ad saturitatem luxuriaretur, sicque non minus in eam benevole affectus, meliora speranda nobis in posterum relinqueret ; nihilominus primum mandatum dedit, quod nec per somnium quidem quispiam expectasset. Id autem erat, monasteria omnia templaque occupanda, eorum reditus omnes possessionesque auferendas, et in angustum oppido res nostras cogendas. Quod non multo post factum est ab illis insigniter.* Cap. 21 : *Nunc porro, qui a longioribus oris illius, compotes fiendi desiderio exardebant, eos sui desiderii, sed et nos quoque in eam reditionis pœnitet ; cum spes melioris status penitus sublata sit.* Ubi notes, auctorem nostrum capite 20, cum sit dubius, altero an tertio anno, post urbis Thessalonicensis excidium, id est annum Christi 1430, res, quas hoc loco narrat, acciderint ; facere nobis aliquod indicium, eas se litteris commisisse post annos ab expugnata Thessalonica plures, quam tres ut, quoto anno gestæ fuerint, exacte non amplius recordari potuerit. Unde, non tantum anno Christi 1433, sed etiam aliquot annis post in vivis Anagnostam nostrum exstitisse colligas.

Joannis Anagnostæ scripta. De rebus Constantinopolitanorum Macedonicis.

VI. Ad quemdam virum laudabilem, cujus nomen silentio tegit, narrationem de extremo excidio Thessalonicæ scripsit. Hoc libello narrat, et obsidionem, et expugnationem istius urbis Macedonum primariæ, quam imperio CPolitano subjectam, cum adversus Turcas Cpolitani defendere satis non possent, Venetorum potestati subditam, anno imperatoris Joannis Palæologi Junioris 12, Christi 1430, Murates II Turcarum princeps dominio Turcico subjecit. Prodiit Græce et Latine, interprete Leone Allatio, in ejusdem Symmictis, Coloniæ Agrippinæ per Jodocum Kalcovium, MDCLIII, in 8.

Digitized by Google

ΙΩΑΝΝΟΥ ΑΝΑΓΝΩΣΤΟΥ

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ

ΤΕΛΕΥΤΑΙΑΣ ΑΛΩΣΕΩΣ ΤΗΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΣΥΝΤΕΘΕΙΣΑ

ΠΡΟΣ ΤΙΝΑ ΤΩΝ ΑΞΙΟΛΟΓΩΝ ΠΟΛΛΑΚΙΣ ΑΙΤΗΣΑΝΤΑ ΠΕΡΙ ΤΑΥΤΗΣ, ΕΝ ΕΠΙΤΟΜΩ.

JOANNIS ANAGNOSTÆ

NARRATIO

DE EXTREMO THESSALONICENSI EXCIDIO

IN GRATIAM CUJUSDAM LAUDABILIS VIRI, QUI SÆPIUS EAM EFFLAGITAVIT, COMPENDIO CONCINNATA.

(Ex Leonis Allatii *Symmictis*, p. 318.)

1. Multa equidem nobis sæpenumero et alia gnavum tuum atque industrium animum palam indicarunt, vir optime et doctrinarum studiosissime; non minus vero erga eorum narrationem quæ perillustri antea urbi Thessalonicensium contigerunt conatus, et ad ea enarranda ponendaque sub oculis, ut nobis licet integrumque est, prudentia incitamenta. Hæc namque manifesto pervulgant quo pacto ad necessarias disciplinas dispositus sit animus tuus, et historiis ac sermonibus, quibus homines ad meliora deflectuntur, incumbens, totus in futura mutarique nescia plane ingeratur. Verumtamen, licet id studium sua laude et admiratione non careat, attamen, quicunque sapit pleno pectore, non illius æstimationis esse ducet, te illis, qui arte dicendi plurimum valent et ante omnia perpetuo scribendo tempus insumunt, neglectis, mihi parum considerate, homini segni inertique et ad scribendum plane ineptissimo, nec non rebus laudabilibus comparandis prorsus hebeti, eam provinciam demandasse, consimilem, ut reor, apibus, quæ dum principia mellis emungere compelluntur, ultradunt, suave odoratis floribus desertis thymum, herbam acritudine plenam nulliusque prorsus odoris compotem, circumvolitant. Sed gravis res est amicitia, omnes ab se irretitos omnia amicorum gratia et agere et dicere vi quadam cogens, et a multis emanantem laudem illis conciliare sueta, hoc siquidem te et ad tantam rem nobis persuadendum, præconia ex auditoribus nobis forte procurantem indeque placita amicitiæ conferentem, compulit. Ego porro silentium tanquam minus periculosum elegis-

α'. Πολλὰ μὲν ἡμῖν πολλάκις καὶ ἄλλα τὸ σῆς ψυχῆς σου φιλόπονον ἀριδήλως ἐγνώρισεν, ἀνδρῶν ἄριστε καὶ φιλομαθέστατε, οὐχ ἧττον δὲ καὶ ἡ πρὸς τὴν διήγησιν τῶν ἤδη τῇ περιφανεῖ τὸ πρότερον πόλει Θεσσαλονίκῃ συμβεβηκότων σπουδή σου, καὶ τὸ λόγοις ἡμᾶς συνετῶς ἄγαν ἔχουσι διεγεῖραι, ταύτην ὡς ἂν ἐπίδηλόν σοι κατὰ δύναμιν θέσθαι τὴν ἡμετέραν σπουδάσωμεν καὶ ὥσπερ ὑπ' ὄψιν ἀγάγωμεν. Δείκνυσι γάρ σου περιφανῶς τὴν ψυχὴν, περὶ τὴν τῶν ἀναγκαίων ὅπως μάθησιν ἔχει, καὶ ὡς ἐκ τοῦ προσέχειν ἱστορίαις καὶ λόγοις, οἷς ἄνθρωποι πρὸς τὰ κρείττω σαφῶς μετατίθενται, τῶν μελλόντων ὅλη καὶ μὴ μεθισταμένων καθίσταται. Πλὴν ἀλλ' οὕτω θαυμασίας οὔσης γε τῆς σπουδῆς, ἐκεῖνο πᾶς ἐστι σοῦν εὖ φρονῶν, τῶν οὐκ ἐπαινουμένων ἂν οἰηθείη ὅτι γε τοὺς εἰς ἄκρον δυνάμεως λόγων ἐλήλακότας παραδραμὼν, καὶ προῦργου παντὸς τὸ λογογραφεῖν ἀεὶ ποιουμένους, ἐμοὶ τὴν τοσαύτην ἐγχείρησιν ἀπερισκέπτως ἀνέθου, νωθρότητι διανοίας ἀμαθῶς ἀληθῶς ἔχοντι περὶ λόγους καὶ πρὸς πᾶσαν ἡντινοῦν ἀγαθῶν κτῆσιν ῥᾳθυμοῦντι καθάπαξ. Καὶ τοιοῦτόν οἶμαι πέπονθας ταῖς μελίσσαις, ὅτε τὰς ἀρχὰς ζητεῖν τοῦ μέλιτος κατεπείγονται· παρατρέχουσι μὲν γὰρ, ὥς φασι, τῶν ἀνθέων τὰ εὔοσμα, ἐφίπτανται δὲ τῷ θύμῳ, φυτῷ δριμύτητος γέμοντι καὶ λίαν ἀνόσμῳ. Ἀλλὰ δεινὸν ἡ φιλία, πάντας ἁπλῶς τοὺς ἐνισχημένους γε ταύτῃ πάντα καὶ λέγειν ὑπὲρ τῶν φίλων καὶ πράττειν πρὸς βίαν κινοῦσα, τὸν παρὰ τῶν πολλῶν ἔπαινον αὐτοῖς προξενεῖν εἰωθυῖα. Τοῦτο γὰρ ἦν τὸ καὶ σὲ τοσοῦτον ἡμᾶς ἀναπείσαι καταναγκάσαν, τὴν ἐκ τῶν ἀκουόντων ἡμῖν εὐφημίαν ἴσως προγενέσθαι βεβουλημένον, κἀντεῦθεν τῇ φι-

Digitized by Google

λέξ χαρίσασθαι. Ἐγὼ μὲν οὖν βουλοίμην ἂν τὴν A sem, et præsens argumentum veluti vires meas exsuperans alio, nec immerito, amandassem; sed mente revolvens quæ sint contumaciæ pericula, propterea que inevitabili vi constrictus, necessarium mihi duxi memetipsum petioni tuæ tradere mandatumque tuum pro viribus adimplere. Et dum ego proclivis et obsequens efflagitatis obtempero, et tui gratia, a quibus mihi longe animus est, aggredi præsumo, justum fuerit te quoque in partem similis laboris precibus atque supplicationibus ad Deum venire, ut directus et dicendi facultate instructus et acumine ingenii fultus dignum quidpiam tuo desiderio persolvam, argumentumque infamia non aspergam. Rogo vero universos qui hæc percurrerint, elinqui planeque rudi commentario, nostrum obsequium prompte amplexatos, veniam dare. Neque enim dicendi facultate confisi ad hoc devenimus; tum enim, et jure, insimularemur a quolibet, cui id complacitum fuerit; nam quam longissime a sermonibus eorumque scientia absumus; tantum abest ut cate eorum usum nobis promittere audeamus; sed imperanti obtemperantes, et quod accusationi non subsit si quis propriam facultatem ad aliquid ex necessariis expediendum experiatur, crimine vacare existimantes quemcunque, non sui ostentandi causa, sed ne quæ digna auditione reputantur silentii tenebris involvantur, singulis horis, ut facultas est, scripto tradere. Erit itaque sermo simplex ac facilis et ut plurimum, dum sic admones, compendiosus, necessaria tantummodo complectens; quæ vero tacuerit, a te, qui dicentis orationem auribus devoras, inter damna reputabuntur.

σιωπὴν ὡς ἀκίνδυνον μᾶλλον ἐλέσθαι καὶ τὴν παροῦσαν ὑπόθεσιν, ὡς τὴν ἐμὴν ὑπερβαίνουσαν δύναμιν, παραιτήσασθαι πάνυ δικαίως· λαβὼν δ' ἐπὶ νοῦν τῆς ἀπειθείας τὸν κίνδυνον ὅσος, καὶ διὰ τοῦτ' εἰς ἀνάγκην συνελαθεὶς ἀπαραίτητον, δεῖν ὥμην ἔτοιμον ἐμαυτὸν παρασχεῖν σου τῇ ἀξιώσει καὶ σου τοὐπίταγμα πεπληρωκέναι ὡς δύναμις. Κἀπειδήπερ ἐπικλινὴς ἐγὼ καὶ εὐγνώμων πρὸς τὸ ζητούμενον ὤφθην σοι, καὶ σὴν χάριν ὧν οὐκ ἐβουλόμην κατατετολμηκέναι προῄρημαι, δίκαιον ἂν εἴη καὶ σὲ τῆς ἐγχειρήσεως ταύτης ἡμῖν ταῖς εὐχαῖς συνεφάψασθαι, ἵν' ὁδηγηθέντες, καὶ δύναμιν ἐσχηκότες λόγου καὶ διανοίας ὀξύτητα, τῆς σῆς φανῶμεν ἄξια ἐπιθυμίας ἐργάσασθαι καὶ μηδὲ τὴν ὑπόθεσιν καθυβρίσωμεν. Παρακαλῶ δὲ καὶ πάντας τοὺς ἐντευξομένους τῷ B πάσης ἀμουσίας πεπληρωμένῳ τῷδε συγγράμματι συγγνώμην ἡμῖν παρασχεῖν ἐξ ἑτοίμου, τὴν ἡμετέραν εὐπείθειαν ἀποδεξαμένους. Οὐ γὰρ δυνάμει λόγων τεθαρρηκότες ἐπὶ τοῦτο προήγμεθα, ἵνα καὶ μέμψιν σχῶμεν δικαίως παρὰ τοῦ βουλομένου παντὸς (πολλοῦ γε καὶ γὰρ δέομεν τοῦ λόγους εἰδέναι καὶ τούτοις γε χρῆσθαι κατ' ἐπιστήμην θαρρεῖν), τῇ δ' ἐπιταγῇ τοῦ προστεταχότος ἡμῖν, καὶ τῷ μὴ μέμψιν ἔχειν εἴ τις τὴν ἑαυτοῦ πρός τι τῶν ἀναγκαίων ἐνδείκνυται δύναμιν, ἀνέγκλητον εἶναι οἰόμενοι πανταχοῦ τὸ πάνθ' ὁντινοῦν μὴ πρὸς ἐπίδειξιν, πρὸς δὲ τὸ μὴ τάφῳ σιγῆς παραπέμπεσθαι τὰ πρὸς ἀκρόασιν ἄξια, τοῖς κατὰ δύναμιν ἐγχειρεῖν λόγοις ἑκάστοτε. Ποιήσομαι δὲ τὸν λόγον ἁπλοῦν τε καὶ εὔληπτον, ἀλλὰ δὴ καὶ συνεσταλμένον ὡς τὰ πολλὰ C κατὰ τὸν σὸν λόγον, τἀναγκαῖα μόνον περιλαβών, καὶ ὅσα δὴ παρεθέντα ζημία σοι λογισθήσεται πρὸς ἀκρόασιν κεχηνότι.

β'. Εἰ μὲν οὖν τις ἐτύγχανες ὢν τῶν οὐκ εἰδότων τὴν πόλιν, τὰ καθ' ἕκαστόν τε ἠγνόεις αὐτῆς ὥσπερ οἱ πρῶτον ἐξ ἀλλοδαπῆς εἰς ἑτέραν μετοικήσαντες πόλιν, ἕως ἂν τὸ τοῦ χρόνου μῆκος, ταύτην αὐτοῖς κατὰ μέρος γνωρίσειεν, ἐδεόμην λόγων ἂν ἐνταῦθα μακρῶν, ἵνα μηδὲν τῶν τῆς πόλεως τὴν σὴν διαφύγῃ γνῶσιν. Ἐπεὶ δὲ πρὸς θρέμμα ταύτης τὸν λόγον ποιοῦμαι καὶ ἀκριβέστερον ἢ πολλοὺς ἄλλους τὰ κατ' αὐτὴν ἐγνωκότα, μάτην οἱ μακροὶ περὶ τούτων λόγοι καὶ ἡ περὶ τῆς θέσεως μεγέθους τε καὶ κάλλους καὶ τειχῶν ἀσφαλείας καὶ προσέτι τοῦ εὖ κε- D κρᾶσθαι καὶ τῶν ἄλλων ἀκρίβεια, καὶ μάλισθ' ὅτι πρὸ μακρῶν ἐτῶν τὰ περὶ τῆς πόλεως ἕτεροι φιλοπόνως ἄγαν δυνάμει λόγου καὶ ῥητορικῆς εὐγλωττίας δεινότητι ἠκριβωμένως ἐξέθεντο, καὶ μετὰ τὴν πρώτην πασῶν εἰπεῖν λαμπροτέραν πολλαῖς ἀποδείξεσιν ἀποφῆναι ταύτην ἐσπούδασαν. Ἐκείνοις δ' ἐμαυτὸν ἐγωγε μόνον διηγούμενος δώσω, ὥνπερ ἡ πόλις ἐν τῷ τῆς νῦν ἀλώσεως χρόνῳ πεπείρατο, καθάπερ ἔφης καὶ σὺ πρὸς ἡμᾶς, μικρὸν πρὸ ταύτης ἀπάρας ἐνθένδε, καὶ διὰ τοῦτο τὸ κακὸν οὐκ εἰδὼς ἀκριβῶς ὅπως κεχώρηκε. Τὰ τῶν Λατίνων γὰρ οἷδ' ὅτι καὶ αὐτὸς οἶσθα σαφέστατα τῇ πόλει παρὼν καὶ καθ' ἑκάστην ὁρῶν τὰ γινόμενα.

Ἔπασχεν οὖν τῶν Λατίνων κρατούντων ἡ πόλις

2. Si quis itaque esses rerum urbis imprudens ignarusque omnium, quemadmodum qui primum ex alienis regionibus peregrinantes, terrarum in quas appellunt infantissimi sunt, donec decursu temporis singula illius addiscant, prolixis mihi opus esset sermonibus, ne quid eorum quæ in urbe sunt tuam scientiam fugeret: verumtamen cum ad illius alumnum sermonem dirigam eumque qui præ aliis multis accuratius res illius callet, frustra hic verbosi sermones instituerentur, deque illius situ, magnitudine, pulchritudine, murorum securitate, nec non optima aeris temperie, aliorumque ratio exquisita proponeretur; eoque potissimum quod ante plerosque annos alii res urbis quam maxime studiose, et dicendi facultate et eloquentiæ Atticæ luminibus, docte exacteque prosecuti, post reginam omnium, ut ita dicam, illustriorem multis demonstrationibus declarare conati sunt; ipse vero ea solummodo complectar, quæ hæc civitas hoc sui excidii tempore passa est, tuque nobis paulo ante quam ex ea discederes insinuaras, propterea que infortunii quod eam oppressit non admodum guarus, res siquidem Latinorum tu etiam, cum in urbe quotidie quæ gererentur conspiceres, optime (nec fallor) tenes.

Urbs itaque in Latinorum ditionem redacta, cum,

Digitized by Google

ut tu cate nosti, tantum malorum sustineret et diris quotidie exitiis undique confertis afflictaretur, et sermones multi conferrentur quonam pacto ex tot malis emergere possemus, nullum remedium occurrebat, nec aderat Averruncus. Neque enim Turcæ cum Latinis fœdus iniere, licet sæpius legatione missa id pertentassent, supplicesque etiam rogassent; neque erat in nostra potestate, copiis nostris in angustum oppido coactis et discordantibus votis ab unanimi sententia convulsis, aliquid agere, ut tute etiam nosti, qui una nobiscum eras, malorum perinde atque alii expertus.

3. Cum itaque res nostræ ita se haberent, et singula momenta innumeras prope noxas inferrent, deque salute desperaremus, malum aliud repente irrupit, et validiorem adamante animum disjiciens, boni scilicet pastoris et, æque ac primus pastor, quotidie profuse animam ponentis, divino consilio obitus, illi quidem fortunate succedens, nobis vero damna, eaque ingentia, concilians, qui illius ad Deum precibus, quibus saluti nostræ providebatur, privamur. Et divino consilio illum contigisse conjicies ex illis quæ illi adhuc superstiti inter somniandum evenerant. Visus est sibi, antequam urbs bello concideret, domum præclaram et maximam ingresso, singulas illius partes inspicere et decora ac magnitudinem magnopere demirari; his intentum vocem, deforis advenientem inaudisse: «Domus hæc, cujus partes singulas illustres atque venustas considerans admiraris, actutum concidet; et ne te sua ruina opprimat, quam cito foras eripe te.» Visum hoc effectu non multo post comprobatum est. Ille etenim ut justus appareret et virtutis suæ multorum laborum præmia referret, sic, uti par erat, et ante commune infortunium, ad Deum, quem tantopere concupiverat, migravit. Neque enim justum apud Deum reputabatur similium malorum eum participem fieri, vita siquidem illius non erat similis aliis, et semitæ immutatæ, ut cum Salomone loquar. Nos vero improbitate plane repleti, et in cogitationibus cordis nostri pessimi ambulantes, ut Jeremias inquit, et perinde atque antiquus Israel murmurantes, ut nobis allubescit, rebus non succedentibus, jure merito mala ac solida calamitate mactamur, et tali viro orbamur qui solus afflictissimis hisce temporibus in tantis rerum discriminibus solatium remanserat, omnes siquidem eum uti vitalem in nobis facultatem reputabamus, illiusque mortem tantummodo ducebamus adversus nos justissimæ numinis punitionis exordium. Hoc eos redarguit apertissime qui indigna dicta in eum ingerunt et infamia onerant, quod proditionem non suaserit, et quod eos propriis consiliis, altius quidpiam meditatus, jure represserit. Opinor equidem ego, cum vellet Deus ut omnibus innotesceret quis vir ille sacer esset et quorum dignus, qui vero nos et quibus pœnis obnoxii, quibus miseriis juste excruciandi, id propter res utriusque in rem utrique disposuisse.

ὡς οἶδας, καὶ ὁσημέραι θλίψεις ἡμῖν ἐπήγοντο παντοθέν, καὶ λόγων πολλῶν παρ' ἑκάστοις πῶς ἂν ἀναθείημεν γιγνομένων τρόπος ἦν οὐδ' ὁστισοῦν ὁ τούτων ἡμᾶς τῶν δεινῶν ἀπαλλάξων. Οὔτε γὰρ οἱ Τοῦρκοι τοῖς Λατίνοις ἐβούλοντο σπείσασθαι πολλάκις πρεσβευσαμένοις περὶ τούτου καὶ δεηθεῖσιν, οὔτ' ἡμῖν ἐξῆν πρᾶξαι τὸ κατὰ γνώμην, ὀλίγοις ἄγαν καθεστηκόσι καὶ ἀνισότητι γνώμης ἀποδεδληκόσι τὸ ὁμονοεῖν, ὡς ἄρα καὶ σοὶ γνώριμον τοῦτο σὺν ἡμῖν γε ὄντι καὶ τῶν δεινῶν ἐκείνων τοῖς ἄλλοις παραπλησίως εἰληφότι τὴν πεῖραν.

γ'. Οὕτως οὖν ἡμῖν ἔχουσιν, ὅσαι τε ὧραι μυρία τὰ χαλεπὰ φέρουσι καὶ τὴν σωτηρίαν ἀπαγορεύουσιν, κακὸν ἐξαίφνης ἐπῆλθεν ἕτερον καὶ στερρότέραν εἰπεῖν ἀδάμαντος πλῆξαν ψυχήν. Τὸ δ' ἦν ἡ τοῦ καλοῦ ποιμένος καὶ κατὰ τὸν πρῶτον ποιμένα τὴν ψυχὴν ἐφ' ἑκάστης ἀφειδῶς ὑπὲρ τοῦ ποιμνίου τιθέντος κατὰ θεῖον βούλημα τελευτή, ἐν καλῷ μὲν ἐκείνῳ γεγενημένη, βλάβος δ' ἡμῖν ἐπενεγκοῦσα πολὺ, τῶν ἐκείνου λιτῶν πρὸς θεὸν στερηθεῖσιν, αἷς ἐσωζόμεθα. Ὅτι δὲ κατὰ θείαν αὕτη βούλησιν ἦν, ἄκουε τοῦ φανέντος τῷ μακαρίῳ περιόντι κατ' ὄναρ ἐκείνῳ. Ἔδοξε πρὸ τοῦ τὴν πόλιν τῷ πολέμῳ ληφθῆναι οἰκόν τινα λαμπρὸν εἰσιέναι καὶ παμμεγέθη, περισκοπεῖν τε αὐτὸν κατὰ μέρος καὶ θαυμάζειν αὐτοῦ τό τε κάλλος καὶ μέγεθος, ἐν τούτῳ δ' ὄντι φωνὴν ἔξωθεν ἐνεχθῆναι λέγουσαν· « Ὁ μὲν οἶκος οὗτος, οὗ τὰ καθ' ἕκαστον, ὦ δέσποτα, ὡς λίαν λαμπρὰ καὶ ὡραῖα θαυμάζεις περιαθρῶν, πίπτει τὸ τάχος, καὶ ἵνα μή σε καλύψῃ πεσών, ἔξιθι τούτου ταχέως. » Οὕτως εἶχεν ἡ ὄψις, καὶ εἰς ἔργον ἦκεν οὐκ εἰς μακράν. Ἐκεῖνος μὲν γὰρ, ἵνα ἀναφανῇ δίκαιος καὶ τῶν πολλῶν τῆς ἀρετῆς ἐκείνου καμάτων λάβῃ τὰς ἀντιδόσεις, εἰκότως οὕτω καὶ πρὸ τῆς κοινῆς συμφορᾶς, πρὸς ὃν ἐπόθει Κύριον ἐξεδήμησεν. Οὐ γὰρ δίκαιον τοῦτο παρὰ Θεῷ κέκριτο, τοιούτων ἵνα κακῶν πεῖραν σχῇ καὶ κοινωνήσῃ τῶν ἴσων ἡμῖν· ἀνόμοιος γὰρ ἦν τοῖς ἄλλοις ὁ βίος ἐκείνου καὶ ἐξηλλαγμέναι αἱ τρίβοι, τὸ Σολομῶντος εἰπεῖν. Ἡμεῖς δὲ κακίας γέμοντες ὅλως, καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας ἡμῶν τῆς πονηρᾶς, τοῦτο δή τὸ τοῦ Ἱερεμίου, πορευόμενοι, καὶ κατὰ τὸν πάλαι γογγυσταὶ τυγχάνοντες Ἰσραὴλ, κατὰ τὴν ἡμετέραν ἐπιθυμίαν ἀπολαύειν ὅπως οὐκ ἔχομεν τῶν πραγμάτων, δικαίως οὕτω πεπράγαμεν δυστυχέστατα, καὶ τούτου τάνδρὸς ἐστερήμεθα, μόνου περιλειφθέντος ἐν τοιούτοις καιροῖς καὶ τοσούτοις ἀνιαροῖς εἰς παραμύθιον. Πάντες γὰρ ὥσπερ τινὰ δύναμιν ζωτικὴν ἐν ἡμῖν ἐνομίζομεν τοῦτον, καὶ τὴν τελευτὴν ἐκείνου μηδὲν ἄλλο νομίζειν εἴχομεν ἢ τῆς ἐφ' ἡμᾶς τοῦ Θεοῦ δικαιοτάτης παιδείας οἷον προοίμιον. Τοῦτο τῶν κατειπεῖν ἠρημένων ἐκείνου σαφέστατος ἔλεγχος, καὶ τοὺς ἀδικίαν κατ' ἐκείνου λαλοῦντας ὅτι μὴ προδοσίαν ἐσκέψατο, μηδὲ τῶν σφίσι δοκούντων συνιέντας βαθύτερον, ἐνδίκως ἐπιστομίζει. Οἶμαι γὰρ ἐγὼ, δεῖξαι βουληθεὶς ὁ Θεὸς οἷος μὲν ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ καὶ τίνων ἄξιος ἦν, οἵοι δ' ἡμεῖς καὶ τίνας εἰσπραχθῆναι δίκας δίκαιοι ἦμεν, διὰ τοῦτο τὰ καθ' ἑκάτερον μέρος οὕτως ὠκονόμησε συμφερόντως.

Digitized by Google

δ'. Τούτου οὖν τοῦ δεινοῦ, τῆς τελευτῆς ἐκείνου A φημὶ, προστεθειμένου τοῖς ἄλλοις, καὶ πάντων τῶν ἐν τῇ πόλει, ἀνδρῶν γυναικῶν παίδων Λατίνων τε καὶ αὐτῶν Ἰουδαίων, ἐλεεινῶς πρὸς ἀλλήλους διομιλούντων, καὶ τὰ μὲν ἄλλ' ὅσα τούτους ἐπίεζε δηλονότι τῇ λήθῃ παραπεμπόντων, τὴν τοῦ ποιμένος δὲ στέρησιν ἐπὶ νοῦν λαμβανόντων καὶ συνεχῶς προφερόντων, τῆς τοῦ Θεοῦ τε παιδείας, ὡς προὔφην, καὶ τῆς γεγενημένης ἀλώσεως καὶ λεγόντων σημεῖον τοῦτο καὶ πιστευόντων, — οὕτως οὖν διατεθέντων, καὶ ὀλίγου δή τινος ἐν τῷ μεταξὺ παρελη- λυθότος τοῦ χρόνου, χεῖρον ἢ πρότερον ἔσχε τὰ πράγματα, καὶ σύγχυσις πανταχῶ, ἄλλων ἄλλα βουλευομένων καὶ μηδὲν ἐν ταυτῷ συνελθεῖν δυναμένων· καὶ παραπλήσιόν τι τοῖς ἐπὶ νηὸς χειμαζομένης B ἐπάσχομεν, ὅταν ὁ κυβερνήτης ἀπῇ· πάντα γὰρ ἐκεῖ ταράχου μεστὰ, καὶ ἡ ναῦς οὐκ ἔχουσα τὸν ἰθύνοντα ταῖς τῶν ἀνέμων βίαις τοῦ πρόσω χωρεῖν ἀκινδύνως οὐ συγχωρεῖται. Τῶν μὲν οὖν δὴ πλειόνων δυσχερα- ινόντων ὅτι μὴ σφίσιν ἐξῆν προδοῦναι τὴν πόλιν τοῖς Τούρκοις, δεδιότων ἴσως ὃ γέγονεν ὕστερον, ἄγγελος ἦκε τὸν Μουράτην ἐφ' ἡμᾶς κεκινῆσθαι μηνύων, πλεῖστον ὅσον στρατὸν συναγείραντα, καὶ διὰ πάν- των καλῶς παρεσκευασμένον. Τοῖς μὲν οὖν δεκτέα πως ἔδοξεν ἡ ἀγγελία καὶ πιθανὴ, τοῖς δὲ μὴ, καὶ μάλιστα Λατίνοις, εἴτε μεγαλοψυχεῖν προσποιουμέ- νοις, εἴτε πεῖραν οὐκ ἐσχηκόσι τῶν Τούρκων, ᾧ καὶ μᾶλλον ἔγωγε πείθομαι. Πόθεν γὰρ εἴδησις τούτοις ἐν θαλάττῃ καὶ γεννωμένοις καὶ εἰς γῆρας διαιτω- μένοις, πρὸς συμπλοκάς τε καὶ μάχας, αἷς τὸ τῶν C Τούρκων κέχρηται γένος, ἔχουσιν οὐκ ἐπιτηδείως, καὶ μηδὲ δυναμένοις ἢ διὰ τριηρῶν ἀπελθεῖν εἰς ὑπερορίαν, ἡνίκ' ἂν καὶ ἔνθα βούλοιντο; μικρὸν τὸ μεταξὺ, καὶ πάλιν ἕτερος ἄγγελος, ταυτὰ τῷ προ- τέρῳ καὶ αὐτὸς διαγγέλλων, καὶ τοὺς λόγους ὅρκοις πιστούμενος ἀσφαλέσιν, ἐφ' οἷς ἐπείσθημεν μὲν ἡμεῖς, μηδὲν ἄλλο παρ' αὐτὸ προσδοκῶντες (τοῦτο γὰρ ὁ πολυετὴς ἡμᾶς ἐδίδασκε συγκλεισμὸς καὶ τὰ πράγματα), ἐπείσθησαν δὲ καὶ Λατῖνοι, καὶ πρὸς παρασκευὴν δεῖν ἔδοξε τούτοις διεγηγέρθαι.

ε'. Καὶ δὴ πρῶτον μὲν, οὗπερ ἤρξαντο πρότερον ἔργου, πρὸς τελείωσιν σπουδαιότερον διετέθησαν. Τὸ δ' ἦν ἡ περὶ τὰς ἐπάλξεις αὐτῶν ἐπιμέλεια. Μικρὸν γὰρ πρόσθεν διὰ φροντίδος πολλῆς πεποιήκεσαν τὰς ἐπάλξεις τοῦ τείχους παντὸς διαφράξαι σανίσιν, ὡς ἐν ἀσπίσι, τοὺς μὲν ἔξω πολεμίους ἀπειργούσαις τοῦ βέλεσι τιτρώσκειν τοὺς ἔνδον δεῆσαν προκῦψαι, τοῖς δ' ἐπὶ τῶν τειχῶν ἱσταμένοις πολλὴν τὴν ἄδειαν παρεχούσαις ἀφανῶς λίθοις ἄνωθεν βάλλειν τοὺς ἐπιόντας καὶ τῷ προστυχόντι παντὶ προσπελάσαι τοῖς τείχεσι βουληθέντας. Ἔπειτα δὲ δεῖν ἀριθμῆ- σαι τοὺς ἄνδρας ᾠήθησαν καὶ καταμαθεῖν εἰ πρὸς τὰς τοῦ ὅλου τείχους ἐπάλξεις καὶ τὸν περίβολον τὸν πρὸς ἤπειρον ἐξαρκοῦσι. Καὶ δὴ στῆναι πάντας ἐπὶ τῶν τειχῶν μεθ' ὧν εἶχεν ἕκαστος ἐπιτρέπουσιν ὅπλων, ὡς ἂν καὶ μάρτυρας τοὺς ἰδίους ἔχωσιν ὀφθαλ- μούς. Οὗ δὴ γεγονότος ἦν ἰδεῖν ἐπὶ δύο καὶ τρεῖς ἐπάλξεις ἕνα ἄνδρα ἱστάμενον, καὶ τούτων τοὺς πλείους μήθ' ὅπλα κεκτημένους (προανάλωσε γὰρ

4. Itaque tam diro malo, obitu nempe illius, cæteris adnexo, et omnibus in civitate viris, mulieribus, pueris, Latinis, Judaeis quoque ipsis, miserandum in modum sermonem conferentibus, et reliqua omnia quæ eos tum affligebant e memoria deponentibus, pastoris tanti privationem in mentem revocantibus et sæpius proferentibus asserentibusque, ut jam innui, et non temere credentibus indicium illud esse et divinæ punitionis et subsecuti excidii; hoc, inquam, statu rerum, cum modicum tempus interim processisset, in pejus quam antea ruere omnia, magna confusio animos occupare, cum alia alii decernerent nec possent in unam sententiam convenire, nosque illis qui in navi adversis tempestatibus utuntur cum gubernator abest, non absimiles, variis rerum fluctibus jactati. Namque ibi omnia sunt turbarum plena, et navis, spoliata rectore ac vi ventorum concussa iter suum continuare absque discrimine non permittitur. Cum ergo plerique ægre ferrent non concedi sibi Turcis urbem dedere, eventum postmodum secutum perhorrescentes, nuntius advenit Muratem adversus nos iter capessere, quamplurimis copiis et rebus aliis omnibus instructissimum. Quidam nuntio fidem esse adhibendam dicunt; negant alii, et Latini potissimum, sive magnanimitatem simulantes, sive Turcarum, quod credibilius videtur, inexperti. Namque unde illis, in mari genitis et ultimo etiam ætatis tempore vitam agentibus, nec non ad conflictus et pugnas, quibus Turcarum gens utitur, ineptis, nec valentibus cum triremibus alio extra suos fines, ut illis allubescit, divagari, cognitio venerit? exiguum abiit tempus, et rursus alius nuntius eadem quæ primus denuntiat, et jurejurando fidem alligat suam; quo nos persuasi sumus, nihil aliud exspectantes: hoc enim nostri per multos annos in angustum contractio resque ipsæ clamabant. Credidere et Latini; visumque est illis, sollicite necessaria præparare.

5. Et primum quidem, quod antea inchoaverant opus, propugnaculorum duntaxat curam perficere concitatius animantur. Paulo enim ante summo cum labore ac nimio opere accurarunt ut murorum propugnacula, adinstar scutorum, tabulis obserarent, quæ advenas hostes impedirent ne sagittis cives, si quando opus esset capite emergere, vulnerarent, iis autem qui muris insisterent facultatem uberem facerent clam e superiori parte saxis advenientes impetere, admotosque ad muros obvio quoque repellere. Deinde numerandos esse viros decernunt, ut discant an ad omnia murorum propugnacula et circuitum ad mediterranea vergentem sufficiant; et sic omnes in muris, suis quemque armis instructum, stare imperant, ut ad id testibus propriis oculis uterentur. Quo facto conspiciebatur in duobus et tribus propugnaculis unus tantum; eorumque potior pars neque arma gerere, quæ paupertas absumpserat, neque pugnæ aut conflictui apta; assidua namque mala et vi-

Digitized by Google

D Da igitur, benignissime, Domine, curis ut in posterum solutus agam, tibi, gubernatori bono, vitæ meæ clavo permisso. Tibi meus animus adhærescat, ut tua mihi opituletur dextera. Dux esto meus in vita tua, et ambulabo in veritate tua. Instrue me, quonam modo tam meipsum, quàm subditos meos gubernare debeam. Hilarem illum metum tui constabilito in corde servi tui, eodemque me instruas, ut dilectioni tuæ, vel tibi potius, qui re-

Digitized by Google

sensu meo, dum quovis tempore, quavis hora contrario mandatis tuis itinere perrexi, et eo sane modo, quo nullus unquam hominum, ac ne nunc quidem : non semel, non per vices, non brevi tempore quodam, hoc malo commisso, sed universa vita mea perpetuo in irratione tui consumpta, quasi si de industria vitiis inhærerem.

Vindica me, præpotens et benigne Domine, omnipotenti tua vi atque manu, ab omni malo tam animi, quam corporis, ab anxietate, dolore, ambitione immodica, metu, confidentia, contentione, ac si quid est his affine ; ab illorum oblivione, quæ recordanda veniunt ; ab eorum recordatione, quorum meoblitum oportuit ; ab imaginatione noxia, et cogitationis figmento, magna stultitia referto ; ab anticipatis opinionibus non honestis, neque bonis, imaginationi jamdudum impressis et inhærentibus ; a vitiosa pravaque consuetudine mea, et voluntate, et habitu ; ab hostium tam aspectabilium, quam inaspectabilium maleficio et aggressione. Ad summam, libera me de imbecillitate luti hujus, et propensione ad vitia.

Dux esto meus in via tua, et ambulabo in veritate tua. Instrue me, tuæ ut voluntati paream : quando tu Deus meus es, ab utero matris meæ. Lapsus in periculo constitutum, sustenta ; inclinatum animo, erige ; impulsu multorum malorum præcipitantem, resuscita : segnem animum excitans, membris quoque robur addito, præ debilitate de reversione desperantibus. Gravioribus animum curis expedias, quæ me suspicere non sinunt ; et vim ejus igneam divinioribus meditationibus accendens, alas ipsius per spem repositarum in altera vita voluptatum leviores efficias.

Scio me magna petere, maxima promeritum mala ; verendumque, ne te amplius ad iram provocem, minimum petendo. Sed peccatores invitatum venisti, sed petentium preces anticipas, sed majorem, quam res petitæ sint, gratiam largiris, sed omnium salus a clementia tua pendet. Nam absque te, qui gratuito bona suppeditas, nihil a quoquam egregii præstari potest. Tuum hoc verbum est, Servator, qui et adfuturum te promisisti, necdum oratione precantium finita.

Quare cum ita bonus sis, ita liberalis, et munificus, ita bonis ex temetipso perpetuis scatens : æquum fuerit, ut deprecanti culpam delictorum, absque mora non ignoscas modo, sed etiam gratiæ tuæ participem facias. Est hoc in more tibi, facilitanti jam id continuo, ab ipsis usque rerum primordiis.

Quapropter oculis in te defixis, et in tuæ bonitatis infinitatem (hæc autem vel lapideum moverint animum, ut ejus impetrandæ causa ad te accedat), justo metu jure liberatus, offerre tibi ausus sum matutinam hanc celebrationem et professionem fidei, cum gratiarum actione et confessione, te obse-

A ὥρᾳ τὴν ἐναντίαν τῶν ἐντολῶν σου ὁρμῶν, ὡς οὐδεὶς ἀνθρώπων οὐδέπω καὶ νῦν· οὐχ ἅπαξ, οὐκ ἐν μέρει, οὐδ' ἐν βραχεῖ τινι χρόνῳ τοῦτο τὸ κακὸν ἐργασάμενος, ἀλλ' ὅλον μου τὸν βίον διὰ παντὸς εἰς παροργισμόν σου καταναλώσας, ὥσπερ ἐμφιλοτιμούμενος τοῖς κακοῖς.

Ἐξελοῦ με, δυνατὲ καὶ φιλάνθρωπε Κύριε, τῇ παντοκρατορικῇ δυνάμει τε καὶ χειρὶ, παντὸς κακοῦ καὶ ψυχικοῦ, καὶ σωματικοῦ, ἀκηδίας τε καὶ λύπης, καὶ φιλοτιμίας ἀκαίρου, φόβου, θράσους, ἔριδος, καὶ εἴ τι τούτων ἔχεται λήθης, ὧν δεῖ μεμνῆσθαι· μνήμης, ὧν προσῆκεν ἐπιλελῆσθαι· φαντασίας λυμαινομένης, καὶ ἀναπλάσματος διανοίας, πολλῆς ἀφροσύνης γεμούσης, ἀπὸ προλήψεων οὐ
B καλῶν οὐδὲ ἀγαθῶν, ἐντετηκυιῶν καὶ ἐγκαθημένων αὐτῇ πόρρωθεν· τῆς φαύλης μου καὶ πονηρᾶς συνηθείας, καὶ γνώμης, καὶ ἕξεως· τῆς τῶν ἀοράτων καὶ ὁρατῶν ἐχθρῶν κακουργίας καὶ ἐπιθέσεως. Τὸ πᾶν εἰπεῖν, ῥῦσαί με τῆς ἀσθενείας τοῦ πηλοῦ τοῦδε, καὶ τῆς ἐπὶ τὰ φαῦλα ῥοπῆς τε καὶ προαιρέσεως.

Ὁδήγησόν με ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου. Ὅτι σὺ εἶ ὁ Θεός μου ἀπὸ γαστρὸς τῆς μητρός μου. Καταπεπτωκέναι κινδυνεύοντα ὑπάνεχε· κεκλιμένον τὴν γνώμην ἐπανόρθου. Ὠθισμῷ πολλῶν δεινῶν κατενηνεγμένον ἀνάστησον· καὶ τῆς
C ψυχῆς τὸ ῥᾴθυμον διεγείρων, τίθει καὶ τόνον τοῖς μέλεσιν, ἀπειρηκόσι πρὸς τὴν ἐπάνοδον. Φροντίδων μὲν αὐτὴν ἀπάλλαττε τῶν ἐμβριθεστέρων, μηδὲ διδουσῶν ἀνανεῦσαι· τὸ δὲ πυρῶδες αὐτῆς ἀνάπτων ταῖς θειοτέραις μελέταις, τὸ πτερὸν αὐτῇ κούφιζε ταῖς ἐλπίσι τῶν ἀποκειμένων ἀπολαύσεων.

Οἶδα μεγάλα αἰτῶν, μεγίστων ὢν κακῶν ἄξιος· καὶ ἔστι δέος, μὴ προσπαροργίσω τῇ ὑπερβολῇ τῶν αἰτήσεων. Ἀλλ' ἁμαρτωλοὺς καλέσων ἐλήλυθας, ἀλλὰ φθάνεις τῶν αἰτούντων τὴν δέησιν, ἀλλὰ παρέχεις μείζω τῶν αἰτουμένων τὴν χάριν, ἀλλ' ἡ σωτηρία πάντων τῆς φιλανθρωπίας τῆς σῆς ἤρτηται. Χωρὶς γὰρ σοῦ τοῦ προῖκα παρέχοντος τἀγαθὰ οὐδ'
D ὁτιφῦν τις δύναται τῶν δεόντων ἐργάσασθαι. Σός ἐστι, Σῶτερ, ὁ λόγος, τοῦ καὶ παρεῖναι ὑπεσχημένου, μήπω τέλος εἰληφότος τοῦ λόγου τῶν δεομένων.

Ὥστε οὕτως ὢν χρηστὸς, οὕτω μεγαλόδωρός τε καὶ πλουσιόδωρος, οὕτω βλύζων οἰκοθεν ὅ τι περ ἄνναον ἀγαθὸν, δίκαιος ἂν εἴης παραιτουμένῳ ἐφ' οἷσπερ ἥμαρτον, πρὸς τῷ συγγνῶναι καὶ κοινωνῆσαι τῆς παρὰ σοῦ χάριτος, μηδαμῶς ἀναβαλλόμενος. Εἰωθός σοι τοῦτο, καὶ συνεχῶς πραττόμενον ἄνωθεν.

Ὅθεν ἀπιδὼν εἰς τὰ σὰ, καὶ τὴν ἀπειρίαν τῆς σῆς ἀγαθότητος (κινήσειε δ' ἂν ταῦτα ψυχὴν λιθίνην ὑπὲρ αὐτῆς ἐθελῆσαί σοι προσελθεῖν), δικαίου φόβου δικαίως ἀπαλλαγείς, τετολμηκά σοι προσφέρειν ταυτηνὶ τὴν ἑωθινὴν δοξολογίαν τε καὶ ὁμολογίαν τῆς πίστεως σὺν εὐχαριστίᾳ καὶ ἐξομολογῇ-

Digitized by Google

σει· δεόμενος, φιλεύσπλαγχνε Κύριε, ἐλέους τυχεῖν παρὰ σοῦ, τινὶ μεταμελείᾳ σοι προσερχόμενος.

Καὶ σύ γε, βασιλεῦ ὑπεράγαθε, ἄσμενος τὴν ἀποιανοῦν ἐπιστροφήν δέξαιο τῆς ἐμῆς ἐλεεινότητος, καὶ χορηγήσαις τὴν ἀπὸ τῶν ἔργων μετάνοιαν, τὴν σοὶ καὶ φίλην, καὶ ζητουμένην· καὶ κατευθύναις τὰ διαβήματα τῆς ταλαιπώρου ψυχῆς μου ἐπὶ τὰς τρίβους τῶν ἐντολῶν σου, καὶ ἀξιώσαις τὸν σὸν οἰκέτην κατὰ τὸ σοὶ εὐάρεστον πολιτεύσασθαι, μηκέτι ἐμαυτῷ, ἀλλὰ σοὶ μόνῳ ζῶντα· καλλίστοις τε ἐφοδίοις τῶν ἐνθένδε συναπελθεῖν τοῖς ζωοποιοῖς καὶ ἀχράντοις σου μυστηρίοις· καὶ τῆς τότε ἐπηρείας τῶν χαιρεκάκων δαιμόνων ἀπαλλαγῆναι, καὶ ἀκατακρίτως παραστῆναι τῷ φοβερῷ βήματί σου.

Ναὶ, Χριστὲ Ἰησοῦ μου, ἐπάκουσόν μου, τὸ τί σε δέον ἐργάσασθαι, οὐχὶ τὸ τί παθεῖν ἐμὲ, λογισάμενος, χρησάμενός μοι δὴ θεϊκῶς, ὁ μόνος ἀγαθός τε καὶ ἀναμάρτητος. Ὡς αὐτὸς ἐπίστασαι σῶσόν με, μηδὲν παρεὶς τῶν εἰς τοῦτο φερόντων, ὃ δὴ βεβαίως ἐλπίζων, οὐ δι' ἐμὲ τὸν τοσούτοις καὶ τηλικούτοις βεβυθισμένων κακοῖς, ἀλλὰ διὰ τὴν ἄφατόν σου χρηστότητα, τὴν τοῦ παντὸς ἐλπίδα, ἀνυμνῶ, δοξολογῶ, μεγαλύνω σὲ, καὶ τὸν Πατέρα τὸν σὸν, σὺν τῷ παναγίῳ σου Πνεύματι εἰς τοὺς αἰῶνας. Ἀμήν.

A creus, benignissime Domine, misericordiam ut apud te impetrem, qui cum pœnitentia quadam ad te accedo.

Tu quidem, Rex optime, propitius miserabilis personæ meæ qualem qualem conversionem admittito, et ut factis ipsis resipiscam, concedito, qualem in pœnitentiam et amas et requiris. Simul ærumnosi animi mei gressus ad semitas mandatorum tuorum dirigas, præstareque digneris, ut servus ego tuus, prout tibi placuerit, me geram, non amplius mihi, sed tibi soli vivens: utque pulcherrimo viatico, vivificis et puris sacramentis tuis instructus hinc migrem, et ab incidente tunc dæmonum, malis gaudentium, tentatione liberatus, absque damnatione tremendo tribunali tuo sistar.

B Etiam, mi Christe Jesu, exaudi me, quid te facere, non quid me perpeti par sit, reputans; meque divino more tractans, qui solus et bonus es, et omnis labis expers. Serva me, prout ipse servandum nosti, nihil eorum quæ meam ad salutem pertinent, omittens. Quod sane futurum firmiter sperans, non propter me, talibus ac tantis malis obrutum, sed propter ineffabilem bonitatem tuam, quæ totius universitatis spes est, hymnis celebro, collaudo, extollo te, Patremque tuum, cum sanctissimo Spiritu, sæculis infinitis. Amen.

ΑΛΛΗ ΤΟΥ ΑΥΤΟΥ ΕΥΧΗ ΕΩΘΙΝΗ.

EJUSDEM

ALIÆ PRECES MATUTINÆ.

C Εὐχαριστῶ σοι τῷ Θεῷ καὶ Πατρὶ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ σου Πνεύματι, ὅτι μακροθυμήσας καὶ παριδὼν τὸ πλῆθος τῶν παντοδαπῶν μου κακῶν, ἠξίωσάς με τὸ φῶς ἰδεῖν τὸ ἡλιακὸν, καὶ ἐκ τούτου μου τὸν νοῦν ἀναχθῆναι τὸν ἐσκοτισμένον τοῖς πάθεσι, πρὸς ἔννοιάν σου τοῦ ἀληθινοῦ καὶ ἀνεσπέρου φωτός· καὶ δέδωκας τὴν δέησιν ἐκχέαι με πρὸς σὲ, καί σοι τὰς θλίψεις ἀπαγγεῖλαι, καὶ τὰς ἐφέσεις, τῷ ἔτι λαλοῦσιν ἡμῖν παρεῖναι, καὶ θυροκοποῦσιν ἀνοίγειν ἐπαγγειλαμένῳ.

Tibi Deo ac Patri gratias ago, cum unigenito Filio tuo, et sancto tuo Spiritu, quod usus tolerantia tua diuturna, et connivens ad omnis generis malorum meorum multitudinem, aspiciendæ lucis solaris facultatem mihi concesseris; per quam mens mea, vitiorum obducta caligine, subveheretur ad intelligentiam tui, qui vera et inoccidua lux es; quodque copiam feceris has ad te preces fundendi, et ærumnas ac desideria mea tibi exponendi; qui te nobis adhuc loquentibus affuturum foresque pulsantibus aperturum promisisti.

Δὸς οὖν, πανάγαθε Δέσποτα, ἄφροντιν εἶναι τοῦ λοιποῦ, σοὶ τῷ καλῷ κυβερνήτῃ τοὺς τῆς ζωῆς μου οἴακας ἐγχειρίσαντα· καὶ ἡ ψυχή μου κολληθήτω ὀπίσω σου, ὅπως ἀντιλάβοιτό μου ἡ δεξιά σου. Ὁδήγησόν με ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. Δίδαξόν με, πῶς ἂν διεξάγοιμι καὶ ἐμαυτὸν, καὶ τοὺς ὑπ' ἐμέ. Στήριξον εἰς τὴν καρδίαν τοῦ δούλου σου τὸν εὐφρόσυνον φόβον σου· ᾧ με καὶ πρὸς τὴν ἀγάπην τὴν σὴν, σὲ δὲ

D Da igitur, benignissime, Domine, curis ut in posterum solutus agam, tibi, gubernatori bono, vitæ meæ clavo permisso. Tibi mens animus adhærescat, ut tua mihi opituletur dextera. Dux esto meus in vita tua, et ambulabo in veritate tua. Instrue me, quonam modo tam meipsum, quam subditos meos gubernare debeam. Hilarem illum metum tui constabilito in corde servi tui, eodemque me instruas, ut dilectioni tuæ, vel tibi potius, qui re-

Digitized by Google

ipse dilectio es, et rerum expetendarum vertex, A tutus inhiem: ut ab omni malo in universum deflectam, concedito; meque mandatorum tuorum effectorem eximium reddito, per intercessionem unigeniti Filii tui, Servatoris nostri, Jesu Christi. Amen.

μᾶλλον τὴν ὄντως ἀγάπην, καὶ τῶν ἐφετῶν τὴν ἀκρότητα, κεχηνέναι στοιχείωσον, καὶ κακοῦ παντὸς ἐκκλῖναι καθάπαξ ἀξίωσον. καὶ τῶν ἐντολῶν σου ἐργάτην ἄκρον ἀνάδειξον, πρεσβείᾳ τοῦ μονογενοῦς σου Υἱοῦ, καὶ Σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΚΕΦΑΛΑΙΑ ΚΑΤΑΝΥΚΤΙΚΑ

ΔΙΑ ΣΤΙΧΩΝ (1).

CAPITA COMPUNCTIONIS

VERSIBUS EXPOSITA.

Quod ipse dignus haud sim,
Qui particeps tui esse
Queam: fame en perire
Animam vides miseliam.
Vitæ hanc alas misertus,
Servator, oro, pane;
Fidelibus teipsum
Qui Christe das edendum.
Ut ille dives olim,
Siti liquesco acerba;
Flammaque aduror intus,
Quæ conscientia ipsa est.
Vitæ perennis at tu
Fons, irrigato me unda
Viva: sitim ferentes
Qui ad te jubes venire.
Incontinentia olim
Me ejecit horto Edenis,
Dreraptus atque nostro
Abs te Deo nefandus.
Tu colligas vicissim
Me, qui polo repostus,
Me propter, hospes imis
Partu novo fuisti.
Sum nudus ipse, mente
Amissa, eheu, bonisque;
Tu prodigum stola me,
Benigne Christe, vesti:
Qui propter hanc causam
Carnem meam induisti,
Nudusque mortem obisti
Inter malos latrones.
Morbo simul, gravique
Me carceri illigatum
(Delicta namque propter,
Utrumque mi ferendum)
Invise, quæso, Christe,
Tua benignitate.
Medicus tu es ac redemptor,
Homo factus, universis.

Διὰ τὸ μὴ εἶναί με
Ἄξιον σοῦ μετασχεῖν,
Νῦν ὁρᾷς μου τὴν ψυχὴν
Τελευτῶσαν ἐν λιμῷ·
Ἣν καὶ θρέψον σπλαγχνισθείς,
Σῶτερ, ἄρτῳ ζωηρῷ,
Ὁ δι' οἴκτον τοῖς πιστοῖς
Δοὺς τροφὴν σαυτὸν, Χριστέ.
Ὡς ὁ πλούσιος, κἀγὼ
Δίψῃ τήκομαι πικρᾷ,
Φλόγα ἔχων ἔνδοθεν,
Ἐμαυτοῦ τὸ συνειδός.
Ἡ πηγὴ δὲ τῆς ζωῆς,
Πότισόν με ὕδωρ ζῶν,
Ὁ φωνήσας ἅπαντας
Τοὺς διψῶντας σοὶ φοιτᾷν.
Ἀκρασία ξένον με
Τῆς Ἐδὲμ πεποίηκε·
Καὶ τὸ μακρυνθῆναί με
Ἀπὸ σοῦ, φεῦ! τοῦ Θεοῦ.
Σὺ δέ με συνάγαγε,
Ὃς τὸν οὐρανὸν οἰκῶν,
Ὤφθης ξένος ἐπὶ γῆς·
Ξένῳ τόκῳ δι' ἐμέ.
Τὴν οὐσίαν φθείρας, φεῦ!
Σὺν φρεσὶ, γεγύμνωμαι.
Σὺ δέ με τὸν ἄσωτον,
Σῶτερ, σκέπασον στολῇ,
Ὃς γε τούτου ἕνεκα
Τὴν ἐμὴν ἐνδέδυσαι
Σάρκα, καὶ γεγύμνωσαι
Σὺν λῃσταῖς σταυρούμενος.
Νόσῳ με τρυχόμενον,
Καὶ ἐν φυλακῇ δεινῶς
(Ἄμφω γάρ ἐστιν ἐμοὶ
Ἁμαρτία ἡ ἐμή),
Σῶτερ, ἐπιδήμησον
Πρός με τῷ ἐλέει σου,
Ὁ φανεὶς πᾶσι σαρκὶ
Ῥύστης τε καὶ ἰατρός.

(1) In Anecdotis P. Matrangæ, t. II, legitur Manuelis Palæologi *Anacreonticon in quemdam ignorantem et loquacem*, quod hic repræsentamus:

Τοῦ βασιλέως κυροῦ Μανουὴλ τοῦ Παλαιολόγου στίχοι Ἀνακρεόντειοι πρός τινα ἀμαθῆ καὶ πλεῖστα φληναφοῦντα.

Ἀκριτόμυθε Θερσῖτα,
Ὃς βοᾷς μὲν μάλιστά γε,
Σιωπᾷς δὲ ἥκιστά γε,
Πῶς σέ τις παύσῃ ληροῦντα,
Φλυαροῦντα, φληναφοῦντα,
Καὶ μὴ ῥάβδῳ σου συνθλάσῃ
Τὸ κρανίον εὖ ποιήσας;
Ἐὰν γάρ τίς σου τὴν γλῶσσὰν
Πρόῤῥιζον ἐξανασπάσῃ,
Ἀλλὰ σὺ καὶ ταύτῃ πλέον
Παρελθὼν διενοχλήσεις,
Καὶ φωναῖς ἀσήμοις αὖθις
Οὐκ ἀνέξεις· ὡς γλωττίζων
Ἔρδες κόρακας τὸ τάχος,
Οὐδὲ γὰρ ἀνέχομαί σου.

Digitized by Google

ΕΑΡΟΣ ΕΙΚΩΝ

ΕΝ ΥΦΑΝΤΩ ΠΑΡΑΠΕΤΑΣΜΑΤΙ ΡΗΓΙΚΩ.

—

IMAGO VERIS

IN AULÆO TEXTILI, OPERIS PHRYGII.

—

Ἦρος ὥρα, καὶ δηλοῖ τὰ ἄνθη, καὶ λευκὸς οὗτος ἀὴρ διακεχυμένος ἐπ' αὐτὰ μάλα ἡμέρως. Διὰ τοῦτο ψιθυρίζει ἡδὺ τὰ φύλλα, καὶ δοκεῖ κυμαίνεσθαί πως ἡ πόα, αὔραν δή τινα δεχομένη, φιλίαις ταύτην ὑποκινοῦσα ἐπιφοραῖς. Χάριεν ἰδεῖν. Ποταμοὶ δὲ ἤδη ταῖς ὄχθαις σπένδονται, καὶ ὁ πολὺς ἐπέχεται ῥοῦς, καὶ τὰ πρὶν πλημμύραις ἀφανιζόμενα τῶν ὑδάτων ὑπερφαίνεται, καὶ παρέχει χερσὶ θηρᾶσθαι τὰ παρ' ἑαυτοῖς ἀγαθά. Τούτων ἓν τὸ χειρωθὲν ἤδη τῷ νεανίσκῳ· ὃ κατέχων τῇ λαιᾷ, κεκυφὼς ἠρέμα, καὶ συγκαθίσας, ὅσον μὴ τῷ ῥείθρῳ τοὺς μυκτῆρας βαπτίσαι, τὴν δεξιὰν ἀψοφητὶ γυμνὴν τοῖς ὕδασιν ἐμβαλὼν, τὰς ὑπὸ τὸ ῥόθιον χαράδρας διερευνᾶται, ψηλαφῶν καὶ τοῖς δακτύλοις τὰς τρώγλας, μή τι τῶν ὑδάτων ταρασσομένων τοῖς ποσὶ τοῦ νεανίσκου, φόβῳ τῶν πατάγων ἐγκέκρυπται. Οἱ δὲ δὴ πέρδικες γαίρουσι, τὴν ἀποβληθεῖσαν αὐτοῖς ἰσχὺν ὑπερβολαῖς τῶν πεφυκότων λυπεῖν, ἀπολαμβάνοντες ἤδη, ἀκτῖνος ταύτην αὐτοῖς ἐπανασωζούσης, μηδὲν λυπούσης δι' ἀμετρίαν. Ὅθεν δὴ σὺν εὐθυμίᾳ τοῖς ἀγροῖς ἐνδιαιτῶνται, καὶ τὰ νοσσία πρὸς τροφὴν ἄγοντες, πρῶτοι ταύτης ἅπτονται, ἔργῳ δεικνύντες τὴν τράπεζαν. Ὠδικοὶ δὲ ὄρνιθες τοῖς δένδρεσιν ἐγκαθήμενοι, ὀλίγον μὲν ἅπτονται τῶν καρπῶν, τὸ πολὺ δὲ τούτοις τοῦ χρόνου εἰς τὸ ᾄδειν ἀναλίσκεται. Κηρύττειν οἶμαι βούλεσθαι τουτοισὶ τὴν φωνὴν, τὰ κρείττω παραγίγνεσθαι, τῆς τῶν ὡρῶν βασιλίσσης ἐπιλαμψάσης, καὶ λοιπὸν εἶναι αἰθρίαν μὲν ἀντὶ τῆς νεφέλης, γαλήνην δὲ ἀντὶ τρικυμίας, καὶ ὅλως ἀντὶ τῶν λυπούντων τὰ τερπνά. Πάντα παῤῥησιάζεται, καὶ αὐτὰ τῶν ζωῴων τὰ φαῦλα, ἐμπίδες, μέλιττα, τέττιγες, γένη τῶν τοιούτων παντοδαπά· ὧν τὰ μὲν τῶν σίμβλων ἐξορμηθέντα, τὰ δὲ τὴν γένεσιν ἐσχηκότα τῇ συμμετρίᾳ τῆς ὥρας, εἰ δὲ βούλει, τῇ τῆς θέρμης εἰσβολῇ πρὸς ἀνάλογον ὑγρότητα, περιβομβεῖ τὸν ἄνθρωπον, καὶ ἑδοιπόρου προΐπταται, καὶ ᾄδοντί που τούτῳ συνᾴδει τὰ μουσικώτερα. Ἔνια μὲν ἀμιλλᾶται, ἔνια δὲ μάχεται, τὰ δ' ἐφιζάνει τοῖς ἄνθεσι.

Πάντα δὲ ἡδὺ θεαθῆναί. Τὰ δὲ παιδία παρὰ τὸν κῆπον ἀθύροντα, ἐκεῖνα θηρεύειν ἐπιχειρεῖ μάλα ἀκεραίως ἅμα καὶ χαριέντως. Τὸ μὲν γὰρ ἤδη τῶν παιδίων γυμνώσαντην αὐτοῦ κεφαλὴν τοῦ καλύμματος, ἀντ' ἄλλου τινὸς θηρατηρίου τούτῳ κατακέχρηται,

Veris hoc tempus est, et indicio sunt flores, ac serenus hic aer, in eos leniter admodum diffusus. Propterea suave folia susurrant, et gramen quasi fluctuare videtur, auram quamdam excipiens, amicis illud commoventem flatibus. Res sane visu grata. Flumina vero jam fœdera cum ripis ineunt, eorumque vehemens inhibetur impetus; et quæ prius aquarum inundatione tecta latebant, ea nunc extra undas eminentia conspiciuntur, faciliatemque præbent manibus ipsorum bona prehendendi. Ex his unum est, quod adolescens hic cepit, qui quidem id manu sinistra tenens, et paulatim demisso capite considens, tantum ut nares in flumine non mergat, nuda dextra sine strepitu aquis injecta, undarum explorat alveos; ipsis etiam digitis foramina perscrutans, ne quid undis ab adolescentis pedibus turbatis, strepitus metu in eis abditum lateat. Perdices vero gaudent, se robur amissum per res nimis natura sua lædere solitas, modo recuperare; solaribus radiis vires eis restituentibus, qui nunc ob temperamenti æquabilitatem minime sunt noxii. Quapropter alacres in agris degunt, et pullos ad pastum adducentes, ipsi primi cibos attingunt, facto mensam indicantes. Aves autem canoræ arboribus insidentes, raro fructus attingunt, majoremque temporis partem canendo consumunt. Earum vocem hoc prædicare velle puto, meliora nunc scilicet imminere, postquam anni temporum regina illuxerit: adeoque deinceps serenitatem pro nebula, tranquillitatem pro tempestate, pro molestis denique sequi jucunda. Omnia liberius se movent, etiam animalcula viliora: culices, apes, cicadæ, hujusque modi variæ species. Harum aliæ de alveolis progressæ, aliæ nunc primum natæ, propter ipsum temperamentum hujus anni temporis, vel si mavis, propter accessum caloris ad humoremsibi respondentem, circum hominem strepunt, et ante viatorem provolant; quæque magis canoræ sunt, cum eo canente canunt. Quædam inter se certamen suscipiunt, quædam pugnant, quædam floribus insident.

Omnia spectatu jucunda. Puelli vero propter hunc hortum ludentes istæc animalcula venari magna cum simplicitate pariter et lepore conantur. Nam ille quidem nudato capite, pro instrumento ad venandum, velamento capitis utitur; ac plerum-

Digitized by Google

que nihil efficiens, æqualibus risum movet. Alter ad se manus attrahens, ac totum animalculo corpus injiciens, atque id volens hac ratione capere, quo pacto non voluptatem et risum cieat? Vident illum præstantem corpore? Tandem enim, ac vix sane, capto quodam ex iis quæ a siccis membranarum aliis nomen habent, præ gaudio bacchanti similem se gerit, extremæque tunicæ fimbriam sustollens, ut prædam captam huic involvat, abiturus alterius quærendi causa, non animadvertit eas se corporis nudare partes, quæ tegendæ erant. Sedenim festivior is puer est, qui ætate minor. Nam admodum tenui filo animalcula duo colligata volare sinit, extremisque digitis stamen ipsum ex intervallo retinens, volatum impedit, quo minus eis ex more succedat; et rident, et lætus est, et exsilit, ludierum hoc pro re seria ducens. Ad summam, ars texti operis invitat oculum, voluptatemque spectatoribus conciliat. Omnium autem horum causa ver est: quod tristitiam dissipat, vel si mavis, hilaritatem conciliat.

καὶ διαμαρτάνον ὡς τὰ πολλὰ, γίνεται τοῖς ἥλιξι γελως- A
ἄλλο δὲ τὼ χεῖρε ἔχον παρ' ἑαυτῷ, ὅλον ἐπιρριπτον τὸ σῶμα τῷ ζωῦφίῳ, καὶ θηράσαι τοῦτο ταύτῃ βουλόμενον, πῶς οὐχὶ ἡδὺ καὶ γελοῖον; ὁρᾷς τὸ ὑπερφέρον τῷ σώματι; ὀψὲ γὰρ δὴ καὶ μόγις τινὸς λαβόμενον τῶν, ἃ καλοῦσιν ἔνιοι πτιλωτὰ, βαχχεύοντι ἔοικεν, ὑπὸ τῆς χαρᾶς, καὶ τὰ κράσπεδα ἀνελόμενον τοῦ τελευταίου χιτῶνος, ὡς ἔλίσσον τούτοις τὸ θηραῦὲν, πορεύεσθαι ζητεῖν ἕτερον, οὐκ αἰσθάνεται γυμνοῦν ἃ δέον κρύπτειν τοῦ σώματος. Ἐκεῖνο μέντοι γε ἀστειότερον, τὸ τὴν ἡλικίαν βραχύτερον. Νήματι γὰρ πάνυ λεπτῷ παδῆσαν δύο τῶν ζωῦφίων, ἐᾷ δῆθεν πέτεσθαι. Κατέχον δ' ἄκροις δακτύλοις ἐκ διαστήματος τὴν ἠτρὰν, εἴργει τὴν πτῆσιν, κατὰ τρόπον τουτοισὶ γίγνεσθαι, καὶ γελᾷ, καὶ γέγηθε, B
καὶ ὀρχεῖται, σπουδαῖόν γέ τι νομίζον τὴν παιδιάν. Ὅλως δὲ ἡ τέχνη τῶν ὑφασμένων ἑστιᾷ τὸν ὀφθαλμὸν, τρυφὴ γιγνόμενα θεαταῖς. Αἴτιον δὲ τὸ ἔαρ, κατηφείας λύσις, εἰ δὲ βούλει, φαιδρότητος πρόξενον.

IN PERSONA TAMERLANIS (1).

Quibus usus sit verbis Persarum Scytharumque dux, ad Turcorum tyrannum, magna quædam ac superba proferentem, et minis intolerabilem, rebus adhuc prosperis: post victoriam vero, diversam in partem mutatum.

Quod ex longo temporis intervallo, et ipso quidem ab initio, simultates exercere vult, infestum est natura, ceu videtur, impetuque naturali commotum, continere se nequit, quo minus ægre facere quovis tempore nitatur. Itidem tu quoque nullo non tempore, cum peragenda mente versareris, in hoc incumbens, meis ut institutis quacunque posses arrogantia petulantiaque adversareris (non enim factis poteras), nunc illo tibi supercilio dejecto, quod prius elatum erat et grave, vanoque fastu in nihilum redacto, nihilominus alio quodam modo nobis infestus esse pergis. Victus enim dum ploras (cum vitam hanc varie reciprocis plenam fluctibus esse nesciveris, nec exspectaveris, ut ipsa res indicat, fortunæ prosperæ mutationem, quanquam ea perusitata sit, et nec abs re contingat, nec ita comparata sit, ut nunquam accidere possit), præclarum facinus meum extenuas, nec modo minus, quam antehac, eo ipso me mordes, quod animum mox abjeceris. Ego verò putabam, me claram et durabilem habiturum gloriam, veluti victo viro claro, qui res magnas gessisset. Hanc opinionem tu meam minime veram redarguis, dum ignominia teipsum afficis, teque victu facilem fuisse demonstras, minime viriliter hanc calamitatem ferendo. Quamobrem fortuito, non per virtutem antehac adeptus es victorias:

Τίνας ἂν εἶπε λόγους ὁ τῶν Περσῶν τε καὶ Σκυθῶν ἐξηγούμενος τῷ τυραννοῦντι τῶν Τούρκων, μεγάλα τε καὶ σοβαρὰ φθεγγομένῳ, καὶ ἀφορήτῳ ὄντι ταῖς ἀπειλαῖς, ἡνίκα εὖ ἔπραττε, τραπέντι δὲ πρὸς τοὐναντίον μετὰ τὴν νίκην. C

Ὡς ἔοικε, τὸ πόρρωθεν εὐέλον καὶ ἐξαρχῆς πολεμεῖν φύσει πολέμιόν ἐστι, καὶ τῷ πεφυκότι κινούμενον, οὐ δύναται κατέχειν ἑαυτὸ, τοῦ μὴ λυπεῖν ἐπιχειρεῖν ἐν ἅπασι τοῖς καιροῖς. Καὶ σὺ δὴ πάντα τὸν χρόνον, ἡνίκα τὰ πρακτέα σοι κατὰ νοῦν ἔτρεχε, τοῖς ἐμοῖς ἐναντιοῦσθαι πειρώμενος ἀλαζονείαις καὶ ὕβρεσιν (οὐδὲ γὰρ τοῖς πράγμασιν ἴσχυες), ἤδη τῆς ὀφρύος σοι πεπτωκυίας, τῆς ἐπιρρμένης τε καὶ πολλῆς, καὶ τοῦ κενοῦ φρυάγματος εἰς οὐδέν σοι λήξαντος, οὐχ ἥκιστά γε καὶ νῦν ἐχθρῶς πρὸς ἡμᾶς διάκεισαι τρόπον ἕτερον. Κλάων γὰρ μετὰ τὴν ἧτταν (οὐ γὰρ ἐπέγνως τόνδε τὸν βίον πολλῆς παλιρροίας γέμοντα, οὐδὲ προσεδόκησας, ὡς δηλοῖ τὰ πράγματα, τὴν ἀγαθήν σοι τύχην μεταπεσεῖσθαι, καί τοι εἰωθὸς ὂν πρᾶγμα, οὐκ ἀπεικὸς, οὐδ' ἀνένδεκτον), τοὐμὸν ἀνδραγάθημα σμικρύνεις, καὶ δάκνεις γε οὐχ ἧττον νῦν ἢ πρὸ τοῦ, τῷ τὸ φρόνημα αὐτίκα ἀποβαλέσθαι. Καίτοι γε ὤμην ἐγὼ λαμπράν τινα καὶ διαρκέσουσαν σχήσειν εὔκλειαν, ὡς δῆθέν γε ἀνδρὸς λαμπροῦ περιγεγονὼς, ἀρετῇ μεγάλα κατωρθωκότος. Σὺ δὲ ἐλέγχεις τὴν δόξαν οὐκ ἀληθεύουσαν, αἰσχύνην σεαυτοῦ καταχέων, καὶ ἀποφαίνων σεαυτὸν εὐεπιχείρητον ἄνθρωπον, ἐν οἷς οὐ φέρεις κατ' ἄνδρα τὴν συμφοράν. Τύχῃ σοι τοίνυν τὸ νικᾶν, οὐκ ἀρετῇ συγκεκλήρωται· καί μοι νῦν ἀντιπίπτεις, καὶ λυμαίνῃ τοῖς ἐμοῖς κατορθώμασι, D

(1) Qui Bajazetum regem Turcorum, Græcis infestum, ceperat.

Digitized by Google

τὴν δόξαν περιτρέψας εἰς τοὐναντίον τὴν περὶ σοῦ. Ὁ γὰρ μὴ γενναίου κρατήσας ἐγὼ πῶς ἂν ταύτῃ γενναῖος δόξαιμι; Ἐῤῥέτω τοίνυν χρυσὸς, ἐῤῥέ-ω λάφυρον ἅπαν, καὶ ὁ πολύς σοι πλοῦτος πολλαχόθεν συνειλεγμένος, ἀπούσης δόξης, ἧς ἥρων. Αὕτη μετερμάτων τῆς γῆς γεγηρακότα κατήγαγεν ἐπὶ σέ. Καὶ νῦν ὁρῶ μου τοὺς πόνους ἠπατημένους.

A mihique nunc adversaris, et rebus a me fortiter gestis officis, opinione de te mea diversam in partem traducta. Nam qui victoria de viro non forti potitus sum, quonam pacto vir fortis hujusce facinoris causa videbor? Valeat igitur aurum, valeant universa spolia, magnæque divitiæ tuæ, undecunque collectæ, quando abest gloria, quam equidem expetebam. Ea me senio confectum, ab ipsis terræ finibus adversum te duxit. Nunc meos labores irritos fuisse video.

ΕΝ ΕΙΔΕΙ ΨΑΛΜΟΥ,

Περὶ Κεραυνοῦ τοῦ Ἀγαρηνοῦ· ὁπότε ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ διὰ τῶν ἐχθρῶν αὐτοῦ τὸν παντοδαπὸν ἀπέκτεινε θῆρα.

Ὕψιστος ὁ Κύριος ἐν ἀρχῇ, ὁ Θεὸς ἡμῶν εἰς αἰῶνα B αἰῶνος ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ πᾶσαν τὴν γῆν, πρὸ τοῦ τὰς δυνάμεις παρῆχθαι, ἦν· καὶ ὁ αὐτὸς μενεῖ. Νῦν οἱ κτηνώδεις συνῆκαν. Καὶ γὰρ εἶδον τὰ θαυμάσια αὐτοῦ, ἐπ' αὐτοὺς γεγενημένα, καὶ τὰ βέλη αὐτῶν ἐξησθενηκότα· τὸν δὲ κεραυνὸν, ἐμπρησθέντα τῇ ἰδίᾳ ματαιότητι· ὃς ἀναβαλλομένης τῆς ἀγαθότητος, καὶ τῆς προνοίας οἰκονομούσης, κατωλιγώρει. Ἐπέσχεν ὁ Θεὸς ὀργὴν, ὁ δὲ ὑπερεφρόνει· βλασφημοῦντος, ἐμακροθύμει· καὶ ὁ ἀσεβὴς ὑψοῦ τὴν κεφαλὴν ἦρεν. Ὠνειροπόλει τὴν γῆν, καὶ τὸν οὐρανοῦ Δεσπότην οὐκ ἐδίδου ταύτης ἄρχειν. Ἀλλ' ἐν τῷ μεγαλαυχεῖν ἐν τῇ δυνάμει αὐτοῦ, καὶ πολυχειρίᾳ θαῤῥοῦντα κατεπαίρεσθαι τῆς ποίμνης τοῦ Θεοῦ, ἔφθασεν ἡ σύῤῥοια τῶν κακῶν· καὶ τὰ ἐξαρχῆς C ἀδικήματα ἅμα ἀποδέδωκε. Γνώτω δὴ πᾶσα ἡ γῆ, καὶ μὴ ὑψούσθω ἐν ἑαυτῷ γηγενής. Τῷ γὰρ Θεοῦ νεύματι ἅπαν εἴκει· καὶ εἰς μακρὸν ἀνεχόμενος, ἐξάπινα ἀποδίδωσιν. Ὁ δὲ ἐλπίζων ἐπ' αὐτὸν μὴ φοβηθήτω κακά. Τοὺς γὰρ ὑπομένοντας σώζει, ἐὰν παρ' αὐτῶν θυσίαν ἐξομολογήσεως λάβῃ, καὶ ἀνταποδοῖῃ ὑπὲρ αὐτῆς, ὅτι χρηστότητος πέλαγος. Δότω δόξαν ὁ λαὸς αὐτοῦ, καὶ ἐλπίδων ἀγαθῶν ἐμφορείσθωσαν οἱ πεποιθότες ἐπ' αὐτόν.

IN FORMA PSALMI.

De fulmine (1) *Agareno: quo tempore Deus populum suum respexit, et per hostes suos illam versutam belluam necavit.*

Altissimus ille Dominus in principio, Deus noster infinitis sæculis, in cœlo et in universa terra, priusquam cœlestes illæ copiæ creatæ forent, erat; et idem manebit. Nunc tandem intellexere bellnini. Viderunt enim ipsius prodigia, quæ in eos facta sunt, telaque sua debilitata; fulmen ipsum, stoliditate sua succensum; qui vir procrastinante divina bonitate, providentiaque dispensante, flocci Deum faciebat. Iram Deus inhibere, contemptim hic illum habere; hoc Deum proscindente conviciis, diuturna Deus uti patientia, quo factum, ut impius iste caput in altum sustulerit. Terram universam per somnium devorabat, nec ejus imperium cœli Domino permittebat. Sed dum magnifice vires ob suas se jactat, copiarumque multitudine fretus, contra Dei gregem semet effert, hominem malorum colluvies antevertit, et injuriis priscis mercedem una vice persolvit. Norit hoc universa terra, nec intra se terra editus semet attollat. Quippe Dei nutui quidlibet cedit, et diuturna utens ille tolerantia, subito retribuit. Qui vero sperat in eum, mala non metuat. Nam servat adversa sustinentes, si confessionis sacrificium ab eis acceperit, ac vicem pro eo rependerit. Bonitatis enim pelagus est. Tribuat ei gloriam populus ipsius, et qui confidunt in eo, spe bona pleni sint.

(1) *Ilderim.* Sic appellant Turci Bajazetum.

Fragmentum epistolæ Manuelis Palæologi ad Manuelem Chrysoloram, ab imperatore scriptæ cum in aula regis Anglorum Henrici quarti versaretur, auxilium labenti imperio emendicans.

Μάλιστα δὲ πάντων ὁ ἄρχων παρ' ᾧ τανῦν διατρι- D βόμεν, ὁ τῆς Βρετανίας ῥὴξ τῆς Μεγάλης, τῆς δευτέρας, ὡς ἂν εἴποι τις, οἰκουμένης, ὁ πολλοῖς περιῤῥεόμενος ἀγαθοῖς καὶ παντοδαποῖς κομῶν ἀρεταῖς, καὶ τοῖς μὲν αὐτὸν οὐκ εἰδόσι τῇ φήμῃ θαυμαζόμενος, πρὸς δὲ αὖ τοὺς ἅπαξ ἰδόντας λαμπρῶς τὴν φήμην ἐλέγχων μηδαμῶς θεὸν οὖσαν, ἅτε δὴ μὴ δυναμένην δεῖξαι τὸν ἄνδρα ἡλίκον ἡ πεῖρα παρίστησιν· οὗτος ὁ λαμπρότατος μὲν τὸ σχῆμα, λαμπρότατος δὲ τὴν γνώμην, καὶ τῇ μὲν ῥώμῃ πάντας ἐκπλήττων, τῇ δὲ συνέσει φίλους ποιούμενος, καὶ χεῖρα πᾶσιν ὀρέγων, καὶ ἑαυτὸν παντοδαπὸν ἐπίκουρον παρεχόμενος τοῖς χρῄζουσι βοηθείας, καὶ νῦν τῇ φύσει χρησάμενος ἀντὶ λιμένος ἡμῖν κατέστη μετὰ διπλοῦ τοῦ χειμῶνος, τοῦ τε τῆς ὥρας, τοῦ τε τῆς τύχης, εἰς αὐτόν τε καὶ τοὺς τρόπους τοὺς αὐτοῦ κατηρκόσιν, ἡδὺς δὲ μάλα φαινόμενος ταῖς συνουσίαις, καὶ διὰ πάντων ἡμᾶς εὐφραίνων, καὶ τιμῶν ὡς μάλιστα καὶ φιλῶν οὐχ ἥκιστα, καὶ ὑπερβολαῖς ἐν ἅπασι κεχρημένος τοῖς εἰργασμένοις, μικροῦ δοκεῖ καὶ ἐρυθριᾷν, πολὺ τοῦ δέοντος ἐλλείπειν μόνος οἰόμενος· οὕτω μεγαλόψυχος ὁ ἀνήρ...

Digitized by Google

ANNO DOMINI MCDXXX.

JOANNES ANAGNOSTA.

NOTITIA.

(Hankius, *De Rer. Byzantin. script.*, p. 636.)

I. Tempus, quo superstes Anagnosta fuit, cognoscimus ex Thessalonicæ Macedonum urbis [quæ scriptoribus Græcis recentioribus etiam Therma dicitur] extremis calamitatibus. Eam, ab imperatore Manuele Palæologo patre acceptam, imperatoris Joannis Palæologi fratris [qui ab A. C. 1419 ad 1448 imperavit] ætate possidebat Andronicus Palæologus despota. Ducas Michaelis nepos in *Historia Byzantina*, cap. 29, interprete Ismaele Bullialdo: *Andronicus despota Manuelis imperatoris filius post Joannem imperatorem et Theodorum tertio genitus, quique sacro morbo consumptus est, Thessalonicæ dominabatur.* Laonicus Chalcocondylas *De rebus Turcicis*, libro IV, interprete Conrado Clausero: *Andronico autem* [Manuel Palæologus imperator] *imperio regendam concessit Thermam, qui virtute post Joannem secundus inter filios regios erat.*

II. Eamdem urbem a Turcis, Bajazetem principem habentibus, graviter oppugnatam, cum Andronicus parum defendere valeret, imperio suo Veneti subdiderunt. His ab Andronico venditam commemorant Laonicus Chalcocondylas loco dicto: *Thermam quoque, ut quæ non amplius retineri posset, propter res civitatis admodum accisas, Venetis vendidit. Cum igitur judicaret eam venditionem tum sibi, tum urbi expedire, parvo pretio accepto eam Venetis tradidit.* Georgius Phranza lib. I *Chronici*, cap. 21: *Etiam Despota Andronicus Thessalonicam Venetorum Senatui quinquagenis aureorum millibus venundedit.* Contra deditione voluntaria, invito Andronico, traditam Ducas in *Historia Byzantina* refert cap. 29. *Indignati Thessalonicenses Turcorum incursiones quotidianas, nec ab ullo suorum liberatum iri sperantes, quod urbs calamitatibus intestinis premeretur, nec tolerare posset famem urgentem, omniumque necessariorum penuriam, consilio habito, Despota volente nolente, primarios urbis cives ad Venetos misere, qui Thessalonicam eis dederent.*

III. Thessalonicam Venetis, seu venditione, seu deditione traditam Murates II, Turcarum princeps, expugnabat die Martii XXIX, anno imperatoris Joannis Palæologi junioris 12, mundi Græco 6938, Christi 1430. Georgius Phranza lib. II *Chronici*, cap. 9: *Quo tempore etiam Amuras Amurates Thessalonicam obsedit, quam tum Veneti tenebant.* Ibidem paulo post: *Atque ita mense Aprili* [non Aprili, sed Martio, si nostro credimus Anagnostæ, qui potiorem hac in re fidem meretur] *ejusdem anni* [6938] *inclytam Thessalonicam armis subjugavit.* Ipse noster Anagnosta in libro *De excisa Thessalonica* cap. 13, interprete Leone Allatio: *Is* [e Turcis, qui primus Thessalonicensium muros ascenderat] *Latini inter propugnacula confossi vulneribus et extremum spirantis caput abcissum inter confligentes projecit, innuens, se partis illius potitum, et desertis muris plane omnes in fugam sese, reditus immemores, conjecisse. Diem tum aperiebat mensis Martius nonum et vicesimum anni sex millesimi nongentesimi tricesimi octavi. Quare ille pedites omnes adhortans et destitutum a defensoribus locum significans, ut illico ascenderent, clamare. Illi ut poterant subito scalis universis admotis, frequentes ascendere, clamore et strepitu, qui tympanis corio confectis elicitur.*

IV. Anagnosta noster, cum Murates imperio Thessalonicam Turcico subjiceret, in ea vivebat, communium malorum, quibus incolæ tum fuerunt obnoxii, consors. Testis est ipsemet in libro jam laudato, cap. 2, ubi compellat his verbis amicum: *Ipse vero ea solummodo complectar, quæ hæc civitas hoc sui excidii tempore passa est, tuque nobis paulo ante quam ex ea excederes, insinuaras, propterea que infortunii, quod eam oppressit, non admodum gnarus. Res siquidem Latinorum tu etiam, cum in urbe quotidie, quæ gererentur, conspiceres, optime* [*nec fallor*] *tenes.* Ibidem paulo post: *Neque enim Turcæ cum Latinis fœdus inire, licet sæpius legatione missa id pertentassent, supplicesque etiam rogassent: neque erat in nostra potestate, copiis nostris in angustum oppido coactis, et discordantibus votis ab unanimi sententia convulsis, aliquid agere, ut tute etiam nosti, qui una nobiscum eras, malorum perinde, atque alii, expertus.* Cap. 8: *Omnibus ergo ad pugnandum et adversus irruentes, animo virili præsentique paratis, aliud præter nostram exspectationem Murates exsequitur. Nos enim omnes suspicabamur, tantam copiarum molem et machinarum, quas multitudo camelorum et curruum quotidie advehebat, conspicati, primo sui appulsu furenter iratum muros appetiturum, eosque lapidum manufacto tonitru diverberaturum, nec non et supra muros stantes su-*

Digitized by Google

gittis impulsis dimoturum, machinasque omnes ad urbem excidendam usurpaturum. Cap. 13, cum a Turcis urbem superatam memoravisset: *Omnes itaque nos, ut cuique licuit, fugam maturantes, alii in ædibus sese abdere, alii in cuniculos et sepulcra, et si quid aliud saluti conducibilius videbatur, non absque tremore subrepere.* Cap. 18, ubi de Muratis a Thessalonicensibus abitu loquitur: *Primatibus suis* [Muratem] *quidam etiam sacramento ferunt dixisse: Injustum est, cum rebus debellatorum* [Thessalonicensium] *debellatos quoque in vincula conjici, et patria alio abductos spoliari: libertatem itaque illis stabiliamus, si ita videtur, aut sine pretio illos accipientes, aut illud nos erogantes: auditorum alios sententiam laudasse, adhortatos, ut faceret; sed unum ex ducibus, qui dignitate cæteros antecellebat, non tantum non approbasse verba de libertate, sed et quibus poterat rationibus, consilium principis impedivisse: et vero similia dicere, quod alios anteiret, visus est. Erat plane id quoque meorum scelerum fructus, ut ipse mihi suadeo, quemadmodum et quæ evenere reliqua; licet nonnulli sermonem hunc non patentibus auribus arripientes, neque semetipsos causam fuisse judicantes, divinis præceptis neglectis, hominibus eventuum causas ascribant. Ego vero, quidquid id fuerit, divinæ punitioni propter meam correctionem tribuo.*

V. Post hæc, nudam civibus Thessalonicam Murates incolis instructam cupiebat, ideoque diversis in locis commorantes Thessalonicenses in eamdem revocabat. Inter hos, qui Thessalonicam repetierant, postea vero suum in eam reditum damnabant, cum Murates aliquot annis elapsis post excidium, ingressus urbem, promissa Thessalonicensibus non servaret, noster Anagnosta fuit. Tradit hæc cap. 19: *Porro abiere præcones,* inquiens, *ad multa illius ditionis loca, ut dictum est, quos reperere Thessalonicenses, qui ante nonnullos annos rerum angustiis pressi ex ea secesserant, etiam vi reduces fecere, captivos item quoquo modo in libertatem vindicatos.* Ibidem paulo post: *Opinabamur vero, urbem rursus pristinum decorem recepturam, et pietatem novis floribus emersuram, et, ut antea, longe lateque divagaturam. Et forte effectum habuisset, ni rursus meorum delictorum copia obstitisset, datusque esset locus improbitati. Ex quo enim civitas captivitate pressa fuerat, et Murates omnia, et ædificia, et possessiones, et sacra templa, e monasteria, et eorum reditus, nobis revertentibus quoquo modo liberis factis magnifice et scripto, et sermone elargitus est, et locis ex omnibus advenientibus libertatem palam edixit, et suas domus, et quæcunque immobilia omnes recuperarunt, et ordo omnis, et gens universa civitatis secundo augeri renovarique haud improspere cœpere, et pastor urbis creatus, et Ecclesia constitit suis institutis conspicua, et monachi monasteria tenuerunt, et studiose admodum eorum augmentis inhiabant, omnesque spe lactabamur bona et, ut breviter me expediam, propter excidium nobis malorum illatorum memoria amissa, gaudebamus pro iis, quæ nobis insperato obtigerant, et pristinam felicitatem tranquillitatemque consecuturam urbem sperabamus; tum ex nobis, ut proverbio fertur, lorum sumptum est, et, quæ expectabantur bona, in contrarium reciderunt.* Cap. 20: *Nam Thessalonicam repetens Murates* [*secundus tum currebat vel tertius post excidium annus*] *ut eam inviseret, accuratiusque res illius addisceret, et bonis illius frueretur, et muneribus munificis contenderet cum suo progenitore, illiusque vestigiis insisteret: qui Thessalonica potitus gratias innumeras largitionesque maximas fecit: hac, inquam, fretus mente, illiusque exsequendæ causa veniens, postmodum malis aliorum monitionibus distractus, consilium pristinamque sententiam mutat: et quæ, quo capti sumus tempore, non peregit, eo temporis perficere constituit. Igitur, licet ille diceret, ideo se venisse ut urbem et singula illius circumspiceret, otioque et laboris remissione uteretur, bonisque illius ad saturitatem luxuriaretur, sicque non minus in eam benevole affectus, meliora speranda nobis in posterum relinqueret; nihilominus primum mandatum dedit, quod nec per somnium quidem quispiam expectasset. Id autem erat, monasteria omnia templaque occupanda, eorum reditûs omnes possessionesque auferendas, et in angustum oppido res nostras cogendas. Quod non multo post factum est ab illis insigniter.* Cap. 21: *Nunc porro, qui a longioribus oris illius, compotes fiendi desiderio exardebant, eos sui desiderii, sed et nos quoque in eam reditionis pœnitet; cum spes melioris status penitus sublata sit.* Ubi notes, auctorem nostrum capite 20, cum sit dubius, altero an tertio anno, post urbis Thessalonicensis excidium, id est annum Christi 1430, res, quas hoc loco narrat, acciderint; facere nobis aliquod indicium, eas se litteris commisisse post annos ab expugnata Thessalonica plures, quam tres ut, quoto anno gestæ fuerint, exacte non amplius recordari potuerit. Unde, non tantum anno Christi 1433, sed etiam aliquot annis post in vivis Anagnostam nostrum exstitisse colligas.

Joannis Anagnostæ scripta. De rebus Constantinopolitanorum Macedonicis.

VI. Ad quemdam virum laudabilem, cujus nomen silentio tegit, narrationem de extremo excidio Thessalonicæ scripsit. Hoc libello narrat, et obsidionem, et expugnationem istius urbis Macedonum primariæ, quam imperio CPolitano subjectam, cum adversus Turcas Cpolitani defendere satis non possent, Venetorum potestati subditam, anno imperatoris Joannis Palæologi Junioris 12, Christi 1430, Murates II Turcarum princeps dominio Turcico subjecit. Prodiit Græce et Latine, interprete Leone Allatio, in ejusdem Symmictis, Coloniæ Agrippinæ per Jodocum Kalcovium, MDCLIII, in 8.

Digitized by Google

ΙΩΑΝΝΟΥ ΑΝΑΓΝΩΣΤΟΥ

ΔΙΗΓΗΣΙΣ ΠΕΡΙ ΤΗΣ

ΤΕΛΕΥΤΑΙΑΣ ΑΛΩΣΕΩΣ ΤΗΣ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

ΣΥΝΤΕΘΕΙΣΑ

ΠΡΟΣ ΤΙΝΑ ΤΩΝ ΑΞΙΟΛΟΓΩΝ ΠΟΛΛΑΚΙΣ ΑΙΤΗΣΑΝΤΑ ΠΕΡΙ ΤΑΥΤΗΣ, ΕΝ ΕΠΙΤΟΜΩ.

—

JOANNIS ANAGNOSTÆ

NARRATIO

DE EXTREMO THESSALONICENSI EXCIDIO

IN GRATIAM CUJUSDAM LAUDABILIS VIRI, QUI SÆPIUS EAM EFFLAGITAVIT, COMPENDIO CONCINNATA.

(Ex Leonis Allatii *Symmictis*, p. 318.)

—

1. Multa equidem nobis sæpenumero et alia gnavum tuum atque industrium animum palam indicarunt, vir optime et doctrinarum studiosissime; non minus vero erga eorum narrationem quæ perillustri antea urbi Thessalonicensium contigerunt conatus, et ad ea enarranda ponendaque sub oculis, ut nobis licet integrumque est, prudentia incitamenta. Hæc namque manifesto pervulgant quo pacto ad necessarias disciplinas dispositus sit animus tuus, et historiis ac sermonibus, quibus homines ad meliora deflectuntur, incumbens, totus in futura mutarique nescia plane ingeratur. Verumtamen, licet id studium sua laude et admiratione non careat, attamen, quicunque sapit pleno pectore, non illius æstimationis esse ducet, te illis, qui arte dicendi plurimum valent et ante omnia perpetuo scribendo tempus insumant, neglectis, mihi parum considerate, homini segni inertique et ad scribendum plane ineptissimo, nec non rebus laudabilibus comparandis prorsus hebeti, eam provinciam demandasse, consimilem, ut reor, apibus, quæ dum principia mellis emungere compelluntur, ut tradunt, suave odoratis floribus desertis thymum, herbam acritudine plenam nullisque prorsus odoris compotem, circumvolitant. Sed gravis res est amicitia, omnes ab se irretitos omnia amicorum gratia et agere et dicere vi quadam cogens, et a multis emanantem laudem illis conciliare sueta, hoc siquidem te et ad tantam rem nobis persuadendum, præconia ex auditoribus nobis forte procurantem indeque placita amicitiæ conferentem, compulit. Ego porro silentium tanquam minus periculosum elegis-

α'. Πολλὰ μὲν ἡμῖν πολλάκις καὶ ἄλλα τὸ σῆς ψυχῆς σου φιλόπονον ἀριδήλως ἐγνώρισεν, ἀνδρῶν ἄριστε καὶ φιλομαθέστατε, οὐχ ἧττον δὲ καὶ ἡ πρὸς τὴν διήγησιν τῶν ἤδη τῇ περιφανεῖ τὸ πρότερον πόλει Θεσσαλονίκῃ συμβεβηκότων σπουδή σου, καὶ τὸ λόγοις ἡμᾶς συνετῶς ἄγαν ἔχουσι διεγεῖραι, ταύτην ὡς ἂν ἐπίδηλόν σοι κατὰ δύναμιν θέσθαι τὴν ἡμετέραν σπουδάσωμεν καὶ ὥσπερ ὑπ' ὄψιν ἀγάγωμεν. Δείκνυσι γάρ σου περιφανῶς τὴν ψυχὴν, περὶ τὴν τῶν ἀναγκαίων ὅπως μάθησιν ἔχει, καὶ ὡς ἐκ τοῦ προσέχειν ἱστορίαις καὶ λόγοις, οἷς ἄνθρωποι πρὸς τὰ κρείττω σαφῶς μετατίθενται, τῶν μελλόντων ὅλη καὶ μὴ μεθισταμένων καθίσταται. Πλὴν ἀλλ' οὕτω θαυμασίας οὔσης γε τῆς σπουδῆς, ἐκεῖνο πᾶς ὅστις οὖν σὺ φρονῶν, τῶν οὐκ ἐπαινουμένων ἂν οἰηθείη ὅτι γε τοὺς εἰς ἄκρον δυνάμεως λόγων ἐλήλακότας παραδραμὼν, καὶ προὔργου παντὸς τὸ λογογραφεῖν ἀεὶ ποιουμένους, ἐμοὶ τὴν τοσαύτην ἐγχείρησιν ἀπερισκέπτως ἀνέθου, νωθρότητι διανοίας ἀμαθῶς ἀληθῶς ἔχοντι περὶ λόγους καὶ πρὸς πᾶσαν ἠντινοῦν ἀγαθῶν κτῆσιν ῥᾳθυμοῦντι καθάπαξ. Καὶ τοῦτόν οἶμαι πέπονθας ταῖς μελίσσαις, ὅτε τὰς ἀρχὰς ζητεῖν τοῦ μέλιτος κατεπείγονται· παρατρέχουσι μὲν γὰρ, ὥς φασι, τῶν ἀνθέων τὰ εὔοσμα, ἐφίπτανται δὲ τῷ θύμῳ, φυτῷ δριμύτητος γέμοντι καὶ λίαν ἀνόσμῳ. Ἀλλὰ δεινὸν ἡ φιλία, πάντας ἁπλῶς τοὺς ἐνισχημένους γε ταύτῃ πάντα καὶ λέγειν ὑπὲρ τῶν φίλων καὶ πράττειν πρὸς βίαν κινοῦσα, τὸν παρὰ τῶν πολλῶν ἔπαινον αὐτοῖς προξενεῖν εἰωθυῖα. Τοῦτο γὰρ ἦν τὸ καὶ σὲ τοσοῦτον ἡμᾶς ἀναπεῖσαι καταναγκάσαν, τὴν ἐκ τῶν ἀκουόντων ἡμῖν εὐφημίαν ἴσως προσγενέσθαι βεβουλημένον, κἀντεῦθεν τῇ φι-

Digitized by Google

λίφ χαρίσασθαι. Ἐγὼ μὲν οὖν βουλοίμην ἂν τὴν σιωπὴν ὡς ἀκίνδυνον μᾶλλον ἑλέσθαι καὶ τὴν παροῦσαν ὑπόθεσιν, ὡς τὴν ἐμὴν ὑπερβαίνουσαν δύναμιν, παραιτήσασθαι πάνυ δικαίως· λαβὼν δ' ἐπὶ νοῦν τῆς ἀπειθείας τὸν κίνδυνον ὅσος, καὶ διὰ τοῦτ' εἰς ἀνάγκην συνελαθεὶς ἀπαραίτητον, δεῖν ὥμην ἕτοιμον ἐμαυτὸν παρασχεῖν σου τῇ ἀξιώσει καὶ σου τοὐπίταγμα πεπληρωκέναι ὡς δύναμις. Κἀπειδήπερ ἐπικλινὴς ἐγὼ καὶ εὐγνώμων πρὸς τὸ ζητούμενον ὤφθην σοι, καὶ σὴν χάριν ὧν οὐκ ἐβουλόμην κατατετολμηκέναι προήρημαι, δίκαιον ἂν εἴη καὶ σὲ τῆς ἐγχειρήσεως ταύτης ἡμῖν ταῖς εὐχαῖς συνεφάψασθαι, ἵν' ὁδηγηθέντες, καὶ δύναμιν ἐσχηκότες λόγου καὶ διανοίας ὀξύτητα, τῆς σῆς φανῶμεν ἄξια ἐπιθυμίας ἐργάσασθαι καὶ μηδὲ τὴν ὑπόθεσιν καθυβρίσωμεν. Παρακαλῶ δὲ καὶ πάντας τοὺς ἐντευξομένους τῷ πάσης ἀμουσίας πεπληρωμένῳ τῷδε συγγράμματι συγγνώμην ἡμῖν παρασχεῖν ἐξ ἑτοίμου, τὴν ἡμετέραν εὐπειθειαν ἀποδεξαμένους. Οὐ γὰρ δυνάμει λόγων τεθαρρηκότες ἐπὶ τοῦτο προήγμεθα, ἵνα καὶ μέμψιν σχῶμεν δικαίως παρὰ τοῦ βουλομένου παντὸς (πολλοῦ γε καὶ γὰρ δέομεν τοῦ λόγους εἰδέναι καὶ τούτοις γε χρῆσθαι κατ' ἐπιστήμην θαρρεῖν), τῇ δ' ἐπιταγῇ τοῦ προστεταχότος ἡμῖν, καὶ τῷ μὴ μέμψιν ἔχειν εἴ τις τὴν ἑαυτοῦ πρός τι τῶν ἀναγκαίων ἐνδείκνυται δύναμιν, ἀνέγκλητον εἶναι οἰόμενοι πανταχοῦ τὸ πάνθ' ὁντινοῦν μὴ πρὸς ἐπίδειξιν, πρὸς δὲ τὸ μὴ τάφῳ σιγῆς παραπέμπεσθαι τὰ πρὸς ἀκρόασιν ἄξια, τοῖς κατὰ δύναμιν ἐγχειρεῖν λόγοις ἑκάστοτε. Ποιήσομαι δὲ τὸν λόγον ἁπλοῦν τε καὶ εὔληπτον, ἀλλὰ δὴ καὶ συνεσταλμένον ὡς τὰ πολλὰ κατὰ τὸν σὸν λόγον, τἀναγκαῖα μόνον περιλαβών, καὶ ὅσα δὴ παρεθέντα ζημία σοι λογισθήσεται πρὸς ἀκρόασιν κεχηνότι.

A sem, et præsens argumentum veluti vires meas exsuperans alio, nec immerito, amandassem; sed mente revolvens quæ sint contumaciæ pericula, propterea que inevitabili vi constrictus, necessarium mihi duxi memetipsum petioni tuæ tradere mandatumque tuum pro viribus adimplere. Et dum ego proclivis et obsequens efflagitatis obtempero, et tui gratia, a quibus mihi longe animus est, aggredi præsumo, justum fuerit te quoque in partem similis laboris precibus atque supplicationibus ad Deum venire, ut directus et dicendi facultate instructus et acumine ingenii fultus dignum quidpiam tuo desiderio persolvam, argumentumque infamia non aspergam. Rogo vero universos qui hæc percurrerint, elingui planeque rudi commentario, nostrum B obsequium prompte amplexatos, veniam dare. Neque enim dicendi facultate confisi ad hoc devenimus; tum enim, et jure, insimularemur a quolibet, cui id complacitum fuerit; nam quam longissime a sermonibus eorumque scientia absumus; tantum abest ut cate eorum usum nobis promittere audeamus; sed imperanti obtemperantes, et quod accusationi non subsit si quis propriam facultatem ad aliquid ex necessariis expediendum experiatur, crimine vacare existimantes quemcunque, non sui ostentandi causa, sed ne quæ digna auditione reputantur silentii tenebris involvantur, singulis horis, ut facultas est, scripto tradere. Erit itaque sermo simplex ac facilis et ut plurimum, dum sic admones, compendiosus, necessaria tantummodo C complectens; quæ vero tacuerit, a te, qui dicentis orationem auribus devoras, inter damna reputabuntur.

β'. Εἰ μὲν οὖν τις ἐτύγχανες ὢν τῶν οὐκ εἰδότων τὴν πόλιν, τὰ καθ' ἕκαστόν τε ἠγνόεις αὐτῆς ὥσπερ οἱ πρῶτον ἐξ ἀλλοδαπῆς εἰς ἑτέραν μετοικήσαντες πόλιν, ἕως ἂν τὸ τοῦ χρόνου μῆκος, ταύτην αὐτοῖς κατὰ μέρος γνωρίσειεν, ἐδεόμην λόγων ἂν ἐνταῦθα μακρῶν, ἵνα μηδὲν τῶν τῆς πόλεως τὴν σὴν διαφύγῃ γνῶσιν. Ἐπεὶ δὲ πρὸς θρέμμα ταύτης τὸν λόγον ποιοῦμαι καὶ ἀκριβέστερον ἢ πολλοὺς ἄλλους τὰ κατ' αὐτὴν ἐγνωκότα, μάτην οἱ μακροὶ περὶ τούτων λόγοι καὶ ἡ περὶ τῆς θέσεως μεγέθους τε καὶ κάλλους καὶ τειχῶν ἀσφαλείας καὶ προσέτι τοῦ εὖ κεκρᾶσθαι καὶ τῶν ἄλλων ἀκρίβεια, καὶ μάλισθ' ὅτι πρὸ μακρῶν ἐτῶν τὰ περὶ τῆς πόλεως ἕτεροι φιλοπόνως ἄγαν δυνάμει λόγου καὶ ῥητορικῆς εὐγλωττίας δεινότητι ἠκριβωμένως ἐξέθεντο, καὶ μετὰ τὴν πρώτην πασῶν εἰπεῖν λαμπροτέραν πολλαῖς ἀποδείξεσιν ἀποφῆναι ταύτην ἐσπούδασαν. Ἐκείνοις δ' ἐμαυτὸν ἕγωγε μόνον διηγούμενος δώσω, ὥνπερ ἡ πόλις ἐν τῷ τῆς νῦν ἀλώσεως χρόνῳ πέπειρατο, καθάπερ ἔφης καὶ σὺ πρὸς ἡμᾶς, μικρὸν πρὸ ταύτης ἀπάρας ἐνθένδε, καὶ διὰ τοῦτο τὸ κακὸν οὐκ εἰδὼς ἀκριβῶς ὅπως κεχώρηκε. Τὰ τῶν Λατίνων γὰρ οἶδ' ὅτι καὶ αὐτὸς οἶσθα σαφέστατα τῇ πόλει παρὼν καὶ καθ' ἑκάστην ὁρῶν τὰ γινόμενα.

2. Si quis itaque esses rerum urbis imprudens ignarusque omnium, quemadmodum qui primum ex alienis regionibus peregrinantes, terrarum in quas appellunt infantissimi sunt, donec decursu temporis singula illius addiscant, prolixis mihi opus esset sermonibus, ne quid eorum quæ in urbe sunt tuam scientiam fugeret: verumtamen cum ad illius alumnum sermonem dirigam eumque qui præ aliis multis accuratius res illius callet, frustra hic verbosi sermones instituerentur, deque illius situ, magnitudine, pulchritudine, murorum securitate, nec non optima aeris temperie, aliorumque ratio exquisita proponeretur; eoque potissimum quod ante plerosque annos alii res urbis quam maxime studiose, et dicendi facultate et eloquentiæ Atticæ luminibus, docte exacteque prosecuti, post reginam omnium, ut ita dicam, illustriorem multis demonstrationibus declarare conati sunt; ipse vero ea solummodo complectar, quæ hæc civitas hoc sui excidii tempore passa est, tuque nobis paulo ante quam ex ea discederes insinuaras, propterea que infortunii quod eam oppressit non admodum guarus, res siquidem Latinorum tu etiam, cum in urbe quotidie quæ gererentur conspiceres, optime (nec fallor) tenes.

Ἐπασχεν οὖν τῶν Λατίνων κρατούντων ἡ πόλις

Urbs itaque in Latinorum ditionem redacta, cum,

Digitized by Google

ut tu cate nosti, tantum malorum sustineret et diris quotidie exitiis undique confertis afflictaretur, et sermones multi conferrentur quonam pacto ex tot malis emergere possemus, nullum remedium occurrebat, nec aderat Averruncus. Neque enim Turcæ cum Latinis fœdus iniere, licet sæpius legatione missa id pertentassent, supplicesque etiam rogassent; neque erat in nostra potestate, copiis nostris in angustum oppido coactis et discordantibus votis ab unanimi sententia convulsis, aliquid agere, ut tute etiam nosti, qui una nobiscum eras, malorum perinde atque alii expertus.

3. Cum itaque res nostræ ita se haberent, et singula momenta innumeras prope noxas inferrent, deque salute desperaremus, malum aliud repente irrupit, et validiorem adamante animum disjiciens, boni scilicet pastoris et, æque ac primus pastor, quotidie profuse animam ponentis, divino consilio obitus, illi quidem fortunate succedens, nobis vero damna, eaque ingentia, concilians, qui illius ad Deum precibus, quibus saluti nostræ providebatur, privamur. Et divino consilio illum contigisse conjicies ex illis quæ illi adhuc superstiti inter somniandum evenerant. Visus est sibi, antequam urbs bello concuieret, domum præclaram et maximam ingresso, singulas illius partes inspicere et decora ac magnitudinem magnopere demirari; his intentum vocem, deforis advenientem inaudisse: «Domus hæc, cujus partes singulas illustres atque venustas considerans admiraris, actutum concidet; et ne te sua ruina opprimat, quam cito foras eripe te.» Visum hoc effectu non multo post comprobatum est. Ille etenim ut justus appareret et virtutis suæ multorum laborum præmia referret, sic, uti par erat, et ante commune infortunium, ad Deum, quem tantopere concupiverat, migravit. Neque enim justum apud Deum reputabatur similium malorum eum participem fieri, vita siquidem illius non erat similis aliis, et semitæ immutatæ, ut cum Salomone loquar. Nos vero improbitate plane repleti, et in cogitationibus cordis nostri pessimi ambulantes, ut Jeremias inquit, et perinde atque antiquus Israel murmurantes, ut nobis allubescit, rebus non succedentibus, jure merito mala ac solida calamitate mactamur, et tali viro orbamur qui solus afflictissimis hisce temporibus in tantis rerum discriminibus solatium remanserat, omnes siquidem eum uti vitalem in nobis facultatem reputabamus, illiusque mortem tantummodo ducebamus adversus nos justissimæ numinis punitionis exordium. Hoc eos redarguit apertissime qui indigna dicta in eum ingerunt et infamia onerant, quod proditionem non suaserit, et quod eos propriis consiliis, altius quidpiam meditatus, jure represserit. Opinor equidem ego, cum vellet Deus ut omnibus innotesceret quis vir ille sacer esset et quorum dignus, qui vero nos et quibus pœnis obnoxii, quibus miseriis juste excruciandi, id propter res utriusque in rem utriqueque disposuisse.

ὡς οἶδας, καὶ ὁσημέραι θλίψεις ἡμῖν ἐπήγοντο παντοχόθεν, καὶ λόγων πολλῶν παρ' ἑκάστοις πῶς ἂν ἀναθείημεν γιγνομένων τρόπος ἦν οὐδ' ὁστισοῦν ὁ τούτων ἡμᾶς τῶν δεινῶν ἀπαλλάξων. Οὔτε γὰρ οἱ Τοῦρκοι τοῖς Λατίνοις ἐβούλοντο σπείσασθαι πολλάκις πρεσβευσαμένοις περὶ τούτου καὶ δεηθεῖσιν, οὔτ' ἡμῖν ἐξῆν πρᾶξαι τὸ κατὰ γνώμην, ὀλίγοις ἄγαν καθεστηκόσι καὶ ἀνισότητι γνώμης ἀποβεβληκόσι τὸ ὁμονοεῖν, ὡς ἄρα καὶ σοὶ γνώριμον τοῦτο σὺν ἡμῖν γε ὄντι καὶ τῶν δεινῶν ἐκείνων τοῖς ἄλλοις παραπλησίως εἰληφότι τὴν πεῖραν.

λείαν ἐν ταῖς σκηναῖς συναγηοχότων τῶν Τούρκων, ὁ τῆς δύσεως στρατηγὸς καὶ αὖθις τὴν πόλιν εἰσέδυ, ταύτην ἵν' ἀκριβέστερον κατοπτεύσωσι καὶ μηδὲν αὐτοὺς λάθῃ κρυπτόμενον ὁπουδήποτε, ὅτε δὴ καὶ τὰ τῆς πόλεως ἅρδην ἅπαντα ἠφάνιστό τε καὶ ἀνατέτραπτο, καὶ οὐδὲν οὔτε ναὸς ἱερὸς οὔτε μονὴ οὔτ' οἰκία καὶ τῶν φαυλοτέρων αὐτῶν ἀσάλευτος καταλέλειπτο. Τὸ δ' αἴτιον, ὅτι τῶν πολιτῶν ὅσοι περιουσίαν ἐκέκτηντο τῷ μακρῷ συγκλεισμῷ μὴ δαπανηθεῖσαν, τὴν ἔφοδον τῶν πολεμίων ἀκηκοότες, ὃ πεπόνθεσαν δεδιότες, οἱ μὲν ναοῖς ἱεροῖς, οἱ δὲ μνήμασιν, ἕτεροι δὲ οἷς ἐδύναντο τόποις ἐναπέθεντο ταύτην, εἰ μὲν αὐτοῖς θανεῖν γένοιτο κατὰ τὴν προσδοκίαν, τῶν ἔπειτα ταύτην ἵνα τινὲς εὑρηκότες, οἷα συμβαίνει, τῆς ἐκείνων ψυχῆς ὑπεραγωνίσωνται, εἰ δὲ τὸν θάνατον ἀποφύγοιεν, εὕρωσί τε καὶ χρήσωνται πρὸς ἐλευθερίαν. Οἱ δὲ τῆς ἐλπίδος ἐψεύσθησαν· ἀλόντες γὰρ τοῦ μὲν ἀδίκως τεθνάναι, Θεοῦ τὸν οἰκεῖον ἔλεον ἐπιδειξαμένου, πλὴν ἐνίων, κἀκείνων οἷων προδιειλήφειμεν, ἀνώτεροι διεδείχθημεν, τοῦ δὲ τοῖς προσοῦσι χρήσασθαι πρὸς ἀνάρρυσιν οὐκ ἐπέτυχον. Δεινοὶ γὰρ ὄντες οἱ Τοῦρκοι καὶ πρὸς ἐπινοίας πολλὰς εὐπορώτατοι τῇ περὶ τὰ πράγματα τούτων πολυπειρίᾳ, οὓς τῶν πολιτῶν ἐποίησαν αἰχμαλώτους, καὶ μάλιστα τὰς γυναῖκας διὰ τὸ τούτων εὐεξαπάτητον, λόγοις ὑπελθόντες πολὺ τὸ ἐπαγωγὸν κεκτημένοις, ἐλευθερίαν αὐταῖς ὑπισχνοῦντο τελείαν εἰ χρήματα τούτοις γνωρίσειαν οἰκεῖά τε καὶ ἀλλότρια. Αἱ δὲ πρὸς αὐτὸ τοὔνομα τῆς ἐλευθερίας ἀπατηθεῖσαι, γνωρίζειν εὐθὺς ἑκάστη τῷ ἰδίῳ δεσπότῃ σπουδῇ ἔργον πεποίητο καὶ τὰ ἑαυτῆς καὶ τοῦ γείτονος, εἴ τινα περὶ τούτων εἴδησιν εἶχεν. Ὡς δ' ὁρχὴ τοῦδε γέγονε τοῦ κακοῦ, καὶ χρήματα πολλοὶ τῶν Τούρκων ἀνεῦρον γνωριζουσῶν τοὺς ταῦτα κρύπτοντας τόπους τῶν γυναικῶν, λόγος γίνεται περὶ τούτου διὰ παντὸς τοῦ στρατεύματος, καὶ πάντες οἱ κατασχόντες αἰχμαλώτους ἀνθρώπους πρὸς τὸν ὅμοιον διανίστανται ζῆλον, τοὺς μὲν ὑποσχέσεσι περιεχερωσμέναις ἀπάτῃ, τοὺς δὲ λόγοις ὁμοίως ἑτέροις ἐπὶ φανερώσει τῶν ἰδίων παρακαλοῦντες χρημάτων καὶ φενακίζοντες. Ὅσους δὲ δυσπειθεστέρους τῶν ἄλλων εὗρον (ἦλπιζον γὰρ τῶν νουνεχεστέρων πολλοὶ τῆς θωπείας αὐτοὺς ὑπενδοῦναι καὶ τῶν πολλῶν ἐκείνων ἀπατηλῶν λόγων, κἀντεῦθεν τὰ κεκρυμμένα διατηρῆται) τούτοις πολυειδεῖς τινὰς τιμωρίας ἐπῆγον, ἕως καὶ τούτους εἰς ἀνάγκην ἐνέβαλον καὶ τὴν ἔνστασιν ἔλυσαν. Ὅθεν καὶ πολλοὶ τῶν δοκούντων, οἱ μὲν ταῖς θωπείαις καθυπαχθέντες οἱ δὲ τὰς τιμωρίας οὐκ ἐνεγκόντες, φανεροῦν τὰ κεκρυμμένα σπουδάζοντες ἦσαν καὶ ἄκοντες· πρὸς γὰρ πᾶσαν ἀνάγκην, καὶ μάλιστ' ὅταν θάνατος ᾖ τὸ προκείμενον, εὐχερῶς οἶδεν ὑποπίπτειν ἡ φύσις. Τοῦτο τῆς τῶν ἱερῶν ναῶν καὶ μονῶν κατασκαφῆς αἴτιον γέγονεν. Ἐνίων γὰρ διὰ τὸ ἀνύποπτον ἱεροῖς ἐναποθεμένων ναοῖς χρήματα, καὶ ταῦτ' ἐν αὐτοῖς τοῖς ἀδύτοις ὑπ' αὐτὰς τὰς ἱερωτάτας τραπέζας, καὶ τῆς ἀνάγκης ἐφεστηκυίας γνώριμα ταῦτα τοῖς τιμωροῦσι θεμένων, ἀφανίζειν τὸ κάλλος αὐτῶν ἐπεχείρουν οἱ Τοῦρκοι, καὶ τὰς θείας τραπέζας, ἐρ'

A jam universam prædam Turcæ in tentoria deduxissent, dux Occidentis rursus urbem immigrat, accuratius eam inspecturus, nihilne occultum, ubicunque illud esset, lateret. Sic urbis rebus universis recisis et ad nihilum redactis nihil, neque templum sacrum neque monasterium, neque domus etiam vilissima, inconcussa remansit. Et causa hæc fuit. Ex civibus qui divitiis aliaque suppellectile affluebant, quas longa obsidio non absumpserat, audita hostium irruptione, et quod perpessi sunt pertimescentes, alii in sacris templis, alii in sepulcris, alii aliis quibus poterant locis sua reposuere; ut si forte ipsis mors contigisset, ut exspectabatur, qui postmodum venturi erant, illis repertis, ut fieri amat, pro eorum anima aliquid accurarent; si B mortem effugissent, ipsi sibi haberent, et liberi facti in suos usus converterent. Sed spe sua frustrati sunt, capti siquidem injustam mortem oppetere Dei summa miseratione, paucis exceptis, ut supra narravimus, evasimus; sed propriis uti libertati restitutis non contigit. Turcæ enim, solertes cum sint et ad invenienda multa, rerum quam possident experientia, promptissimi, quos captos adduxerant ex civibus, et præcipue mulieres deceptu facillimas, verbis illecebrarum et lenociniorum plenis sese insinuantes, libertatem illis polliceri perfectam, si ipsis pecunias proprias sive alienas revelassent. Illæ nomine libertatis deceptæ statim summo conatu domino et sua et vicini, si quam eorum cognitionem habebant, revelare. Ut malum cœpit irrepere et multi ex Turcis pecunias reperere, mulieribus loca in quibus abscondebantur aperientibus, rumor per totum exercitum de hoc spargitur, et omnes qui captivos adduxerant ad similia animum advertunt, hos pollicitationibus fraude oblinitis, alios similiter aliis modis ad revelandas pecunias consuadentes et compositis mendaciis deludentes; quos vero pertinaciores agnoscebant, sperabant siquidem multi ex prudentioribus eos lenociniis et multis dolo fraudeque onustis sermonibus tandem finem imposituros, et sic a se reposita sibi conservaturos, pœnis omnis generis afficere, cogereque ut pertinaciam deponerent. Hinc multi ex præstantioribus, partim illecebris deliniti, partim pœnas non sustinentes, festinanter, licet inviti, absondita manifestant. Novit enim natura necessitati, et potissimum cum mors proponitur, facili negotio cedere. Hoc et sacrorum templorum et monasteriorum eversionis causa fuit. A nonnullis enim propter expetitam securitatem in sacris templis, pecuniis repositis, et maxime in ipsis adytis sub sacrosanctis altaribus, et postmodum necessitate urgente ob cruciatuum sævitiam indicatis, eorum pulchritudinem Turcæ demoliti, divinasque mensas, in quibus mystica vivens et salutaris totius terrarum orbis victima offertur, pecuniarum desiderio studiose evertere et cuilibet (væ misero mihi) conculcandas proponere. Nam suspicabantur sub omni lapide pecunias esse, propterea omnia late vastabant,

Digitized by Google

Tam dirum malum in sacris quoque imaginibus locum habuit, ea non sine contumelia absumens; quarum plerasque igne concremarunt, qui earum adorationem nobis surripiunt; alias in usum rerum venalium (Deus, tuam tolerantiam!) in medio foro impudentissime reduxere; nonnullas etiam conservarunt qui magis quam alii pecuniis inhiabant, et postea argento divendiderunt.

A αἷς ἡ θεία μυστικὴ καὶ ζῶσα καὶ σωστικὴ παντὸς ἐπετελεῖτο τοῦ κόσμου θυσία, τῇ τῶν χρημάτων ἐπιθυμίᾳ κατὰ σπουδὴν ἀνατρέπειν καὶ καταπάτημα φεῦ τοῖς βουλομένοις τιθέναι· ὑπέλαβον γὰρ ὑπὸ παντὶ λίθῳ χρήματα κεῖσθαι, καὶ διὰ τοῦτο πάντ' ἀνάστατα πεποιήκεσαν. Αὕτη κἀπὶ τῶν ἱερῶν εἰκόνων συμβέβηκεν ἐν ὕβρει διαφθορὰ, καὶ τὰς μὲν πυρὶ περιέσχον, οἷον ἡμᾶς εἰς τὴν τούτων προσκύνησιν ζημιοῦντες, ταῖς δ' εἰς ὑποδοχὴν τῶν ὠνίων, ὦ Θεοῦ ἀνοχῆς, ἐπὶ μέσης τῆς ἀγορᾶς ἀναίδην ἐχρήσαντο, τινὰς δὲ καὶ διετήρησαν ἕως ὅσοι τῶν ἄλλων εἰς κτῆσιν χρημάτων θερμότεροι, καὶ ἀργυρίου ταύτας ἀπέδοντο.

16. Quid porro diceres de nostri tropæalis et martyris myrothecio? neque illud immotum neque imperturbatum furoris exsuperantia conservarunt, qui contra nos veluti bestiæ immansuetæ sævierant; non eamdem tamen ob causam ob quam alia antiquitus per nos sepulcra exstructa reserata sunt et disjecta, et cadaverum reliquiæ in eis jacentes super terram dispersæ: in illis enim Turcæ pecunias a civibus repositas, causa jam prænarrata, reperere, propterea que fere omnia et reserarunt et subverterunt; at hic duplici de causa, tum propter ex non parvo auro et argento et lapidibus pretiosis nec non et gemmis circa illud compositum ornatum, tum propter sanitatem exhibens divinum unguentum. Nonnulli enim ornatus tantum gratia illud despoliarunt; alii nobis unguentorum affluentiam invidentes, et quæ inde subsequitur, sanitate nos privare cupientes, ut in posterum illa nobis medicina, cum opus esset, nulla suppeteret. Quapropter superstratis marmoribus disjectis unguenta non levi nisu exhauriunt, et sacrum divinumque martyris corpus expromere conantur, opinabantur siquidem propositum consequi nosque unguentorum inexhaustorum in orbitatem redigere. Verumtamen, quem sibi temere proposuerat eorum libido, finem non habuit. Per plures itaque dies ambabus manibus unguentum exhauriebatur, et quibusdam plane ridiculum videbatur; at qui plus aliis sapiebant, curæ erat illud in patriam perducere et cum reverentia religioneque contrectare: nam ab expertis audiverant ad quoslibet morbos medicinalibus ipsis pharmacis multo efficacius esse. Nihilominus unguentorum fontem non potuere neque exsiccare neque exinanire, quamvis id contentiosius multumque per tempus niterentur. Et merito; neque enim humana exæquant quæ Deus dignis elargitur, sicuti nec iisdem terminis subjacent.

B

C

D

Idem hoc nefarium facinus circa sanctæ et myroblytidis Theodoræ sacerrimum cadaver patratum est, quod cum in superficie jaceret, solo prostratum (o audaclam, o manus exsecrandas!) et in varias partes discerptum est; quas pii homines assumentes, alius alio prius, tanquam nulla mercede conductam medicinam asportarunt; postea eædem recollectæ, qui habuerant, aliis pretio restituentibus, aliis gratis dantibus propter ea quæ in se nutriebant pia con-

ἰς'. Τί δ' ἂν εἴποις περὶ τῆς μυροβλύτου τιμίας λάρνακος τοῦ ἡμεδαποῦ τροπαιούχου καὶ μάρτυρος; ἥκιστα καὶ ταύτην εἴασαν ἀπερίτρεπτον καὶ μένουσαν, ὡς τὸ πρὶν, μανίας ὑπερβολὴ οἱ καθ' ἡμῶν ὥσπερ θῆρες λυττήσαντες ἄγριοι, πλὴν οὐ δι' αἰτίαν καθ' ἣν καὶ τἆλλα τῶν πάλαι ἐξ ἡμῶν γενομένων ἠνέῳκτό τε καὶ καταβέβλητο μνήματα καὶ τὰ τούτοις ἐναποκείμενα λείψανα κατὰ γῆς ἀπερρίφησαν. Ἐν αὐτοῖς γὰρ καθότι πολλοὶ τῶν Τούρκων χρημάτων ἐπέτυχον ἐναποτεθέντων παρὰ τῶν πολιτῶν δι' ἣν ἐλπίδα φθάσαντες δεδηλώκειμεν, διὰ τοῦτο πάντα σχεδὸν ἠνέῳξαν καὶ κατέστρεψαν· ἐνταῦθα δὲ δυοῖν εἵνεκα, τοῦ τε περὶ αὐτὴν οὐκ ὀλίγου χρυσῷ καὶ ἀργύρῳ καὶ λίθοις τιμίοις καὶ μαργάροις κατεσκευασμένου κόσμου, καὶ τῶν ὑγείας παρεκτικῶν θείων μύρων. Οἱ μὲν γὰρ τοῦ κόσμου μόνον αὐτὴν ἀπεγύμνωσαν, οἱ δὲ βασκήναντες οἷον ἡμῖν τῆς ἀφθονίας τῶν μύρων καὶ τῆς ἐκ τούτων ἰάσεως ἀφῃρηκέναι καὶ ταῦθ' ἡμᾶς ἠβουλήθησαν, ὡς μηδὲν ἔχειν τοῦ λοιποῦ τούτων ἀπολαύειν, ὁσάκις ἂν ἕκαστος δέοιτο. Διὸ καὶ καταβεβληκότες τὰς ἐπ' αὐτῇ μαρμάρους τῶν μύρων ἔσπευδον αὐτὴν ἐκκενῶσαι καὶ τὸ ἱερὸν καὶ θεῖον λείψανον τοῦ μάρτυρος ἐκβαλεῖν· ἠγοῦντο γὰρ τοῦ σκοποῦ τούτου κατατυχεῖν καὶ ἡμᾶς τῶν ἀκενώτων μύρων καταλιπεῖν ἐνδεεῖς. Πλὴν ἀλλ' οὐκ εἰς τέλος οἷον αὐτοὶ σφαλερῶς προσεδόκων ἡ σφῶν ἐπιθυμία ἐξέβη. Ἐξήντλουν οὖν τὸ μύρον ταῖς χερσὶν ἀμφοτέραις ἐφ' ἱκανὰς τὰς ἡμέρας. Καὶ τοῖς μὲν ὥς τι γελοῖον ἐδόκει· οἷς δὲ νοῦς ὑπὲρ τοὺς ἄλλους ὑπῆν, τούτοις ἦν ἐπιμελὲς πρὸς τὴν ἑαυτῶν τοῦτο μετακομίζειν καὶ μετ' αἰδοῦς ἅπτεσθαι καὶ σεβάσματος· ἠκηκόεισαν γὰρ πρὸς τῶν πεπειραμένων ὡς ἰατρικῶν φαρμάκων ἐστὶν ἐνεργέστερον, εἰς οἷον ἄν τις χρήσαιτο πάθος. Πλὴν ἀλλ' οὐκ ἐδύναντο τὴν τῶν μύρων πηγὴν ξηρὰν καὶ ἄνικμον ἀποφῆναι, καίπερ πολὺν ὑπὲρ τούτου ποιούμενοι τὸν ἀγῶνα. Καὶ εἰκότως· οὐ γὰρ ἴσα τοῖς ἀνθρωπίνοις τὰ πρὸς Θεοῦ τοῖς ἀξίοις κεχαρισμένα, ἐπειδήπερ μηδὲ τοῖς αὐτοῖς ὑπόκεινται ὅροις.

Ταύτην τὴν πονηρὰν ἐπεδείξαντο γνώμην καὶ περὶ τὸ τῆς ὁσίας καὶ μυροβλήτιδος Θεοδώρας ἱερώτατον λείψανον, ὃ καὶ ὡς ἐπιπολῆς κείμενον ἀπερρίφη τε κατὰ γῆς, ὦ τόλμης καὶ μιαρῶν χειρῶν! καὶ κατεθραύσθη εἰς μέρη, ἃ δὴ καὶ τῶν φιλοθέων τινὲς ἀνελόμενοι ἄλλος μὲν ἀλλαχοῦ πρότερον ὡς ἰατρεῖον ἅμιλλον ἀπεκόμισαν· ὕστερον δὲ καὶ ταῦτα συνῆκται τῶν εἰληφότων τῶν μὲν ἀποδομένων ταῦτα τιμῆς ἀργυρίων, τῶν δὲ χαρισαμένων δι' ἣν ἔσχον φι-

Digitized by Google

λόθεον γνώμην, ἃ καὶ εἰς ἑνὸς αὖθις συναρμοσθέντα σώματος ὁλομέλειαν θαυμάτων ἐνεργείᾳ καθ' ἑκάστην ἀφθόνως πηγάζουσιν εἰς δόξαν καὶ αὖθις τοῦ πάντα πᾶσιν ἐπάγοντος λόγοις οἰκονομίας ἀῤῥήτου.

ιζ'. Τούτων οὕτω προδεδηκότων καὶ ἀκοσμίας πάσης γεγενημένης (διὰ πάντων γὰρ τῶν ἐν τῇ πόλει κεχώρηκεν ἡ καταφθορὰ) οἶκτον ἐπὶ τούτοις ὁ Μουράτης λαμβάνει τῆς πόλεως. Καὶ πρῶτα μὲν τοὺς εἰσιόντας ἅμα τῷ κατὰ δύσιν στρατηγῷ Τούρκους τὰς τῶν αἰχμαλώτων οἰκίας ἑαυτοῖς διανείμαντας καὶ ταύτας ἔχειν διὰ βίου παντὸς ἠλπικότας ἐξελαύνει καὶ μὴ προθυμουμένους τῆς πόλεως, ἐπειπὼν ὡς Ἀρκεῖ μὲν ὑμῖν τὰ χρήματα, καὶ οὓς παρ' ἐλπίδα δούλους ἐκτήσασθε· τὴν δέ γε πόλιν ἔχειν ἐγωγε βούλομαι, πολλῶν διὰ ταύτην διηνυκὼς ὁδὸν ἡμερῶν, καὶ πόνον ὑπενεγκὼν ὅσον ἐγνώκατε. Ἔπειτα δὲ πρὸς τὸν Γαλλικὸν ποταμὸν μεταβὰς, ἐγγὺς τῆς πόλεως ῥέοντα κατὰ τὸν καιρὸν μάλιστα τοῦ χειμῶνος, βουλὴν ἐσκέψατο πᾶσί τε ἀδόκητον ὅλως καὶ συστατικὴν τῆς ἁλωκυίας. Ἰδὼν γὰρ πόλιν τοσαύτην καὶ οὕτω κειμένην τῇ θαλάττῃ τε προσομιλοῦσαν καὶ πάντα δεξιὰν οὖσαν, ὥκτειρέ τε αὐτὴν καὶ πάλιν οἰκίσαι βεβούλητο. Καὶ δὴ πρῶτον μὲν ἀνθρώπους ἀριθμητοὺς τῶν ἐπισημοτέρων καθ' αἷμά τε καὶ συγγένειαν τῆς δουλείας ἀπηλλάχθαι προστέταξε, παρεσχηκὼς αὐτὸς τὰ λύτρα, καὶ τῇ πόλει τούτους ἐγκατοικῆσαι, ἔπειτα δὲ τὰ καταπεπτωκότα ταύτης ἐν τῷ πολέμῳ μέρη ταχέως τε ἀνορθοῦσθαι καὶ ὡς πρότερον ἦσαν ἐγκαταστῆναι. Καὶ τὸ μὲν πρόσταγμα οὕτως εἶχεν, αὐτὸς δὲ μεταστήσας καὶ αὖθις τὴν στρατιὰν παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ Βαρδαρίου ἐστρατοπεδεύσατο. Ἔνθα δὴ καὶ μερισμὸς παντελὴς τῶν ἁλωκότων ἐγένετο. Ὅσοι μὲν γὰρ τῶν αἰχμαλώτων, ἢ δι' ὧν εἰπόντες ἔφθημεν λύτρων ἢ ἐξ ἑαυτῶν ἢ Χριστιανῶν ἐξ ἑτέρων, ἐκ διαφόρων χωρῶν καὶ πόλεων συνειλεγμένων, τρόπον ἐξεῦρον ἐλευθερίας τινά, τετυχήκεσαν ταύτης ἔτι τῷ ποταμῷ Γαλλικῷ τοῦ Μουράτου ἐνδιατρίβοντος. Ὅσοις δὲ τρόπος ὑπ' ἀπορίας τηνικαῦτα οὐχ εὕρηται, τούτους ἕκαστος ἐν ταῖς ἑαυτῶν πατρίσι καὶ τόποις ἐξέπεμψαν, τὰς ἐκ τῆς δουλείας ἀνάγκας ὑφισταμένους, μέχρις ἂν ὑπονοστήσαντες τὰ σφῶν τιμήματα διαθῶνται· οὐ γὰρ ἐδύναντο καὶ τούτους ἕλκειν μακρὰν ἀπερχόμενοι καὶ πρὸς πόλεμον ἕτερον. Εἶδες ἂν οὖν τοὺς δυστυχεῖς τοὺς μὲν ἐπὶ τὰ τῆς Ἑῴας τοὺς δ' ἐπὶ τὰ τῆς Ἑσπέρας μέρη διασπαρέντας· οἱ μὲν γὰρ τοὺς τεκόντας, οἱ δὲ τὰ τέκνα, καὶ ἕτεροι τὰς γυναῖκας ἐλάμβανον, καὶ οὓς ἡ φύσις ἥνωσεν, ἡ συμφορὰ διεμέρισεν.

ιη'. Ταύτῃ τῶν καθ' ἡμᾶς, ὡς μὴ ὤφελε, συμβεβηκότων, καὶ τοιόνδε παρὰ τὰς ὄχθας τοῦ Βαρδαρίου πέρας εἰληφότων, ὁ Μουράτης ἐκεῖθεν διχῇ τὴν στρατιὰν διελὼν τὸ μὲν αὐτῆς ἐπὶ τὰ τῶν Ἰωαννίνων ἐξέπεμψε μέρη, αὐτὸς δὲ μετὰ θατέρου μέρους ἐπ' ἄλλους ἀπῄει καταστρέψων κἀκείνους καὶ ὑπ' αὐτῷ ποιησόμενος. Πρότερον δὲ διὰ πάσης τῆς ὑπ' αὐτὸν κήρυκας ἐπεπόμφει, τοὺς πρὸ μακρῶν ἐτῶν καὶ τοῦ συγκλεισμοῦ τὴν Θεσσαλονίκην ἀπολιπόντας καὶ μετοικήσαντας ἀλλαχοῦ πρὸς αὐτὴν ἵν' ἐπανελ-

A silia, denuo in unam integri corporis formam compositæ miraculorum efficacia quotidie affluenter innotescunt, in gloriam rursus ejus, qui omnia omnium regit moderaturque suæ providentiæ inenarrabili ratione.

17. His hoc modo peractis, omnibusque incompositis ac turpiter deformatis, per omnia siquidem, quæ in urbe erant, clades grassata est, afflictæ civitatis fortunæ Muratem ad misericordiam alliciunt. Et primum quidem qui cum occasus duce immigrarant, quique captivorum ædes sibi diviserant sibique eas habere per vitæ spatium speraverant, Turcas etiam invitos urbe pellit, inquiens : « Large vobis sufficiunt pecuniæ et præter spem captivorum quæstus : urbem mihi ipse reservo, quod ob eam multo- B rum dierum iter confeci, eosque labores sustinui quos vos optime nostis. » Tum ad Gallicum fluvium, qui prope civitatem, et hiberna potissimum tempestate, cursum tenet, pergens, consilium præter omnem exspectationem init, sed captæ urbi valde salutare. Considerans enim urbis magnitudinem et situm mari proximum, eamque congruentem et aptam ad omnia, commiseratus illius reficiendæ consilium capit. Primum quidem homines non contemnendo numero, sanguine et ortu spectabiliores, a servitute suis sumptibus liberatos mandavit, ut intra urbem domicilium haberent ; deinde ut partes illius bello collapsæ celeriter repararentur pristinoque decori restituerentur. Et mandata quidem C hæc erant. Tum ipse rursus moto exercitu ad Bardarii fluminis ripas castra metatur ; ubi captivorum partitio absolvitur. Nam captivi, sive pretio, quod supra innuimus, sive per se ipsos, sive per Christianos alios, ex variis urbibus et oppidis coactos, pecunia erogata libertate potiti sunt, eam sibi habuere, cum adhuc apud Gallicum fluvium Murates moras ageret : quibus vero ob egestatem, atque inopiam ea frui non contigit, eos singuli in patrias sedes et loca dimiserunt, servitutis incommoda subituros, donec ipsi postmodum reversi de eorum pretio disposuissent. Neque enim poterant secum una convehere per longum iter, et ad aliud bellum proficiscentes. Vidisses infelices, hos quidem ad ortum, illos ad occasum, distractos asportari : D namque hi parentes, alii filios, alii uxores accipiebant, et quos natura unum aliquid insigniter fecerat, calamitas separabat.

18. Hoc pacto (quod utinam nunquam evenisset) rebus nostris procedentibus, et hoc fine apud Bardarii ripas terminatis, Murates inde, duas in partes diviso exercitu, unam ad Janninorum fines dimisit, alteram ipse secum ducens ad alios se conferebat, eos quoque absumpturus et potiturus. Sed ante omnia per omnem suæ ditionis plagam præcones mittit, eos qui ante multos annos, ipsoque obsidionis tempore, Thessalonicam deseruerant aliisque in locis sedes locaverant suas, quam celerrime possent

Digitized by Google

domum revenire coacturos, qui proprias in posterum, ut antea, possiderent. Nam proposuerat, quam optime et multa cum laude, rursus urbem habitatoribus restituere, et ut prius erat, hominum conferta copia complere. Quod utique non multum post bellc cecidisset, nisi nostra in Deum facinora impedimento fuissent. Cum enim reparandæ urbis desiderio teneretur, revocans se ad humanitatem ac mansuetudinem, omnes libertatis compotes facere patriamque illis donare, ut dixi, et domibus propriis, ut antea, frui cum omni securitate, et quidquid aliud erat in immobilibus, in animo habuit. Quapropter primatibus cum suis, quidam etiam cum sacramento, ferunt dixisse : « Injustum est cum rebus debellatorum debellatos quoque in vincula conjici et patria alio abductos spoliari; libertatem itaque illis stabiliamus, si ita videtur, aut sine pretio illos accipientes, aut illud nos erogantes. » Auditorum alios sententiam laudasse, adhortatos ut faceret; sed unum ex ducibus, qui dignitate cæteros antecellebat, non tantum non approbasse verba de libertate, sed et quibus poterat rationibus consilium principis impedivisse; et verosimilia dicere, quod alios anteiret, visus est. Erat plane hoc quoque meorum scelerum fructus, ut ipse mihi suadeo, quemadmodum et quæ evenere reliqua; licet nonnulli sermonem hunc haud patentibus auribus arripientes, neque semetipsos causam fuisse judicantes, divinis præceptis neglectis, hominibus eventuum causas ascribunt. Ego autem, quidquid id fuerit, divinæ punitioni propter meam correctionem tribuo : omnes etenim clades pene exitiabiles, ut divinæ Litteræ tradunt decernuntque, ad frugem correctiones sunt, commune scelus communibus calamitatibus Deo puniente.

Rebus itaque civitatis, ut dixi, inter se divisis, Murates urbem hominibus nudam solummodo sibi vindicans, omnes domos prioribus dominis liberis factis, et alia omnia immobilia, tradi jubet, hæc tantum male tum factis superaddens, dum sacras ædes occupat, tum magnum Virginis et Deiparæ manibus non factæ templum, in media civitate positum, tum sub nomine ab antiquo tempore venerandi Præcursoris sacrum et in veneratione habitum monasterium, illud in victoriæ signum illatique excidii, hoc, quod aliquot ante annos a Turcis captum fuerat : et hæc in congregationes et synagogas suas commutavit. Nec non illustre Adrianopoli balneum a fundamentis exstruens, mille marmora eripi adducique ad balnei stratum ex hac urbe mandavit, quæ a sacris templis et monasteriis per curatores extracta sunt.

19. Porro abiere præcones ad multa illius ditionis loca, ut dictum est, et quos reperere Thessalonicenses, qui ante nonnullos annos rerum angustiis pressi ex ea secesserant, etiam vi reduces fecere, captivos item quoquomodo in libertatem vindicatos.

θεῖν πολλῷ τῷ τάχει καταναγκάσωσι καὶ τὰ οἰκεῖα πάλιν ὡς τὸ πρότερον ἀπολάβωσι. Σκοπὸς γὰρ αὐτὸν πάνυ τι καλὸς καὶ πολλῶν ἄξιος τῶν ἐπαίνων εἰσῆει, τὴν πόλιν καὶ αὖθις τοῖς οἰκήτορσιν ἀποδεδωκέναι καὶ πλήρη καθάπερ καὶ τὸ πρὶν ἀποκαταστῆσαι. Καὶ ἦν ἂν τοῦτο μετ' οὐ πολὺ, εἰ μὴ τὰ ἡμέτερα πρὸς Θεὸν κώλυμα γέγονε πταίσματα. Πόθῳ γὰρ τοῦ συστῆναι τὴν πόλιν φιλανθρώπου γνώμης τυχὼν ἐβούλετο πᾶσί τε ἐλευθερίαν χαρίσασθαι, καὶ δοῦναι τούτοις, ὡς προὔφην, αὐτὴν καὶ τὰς αὐτῶν οἰκίας ὡς πρὶν μετὰ πάσης ἀδείας κεκτῆσθαι, καὶ εἴ τι προσῆν ἀκίνητον ἕτερον. Τῷ τοι καὶ πρὸς τοὺς ἀμφ' αὐτόν φασί τινες ἐπομνύμενον λογάδας εἰπεῖν ὡς « Ἄδικον ἂν εἴη μετὰ τῶν προσόντων τοῖς κρατηθεῖσι καὶ τούτους ἐλεῖν δεσμίους καὶ τῆς ἐνεγκαμένης ἀπαγαγεῖν. Ἐλευθερώσωμεν οὖν αὐτοὺς, εἰ δοκεῖ, ἢ λαβόντες λύτρων ἄνευ αὐτοὺς, ἢ ταῦτα παρεσχηκότες ἡμεῖς. » Τῶν δ' ἀκηκοότων τοὺς μὲν ἄλλους ἐπαινέσαι τε τὸν λόγον καὶ παρακαλέσαι πρὸς τοῦτο, ἕνα δὲ τῶν ἄλλων στρατηγῶν ἐξοχώτατον μὴ μόνον οὐκ ἀποδέξασθαι τὸ ῥηθὲν διὰ τὴν ἐλευθερίαν, ἀλλὰ καὶ οἷς ἐδύνατο λόγοις κωλῦσαι τὸ βούλημα, καὶ πιθανὸν ὀφθῆναι διὰ τὸ ὑπερέχον. Ἦν δὲ καὶ τοῦτο πάντως τῆς ἐμῆς ἁμαρτίας καρπὸς, ὡς ἐμαυτὸν πείθω, καθάπερ καὶ τἄλλα ὅσα συμβέβηκεν· εἰ καὶ ἴσως τινὲς τοῦτον τὸν λόγον οὐκ ἀνεῳγμένοις δεχόμενοι τοῖς ὠσὶ, μηδ' ἑαυτοὺς αἰτίους κρίνοντες, τὰς θείας παρὰ φαῦλον ἐντολὰς τιθεμένους, ἀνθρώποις τὰς τῶν συμβαινόντων αἰτίας λογίζονται. Ἐγὼ δὲ τὸ πᾶν τῆς τοῦ Θεοῦ κρίνω παιδείας διὰ τὴν ἐμὴν ἐπανόρθωσιν· πᾶσαι γὰρ αἱ πολυάνθρωποι φθοραὶ, ὡς αἱ θεῖαι διαγινώσκουσι καὶ ἀποφαίνονται Βίβλοι, εἰς τὸν τῶν ὑπολειπομένων σωφρονισμὸν γίνονται, τὴν πάνδημον πονηρίαν δημοσίαις μάστιξι τοῦ Θεοῦ σωφρονίζοντος.

Πάντων οὖν, ὡς εἶπον, τὰ τῆς πόλεως ἑαυτοῖς διανεμαμένων, ὁ Μουράτης τὴν πόλιν ἀνθρώπων ἐρήμην ἰδιοποιήσατο μόνην, πάσας οἰκίας ἔχειν τοὺς ἀρχῆθεν αὐτῶν κυρίους προστάξας ἐλευθερίας τετυχηκότας καὶ πᾶσαν ἄλλην ἀκίνητον κτῆσιν, ταυτὶ μόνον προσθεὶς αὐτὸς τηνικαῦτα τοῖς κακοῖς γενομένοις, ὅτι τούσδε τοὺς ἱεροὺς οἴκους παρακατέσχε, τόν τ' ἐπὶ μέσης τῆς πόλεως νεὼν τῆς ἀχειροποιήτου Παρθένου καὶ Θεοτόκου καὶ τὴν εἰς ὄνομα πάλαι τιμωμένην τοῦ τιμίου Προδρόμου μονὴν ἱερὰν, τὸν μὲν ὡς σύμβολον νίκης καὶ τῆς γεγενημένης ἁλώσεως, τὴν δ' ὡς καὶ πρὸ χρόνων παρὰ τῶν Τούρκων ληφθεῖσαν, καὶ εἰς συναγωγὰς αὐτῶν τούτους μετήμειψε, καὶ ὅτι περιφανὲς κατὰ τὴν Ἀδριανούπολιν βαλανεῖον ἐκ βάθρων αὐτῶν ἀνεγείρας μαρμάρους χιλίας ἐξελεῖν ἔπεμψε καὶ κομίσαι πρὸς τὴν ἐδάφους οἰκοδομίαν αὐτόθι, ναῶν ἱερῶν καὶ μονῶν ταύτας παρὰ τῶν πεμφθέντων ἀφειδῶς ἐκβληθείσας.

ιθ'. Ἀλλ' ἀπῆλθον μὲν οἱ κήρυκες κατὰ πολλὰ τῆς ὑπ' αὐτῷ μέρη, ὡς διειλήφειμεν, καὶ τοὺς εὑρισκομένους ἀπὸ Θεσσαλονίκης ἐν αὐτῇ κατηνάγκασαν ἐπανέρχεσθαι, αὐτοὺς πρὸ χρόνων μόνον ταύτης ἀπάραντας ἐκ τῆς τῶν δεινῶν συνεχείας, ἀλλὰ δὴ

Digitized by Google

καὶ τῶν αἰχμαλώτων γεγενημένων τοὺς ὀθενδήποτε τῆς ἐλευθερίας ἠξιωμένους. Ἠλευθέρωνται καὶ γὰρ ἱκανοὶ πολλῶν θεοφιλῶν ὑπὲρ ἀναῤῥύσεως ἡμῶν προθύμως κεκινημένων, καὶ μάλιστα τοῦ τῶν Σέρβων ἄρχοντος, ᾧ τῶν ἄλλων αὐτοῦ πλεονεκτημάτων ἐξαίρετον ἡ πρὸς τοὺς δεομένους ἐστὶν εὐποιία ἑκάστοτε. Χρυσίον καὶ γὰρ οὗτός τισιν οἷς ἐθάῤῥει χειρίσας ἐπ' ἐλευθερίᾳ τῶν αἰχμαλώτων τοῦτο δοθῆναι παρεκελεύσατο. Καὶ οὐκ ἀπὸ τῆς ἐκείνου γνώμης ἐγένετο· ἐπρίαντο γὰρ τοῦ χρυσίου οἱ πρὸς αὐτὸ τεταγμένοι πολλοὺς, οἳ δὴ καὶ ἐπαντιόντες ἐπὶ τὴν πόλιν, ὡς εἰκάζειν ἔχομεν, μέχρι τοῦ νῦν εἰσι μετὰ τῶν ἀπ' ἄλλων τόπων ἐληλυθότων ὡσεὶ χίλιοι. Εἰ δὲ καὶ συναριθμεῖν τις ἐθέλοι καὶ τοὺς τὴν πόλιν οἰκήσαντας Τούρκους, εἶεν ἂν ὡσεὶ δισχίλιοι. Διενοούμεθα δὲ τὴν πολιν καὶ αὖθις τὴν πρὶν αὐτῆς εὐκοσμίαν ἀναλαβεῖν καὶ τὰ τῆς εὐσεβείας ἀνθῆται καὶ πλατυνθῆναι ὡς πρότερον. Καὶ γέγονεν ἂν ἴσως, εἰ μὴ καὶ πάλιν τὸ πλῆθος τῶν ἡμετέρων σφαλμάτων ἐμποδὼν ἐγεγόνει, καὶ ἡ κακία μὴ χώραν εὗρεν. Ἐξ οὗ γὰρ ἡ πόλις δεδούλωτο, καὶ ὁ Μουράτης πάντα καὶ κτίσματα καὶ κτήματα καὶ νεὼς ἱεροὺς καὶ μονὰς καὶ τὰς τῶν προσόδων αὐτῶν ἀφορμὰς ἐπανιοῦσιν ἡμῖν τοῖς ὁπωσδήποτε τῆς δουλείας ἀπαλλαγεῖσι φιλοτίμως καὶ γράμμασι καὶ λόγοις δεδώρητο, πανταχοῦ τε τοῖς ἀφικνουμένοις ἐλευθερίαν ἐκήρυξε, καὶ τὰς αὐτῶν οἰκίας καὶ ὅσα ἀκίνητα πάντες ἀνέλαβον, καὶ τάξις πᾶσα καὶ ἄπαν ἔθνος τῆς πόλεως πρὸς δευτέραν αὔξησιν καὶ ἀνακαινισμὸν προβαίνειν ἀπήρξαντο, ποιμήν τε τῇ πόλει κεχειροτόνητο, καὶ ἐκκλησία συνέστη καὶ τὴν προτέραν ταύτης τάξιν ἀπείληφε, μοναχοί τε τῶν μονῶν ἐπελάδοστο καὶ διὰ σπουδῆς ἐποιοῦντο τὴν τού ων ἐπίδοσιν, καὶ πάντες ἐλπίσι χρησταῖς ἐτρεφόμεθα, καὶ συντόμως εἰπεῖν ὧν ἐκ τῆς ἁλώσεως ἡμῖν ἐπιόντων κακῶν τὴν μνήμην ἀπεβαλόμεθα, καὶ χαίροντες ἦμεν ἐφ' οἷς ἀδοκήτως ἐτύχομεν, καὶ τὴν τότ' ἐξ ἡμῶν, ἡ παροιμία φησὶν, ὁ ἰμὰς ἐξετέτμητο.

Namque quam plurimi piorum hominum, infortunii commiseratione devictorum, liberalitate, et potissimum Servorum principis, cui præ aliis, quibus cæteros superat, virtutibus præcipuum est in egenos beneficentia, redempti fuerant. Is enim aurum fidis amicis concreditum pro libertate captivorum impendi mandavera! ; neque consilio frustratus est, eo siquidem auro multos ab eo missi redemerunt ; qui reversi in patriam, ut conjicimus, ad hoc tempus cum aliis, qui ex diversis locis huc accurrere, sunt numero mille. Et si quis simul Turcas hujusce urbis habitatores numeraverit, erunt fere bis mille. Opinabamur vero urbem rursus pristinum decorem recepturam, et pietatem novis floribus emersuram et, ut antea, longe lateque divagaturam. Et forte effectum habuisset, ni rursus meorum delictorum copia obstitisset datusque esset locus improbitati. Ex quo enim civitas captivitate pressa fuerat, et Murates omnia et ædificia et possessiones et sacra templa et monasteria et eorum reditus nobis revertentibus quoquo modo liberis factis magnifice et scripte et sermone elargitus est, et locis ex omnibus advenientibus libertatem palam edixit, et suas domus et quæcunque immobilia omnes recuperarunt, et ordo omnis et gens universa civitatis secundo augeri renovarique haud improspere cœpere, et pastor urbis creatus, et Ecclesia constitit suis institutis conspicua, et monachi monasteria tenuerunt et studiose admodum eorum augmentis inhiabant, omnesque spe lactabamur bona, et ut breviter me expediam, malorum propter excidium nobis illatorum memoria amissa gaudebamus pro iis quæ nobis insperato obtigerant, et pristinam felicitatem tranquillitatemque consecuturam urbem sperabamus, tum ex nobis, ut proverbio fertur, lorum sumptum est, et quæ exspectabantur bona, in contrarium reciderunt.

προτέραν ἀπολαβεῖν τὴν πόλιν εὐετηρίαν ἠλπίζομεν, καὶ εἰς τοὐναντίον τὰ τῶν ἐλπίδων περιετράπησαν.

κ'. Καὶ δὴ τῇ Θεσσαλονίκῃ ἐπιδεδημηκὼς ὁ Μουράτης (δεύτερον, οἶμαι, τηνικαῦτα διέππευεν ἔτος μετὰ τὴν ἅλωσιν ἢ τρίτον) ἐφ' ᾧ ταύτην ἰδεῖν καὶ ἀκριβέστερον τὰ κατ' αὐτὴν ἱστορῆσαι, καὶ τῶν ἀπ' αὐτῆς καλῶν ἀπολελαυκέναι, καὶ δωρεαῖς μεγάλαις ἀντιφιλοτιμήσασθαι, τὸν ἐκείνου τε τῷ φιλοτίμῳ τῆς γνώμης μιμήσασθαι πρόγονον, Θεσσαλονίκης κἀκεῖνον κρατήσαντα καὶ χάρισι ταύτην πολλαῖς ἀμειψάμενον, οὕτως οὖν γνώμης ἔχων καὶ μετὰ τοιαύτης ἐλθὼν, ὁ δὲ μὴ οὐκ ἀγαθαῖς ὑπαχθεὶς συμβουλίαις μεταβουλεύετσί τε καὶ τὴν προτέραν μετατίθησι γνώμην, καὶ ἃ καθ' ὃν ἐαλώκαμεν χρόνον οὐ πέπραχε, κατ' ἐκεῖνο δὴ τοῦ καιροῦ παρώρμητο διαπράξασθαι. Καὶ γοῦν ὡς τὴν πόλιν καὶ τὰ καθ' ἕκαστον ταύτης θεάσαιτο καὶ πάσης ἐν ταύτῃ ῥᾳστώνης ἐπαπολαύσειεν, ὡς τῶν αὐτῇ προσόντων καλῶν εἰς κόρον κατατρυφήσειεν, ἀγαπητικῶς τε οὐχ ἥκιστα ταύτῃ διατεθείη, καὶ πᾶσιν ἡμῖν θαῤῥεῖν δοίη περὶ ἡμῶν τὰ βελτίω, πρῶτον μὲν ψῆφον ἐξήνεγκεν οὐ̓αν οὐδ' ἐν ὀνείροις ἰδὼν οὐδείς ποτε προσεδόκησεν ἄν· ἦ δ' ἦν πάσας μὲν ληφθῆναι μο-

20. Nam Thessalonicam repetens Murates (secundus tum currebat vel tertius post excidium annus) ut eam inviseret, accuratiusque res illius addisceret, et bonis illius frueretur, et muneribus munificis contenderet cum suo progenitore, illiusque vestigiis insisteret qui Thessalonica potitus gratias innumeras largitionesque maximas fecit : hac, inquam, fretus mente, illiusque exsequendæ causa veniens, postmodum malis aliorum monitionibus distractus consilium pristinamque sententiam mutat ; et quæ, quo capti sumus tempore, non peregit, eo temporis perficere constituit. Igitur, licet ille diceret ideo se venisse ut urbem et singula illius circumspiceret, otioque et laboris remissione uteretur, bonisque illius ad saturitatem luxuriaretur, sicque non minus in eam benevole affectus meliora speranda nobis in posterum relinqueret, nihilominus primum mandatum dedit, quod ne per somnium quidem quispiam exspectasset. Id autem erat monasteria omnia templaque occupanda, eorum reditus omnes possessionesque au-

Digitized by Google

ferendas, et in angustum oppido res nostras cogendas. Quod non multo postea factum ab illis insigniter. Postea omnes domus, et quidquid aliud præterea in civitate erat, sanxit describi, et separatim præsentium separatim absentium censeri. Novum enim consilii genus excogitaverat, aut ab aliis excogitatum ipse probaverat, præsentium facultates relinquendas iis in quorum dominio erant, licet neque hoc integre observatum est; absentium, sive illi in vivis agerent sive ex eorum numero exturbati mortem oppetiissent, partim reservandas postmodum futuris, partim Turcis vel eam inhabitare coactis dedendas. Quod item factum est. Postquam vero universa urbis diligenter admodum descripta sunt, nonnullis ex nostris suam operam præstantibus, qui mente improbissima et plane invida conceptum fovebant, numerata sunt accurate nimis atque considerate, et duas in partes, ut mandatum fuerat, divisa, tum monasteria magnitudine et decore illustriora, similiter et ædes quæ alias pulchritudine ornatuque superabant, suis familiaribus et in dignitate constitutis attribuit, tantum nobis quatuor templis, catholicis dictis, id enixissime pastore procurante, concessis. Reliquas vero omnes ædes templaque fere omnia, qui ab aliis locis sedem sibi in ea collocassent suæque patriæ præposuissent, et Turcis, qui a Genitzis moti fuerant, tradi decrevit. Genitzæ locus est æquata agri planitie quaqua versum expansus diei itinere ab occidentali urbis plaga distans, sive sui habilitate, sive illius qui primum in habitationem sibi locum elegerat industria, Turcarum accolarum frequentia instructus; quem, nescio qua de causa, animi recreandi ferarumque immansuetarum capiendarum gratia Murates, cum in civitatem progrederetur, visens fere habitatoribus spoliavit, solum eos vertere qua possent celeritate jubens, et sedem Thessalonicæ ponere. Jussum diligenter curatores, nulla interposita mora, exsecuti sunt, postquam ille abscesserat, omnesque Turcas ibi habitantes suo adventu coactos potius quam suasos Thessalonicam advexere, et domus alias, loco earum quas illi possederant, ut mandatum fuerat, dediderunt. Ambo hæc itaque, ut opinor, Murates meditatus est et ita fieri jussit, tum ut securitate et custodia magis fida urbem communiret maritimam ideoque multis egentem habitatoribus, tum ut foro omnium rerum abundantia circumfluenti, venalibus undequaque convectis, omnes urbs ad se traheret, et mercaturis commerciisque diversas nationes indigentes commiscens ex facili ipsa collocupletata ditesceret.

νὰς καὶ νεὼς, πάσας δὲ προσόδους αὐτῶν καὶ τὰ κτήματ' ἀφαιρεθῆναι, καὶ εἰς στενὸν κομιδῇ τὰ ἡμέτερα καταντῆσαι, ὃ καὶ εἰς πέρας ἐκβέβηκεν οὐ μετ' οὐ πολύ. Ἔπειτα δὲ καὶ καταγραφῆναι πάσας οἰκίας καὶ εἴ τι προσῆν ἕτερον τῇ πόλει προστάττει, καὶ χωρὶς μὲν τὰ τῶν παρόντων χωρὶς δὲ τὰ τῶν ἀπόντων ἀριθμηθῆναι· βουλὴν γὰρ ἐνενόησεν ἢ ἐδέξατο τὰς μὲν τῶν παρόντων καταλιπεῖν ἔχειν τοὺς τούτων δεσπόσαντας, εἰ καὶ μὴ καθαρῶς οὕτως ἐξέβη, τὰ δέ γε τῶν ἀπόντων, ζώντων καὶ τεθνηκότων, τὰ μὲν τηρεῖσθαι τοῖς εἰσέπειτ' ἐλευσομένοις, τὰ δὲ Τούρκοις δοθῆναι τοῖς ἠρημένοις ἢ βιασθεῖσιν ἐνοικῆσαι τῇ πόλει, καθάπερ καὶ γέγονεν. Ἐπεὶ δὲ κατεγράφησαν μὲν μετὰ πολλῆς τῆς ἐπιμελείας ἅπαντα τὰ τῆς πόλεως, ἐνίων ἐκ τῶν ἡμετέρων πρὸς τοῦτ' ἐπιτηδείων ὀφθέντων, οἳ καὶ τοῦτ' ὤδινον ἐκ σκαιοτάτης, οἶμαι, γνώμης καὶ φθονερᾶ, ἠρίθμηντο δὲ μετὰ πολλῆς ἀκριβείας καὶ διασκέψεως, καὶ διχῇ κατὰ τοὐπίταγμα διηρέθησαν, τότε δὴ τὰς μὲν τῶν μονῶν ὅσαι δὴ μείζους καὶ πρὸς κάλλος φαιδρότεραι τοῖς οἰκείοις αὐτῷ καὶ οὖσιν ἐν ἀξιώμασιν ἐδωρήσατο, ὁμοίως δὲ καὶ τῶν οἰκιῶν ὅσαι δὴ καλλίους ἦσαν τῶν ἄλλων εἴς τε κάλλος καὶ μέγεθος, μόνους ἡμῖν τοὺς τέσσαρας νεὼς, οἳ καὶ καθολικοὶ λέγονται, καταλελοιπὼς, πολλὴν τὴν σπουδὴν ὑπὲρ τούτων τοῦ ποιμένος εἰσενεγκόντος. Τὰς δέ γε λοιπὰς ἁπάσας οἰκίας καὶ τοὺς νεὼς σχεδὸν πάντας διωρίσατο τοῖς τ' ἀπ' ἄλλων τόπων ἐθελήσασιν ἴσως τὴν πόλιν ἀνθ' ἧς οἰκοῦσιν ἐλέσθαι παρασχεθῆναι, καὶ τοῖς ἀπὸ τῶν Γενητζῶν ἀπαναστᾶσι Τούρκοις. Τόπος δ' οὗτός ἐστι πεδιὰς ὅλος, ἡμέρας ὁδὸν ἀπὸ τοῦ κατὰ δύσιν μέρους ἀπέχων τῆς πόλεως, εἴτε τῇ τούτου ἐπιτηδειότητι εἴτε σπουδῇ τοῦ τοῦτον ἀρχῆθεν ἐκλεξαμένου πρὸς οἴκησιν πολλοὺς ἐσχηκὼς οἰκήτορας Τούρκους. Ὃν δὴ τόπον, οὐκ οἶδ' ὅπως ἐπὶ θέαν καὶ ζώων ἀγρίων θήραν ὁ Μουράτης ἐκεῖσε, καθ' ὃν καιρὸν ἐνεδήμει τῇ πόλει, γενόμενος, σχεδὸν τῶν ἐνοικούντων καθίστησιν ἔρημον, ἀπανίστασθαι τούτους τὸ τάχος κελεύσας καὶ μετοικεῖν εἰς Θεσσαλονίκην. Ὃ δὴ πρόσταγμα καὶ μετὰ σπουδῆς οἱ πρὸς αὐτὸ τεταγμένοι πεπληρωκότες ἐφάνησαν μηδὲν μελλήσαντες μετὰ τὴν τούτου ἀποδημίαν, πάντας δὲ τοὺς αὐτόθι Τούρκους ἐκεῖσε γενόμενοι καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ εἰς Θεσσαλονίκην ἀγηοχότες, καὶ οἰκίας ἑτέρας ἀνθ' ὧν εἶχον παρεσχηκότες κατὰ τὸ πρόσταγμα. Ἄμφω γοῦν, οἶμαι, ταῦτ' ὁ Μουράτης ἐσκέψατο, καὶ τοῦθ' οὕτω γενέσθαι προσέταξεν, ἵν' ἀσφάλειαν ἡ πόλις ἔχῃ καὶ φυλακὴν ἀκριβεστέραν ἐκ τούτου, παράλιος οὖσα καὶ διὰ τοῦτο δεομένη πολλῶν ἐνοικούντων, καὶ ἵνα τὴν ἀγορὰν πλήθουσαν ἔχουσα τῶν ὠνίων ἁπάντων εἰς αὐτὴν εἰσκομιζομένων πάντας ἕλκῃ παρ' ἑαυτῇ, πραγματειῶν καὶ συναλλαγμάτων ἁπάντων μεταδιδοῦσα τοῖς χρῄζουσι καὶ ἑαυτὴν ῥᾳδίως πλουτίζουσα.

21. His itaque hoc modo digestis, cum Turcæ mille numero civitatem occupassent et omnium domos ac templa pro habitatione accepissent, nec non promiscue per universam urbem sedem locassent, civitas, veluti lugubri amictu, confusione atque immunditia circumvestita est, suo decore,

κα'. Τούτων οὖν οὕτω προβάντων, καὶ τῶν Τούρκων εἰς χιλίους ἀριθμουμένων τὴν πόλιν κατειληφότων, καὶ πάντων οἰκίας καὶ ναοὺς ἀντὶ οἰκιῶν εἰληφότων, καὶ ἀναμὶξ κατὰ πᾶσαν τὴν πόλιν λαχόντων τὴν οἴκησιν, ἡ πόλις ὥσπερ τινὰ πενθήρη χιτῶνα τὴν ἀκοσμίαν περιεβάλετο, τῆς εὐπρεπείας,

Digitized by Google

ἧς ἂν ἔτυχε τῆς κακῆς συμβουλῆς μὴ χώραν εὑ- A
ρούσης, ἀφῃρημένη, καὶ τὸν στολισμὸν, ὃν οὐκ εἰς
μακρὰν ἔσχεν ἄν, δυστυχῶς ἄγαν ἀποβαλοῦσα, καὶ
στένουσα οἷον μετ' οἰμωγῆς ὅτι μὴ σεισμὸς ταύτην
συνέχωσεν ἢ πῦρ παρανάλωσεν ἢ ὕδωρ ἀναδοθὲν ἢ
νεφελόθεν ῥαγὲν συνεκάλυψε καὶ κατέκλυσε· τοῦτο
γὰρ ἀνεκτότερον, ἐπεί τοί γε βέλτιον τοῦ τοιαύτην
ὁρᾶσθαι τὸ μηδ' ὁπωσοῦν ἐπὶ γῆς ἑστάναι. Οἱ μὲν
οὖν τῶν ἱερῶν οἴκων εἰς κοινὰ καταγώγια μετημεί-
φθεισαν, ὥσπερ εἰρήκειμεν, καὶ τὸ προφητικὸν εἰ-
πεῖν, ἐν πελέκει καὶ λαξευτηρίῳ τὰ θυσιαστήρια
τοῦ Θεοῦ καταβέβληντο· οἱ δὲ λείψανα μόνον τοῦ
πρώτου κάλλους αὐτῶν καὶ τῆς θέσεως ἀποσώζου-
σιν. Ἔνιοι δὲ, καὶ μᾶλλον οἱ πλείους, καταπεπτώ-
κεσαν τέλεον, ὡς μηδὲ ποῦ ποτ' ἦσαν γνωρίζεσθαι. B
Διηρπάγησαν γὰρ αἱ τούτων ὕλαι καὶ κτίσμασιν
ἄλλοις προσετέθησαν καινοτέροις, καὶ μάλιστά γε
τῷ νῦν ἐπὶ μέσης τῆς πόλεως ὁρωμένῳ καὶ κοινῷ
βαλανείῳ. Καὶ μονονουχὶ τῶν γηραιοτέρων ἔξεστιν
ἀκούειν ἀνδρῶν ὡς ὧδε μὲν ἦν ὁ νεὼς ὁ δεῖνα, ἐκεῖ
δὲ ὁ δεῖνα, καὶ ὅσα προσῆν ἑκάστῳ καὶ κάλλη καὶ
χάριτες. Καὶ τοῦτο μὲν οἱ κατὰ πᾶσαν τὴν πόλιν
νεῴ. Μοναὶ δ', ἃς πρότερον φθάσας ὁ λόγος ἐδήλω-
σεν, ἀφορμὴ τοῖς ὁρῶσιν ἵστανται πένθους, μὴ ὅτι
γε μοναχῶν ἔρημοι καταστᾶσαι κακῶς ἐξελαθέντων
καὶ πρὸς ἑτέρας πόλεις μετοικησάντων, ἀλλὰ καὶ
προσαφῃρημέναι τὴν διὰ πάντων λαμπρότητα· αἵ
τε γὰρ μάρμαροι τούτων ἐξηδαφίσθησαν, ἥ τ' ἄλλη
ἅπασα ὕλη ἡ πρὸς ἀπαρτισμὸν αὐτῶν ἀρχῆθεν συν-
τεθειμένη καὶ κάλλος εἰς διαρπαγὴν τοῖς βουλομέ-
νοις ἀνεῖτο, καὶ νῦν ἄκοσμόν τι θέαμα πᾶσιν ὁρῶν- C
ται καὶ τὰς ἁπάντων ψυχὰς κινοῦσι πρὸς δάκρυα.
Πολλοὶ μὲν οὖν εἶλονθ' ἂν ἀντὶ τῆς ἐνεγκαμένης τὴν
πόλιν, καὶ πλήρης μὲν ἂν ἦν εὐσεβῶν ἤδη, πλήρης
δὲ μοναχῶν, γέμουσα δὲ θυμηδείας καὶ τέρψεως τῷ
Χριστωνύμῳ πρεπούσης πληρώματι, εἰ μὴ τοιαύτη
κατ' αὐτῆς ἀπόφασις ἀπευκταία ἐξήνεκτο καὶ τὰ
κατ' αὐτὴν οὕτω προὐχώρησε. Νυνὶ δὲ μὴ ὅτι γε
πόθον οἱ ταύτην ἐκ μακροῦ καταλαβεῖν εἶχον, μετά-
μελον ἔσχον τῆς προθυμίας, ἀλλὰ καὶ ἡμῖν τῆς εἰς
τὴν πόλιν ἐλεύσεως μεταμέλει, τῆς ἐλπίδος σαφῶς
διημαρτηκόσι. Πάντα γὰρ ἄνω καὶ κάτω γεγόνασι,
τὸ τοῦ λόγου. Καὶ ἡ πόλις ὥσπερ τις ναῦς ἐν πελά-
γει περισχεθεῖσα κακῶν περιφέρεται, δίκην ἀνέμων
τῶν καθ' ἑκάστην εἰπεῖν συμπιπτόντων ταραττόν- D
των αὐτὴν καὶ ναυτίας πολλῆς καὶ ἰλίγγου πλη-
ρούντων, καὶ καθαρᾶς εὐδίας ἐπιτυχεῖν οὔκουν ἐών-
των, οὐδὲ τὸ τῆς εἰρήνης καὶ νηνεμίας ἱστίον
πετάσασαν πρὸς λιμένα καλῶν ἐφθακέναι στῆναί τε
ἐπ' ἀγκυρῶν ἀσφαλείας καὶ μένειν ἀσάλευτον. Θεοῦ
δὲ ἄρα τοῦτο ἂν εἴη καὶ τῆς ἐκείνου σαφῶς πηδα-
λιουχίας, καταπραῦναι μὲν τὰ τῶν ἐπερχομένων
κορυφούμενα κύματα, ἰθῦναι δὲ πρὸς γαλήνην, καὶ
σωτηρίαν χαρίσασθαι, καὶ δοῦναι πρύμναν κρού-
σασθαι τοῦ λοιποῦ καὶ πλεῦσαι δεύτερον, ὅ φασι,
πλοῦν, μεταβεβλημένων ἁπάντων ἐπὶ τὸ βέλτιον
καὶ ὃ συνοίσει τῇ πόλει, μεσιτεύσαντος τοῦ ἡμεδα-
ποῦ τροπαιούχου καὶ μάρτυρος, καὶ τῶν τῆς πα-
τρίδος οἰάκων αὖθις εἰπεῖν ἐπιλαβομένου, καὶ πρὸς

quem utique consecuta fuisset si malum consilium A
locum non habuisset, spoliata, et ornatu, quem non
multo post possedisset, orbata, et non sine gemitu
suspirans quod aut terræ motus non absorbuerit,
aut ignis non absumpserit, aut aqua alicunde erum-
pens vel e nubibus decidens non coopereruerit et
inundaverit : hoc enim tolerabilius fuisset, quando
multo melius est eam nusquam exstare quam hoc
modo visui hominum objici. Sacra igitur templa in
publica diversoria immutata sunt, ut prænarratum
est, et ut cum propheta loquar, in securi et ascia
Dei propitiatoria disjecta sunt : namque alia prio-
ris sui decoris et situs tantummodo reliquias profe-
runt, alia, quin imo major eorum pars, prorsus
conciderunt, ut nec ubi aliquando steterint agno-
scatur. Direpta siquidem eorum materia structuris B
aliis recentioribus applicata est, et potissimum bal-
neo, quod nunc media in urbe commoditati publicæ
erectum conspicitur ; tantumque ab ætate provec-
tioribus fas est audire : hac in parte templum tale
erat, ibi tale, et quæcunque ea exornabant, venusta-
tes et gratiæ. Et hoc quidem, per omnia civitatis
loca, templa passa sunt. Monasteria, de quibus an-
tea nostra oratio disseruerat, in maximum mœro-
rem intuentes abstrahunt, non tantum viduata mo-
nachis turpiter ejectis et ex patriis peregrinas in
sedes pulsis, sed suo splendore ac pulchritudine
spoliata, marmora siquidem eorum in solum disjecta
et materia reliqua, ad perfectionem atque ornatum
antiquitus exaggerata, rapinæ volentium cessere, C
et nunc spectaculum sine ullo cultu fœdum ac de-
formatum, circumspectantium animis lacrymas ex-
torquent. Et multi sane hanc civitatem patriæ præ-
posuissent ; adeoque piis hominibus repleta, repleta
monachis, lætitia jubiloque Christiano cœtui non
dedecentibus onusta, in hilaritatem conversa maxi-
mo gaudio frueretur, nisi adeo exsecranda senten-
tia lata fuisset. Et res quidem urbis ita se habuere.
Nunc porro, qui a longioribus oris illius potiundæ
desiderio exardebant, eos sui desiderii, sed nos quo-
que in eam reditionis pœnitet, cum spes melioris
status penitus sublata sit. Susque deque enim om-
nia facta sunt, ut proverbio circumfertur ; et urbs,
veluti navis alto malorum mari oppressa, circuma-
gitur : ventorum enim instar, quæ singulis diebus D
occurrunt, eam interturbant et nausea vertigineque
complent, et vera potiri quiete non permittunt, vela
licet pacis et tranquillitatis expanderit, ut ad por-
tum bonorum appellat, et ancorarum securitate fir-
metur, maneatque inconcussa. Dei igitur fuerit, et,
illius plane gubernationis, rerum advenientium tu-
midos fluctus sedare, ad tranquillitatem dirigere
salutem elargiri, concedereque ut in posterum pup-
pim inhibeamus et secunda navigatione, quod dici-
tur, utamur, omnibus in melius immutatis, ut, quid-
quid fuerit, civitati conducat, deprecatore se pro
nobis præbente nostro tropæali et martyre, rursus-
que patriæ gubernacula suscipiente, et adversus
calamitatum immodicos montes suam potentiam

Digitized by Google

usurpante ; neque diu bonum differatur, Deo propitio oculo inspectante, et suo more nobiscum, qui in eum delinquimus, humaniter agente.

22. Et hæc hucusque processere : licet nos ex illis quædam sponte, tempore id nostra dicendi imbecillitate, silentio involverimus ; cumque tuum nos rogatum refringere non possemus et inobedientiæ notam incurrere, ut nobis licuit, præsenti nos narrationi dedidimus : hoc enim et in exordio promisimus, nihil nos ultra propriam facultatem conaturos. Quare, si quid tuo desiderio dignum aut argumento compar, peregisse videbimur, tuum id fuerit et tuarum pro nobis supplicationum : sin res in omnibus infeliciter cecidit, id quod necessario futurum erat, quidquid nobis delatum fuerit munusculi, justum erit te quoque participem fieri, qui nos infantes atque imprudentes ad opus hoc excitasti, quia aliquid esse nos, qui nihil sumus et id ubicumque etiam contentiose profitemur, existimasti. Ego vero gratiam rei referri mihi preces tuas enixissime exoro, quam maxime venerande pater : mihi enim multorum scelerum conscius tuarum precum opem imploro, ut illa abluantur.

A τὴν τοσαύτην τῶν συμφορῶν θάλασσαν τῇ ἑαυτοῦ χρησαμένου δυνάμει. Γένοιτο δὲ μὴ οὐκ εἰς μακρὰν, ἀλλ' ἐπιβλέψαντος ὄμματι, καὶ φιλανθρωπευσαμένου συνήθως ἐφ' οἷς αὐτὸν παροργίζομεν.

κβ'. Ταῦτα ἐς δεῦρο παρηκολούθηκεν, εἰ καί τινα τούτων ἡμεῖς ἐκόντες διὰ τὸν καιρὸν καὶ τὴν ἡμετέραν περὶ τὸ λέγειν ἀσθένειαν παραλιπεῖν δέον κεκρίκαμεν. Κἀπειδήπερ οὐκ εἴχομεν τὴν σὴν ἀξίωσιν διακρούσασθαι καὶ ἀνηκοΐας γραφὴν ἀπενέγκασθαι, καθὼς ἡμῖν ἐξῆν, ἑαυτοὺς τῇ παρούσῃ δεδώκαμεν διηγήσει. Τοῦτο γάρ κἂν ταῖς ἀρχαῖς ὑπισχνούμεθα, μηδὲν πλέον τῆς ἡμετέρας δυνάμεως ἐπιδείξασθαι. Ὅθεν εἰ μὲν ἄξιόν τι τῆς τε σῆς ἐπιθυμίας καὶ τῆς ὑποθέσεως φανῶμεν ἐργάσασθαι, B σὸν ἂν εἴη τοῦτο καὶ τῶν σῶν ὑπὲρ ἡμῶν προσευχῶν· εἰ δ' αὖθις ἀτυχεῖς κατὰ πάντα δόξαιμεν, δ πᾶσα παθεῖν ἀνάγκη. Ὁποία τις ἂν ἀμοιβὴ καὶ πάλιν ἡμῖν ἀντιδοθείη, δίκαιον ἂν εἴη καὶ σὲ ταύτης μετεσχηκέναι, ἡμᾶς ἀμαθεῖς ὄντας παρακαλέσαντα πρὸς ἔργον τοσοῦτον διὰ τὸ ἡμᾶς εἶναί τι νομίσαι μηδὲν ὄντας καὶ τοῦτο πανταχοῦ διατεινομένους. Ἐγὼ δ' εἰς ἀμοιβὴν τὰς σὰς λιτὰς ἀντιδοθῆναί μοι θερμῶς ἐξαιτοῦμαι, τιμιώτατε πάτερ· πολλὰ γὰρ ἐμαυτῷ συνεγνωκὼς πταίσματα, τῆς ἀπὸ τῶν σῶν λιτῶν δέομαι βοηθείας, εἰς τὴν τούτων ἀπόνιψιν.

Joannis Anagnóstæ pro viribus acta Monodia de excidio urbis Thessalonicensis.

Quis, sciens casibus eventibusque rerum fatalibus planctus exæquare, digne Thessalonicensium C urbem deploraverit ? Urbs enim hæc, quantum reliquas alias felicitate, mensura non parva, superavit, rebus in omnibus semetipsam conspicuam ac desideratissimam commonstrans, tantum hoc ævi infelicissimo infortunio mactata, omnis generis lacrymarum argumentum proponitur. Quibus enim vel minimo tempore bonis illius perfrui concessum est, nihil de ea aliud occurrit quam quæ desperationem animo conciliant et fontes lacrymarum ex oculis extorquent. Namque et situ et pulchritudine multas, magnitudine et rerum abundantia multo plures civitates exsuperavit. Et quæ prius bonis omnibus affluebat, atque ab omnibus decantatis divitiis, nunc (quod utinam averlisset Deus)omni- D bus suis partibus jacet demortua et pessime pertractata. O quomodo illa, perinde atque magnes, omnes ad se trahebat avellique ab se nullo modo permittebat? sic enim eos detinebat, quos quacunque e regione advenientes donis excipiebat, vinculisque amicitiæ indissolubilibus constringebat, ut præ ea patriam postponerent et de reditu prorsus memoriam amitterent. Heu, heu ! verumtamen nunc non tantum advenas, quos, ut dixi, illius gratiarum participes fieri contigit, sed etiam quos ipsa extulit, omni studio fugam arripere eamque veluti Charybdim alteram perhorrescere et detestari coegit. O tempus, quænam repente parturis, et quasnam rebus immutationes inducis ! optime te, qui retro

Ἰωάννου Ἀναγνώστου κατὰ δύναμιν Μονῳδία ἐπὶ τῇ ἁλώσει τῆς πόλεως Θεσσαλονίκης.

Τίς ἂν εἰδὼς πάθεσι θρήνους ἐξισοῦν τὴν Θεσσαλονικέων ἀξίως πόλιν ὠδύρετο ; Πόλις γὰρ αὕτη τὰς ἄλλας ὅσον ἐν εὐτυχίᾳ πολλῷ τῷ μέτρῳ παρήνεγκε, πανταχόθεν αὐτὴν λαμπρὰν καὶ ποθεινὴν δεικνῦσα, τοσοῦτο νῦν ἀτυχέστατα πέπραγε καὶ θρηνῳδίας ἁπάσης ὑπόθεσις πρόκειται. Οἷς γὰρ τῶν ἀπ' αὐτῆς καλῶν καὶ μικρὸν γοῦν τινα χρόνον ἀπόνασθαι γέγονε, λέγειν οὐδὲν ἔπεισιν ἄλλο ταύτης γε πέρι ἢ ψυχὴν ὅσαπερ ἐς ἀθυμίαν ἐμβάλλει πηγάς τε δακρύων ἐξ ὀμμάτων προχεῖσθαι παρασκευάζει. Πολλὰς μὲν γὰρ κάλλει καὶ θέσει, πολλὰς δὲ μεγέθει καὶ τῇ τῶν καλῶν ἀφθονίᾳ μηδ' ὅσον εἰπεῖν ὑπερέβαλε πόλεις. Καὶ [ἃ] πρὶν μὲν ἐκόμα τοῖς ἀγαθοῖς καὶ πλούτῳ τῷ θρυλλουμένῳ, νυνὶ δὲ, ὡς μὴ ὤφελε, φροῦδα γεγένητο πάντα καὶ κακῶς ἀνεσκεύαστο. Ὦ πῶς μαγνήτιδος τρόπον εἰς ἑαυτὴν ἅπαντας εἶλκεν, ἀποστῆναί τε τούτους οὐδ' ὁπωστιοῦν συνεχώρει ! τοσούτῳ καὶ γὰρ κατεῖχεν, οἷς αὐτοὺς πανταχόθεν ἀφικνουμένους ἐδεξιοῦτο, δεσμοῖς τ' ἀλύτοις φιλίας συνέδει, ὡς ἀντὶ τῆς ἐνεγκαμένης αὐτὴν πάντας αἱρεῖσθαι, καὶ μηδ' ἐπανόδου μεμνῆσθαι μηκέτι. Φεῦ ! ἀλλ' ἤδη μὴ τοὺς ἐξ ἀλλοδαπῆς μόνον, οἷς ὑπῆρξεν, ὡς ἔφην, τῶν αὐτῆς ἀπολελαυκέναι χαρίτων, ἀλλὰ καὶ οὓς ἤνεγκε, φεύγειν ὅλῃ παρεσκεύακε προθυμίᾳ καὶ Χάρυβδιν ὥσπερ ἑτέραν δεδοικέναι καὶ τρέμειν. Ὦ χρόνε, οἷα τίκτεις ἐξαίφνης, καὶ μεταβολὰς οἵας ἐναπεργάζῃ τοῖς πράγμασι. Καλῶς σε, πρὸς τὸ παλίντροπον ἀπιδόντες, τροχὸν τὸ τῶν σοφῶν ὠνομάκασι γένος· πάντα γὰρ ἄνω καὶ κάτω μετατίθῃς καὶ περιφέρεις. Ὦ

Digitized by Google

πόλις ἡ πρὶν μὲν ὥσπερ ναῦς ἐξ οὐρίας πλέουσα, ἔπειτα δὲ καταιγίδος δεινῆς ἐγερθείσης κακῶς συντριβεῖσα καὶ τὸν ἐναποκείμενον πλοῦτον ἀποβαλοῦσα καὶ ἀπολέσασα, οὐδ' ἂν εἷς τῶν σοι προσόντων ἀφίκοιτό ποτ' εἰς λήθην ἐκών, εἰ μὴ τῶν φρενῶν ἐξέστηκεν ὅλως. Ἐγὼ μὲν οὖν καὶ σύνδακρυς σοῦ μεμνημένος καθίσταμαι, καὶ τὸ προφητικὸν εἰπεῖν, σκότος λεπτόν με καλύπτει, καὶ παραμυθίαν ζητῶν ταυτά μοι πάσχειν καὶ τοὺς ἄλλους εὑρίσκω. Ὦ πῶς σου τὴν πρὶν εὔκοσμίαν ἀφῄρησαι, καὶ ἡ λαμπρότης ἀπέσβη, καὶ τοὺς ὁρῶντας κατηφιᾷν ἀναγκάζεις. Συγκέχυται γάρ σοι κόσμος ὁ περικείμενος ἅπας, καὶ τὸ κάλλος, ᾧ σαυτὴν κοσμεῖν εἶχες, ἐξαίφνης ἀπόλωλε. Θέατρον γὰρ πρότερον μὲν εὐδαιμον ἦς, νυνὶ δὲ θέα πᾶσι γέγονας ἀπευκταία, καὶ τοὺς ἐνοικεῖν ἑλομένους σοι καὶ ἄκοντας ἀπελαύνεις, ὁρᾷν σε μὴ φέροντας ἐν δυστυχίᾳ τοιαύτῃ. Οἱ γάρ σε τροφὸν οἴδασι καὶ μητέρα, τοῖς ἐπὶ μητρὶ κοπτομένοις ἀποιχομένῃ τὰ παραπλήσια δρῶσι, καὶ κατηφείας σε πάντες ποιοῦνται διήγημα. Ὦ παρόντες, ἐγὼ μὲν καὶ τῶν ἄλλων ὅταν εἰς μνήμην ἥκω τῆς πόλεως, πολλῶν ὄντων καὶ μεγάλων, καὶ ὧν λόγος οὐδεὶς ἐξαρκεῖ πρὸς διήγησιν, ὀλίγου πληροῦμαι καὶ ἐμαυτὸν ὑπ' ἀθυμίας κατέχειν οὐχ οἷός τε γίνομαι, ἡνίκα δ' ἂν καὶ τὸν κάλλιστον δν ἀποβέβληκε κόσμον λογίσωμαι, νεὼς, φημὶ, θείους καὶ τὰ κατὰ πᾶν αὐτῆς μέρος σεμνῶν ἀνδρῶν καταγώγια, μικροῦ καὶ ἄφωνος τοῖς παροῦσιν ὁρῶμαι καὶ μόλις ἐμαυτὸν ἀναλαμβάνω τοῦ πάθους. Ὀφθαλμῶν γὰρ εἰπεῖν ἦσαν οὗτοι βολαί τε καὶ γλῆναι τῇ πόλει, καὶ νῦν κατακοιμηθεῖσαι ζοφερὰν αὐτὴν ἀπειργάσαντο πάντη. Καὶ τί μὴ λέγω τὸ κρεῖττον; Οὐρανῷ τε καὶ γῇ ταύτην εἰκάσειν ἄν τις τὴν πόλιν εὐστόχως· τὸ μὲν γὰρ ἄνω τοὺς ἐν ἀρετῇ διαλάμποντας οἰκήτορας πρότερον ἔχον μέρος οὐρανοῦ σῶζον ἦν σχῆμα, τὸ κάτω δὲ καὶ πρὸς θάλατταν γῆς. Εἴ τις δ' ἂν καὶ συνεκτικὰ εἴποι στύλους τῇ πόλει, οὐκ ἂν ἁμάρτοι. Ὦ πράγματος ξένου! ἔνθα πόνοι τῆς ἀσκητικῆς τοῦ παντὸς ἐτιμῶντο παλαίστρας, νυνὶ θεοστυγῆ διαπράττεται. Καὶ Θεὸς ὑπερτίθεται τὴν ἐκδίκησιν. Ὦ Θεοῦ ἀνοχή, πῶς τοιούτων ἠνέσχου; Βέλτιον ἂν ἦν τὴν γῆν διασχοῦσαν καλύψαι ἢ τοῦτον ταῦτα μετασκευασθῆναι τὸν τρόπον. Κρεῖττον ἂν ἦν ἑνὶ τῆς γῆς ἀνατιναγμῷ ταυτὶ καταπεπτωκέναι καὶ μηδὲ λείψανα γοῦν ἐναπολελεῖφθαι τῷ τόπῳ· τότε γὰρ οὐ τοσοῦτο τὰς τῶν ὁρώντων ψυχὰς ἔδακνεν ἂν τὸ πάθος. Ἡμῖν μὲν καὶ τὸ εἰσιέναι ἔνδον τοῦ θυσιαστηρίου φοβερὸν εἶναι ἐδόκει, καὶ μόνοις ἦν εἰσιτητὸν τοῖς τεταγμένοις ἐν τούτῳ, ψυχὴν καὶ σῶμα πρότερον σφίσι καθηραμένοις· τὰ νῦν δὲ τοῖς βδελυροῖς φεῦ! ἀνεῖται, καὶ τῆς τοιαύτης οὐκ ἀπείργονται τόλμης. Καὶ οὔτε γῆ δίστασαι καὶ τοὺς κατὰ Θεοῦ χωροῦντας χωννύει, οὔθ' ἥλιος ἄνωθεν καταφλέγει, ἢ οὐρανὸς σφοδρὸν ὕετὸν καταπέμπει καὶ καταδύει τάνόμημα. Ὅπη νοῦ καὶ αἰσθήσεων νήψει θείων λογίων ᾖδετο μέλη καὶ συνᾴδοντες ἦσαν ἄνωθεν νόες, φωνῶν νῦν αἴρεται ἀσήμων κραυγή, καὶ τὸ δαιμόνων ἐφήδεται φῦλον, σιγώσας ὁρῶν πανσύχων ὡδῶν ὑπηρέτιδα;

A abs te omnia converti conspexere sapientes, rotam nuncuparunt, omnia siquidem susque deque agis ducisque. O urbs antea vento secundo adnavigans, postmodum dira tempestate coorta pessime contrita, repositis in te divitiis amissis atque deperditis! nemo equidem tuorum unquam obliviscetur libens, ni mente captus abs te prorsus abierit. Ego vero totus lacrymis conspergor, dum tui recordor, et ut cum propheta loquar, subtiles tenebræ me obtegunt, et consolationem quærens eadem et alios perpeti reperio. O quomodo tuo pristino decore spoliata es, et splendor exstinctus, et intuentes mœrore conficis! ornatus enim omnis, qui te ambiebat, conturbatus est; et pulchritudo, qua te condecorabas, actutum abiit, theatrum siquidem antea
B felix, nunc omnibus abominandum spectaculum reddita es; et eos qui tuam habitationem elegerant nolentes abigis, tanquam qui te in simili calamitate videre non sustinent. Qui enim te altricem et matrem confitentur, perinde se gerunt atque illi qui matrem demortuam efferunt, et mœroris te narrationem omnes constituunt. O præsentes! ego equidem et rerum aliarum urbis memoriam cum recolo, quæ multa sunt et ingentia et dicendi genus omne superant, statim vertigine opprimor et me ipsum continere præ dolore nequeo. Sed cum pulcherrimus, quem amisit, ornatus menti occurrit, ædes, inquam, sacræ et per omnia sui loca venerandorum hominum sedes, tantum non mutus vocis
ἐκ πολλοῦ ὁ πατὴρ, εἶτα καὶ αὐτὸς τὴν διοίκησιν τὴν τοῦ πατρὸς προστάξει τοῦ βασιλέως διεδέξατο, διὰ δὲ τὸ μάκρος τοῦ γρόνου ἀφορμὴν εὑρὼν περιεποιεῖτο τὸ ἄστυ ὡς κτῆμα ἴδιον. Ἐνεκάλει τὸν τοῦ βασιλέως ἀδελφὸν πρὸς τὸν ἀμηρᾶν, ἀδικεῖσθαι λέγων ὑπ' αὐτοῦ, καὶ τὴν Μονεμβασίαν ἐκ τῶν χειρῶν αὐτοῦ δυναστικῶς ἐξέλαβε, καὶ μετὰ ὕβρεως καὶ ἀτιμίας καὶ αἰσχύνης ἐκ τῶν ἐκεῖθεν ἐδίωξε. Ὁ δὲ Μαμωνᾶς οὗτος γνώριμος ἦν ἐκ πολλοῦ τῷ ἀμηρᾷ. Λυπηθεὶς οὖν μετὰ θυμοῦ ὁ ἀμηρᾶς μηνύσας εἶπεν τῷ βασιλεῖ οὕτως ὅτι « οὐκ ἀρκεῖ ὑμῖν εἰρηνεύειν, ἀλλὰ οὕτως θέλετε πράττειν κατὰ τῶν ἐμῶν ὑποχειρίων ; ἐγὼ γὰρ ὀμνύω σοι εἰς τὸν Θεὸν, παιδεῦσαι ἔχω τοὺς τὰ τοιαῦτα τολμῶντας. » Καὶ ἑτέρους λόγους σκληροὺς ἔφησε κατὰ τοῦ βασιλέως καὶ τῶν ἑτέρων αὐθεντῶν Χριστιανῶν, **58** περὶ ὧν εἰρήκαμεν. Οἱ δὲ ἀκούσαντες ἕως καρδίας ἐλυπήθησαν, καὶ ἔκτοτε ἐζήτουν καιρὸν ἐπιτήδειον καὶ εὔλογον αἰτίαν ἵνα τὰς ὑποσχέσεις καὶ συμβάσεις καὶ ὑποταγὴν, ἣν εἶχον μετὰ τοῦ ἀμηρᾶ, φύγωσιν. Καὶ συμβάσεις καὶ ὅρκους φρικτοὺς λάθρα ἀναμέσον αὐτῶν ποιήσαντες τοῦ εἶναι γνώμῃ καὶ ψυχῇ μιᾷ ἕως θανάτου, διὸ βεβαιότερον τῆς ἀγάπης καὶ τοῦ συνδέσμου τούτου ἔστησαν ἵνα ὁ βασιλεὺς κὺρ Μανουὴλ εἰς νόμιμον γυναῖκα λάβῃ τὴν θυγατέρα τοῦ κὺρ Κωνσταντίνου τοῦ Δραγάση.

ιδ'. Τοῦ δὲ ἀμηρᾶ Μπαγιαζήτου ἐλθόντος καὶ πολὺν τῆς Βουλγαρίας τόπον ἁλώσαντος ἔτι καὶ δουλώσαντος, ὁ τῆς Γερμανίας βασιλεὺς Σιγισμόνδος ἔμαθε τὰ γενόμενα. Ὁ οὖν Σιγισμόνδος τῆς Γερμανίας ὁ βασιλεὺς πρέσβυν στείλας πρὸς αὐτὸν, ἤτοι τὸν ἀμηρᾶν, ἔλεγεν ὅτι οὐκ ἦν δίκαιον φίλοι ὄντες ἐν τῇ Βουλγαρίᾳ ἐπιβαλεῖν χεῖρα τὸν ἀμηρᾶν, ὅτι κατὰ τὸ προνόμιον τῆς βασιλείας αὐτοῦ ὁ τοιοῦτος τόπος ἐστίν. Ἐλθόντος δὲ τοῦ πρέσβεως καὶ ταῦτα εἰπόντος τῷ Μπαγιαζήτῃ, οὐδὲν ἕτερον ἀπεκρίθη αὐτῷ εἰ μὴ μόνον ἐκ τῆς χειρὸς παραλαβὼν αὐτὸν ἔδειξεν οἰκόν τινα τούτῳ μέγαν γέμοντα ἔσωθεν ἀπὸ παντοίων ὀργάνων πολεμικῶν, ῥομφαίων τε καὶ ξίφων, ἃ καλῶς ἡτοιμασμένα καὶ παρεσκευασμένα ὑπῆρχον. Εἶτα λέγει τῷ πρέσβει · « Λέξον ταῦτα τῷ αὐθέντῃ σου τῷ βασιλεῖ, ὅτι τὸ ἐμὸν δίκαιον, ὃ ἔχω ἐν τῇ Βουλγαρίᾳ, **59** ταῦτα τὰ ὅπλα καὶ αἱ παρασκευαὶ ἃς εἶδας εἰσίν. » Καὶ τοῦ πρέσβεως ἀναφορὰν ποιήσαντος τῷ βασιλεῖ Σιγισμόνδῳ ἐν τῷ ἐπανελθεῖν πρὸς αὐτὸν περὶ τούτων, ὁ βασιλεὺς ἐλυπήθη λίαν διὰ τὸ ἀκοῦσαι ὑπὸ τοῦ πρέσβεως τὰ τοιαῦτα καὶ τὴν τοῦ ἀμηρᾶ ὑπερηφάνειαν · καὶ εὐθὺς στρατὸν μισθοφορικὸν πολὺν συνάξας, καὶ τὸν αὐτοῦ μᾶλλον ἑτοιμάσας καὶ πολλοὺς ἑτέρους αὐθέντας προσκαλεσάμενος; εἰς βοήθειαν, ἄνευ τινὸς μισθοῦ ἢ ὀψωνίου καὶ μετὰ πλείστης χαρᾶς καὶ γενναίας ψυχῆς καὶ ἀνδρικοῦ φρονήματος διήρχετο ὁ λαμπρὸς οὗτος στρατὸς, καὶ πάντα τοῖς ποσὶν ὑπέτασσεν τὰ τῶν Τούρκων φρούρια, ἁλῶν καὶ σκυλεύων καὶ ἀφανίζων, ἕως καὶ τῆς Νικοπόλεως περάσαντες ἔφθασαν, καθάπερ ὕλη ἐπιτυχοῦσα φλογὶ ἰσχυρᾷ. Εἶτα ὁ βασιλεὺς Σιγισμόνδος, καὶ ἑτέρως θέλων στρατηγῆσαι κατὰ τοῦ Μπαγιαζήτη, πρέσβυν ἔστειλε λάθρα πρὸς τὸν βασιλέα κὺρ Μανουὴλ καὶ τοὺς ἑτέρους αὐθέντας, οὓς προέφημεν, ἵνα ἕτοιμοι καὶ προπαρεσκευασμένοι οὗτοι ὦσι καὶ τὸν ἐχθρὸν τῆς πίστεως, εἰ

nactus idoneam, urbem sibi ut propriam vindicarat. Is igitur fratrem imperatoris apud ameram criminabatur, quod Monembasiam violenter sibi eripuisset, indeque se cum contumelia, dedecore et infamia expulisset. Erat autem Mamonas hic ameræ dudum notus: unde is indignabundus imperatorem ita increpat: « Num vobis satis non est pace frui, sed isto modo meos habere subjectos audetis? Equidem per Deum juro tibi, posse me, talia qui audeant, punire. » Alia præterea aspera verba adversus imperatorem et reliquos principes Christianos, de quibus diximus, jactavit: quibus illi aliquamdiu afflicti, mox occasionem idoneam, et causam speciosam quæsiverunt, qua promissa, pacta et officia, quibus ameræ se obstrinxerant, effugerent. Itaque postquam pactionibus et diris sacramentis clam se invicem devinxerunt, ut consensionem et concordiam servarent usque ad mortem, quo firmius esset hujus fœderis vinculum, statuerunt, ut imperator Manuel Constantini Dragasis filiam matrimonio legitimo sibi jungeret.

14. Cum Bajazetes ameras multa Bulgariæ loca cepisset et in potestatem suam redegisset, Sigismundus, Germaniæ rex, de ea re certior factus, legato ad eum misso, æquum esse negavit, cum essent amici, ameram manum injicere Bulgariæ quæ jure ad sui regni provincias pertineret. Hæc dicenti legato Bajazetes nihil respondit, sed manu apprehenso domum amplam ostendit, omni armorum genere, rhomphæis gladiisque bene dispositis et adornatis, refertam. Tum legatum allocutus: « Hæc, inquit, regi, domino tuo, renuntia: jus meum, quod in Bulgaria exerceo, hæc esse arma apparatusque, quos vidisti. » Sigismundus rex hæc cum audisset a legato, ex eo nuntio et arrogantia ameræ gravem dolorem percepit; et confestim magno exercitu mercenario coacto et suis ipsius copiis instructis aliisque multis principibus auxilio vocatis, sine ulla mercede vel victu, præclarum hunc et generosi animi spiritusque plenum exercitum educit, qui omnia Turcarum castella capit, subjicit, diripit, evertit, donec Nicopolim perventum est, velut silvam invadens flamma. Tum Sigismundus rex etiam aliunde Bajazetem bello lacessere cupiens, clam ad imperatorem Manuelem et reliquos principes, quos supra commemoravi, legatum misit, ut prompti et parati essent ad hostem hunc fidei funditus, si possent, delendum. Illi talem occasionem, ut sitiens terra aquam e cœlo, exspectantes, legatum lætabundi exceperunt et bellum ipsi quoque occulte parabant. Interim Bajazetes, Sigismundi regis adventu comperto, in varias cogitationes metumque incidit, et copiis

Digitized by Google

δυνατὸν, ἀφανίσωσι. Αὐτοὶ τὸν καιρὸν ὡς γῆ διψῶσα τὸν ὄμβρον ἐξ οὐρανοῦ ἀναμένοντες, τὸν πρέσβυν μετὰ χαρᾶς δεξάμενοι, τὰ πρὸς ἀνάγκην τοῦ πολέμου καὶ αὐτοὶ λαθραίως ἡτοίμαζον. Ὁ Μπαγιαζήτης οὖν ἀκούσας τὴν τοῦ Σιγισμόνδου βασιλέως ἔφοδον εἰς λογισμοὺς οὐκ ὀλίγους καὶ φόβον ἐνέπεσε, καὶ τὸν στρατὸν αὐτοῦ ἑτοίμως καὶ μετὰ βίας συναθροίσας καὶ καλῶς ἑτοιμάσας πρὸς τοὺς ἀντιπάλους ὥδευε. Φθασάντων δὲ τῶν στρατῶν ἐγγὺς τὸν πόλεμον ἀνῆψαν οἱ Γερμανοὶ πρῶτον καὶ οἱ Γαλάται, καὶ συμπλοκῆς γενομένης **60** διὰ κακοβουλίαν τὰ τῶν Χριστιανῶν ἐσφάλησαν, καὶ τὸ πᾶν ἀπώλεσαν στράτευμα, καὶ φεύγοντες ἦσαν ἀμετάτρεπτοι. Καὶ ἐν τῷ φεύγειν οἱ Τοῦρκοι πολλοὺς ἀπέκτειναν καὶ ᾐχμαλώτιζον, οὐ μόνον ἀσήμου καὶ στρατοῦ κοινοῦ, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν περιφανῶν καὶ ἐνδόξων καὶ εὐγενῶν αὐθεντῶν, ἐν οἷς ἦσαν ὁ δοὺξ τῆς Μπουργουνδίας, ὁ κόμης τῆς Ἀβέρσας καὶ ὁ μέγας ἀρχιτρίκλινος τοῦ τῆς Φραγκίας ῥηγὸς καὶ ἕτεροι οὐκ ὀλίγοι περιφανεῖς καὶ ἔνδοξοι. Μόλις δὲ καὶ αὐτὸς ὁ βασιλεὺς Σιγισμόνδος μετὰ τοῦ πρωτεύοντος τὸν σταυρὸν φοροῦντος τῆς ἀδελφότητος Ῥόδου, ἀκάτιον μικρὸν τυχόντες εὑρεῖν, ἐμβάντες τὸν Ἴστρον ἐπέρασαν καὶ τὴν σωτηρίαν ἐπορίσαντο. Ὁ δὲ ἀμηρᾶς πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν κερδήσας καὶ τῆς τοιαύτης θαυμαστῆς νίκης περιτυχὼν ἀνελπίστως καὶ δόξης ἔμπλεος καὶ χαρᾶς γενόμενος, καὶ ἰδὼν ὅτι ὁ βασιλεὺς κὺρ Μανουὴλ καὶ οἱ ἕτεροι αὐθένται, περὶ ὧν ἔφημεν, οὐ κατὰ τὰς ὑποσχέσεις καὶ συμβάσεις ἃς εἶχον ἀναμεταξὺ ἐποίησαν, ἵνα αὐτῷ ἀκολουθήσωσι, καὶ ἐνωτισθεὶ; τὰ ὅσα οὗτοι πάντες ἐβουλεύοντο κατ' αὐτοῦ, μάχην μεγάλην κατὰ τοῦ βασιλέως ἐκήρυξε, καὶ ἐλθὼν τὴν πόλιν δια ξηρᾶς καὶ θαλάσσης ἀπέκλεισεν ἐν ἔτει ,ςϡϑ', πολιορκῶν αὐτὴν παντοιοτρόπως καιρὸν καὶ χρόνον πολύν.

61 ιε'. Ἐν τῷ τοῦ καιροῦ ἐκείνου διαλήμματι ὁ Ἰωάννης ὁ τοῦ δεσπότου κὺρ Ἀνδρονίκου υἱὸς καὶ ἀνεψιὸς τοῦ βασιλέως κὺρ Μανουὴλ, περὶ οὗ πολλάκις ἔφημεν, ἐγγὺς ὑπάρχων πάντοτε ἐκ πολλοῦ τῷ ἀμηρᾷ (καὶ σιτηρέσια μεγάλα εἶχεν ἐξ αὐτοῦ, ἀκολουθῶν καὶ συνοδεύων αὐτῷ, καὶ οἰκιακὸς ἦν πάντοτε καὶ φιλούμενος), μαθὼν ὅτι τινὲς διέβαλλον αὐτὸν πρὸς τὸν ἀμηρᾶν λέγοντες ὅτι « Οὐκ ὀρθῶς φρονεῖ πρὸς σὲ, ὦ ἀμηρᾶ, ὁ Ἰωάννης, ἀλλ' ἐπίβουλός ἐστι· καὶ εἰ οὕτως οὐκ εἶχεν, ἡ πόλις καὶ ὁ βασιλεὺς ὁ θεῖος αὐτοῦ ὑπέκυπτεν ἂν καὶ ἐδουλώνετο, » ἐνωτισθεὶς δὲ οὕτως τὰ γενόμενα καὶ τὰ περὶ αὐτοῦ θρυλλούμενα, φοβηθεὶς τὸ ὀξὺ καὶ ἀπότομον τοῦ Μπαγιαζήτου, ἵνα μὴ τὴν ζωὴν κινδυνεύσῃ, ἐν μιᾷ τῶν νυκτῶν ἔφυγε καὶ πρὸς τὸν θεῖον καὶ αὐτοκράτορα ἔρχεται. Ὃν ὁ βασιλεὺς καὶ θεῖος ἀσμένως ἐδέξατο ὥσπερ τι δῶρον πολυτελὲς, καὶ κατεφίλησε καὶ ἠγκαλίσατο αὐτὸν καὶ τὰ πρέποντα σιτηρέσια σημειωσάμενος ἔδωσεν αὐτῷ. Ἡμερῶν οὖν παρελθουσῶν ὁ βασιλεὺς ἐβουλήθη ἐλθεῖν εἰς Ἰταλίαν καί τινα βοήθειαν αἰτῆσαι, λογιζόμενος τοῦ ἀπολαῦσαι τῆς βοηθείας, ἐπειδὴ οἱ αὐτοὶ αὐθένται ὑπῆρχον ἡ αἰτία τοῦ ἆραι τὸν ἀμηρᾶν τὴν μάχην κατὰ τῆς πόλεως, ἣν ἐποίησε καὶ ποιεῖ ἕνεκεν τοῦ ἀπεσταλμένου παρ' αὐτῶν πρέσβεως, ὡς εἴπομεν, δι' οὗ τὴν ὁμοφωνίαν ἐποίησαν ἵνα ὦσι πάντοτε κατὰ τοῦ ἀμηρᾶ καὶ ὁ εἷς ὑπὲρ τοῦ ἑτέρου βοηθῇ; ἑστηκαί, καὶ ἀλλήλοις **62** συναρωγεῖν. Καὶ ἐν τῷ μέλλειν ἐξιέναι τὸν βασιλέα ἐκ τῆς πόλεως, τὸν ἀνεψιὸν αὐ-

suis prompte et strenue coactis ac bene instructis, adversus hostes proficiscebatur. Cum sibi propinqui essent exercitus, Germani et Galli pugnam primi civerunt, et congressu facto, imprudentia res Christiana labefactata et exercitus universus dissipatus est. Fugiebant sine respectu, et in fuga a Turcis multi occidebantur aut capiebantur, non obscuræ solum et gregariæ multitudinis, sed etiam ex ipsis claris et honoratis nobilibusque principibus, in quibus dux Burgundiæ, comes Aversæ et magnus architriclinus regis Francorum aliique haud pauci clari et illustres viri fuerunt. Quin ægre rex ipse Sigismundus cum magistro fratrum Rhodiensium crucem gestante, inventa parvula cymba, Istrum trajecit salutemque expediit. Ameras omnibus eorum sarcinis potitus tamque admirabilem victoriam præter opinionem consecutus, gloria et lætitia redundabat, cumque imperatorem Manuelem et cæteros principes, de quibus diximus, conventis quæ fecerant, ut se sequerentur, non stetisse videret, atque cuncta audivisset, quæ illi omnes adversus se moliebantur, grave bellum imperatori indixit, et anno mundi 6900 terra marique obsidione urbi admota, diu eam omni modo oppugnavit.

15. Ea tempestate Joannes, Andronici despotæ filius et imperatoris Manuelis ex fratre nepos, de quo sæpe verba fecimus, e longo inde tempore apud ameram assiduus, a quo victum habebat largum, quem sequebatur comitabaturque quacunque, et cui semper in familiarissimis et intimis erat, postquam apud ameram a quibusdam se accusari sensit, qui eum Bajazeti non bene velle, sed struere insidias dicebant: id enim nisi faceret, aiebant, urbem et imperatorem, patruum ejus, in officio futurum fuisse et servitio: hæc igitur et quæ alia de eo circumferebantur postquam audivit, propter acre et præceps Bajazetis ingenium vitæ suæ timens, nocte quadam aufugit et recepit se ad patruum imperatorem. Is eum cupide, tanquam munus aliquod pretiosum, osculo et amplexu excepit, victumque idoneum ei præberi jussit. Interjectis aliquot diebus, imperator subsidia petitum in Italiam proficisci decrevit. Ea nacturum se esse propterea confidebat, quod ejus ipsius regionis principes in causa erant, cur ameras bellum adversus Cpolim susceperat: quod is fecerat faciebatque propter legatum, ut docuimus, ab illis missum, cujus opera pactionem inierant, ut ameræ semper adversarentur et mutuo sibi opem et auxilia præstarent. Abiturus ex urbe imperator, Joannem ex fratre nepotem ad eam interea regendam et impetum

Digitized by Google

τοῦ κὺρ Ἰωάννην καταλιπὼν ἵνα διοικῇ καὶ κυβερνᾷ τὴν πόλιν καὶ ἀντιμάχηται τοῖς ἐναντίοις, ὁ δὲ βασιλεὺς τὴν δέσποιναν καὶ σύζυγον λαβὼν καὶ εἰς Πελοπόννησον ἐλθὼν ἐν τῇ Σπάρτῃ ἐγγὺς τοῦ ἀδελφοῦ κὺρ Θεοδώρου ταύτην εἵασεν· ὁ δὲ ἐν Ἰταλίᾳ ὁδεύει. Φθάσας οὖν ὁ βασιλεὺς ἐν Ἐνετίᾳ κἀκεῖθεν πρὸς τὸν δοῦκα Μεδιολάνων ἐλθὼν παρὰ τοῦ δουκὸς μετὰ τιμῆς μεγάλης καὶ δαψιλείας ἔτι δὲ καὶ δορυφορίας ἐδέχθη, καὶ ἵππους καὶ στρατιώτας πολλοὺς δώσας αὐτῷ ἵνα πρὸς τὸν ῥῆγα Φραγκίας ἔλθῃ, ἐπαγγειλάμενος ὁ δοὺξ τῷ βασιλεῖ, ἐὰν καὶ οἱ ἕτεροι ὁμοφρονήσωσι, καὶ αὐτὸς ὁ δοὺξ ἰδίως καὶ αὐτομάτως ἔλθῃ καὶ τῷ βασιλεῖ καὶ τῇ Ῥωμαίων ἀρχῇ βοηθήσῃ καὶ μὴ ἐάσῃ κινδυνεύουσαν. Ἐλθὼν οὖν ὁ βασιλεὺς καὶ πρὸς τὸν ῥῆγα Φραγκῶν εὗρεν αὐτὸν ἐν ἀσθενείᾳ βαρυτάτῃ ἔχοντα καὶ ἔξω φρενῶν ὑπάρχοντα· καὶ οἱ σύμβουλοι αὐτοῦ οὐκ εἶχόν τι ἀποκριθῆναι μόνοι. Ὁ μὲν βασιλεὺς ἄπρακτος ἐπὶ τὴν Κωνσταντινούπολιν ἐπανέστρεψεν ἐπὶ ἔτους ,ᾳυε' Σεπτεμβρίου ιγ'.

ις'. Ἐν τούτῳ τῷ ἔτει ὁ ἀμηρᾶς Μπαγιαζήτης κατὰ τῆς Πελοποννήσου τὸν Γιακούπ-πασιᾶν καὶ τὸν Βρενάζην ἔστειλε μετὰ στρατοῦ χιλιάδων πεντήκοντα· καὶ ἐν τῷ ἀπέρχεσθαι **63** αὐτοὺς ἐν τῇ ὁδῷ καὶ ἔνδον τῆς Πελοποννήσου φθάσαντες πολλὰ κακὰ καὶ δεινὰ καὶ ἀνδραποδισμοὺς τοῖς Χριστιανοῖς ἐπέθηκαν, καθὼς ἐν ὀλίγῳ ἐπὶ τῆς ζωῆς τοῦ Μπαγιαζήτου ῥηθήσεται. Ὁ δὲ δεσπότης κὺρ Θεόδωρος θεωρῶν τὰ τῶν Ῥωμαίων πράγματα ὅτι οὕτως κακῶς διέκειντο, καὶ τὴν πόλιν τοσοῦτον καιρὸν κινδυνεύουσαν ἀποκεκλεισμένην καὶ στενο-

A χωρουμένην ὑπὸ λιμοῦ πολλοῦ, ὁμοίως καὶ τὸν τῆς Πελοποννήσου πόλεμον, καὶ βλέπων ὅτι οὐδεὶς τῶν Χριστιανῶν αὐθεντῶν ἤθελεν αὐτοῖς βοηθῆσαι, καὶ ἀπορηθεὶς ὅλως, περάσας ἐν τῇ Ῥόδῳ μετὰ τριήρεως τὴν τῆς Σπάρτης ἀρχὴν ἐπεπωλήκει τῇ ἀδελφότητι τοῦ προφήτου καὶ Βαπτιστοῦ Ἰωάννου. Στείλαντες οὖν ἡ ἀδελφότης τινὰς τῶν σταυροφόρων ἐν τῇ Σπάρτῃ ἵνα ἐγκρατεῖς τῆς ἀρχῆς ὡς κύριοι καὶ δεσπόται γενήσωνται, ὁλαδὸς ὡς εἶδεν αὐτοὺς καὶ ἤκουσε τὰ γενόμενα, ὥρμησαν μετὰ ξύλων καὶ πετρῶν μετὰ θυμοῦ δραμόντες, ἵνα τοὺς ἀπεσταλμένους σταυροφόρους ἀποκτείνωσι. Ὁ δὲ ἀρχιερεὺς τοῦ τόπου σταθεὶς καὶ ὁμιλήσας, ἵνα μὴ τοιαύτη ἀταξία γενήσηται, ἐδυσώπει τὸν λαὸν, καὶ πειθόμενοι τοῖς τούτου λόγοις τοῖς σταυροφόροις τριῶν B ἡμερῶν διορίαν ἔδωσαν, ἵνα ἐκ τῶν ὁρίων τῆς Σπάρτης μετὰ εἰρήνης ἀναχωρήσωσιν· εἰ δὲ ἄλλως πράξωσιν, αὐτοὶ ὄψονται. Ἰδόντες οὖν οὗτοι ὅτι οὐδὲν κατώρθουν, ἀλλὰ μᾶλλον θόρυβος καὶ σκάνδαλα ἐγίνοντο καὶ τὴν ζωὴν μάλιστα ἐκινδύνευον, ἐγερθέντες **64** ἐπανέστρεψαν οἴκαδε. Οἱ δὲ Σπαρτιᾶται τὸν πρόεδρον αὐτῶν καὶ δοῦκα ἐψήφισαν εἶναι, καὶ πολιτικῶς καὶ ἐκκλησιαστικῶς ἤθελον κρίνεσθαι καὶ κυβερνᾶσθαι ὑπ' αὐτοῦ. Ὁ δὲ δεσπότης κὺρ Θεόδωρος ὡς εἶδε τὰς ἐλπίδας ψευσθείσας, τὰ χρήματα ἃ ἔλαβε τῇ ἀδελφότητι ἐκτίνας ὀπισθεν, εἰς Σπάρτην ἐν τῇ αὐτοῦ ἀρχῇ θέλων ἐλθεῖν, οὐκ ἤθελεν δεχθῆναι αὐτὸν ὁ δῆμος, ἀλλὰ μάλιστα καὶ ὕβρεσιν ἐνέπλυνσν. Καὶ πολλῶν λόγων γενομένων καὶ σκανδάλων τέλος ἐμεσίτευσεν ὁ ἀρχιερεὺς, καὶ πάλιν ἐδέχθησαν καὶ ἔστερξαν αὐτὸν εἶναι ὡς καὶ τὸ

hostium propulsandum reliquit. Ipse cum imperatrice conjuge in Peloponnesum profectus, Spartæ eam apud Theodorum fratrem deposuit et Italiam versus processit. Primum Venetias venit; inde ad ducem Mediolanensium perrexit, qui eum honorificentissime atque magno cum sumptu et cum satellitibus excepit, eidemque equitum peditumque magnum comitatum ad regem Francorum dedit, pollicitus, si cæteri consentirent, semet illi et imperio Romano sua sponte auxilio venturum ac discrimen depulsurum esse. Ad regem Francorum cum venisset, morbo gravissimo eum conflictantem et mentis impotem reperit; nec habebant consiliarii D ejus, soli quod illi responsum darent. Itaque re infecta imperator Cpolim rediit, anno 1405, mensis Septembris die 13.

16. Eodem anno Bajazetes ameras Giacup-pasianem et Brenazem in Peloponnesum cum exercitu quinquaginta millium misit: qui et in ipso itinere et in Peloponneso multis incommodis, calamitatibus ac servitiis Christianos afflixerunt, ut paulo infra in vita Bajazetis narrabitur. Theodorus despota, cum rem Romanam tam male affectam et urbem tam diu periclitantem, obsessam et gravi fame oppressam, deinde Peloponnesum bello vexatam, et Christianorum principum nullum sibi auxiliaturum videret, omni spe abjecta, una triremi Rhodum trajectus, Spartæ principatum societati Joannis prophetæ et baptistæ vendidit. Misit ea societas Spartam crucigeros aliquot ad eam provinciam occupandam et sibi vindicandam ut dominis. Quibus incolæ conspectis et auditis, quæ acta essent, hortante iracundia, cum clavis et saxis ad eos occidendos procurrunt. At superveniens et intercedens ejus regionis episcopus, ne tales turbæ orirentur, objurgabat multitudinem, quæ dictis ejus obsecuta, trium dierum spatium crucigeris concessit, quo e Spartæ finibus quiete excederent. Si secus fecissent, ipsos experturos, quo ea res evasura esset. Illi, cum nihil se efficere, sed turbas ac tumultus excitari atque vitam suam in discrimen adduci viderent, castris motis, domum redierunt. Spartani episcopum etiam præsidem suffragiis constituerunt et ab eo rem suam tam civilem quam ecclesiasticam administrari voluerunt. Theodorus, cum se spe falsum esse vidisset, pecunia, quam acceperat, societati restituta, Spartam in provinciam suam rediturus, non recipiebatur a populo, sed exagitabatur conviciis. Post multos tandem sermones et tumultus, conciliante episcopo, eum recipiunt et pristinum obtinere gradum patiuntur. Priusquam tamen restitueretur, sacramentis eum obstrinxerunt, ne unquam memor esset, quæ fecissent.

Digitized by Google

πρότερον. Πλὴν πρὶν τοῦ τὴν κατοχὴν λαβεῖν αὐτὸν, A συνθήκας μετὰ ὅρκων συνέστησαν, ἵνα μὴ εἰς τὸν αἰῶνα ἐνθυμηθῇ ὅσα ἐποίησαν.

ιζ'. Ἐν δὲ τῷ καιρῷ ἐκείνῳ ἐπὶ ἔτους. . . ., δι' ἣν αἰτίαν εἰρήκαμεν, καὶ ὁ δεσπότης κὺρ Ἀνδρόνικος τὴν Θεσσαλονίκην τῇ τῶν Ἐνετῶν γερουσίᾳ ἐμπεπωλήκει διὰ φλωρία χιλιάδας πεντήκοντα.

Ἡ δὲ ἐλευθερία τῆς πόλεως ἐκ τοῦ ἀποκλεισμοῦ οὕτως γέγονεν. Ἀκούσας ὁ ἀμηρᾶς ὅτι ὁ Ντεμίρης ὁ βασιλεὺς Σκυθῶν καὶ Μασσαγετῶν ἔρχεται κατ' αὐτοῦ ἵνα μετὰ στρατοῦ μυριαρίθμου πόλεμον συνάρῃ, θέλων καὶ μὴ βουλόμενος τὴν πολιορκίαν καὶ τὸν πόλεμον καὶ ἀποκλεισμὸν τῆς πόλεως ἔλυσε, καὶ ἀγάπην μετὰ τοῦ βασιλέως ἐποίησε μεθ' ὅρκων, καὶ ἐν **65** τῇ Ἀσίᾳ περάσας τοῦ δεχθῆναι τὸν πόλεμον καὶ τὴν ἔφοδον τοῦ Ντεμίρη τὸν στρατὸν ἡτοίμαζεν. B

ιθ'. Ἐπὶ τῆς βασιλείας λοιπὸν τοῦδε τοῦ αὐτοκράτορος κὺρ Μανουὴλ, ἐν τῷ ἀποκλεισμῷ τῆς πόλεως, τῷ τότε καιρῷ ἐγεννήθην ἐγὼ ἔτει ἀπὸ κτίσεως κόσμου ,ςϑθ', Αὐγούστου λ', ἀνεγεννήθην δὲ διὰ τοῦ θείου βαπτίσματος ὑπὸ τῆς ὁσιωτάτης μητρὸς ἁγίας Θωμαΐδος, περὶ ἧς ἐν τῷ προσήκοντι τόπῳ καὶ ἁρμόζοντι διηγησόμεθα τἀληθές. Ἀφ' οὗ δὲ τοῦ δεκάτου ἔτους μέχρι καὶ τοῦ ὀγδοηκοστοῦ ἕκτου πολλῶν γενομένων ἀναγκαίων καὶ μνήμης ἀξίων βούλομαι διηγήσασθαι. Λέγω δὴ ἐν πρώτοις περὶ τῆς εἰς τὴν δύσιν ἀφίξεως τῶν πέντε υἱῶν τοῦ ἀμηρᾶ τοῦ Μπαγιαζήτου, ἤγουν τοῦ Μουσουλμάνου, τοῦ Μωσῆ, τοῦ Ἰεσσαΐ, τοῦ Μεεμέτη καὶ τοῦ Ἰωσοὺφ, C ὃς ἐγεγόνει Χριστιανὸς καὶ Δημήτριος ἐπωνομάσθη, περὶ τοῦ θανάτου τοῦ βασιλέως κὺρ Ἰωάννου ἐν τῇ Θεσσαλονίκῃ καὶ τῆς ἐλεύσεως ἐκεῖσε τοῦ βασιλέως κὺρ Μανουὴλ καὶ υἱοῦ αὐτοῦ, καὶ τῆς τοῦ υἱοῦ αὐτοῦ δεσπότου κὺρ Ἀνδρονίκου ἐκεῖ ἀποκαταστάσεως, καὶ τοῦ θανάτου τοῦ δεσπότου κὺρ Θεοδώρου τοῦ πορφυρογεννήτου εἰς τὴν Λακεδαιμονίαν ἤγουν εἰς τὴν Σπάρτην, καὶ τοῦ βασιλέως καὶ ἀδελφοῦ αὐτοῦ κὺρ Μανουὴλ ἐν τῇ Πελοποννήσῳ ἐλεύσεως. Καὶ τὸν θάνατον τοῦ ἀμηρᾶ Μουσουλμάνου **66** παρὰ τοῦ ἀδελφοῦ αὐτοῦ Μωσῆ διηγήσομαι, καὶ περὶ τῆς τριετοῦς μάχης αὐτοῦ δὴ τοῦ Μωσῆ μετὰ τοῦ βασιλέως κὺρ Μανουὴλ, καὶ τῆς περὶ τὰ μέρη τῆς Λαρίσσης ἐκτυφλώσεως Ὀρχάνου τοῦ υἱοῦ τοῦ Μουσουλμάνου παρὰ τοῦ θείου αὐτοῦ Μωσῆ, καὶ τῆς ἐλεύσεως ἀπὸ τῆς ἀνατολῆς εἰς τὴν δύσιν τοῦ ἀδελφοῦ αὐτοῦ Μεεμέτη τοῦ καὶ Κυρίτζη, καὶ τῆς ἀποστροφῆς εἰς τὴν ἀνατολὴν καὶ πάλιν ἐλεύσεως αὐτοῦ διὰ τῆς πόλεως ἐν τῇ Θρᾴκῃ ἤτοι ἐν τῇ Εὐρώπῃ, καὶ τῆς νίκης αὐτοῦ. Καὶ τὸν θάνατον τοῦ Μωσῆ εἶπω, ἔτι δὲ καὶ τοῦ δευτέρου υἱοῦ τοῦ βασιλέως κὺρ Μανουὴλ, τοῦ πρὸ τοῦ Κωνσταντίνου, τὸν θάνατον ἐν τῇ Μονεμβασίᾳ. Ἀλλὰ καὶ περὶ δύο θυγατέρων αὐτοῦ, καὶ τῆς γεννήσεως τοῦ αὐθεντοπούλου κὺρ Μιχαὴλ, καὶ τοῦ θάνατου αὐτοῦ ὑπὸ λοιμώδους νοσήματος. Ὁμοίως καὶ τοῦ θανάτου τοῦ τζελεπῆ κὺρ Δημητρίου τοῦ υἱοῦ τοῦ σουλτὰν Μπαγιαζήτη καὶ ἀδελφοῦ τοῦ ἀμηρᾶ Μεεμέτη· αὐτὸς δὲ γενόμενος Χριστιανὸς, ὡς πρὸ ὀλίγου ἔφημεν, καὶ τῷ θείῳ βαπτίσματι ἀνεγεννήθη, καὶ ὁ βασιλεὺς καὶ ὁ ἀμηρᾶς Μεεμέτης ὁ ἀδελφὸς αὐτοῦ πλεῖστα σιτηρέσια ἔδωσαν αὐτῷ, ζήσας μετὰ τὸ βαπτι-

17. Illo tempore, anno. . . . propter eam, quam commemoravimus, causam, etiam Andronicus despota Thessalonicam Venetorum senatui quinquagenis florenorum millibus vendidit.

Urbs obsessione hoc modo liberata est. Ameras, audito, Demirem, Scytharum et Massagetarum regem, cum innumeris copiis contra se proficisci, quamvis invitus, tamen obsidionem et oppugnationem urbis solvit, atque pace cum imperatore facta et sacramentis confirmata, in Asiam trajectus, ad excipiendos impetus Demiris exercitum parabat.

18. Cæterum regnante hoc imperatore, Manuele domino, dum urbs obsidetur, ego in lucem editus sum, anno ab orbe condito 6909, die Augusti tricesimo. Regeneratus sum per sacrum baptisma opera venerabilis matris Thomaidis, de qua loco opportuno ad veritatem referam (1). A decimo autem anno ad octogesimum sextum quæ acciderint multæ et memorabiles calamitates, enarrabo. Dicam primum de quinque Bajazetis ameræ filiis in occidentem trajectis, Musulmano, Mose, Jessai, Mehemete et Josupho, qui Christianus factus Demetrius appellatus est, de imperatore Joanne Thessalonicæ mortuo, et Manuele imperatore, filio ejus, illuc profecto, et ejus filio, Andronico despota, ibidem restituto, de Theodoro porphyrogenito despota Lacedæmone sive Spartæ exstincto, et de imperatore Manuele, fratre ejus, profecto in Peloponnesum; deinde exponam, quomodo Moses Musulmano ameræ fratri suo mortem intulerit, cum Manuelo imperatore per tres annos bellum gesserit et circa Larissam excæcaverit Orchanem, Musulmani filium; quomodo hujus frater Mehemetes, qui etiam Cyritzes appellatur, ex oriente in occidentem transierit, inde redierit in orientem, et rursus trans urbem in Thraciam vel Europam trajectus, reportaverit victoriam. Tum obitum Mosis explicabo, et filii secundi Manuelis imperatoris, qui Constantinum præcessit, mortem, qua is Monembasiæ decessit. Dicam etiam de duobus filiis ejus, atque Michaelis principis natali ac morte pestilentia ei allata. Item mortem attingam Demetrii Tzelepis, Bajazetis sultani filii, et Mehemetis ameræ fratris, qui Christianus factus, ut paulo ante monuimus, et sacro baptismate regeneratus, ab imperatore et fratre Mehemete amera magna salaria accepit, et annos septem postquam baptizatus erat, ad Dominum concessit; dicamque de Thomæ principis natali: atque hæc quidem propter ætatis maturitatem bene et accurate doctus; quæ autem ante me natum facta nar-

(1) Vide cap. 5 lib. II.

Digitized by Google

σθῆναι ἔτη ἑπτὰ πρὸς κύριον ἐξεδήμησε. Καὶ περὶ τῆς γεννήσεως τοῦ αὐθεντοπούλου κὺρ Θωμᾶ. Ταῦτα μὲν διὰ τὸ τῆς ἡλικίας μου ἐντελὲς καλῶς καὶ ἀκριβῶς εἰδότος μου· τὰ δὲ **67** πρὶν τῆς γεννήσεως τῆς ἐμῆς ὅσα εἰρήκαμεν, τὰ μὲν ὑπὸ ἀξιοπίστων καὶ σοφῶν συγγραφέων γεγραμμένα μέρος εἴδομεν, τὰ δὲ ὑπὸ ἀρχόντων τῆς βασιλικῆς αὐλῆς καὶ βουλῆς καὶ τῆς συγκλήτου σοφῶν καὶ συνετῶν καὶ γηραιῶν ἀκούσαμεν. Καὶ πῶς σιγῶν παραλείπω;

ιθ'. Τῇ δὲ εἰκοστῇ ὀγδόῃ τοῦ Ἰουλίου μηνὸς τοῦ ,ςϑι' ἔτους ὁ Ντεμίρης ὁ βασιλεὺς Μασσαγετῶν καὶ Περσῶν καὶ βορείων Σκυθῶν τὸν ἀμηρᾶν Μπαγιαζήτην ἠχμαλώτισε καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὸν υἱὸν αὐτοῦ Μωσῆν καὶ ἑτέρους οὐκ ὀλίγους ἄρχοντας τῆς αὐλῆς αὐτοῦ, καὶ πάντα τὸν στρατὸν αὐτοῦ διεσκέδασεν. Ἀλλὰ ποῖος ἦν αὐτὸς καὶ πῶς ὁ βασιλεὺς Ντεμίρης, οὐκ ἀφήσωμεν εἰπεῖν καὶ διηγήσασθαι. Οὗτος μὲν οὖν ὁ βασιλεὺς καὶ τὸ ἔθνος τοῦτο τῶν Μασσαγετῶν καὶ Σκυθῶν Τούρκων πέραν Ἀράξου τοῦ ποταμοῦ πρὸς ἀνατολὰς τὴν οἴκησιν ἔχουσιν, εἰσὶ δὲ γένος λίαν τοξικώτατοι καὶ κακοξενώτατοι, ἔθνος δὲ μέγα καὶ πολὺ καὶ ἄλκιμον, παρ' οἷς Κῦρος ἐκεῖνος ὁ μέγας βασιλεύς ποτε καιρῷ κἀκεῖ ἐτελεύτησεν βασιλευούσης Ντεμίριδος. Αὕτη δὲ ἡ βασιλὶς Ντεμίρις μετὰ τὸ ἀποκεφαλίσαι τὸν Κῦρον τὴν κεφαλὴν εἰς ἀσκὸν οἴνου ἐνέβαλε, καὶ καταπατοῦσα τὸν ἀσκὸν καὶ τὴν τοῦ Κύρου κεφαλὴν ἔλεγε « Ἀκόρεστε Κῦρε, κορέσθητι. » Εἰσὶ δὲ οὗτοι οἱ Μασσαγέται γένος πάνυ ἀγριώτατον, καὶ ἐν τῷ ἱππεύειν ἀγαθώτατοι καὶ πεζοὶ **68** λῃστρικώτατοι. Ἐν δὲ ταῖς μάχαις καὶ ἐν τῷ πολέμῳ τοῖς τοιούταις χρῶνται ὅπλοις ἤγουν μαχαίραις καὶ θώ-

ραξι καὶ τόξοις καὶ σάγαις χαλκοῖς. Τὰ δὲ ἐνδύματα αὐτῶν καὶ αἱ ζῶναι ὑπάρχουσι χρυσαῖ, καὶ διαθήματα ἐν ταῖς μάχαις ἔχουσιν. Οἱ δὲ ἵπποι αὐτῶν χρυσοχάλινοι, μασχαλιστῆρες δὲ χρυσοῖ καὶ τὰ πλῆκτρα. Καὶ ὁ σύμπας βίος αὐτῶν αὐθέκαστος μὲν, σκαιὸς δὲ καὶ ἄγριος καὶ πολεμικὸς ὑπάρχει πάντοτε. Καὶ οὕτως τὰ τῶν Μασσαγετῶν καὶ τοῦ Ντεμίρη αὐτοῦ βασιλέως ἡ πολιτεία καὶ ὁ βίος ἔχει.

Καὶ τούτους ἀφέντες πρὸς τὸν ἀμηρᾶν Μπαγιαζήτην ἐπανέλθωμεν καὶ τοὺς προγόνους αὐτοῦ, πόθεν κατάγονται, καὶ τίνα τὰ ἔργα καὶ ἀνδραγαθήματα αὐτῶν κατ' ἐπιτομὴν διηγησώμεθα.

Οὗτος ὁ ἀμηρᾶς Μπαγιαζήτης ἦν πέμπτος αὐθέντης τοῖς κυριεύσασιν ἐκ τοῦ τῶν Ὀθμανλίδων γένους· ὁ Ἐρτογρούλης γὰρ ἦν ὁ πρῶτος, υἱὸς τοῦ Γοῦ. Περὶ ὧν μὲν πολλοῖς καὶ ἑτέροις ἐξιστορήθη, καὶ διαφορὰς εἰλήφασιν ἀλλήλων, ἀλλ' ὡς εἶδον καὶ ἤκουσαν ἕκαστος, οὐ συνεφώνησαν· ὅμως οὕτως καὶ ἡμῖν καλῶς ἐφάνη καὶ ἐκρίναμεν ἱστορῆσαι ἐκ τὰ ὅσα ἐκ μακρᾶς ἀκοῆς ὑπὸ σοφῶν ἀνδρῶν ἐμάθομεν καὶ ὅσα ἐγγράφως περὶ τῆς γενεαλογίας ταύτης εἴδομεν.

69 κ'. Ὁ ἀναξ Ἰωάννης ὁ Κομνηνὸς τινὶ καιρῷ ἐν τῇ Ἐφὲ εὑρισκόμενος κατὰ τὰ μέρη τῆς ἐπαρχίας τῆς Νεοκαισαρείας πόλεως, μαχόμενος μετὰ τῶν Περσῶν καὶ τοῦ Ἰκονίου σουλτάνου, καὶ πολλὰ φρούρια τῶν Περσῶν ὑφ' ἑαυτὸν ἐποιήσατο· εἶχε δὲ μεθ' αὐτοῦ Ἰωάννην τὸν ἀνεψιὸν αὐτοῦ, υἱὸν Ἰσαακίου τοῦ σεβαστοκράτορος καὶ ἀδελφοῦ. Ἡμέρας δὲ πολλὰς διατρίβον τὸ στρατόπεδον ἐν ἐκείνοις τοῖς μέρεσι, καὶ τὰ ἀναγκαῖα πρὸς τοῖς ἄλλοις καὶ περὶ ἵππων ἐσπάνιζον διὰ τὸν τόπον λυπρὸν καὶ

ravi, ea partim a fide dignis et eruditis scriptoribus memoriæ prodita didici, partim ex proceribus aulæ imperatoriæ et viris senatorii ordinis sapientibus ac prudentibus senibusque audivi, quæ silentio prætercunda non putavimus.

19. Die vicesimo octavo mensis Julii anni 6910 Demires, Massagetarum, Persarum et Scytharum septentrionalium rex, Bajazetem ameram cum uxore et filio Mose aliisque aulæ optimatibus non paucis cepit, totumque ejus exercitum dissipavit. At enim qualis et ille et Demires rex fuerit, ne omittamus exponere. Hic igitur atque populus ejus, Massagetæ et Scythæ Turcæ, trans Araxem fluvium orientem versus sedes habent, gens sagittandi peritissima et hospitibus infestissima, late se porrigens, frequens et strenua, quæ quondam Cyrum, magnum illum regem, occidit, Demeride regina. Hæc caput Cyri amputatum in utrem vino impletum demersit, deinde utrem cum capite conculcans, « Insatiabilis, inquit, Cyre, satiare. » Massagetæ sunt longe barbarissimi, equites velocissimi, latrones maxime rapaces. In bello et pugnis armis hisce utuntur : machæris, loricis, arcubus, sagis æneis; eorum vestimenta et cingula aurea sunt ; in prælia coronati procedunt. Equorum frena, cincta pectoralia et scuticæ item ex auro. Universa eorum vita simplex quidem, sed rigida, ferox et militaris semper. Talis igitur Massagetarum et Demiris, eorum regis, conditio et vivendi ratio.

His missis, ad Bajazetem ameram et majores ejus prævertamur, unde originem ducant et quæ eorum facinora et res fortiter gestæ fuerint, paucis dicturi.

Bajazetes ameras princeps quintus erat ex regia Othmanidarum familia. Primus enim Ertogrulos erat, filius Gui. De his cum multi alii scripserint, sed valde in diversa abeant dissentiantque, quandoquidem singula ut quisque viderat et audiverat, ita narrarunt; tamen idem mihi quoque placuit, atque constitui, quæ ex longinqua fama de eorum genere aut a viris doctis didicissem aut litteris invenissem consignata, exponere.

20. Joannes Comnenus imperator in oriente quondam in præfectura Neocæsareæ urbis cum Persis et sultano Iconii bellans, multa ils castella eripuit. Habebat secum Joannem, Isaacii sebastocratoris, fratris sui, filium. Cum exercitus diu in locis illis moraretur res necessariæ quum reliquæ, tum equos pabulum deficiebat, propter solum gracile et saxosum, atque, ingruente hieme, propter cœli (ri-

Digitized by Google

κρημνώδη εἶναι, καὶ τὸ κλῖμα ἐκεῖνο ψυχεινὸν καὶ δριμύτατον ἦν. Τότε καὶ χειμῶνος ἐπιγενομένου οἱ ἵπποι πλεῖστα ἐσαθρώσαντο. Ὁ δὲ βασιλεὺς τὴν τῶν ἵππων μεθοδεύων κυλλότητα, περιιὼν τὸ στράτευμα τὰ εὐγενῆ τῶν ὀχημάτων συνέλεγε, καὶ ταῦτα διδοὺς Ῥωμαίοις τε καὶ Ἰταλοῖς καὶ ὁπόσοι κοντοφόροι εἶδεσαν δεξιοστρόφοι, ἐπιστάμενος δι' αὐτῶν ἀνθίστασθαι τοῖς πολεμίοις καὶ ἀντιμάχεσθαι. Καὶ ταῦτα ὁ βασιλεὺς μεθοδεύων, καὶ συμπλοκῆς μελλούσης γενέσθαι, ἱππότην ἐπίσημον ἐξ Ἰταλίας ὁρμώμενον ἔφιππον θεασάμενος παρεστῶτα πεζὸν, Ἰωάννην τὸν ἀνεψιὸν ἐκέλευσεν ἀποβῆναι τοῦ Ἀραβικοῦ ἵππου τούτου ἐφ' οὗ **70** ἦν ἐποχούμενος, καὶ δοῦναι αὐτὸν τῷ Ἰταλῷ. Ὁ δὲ φρονηματίας ὢν καὶ γαῦρος πλέον τοῦ δέοντος, τῷ τοῦ βασιλέως καὶ θείου ἀντέστη κελεύσματι, αὐθαδεστέραν τὴν ἀντίῤῥησιν ποιησάμενος· μὴ ἐπὶ πολὺ δὲ ἔχων ἀνθίστασθαι τῷ θείῳ καὶ βασιλεῖ (ἐώρα πρὸς ὀργὴν γὰρ ἐπιβράζοντα) ἄκων καὶ μὴ βουλόμενος τὸν ἵππον τῷ Ἰταλῷ δίδωσι, μετακελητίσας εἰς ἕτερον ὄχημα. Αὐτὸς ἀθυμίας πλήρης καὶ βράζων θυμῷ ἀντικρυς γενόμενος, φυγὼν πρὸς Πέρσας αὐτόμολος γίνεται. Ὃν καὶ ἀσμένως καὶ ἀσπασίως προσεδέξατο ὁ ἀμηρᾶς καὶ πάντες οἱ βάρβαροι· καὶ τὴν ἐν Χριστῷ πίστιν ἐξομοσάμενος ἀντὶ Ἰωάννου Τζελεπῆς ὠνόμαστται, καί τινα ὀνόματι Καμερὼ τοῦ ἀμηρᾶ θυγατέρα γυναῖκα ἔλαβε, καὶ προῖκα ἔδωσεν αὐτῷ τόπους καὶ χώρας καὶ πόλεις καὶ χρήματα πολλά. Ἦν δὲ ὁ ἀνὴρ τῆς Ἑλληνικῆς σοφίας οὐκ ἀμέθεκτος καὶ ἐν τῷ λέγειν τῇ Ἀραβικῇ διαλέκτῳ ἱκανώτατος. Ἦν δὲ καὶ φιλοδωρότατος καὶ δαψιλὴς ὁ νέος, ὃ πᾶσιν ἀρεστόν ἐστι, καὶ μᾶλλον τοῖς βαρβάροις, καὶ ἄλλως κοινωνικῶς τὸ ἦθος τοῖς ὑπ' αὐτὸν παρεχόμενος, ἤδη κράτιστον τοῖς στρατηγοῦσιν, ἐν οἷς καὶ τρόπαια· ὅθεν καὶ αἴρειν εὐθὺς τοῦ σκοποῦ, καὶ ὡς κοινὰ τὰ ὑπ' αὐτοῦ ἐχόμενα ἐποίει καὶ ἔλεγεν εἶναι. Τοῖς πᾶσιν ἦν συμπονῶν ἐν ταῖς ἀνάγκαις αὐτῶν, καὶ ἐβοήθει καὶ ἐθεράπευε, καὶ τὰς διαφορὰς τὰς φυομένας ἀναμέσον **71** αὐτῶν ἐθεράπευε καὶ διώρθου καὶ εἰρήνευε. Καὶ οὐδεὶς ἀντιλέγετο τοῖς λόγοις καὶ θελήμασιν αὐτοῦ· καὶ ὑπὸ τοῦ πενθεροῦ τοσοῦτον ἠγαπήθη καὶ τῶν ἑτέρων πάντων ὥστε τὰ ὅσα ἤθελεν ἔπραττε καὶ οἱ βάρβαροι ὡς δεύτερον Μωάμεθ ἐδόξαξον. Οὗτος δὲ γεννᾷ υἱὸν ὀνόματι Σωλιμὰν-Σιὰχ ἐκ τῆς Καμερὼ, καὶ παιδεύσας αὐτὸν Ἑλληνικῇ καὶ Ἀραβικῇ σοφίᾳ, κατὰ πάντα ἐοικὼς ἦν τῷ πατρὶ, καὶ πλεῖστα ἠὐλαβοῦντο αὐτὸν οἱ Βάρβαροι. Καὶ ἐν τῷ τόπῳ καὶ πάσῃ τῇ ἐπαρχίᾳ, ἔνθα τὴν κατοίκησιν ἐποιεῖτο, αὐθέντης καθίσταται· καὶ ἡ φήμη αὐτοῦ εἰς πᾶσαν τὴν Ἀσίαν διέδραμε καὶ διέῤῥεε. Καὶ πλείστας νεαρὰς τῶν βασιλέων Ῥωμαίων μεταγλωττίσας Ἀραβιστὶ τοὺς Τούρκους τοῦ κρίνειν οὕτως ἐδίδαξεν. Εὑρὼν δὲ καὶ εὐκαιρίαν τινὰ διὰ τὰς συγχύσεις ἃς ἐποίουν οἱ Ἰταλοὶ κατὰ τῆς Ῥωμαίων ἀρχῆς, τὰ ὅσα ἐγγὺς τῆς δεσποτείας αὐτοῦ Ῥωμαίων ὑπήκοα ὑφ' ἑαυτοῦ ἐποίησατο. Καὶ οὐδένα Χριστιανὸν ἀδικεῖν ποτὲ ἤθελεν, ἀλλὰ μᾶλλον τοὺς τυχόντας ὑποτεταγμένους αὐτῷ πολλὰς χάριτας καὶ εὐεργεσίας ἐποίει καὶ ἐχαρίζετο. Καὶ ἦν αὐξάνων ὀλίγον πρὸς ὀλίγον τὴν αὐτοῦ ἀρχήν. Αὐτὸς γεννᾷ τὸν Ἐρτογρούλην πατέρα τοῦ Ὀτθμάνου.

gus et asperitatem summam, equi maxime conficiebantur. Quorum perniciei imperator ita subvenit, ut exercitum obiens generosos deligeret eosque præheret Romanis et Italis et quotquot perite hastas versabant, horum opera hostibus obviam ire et resistere se posse confisus. Hæc ille administrans, cum prælium commissurus, equitem insignem, ex Italia advectum, peditem astare vidisset, Joannem de Arabico equo, cui is insidebat, descendere eumque Italo tradere jussit. Joannes, elati et supra modum ferocis animi, imperatoris et patrui imperio repugnat, sermone audaciore oblocutus. Verum cum diu illi resistere non posset, quem jam ira effervescere videret, quamvis invitus, Italo equum concessit, atque ipse alium conscendit. Mox, stomacho tumens et inflamatus ira, ad Turcas transfugit, atque cupide et amice excipitur ab amera cunctisque barbaris. Deinde, ejurata Christi fide, pro Joanne, Tzelepes nominatur, et ipsius ameræ filiam, Camero nomine, cum dote locorum, regionum, urbium et pecuniæ haud mediocri in matrimonium accepit. Erat juvenis ille Græcæ eruditionis haud expers, et peritissimus sermonis Arabici; idem munificentissimus et lautissimus, quæ res omnibus inque primis Barbaris, grata esse solet, atque exhibebat se facilem subditis cum reliquis, tum ducibus maxime, in quibus spes tropæorum sita est. Unde statim instans operi, sua volebat et dicebat esse communia, omnibus in rebus angustis succurrebat, auxiliabatur et conferebat officia, atque exorientes inter eos controversias sedabat, componebat dirimebatque. Nec quisquam ejus vel verbis vel consiliis adversabatur; atque a socero cæterisque omnibus tantopere diligebatur, ut et faceret, quæcunque vellet, et Barbari eum ut alterum Mohametum haberent. Suscepit e Camero filium, nomine Solimanem Siachum, quem, Græcis Arabicisque litteris eruditum, sibi rebus omnibus simillimum reddidit, ac summopere Barbari colebant. Is in omni loco vel provincia, ubi sedem collocabat, constituebatur princeps, ac fama ejus totam pervagabatur Asiam. Idem plurimas imperatorum Romanorum novellas, in Arabicam linguam conversas, ut Turcæ in judiciis adhiberent, effecit. Idoneam autem occasionem nactus propter turbas, quas imperio Romano Itali excitabant, quidquid Romanæ ditionis suis finibus vicinum erat, in suam redegit potestatem, nec tamen ullum unquam Christianum lædere voluit, quin imo, qui subjecti sibi erant, eos beneficiis ac donis augebat, regni fines paulatim prolatans. Genuit hic Ertogrulem, patrem Othmanis.

Digitized by Google

Ἕτεροι μὲν ὑπὲρ τούτων συγγράψαντες ἑτέραν ἔννοιαν ἔχουσιν, ὅτι αὐτὸς ὁ διαληφθεὶς Τζελεπῆς οὐχ οὗτος ἦν ὁ 72 τοῦ ἄνακτος Ἰωάννου τοῦ Κομνηνοῦ ἀνεψιός, ἀλλ' ἕτερος συνώνυμος καὶ αὐτὸς τὸ ὅμοιον ὄνομα ἔχων. Ὅστις ἦν ὁ τοιοῦτος, λέγουσιν.

κα'. Ὁ σουλτὰν Ἀζατίνης Χριστιανῶν γονέων ὑπῆρχεν υἱὸς καὶ τῷ θείῳ τετελεσμένος βαπτίσματι, τύχης δὲ φορᾷ χρησάμενος καὶ αὐτός, οἷα παρ' ἐλπίδα συμβαίνει, σουλτὰν καὶ ἀμηρᾶς καὶ ἀρχηγὸς ἐγεγόνει τῶν Τούρκων· ὃς καὶ ἐν τῷ κρυπτῷ ἐτήρει τὰ τῆς εὐσεβείας κυριώτερα, καὶ ἐν τῇ πόλει ἐλθὼν συμμαχίαν ᾔτησε τῷ βασιλεῖ διὰ τὸν πόλεμον ὃν εἶχον ἀναμέσον Σκυθῶν καὶ Τούρκων· αὐτὸς δὲ καὶ τὰς θείας εἰκόνας ἠσπάζετο, καὶ πάντα εἰς προὔπτον τὰ τῶν Χριστιανῶν ἐργαζόμενος. Ἐν δὲ τῷ ἐπαναστρέφειν ἐν τῇ ἀρχῇ αὐτοῦ ὁ καὶ υἱὸς αὐτοῦ Μελὲκ παρὼν ἦν, καὶ διαβὰς τὸν Ἴστρον ἐκεῖ τὸ κοινὸν χρέος ἐπλήρωσε. Ὁ οὖν υἱὸς αὐτοῦ Μελὲκ διαβὰς πρὸς τοὺς ἐν Ἀσίᾳ Σκύθας, ἀφ' ὧν τὸ ἐνδόσιμον εἰληφὼς ἦκε ζητῶν τοῖς Τούρκοις τὴν πατρικὴν ἀρχήν. Τῶν μὲν οὖν ἄλλων σατραπῶν πάντων ὡς δεσπότην καὶ αὐθέντην καὶ ἀμηρᾶν αὐτὸν προσκυνησάντων, τὶς δὲ τοὔνομα Ἀμούριος οὐχ ὑπέσχετο, ἀλλὰ δῆμον ἀθροίσας λῃστρικὸν πόλεμον ἤρατο κατ' αὐτοῦ, καὶ τέλος τρεψάμενος ἐδίωξεν ἄχρι θαλάττης· καὶ εἰς τὴν κατὰ Πόντον Ἡράκλειαν διεσώθη καταφυγών. Ἔαρος δὲ ἐπιστάντος παρὰ τοὺς Τούρκους αὖθις ἐλθὼν τὴν πατρικὴν ἔλαβεν 73 ἀρχήν. Ἀλλ' οὐκ εἰς μάκρος καὶ αὐτὸς τὸν βίον ἀπολιμπάνει, λαθραίως παρά τινων τῶν τῆς βουλῆς καὶ τῆς αὐλῆς αὐτοῦ φονευθείς. Τῆς δὲ τῶν Τούρκων ἀρχῆς οὕτως ἀφθαρείσης, καὶ τῶν πραγμάτων ἐκείνων ἐξ εὐταξίας καὶ τύχης λαμπρᾶς εἰς ἀταξίαν μεγίστην κεχωρηκότων, οὐ μόνον σατράπαι καὶ ὅσοι τῷ γένει καὶ δόξῃ διαφέροντες εἰς πλεῖστα ἕτεμον, τὴν ὅλην διέλαβον ἐγκράτειαν, ἀλλὰ καὶ πολλοὶ τῶν ἀδόξων καὶ ἀνωνύμων, ὄχλους τινὰς συμφερτώδεις προσεταιρισάμενοι, πρὸς λῃστρικὸν ἀπέκλιναν βίον καὶ τὰς ὁράδρους χώρας καὶ πόλεις τῶν Ῥωμαίων κακῶς διετίθεσαν. Ἐκ τούτων τῶν ἀρχόντων εἷς ὑπῆρχεν, ὡς ἱστοροῦσι, καὶ ὁ . . . . . καταγόμενος μὲν ἐκ γένους οὐ τοσοῦτον περιφανοῦς, ὡς φασιν, ἐν δὲ ἀρεταῖς καὶ ἀνδρίαις περιβόητος· ἦν γὰρ συνετὸς καὶ ἐπιδέξιος καὶ ἐν τῷ λέγειν καὶ πράττειν πάνυ καλὸς καὶ ἐπιτήδειος. Ὥρμητο δὲ ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ ἐκ τινος ἐπαρχίας καλουμένης . . . . . , καὶ διὰ τὴν σύνεσιν καὶ ἀρετὴν καὶ δικαιοσύνην αὐτοῦ πᾶν τὸ τῶν Τούρκων γένος ἰδόντες καὶ ἀκούσαντες, αὐτοί καὶ ὁ συναθροισθεὶς ἐκεῖνος λαός, πλεῖστα ἠγάπουν καὶ ὑπετάσσοντο καὶ ἤκουον αὐτοῦ εὐλαβῶς. Οὗτος γεννᾷ τὸν . . . . . υἱόν, ὃς καὶ τὴν πατρικὴν ἀρχὴν διαδεξάμενος εἰς τὰ πάντα ὅμοιος ἦν τῷ πατρί. Καὶ κατὰ πᾶσαν τὴν Ἀσίαν ἡ φήμη αὐτοῦ ἔβραμε, καὶ ὑπ' αὐτὸν 74 ὑποτεταγμένοι καὶ ἕτεροι πολλοὶ ἠγάπουν καὶ εὐλαβοῦντο, καὶ τὴν ἀρχὴν αὐτοῦ καλῶς διοίκει, καὶ παντοιοτρόπως καθ' ἑκάστην ἡμέραν ἦν αὐξάνων. Αὐτὸς γεννᾷ τὸν Ἐρτογρούλην.

Ὅμως μέν, εἴτε οὕτως ἦν εἴτε οὔτως, ἐάσωμεν ταῦτα, καὶ τοῖς φιλομαθέσι καὶ τοῖς ἀναγινώσκουσι τὴν κρίσιν ἀφίημι διὰ τὴν ἀμφιβολίαν τῆς διηγή-

Alii, qui de his rebus scripserunt, diversam opinionem secuti, Tzelepem hunc non Joannis Comneni imperatoris ex fratre filium, sed alium illi cognominem fuisse dicunt, Quisis fuerit, ita narrant.

21. Azatines sultanus Christianis parentibus ortus et sacro baptismate initiatus fuerat, sed fortunæ ludibrio, sicut multa præter expectationem accidunt, sultanus et ameras etiam Turcarum factus erat. Occulte tamen colebat præcipuas Christianæ pietatis religiones, et Cpolim profectus imperatoris auxilium adversus Scythas Turcasque petitum, quibuscum ei bellum erat, sacras imagines venerabatur et omnes Christianorum cæremonias palam obibat. Reversus in regnum suum, postquam Istrum transiit Melec, filio præsente, naturæ satisfecit. Melec deinde in Asiam ad Scythas trajecit, a quibus impulsus, a Turcis paternum regnum poposcit. Cum reliqui satrapæ omnes ut dominum et principem et ameram eum venerarentur, quidam, Amurius nomine, detrectabat obedientiam, et collecta manu, prædatorio more bellum ei intulit tandemque fugatum usque ad mare persecutus est. Ille Heracleam Ponti salvus devenit. Ineunte autem vere ad Turcas reversus, paternum regnum recepit, sed non multo post excessit e vita, a quibusdam consiliariis et proceribus aulicis dolo interfectus. Turcarum regno hunc in modum turbato, et rebus ex ordine et splendida fortuna in maximam confusionem traductis, non modo satrapæ et quotquot genere et auctoritate maxime insignes erant, totum imperium inter se distribuerunt; sed etiam multi ignobiles et obscuri homines, e fæce populi collectis gregibus, ad latrocinia incubuerunt ac finitimas regiones et urbes Romanorum misere vexarunt. In quibus unus erat, ut traditum est . . . . . genere, ut dicunt, non ita illustri oriundus, sed a virtute et strenuis facinoribus nobilis. Erat enim prudens et promptus, atque in dicendo et agendo plane egregius. Exierat grex ejus e provincia, cui nomen . . . . , cumque ejus prudentiam, virtutem et justitiam Turcæ viderent audirentque, omnes cum non secus atque ipsi socii ejus summopere amabant, verebantur et audiebant diligenter. Hic filium . . . . habuit, qui paterno imperio potitus, rebus omnibus patri similis erat, cujusque gloria per totam volitabat Asiam. Multos is sibi alios subjecit, a quibus similiter amore et observantia colebatur, atque regnum suum tum pulchre administrabat tum omni modo in dies augebat. Hic Ertogrulem genuit.

Sed mittamus hæc, sive hæc sive illo modo se habent, reique judicium lectoribus discendi cupidis committamus propter narrationis ambiguitatem et

Digitized by Google

σεως καὶ τῶν ἱστορησάντων τὰς ἐννοίας, καὶ ἐπὶ τὸν Ἐρτογρούλην ἐπανέλθωμεν.

κβ'. Ὑπῆρχεν οὗτος ὁ Ἐρτογρούλης δεινὸς εἰς τὰ πάντα καὶ μεγαλόψυχος ὑπὲρ τὸν πάππον αὐτοῦ καὶ πατέρα, καὶ ἐν πολέμοις ἐν ὀλίγῳ καιρῷ δόκιμος ἐγεγόνει, καί τινας τόπους καὶ χώρας ὑποτελεῖς Ῥωμαίων αἰφνιδίως ἥρπασε. Καὶ διὰ τὴν σύγχυσιν τοῦ καιροῦ καὶ ὑπὸ τῶν ἑτέρων σατραπῶν τῶν ὁμοφύλων αὐτοῦ πολλά τινα φρούρια οὗτος ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ ἦν φοβερὸς τοῖς πᾶσιν. Ἱστοροῦσι δέ τινες ὅραμα ἰδεῖν τοῦτον τοιόνδε. Ἐρχομένου ἐν μιᾷ τῶν ἡμερῶν ἐν τῇ ὁδῷ, καύσωνος ὄντος πολλοῦ, ἔδοξεν αὐτῷ ἀναπαυθῆναι μικρὸν (κεκοπιακὼς γὰρ ὑπῆρχεν ἐκ τῆς ὁδοιπορίας), καὶ ἀναπεσὼν ὑπὸ τὴν σκιάν τινος δένδρου ἐκοιμήθη. Ἔνθα ἐφάνη αὐτῷ οὐρεῖν μετὰ πόνου μεγάλου αἷμα ἐκ τῆς κοιλίας αὐτοῦ· καὶ ὅπου τὸ οὖρον ἔπεσε, δένδρον πάνυ ὡραῖον μικρὸν ἀνέφυεν, ἔχον τοὺς κλάδους ὡς χρυσοῦς καὶ ἁπαλοὺς καὶ τρυφεροὺς, καὶ ἡ ῥίζα αὐτοῦ στερεὰ, καὶ δι' ὀλίγου καιροῦ τοσοῦτον οἱ τοῦ δένδρου κλάδοι ηὐξάνθησαν ὥστε φαίνεσθαι σκέπειν τὸν κόσμον **75** ἅπαντα. Καὶ ὑποκάτωθεν τοῦ δένδρου σκέπης καθήμενα ἦσαν πᾶν πετεινὸν πτερωτὸν, καὶ μέσον τῶν πτηνῶν τούτων τῶν πολλῶν καὶ ἀναριθμήτων καί τινες ἀετοὶ ὑπῆρχον μικροί τε καὶ μεγάλοι. Ἐκ μακρόθεν δὲ ἐξ ἐναντίας τοῦ δένδρου ἕτεροι ἀετοί τινες ἦσαν καθήμενοι, σκοπεύοντες τὴν τοῦ δένδρου καλλονὴν, καὶ τοὺς ἀετοὺς καὶ τὰ πτηνὰ τὰ ὑποκάτωθεν ὡς τάχα μεμφόμενοι κατεγέλων. Καὶ ἀὴρ μέν τις ἐκ τῆς τοῦ δένδρου ῥίζης ἐνεφύσησε πάνυ σφοδρῶς, καὶ ἀστραπαὶ καὶ βρονταὶ καὶ χειμὼν πολύς· οἱ δὲ ἀετοὶ ἐκ μακροῦ ἱστάμενοι, μὴ δυνάμενοι ὑποφέρειν τὴν τοῦ πνεύματος καταιγίδα καὶ τοῦ χειμῶνος τὸ ἰσχυρὸν, θέλοντες καὶ μὴ θέλοντες ὑπὸ τὴν σκέπην καὶ αὐτοὶ τοῦ δένδρου τοῦ θαυμαστοῦ καὶ εὐσκιοφύλλου ἦλθον· ὧν τινῶν οἱ ὄνυχες ἐκ τοῦ χειμῶνος τοῦ πολλοῦ ἐκλάσθησαν, τινῶν δὲ αἱ πτέρυγες ἔπεσον, καὶ οὐκέτι ἐδύναντο πέτεσθαι, τινὲς δὲ σύτων καὶ τὸ καθόλου ἐνεκρώθησαν. Ἔξυπνος δὲ γενόμενος μετὰ φόβου τὸ ὅραμά τινι ὀνειροκρίτῃ τῷ τὴν ἀστρολογίαν εἰς ἄκρον γεγυμνασμένῳ προσελθὼν διηγήσατο. Αὐτὸς δὲ ἐκ τῆς τῶν πλανητῶν καὶ ζῳδίων καὶ ἀστέρων κινήσεως γνωρίσας εἶπεν αὐτῷ οὕτως· « Οἱ ὑπὸ σοῦ καταγόμενοι βασιλεῖς μεγάλοι δι' ὀλίγου γενήσονται, καὶ ἡ βασιλεία αὐτῶν λίαν αὐξανθήσεται ἐν τῷ κόσμῳ, καὶ αὐθέντας καὶ βασιλεῖς ἑτέρους δουλώσουσι καὶ ἐξώσουσι τῆς **76** ἀρχῆς καὶ ἀποκτενοῦσι, καὶ πολλὰ ἔθνη ὑποτελῆ ποιήσουσι, καὶ δουλεύσουσιν ἑαυτοῖς, καὶ ἔσονται εὐλαβούμενοι καὶ φοβεροὶ εἰς πᾶν ἔθνος καὶ γένος καὶ γλῶσσαν καὶ φυλήν. » Ἀκούσας δὲ ὁ Ἐρτογρούλης περιχαρὴς γενόμενος, καὶ εἰς τὰ πάντα ἃ ἐποίει ἰσχυροτέρως καὶ μετὰ ἐλπίδων μεγάλων καὶ ἀγερώχου γνώμης ἦν ἀγωνιζόμενος. Μετά τινας ἡμέρας νῆας ληστρικὰς ὡς ἕνι οἰκονομήσας, διήρεις καὶ μονήρεις εὐθὺς ἑτοιμάσας καὶ μετὰ ἀνδρῶν μαχίμων καλῶς παρασκευάσας, πολλὰς τῶν Κυκλάδων νήσους τὰ; ἐν τῷ Αἰγαίῳ πελάγει τῆς Ἀσίας ἐλεηλάτησε καὶ ἀνδραποδίσατο. Περάσας δὲ καὶ πρὸς τὴν Θρᾴκην ἐν τῇ ἐπαρχίᾳ Αἴνου καὶ Περιθεωρίου πολλοὺς Χριστιανοὺς ἠχμαλώτισε, καὶ ἕως τῆς Εὐβοίας ἐλθὼν καὶ τὴν Ἑλλάδα κατά τινας τόπους ἐζημίωσε. Θθάσας

diversas historicorum sententias, ad Ertogrulem ipsum jam reversuri.

22. Erat Ertogrules homo ad omnia impiger, et supra avum et patrem magnanimus; armis brevi tempore excellit, ac loca nonnulla regionesque Romanis vectigalia confestim iis eripuit. Idem, temporum perturbatione usus, etiam suæ gentis satrapis castella non pauca extorsit eratque terribilis omnibus. Tradunt nonnulli, hujusmodi ei visum oblatum esse. Aliquando cum magno solis æstu iter faceret, libuit ei, ut fesso de via, paulum quiescere. Itaque recubans sub umbra arboris obdormivit. Mox ei magno cum dolore de ventre urina profluere sanguinea visa est, et, qua in terram flueret, repente arbor sane quam speciosa enasci, ramis prædita aureis, teneris et mollibus, et radice solida; brevi intervallo arboris rami adeo succrevérant, ut totum orbem terrarum viderentur obtegere. Sub tegmine arboris omne genus volucrum consederat, in quarum innumerabili multitudine etiam aquilæ aliquot et parvæ et magnæ erant. Procul, e regione arboris, aliæ aquilæ consederant, arboris pulchritudinem contemplantes, et alteras illas, quæ sub arbore erant, aquilas volucresque quodammodo deridentes. Mox a radice arboris ventus vehementissimus exortus est, et excitabantur fulgura et tonitrua et gravis tempestas. Aquilæ, quæ procul erant, cum procellæ impetum et vim tempestatis sustinere non possent, ipsæ quoque, quantumvis gravate, sub tegmen admirabilis et egregie umbrosæ arboris se receperunt. Harum aliis ungues vi tempestatis fracti erant, aliis pennæ deciderant, ut non jam possent volare, aliæ denique plane erant exstinctæ. Expergefactus Ertogrules et perculsus animo, somniorum interpretem astrologiæ peritissimum adiit, eique visum enarravit. Is, ex planetarum et siderum stellarumque motibus re cognita, sic respondit: A te oriundi reges brevi tempore magni evadent eorumque regnum mire augebitur per orbem terrarum, principes et reges alios domabunt, ex ipsorum finibus eos ejicient et occident, nationesque multas sibi vectigales facient subjicientque. Denique venerabuntur eos et timebunt omnes populi, gentes, linguæ, tribus. Iis auditis Ertogrules magna lætitia perfusus, ad omnia, quæ agebat, etiam alacriori studio summaque cum fiducia et ferocia incumbebat. Post aliquot dies, navibus prædatoriis, quantum fieri poterat, adornatis, navigiisque quæ partim simplici partim duplici remorum ordine instructa erant, confestim paratis et idoneo militum numero impletis, complures de Cycladibus insulis in mari Ægæo sitis depopulatur earumque incolas redigit in servitutem. Mox in Thraciam trajectus,

Digitized by Google

δὲ ἄχρι καὶ τῆς νήσου τοῦ Πέλοπος καὶ πολλὰ σκῦλα ποιήσας, τὸν πλοῦν τρέψας ἐν τῇ Ἀσίᾳ ἐπανέστρεψε μετὰ πλήθους αἰχμαλώτων καὶ πλούτου. Καὶ ὑπὸ πάντων τῶν ἑτέρων σατραπῶν καὶ τοῦ κοινοῦ λαοῦ ἀσπασίως ἐδέχθη, καὶ μετὰ φωνῶν ἐτίμουν αὐτὸν οἱ βάρβαροι· καὶ ἐκ τῶν σατραπῶν ἔκτοτε μάλιστα ἦν εὐλαβούμενος, καὶ προτιμητέος ἐκ πάντων διὰ τὸ ἱκανῶς πλέειν καὶ θαλαττουργεῖν, διότι μὲν οὐκ εἰσὶν ἀγαθοὶ τὸ γένος τοῦτο τῶν Τούρκων ἐν τῇ θαλάσσῃ πλέειν, αὐτὸς δὲ διὰ τὸ πλέειν **77** τότε πλέον ἦν θαυμαζόμενος. Οὗτος γεννᾷ τὸν Ὀτθμάνον, ἐς οὗ καὶ Ὀτθμανλίδες τὸ γένος ἐκλήθη ἅπαν.

κγ'. Ἀποδιώσαντος οὖν τοῦ Ἐρτογρούλου σταθεὶς ἐν τῇ ἀρχῇ ὁ υἱὸς αὐτοῦ Ὀτθμάνης, ὡς εἴπομεν, τὴν ἀρχὴν τὴν πατρικὴν εἰς χεῖρας ἔλαβεν, ἔτει ἀπὸ κτίσεως κόσμου ,ςψογ', καὶ ἐν ὀλίγῳ καιρῷ ὁμοφωνήσας μετὰ τῶν ἑτέρων σατραπῶν, καὶ πολέμους τινὰς ποιήσας κατὰ τῶν ὑπηκόων Ῥωμαίων· καὶ ἦν τὰ πάντα τοῦ πολέμου διοικῶν καὶ κυβερνῶν ὁ Ὀτθμάνης. Εἶτα οὐκ ἤρεσεν αὐτῷ ἵνα κοινῶς οἱ πάντες ἓν ὦσιν καὶ οὐδεὶς ἀεὶ διαφέρῃ τοῦ ἑτέρου. Μετὰ μικρᾶς τινὸς ἀφορμῆς αἰτίαν εὗρεν, καὶ διαφορᾶς ἀναμέσον γενομένης εἰς σύμβασιν ἦλθον ὅπως τὰ ὅσα ἐκ τῆς ἀρχῆς Ῥωμαίων ἐκέρδησαν μερίσωσιν, ἵνα ἕκαστος εἰς τὸ τυχὸν κύριος καὶ δεσπότης μόνον γνωρίζηται. Καὶ πρῶτον μὲν οἱ τοῦ Ἀμορίου παῖδες, ὁ Χασσὰν καὶ Μαχουμὲτ, ἔλαβον τὰ ἀπὸ τοῦ Σαγγάρεως ποταμοῦ μέχρι Παφλαγονίας, τὰ δὲ περὶ τὴν Μαγνησίαν καὶ Πέργαμον καὶ Ἔφεσον ὁ Σασὰν, τὰ δὲ ἐκεῖθεν μέχρι Σμύρνης καὶ τῶν παραλίων τῆς Ἰωνίας ὁ Σαρχάνης, τὰ δὲ πλείονα τῆς Μεσοφρυγίας καὶ ἔτι μέχρι Φιλαδελφίας καὶ τῶν ἐγγιστα πάντων ἀπὸ τοῦ Μαιάνδρου ποταμοῦ Ἀντιοχείας ὁ Καραμάνος Ἀλισσούριος, τὰ δὲ ἀπὸ τῆς Λυδίας καὶ Αἰολίδος **78** ἄχρι Μυσίας τῆς πρὸς τὸν Ἑλλήσποντον ὁ Καλάμης καὶ ὁ υἱὸς αὐτοῦ Καράσης, τὰ δὲ περὶ τὸν Ὄλυμπον καὶ ὅσα τῆς Βιθυνίας ἐξῆς ὁ Ὀτθμάνης. Καὶ οὕτως τὴν αἰχμάλωτον γῆν ἐκείνην μερίσαντες καὶ ὅρια ἐπιθέντες, ὁ Ὀτθμάνος φίλαρχος ὢν καὶ πλεονέκτης οὐκ ἠρέμησεν, ἀλλὰ ἀποπηδῶν τὰ ὅρια τῶν ἑτέρων, ἀδικῶν αὐτοὺς, πολὺν τόπον ἐξ αὐτῶν περιεποιήσατο καὶ πολλὰ ἐλύπει αὐτούς. Καὶ θέλων παντοιοτρόπως ἵνα αὐξήσῃ τὴν ἑαυτοῦ μερίδα καὶ ἀρχὴν, εἶτα πόλεμον ποιήσας κατὰ Ῥωμαίων μέρος τῆς Βιθυνίας ὑφ' ἑαυτὸν ἐποιήσατο, καὶ μετὰ τοῦ τῆς περιφήμου πόλεως Σεβαστείας ἀμηρεύοντος πόλεμον ποιήσας καὶ πιάσας αὐτὸν ἀπέκτεινε, καὶ ἐγκρατὴς καὶ κύριος ἐγένετο τῆς τοιαύτης πόλεως καὶ ἐπαρχίας, καὶ πᾶσαν τὴν ἀρχὴν ἐκείνην ὑπέταξεν. Ἐκεῖθεν ἡ βασιλεία αὐτοῦ ἀρχὴν λαβοῦσα ἐφημίσθη καὶ ἐμεγαλύνθη. Εἶτα πάλιν στραφεὶς τὰ ὅσα ἐδυνήθη ὑπὸ τῶν ἑτέρων ὁμοφύλων σατραπῶν καὶ συντρόφων αὐτοῦ τῆς ἐκείνων μοίρας, ληστρικῶς καὶ μετὰ συμβάσεως, τινὰς τόπους καὶ φρούρια ἔλαβεν. Εἶτα ἀπέθανεν, βασιλεύσας ἔτη κη', ἔτους ,ςωα', ἰνδικτιῶνος ια', καὶ ὁ υἱὸς αὐτοῦ Ὀρχάνης ἐγκρατὴς τῆς πατρικῆς ἀρχῆς γέγονεν.

ex Æni et Peritheorii provincia non paucos Christianos captivos abducit et, ad Eubœam usque progressus, etiam Græciæ loca quædam vexat. In ipsam adeo Peloponnesum pervenit, unde, magna ditatus præda, in Asiam cursum reflexit et cum captivorum et divitiarum magna multitudine rediit, a reliquis satrapis et universo populo benigne exceptus et Barbarorum honestatus acclamationibus. Ex eo tempore præ cæteris satrapis dignitate et auctoritate insignis erat propter rerum maritimarum navalium-que peritiam, quandoquidem Turcarum gens mari non exercitata est, ille autem ex navigandi arte sua laudem tanto majorem nanciscebatur. Hic Othmanem genuit, a quo universa familia nomen Othmanidarum invenit.

23. Ertogrule mortuo, ejus filius Othmanes, in regno, ut diximus, collocatus, paternum imperium suscepit, anno mundi 6773. Is aliquandiu cum cæteris satrapis concors, bella quædam adversus Romanos gessit, ipse omnem rem bellicam administrans et adornans. Mox eidem non placuit, ut communia cuncta haberent, nec quisquam sua ab alienis secerneret. Facili opera causam reperit, unde exorto dissidio, tandem pepigerunt, ut, quæcumque de Romano imperio detraxissent, distribuerent inter se, et, quæ cuique pars obtigisset, ejus is dominus et princeps esset. Ac primum quidem Amorii filii, Chassan et Mahumetus, acceperunt, quidquid terrarum a Sangario fluvio usque ad Paphlagoniam porrigitur; Magnesiam, Pergamum Ephesum et quæ his oppidis adjacent regiones, Sasan accepit; inde ad Smyrnam et maritimam oram Ioniæ quæ pertinent, obtinuit Sarchanes; majorem partem Phrygiæ Magnæ, adeoque Philadelphiam usque, et proxima omnia a Mæandro fluvio usque Antiochiam, Caramanus Alissurius; terram a Lydia et Æolide usque ad Mysiam, quæ est in Hellesponto, Calames cum Carase filio: finitima Olympi et inde quæ patet pars Bithyniæ, Othmanes habuit. Hunc in modum terra, quam armis occupaverant, distributa et constitutis finibus, Othmanes, dominandi habendique cupidine incensus, quiescere non potuit, sed ultra fines evagatus, reliquos lædebat, ac multa iis loca eripiebat affligebatque eos graviter; atque omni modo nisus, ut augeret regnum suum, mox etiam Romanos armis adortus est et partem Bithyniæ sibi subjecit, ac principem Sebastiæ, urbis clarissimæ, aggressus, ipsum captum occidit, urbem ejus et totam provinciam in potestatem suam redegit sibique vindicavit. Ab his profectum initiis, regnum ejus inclaruit et auctum est. Deinde rursus ad aliorum satraparum popularium sodaliumque provincias conversus, quidquid inde potuit locorum et castellorum, sive vi sive pactis usurpavit. Tandem, expletis in regno annis duodetriginta, mortuus est, anno 6801, indictione 11, hærede Orchane filio relicto.

Digitized by Google

κδ'. Ὀρχάνης δὲ, ὡς εἴπομεν, κύριος τῆς βασιλείας γενόμενος τοῦ πατρὸς τῷ πατρὶ εἰς πάντα ἦν μιμούμενος, καὶ **79** ἦτει τρόπον καὶ ἀφορμὰς ἵνα πλουσίως αὐξήσῃ τὸν κλῆρον καὶ τὴν βασιλείαν αὐτοῦ, καὶ ἡμέραν τε καὶ νύκτα οὐχ ἡσύχαζεν ἀεὶ πολέμους ἔχειν καὶ ἀγωνίζεσθαι. Καὶ μάχην ἐγείρας κατὰ τῶν ὁμοφύλων αὐτοῦ ἀμηράδων καὶ πολλὰς νίκας ἤρατο καὶ πᾶσαν τὴν Μυσίαν νόμῳ πολέμου ἐκέρδησε, Λυκαονίαν καὶ Φρυγίαν καὶ Καρίαν καὶ ἕως θαλάττης τῆς περὶ τὸν Εὐρυμέδοντα ποταμὸν, καὶ τὸ ἐναπολειφθὲν μέρος τῆς Βιθυνίας, Νικομήδειαν καὶ Νίκαιαν καὶ ἕτερα πολίχνια οὐκ ὀλίγα καὶ ἄστυα, καὶ τὴν περίφημον καὶ ὡραίαν πόλιν τῆς Προύσης, ἡ κεῖται ὑπὸ τοὺς πόδας τοῦ Ὀλύμπου, ὑπὸ τῶν Ῥωμαίων ἀρχομένην ἐκέρδησεν. Ἐν ἐκείνῳ τῷ πολέμῳ τῆς Προύσης καὶ τὸν πόδα τὸν δεξιὸν ἐπλήγη. Περάσας δὲ καὶ ἐν τῇ Χερρονήσῳ τῆς Θράκης πολίχνιά τινα πολεμήσας ἐπῆρεν· ὕστερον δὲ τὴν ἀδελφὴν τοῦ βασιλέως Ἰωάννου εἰς γυναῖκα λαβὼν διὰ τὴν συγγένειαν τῷ βασιλεῖ τῷ καὶ γυναικαδέλφῳ τὰ ἐν τῇ Χερρονήσῳ φρούρια αὖθις ἐχαρίσατο, ὡς ἀλλαχοῦ ἔφημεν, καὶ τῷ γυναικαδέλφῳ βοηθήσας εἰς τὴν βασιλείαν τὴν πατρικὴν ἀποκατέστησεν. Εἶτα ἀπέθανεν, ὃς ἐβασίλευσεν ἔτη πεντήκοντα καὶ ἑπτὰ καὶ μῆνας ἐννέα καὶ ἡμέρας ιβ', καὶ ὁ υἱὸς αὐτοῦ Ἀμουράτης τὴν ἀρχὴν διεδέξατο.

κε'. Μετὰ τὸν θάνατον οὖν τοῦ Ὀρχάνου ὁ Ἀμουράτης **80** εἰς χεῖρας λαβὼν τὴν τῆς βασιλείας ἐξουσίαν, ἐν ἔτει ,ςωνη', ἰνδικτιῶνος ιβ', ὃς ἦν εἰς τὰ πάντα ἐπιτήδειος, ἀνδρεῖος καὶ ἀγχίνους ὑπῆρχε καὶ πολύτροπος, καὶ ἐν τοῖς πολέμοις δεξιὸς ὑπὲρ πάντας τοὺς προγόνους αὐτοῦ, καὶ πολλὰ κατώρθωσεν ἔργα μνήμης ἄξια εἰς αὔξησιν τῆς αὐτοῦ ἀρχῆς καὶ βασιλείας. Οὗτος πρῶτος μὲν, ὡς εἰρήκαμεν, ἐν τοῖς τῆς Εὐρώπης μέρεσι περάσας τὴν Καλλιούπολιν κατέλαβεν, εἶτα καὶ τὴν Ἀδριανούπολιν. Ὁμοίως καὶ ἕτερον οὐκ ὀλίγον μέρος τῆς Θράκης καὶ Μακεδονίας ἔλαβεν. Ὕστερον δὲ ἀγάπην καὶ ὅρκωμοσίαν μετὰ τοῦ βασιλέως κὺρ Ἰωάννου ἐποίησεν. Ἀποστατησάντων τινῶν τῶν σατραπῶν αὐτοῦ ἐν τῇ Ἑῴᾳ μετὰ τοῦ βασιλέως περάσας ὁμοθυμαδὸν τούτους ἐτροπώσατο· καὶ μάχην ποιήσας μετὰ τῶν τοῦ Ἀμορίου ἀπογόνων πᾶσαν Παφλαγονίαν καὶ ἕως τοῦ ποταμοῦ τοῦ Σαγγάρεως αὐτοὺς νικήσας καὶ διώξας ἐκυρίευσε. Καὶ ἐν τῷ μέλλειν περᾶσαι αὖθις ἐν τῇ Εὐρώπῃ μαθὼν ὅτι ὁ υἱὸς αὐτοῦ Μωσῆς μετὰ τοῦ τοῦ βασιλέως υἱοῦ τοῦ κὺρ Ἀνδρονίκου ἀπεστάτησαν, λίαν λυπούμενος ἦν. Καὶ περάσαντες ταχέως ἦλθον, καὶ στρατὸν στείλαντες κατ' αὐτῶν, νικήσαντες αὐτοὺς, ἔφυγον. Ὕστερον πιάσαντες αὐτοὺς ὁ μὲν ἀμηρᾶς τὸν υἱὸν αὐτοῦ εὐθὺς ἐθανάτωσεν, ὁ δὲ βασιλεὺς τὸν υἱὸν αὐτοῦ ἐτύφλωσεν. Εἶτα μάχην κατὰ τῆς Βουλγαρίας καὶ Σερβίας ποιήσας πολὺ μέρος ὑφ' ἑαυτὸν ἐποιήσατο καὶ νίκας μεγάλας ἤρατο. Καιροῦ δὲ **81** τινος παρελθόντος πάλιν κατὰ τοῦ δεσπότου Λαζάρου τοῦ τῆς Σερβίας κρατοῦντος πόλεμον ἐποιήσατο. Τρέψας καὶ νικήσας αὐτὸν ἐδίωξε, καὶ τὸν στρατὸν αὐτοῦ διεσκόρπισε, καὶ πολλὰς πόλεις καὶ χώρας τῆς Σερβίας αὖθις ἐκράτησε. Τριάκοντα καὶ ἑπτὰ μάχας ποιήσας μεγάλας πάντοτε ἦν τροπαιοῦχος καὶ νικητής. Ὕστερον δὲ ὑπὸ ταῦ προῤῥηθέντος

24. Orchanes igitur regno paterno potitus, patrem in omnibus rebus imitabatur, ac modum quærebat occasionesque, opes et regnum, quantum posset, augendi, nec unquam cessabat commovere bella et certamina. Itaque populares principes adortus, multas de iis victorias reportavit, armisque sibi paravit totam Mysiam, Lycaoniam, Phrygiam, Cariam, usque ad mare et Eurymedontem fluvium progressus. Idem reliquam partem Bithyniæ, Nicomediam et Nicæam et alia non pauca oppida et urbes, inque primis celebratissimam et pulcherrimam Prusam, ad radices Olympi montis sitam, quæ etiam tum Romanis parebat, suis provinciis addidit. In bello Prusensi in dextero pede vulneratus est. Copiis item in Chersonesum Thraciæ transductis, oppida nonnulla expugnavit, quæ tamen postea, imperatoris Joannis sororem in matrimonium adeptus, huic et uxoris fratri propter affinitatem ultro concessit, ut alibi diximus; atque auxilio suo effecit, ut levir in paternum imperium restitueretur. Deinde mortuus est, postquam regno præfuit annos septem et quinquaginta, menses novem, dies duodecim; ac suscepit imperium filius ejus Amurates.

25. Post mortem Orchanis Amurates imperio potitur anno 6858, indictione 12. Is in rebus omnibus strenuus, fortis et solers, atque versutia et peritia rei bellicæ supra omnes majores insignis, multa præclara facinora ad augendum regnum edidit. Namque primus in Europam trajectus, ut supra docuimus, Calliopolim, mox etiam Adrianopolim, atque aliam haud exiguam partem Thraciæ, et Macedoniæ occupavit. Postea fœdus et amicitiam cum Joanne imperatore iniit; et cum eodem in Asiam trajectus, quosdam e satrapis suis, a fide desciscentes, conjunctis viribus ad officium revocavit, atque Amorii posteris certamine divictis fugatisque, tota Paphlagonia usque ad Sangarium flumen potitus est. Deinde in Europam reversurus, Mosem filium cum Andronico, Joannis filio, defecisse magno cum dolore audivit. Confestim trajecti, exercitum adversus eos mittunt, vincunt eos fugantque; mox iisdem comprehensis, ameras statim filium suum morte multavit, imperator suum privavit oculis. Tum Bulgaris et Serviis bello illato et præclaris reportatis victoriis, magnam iis provinciarum partem eripuit. Intermisso aliquo tempore, Lazarum, Serviæ despotam, bello denuo aggressus, devicit fugavitque, et dissipato ejus exercitu, multas rursus urbes et regiones Serviæ in potestatem suam redegit, septem et triginta magnis prœliis conflictatus, e quibus omnibus superior ac victor discessit. Tandem ab eo, quem ante nominavi, Lazaro dolo necatus est, regno potitus annos tres

Digitized by Google

δεσπότου Λαζάρου ἐφονεύθη δόλῳ, βασιλεύσας ἔτη τρία καὶ εἴκοσι. Οἱ δὲ βιζίριδες αὐτοῦ, μὴ εἰδότος τινός, στείλαντες τὸν υἱὸν αὐτοῦ Μπαγιαζήτην ἤγαγον· καὶ ἐγκρατὴς τοῦ στρατοπέδου καὶ πάσης ἀρχῆς ἐν Εὐρώπῃ τε καὶ Ἀσίᾳ ἐγένετο. Ἦν δὲ οὗτος ὁ Μπαγιαζήτης λίαν τοῖς πᾶσι φιλοδωρότατος καὶ δαψιλὴς, καὶ τοῖς αὐθένταις καὶ ἄρχουσι Χριστιανοῖς τοῖς ὑποτεταγμένοις καὶ δεδουλωμένοις αὐτῷ καὶ εὑρισκομένοις ἐν τῇ αὐλῇ αὐτοῦ πλεῖστα σιτηρέσια καὶ ἑτέρας εὐεργεσίας καθ' ἑκάστην ἐχαρίζετο, συνεσθίων καὶ συνομιλῶν αὐτοῖς μετὰ πλείστης χαρᾶς καὶ ἱλαροῦ προσώπου [οὐ δέλιπε ποιεῖν].

κς'. Ἄρξας τῆς βασιλείας ὁ λεγόμενος Ἀλευτορὴς ἐν ἔτει ,ϛωπα', ἰνδικτιῶνος ς'· ἐν δὲ τῇ τῶν Τούρκων διαλέκτῳ ἀλευτορὴς ἀστραπὴ καὶ ἄρκον λέγεται· καὶ διὰ τὸ εἶναι σύτὸν ὀξὺν εἰς πάντα καὶ ὁρμητικὸν, καὶ τὸ πᾶν ταχέως καὶ μετὰ βίας θέλειν ποιεῖν ὡς ἀστραπὴν, ἐπωνόμασαν οὕτως. Φοβηθεὶς δὲ ἵνα μὴ ὁ ἀδελφὸς αὐτοῦ Μουσουλμάνος ἐνωτισθῇ τὸν τοῦ πατρὸς θάνατον καί τι ἐναντίον συμβῇ, μηχανῇ ἐλογίσατο· **82** στείλας εὐθὺς ὡς ἐκ προσώπου τοῦ πατρὸς προσεκαλέσατο, οὗτος δὲ μὴ εἰδὼς τὰ γενόμενα ἐν ἀκακίᾳ ἐλθὼν καὶ πιασθεὶς ὑπ' αὐτοῦ ἀπεπνίγη, καὶ οὕτως ἀμερίμνως διῆγεν. Ὡς δὲ τὸ ἔαρ ἤγγικε, πάντα τὸν στρατὸν αὐτοῦ συναθροίσας καὶ ἐν τῇ Ἀσίᾳ περάσας, εἰς τὴν Ἀρμενίαν ἐλθὼν, πολεμήσας πᾶσαν ἐκυρίευσε καὶ τοὺς Κολχοὺς ἐτροπώσατο καὶ τὴν Ἀμαστριν καὶ τὸν ἀμηρᾶν αὐτῆς τὸν Δίνον. Εἶτα στρατεύει κατὰ τοῦ ἀμηρᾶ Σαρκάνου, νικᾷ αὐτόν τε καὶ τὸν ἀμηρᾶν Μαεδές. Τοῦ δὲ φθινοπώρου ἐπιστάντος, τοῦ χειμῶνος ἐλθὼν κατὰ τοῦ Θεχόζι ἀμηρᾶ καὶ Μεθήνου, νικήσας αὐτοὺς καὶ δώξας καὶ κύριος τῆς αὐτῶν ἀρχῆς πάσης ἐγένετο καὶ τὰς γυναῖκας καὶ τέκνα αὐτῶν ᾐχμαλώτισεν. Εἶτα ἐν τῇ Εὐρώπῃ αὖθις ἐπιστρέψας ἐκστρατεύει κατὰ τῶν Οὐγγρῶν, καὶ ἅπαξ καὶ δὶς αὐτοὺς ἐνίκησε, καὶ τῆς Ἀλβανητίας μέρος ἐδούλωσε. Καὶ κατὰ τοῦ Μίλτζα τοῦ τῆς Βλαχίας ἄργοντος στρατεύει, πολύν τε τόπον ζημιώσας, εἶτα ὁ Μίλτζας ἦλθεν εἰς μάχην φανερὰν ἔν τινι τόπῳ δυσκόλῳ, ὁ ἀμηρᾶς δὲ μεθοδεύων τὸ τοῦ τόπου ἀτύχημα, τὴν μάχην καταλιπὼν ἀνεχώρησεν. Ὕστερον εἰς συμβάσεις ἐλθόντες, τέλος ἔταξεν ὁ Μίλτζας διδόναι αὐτῷ, καὶ εἰρήνευσαν, καὶ ἐκ τῶν ἐναπολειφθέντων τῆς Βουλγαρίας καὶ Σερβίας πολὺν τόπον ἔλαβε. Καὶ μετὰ τοῦ βασιλέως τῆς Γερμανίας Σιγισμόνδου πόλεμον ποιήσαντες, **83** καὶ ἕως τῆς Νικοπόλεως ὁ Σιγισμόνδος ἐφθασε, καὶ τὰ στρατεύματα συνηντήθη, καὶ κακοβουλίας ἕνεκεν τὰ τῶν Χριστιανῶν εἰς ἄκρον ἐσφάλησαν, καὶ τρέψαντες αὐτοὺς μετὰ φόνου πολλοῦ καὶ αἰχμαλωσίας ἐδίωξαν. Εἶτα τὴν Κωνσταντινούπολιν καὶ ἡμετέραν πατρίδα ἐλθὼν ἀπέκλεισε πολιορκῶν αὐτήν. Καὶ τοσοῦτον ὀξὺς εἰς τὰ πάντα ἦν ὥστε οὐκ ἠρκεῖτο μόνον τὴν πόλιν πολιορκεῖν, ἀλλὰ τὸν Γιακούμπ-πασιᾶν καὶ τὸν Βρενέζην στείλας μετὰ στρατοῦ χιλιάδων πεντήκοντα καὶ ἓξ ἦλθον κατὰ τῆς Πελοποννήσου, καὶ εἰσελθόντες ἐν τῇ νήσῳ τὰ ὅσα ἐδύναντο κακὰ ἐποίησαν. Ἔφθασαν δὲ καὶ ἕως ἐγγὺς τῆς Κορώνης καὶ Μεθώνης, εἶτα στριφέντες τὴν παλαιὰν καὶ ὀνομαστὴν πόλιν τοῦ Ἄργους πολεμήσας ἔλαβον, καὶ ὑπὲρ τὰς τριάκοντα χιλιάδας αἰχμαλώτους λαβόντες ἐν τῇ Ἀσίᾳ ἀποίκους ἐποίησαν,

et viginti. Vezires ejus, sciente nemine, Bajazetem, ejus filium, arcessiverunt, qui exercitum et universum in Europa et Asia regnum in potestatem suam accepit. Erat Bajazetes erga omnes liberalissimus et sumptuosus, atque Christianis principibus sibi subjectis, qui in ipsius regia essent, benignissime alimenta et alia beneficia quotidie tribuebat, nec cessabat hilariter vultuque læto cum iis vivere et convivari.

26. Suscepit imperium Aleutores qui dicitur, anno 6881, indictione 6; nimirum Turcico sermone Aleutores fulmen et fulgur significat. Quia enim ad omnia acer et promptus erat et fulminis instar celeriter cuncta et cum impetu fieri volebat, ideireo hoc eum cognomento appellarunt. Veritus autem, ne Musulmanus frater, patris morte audita, sibi absesset, fraudem comminiscitur. Statim misit, qui eum tanquam patris nomine arcesseret. Ille, rerum ignarus nec quidquam formidans mali, adest; comprehensus strangulatur. Ita deinceps sollicitudine vacuus Bajazetes, vere appropinquante, copias omnes in unum colligit, atque in Asiam trajectus, impressionem facit in Armeniam totamque sibi subjicit. Idem Colchos domat atque Amastrim et hujus urbis ameram, Dinum. Deinde contra Sarcanem ameram ducto exercitu, ipsum et Maedes, alium ameram, devincit. Auctumno vergente et inita hieme Thechocjum et Methenem ameras aggressus, ipsis victis ac fugatis, tota eorum terra potitur, uxores cum liberis in servitutem rapit. Tum in Europam reversus, in Hungaros movet, eosque semel atque iterum vincit, ac partem aliquam Albaniæ occupat. Idem adversus Miltzam, Blachiæ principem, profectus, multa loca ejus vexat; sed quum ad justum prælium in locum quemdam difficilem Miltzas prodisset, incommoditati loci cedens, omissa pugna, revertit. Postea ad pactiones ventum est, quibus Miltzas tributum illi pensurum se esse promisit, et pax convenit. Idem e locis reliquis Bulgariæ et Serviæ non pauca accepit. Deinde adversus Sigismundum, imperatorem Germaniæ, bello excitato, quum Nicopolim usque Sigismundus processisset, et occurrissent sibi exercitus, imprudentia factum est, ut Christiani funditus devicti, cum magna hominum partim occisorum partim captorum clade fugarentur. Jam Cpolim patriam nostram adortus, obsidione clausit, adeoque præceps erat ad omnia, ut non satis haberet, urbem obsidere, sed Giacub-pasianem et Brenezem cum sex et quinquaginta millibus mitteret in Peloponnesum. Illi insulam adorti, omni eam malorum genere lacerarunt, prope Coronem et Methonem usque progressi. Inde reversi, vetustam et inclytam urbem Argos expugnarunt,

Digitized by Google

καὶ τὰ τείχη αὐτῆς χαλάσαντες ἔρημον κατέλιπον, ἐν ἔτει ,ςΘγ', ἰνδικτιῶνος ε'. Δῖνος δὲ ὁ ἀμηρᾶς καὶ οἱ ἕτεροι οἱ τῆς ἀρχῆς ἐξωσθέντες παρὰ τοῦ Μπαγιαζήτου, ἐλθόντες πρὸς τὸν βασιλέα Ντεμίρην, κλαίοντες τὴν ἀδικίαν ἣν ἠδικήθησαν· καὶ ὁ Ντεμίρης θέλων αὐτοῖς βοηθῆσαι, στείλας πρέσβυν τινὰ εἰς τὸν Μπαγιαζήτην λέγων ὅτι οὐκ ἔστι δίκαιον κατὰ τῶν ὁμοφύλων μᾶλλον καὶ ὁμοπίστων πράττειν οὕτως, καὶ παρῄνει αὐτὸν ἵνα τὴν ἀρχὴν ἑνὸς ἑκάστου αὖθις δώσῃ, εἰ θέλει ἵνα φίλοι ἔσωνται, **84** Ὁ δὲ ἀμηρᾶς ἄκρον πλεονέκτης ὢν καὶ οὐδέποτε ἠρκεῖτο πλούτου καὶ τρόπου· ὁρμητικὸς καὶ δεινὸς ὢν τοῦ πρέσβεως τοὺς λόγους εἰς οὐδὲν ἐλογίσατο, καὶ τὸν Ντεμίρην τὸν αὐθέντην αὐτοῦ ὡς ἄγροικον λέγων ἐνέπαιζεν. Ὁ δὲ Ντεμίρης ἀκούσας ὑπὸ τοῦ πρέσβεως τὰ ὅσα ἐφθέγξατο κατὰ τούτου ὁ ἀμηρᾶς, καὶ τὴν κενοδοξίαν αὐτοῦ εἰδὼς ἐθυμώθη, καὶ πάντα τὸν στρατὸν αὐτοῦ συναθροίσας κατ' αὐτοῦ βαδίζων ἦν. Ὡς δὲ ἤκουσε καὶ ὁ Μπαγιαζήτης, τὰς αὐτοῦ δυνάμεις συναθροίσας μετὰ σπουδῆς εἰς συνάντησιν τοῦ Ντεμίρη ἦν ἐρχόμενος ἀνδρείως καὶ θαρσαλέως μετὰ μεγάλης ψυχῆς. Ὑπῆρχε δὲ ὁ στρατὸς τοῦ ἀμηρᾶ χιλιάδες πεντήκοντα καὶ ἑκατὸν, τοῦ δὲ Ντεμίρη χιλιάδες ἦσαν ὀκτακόσιαι καὶ εἴκοσι· καὶ πάλιν ἡ μεγαλοψυχία τοῦ Μπαγιαζήτου εἰς οὐδὲν τὸν Ντεμίρην ἐλογίζετο. Φθάσαντες τὰ στρατεύματα εἰς τὰ μέρη τῆς Φρυγίας συνήντησαν, καὶ ὁ πόλεμος καὶ ἡ σύνταξις καὶ ἡ συμπλοκὴ μεγάλη ἐγεγόνει. Τέλος οἱ τοῦ Μπαγιαζήτη εἰς φυγὴν ἐτράπησαν· καὶ ἐν τῷ φεύγειν αὐτοὺς πολλοὺς πιάσαντες, οἷς οὐδὲν ἕτερον ἀνιαρὸν ἐποίουν εἰ μὴ μόνον τὰ ἱμάτια καὶ τὰ ὅπλα αὐτῶν ἤρουν καὶ γυμνοὺς ἀπέλυον. Καὶ ἐν τῷ φεύγειν καὶ τὸν Μπαγιαζήτην πιάσαντες καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὸν υἱὸν αὐτοῦ Μωσῆν καὶ ἑτέρους πολλοὺς ἄρχοντας τῆς αὐλῆς αὐτοῦ πρὸς τὸν Ντεμίρην ἤγαγον. Καὶ ὁ Ντεμίρης ἐπλήσθη χαρᾶς διὰ τὴν νίκην, καὶ λέγει τῷ Μπαγιαζήτῃ· **85** « Κακὴ κεφαλή, διὰ τί τὰς ὀρέξεις τὰς κακὰς τῆς σῆς γνώμης οὐκ ἐκυβέρνησας, ἵνα μὴ εἰς τοῦτο ἔλθῃς; οὐκ οἶδας ὅτι οὐδεὶς δύναται τῷ ἐμῷ στρατῷ ἀντιστῆναι; » Εἶτα θαυμάζων ὁ Ντεμίρης τὴν βασιλικὴν παρασκευὴν τοῦ Μπαγιαζήτου καὶ ὡραίαν καὶ τὰς σκηνὰς ἐκείνας τὰς θαυμαστὰς, τὰ τοσαῦτα ὄρνεα καὶ κύνας κυνηγετικοὺς οὓς εἶχε, λέγει πάλιν αὐτῷ· « Εἰπέ μοι, ὦ σαλὲ καὶ παράφρων, τίς ἡ ὠφέλεια τῆς μεγάλης σου κενοδοξίας μετὰ τοσαύτης παρασκευῆς; » Ἀποκριθεὶς δὲ ὁ Μπαγιαζήτης λέγει τῷ Ντεμίρῃ· « Οἶδα καλῶς, διὰ τὸ εἶναί σε ἄγροικον Σκύθην καὶ ἐξ ἀσήμου γένους, ὅτι αἱ βασιλικαὶ παρασκευαὶ οὐκ ἀρέσουσί σοι, διότι οὐδέποτε ταῦτα ἔπρεπόν σοι· ἐγὼ γὰρ ὡς υἱὸς τοῦ Ἀμουράτη καὶ ἔγγονος τοῦ Ὀρχάνου καὶ δισέγγονος τοῦ Ὀτὺμάνου καὶ τρισέγγονος τοῦ Ἐρτογρούλη, καὶ ταῦτα καὶ πλείονα πρέπον μοί ἐστι ποιεῖν καὶ ἔχειν. » Ὁ δὲ Ντεμίρης ἀκούσας τοὺς αὐθάδεις λόγους τοῦ Μπαγιαζήτου, θυμωθεὶς, κουβούκλιον ἐκ σιδήρου ποιήσας ἔσω αὐτὸν ἐνέβαλε καὶ μετ' ὀλίγον αὐτὸν ἀπέκτεινε, βασιλεύσας ἔτη ἓξ πρὸς τοῖς εἴκοσι, ζήσας δὲ ἐν τῇ αἰχμαλωσίᾳ μῆνας ὀκτώ.

κζ'. Τοιουτοτρόπως οὖν τῶν πραγμάτων, ὡς εἰρήκαμεν, ἐλθόντων, καὶ τοῦ ἀμηρᾶ Μπαγιαζήτου αἰχμαλωτισθέντος, εἰς ἀταξίαν καὶ κίνδυνον μεγά-

eamque, triginta amplius millibus captivorum in Asiam missis deductisque in colonias, eversis mœnibus, desertam reliquerunt, anno mundi 6903, indictione 5. Interea Dinus ameras et reliqui, qui a Bajazeto sedibus suis pulsi fuerant, Demirem regem adierant, injurias, quas accepissent, conquerentes. Demires, succurendi iis cupidus, per legatum Bajazeti suadebat, injustum esse, erga homines ejusdem gentis et religionis isto modo agere, eumque cohortabatur, ut suam cuique satrapiam restitueret, si se amicum sibi vellet. Ameras, homo inexplebili avaritia et habendi cupiditate, idemque vehemens et præceps, orationem legati nihili æstimavit, et Demirem, dominum ejus, ludificans rusticum appellavit. Demires, cum audisset ex legato, quæ in se dixisset ameras, ejusque nosset ambitionem, ira incensus, collectis omnibus copiis suis, adversus eum castra movit. Re comperta, etiam Bajazetes, confestim suis collectis copiis, Demeri stremue et fortiter confidenterque obviam proficiscitur. Constabat ameræ exercitus centum et quinquaginta millibus : Demiris octingenta et viginti millia erant; at confidentia Bajazetis nihili faciebat Demirem. Cum in Phrygiam ab utrisque ventum esset, concurrerunt exercitus magnumque ortum est prælium. Tandem Bajazetis exercitus in fugam conversus est; in qua multi capti sunt, quibus nihil aliud molestiæ factum, nisi quod vestibus et armis nudati dimittebantur. Ipse Bajazetes cum uxore et filio Mose aliisque multis aulæ suæ proceribus comprehensus, ad Demirem adductus est. Qui propter victoriam, quam reportaverat, lætitia exsultans, Bajazetem allocutus : « Homo nequam, inquit, cur pravis animi tui cupiditatibus non imperasti, ne huc devolverere? an nescis, meis copiis neminem parem esse? » Deinde regium ejus ornatum et elegantiam, et tentoria illa eximia tantamque avium et canum venaticorum multitudinem miratus, rursus. « Dic mihi, inquit, homo turbulente et excors, qui est fastus tui cum tanto apparatu fructus? » Tum ille : « Bene novi, non placiturum tibi, ut agresti Scythæ et ex obscuro genere oriundo, apparatum regium, qui nunquam te decuit. At me decet, Amuratis filium et Orchanis nepotem et Osmanis pronepotem et Ertogrulis abnepotem, hæc et plura facere atque habere. » Sermonis insolentia iratus Demires, caveam ferream fabricari jussit, in quam eum conjectum paulo post occidit. Regnaverat annos sex et viginti, captivus fuerat menses octo.

27. Rebus sic transactis, ut exposuimus, et Bajazete capto, in perturbationem et magnum discrimen Othmanidarum imperium incidit propter dissidia quædam et bella inter filios ejus enascentia,

Digitized by Google

λον ἡ τῶν Ὀτθμανλίδων βασιλεία **86** ἐνέπεσε διά τινας διαφορὰς καὶ πολέμους τῶν υἱῶν τοῦ Μπαγιαζήτου, οἳ ὡς ἤκουσαν περὶ τοῦ θανάτου τοῦ πατρὸς αὐτῶν, ἠγωνίζοντο ἵνα ἕκαστος τῆς βασιλείας τῆς πατρικῆς κύριος γένηται. Καὶ περάσαντες εἰς τὴν Εὐρώπην οἱ τέσσαρες αὐτάδελφοι, διὰ τὸν Μωσῆν ὡς εἰρήκαμεν αἰχμάλωτον μετὰ τοῦ πατρὸς ἐναπομείναντα, Ἰωσοὺφ, ὡς εἴπομεν, φωτισθεὶς τῇ αἰγλῃ τοῦ ἁγίου Πνεύματος Χριστιανὸς ἐγεγόνει, οἱ δὲ ἕτεροι ἀναμέσον διεφέροντο, καὶ μάχης γενομένης τὰ τοῦ Ἰεσσαὶ ὀλίγον καιρὸν ὑπερίσχυσε. Καὶ φιλίαν μεγάλην ἔχων μετὰ τοῦ βασιλέως κὺρ Μανουὴλ καὶ στρατὸν συναθροίσας κατὰ τοῦ ῥηγὸς Οὐγγαρίας ἐλθὼν οὐδὲν κατώρθωσε. Καὶ κατὰ τοῦ δεσπότου Σερβίας ἐλθὼν οὐδὲν αὐτῷ χρήσιμον ἐγεγόνει. Καὶ περάσας ἐν τῇ Ἀσίᾳ ἵνα ἔλθῃ κατὰ τοῦ ἀδελφοῦ Μουσουλμάνου, καὶ εἰς τὰ μέρη τῆς Καππαδοκῶν ἐπαρχίας συναντήσαντος ἐκείνου Ἰεσσαὶ ἡττηθεὶς ἔφυγε, καὶ ἐν τῷ φεύγειν πιάσαντες αὐτὸν προσήγαγον τῷ ἀδελφῷ· ὁ δὲ ἀναπέπνιξεν αὐτὸν σταθεὶς ἐν τῇ ἀρχῇ μῆνας. . .

κη'. Καὶ ὁ Μουσουλμάνος ἐγκρατὴς γενόμενος τῆς ἀρχῆς, ὁ Ντεμίρης ἔπειτα τὸν ἀδελφὸν αὐτοῦ Μωσῆν ἠλευθέρωσεν, ὃς περάσας κρυφῶς ἦλθεν ἐν τῇ Εὐρώπῃ, καὶ ὁ δεσπότης Σερβίας χεῖρα ἱκανὴν δώσας καὶ βοηθήσας αὐτῷ, λέγω τῷ Μωσῇ, ἐγκρατὴς κατὰ τῆς Εὐρώπης ἐγεγόνει. Μαθὼν δὲ τοῦτο ὁ ἀδελφὸς αὐτοῦ Μουσουλμάνος ἐν τῇ Ἀσίᾳ περάσας διὰ τῆς πόλεως **87** ἐλθεῖν κατὰ τοῦ ἀδελφοῦ, καὶ φιλίαν μεγάλην μετὰ τοῦ βασιλέως ἔχων, καὶ τὴν θυγατέρα τοῦ δισπότου τοῦ κὺρ Θεοδώρου δώσας αὐτῷ εἰς γυναῖκα, ἡμέρας ὀλίγας ἐν τῇ πόλει διατρίψας ἐξῆλθε κατὰ τοῦ Μωσῆ. Καὶ πολέμου γεγονότος ὁ Μουσουλμάνος ὑπὸ τοῦ Μωσῆ ἐνικήθη, καὶ πιασθεὶς ὑπ' αὐτοῦ ἐθανατώθη.

κθ'. Καὶ ὁ Μωσῆς γενόμενος τῆς ὅλης ἀρχῆς κύριος στόλον ἡτοίμασε διὰ θαλάσσης καὶ στρατὸν διὰ ξηρᾶς ἐλθεῖν κατὰ τῆς πόλεως. Μαθὼν δὲ ταῦτα ὁ βασιλεὺς τῶν Ῥωμαίων, Ῥωμαϊκὸν στόλον ἑτοιμάσας καὶ οἰκονομήσας, δρουγγάριον καταστήσας Μανουὴλ τὸν νόθον ἀδελφὸν, καὶ ἔγγὺς τῆς νήσου τῆς λεγομένης Πλάτης οἱ στόλοι συναντηθέντες, ὁ τοῦ Μωσῆ στόλος ἐσφάλη, καὶ μέρος μέν τι κατεποντίσθη μέρος δὲ ἐδυθίσθη, καὶ τὰ ἐναπολειφθέντα πάνυ ὀλίγα πλοιάρια κακῶς ἔφυγον, καὶ ἡ νίκη Ῥωμαίοις ἦν. Καὶ ἐκ τῆς ξηρᾶς τὰ ὅμοια ὁ Μωσῆς ἔπαθεν. Ἀκούων ταῦτα ἀνεχώρησε μετὰ αἰσχύνης. Καὶ αὖθις ὁ βασιλεὺς μεθοδεύων μηχανὰς ἵνα παντελῶς νικήσῃ τὸν Μωϋσῆν, στείλας ἐν τῇ Ἀσίᾳ ἔφερε τὸν τοῦ Μουσουλμάνου υἱὸν Ὀρχάνην καὶ ἐν τῇ Εὐρώπῃ αὐθέντην ἐπέβαλε. Καὶ πολέμου γεγονότος τὰ τοῦ Ὀρχάνου ἐσφάλησαν, ἐπιβουλευθέντος παρὰ τοῦ κυβερνήτου καὶ πρώτου βεζίρη αὐτοῦ Σαμπάνη, καὶ πιάσας αὐτὸν ὁ Μωσῆς ὁ θεῖος αὐτοῦ ἐτύφλωσε. Μεμέτης δὲ ὁ ὑστερογενὴς υἱὸς τοῦ Μπαγιαζήτου διὰ τὸ εἶναι ἐκ πάντων νεώτερος καὶ ὑπὸ τῶν **88** ἀδελφῶν πάντων φοβούμενος φυγὼν ἦλθεν ἔν τινι τόπῳ μετά τινος τεχνίτου τοξοποιοῦ, καὶ ἐκεῖ μετθωτὸς ἐγένετο, ἵνα μὴ γνωσθῇ τοῖς ἀδελφοῖς· ἀνδρυνθεὶς δὲ τῇ ἡλικίᾳ ὀλίγον μετὰ τοιαύτης κακουχίας, θεωρῶν οὕτως ἔχοντα τὰ πράγματα, καὶ αὐτὸς τῇ τῆς τύχης φορᾷ χρησάμενος ταῦτα συλλογίζεται καὶ πρὸς τὸν ἀμηρᾶν Καραμάνον ἐν τῇ Καππαδοκίᾳ ἔρχεται βοήθειαν αἰτῶν.

qui, audita morte patris, pro se quisque nitebantur, ut regno paterno potirentur. Transeunt in Europam fratres germani quatuor; Mosem enim captivum fuisse cum patre, monuimus; diximus etiam, Josuphum, Spiritus sancti lumine imp'etum, Christianum factum esse. Reliqui inter se dissidebant. Prælio facto, arma Jesses aliquandiu prævalebant. Is, arcta amicitia cum imperatore Manuele conjunctus, collectis copiis, adversus Hungarorum regem profectus est, nec tamen quidquam egit; nec Serviæ despotam aggresso, expeditionis fructus constitit: et, cum in Asiam trajecisset, Musulmanum fratrem adorturus, in Cappadocum finibus cum eo congressus, fugatus est et, in fuga comprehensus, ad fratrem adductus, qui eum strangulari jussit. imperio potitum menses . . .

28. Regno a Musulmano occupato, Demires Mosem, fratrem ejus, liberum dimisit, qui clam in Europam transgressus et a despota Serviæ sufficiente manu instructus et adjutus, ea parte superior fit. Hoc cum primum Musulmanus, frater ejus, in Asia accepit, in Europam trajecit, ut per Byzantium fratri obviam iret; et, quoniam eum non vulgaris amicitia cum imperatore coujungebat, isque Theodori despotæ filiam ei dederat in matrimonium, dies aliquot in urbe commoratus, contra Mosem movit. Prœlio commisso, Musulmanus a Mose devictus, captus et necatus est.

29. Moses, universo regno potitus, classem adornat, qua mari, exercitum, quo terra urbem aggrederetur. Qua re comperta, imperator quoque Romanorum classem parat et instruit, cui drungarium præfecit Manuelem, fratrem nothum. Ad Platen insulam classes sibi occurrunt: naves Mosis devictæ, partim demersæ, partim captæ sunt: pauca admodum navigia, quæ restabant, turpiter fugerunt: victoria penes Romanos stetit. Similem in terra cladem Moses accepit. Hæc ubi audiit, cum ignominia recessit. Imperator denuo excogitatis artibus, quibus prorsus devinceret Mosem, missis in Asiam legatis, Orchanem, Musulmani filium, arcessivit et in Europa dominum constituit, at collatis signis, succubuit Orchanes, a duce suo et primario veziro Sabane proditus. Captum Moses patruus oculis privavit. Mehemetes autem, filius Bajazetis natu minimus, fratrum omnium metu, cum quodam artifice arcuario in locum quemdam aufugit, ubi mercenarius vixit, ne fratribus innotesceret. Ætate paulo grandior factus in vili hac conditione, quum rerum statum considerasset, ipse quoque fortunæ se permisit, et ad Caramanum amerain in Cappadociam confugiens, ejus auxilium implorat: amice ab eo receptus et instruc-

Digitized by Google

Καὶ ὁ ἀμηρᾶς Καραμάνος δεξάμενος αὐτὸν ἡδέως καὶ χεῖρα δώσας ἐξῆλθεν οὗτος κατὰ τοῦ αὐταδέλφου Μωσῆ. Πρώτης καὶ δευτέρας μάχης γενομένης ὁ τοῦ Μωσῆ στρατὸς ὑπερίσχυσε καὶ ὁ Μεεμέτης καὶ ὁ στρατὸς αὐτοῦ διεσκορπίσθησαν. Ἐκ τρίτου δὲ τὴν τύχην λογισάμενος δοκιμάσαι, πρὸς τὸν τῆς Σερβίας καὶ Βουλγαρίας αὐθέντην καὶ πρὸς τὸν βασιλέα ἐλθὼν βοήθειαν αἰτῆσαι παρ' αὐτῶν, καὶ δώσαντες αὐτῷ χεῖρα ἱκανὴν καὶ στρατὸν ἐξῆλθεν αὖθις κατὰ τοῦ Μωσῆ· καὶ μάχης γενομένης ὁ Μεεμέτης ἀπατήσας μετὰ χρημάτων πολλοὺς τῶν πρώτων στρατηγοὺς καὶ κυβερνήτας τοῦ Μωσῆ, ἀφέντες αὐτὸν ἔφυγον πρὸς τὸν Μεεμέτην. Ὁ δὲ Μωσῆς ἰδὼν καὶ αὐτὸς εἰς φυγὴν ἐτράπη· καὶ ἐλθὼν ἔν τινι τόπῳ ὑλώδει ἐκρύβη· ὃν εὑρών τις στρατηγὸς τοῦ Μεεμέτη ἐκεῖ ἀπέπνιξε προστάξει τοῦ αὐθέντου αὐτοῦ. Ἐστάθη οὖν ἡ αὐτὴ βασιλεία κινδυνεύουσα διὰ τὰς διχονοίας τὰς ἐν ἀλλήλοις τοῖς τέσσαρσιν ἀδελφοῖς ἔτη τρία καὶ μῆνας δύο, Μεεμέτης δὲ ἐγκρατὴς πάσης τῆς ἀρχῆς καὶ βασιλείας τῆς **89** πατρικῆς μετὰ τοσούτων κόπων καὶ ὀδυνῶν γέγονεν ἐν ἔτει ,ςϑζ', ἰνδικτιῶνος γ'.

λ'. Πρῶτον μὲν ἔργον μετὰ τὸ λαβεῖν τὴν ἀρχὴν ἐποίησε τοῦτό. Τὰ τέλη τῆς Μολδοβλαχίας καὶ Μπογδανίας, ὅσον ἦν δυνατὸν, ἐβάρυνε, καὶ πᾶσαν χώραν καὶ τόπον ἐν τῇ Ἀσίᾳ ἐν οἷς οἱ Σκύθαι ἐγίνοντο ἐγκρατεῖς μετὰ τὴν αἰχμαλωσίαν τοῦ πατρὸς, πάλιν μετ' ὀλίγον ὑφ' ἑαυτὸν ἀπεκατέστησε· καὶ τοὺς ὁμοφύλους καὶ ὁμοπίστους αὐθέντας οὓς ὁ πατὴρ ἐξέωσε τῆς ἀρχῆς καὶ ὁ Ντεμίρης ἐλθὼν πάλιν μετέδωκεν αὐτοῖς, οὗτος νόμῳ πολέμου αὖθις ἐδίωξε, τὴν Γαλατίαν Καππαδοκίαν τε καὶ Πόντον καὶ ὅσα τῆς ἄνωθεν Ἀσίας ἐκέρδησε. Τὸν Ἰσμαὴλ ἀμηρᾶν τοῦ Σινωπίου ὑποτελῆ ἐποίησε, καὶ ἀπὸ Αὐδίας ἕως Αἰολίδος καὶ ἄχρι Μυσίας τῆς πρὸς τὸν Ἑλλήσποντον κύριος ἐγένετο, καὶ μετὰ τῆς γερουσίας τῶν Ἐνετῶν μάχην ποιήσας. Ὁ οὖν τῶν Ἐνετῶν στόλος εἶχεν ναυάρχην τὸν Πέτρον Λορδᾶν· καὶ ἄμφω οἱ στόλοι συναντηθέντες, λέγω τῶν Ἐνετῶν καὶ τοῦ ἀμηρᾶ, ἀναμέσον Προικονήσου καὶ Καλλιουπόλεως, καὶ ναυμαχίας γενομένης πολλαὶ τριήρεις καὶ νῆες τῶν Τούρκων κατεποντίσθησαν· μετὰ δὲ ταῦτα ἀγάπην ἐποίησαν. Ἠγάπα δὲ τὸν βασιλέα κὺρ Μανουὴλ οὗτος ὁ ἀμηρᾶς καὶ τοὺς ἑτέρους αὐθέντας Χριστιανοὺς τοὺς ἐγγὺς τῶν ὁρίων αὐτοῦ· καὶ ἐν τῷ μέλλειν αὐτὸν τελευτᾶν **90** τῷ υἱῷ Ἀμουράτῃ παρήγγειλεν ἵν' ἔσηται φίλος καὶ βοηθὸς τῷ βασιλεῖ κὺρ Μανουήλ. Οὗτος πρῶτος ἐν τῇ Ἀδριανουπόλει τὴν καθέδραν ἐποίησεν, ἣν οἱ πρὸ αὐτοῦ ἐν τῇ Προύσῃ εἶχον. Ὑπῆρχε δὲ λίαν φιλόδωρος καὶ τοῖς φίλοις ἄριστος· ὁμοίως δὲ τοῖς ἐχθροῖς ἕως τέλους ζωῆς καμηλοειδῶς διέκειτο, καὶ πάντοτε νέα ἐφευρήματα καὶ μηχανὰς γυρεύων, ἵνα βλάπτῃ καὶ ἀφανίζῃ τοὺς κακῶς διακειμένους μετ' αὐτοῦ. Ἀπέθανε δὲ βασιλεύσας ἔτη δέκα καὶ ἑπτά.

λα'. Ἀποθανόντος οὖν τοῦ ἀμηρᾶ Μεεμέτη καὶ Κυρίτζη ὀνομαζομένου, ὁ υἱὸς αὐτοῦ Ἀμουράτης ἐλθὼν τὴν ἀρχὴν διεδέξατο ἐν ἔτει ,ςϑχδ', ἰνδικτιῶνος η', καὶ τοῦ φθινοπώρου ἱσταμένου οὐκ ἠρέμησε διὰ τὸν χειμῶνα, ἀλλὰ τὸν στρατὸν αὐτοῦ συνάξας ἔρχεται κατὰ τοῦ θείου αὐτοῦ Μουσταφᾶ, καὶ νικήσας αὐτὸν ἐθανάτωσε. Καὶ εὐθὺς μετὰ τὴν

tus copiis, adversus Mosem fratrem proficiscitur. Atque e primo quidem et secundo prælio Mosis exercitus superior discessit, Mehemetes ejusque exercitus fugati sunt; sed tertium fortunam experiendam esse ratus, principem Serviæ et Bulgariæ et imperatorem adiit eorumque imploravit opem, atque acceptis ab iis copiis idoneis, denuo adversus Mosem duxit. Prælio inito, e primariis multi duces centurionesque Mosis, pecunia a Mehemete corrupti, illo relicto, ad hunc transfugiunt. Hoc cum animadvertisset Moses, in fugam et ipse conversus, in loco silvoso delituit, sed a duce quodam Mehemetis repertus, hujus jussu suffocatus est. Versata igitur in discrimine fuerat hujus imperii salus propter intestinas quatuor fratrum discordias annos tres et menses duos, atque Mehemetes universi regni et imperii paterni cum tantis ærumnis et molestiis potitus est anno 6907, indictione 3.

30. Primum post susceptum imperium opus hoc edidit. Moldoblachiæ et Bogdaniæ tributa quam poterat gravissima imperabat, et quidquid regionum in Asia Scythæ, capto ejus patre, occupaverant, brevi intervallo recepit, atque suæ gentis ac religionis principes eos, quos a patre sedibus expulsos Demires restituerat, de integro ejecit, et Galatiam, Cappadociam, Pontum totamque Asiam superiorem in potestatem suam redegit, Ismaelem, Sinopes amerafh, vectigalem fecit, et a Lydia ad Æolidem usque et Mysiam, quæ est in Hellesponto, dominabatur, etiam cum Venetis prælio conflictatus, quorum classi Petrus Lordan præerat. Cum ambæ classes, Venetorum et ameræ, inter Proconnesum et Calliopolim essent congressæ et pugna commissa, multæ Turcarum naves et triremes depressæ sunt. Deinde pax inter eos composita. Amice hic ameras amplectebatur imperatorem Manuelem et reliquos principes Christianos sibi vicinos, et moribundus Amuratæ filio mandavit, ut is quoque amicus et socius esset Manueli. Idem primus Adrianopoli sedem regiam collocavit, quam majores ejus Prusæ habuerant. Erat munificentissimus, et sicut in amicos liberalissimus, ita hostibus usque ad finem vitæ infensissimus, semperque novarum artium machinarumque studiosus, quibus male erga se animatis damnum atque interitum afferret. Mortuus est anno regni decimo septimo.

31. Mortuo Mehemete amera, qui cognominatur Cyritzes, Amurates, ejus filius, imperium capessivit, anno 6924, indictione 8, autumnoque ineunte, ut quiesceret, instante hieme commoveri non poterat, sed, collecto exercitu, patruum Mustapham aggressus est, victumque occidit. Ac statim post eam victoriam præmisso Cpolim Michaelbego, ipse supervenit eamque urbem obsedit: cujus rei causa erat,

Digitized by Google

νίκην καὶ τὸν Μιχαὴλ-μπέην στεῖλας, ἐλθὼν τὴν πόλιν ἀπέκλεισε. Ἡ αἰτία ἦν ὅτι τῷ Μουσταφᾷ, ὡς ἔμπροσθεν εἰς πλάτος ῥηθήσεται, οἱ βασιλεῖς ἐβοήθουν. Εἶτα καὶ αὐτὸς ἐλθὼν καὶ οὐδὲν κατορθώσας ἀγάπην μετὰ τῶν βασιλέων ἐποίησε, μεσιτευσάσης τῆς κυρᾶς Μάρως τῆς μητρυιᾶς αὐτοῦ. Εἶτα ἔρχεται κατὰ τῆς Θεσσαλονίκης κρατουμένης οὔσης ὑπὸ τῶν Ἑνετῶν· ἦν πολιορκήσας καὶ ἀποκλείσας ἔλαβε. Καὶ ἐκ τῆς Οὐγγαρίας μέρος οὐκ ὀλίγον ἐδούλωσε, καὶ μάχην ποιήσας **91** μετὰ τοῦ ῥηγὸς Λαδισλάου αὐτὸν ἐνίκησεν. Ἐλθὼν δὲ κατὰ τῶν Βλάχων καὶ Μολδοβλάχων οὐδὲν κατώρθωσεν, ἀλλὰ ζημιωμένος ἐπανέστρεψεν. Εἶτα αὖθις δεύτερον στρατεύει κατ' αὐτῶν· καὶ οἱ Βλάχοι εἰς βοήθειαν τοὺς Οὐγγάρους προσκαλεσάμενοι, καὶ πολέμου γενομένου ἡ νίκη τῷ ὁμηρᾷ ἦν καὶ αὐτοὶ διεσκορπίσθησαν φεύγοντες. Λέγουσι δὲ ὅτι ἀπέθανον ἐν ἐκείνῃ τῇ μάχῃ πλεῖον ἢ τριάκοντα χιλιάδες Οὐγγαροί τε καὶ Βλάχοι, Τοῦρκοι δὲ πάνυ ὀλίγοι. Τῆς παλαιᾶς Ἠπείρου μέρος καὶ Αἰτωλοὺς καὶ Ἀκαρνοὺς Θῆβάν τε καὶ Ἀθῆναν καὶ πᾶσαν Βοιωτίαν καὶ Ἑλλάδα καὶ Ἰωάννινα ἐδούλωσε πολέμῳ, καὶ τὸν τῆς Καισαρείας ἀμηρᾶν εἰς τέλος ἐνίκησε καὶ ἐφάνισε, καὶ κύριος τῆς ἀρχῆς ὅλης ἐκείνης ἐγένετο, ἄχρις δέ τινων φρουρίων, ἃ ἦσαν ἐν τισιν ὄρεσιν ὑψηλοτάτοις, ἔνθα ἦλθεν ὁ Καραμάνος καὶ τὴν κατοίκησιν ἐποιεῖτο. Καὶ ὁ ῥὴξ Λαδισλάος ὁμοφωνήσας μετὰ τινῶν ἑτέρων αὐθεντῶν Χριστιανῶν ἔρχεται αὖθις κατὰ τοῦ Ἀμουράτου, καὶ ἕως τῆς πόλεως Βάρνης φθάσαντες καὶ ἐκεῖ μετὰ τοῦ ἀμηρᾶ συναντηθέντες, ἐξ ἀγνωσίας ὁ Λαδισλάος

ἐσφάλη· καὶ νικήσας αὐτὸν ἀπέκτεινε καὶ τὸν στρατὸν αὐτοῦ διεσκέδασεν. Εἶτα ἐξέρχεται κατὰ τῆς ἄνω Μυσίας, καὶ πολὺ μέρος ὑποτελὲς **92** ἐποίησε, καὶ τὴν Μπόσναν καὶ τὸν Καστριώτην Ἰωάννην εἰς ἄκρον ἐδούλωσεν. Οὗτος πρῶτος τοῖς Ἰαννιτζάροις τὰ προνόμια ἃ ἔχουσιν ἐχαρίσατο, καὶ εἰς τάξιν ἣν ἕως τῆς σήμερον ἔταξε πορεύεσθαι· παλαιόθεν μὲν τὸ αὐτὸ τάγμα ἑτέρας συνηθείας καὶ τάξεις καὶ ἐνδύματα εἶχον. Καὶ γυναῖκας μὴ λαμβάνειν ἔταξεν, ἵνα μὴ ἀσχολῶνται διὰ γυναικῶν καὶ παίδων τροφὰς καὶ φροντίδας, ἀλλὰ μετὰ προθυμίας ἐν τῷ πολέμῳ πάντοτε ἀμερίμνως ἔστωνται, καὶ υἱοὺς αὐτοῦ καλεῖσθαι ἐκέλευσε. Ὑπῆρχε δὲ εἰς τοὺς ὑπηκόους αὐτοῦ πάνυ δίκαιος, προθεωρῶν τὰ ἐρχόμενα. Οὐδένα ἀδικεῖν ποτὲ τοὺς σατραπῶν καὶ κριτῶν πάντας μᾶλλον ἐπρόσταττε· καὶ ἐάν τις τὸ πρόσταγμα μικρὸν παρέβαινε, χωρίς τινος συμπαθείας κεφαλικῶς αὐτοὺς ἐπαίδευεν. Ἦν δὲ ἐν ταῖς μάχαις ῥιψοκίνδυνος, καὶ ἡ τύχη πάντοτε αὐτῷ ἐβοήθησεν. Ὕστερον ἐφάνη αὐτῷ δερβίσης γενέσθαι ἤγουν μοναχός, καὶ ἐν τῇ Προύσῃ παράσας ἐγένετο, καὶ ζῶν ἔτι τῷ υἱῷ Μεμέτῃ τὴν πᾶσαν ἐξουσίαν καὶ βασιλείαν ἔδωσε, βασιλεύσας ἔτη τριάκοντα καὶ τέσσαρα.

λβ'. Ἐλθούσης δὲ πάσης τῆς ἀρχῆς καὶ ἐξουσίας ἐπὶ τὸν Μεμέτην ἐν ἔτει ,ςϡθνη', ἰνδικτιῶνος ιδ', διὰ τὸ εἶναι **93** αὐτὸν πάνυ νέον τινὲς τῶν γεραιῶν βεζιρίδων ἔλεγον τῷ Ἀμουράτῃ ὅτι οὐκ ἔξεστιν ἐμπιστευθῆναι τὴν τοσαύτην ἀρχὴν ἔτι τῷ υἱῷ, ἵνα μὴ οἱ τῆς νεότητος καπνοὶ τὴν βασιλείαν κινδυνεῦσαι ποιήσωσιν. Ὁ οὖν Μεμέτης

quod Mustaphæ, ut postea fusius dicetur, imperatores auxilium tulerant. Verum cum nec ipse quidquam proficeret, amicitiam cum imperatoribus composuit, conciliante Maro domina, ejus noverca. Inde Thessalonicam, Venetis tum subjectam, aggressus est eamque obsessam oppugnatamque in potestatem suam redegit. Etiam Hungariæ partem non exiguam sibi subjecit ac, prælio cum Ladislao rege conserto, superior discessit. Contra Blachos autem et Moldoblachos profectus, successu caruit, imo cum detrimento recessit. Mox iterum in eos ducit: Blachi Hungaros subsidio vocant; sed conserta manu, victoria penes ameram est; illi dissipati fugiunt. In ea pugna Hungarorum Blachorumque amplius triginta millia, Turcarum perpaucos cecidisse dicunt. Partem veteris Epiri, Ætolos, Acarnanes, Thebas, Athenas, totam Bœotiam, Helladem et Johannina bello sibi vindicavit, atque ameram Cæsaream postremum devicit delevitque, et universa illa ditione potitus est, exceptis quibusdam castellis, quæ in montibus altissimis erant, ubi sedem collocaverat Caramanus. Ladislaus rex, cum aliis quibusdam principibus Christianis fœdere junctus, denuo contra Amuratem suscepit expeditionem, sed Varnam usque progressus ibique cum amera prælatus, imperitia rei bellicæ rem male gessit. Namque certamine devictus et occisus, exercitusque ejus

dispersus est. Jam Amurates Mysiam superiorem ingressus, magnam ejus partem sibi rectigalem fecit, ac Bosnam et Joannem Castriotam plane sibi subjecit. Idem primus janitzaris jura, quæ illi habent, præcipua impertivit, eosque eo, quo etiam hodie utuntur, exercitio uti jussit. Antiquitus enim ejus legionis aliæ consuetudines, alia exercitia, alia vestimenta erant. Vetuit eosdem matrimonia contrahere, ne detinerentur uxorum liberorumque cura et victu, sed alacri et soluto semper animo in militia versarentur, voluitque eosdem filios suos appellari. In subjectos egregie justus, et futuri intelligens erat; severe satrapis et judicibus omnibus edicebat, ne cuiquam injuriam facerent; quod edictum si quis vel minime violasset, nulla misericordia prohibebatur, quominus eum capite multaret. In prœliis se objiciebat periculis, atque nunquam non favit ei fortuna. Postremo ei visum est, ut derbises sive monachus fieret. Itaque Prusam profectus, derbises factus est concessitque adhuc vivus Mehemeti filio regnum et omnem auctoritatem regiam, postquam ipse functus est imperio annos triginta quatuor.

32. Translato Mehemeti regno omnique potestate regia anno 6958, indictione 14, quoniam is admodum adolescens erat, quidam senories vezires Amuratem monuerunt, licitum non esse, tantam regni

Digitized by Google

ταῦτα αἰσθανόμενος ἐμαίνετο κατ' αὐτῶν, καὶ πολλοὺς ὕστερον ἐθανάτωσε, καὶ παιδαριογέρων ἐν ταῖς μάχαις καὶ ταῖς διοικήσεσιν εἰς ἄκρον ἐγένετο. Ἦν δὲ ὁ νέος δραστικὸς καὶ δεινὸς κατὰ πάντα, τοὺς ἐναρέτους καὶ σοφοὺς ἄνδρας ἀγαπῶν· καὶ αὐτὸς οὐκ ἀμέθεκτος ἦν σοφίας, καὶ τὴν τέχνην τῆς ἀστρολογίας οὐκ ὀλίγον γευσάμενος ἀναγινώσκειν ἀεὶ ἠγάπα. Τά τε κατορθώματα καὶ βίους Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τοῦ Ὀκταβίου Καίσαρος, Κωνσταντίνου τοῦ μεγάλου, τοῦ καὶ Φλαβίου καὶ Θεοδοσίου τοῦ ἐξ Ἱσπανίας βασιλέως Κωνσταντινουπόλεως ἀνεγίνωσκεν, αἰτῶν καὶ ἐρευνῶν μηχανὰς ἵνα τοὺς πάντας ὑπερβῇ καὶ τὰ ὅρια τῆς βασιλείας αὐτοῦ εἰς ἄκρον αὐξήσῃ· ὃ καὶ ἐποίησεν. Ἀκούσας οὖν περὶ τοῦ θανάτου τοῦ Ἀμουράτη ὁ Καραμάνος Ἀλισούριος ἐκ τῶν ὀρέων καταβὰς πολὺν τόπον ἑαυτῷ περιεποιήσατο. Ὁ δὲ νέος αὐθέντης ὁ Μεεμέτης στρατὸν ἑτοιμάσας ἔρχεται κατ' αὐτοῦ· αὐτὸς δὲ φυγὼν πάλιν εἰς τὰς κορυφὰς τῶν ὀρέων διήρχετο, ἕως οὗ μετά τινα καιρὸν παντελῶς ἠφανίσθη. Μετὰ δὲ τὸ διωχθῆναι τὸν Καραμάνον περάσας ἐν τῇ Καλλιουπόλει καὶ εἰς Ἀνδριανούπολιν **94** φθάσας ἑτοιμάσθη καὶ ἦλθε κατὰ τῆς πόλεως καὶ Ῥωμαίων βασιλείας, καὶ τῆς τοιαύτης περιφήμου πόλεως κύριος ἐγένετο, καὶ ἡμᾶς ἐκεῖθεν ἠχμαλώτισε καὶ ἠφάνισε καὶ ἐξέωσεν. Εἶτα στρατεύει κατὰ τῆς βασιλείας Τραπεζοῦντος, καὶ ἐν εὐκολίᾳ μετ' ὀλίγον πόλεμον πᾶσαν ἐκείνην τὴν ἀρχὴν ἔλαβε, καὶ τὸν βασιλέα αὐτῆς Δαβὶδ τὸν Κομνηνὸν αἰχμάλωτον ἐν τῇ πόλει Κωνσταντίνου ἔφερεν. Καὶ τὴν περιβόητον πόλιν Σινωπίου ἦν ὑποτελῆ οἱ πρὸ αὐτοῦ ἐποίησαν, οὗτος πολέμῳ τὸν αὐτῆς ἀμηρᾶν νικήσας κύριος τέλειος ἐκείνης τῆς ἀρχῆς ἐγένετο. Εἶτα τὴν ἀγάπην λύσας ἣν εἶχε μετὰ τῶν δεσπότων στρατεύει κατὰ τῆς Πελοποννήσου, καὶ τοὺς δεσπότας διώξας πᾶσαν τὴν Πελοπόννησον ἔλαβε. Καὶ τὸ ἐναπολειφθὲν τῆς Σερβίας μέρος, καὶ τὸν δεσπότην αὐτῆς διώξας καὶ τὴν μητέρα πολέμῳ, ἐγκρατὴς εἰς πάντα ἐγένετο. Χίον δὲ τὴν νῆσον καὶ Λέσβον ἄνευ πολέμου ὑφ' ἑαυτῷ ὑποτελεῖς ἐποίησεν· ὕστερον δὲ τῆς Λέσβου πάσης καθ' ὅλου ἐγκρατὴς ἐγένετο. Εἶτα ἔρχεται κατὰ τῆς νήσου Κύπρου, καὶ μετὰ τοῦ ῥηγὸς εἰς συμβάσεις ἐλθόντες, τέλος ἔταξε διδόναι αὐτῷ καὶ οὕτως ἀνεχώρησεν. Εἶτα στόλον ἕτερον ἑτοιμάσας, κατὰ τῆς νήσου Ῥόδου ἐλθὼν ἄπρακτος ἐκ τῶν ἐκεῖθεν διέβη, καὶ πολλοὶ ἐκ τοῦ στρατοῦ αὐτοῦ ἀπεκτάνθησαν διὰ τὸ ἐλθεῖν στόλον τινὰ ἐκ τῆς Ἰταλίας εἰς βοήθειαν. Αὐτὸς δὲ θυμῷ καχλάζων, ἵνα τὴν ἀνταμοιβὴν τοῖς Ἰταλοῖς ποιήσῃ, στόλον βαρὺν ἑτοιμάσας μετὰ στρατοῦ πολλοῦ ἱππικοῦ τε καὶ πεζοῦ ἔστειλε κατὰ τῆς **95** Καλαβρίας καὶ τῆς Ἀπουλίας, καὶ ἐν τῷ ἀπέρχεσθαι τὸν στόλον Ζάκυνθον καὶ Κεφαλονίαν ὑποτελεῖς ἐποίησε· φθάσας δὲ ὁ στόλος ἐν τῇ Καλαβρίᾳ, τὸ φρούριον τὸ ἐν τῇ Ἀπουλίᾳ τὸ λεγόμενον Ὑδροῦς ἀποκλείσας καὶ πολιορκήσας αὐτὸ ἔλαβε, καὶ ἕτερα φρούριά τινα λαβὼν πρόσω ἐπορεύετο. Καὶ ἐὰν μὴ ὁ Θεὸς ἐξ ἀνθρώπων ἐποίησεν αὐτὸν οἷς οἶδε τρόποις, τὰ ὅμοια ὡς καὶ ἡμεῖς οἱ Ἰταλοὶ ἔπαθον ἄν. Ἀκουσθεὶς δὲ ὁ θάνατος αὐτοῦ ἐν τῇ Ἰταλίᾳ, οἱ σατράπαι καὶ οἱ κυβερνῆται τοῦ στόλου καὶ τοῦ στρατοῦ μετὰ συμβά-

molem jam tum committi filio, ne spiritus juveniles regno excitarent pericula. Mehemetes hæc ubi sensit, ira furebat, multosque de his veziribus postea interemit, in rebus tum domesticis tum bellicis administrandis sapientiam plane senilem præstans. Erat impiger et acer in rebus omnibus, atque amore amplectebatur homines virtutis et litterarum studiosos; nec ipse rudis erat litterarum, et in disciplina astrologica progressus non mediocres fecerat; assidua lectione occupatus, res gestas et vitas Alexandri Macedonis, Octavii Cæsaris, Flavii Constantini Magni, imperatoris Theodosii Hispani legebat, quærens et indagans artes, quibus omnes antecelleret et regni fines proferret quam latissime: quod etiam præstitit. Audita morte Amuratis, Caramanus Alisurius e montibus descendit multaque sibi loca subjecit. Juvenis rex Mehemetes, comparata manu, adversus eum proficiscitur; qui in fugam versus, rursus in montium juga se abdit, donec aliquanto post omnino deletur. Caramanum persecutus, Calliopolim, deinde Adrianopolim concessit, unde, instructis copiis, adversus urbem et imperium Romanum proficiscitur, ac tanta hac tamque nobili urbe potitus, nosmet inde captivos expulit et exterminavit. Mox Trapezuntiorum regnum adortus, facili opera illud quoque brevi bello sibi vindicavit, et regem ejus Davidem Comnenum captivum Cpolim duxit eumque celeberrimam urbem Sinopen decessores ejus tantummodo vectigalem habuissent, Mehemetes, armis devicto ejus amera, prorsus eam in potestatem suam redegit. Deinde rupta pace, quam cum despotis habebat, in Peloponnesum duxit, eamque, pulsis despotis, totam occupavit, sicut etiam reliquam partem Serviæ, ejus despota cum matre fugato, imperio suo subjecit. Chium et Lesbum insulas citra bellum sibi tributarias fecit: ac Lesbo quidem mox universa potitus est. Deinde Cyprum aggressus, cum ejus rege de tributo sibi solvendo pactum iniit atque ita recessit. Mox alia classe comparata et contra Rhodum ducta, re infecta inde rediit, amissis non paucis militibus, quoniam classis ex Italia auxilio venerat. Ipse ira et cupidine æstuans Italos ulciscendi, classem ingentem multis instructam peditibus et equitibus in Calabriam et Apuliam misit, atque in itinere Zacynthum et Cephaleniam vectigales fecit. Appulsa classe ad Calabriam, oppidum Apuliæ Hydruntem obsedit cepitque, atque aliis quibusdam oppidis occupatis, ultra processit. Ac, nisi Deus eum, quibus solet rationibus, e vivis abstulisset, ærumnæ nostris pares subeundæ Itali fuissent. Comperta ejus morte in Italia, satrapæ et duces classis atque exercitus sub conditionibus quibusdam oppida restituerunt et ex Italia recesserunt. Res in Calabria igitur ita evenerant. Regnavit au-

Digitized by Google

σεως τὰ φρούρια ἀφέντες ἐκ τῆς Ἰταλίας ἀνεχώρησαν· καὶ οὕτως τὰ ἐν τῇ Καλαβρίᾳ γεγόνασιν. Ἐβασίλευσεν δὲ ἔτη δύο καὶ τριάκοντα, καὶ δέκα βασιλείας ὑπέταξε καὶ ἐδούλωσε, καὶ διακοσίας πόλεις ἐκ τῶν Χριστιανῶν ἔλαβε. Πέντε δὲ διαλέκτους, χωρὶς τῆς αὐτοῦ, ὀρθῶς ὡμίλει, Ἑλληνικήν, Λατινικήν, Ἀραβικήν, Χαλδαϊκὴν καὶ Περσικήν. Λίαν ἦν εὐφραινόμενος ὁμιλεῖν καὶ διαλέγεσθαι μετὰ σοφῶν καὶ συνετῶν ἀνδρῶν· διὰ τοῦτο καὶ τὸν πατριάρχην κὺρ Γεννάδιον ἠγάπα καὶ ἤκουεν αὐτοῦ καὶ συχνάκις ὡμίλει αὐτῷ. Ἔλεγε δὲ ὅτι ἐκ τῆς τῶν ἄστρων κινήσεως ἐγνώριζεν ὅτι βασιλεῖς ἔμελλεν ὑποτάξαι καὶ πολλοὺς τόπους δουλῶσαι καὶ οὕτως ἐγένετο.

Καὶ οὕτως μὲν, καθὼς ἱστορήσαμεν κατ' ἐπιτομὴν, ἡ ἀρχὴ τοῦ γένους τοῦ ἀμηρᾶ Ὀθμάνου καὶ τῶν ἐξ αὐτοῦ ἀπογόνων **96** ἄχρι καὶ τοῦ Μεεμέτη ἀμηρᾶ ἐν ταῖς ζωαῖς αὐτῶν μάχας καὶ πολέμους καὶ νίκας ἐπολιτεύθησαν καὶ ἐποίησαν. Ἡμεῖς δὲ τῆς τῆς ἱστορίας ὁδοῦ κατὰ τάξιν αὖθις ἀρξώμεθα.

λγ'. Ἐν δὲ τῷ Ἰουλίῳ μηνὶ τοῦ ,ςϑκα' ἔτους ἐξῆλθεν ἀπὸ τῆς πόλεως ὁ βασιλεὺς κὺρ Μανουὴλ. Ἀπελθὼν εἰς τὴν νῆσον Θάσον ἐπῆρεν αὐτὴν ἐν μηνὶ Σεπτεμβρίῳ τοῦ ,ςϑκβ' ἔτους· καὶ αὖθις ἐκεῖθεν ἀπῆλθεν εἰς τὴν Θεσσαλονίκην, εἶτα εἰς τὸν Μωρέαν, ἔνθα ᾠκοδόμησε τὸ Ἑξαμίλιον ἐν ἐκείνῳ τῷ τόπῳ ὅπου καὶ ἐν ἑτέροις καιροῖς ᾠκοδομήθη, ὅταν ὁ Ἀρταξέρξης ὁ βασιλεὺς περάσας ἐκ τῆς Ἀσίας μετὰ τοῦ μυριαριθμήτου ἐκείνου στρατοῦ ἦρχετο κατ' αὐτῶν. Εἶτα διὰ τὸ μάκρος τοῦ καιροῦ τὸ τὰ πάντα δαμάζον καὶ ἀνεπιμέλητον ἀφεθὲν διεφθάρη· ἐκ δευτέρου δὲ κτισθὲν ἦν παρὰ τοῦ ἐν βασιλεῦσιν ἀειμνήστου μεγάλου Ἰουστινιανοῦ, οὐχ ὑπὲρ ἀνάγκης (ὅτι αὐτὸς γὰρ σχεδὸν εἰπεῖν τὸν κόσμον ἅπαντα ὑπέταξε), ἀλλὰ μόνον ἐφάνη αὐτῷ καλόν· ἐπεὶ καὶ ἄλλας ἑτέρας κτίσεις καὶ οἰκοδομὰς ἐποίει, τὴν Ῥωμαίων ἀρχὴν καλλωπίζων, ἔδοξεν αὐτῷ καὶ ἡ κτίσις τοῦ Ἰσθμοῦ. Προστάξας ἐγένετο ἐν τῷ τόπῳ ἔνθα ἔν τινι καιρῷ καὶ ὁ πατρίκιος Νικήτας ὁ ἐπονομαζόμενος Ὀρειφᾶς τὰς νῆας ἤγουν τὰς τριήρεις **97** τὰς Ῥωμαϊκὰς διὰ τῆς ξηρᾶς τοῦ Ἰσθμοῦ ἐκ τῆς Ἑλλαδικῆς θαλάττης εἰς τὴν δυτικὴν περάσας τοὺς Κρῆτας Ἀγαρηνοὺς ἐτροπώσατο. Ἀλλὰ πῶς καὶ διὰ τί τὸ αὐτὸ μέγα στρατήγημα καὶ ἔργον περιφανὲς καὶ ἄξιον μνήμης ἐγεγόνει, οὐκ ἐγκαταλείψω, ἀλλὰ τῇ ἡμετέρᾳ ἐνώσω διηγήσει, ἔτι δὲ καὶ πῶς ἡ νῆσος Κρήτη καὶ τίνι τρόπῳ ὑπὸ τὴν ἐξουσίαν τῶν Ἀγαρηνῶν ἔτυχε γενέσθαι, καὶ αὖθις πῶς ὑπὸ τὴν ἐξουσίαν Ῥωμαίων ἐγένετο, καὶ πῶς ὑπὸ τὴν ἐξουσίαν τῆς γερουσίας τῶν Ἐνετῶν ἐνέπεσε. Καὶ πάλιν τοῦ ἡμετέρου ἔργου ἀψώμεθα καὶ τὸν πλοῦν τῆς νέας ἱστορίας ποιήσωμεν.

λδ'. Οἱ τοῦ καταράτου Μωάμεθ ἀπόγονοι διάδοχοί τε καὶ κληρονόμοι τῆς αὐτοῦ ἀρχῆς πρῶτον μὲν τῆς τῶν Περσῶν ἀρχῆς ἐγκρατεῖς γενόμενοι καὶ Μηδίας καὶ Βαβυλῶνος καὶ Ἀσσυρίων κυριεύσαντες, ἤδη δὲ καὶ Αἰγύπτου καὶ Συρίας καὶ Ἀσσυρίας καὶ Παλαιστίνης καὶ Λιβύης καὶ Ἀφρικῆς καὶ μέρους οὐκ ὀλίγου ἐκ τῆς Εὐρώπης, μετὰ δέ τινα καιρὸν ἀλλήλοις στασιάσαντες, ἡ μία αὕτη μεγάλη ἀρχὴ εἰς πολλὰ διεμερίσθη, καὶ ἄλλον μὲν ἀρχηγὸν εἶχεν ἡ Περσία, ἄλλον δὲ ἡ Βαβυλών, ἕτερον δὲ τὰ τῆς Ἀσίας ἄνω καὶ κάτω μέρη· ἕνα μὲν ἀρχηγὸν εἶχεν ἡ Ταρσὸς,

nos duos et triginta ; acquisivit et subjecit sibi regna decem, et Christianis urbes ducentas eripuit. Quinque linguas præter suam probe noverat, Græcam, Latinam, Arabicam, Chaldaicam, Persicam. In congressibus et colloquiis cum hominibus eruditis ac prudentibus hilaris erat : quare etiam Gennadium patriarcham diligebat et audiebat frequenterque conveniebat. Dicebat, didicisse se ex astrorum conversionibus, se reges et loca multa subacturum esse : id quod sane evenit.

Tale igitur, quale paucis adumbravimus, Othmanis ameræ ejusque posterorum genus usque ad Mehemetem ameram fuit, eorumdemque, dum vixerunt, ista bella, pugnæ et victoriæ. Nunc ad interruptum historiæ ordinem revertamur.

33. Mense Julio anni 6921 imperator Manuel Cpoli discessit. Thasum insulam profectus, expugnavit eam mense Septembri anni 6922 ; inde rursus Thessalonicam abiit, deinde in Moream, ubi Hexamilium exstruxit eo loco, quo ante exstructum fuerat, quando Artaxerxes rex cum infinito illo exercitu ex Asia contra Græcos trajecit. Postea, cum diuturnitate temporis omnia consumentis et incuria hominum collapsum fuisset, instauratum erat a magno Justiniano, imperatore sempiterna colendo memoria, non quidem propter necessitatem aliquam, quandoquidem ei parebat orbis terrarum pene universus, sed quia laudabile esse susceptum ei videbatur : nam sicut alia quædam ædificia exstruxit, quibus ornabat imperium Romanum, ita Isthmum munire eidem placuit. Factum est jussu ejus in eo loco, in quo quondam patricius Nicetas, cognomento Oriphas, naves sive triremes Romanas per continentem terram Isthmi ex mari Græco in occidentale traxit fuditque Agarenos Cretenses. Quomodo autem et quare hoc præclarum strategema et perpetuo celebrandum facinus patratum fuerit, non prætermittam dicere, sed narrationi nostræ inseram ; item commemorabo, quo pacto Creta insula in potestatem Agarenorum venerit, et rursus, qua ratione ad Romanos redierit, et tandem sub Venetorum ditionem concesserit : tum denique ad institutum redibimus et recentioris historiæ filum pertexemus.

34. Exsecrandi Mohametis posteri et successores et imperii ejus hæredes, primum Persarum regno atque Media, Babylonia et Assyria potiti, deinde etiam Ægyptum, Syriam, Assyriam, Palæstinam, Libyam, Africam et Europæ regiones non paucas consecuti, aliquanto post discordes inter se facti sunt, unde unum illud magnum imperium in multa regna divisum est, et alium principem Persis nacta est, alium Babylo, alium superior et inferior Asia, alium Tarsus, alium Tyrus, alium Iconium, alium multis illa et præclaris rebus abundans Melitene

Digitized by Google

ἕτερον δὲ ἡ Τύρος, ἄλλον τὸ Ἰκόνιον καὶ ἕτερον ἡ Μελιτηνὴ ἡ τὰ πολλὰ καλὰ καὶ ἀγαθὰ ῥέουσα· ἕτερον δὲ τὸ Χαλέπι εἶχεν καὶ **98** ἄλλον ἡ Δαμασκὸς καὶ ἕτερον ἡ Αἴγυπτος καὶ ἄλλον ἡ Λιβύη, καὶ ἡ Ἀφρικὴ ἕτερον, καὶ ἕτερον ἐν τῇ Εὐρώπῃ ἡ Ἰβηρία εἶχεν, ἡ λέγεται Ἱσπανία. Καὶ πρὸς ἀλλήλους οἱ γειτνιῶντες καθ' ἑκάστην διαφορὰς εἶχον ἀναμέσον αὐτῶν φυομένας καὶ ἐμάχοντο. Οἱ δὲ τὴν Ἱσπανίαν οἰκοῦντες Ἀγαρηνοὶ εἰς πολυανθρωπίαν ἐλθόντες, καὶ ἦν ἐκατῴκουν γῆν λυπρὰν καὶ μετρίως εὐδαίμονα ὁρῶντες καὶ διὰ τοῦτο τρέφειν αὐτοὺς μὴ δυναμένην, προσῆλθον τῷ ἄρχοντι αὐτῶν Ἀποχάψ ἀμερμουνῇ καὶ μετανάστασιν ἀπῄτουν γενέσθαι αὐτοῖς, πολλὰ στενοχωρούμενοι λέγοντες, καὶ τῶν ἀναγκαίων ἐσπάνιζον. Ὁ δὲ μετὰ χαρᾶς τὸν λόγον δεξάμενος, νῆας μακρὰς εὐθὺς ἐπισκευάσας καὶ δύναμιν ἐξ αὐτῶν ἐμβιβάσας, ἐπὶ λῃστείαν ἔχων τὴν ἔννοιαν, πρὸς τὰς ἐν τῷ Αἰγαίῳ κειμένας νήσους, ἐτράποντο καὶ πολλὰ ἐποίουν ταῖς νήσοις, οὐδένα εὑρίσκοντες ἀντιπαρατασσόμενον· πᾶσαι γὰρ ἦτουν βοήθειαν καὶ οὐκ ἐλάμβανον διὰ τὸ τὸν βασιλέα Ῥωμαίων Μιχαὴλ τὸν Τραυλὸν περισπώμενον εὑρίσκεσθαι ἐν ἐμφυλίοις πολέμοις. Διὰ τοῦτο πολλὰ κέρδη ἐκ πασῶν τῶν νήσων ἐκαρποῦντο. Ἔφθασε δέ ποτε καὶ ἕως τῆς Κρήτης, καὶ ταύτην καταδραμὼν καὶ ἀνδραποδισάμενος ὡς ἕνι, καὶ τὴν τῆς νήσου καταμαθὼν ἀρετὴν καὶ χάριν, ἔφη πρὸς τοὺς ὑπηκόους· « Ἰδοὺ γῆ **99** ῥέουσα γάλα καὶ μέλι. » Καὶ ταῦτα ὁ βάρβαρος εἶπε περὶ τῆς Κρήτης· ὁ δὲ ποιητὴς ταύτην ἐγκωμιάζων φησί· « Κρήτη τιμήεσσα τιθήνη Διός, ἣ τὸ μέγεθος περιούσιον, πολλή τε λιπαρά τε καὶ

A εὔβοτος. » Καὶ οὐδὲν πλέον ἔφη αὐτοῖς, καὶ οὕτω τὸν στόλον ἐμπλήσας παντὸς ἀγαθοῦ πρὸς τὴν Ἱσπανίαν ἐπανέστρεψεν. Ὡς δὲ ὁ χειμὼν παρῆλθε καὶ τὸ ἔαρ ἐπέλαμψε, τεσσαράκοντα νῆας πληρώσας ἀνδρῶν μαχίμων καὶ ἄνεμον ἐπιτήδειον τηρήσας πρὸς Κρήτην τὸν πλοῦν ἐποίησε, τὰς ἄλλας τῶν νήσων παρατρέχων. Φθάσας δὲ ἐν τῇ νήσῳ ἐν ἀκρωτηρίῳ τῷ λεγομένῳ Χάρακι προσορμίζεται, καὶ οὐδὲν οὔτε κατὰ τὴν ἀπόβασιν οὔτε κατὰ τὴν ἀγωγὴν ἐφάνη πολέμιον. Ἐλθὼν δὲ πορρωτέρω σταδίων ὡς ἑκατὸν καὶ πῦρ ἐμβαλὼν τὰς νῆας πάσας κατέφλεξεν, οὐδεμιᾶς φεισάμενος. Ὁ δὲ στρατὸς ταραχθεὶς ἐπὶ τὸ πραχθὲν καὶ καταπληγέντες τὴν αἰτίαν ἐπηρώτων, ἐλθόντες καὶ εἰς λόγους νεωτερικούς. Αὐτὸς δὲ μανεὶς ἀκούων εἶπεν· « Ὑμεῖς τούτων αἴτιοί ἐστε, ἀποικίαν ζητοῦντες καὶ γῆν ἀγαθήν. » Ἐμοὶ δὲ ταύτης ἑτέρα οὐ νενόμισται κρείττων· καὶ ἐνταῦθα ἦλθον ἵνα τὰς ὑμετέρας θελήσεις καὶ ὀρέξεις πράξω. Καὶ τὰ νῦν, μὴ εἰδότες ἃ ἐγὼ ποιῶ, φλυαρεῖτε. » Οἱ δὲ ἀκούσαντες ἐσίγησαν· Ὡς δὲ γυναικῶν καὶ τέκνων ἐμέμνηντο καὶ φιλτάτων τινές, εἶπεν αὐτοῖς· « Ὧδε ὡραῖαι γυναῖκές εἰσι, καὶ παῖδας ποιήσετε. » Εἶτα τάφρον ὤρυξαν βαρεῖαν καὶ χάρακα περιέπηξαν **100** (ὅθεν καὶ ὁ τόπος τὴν ἐπωνυμίαν λαβὼν σώζει τὴν προσηγορίαν, Χάνδαξ ὀνομαζόμενος) κἀκεῖσε διενυκτέρευον. Μαθὼν δὲ ὁ βασιλεὺς Μιχαὴλ μετ' ὀλίγον τὰ ἐν τῇ Κρήτῃ πραττόμενα ὑπὸ τῶν Σαρακηνῶν, παρὰ Φωτεινοῦ πρωτοσπαθαρίου καὶ στρατηγοῦ τῆς Κρήτης, ὃς δύναμιν ἱκανὴν αὐτῷ στεῖλαι ἵνα τοὺς ἐχθροὺς ἀποσοβήσῃ· καὶ Δαμιανόν τινα κόμητα τοῦ βασιλικοῦ ἱπποστασίου μετὰ πολλῆς δυνάμεως καὶ πα-

alium Chalepi, alium Damascus, alium Ægyptus, alium Libya, alium Africa, alium in Europa Iberia, quæ Hispania dicitur. Itaque factum est, ut vicini, quotidie exoriendis inter eos controversiis, ad pugnas descenderent. Hispaniam qui incolebant Agareni, numero aucti, cum regionem, quam habitabant, steriliorem, nec admodum felicem esse ideoque alendis sibi haud sufficere viderent, Apochapem amermunem, principem suum, adierunt, rogantes, ut sedes mutare sibi liceret, ut qui valde premerentur angustiis et rebus tuendæ vitæ necessariis egerent. Ille, petitione lætatus, statim naves longas ædificandas curavit, et piraticæ faciendæ consilio manum iis idoneam imposuit, quæ ad Ægæi maris insulas conversa, multis eas calamitatibus afflixit, cum nemo esset, qui resisteret. Omnes auxilium flagitabant, nec nunciscebantur tamen, quoniam Michael Balbus, imperator Romanus, bellis civilibus distrahebatur. Itaque illi ex omnibus insulis commoda sibi multa comparabant. Cum aliquando ad Cretam usque venisset, eamque, quantum poterat, pervagatus et populatus esset, comperta bonitate et fertilitate insulæ, ad suos conversus : « En terra, inquit, fluens lacte et melle. » Hæc barbarus de Creta : quam poeta his verbis commendavit : « Creta, honorata nutrix Jovis, insignis magnitudine, ubertate et pascuorum abundantia. » Nullo

B

C

D

verbo prætorea addito, cum classe, omni rerum genere repleta, in Hispaniam revertit. Postquam autem hiems exiit et instabat verna tempestas, quadraginta naves strenuis bellatoribus complet, ventumque nactus secundum, Cretam cursu petit, cæteris insulis prætermissis. Ubi advenit, ad promontorium, cui nomen Charax, appellitur : nec ei quidquam vel descendenti, vel populanti hostile comparuit. Progressus stadia circiter centum, naves ad unam omnes, injecto igne, comburit. Ea re conturbati et obstupefacti milites, causam sciscitabantur, voces etiam seditiosas immiscentes. Ille iratus, « Vos, inquit, hujus rei causa estis, qui coloniam quæritis et terram beatam : namque mihi nulla hac melior esse videtur, et huc vela feci, ut vestræ satisfacerem voluntati. Itaque inscii, quæ ego agam, ista blateratis. » His auditis, conticuerunt. Cum autem nonnulli uxores et liberos commemorarent, occurrit iis : « Hic sunt formosæ feminæ, e quibus liberos procreabitis. » Deinde fossa profunde ducta et χάραξι, id est vallo communita (unde ductum nomen Chandax locus hodieque servat), ibidem noctem transegerunt. Imperator Michael brevi post de iis quæ in Creta a Saracenis agerentur, per Photinum protospatharium et præfectum Cretæ certior factus, qui copias sibi mitti voluit, quibus hostes dispelleret, Damianum quemdam, comitem stabuli impera-

Digitized by Google

ρασκευῆς ἀπέστειλεν ὁ βασιλεὺς ἐν τῇ Κρήτῃ εἰς βοήθειαν τοῦ στρατηγοῦ Φωτεινοῦ, καὶ ἑνωθέντες μετὰ τῶν Ἀγαρηνῶν οὐδὲν χρήσιμον αὐτοῖς τέλος ἐγεγόνει· προσβολῆς δὲ γενομένης ὁ Δαμιανὸς καιρίως πληγεὶς καὶ τοῖς λοιποῖς τροπῆς γέγονεν αἴτιος, καὶ ὁ Φωτεινὸς μόλις ἐν δρόμωνι διασώζεται καὶ τῷ βασιλεῖ ἄγγελος γίνεται. Ἐγεγόνει δὲ αὐτὸς ὁ πόλεμος καὶ ἡ προσβολὴ μακρόθεν, ἔνθα ἡ πόλις τοῦ Χάνδακος ᾠκοδόμηται, ὡσεὶ σταδίους εἴκοσι, πρὸς τὰ μέρη τοῦ τόπου τοῦ λεγομένου Ἀλμυροῦ, ἐν ἔτει ,ϛτμ'. Καὶ πάλιν τοῖς Ἀγαρηνοῖς οὐ διέλιπον φροντίδες καὶ λογισμοὶ καὶ δειλία καὶ ταραχὴ καὶ μέριμνα. Καὶ αὐτῶν οὕτως ἐχόντων μοναχός τις ἐκ τῶν ὀρέων τῆς νήσου ἐπικαταβὰς ἁμαρτάνειν ἔφησεν οἳ ἀσφαλῶς ὑπολαμβάνουσι κατοικήσειν οἰκοδομήσαντες ἐν τῷδε τῷ τόπῳ· καὶ ἅμα λέγων τόπον δεξιὸν καὶ εὐφυῆ πρὸς πᾶσαν εὐετηρίαν ὑπέδειξε. Καὶ ἐν τούτῳ φρούριον **101** ἱδρύσαντες καὶ καλῶς ἀκροπολίσαντες, ὃ καὶ Χάνδακα ὠνόμασαν, καὶ ἐκ τούτου ὁρμώμενοι τὴν ὅλην νῆσον κατέτρεχον καὶ τὰς λοιπὰς πάσας πόλεις τῆς νήσου ἐδούλωσαν, πλὴν τῆς Γορτύνης καὶ Κυδωνίας. Καὶ οὕτως μὲν ἡ Κρήτη ἡ μία τῶν περιφήμων ἑπτὰ μεγάλων νήσων ἑάλω ὑπὸ τῶν Ἱσπανῶν Σαρακηνῶν. Καὶ αὖθις μετὰ ἔτος ἓν ὁ βασιλεὺς Μιχαὴλ ἕτερον στόλον ἐκπέμπει κατ' αὐτῶν, καὶ οὐδὲν ἄξιον ἔργον ἐποίησαν· καὶ οἱ Σαρακηνοὶ τοῦ λοιποῦ ἀμερίμνως διῆγον, καὶ πάσης τῆς νήσου κληρονόμοι καὶ κύριοι γεγόνασιν, καὶ πολλοὶ Χριστιανοὶ ὑπὲρ τῆς ὑγιοῦς ἡμῶν πίστεως τῷ καιρῷ ἐκείνῳ ἐμαρτύρησαν. Ἔστι δὲ ἡ νῆσος αὕτη ὀρεινὴ καὶ δασεῖα, ἔχει δὲ καὶ αὐλῶνας εὐκάρ-

πους· τὰ δὲ ὄρη αὐτῆς οὐκ ἐλάττονα τοῦ Ταϋγέτου ἐν τῷ ὕψει· ἔχει δὲ πόλεις παλαιὰς, πλείονας ἢ τῶν ἐννενήκοντα, μεγίστας δὲ καὶ ἐπιφανεστάτας τρεῖς, Κνωσσὸν, Γόρτυναν καὶ Κυδωνίαν. Ὧν ὁ Μῖνος ὁ βασιλεὺς Κρήτης, θαλαττοκρατῶν ποτε, τὴν νῆσον τριχῇ διελὼν, ἐν ἑκάστῳ μέρει κτίσας πόλιν, τὴν Κνωσσὸν κατάντικρυ τῆς Πελοποννήσου· αὕτη δέ ἐστι προσβόρειος. Οὗτος ὁ βασιλεὺς ὁ Μῖνος, ὡς ἱστορεῖται, πρῶτος τὴν Κρήτην ἐξημερώσας νομοθέτης ἐγένετο σπουδαῖος· διὸ λέγει καὶ ὁ ποιητὴς περὶ αὐτοῦ· « Διὰ τὴν ἄκραν δικαιοσύνην Μῖνος καὶ Ῥαδάμανθος, Κρῆται ὄντες, ὑπὸ τοῦ Διὸς κριταὶ κατεστάθησαν **102** ἐν ταῖς τῶν μακάρων νήσοις. » Καὶ ταῦτα περὶ τοῦ Μίνωος. Ἡ δὲ Γόρτυνα κεῖται ἐν πεδίῳ πρὸς τὸ Λιβύης πέλαγος, ἀπέχει δὲ τῆς θαλάττης σταδίους ἑξήκοντα, παλαιόθεν μὲν τετειχισμένη, ὕστερον δὲ ὑπὸ τοῦ καιροῦ τὰ τείχη φθαρέντα ἡ πολιτεία αὐτὴ ἤθελον πάλιν τειχίσαι, καὶ ἀρχὴν λαβοῦσα κτίσαντες τεῖχος στάδια ὀγδοήκοντα, καὶ στάσεως γενομένης ἀναμέσον τὸ ἔργον ἀτελὲς διέμεινεν. Ἡ δὲ Κυδωνία μεγίστη τὴν προσθήκην ἦν, κεῖται δὲ αὕτη ἡ πόλις πρὸς τοῖς ἑσπερίοις τῆς νήσου πέρασι, τὰ δὲ ὄρη τὰ ἐγγὺς αὐτῆς τὰ ὑψηλὰ Τίτυρος καλοῦνται· ἵδρυται δὲ ἐπὶ θαλάσσης, βλέπουσα πρὸς τὴν Λακωνικὴν πεδιάδα, ἀγαθὴ καὶ λίαν πανεύμορφος καὶ πολλὰ κύκλωθεν ἔχουσα. Λοιπὸν εἰς τρία ἡ νῆσος, ὡς προείπομεν, μεμέρισται, καὶ τὸ μὲν πρὸς ἡῴαν μέρος ἐν τοῖς τῆς Γορτύνης μέρεσι Δωριεῖς ἐκάλουν, τὸ δὲ νότιον Ἐτεόκρητας, ἐν ᾧ ἔστι καὶ τὸ πολίχνιον Πράσου. τὸ δὲ δυτικὸν μέρος Κύδωνας· καὶ ἀναμέσον αὐτῶν πολλάκις μάχαι καὶ πόλεμοι

torii, cum ingenti exercitu et apparatu in Cretam ad illum adjuvandum misit. Verum enimvero, conjunctis licet viribus, nihil adversum Agarenos profecerunt. Quippe prœlio commisso, Damianus, plaga mortifera vulneratus, etiam reliquis causa fugæ fuit, et Photinus in equo veloci ægre servatus, rei nuntium imperatori attulit. Facta est hæc pugna loco ab urbe Chandace stadiis circiter viginti dissito, cui nomen Almyri est, anno mundi 6340. Rursum Agarenos non deficiebant curæ, cogitationes, timor, perturbatio et angor ; atque ita illis affectis, monachus quidam e montibus insulæ descendit et errare illos affirmavit, si eo in loco collocatis sedibus, secure se posse habitare existimarent ; simulque locum idoneum et ad omnem ubertatem accommodatum demonstravit. Ibi oppidum exstruxerunt et arce bene communiverunt, cui Chandacis nomen datum est : unde progressi, totam insulam incursabant, omnesque urbes ejus, præter Gortynam et Cydoniam, in ditionem suam redegerunt. Hoc igitur modo Creta, una ex septem nobilioribus insulis, ab Hispanis Saracenis occupata est. Uno anno post rursus Michael imperator aliam classem adversus eosdem misit, quæ tamen nihil memorabile gessit. Jam Agareni curis omnibus soluti vixerunt totaque insula sunt potiti : ac multi Christiani pro sana fide nostra illo tempore martyrium tulerunt. Est autem

hæc insula montana et silvosa atque valles fertiles habet : montes altitudine Taygeto non cedunt. Habet urbes antiquas supra nonaginta, atque in primis magnas et nobiles tres, Cnossum, Gortynam et Cydoniam, a Minoe, Cretensium rege, qui imperium maris olim tenebat, exstructas : qui, in tres partes insula divisa, in qualibet parte unam condidit, et Cnossum quidem e regione Peloponnesi et ad septentrionem. Hunc regem proditum est primum Cretam litteris excoluisse et legibus studiose moderatum esse : unde poeta dicit : « Propter summam justitiam Minos et Rhadamanthus, Cretenses genere, a Jove in beatorum insulis judices constituti sunt. » Hæc de Minoe. Gortyna in planitie sita mare Libycum spectat, a quo abest stadiis sexaginta. Antiquitus muris cincta erat, quos, injuria temporis labefactatos, magistratus instaurare cœperunt, sed ad octo stadia productos, exorta seditione, reliquerunt inchoatos. Cydonia incrementis, quæ paulatim cepit, maxima fuit, in occidentalibus finibus insulæ posita. Alti montes, qui in vicinia sunt, Tityri nomen habent. Ad mare sita est, et Laconicam spectat, egregia et mirifice elegans et ampla in circuitu. Cæterum in tres partes, ut diximus, insula divisa est : partem versus orientem circa Gortynam Dorienses nominarunt ; australem partem Eteocretenses, in qua etiam Prasus oppidulum est ; occidentalem Cy-

Digitized by Google

ἐγίνοντο. Λέγουσι δὲ καὶ τοῦτο περὶ τῆς Κρήτης, ὅτι διὰ τὸ τῆς νήσου τραχὺ οὐκ ἐδύναντο μετὰ ἁμαξῶν προσβολὰς ποιεῖν καὶ ἀκοντίζεσθαι, καὶ πρῶτον διὰ τοῦτο ἔφιπποι οἱ Κρῆτες ἔδειξαν μάχεσθαι.

Κύριοι δὲ γεγονότες τῆς τοιαύτης μεγάλης νήσου τρόπον **103** ὃν ἔφημεν οἱ Ἀγαρηνοί, καὶ νῆας μακρὰς ποιήσαντες, καὶ θαλασσοκρατοῦντες, νεωστὶ τὸν Μίνωα μιμούμενοι, λῃστεύοντες ἦσαν καὶ τὰς Κυκλάδας νήσους ἐλῄζον καὶ πολλὴν φθορὰν εἰς τοὺς Χριστιανοὺς καθ' ἡμέραν ἐποίουν. Χρόνων δὲ παραδραμόντων τεσσαράκοντα καὶ ἑπτά, ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ Μακεδόνος, Σαὴλ Ἀπόχαψ ὁ ἀρχηγὸς Κρήτης, υἱὸς τοῦ ἀμερμουνῆ Ἀπόχαπος τοῦ τὴν Κρήτην κερδήσαντος, αὖθις αὐτὸς λῃστρικὰς νῆας μακρὰς οἰκονομήσας, ἃς ἤδη γαλέας κατονομάζειν εἰώθασιν ἤτοι τριήρεις, τὸν ἀριθμὸν ὡσεὶ τριάκοντα (κωπαρίων εἶχοσι καὶ δύο ἑκάστη αὐτῶν), καὶ ἑτέρας νῆας λῃστρικὰς, ἐξορμήσας ἐκ τῆς Κρήτης, τὰς ἐν τῷ Αἰγαίῳ πελάγει νήσους ἐλῃΐσατο, εἶτα καὶ αὐτὴν τοῦ Πέλοπος νῆσον κατέβαλε καὶ τὰς κάτωθεν αὐτῆς νήσους ἐλύπει, Ζάκυνθόν τε καὶ Κεφαληνίαν. Ἐμηνύθη δὲ τοῦτο τῷ βασιλεῖ διὰ ταχυδρόμου, καὶ ἐξαρτίσας στόλον ἱκανὸν στέλλει κατ' αὐτῶν, καταστήσας δρουγγάριον τῆς αὐτῆς ναυτικῆς δυνάμεως τὸν πατρίκιον Νικήταν, ἄνδρα δεινὸν καὶ δραστηρὸν καὶ ἔμπειρον παντὸς πολέμου, ὑδραίου τε καὶ χερσαίου, ὃς μηχανὰς εἶδεν ὡς οὐχ ἕτερος. Πνεύσαντος δὲ ἀνέμου βορείου ἡδίστου δι' ὀλίγων ἡμερῶν καταλαμβάνει τὴν Πελοπόννησον. Καὶ φθάσας ἐν τῷ λιμένι τῶν Κεγχρεῶν, ὡς εἴρηται, μαθὼν δὲ ὅτι αἱ τῶν ἐχθρῶν τριήρεις τὰ δυτικώτερα μέρη τῆς Πελοποννήσου λῃΐζουσι, Μοθώνης καὶ Πύλου **104** καὶ Γλαρέντζας καὶ Πάτρας, καὶ τὰ ἕτερα ἐκεῖθεν χωρία, βουλὴν βουλεύεται ἐν τῇ διανοίᾳ συνετὴν καὶ σοφήν. Καὶ ἦν ἡ βουλὴ καὶ ὁ λόγος ἔργον εὐθύς· ἱλιγγιάσας γὰρ περιοδεῦσαι τὴν Πελοπόννησον διὰ Μυρμιδόνων καὶ Ἐπιδαύρου καὶ Μαλέου καὶ Νεταρίου, διὰ δυσκόλου πλοῦ καὶ χιλίων μιλίων μῆκος τηνάλλως ἀναμετρήσας τε καὶ προσήκοντος ὑστερήσας καιροῦ, ὡς εἶχεν, εὐθὺς τῇ αὐτῇ νυκτὶ διὰ τοῦ Κορινθιακοῦ ἰσθμοῦ πολυχειρίᾳ χρησάμενος πρὸς τὴν ἐκεῖθεν δυτικὴν θάλασσαν, πλησίον τοῦ ὀρύγματος ὅπου τὸ τοῦ ἰσθμοῦ τεῖχος ἐγεγόνει, κατὰ τὸ ξηρὸν διαβιβάζει τὰς νῆας. Ἐμβιβάσας δὲ λαὸν καὶ ἄνδρας μαχίμους συντόμως ἐν αὐταῖς ὑπὲρ τὸ ἀρκετὸν, ὅσον ἦν δυνατὸν, ἔργου εἴχετο. Καὶ μηδὲν ἐλπίζοντες οἱ πολέμιοι Κρῆτες (ἐπὶ Μαλέου γὰρ εἶχον τὰς ἡμεροσκόπους καὶ νυκτοσκόπους ταχεῖς νῆας φυλάττειν, ἐάν τις στόλος Ῥωμαϊκὸς ἔλθῃ κατ' αὐτῶν), οὕτως αἰφνιδίως ἐπιτίθεται αὐτοῖς, καὶ συγχύσας καὶ συνταράξας αὐτοὺς, εἰς φυγὴν ἐτράπησαν. Τὰς μὲν οὖν πυρπολήσας τῷ ὑγρῷ πυρὶ, τὰς δὲ καταποντίσας, τὰς δὲ ζωγρήσας τῶν πολεμίων νηῶν, τοὺς δὲ βαρβάρους τοὺς μὲν ἀνελὼν τῷ ξίφει τοὺς δὲ ὑποβρυχίους ποιησάμενος, καὶ τὸν ναυάρχην καὶ αὐθέντην αὐτῶν ἀνελὼν, τοὺς λοιποὺς διασκεδασθῆναι κατὰ τὴν νῆσον ἠνάγκασεν· εἶτα αὐτὸς πάντας ζωγρήσας καὶ σαγηνεύσας διαφόροις τιμωρίαις ἐνέβαλε. Καὶ **105** οὕτως οἱ Κρῆτες Ἀγαρηνοὶ ἰδόντες ἐδειλίασαν, τὰς τῶν Ῥωμαίων στρατηγίας καὶ μηχανὰς θαυμάζοντες· καὶ τὴν τοιαύτην ἀπώλειαν ἐξαίφνης παθόντες, φοβηθέντες

donenses. Inter hos sæpe bella et prœlia commissa sunt. Tradunt etiam hoc de Creta, propter asperitatem soli non potuisse in ea cum curribus impetus fieri et jaculari, unde Cretes primi ex equis pugnarint.

Potiti igitur magna hac insula eo, quo diximus, modo Agareni, navibus longis exstructis et vindicato sibi imperio maris, ad Minois exemplum piraticam exercebant et Cycladas insulas populabantur et multam quotidie perniciem Christianis inferebant. Post annos septem et quadraginta, imperante Basilio Macedone, Sael Apochaps, Cretæ princeps, ejus, qui Cretam occupavit, Apochapis amermunis filius, denuo naves piraticas, quas nunc galeas sive triremes nominare solent, numero fere triginta et remigibus viginti duobus instructas, atque alias naves prædatorias comparavit: deinde e Creta progressus, insulas maris Ægæi populatus est, ipsamque adeo Peloponnesum invasit, et insulas infra eam sitas, Zacynthum et Cephaleniam, vexavit. Qua re imperatori per faselum nuntiata, idoneam is classem adversus illos misit, drungario facto Niceta patricio, viro prudenti et strenuo ac scienti omnis rei bellicæ, tum terrestris tum navalis. Idem bellicarum artium peritus erat, ut nemo supra. Flante lenissimo borea, paucis diebus in Peloponnesum pervenit. Delatus in portum Cenchrearum, ut dictum est, cum hostium triremes occidentales partes insulæ, Mothonen, Pylum, Glarentzam, Patras et reliqua illius regionis loca populari audivisset, consilium animo cepit prudens et callidum. Atque consilium et verbum statim excepit ipsa res. Cum enim horreret circumire Peloponnesum per Myrmidones, Epidaurum, Maleam et Netarium, ne navigationem molestam subiret aut, mille milliarium longitudinem nequidquam emensus, adveniret sero, statim illa ipsa nocte, multorum usus opera, per Isthmum Corinthiacum ad occidentale mare, prope fossam, ubi murus Isthmi erat, per terram naves transfert. Imposito confestim strenuorum militum numero majori, quam satis erat, operi, quantum poterat, incumbebat, atque nihil tale sperantes Cretes hostes, qui ad Maleam diu noctuque veloces habebant, quæ observarent, si qua Romanorum classis contra ipsos cursum tenderet, subito invadit, confusosque et turbatos in fugam vertit. Naves eorum partim igne Græco incendit, partim depressit, partim cepit; Barbaros ipsos aut gladio interemit, aut undis submersit, atque, occiso eorum duce et principe, reliquos per insulam ut se dissiparent coegit: quos tamen postea omnes comprehenso variis affecit suppliciis. His compertis, Agareni Cretenses terrore perculsi sunt, admirantes rei bellicæ peritiam artesque Romanorum; ac tali clade repente

Digitized by Google

καὶ δειλιάσαντες ἠρέμησαν τοῦ λοιποῦ καιρόν τινα καὶ φόρους τῷ βασιλεῖ Βασιλείῳ ἔταξαν δοῦναι.

Καιροῦ παρελθόντος ἐτῶν ὡσεὶ δέκα τὰ συνήθη αὐτῶν οἱ βάρβαροι πάλιν οὐκ ἔπαυον πράττειν καὶ ληΐζειν τὰς νήσους, καὶ τοὺς φόρους τοῖς βασιλεῦσι κατὰ τὰς ὑποσχέσεις ἠθέτησαν καὶ οὐκ ἔπεμπον. Ἐτῶν δὲ παρελθόντων ἑβδομήκοντα, ἐπὶ τῆς βασιλείας Ῥωμανοῦ τοῦ παιδίου, τρισεγγόνου τοῦ βασιλέως Βασιλείου τοῦ Μακεδόνος, ὁ βασιλεὺς Ῥωμανὸς στόλον ἱκανὸν καὶ ἀξιόλογον οἰκονομήσας καὶ προπαρασκευάσας στέλλει κατὰ τῶν ἐν τῇ Κρήτῃ Σαρακηνῶν, καταστήσας ἔξαρχον καὶ δεσπότην τῆς αὐτῆς δυνάμεως, ὑδραίας τε καὶ χερσαίου, τὸν μάγιστρον Νικηφόρον τὸν Φωκᾶν τὸν καὶ ὕστερον βασιλεύσαντα. Καὶ ἐλθὼν ἐν τῇ Κρήτῃ καὶ συμβαλὼν πολλάκις τοῖς Ἀγαρηνοῖς καὶ προσβολῆς γενομένης πάντοτε ὑπερεῖχεν ὁ στρατὸς τοῦ Φωκᾶ, καὶ οὐ δυνάμενοι ἀντιστῆναι οἱ Κρῆτες φόβῳ ληφθέντες ἔφυγον, καὶ τῶν φρουρίων ἐντὸς εἰσελθόντες ἐκλείσθησαν. Ὁ δὲ Φωκᾶς κατὰ πᾶσαν μηχανὴν πολιορκήσας πρὸς τειχομαχίαν ἐπιτήδειον τοῖς ἄστεσιν ἐπαγαγὼν, καὶ φοβερὸς φανεὶς τοῖς ἐναντίοις, ὑφ' ἑαυτὸν πᾶν φρούριον τῆς νήσου ἐποιήσατο καὶ τὴν μητρόπολιν
106 αὐτὴν Χάνδακα ἐξεπόρθησε, καὶ ἕτερά τινα πολίχνια ἅμα ὑπέκυπτε τῷ αὐτοῦ θελήματι· καὶ τὸν ἀρχηγὸν Κρήτης Κουρούπην καλούμενον ἐχειρώσατο, καὶ τὸν μετ' αὐτὸν ἄλλον πρωτεύοντα Ἀνεμᾶν. Καὶ ταῦτα πάντα κατορθώσας ὁ Φωκᾶς διὰ μηνῶν ἑπτὰ, καὶ τὴν νῆσον πᾶσαν τοῖς Ῥωμαίοις ἐποίησεν ὡς τὸ πρότερον, κρατουμένην ὑπὸ τῶν Ἀγαρηνῶν [illegible] ἔτη ρκδ'· ἀπεκατεστάθη δὲ πάλιν ὑπὸ τὴν ἐξουσίαν τῆς ἀρχῆς τῶν Ῥωμαίων διὰ τὰ ἀνδραγαθήματα τοῦ Φωκᾶ ἐν ἔτει ,ςτξη', Ἰνδικτιῶνος η'.

Ὁ δὲ Φωκᾶς στρατηγοὺς καὶ κυβερνήτας ἐν τῇ νήσῳ καταλιπὼν προστάξει βασιλικῇ ἐν τῇ Κωνσταντινουπόλει ἐπανέστρεψε, καὶ τοὺς θριάμβους αὐτῷ ἐποίησαν τῆς νίκης. Ἐστάθη δὲ ἡ νῆσος αὕτη ὑπὸ τὴν ἐξουσίαν τῶν Ῥωμαίων μέχρι τῆς βασιλείας Ἀλεξίου τοῦ Ἀγγέλου τοῦ τυφλώσαντος τὸν ἀδελφὸν καὶ τὴν βασιλείαν λαβόντος, ὡς ἐν τῇ ἀρχῇ τῆς ἡμετέρας ἱστορίας ἐρρέθη. Ἔπειτα μὲν τῶν Ἰταλῶν εἰς πολυμερίαν τὴν μοναρχίαν Ῥωμαίων κληρωσαμένων, καὶ τοῦ μὲν κόμητος Φλανδρίας Βαλδουΐνου βασιλέως ἀναγορευθέντος Κωνσταντινουπόλεως, τοῦ δὲ Ἐνρίκου Δαντούλου δουκὸς Βενετίας, ὃς καὶ αὐτὸς αὐτοτρόπως παρῆν, μερίδα οὐ μικρὰν ἔχειν ἐξ ὅλου πρὸς τὸ ὅλον, ὅσας χώρας τε καὶ τόπους τὸ
B τῶν Ἰταλῶν ἐκτήσατο γένος, τούτων ἔχειν τὸ τέταρτον καὶ τοῦ τετάρτου ἥμισυ, καὶ δεσπότης 107 παρὰ τοῦ βασιλέως τετίμηται· ὁ δὲ Δάβαλος πρίγκιψ Πελοποννήσου ἐγένετο, ὁ δὲ Ῥωμανὸς Δελατζιόλης, ὁ ἐκ Φλωρεντίας ὁρμώμενος, χρήματα ὀνησίσας τῷ συνδέσμῳ πολλὰ καὶ ἀναλώσας καὶ αὐτοτρόπως παρὼν ἦν, τὴν τῆς Ἀθήνας καὶ Θήβας μερίδα ἐπέτυχεν ἐνέχυρον. Καὶ οἱ Λιγούριοι ἤτοι Γενουβῖται ὁμοίως τὴν τῆς Εὐρίπου νῆσον καὶ ἑτέρων τόπων μοῖραν ἐνέτυχον· ὕστερον δὲ καὶ αὐτοὶ τοῖς Ἐνετοῖς τὴν Εὔβοιαν ἔδωσαν. Ἐπειδὴ καὶ ὁ Βονιφάτιος μαρκίων τοῦ Μοντεφερράτου ἀξιολόγῳ μοίρᾳ τὴν συμμαχίαν ἣν ἐνεγκάμενος καὶ κυβερνήτης παντὸς τοῦ χερσαίου στρατοῦ ἐγνωρίζετο, ῥῆξ
C Θεσσαλονίκης παρὰ τοῦ βασιλέως Βαλδουΐνου τετίμηται, καὶ ἡ νῆσος αὕτη τῆς Κρήτης μετὰ τῶν ἄλλων ἐν τῇ ἰδίᾳ μοίρᾳ ἐνέτυχε. Μετὰ δέ τινα κατ-

affecti, præ timore ac metu postea quieverunt aliquandiu, et imperatori Basilio tributa pendere statuerunt.

Exactis annis prope decem, Barbari non desinebant rursus solita sibi facere, sed populabantur insulas atque mittere recusabant promissa imperatoribus tributa. At annis post septuaginta imperator Romanus puer, Basilii Macedonis pronepos, classem non contemnendam contra Saracenos Cretenses misit, harum copiarum tum terrestrium tum navalium duce constituto Nicephoro Phoca magistro, eo, qui postea imperavit. Is in Cretam delatus et frequentibus prœliis cum Agarenis conflictatus, semper
D superior discessit; atque Cretenses cum illi resistere non possent, timore perculsi, in castella sese abdiderunt. Phocas omnes machinas urbibus expugnandis aptas mœnibus admovit, et incusso hostibus terrore, insulæ castella omnia in potestatem suam redegit, adeoque ipsum ejus caput, Chandacem, expugnavit: cum qua urbe alia quædam oppidula illius se permiserunt arbitrio. Idem cepit principem Cretæ, Curupem nomine, et dignitate illi secundum Anemanem. Confecit Phocas hæc omnia septem mensium spatio, ac tota insula Romanis, ut ante fuerat, restituta est, ab Agarenis annos 120 possessa. Revocata est virtute Phocæ sub imperium Romanum anno 6568, indictione 8. Phocas, ducibus et gubernatoribus navium in insula relictis, jussu imperatoris Cpolim rediit ac victoriarum suarum egit triumphos. Mansit insula in potestate Romanorum usque ad imperium Alexii Angeli, qui, excæcato fratre, regnum invasit, ut in principio historiæ nostræ docuimus. Deinde, cum Itali imperium Romanum in plures partes dividerent, et Balduinus, comes Flandriæ, imperator Cpolitanus salutatus est, Henrico Dandulo, Venetorum duci, qui et ipse sua sponte aderat, pars non mediocris de toto regno destinata est: obtinuit enim terrarum locorumque omnium, quæ Itali occupaverant, quadrantem unum et dimidium atque ab imperatore insuper dignitate despotæ ornatus est. Dabalus Peloponnesi princeps declaratus est, Romanus Delatzioles, Florentia oriundus, qui grandem pecuniam fœderatis principibus crediderat impenderatque, et ultro præsens aderat, Athenarum et Thebarum tractus pignori accepit. Ligures sive Genuenses Euripi insulam aliarumque regionum particulas sortiti, postea Venetis Eubœam dederunt. Bonifacius, marchio Montisferrati, cum manu non mediocri adjuvisset socios totiusque terrestris exercitus summus dux esset, rex Thessalonicæ ab imperatore Balduino creatus est et Cretam insulam cum aliis locis propriam accepit, sed mox eam Ve-

Digitized by Google

ρὸν ἐπεπωλήκει αὐτὴν τῇ τῶν Ἐνετῶν γερουσίᾳ, καὶ οὕτως ἄχρι εἰς σήμερον ὑπὸ τὰς χεῖρας αὐτῶν ἐστί.

Καὶ ταύτην τὴν ἱστορίαν τῷ λόγῳ ἡνώσαμεν τῷ ἡμετέρῳ βιβλίῳ εὑρίσκεσθαι· καὶ ἐπὶ τὴν τοῦ Ἰσθμοῦ οἰκοδομὴν ἐπανέλθωμεν.

λε'. Τῷ ,ςϑιγ' ἔτει, Μαρτίου ιγ', ὁ βασιλεὺς ἀπέσωσεν ἐν τῷ λιμένι τῶν Κεγχρεῶν ὀνομαζομένων· καὶ τῇ ὀγδόῃ Ἀπριλλίου ἤρξατο ἀνακαθαίρειν καὶ ἀνοικοδομεῖν αὐτὸν δὴ **108** τὸν Ἰσθμὸν, οὗπερ ἐστὶ τὸ μῆκος ἢ μᾶλλον εἰπεῖν τὸ εὖρος ἐκ μιᾶς θαλάττης εἰς τὴν ἑτέραν ὀργυιαῖς τρισχιλίαις καὶ ὀκτακοσίαις· τὸ δὲ μάκρος ἐκ τῆς χέρσου τῆς Ἑλλάδος ἤτοι τῆς Ἀττικῆς γῆς μετὰ τὸ καταβῆναι τὴν τραχεῖαν ὁδὸν τὴν λεγομένην Πλάγιον Κακὸν, ἕως τῆς πεδιάδος κάτωθεν φθάσαι, ἐν ᾧ τόπῳ ἦν κτισθέντα τὰ τείχη ταῦτα τοῦ Ἰσθμοῦ, στάδια τριάκοντα. Ἀπὸ δὲ τῶν τειχῶν τοῦ Ἰσθμοῦ ἕως τῆς Κορίνθου τοῦ ὑπὲρ νεφέλας φρουρίου βουνῶν καὶ τοῦ Ἰσθμοῦ τέλος στάδια ὑπάρχουσι πολλά. Ἔοικε δὲ ἡ Πελοπόννησος πλατάνου φύλλῳ εἰς πάντα, τοῦ δὲ φύλλου τὸ καῦλος ὁ Ἰσθμός ἐστιν. Ἀνέστησε δὲ πύργους ἐν αὐτῷ ἑκατὸν πεντήκοντα καὶ τρεῖς. Καὶ ἔν τινι μαρμάρῳ εὗρον γράμματα γεγραμμένα λέγοντα οὕτως· « Φῶς ἐκ φωτὸς, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ, φυλάξῃ τὸν αὐτοκράτορα Ἰουστινιανὸν καὶ τὸν πιστὸν δοῦλον αὐτοῦ Βικτωρῖνον καὶ πάντας τοὺς ἐν τῇ Ἑλλάδι οἰκοῦντας, τοὺς ἐκ Θεοῦ ζῶντας. »

Τῷ δὲ ,ςϑιδ' ἔτει, μηνὶ Μαρτίῳ, ἐπανέστρεψεν εἰς τὴν Κωνσταντινούπολιν ὁ βασιλεὺς καὶ ἡ μετ' αὐτοῦ οὖσα πᾶσα ἡ σύγκλητος, ἐν ᾧ μηνὶ μετὰ τὴν ἄφιξιν αὐτοῦ δὴ τοῦ βασιλέως ἀπέθανε καὶ ὁ πατριάρχης κὺρ Εὐθύμιος· καὶ τῇ κα' τοῦ Μαΐου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεγόνει πατριάρχης **109** κὺρ Ἰωσὴφ ὁ Ἐφέσου μητροπολίτης. Καὶ τῷ ,ςϑιε ἔτει ἀπῆλθεν εἰς τὴν Πελοπόννησον ὁ βασιλεὺς κὺρ Ἰωάννης ἐν καιρῷ φθινοπώρου, ἐν ᾧ δὴ καιρῷ τὴν Θεσσαλονίκην διερχόμενος τὸν πλαστὸν υἱὸν τοῦ Μπαγιαζήτου ἐκείνου τὸν Μουσταφᾶν, διωκόμενον ὄντα παρὰ τοῦ ἀμηρᾶ Ἀμουράτου τοῦ τάχα ἀδελφοῦ αὐτοῦ, ἐπῆρε, καὶ ἀποστείλας εἰς Λῆμνον, εἶτα εἰς Μιζιθρᾶν.

Ἐν δὲ τῷ χειμῶνι τοῦ αὐτοῦ ἔτους λοιμικῆς νόσου γενομένης ἐν τῷ Εὐξείνῳ πόντῳ ἤτοι ἐν τῇ Μαύρῃ θαλάσσῃ, καὶ πανσικὶ ὄντες ἔν τινι ἄστει τῶν ἐκεῖσε κεφαλατεύοντες ὁ γαμβρός μου Γρηγόριος Παλαιολόγος Μαμωνᾶς, ἀνὴρ ἄριστος, υἱὸς τοῦ μεγάλου δουκὸς Μαμωνᾶ τοῦ κυριεύοντός ποτε τῆς Μσνεμβασίας καὶ τῶν περὶ αὐτὴν, καὶ σὺν αὐτῷ ἡ ἀδελφή μου ἡ γυνὴ αὐτῷ οὖσα· καὶ ἓν παιδίον αὐτῶν θῆλυ, ὃ εἶχεν, ἀπέθανε, καὶ μετὰ τὰς ἑπτὰ ἡμέρας τῆς θανῆς τοῦ παιδίου ἀπέθανεν ὁ πατὴρ, καὶ πάλιν μετὰ ἑπτὰ ἡμέρας τῆς τούτου τελευτῆς ἐτελεύτησε καὶ ἡ μήτηρ, ἔτι δὲ καὶ ἐξ τῶν ὑπηρχειρίων αὐτῶν ἀνδρῶν τε καὶ γυναικῶν· καὶ δύο ἐξ αὐτῶν μόνοι ἐναπελείφθησαν, καὶ ἐλθόντες εἰς Κωνσταντινούπολιν εἶπον ἐν μιᾷ φωνῇ ταῦτα τοῖς ἀθλίοις μου γονεῦσι· καὶ ἐκ τῆς τοσαύτης θλίψεως καὶ ἀπαραμυθήτου λύπης ἐν ἀσθενείᾳ πεσόντες καὶ σχεδὸν εἰς κίνδυνον θανάτου **110** ἦλθον. Δι' ἣν αἰτίαν οὐκ ἦλθεν ὁ γεννήσας με, κἀγὼ εἰς τὴν

netorum senatui vendidit, in quorum hodieque ditione est.

Hanc igitur narrationem libro huic nostro intexendam putavimus ; revertamur nunc ad communitionem Isthmi.

35. Anno 6913, die Martii 13, imperator incolumis in portum Cenchrearum pervenit et 8 die Aprilis expurgare et instaurare Isthmum ipsum cœpit, cujus longitudo, sive, ut melius dicam, latitudo ab uno mari ad alterum orgyias ter mille et octingentas patet, longitudo a terra Græca vel Attica, postquam descenderis via aspera, quæ Πλάγιον Κακόν dicitur, donec in planitiem venias, quo in loco muri illi exstructi erant, stadia triginta ; a muris deinde usque ad Corinthi colles arcemque supra nubes eminentem et finem Isthmi stadia multa sunt. Peloponnesus folio platani simillima est, cujus caulem Isthmus refert. In eo exstruxit imperator turres centum quinquaginta tres. Invenerunt tum in marmore has litteras insculptas : « Lumen ex lumine, Deus verus ex Deo vero custodiat imperatorem Justinianum et fidelem ejus ministrum Victorinum et omnes Græciæ incolas qui vitam conformant ad voluntatem Dei. »

Anno 6914, mense Martio, imperator et, qui eum comitatus erat, procerum ordo universus, Cpolim redierunt : quo eodem mense, post illius adventum, excessit e vivis Euthymius patriarcha, in cujus locum die Maii 21 ejusdem anni surrogatus est Josephus, metropolita Ephesi. Anno 6915, autumnali tempestate, imperator Joannes, cum in Peloponnesum proficiscens, transiret Thessalonicam, Mustapham, spurium Bajazetis filium, quem Amurates ameras, frater ejus, persequebatur, recepit et in Lemnum indeque Mizithram misit.

Per hiemem ejusdem anni ad Pontum Euxinum sive Mare Nigrum sæviente pestilentia, cum in urbe quadam ejus regionis cum tota familia esset eamque regeret affinis meus Gregorius Palæologus Mamonas, filius magni ducis Mamonæ, ejus, qui aliquando Monembasiam cum finitimis oppidis administrabat, et apud eum esset soror mea, ejus uxor, eorum filia, quam unicam prolem habebant, exstincta est, et post filiolæ mortem die septimo obiit pater, rursumque post totidem dies etiam mater mortua est, et præterea sex domestici utriusque sexus, duobus tantum relictis, qui Cpolim profecti, uno ore miseris parentibus meis istum nuntium attulerunt. Hi ex magnitudine calamitatis et dolore solatii impatienti in morbum adeo non levem inciderunt, ut in periculum vitæ venirent. Qua de causa, cum pater meus esset præpeditus, ego cum Thoma principe in Peloponnesum profectus, illius fungebar officio in cœnatione et cubiculo, quemadmodum

Digitized by Google

Πελοπόννησον σὺν τῷ αὐθεντοπούλῳ κὺρ Θωμᾷ εἰς τὴν αὐτοῦ τάξιν ἦν, εἰς ὑπηρεσίαν ἐπὶ τραπέζης καὶ κελλιώτης αὐτοῦ, ὡς ὡρίσθημεν παρὰ τοῦ βασιλέως τοῦ πατρὸς αὐτοῦ καὶ ἡτοιμαζόμεθα, καὶ ἐπεὶ ὁ μὲν πρῶτός μου ἀδελφὸς ἦν εἰς τὴν Πελοπόννησον μετὰ τοῦ βασιλέως, ὁ δὲ μετ' ἐμὲ ἕτερος, ὡς ἐπῆλθεν ὁ θάνατος τῶν ἀδελφῶν αὐτοῦ, ἀφεὶς πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς ἀπῆλθεν εἰς τὴν μονὴν τὴν λεγομένην τοῦ Χαρσιανίτου, ὅπου ἦν καὶ ὁ κατὰ ἀλήθειαν διδάσκαλος κὺρ Ἰωσήφ, καὶ ἐκεῖσε ἐγένετο μοναχός.

Ἐν ἐκείνῳ τῷ ἔαρι καὶ θέρει λοιμοῦ γεγονότος ἐν τῇ Κωνσταντινουπόλει ἀπέθανε καὶ ἡ δέσποινα κυρὰ Ἄννα ἡ ἀπὸ Ῥωσσίας λοιμώδει νόσῳ, καὶ ἐτάφη ἐν τῇ τοῦ Λιβὸς μονῇ.

λϛ'. Ἐν δὲ τῇ ἀρχῇ τοῦ ,ϛϠκϛ' ἔτους ἐστάλη εἰς Πελοπόννησον ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς παρὰ τοῦ βασιλέως καὶ πατρὸς αὐτοῦ· ἐν ᾧ δὴ χρόνῳ ἐπανέστρεψεν εἰς Κωνσταντινούπολιν καὶ ὁ βασιλεὺς καὶ πατὴρ αὐτοῦ, κἀμὲ εἰς τὸ κελλίον αὐτοῦ προσηγάγετο Μαρτίου ιζ' ὑπάρχοντός μου ἐτῶν ιϛ' καὶ ἥμισυ, ἐκείνου δὲ τοῦ ἀειμνήστου καὶ μακαρίτου ἐτῶν ἑξήκοντα ὀκτὼ ἥμισυ.

111 Καὶ τῷ ,ϛϠκζ' ἔτει μηνὶ Νοεμβρίῳ ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν καὶ ἡ δέσποινα κυρὰ Σοφία ἡ τοῦ Μοντεφερράτου μαρκίωνος θυγάτηρ, καὶ τῇ ιθ' τοῦ Ἰανουαρίου ηὐλογήθη αὐτὴν καὶ ἐστέφθη ὁ βασιλεὺς κὺρ Ἰωάννης ἐν τῇ ἁγίᾳ Σοφίᾳ, καὶ μεγάλη ἑορτὴ ἐγένετο ἐν τῇδε τῇ στέψει, καὶ ὄντως ἑορτῶν ἑορτὴν καὶ πανήγυριν πανηγύρεων ἐποίησαν.

λζ'. Καὶ τῷ ,ϛϠκη' ἔτει ἦλθεν ὁ ἀμηρᾶς ὁ κύριος Κυρίτζης καὶ Μεεμέτης, ἵνα διὰ τῆς Κωνσταντι- A νουπόλεως διέλθῃ εἰς τὴν ἀνατολήν· καὶ ἐπρομαθητεύθη παρὰ τῶν κατασκόπων ὅτι ὑπῆγεν ἵνα τὰ τῆς ἀνατολῆς διορθώσῃ, καὶ ἐν τῷ ἐπανελθεῖν αὐτὸν κατὰ νοῦν ἐλογίζετο ἐλθεῖν κατὰ τῆς πόλεως, ὡς ἐμελέτα. Πάντες οὖν οἱ τῆς βουλῆς τοῦ βασιλέως οἱ ἐμπιστευθέντες τὸ μυστήριον, ἄρχοντες καὶ ἐκ τῶν ἱερωμένων, παροξύνοντες ἐβούλευον τῷ βασιλεῖ ἵνα πιάσῃ αὐτόν· ἐκεῖνος δὲ οὐκέτι κατεπείσθη λέγων· « Οὐκ ἀθετῶ τοὺς ὅρκους οὓς πρὸς ἐκεῖνον ἐποιησάμην, εἰ καὶ ἂν ἐβεβαιούμην ὅτι ἔλθῃ καθ' ἡμῶν, μέλλει νικῆσαι καὶ αἰχμαλωτεῦσαι ἡμᾶς. Εἰ δὲ πάλιν ἐκεῖνος ἀθετήσῃ τοὺς ὅρκους αὐτοῦ, πρὸς Θεὸν τὸν περισσοτέρως ἐκείνου δυνάμενον τὰ πάντα ἀνατίθημι. » Δι' ἣν αἰτίαν οὐδέ τινα τῶν υἱῶν αὐτοῦ ἔστειλεν εἰς συνάντησιν τῷ ἀσεβεῖ, εἰ μὴ τοὺς ἀρί- B στους ἄνδρας, Δημήτριον τὸν Λεοντάριν, Ἰσαάκιον τὸν Ἀσάνην καὶ Μανουὴλ τὸν πρωτοστράτορα τὸν Κανταχουζηνὸν μετὰ πολλῶν ἀρχόντων καὶ στρατιωτῶν καὶ δωρεῶν βασιλικῶν. Καὶ συναντήσαντες αὐτῷ **112** περὶ τὰ Κουτούλου ἦλθον μετ' ἐκείνου ἕως τοῦ διπλοῦ κίονος· καὶ δι' ὅλης τῆς ὁδοῦ ὡμίλει ὁ ἀμηρᾶς μετὰ τοῦ Λεοντάρη. Ἐκεῖσε περὶ τὸν διπλοῦν κίονα εὑρέθη καὶ ὁ βασιλεὺς σὺν τοῖς υἱοῖς αὐτοῦ ἔν τινι τριήρει, ἔχοντες καὶ ἑτέραν ἡτοιμασμένην βασιλικῶς, ὅπως δι' αὐτῆς διέλθῃ ὁ ἀμηρᾶς. Ἐμβὰς οὖν ὁ ἀμηρᾶς ἐν τῇδε τῇ τριήρει, πρὸς ἀλλήλους ἐν τῇ θαλάσσῃ χαιρετισθέντες ἠσπάσθησαν, ἕκαστος ἐν τῇ ἰδίᾳ τριήρει ὤν· καὶ ὁμιλοῦντες ἦλθον ἄχρι τῆς Ἀσίας ἤτοι τῆς ἀνατολῆς πέραν, ὅπου τὰ νῦν C Σκούταρι ὀνομάζεται, πρότερον δὲ Χρυσόπολις. Ἐκεῖνος μὲν ἐξελθὼν τῆς τριήρεως εἰσῆλθεν εἰς τὰς σκηνὰς ἤτοι παρεμβολὰς τὰς αὐτῷ προετοιμασθεῖ-

jussi ab imperatore, patre ejus, et parati eramus. Frater meus natu maximus in Peloponneso erat cum imperatore, et alter, me minor, cum morte occubuissent ejus fratres, relictis patre et matre et fratribus, in monasterium abditus, quod dicitur Charsianitæ, ubi etiam verus ille magister Josephus versabatur, monachicam vitam agebat.

Vere et æstate pestilentia Cpoli grassante, Anna domina, e Rossis oriunda, obiit et sepulta est in monasterio Libis.

36. Principio autem anni 6926, ab imperatore patre Thomas princeps juvenis in Peloponnesum missus est. Quo quidem tempore Cpolim rediit imperator, ejus pater, et me in cubiculum assumpsit Martii die 17, annos natum sedecim et dimidium, cum ipse ille æternæ et beatæ memoriæ vir sexagesimum octavum cum dimidio ageret.

Anno 6927, mense Novembri, Cpolim venit domina Sophia, filia marchionis Montisferrati. Eam die Januarii 19 solemni cæremonia duxit inauguratusque est in æde S. Sophiæ imperator Joannes; quæ inauguratio summam habuit festi diei celebritatem fuitque revera solemne solemnium et panegyris panegyrium.

37. Anno 6928 adfuit ameras Cyritzes Mehemetes, per Cpolim in Asiam profecturus. Prænuntiatum autem fuerat ab exploratoribus, eum orientem ordinatum advenire atque in reditu urbem invasurum. Omnes igitur consiliarii imperatoris, quibus creditum est hoc secretum, principes et ecclesiastici suadebant magnopere, ut comprehenderet ameram. At ille renuens : « Non violarem, inquit, quod illi dedi, jusjurandum, etiamsi eum nos adorturum devictosque servituti addicturum esse certo scirem. Si ipse violarit sacramentum, cuncta Deo committam, qui est illo potentior. » Nullum tamen e filiis impio isti obviam misit, sed optimates quosdam, D Demetrium Leontarim, Isaacium Asanem et Manuelem Cantacuzenum protostratorem cum multis ducibus et militibus muneribusque regiis. Circa Cutulum obvii facti, prosecuti eum sunt ad duplicem columnam : quo toto itinere sermonem ameras conferebat cum Leontari. Illic etiam imperator et ejus filii in triremi aderant, cum alia triremi cultu regali ornata, qua Mehemetes veheretur. Eam postquam conscendit ameras, invicem se in mari consalutarunt, in sua quisque triremi vecti. Itaque inter colloquendum ad Asiæ seu orientis littus pervenerunt, ubi urbs est, quæ prius Chrysopolis, nunc Scutari dicitur. Ibi ameras e triremi egressus, in tentoria sive tabernacula sibi parata concessit; imperator cum filiis in triremibus edebat ac bibe-

Digitized by Google

σας, ὁ δὲ βασιλεὺς καὶ οἱ υἱοὶ αὐτοῦ ἕνεκον τῶν τριήρεων ἦσθιον καὶ ἔπινον, καὶ ἀποστολὰς τροφίμους εἷς πρὸς τὸν ἕτερον ἀπέστελλον. Περὶ οὖν τὸν ἑσπερινὸν ὁ ἀμηρᾶς ἐφίππος ἀπῆλθε καὶ οἱ σὺν αὐτῷ διὰ τῆς ὁδοῦ τῆς περὶ τὴν Νικομήδειαν φερούσης, ὁ δὲ βασιλεὺς καὶ οἱ υἱοὶ αὐτοῦ ἀπῆλθον οἴκαδε.

λη'. Τῷ δὲ ἔαρι τοῦ αὐτοῦ ἔτους ἐπαναστρέψας ὁ ἀμηρᾶς εἰς τὴν δύσιν διὰ τῆς ὁδοῦ τῆς Καλλιουπόλεως ἀπῆλθεν εἰς τὴν Ἀνδριανούπολιν· ὁ δὲ βασιλεὺς ἑτοιμάσας τὸν Λεοντάριν Δημήτριον πρὸς ἐκεῖνον ἀπέστειλεν, ἵνα περὶ τῶν προμελετωμένων μάθῃ καὶ αὐτῷ προμηνύσῃ, ὃν καὶ ἐλέγξῃ **113** περὶ τῆς καλῆς ἀγάπης καὶ τιμῆς ἣν πρὸς ἐκεῖνον ἐπεδείξατο καὶ περὶ τοῦ περάματος καὶ διὰ τοῦ τοιούτου πρέσβυος, καὶ πρόσωπον λέγω καὶ τὰ δῶρα ἃ προσεκόμισεν αὐτῷ. Ἰδὼν αὐτὸν ὁ ἀμηρᾶς μετὰ τιμῆς καὶ ἀγάπης πολλῆς ἐδέξατο τὸν τοιοῦτον. Καὶ τέλος εἶπεν αὐτῷ ὁ ἀμηρᾶς ὅτι ἀσθενῶν εἶχε τινὰς ἡμέρας, καὶ μετὰ τὸ ὑγιᾶναι αὐτὸν ὁμοῦ συναυλίσονται καὶ συνομιλήσουσιν. Ἐκεῖνος δὲ μετὰ τρεῖς ἡμέρας τὸ ζῆν ἐξεμέτρησε. Καὶ οἱ τοῦ παλατίου αὐτοῦ βουληφόροι οὐκ ἀπεκάλυψαν τὸ συμβὰν τῷ Λεοντάρει· ἀλλ' ἐν τῇ σκηνῇ αὐτοῦ ἦν, τάχα θαυμάζων πῶς οὐ προσεκαλεῖτο αὐτὸν ὁ ἀμηρᾶς, ὅπως καὶ τὰς βουλείας αὐτοῦ ἀκούσῃ. Κατ' αὐτὴν γὰρ τὴν ὥραν τούτου τὸν θάνατον μαθὼν πολλοὺς γραμματοκομιστάς ὁ Λεοντάρις ἀπέστειλεν πρὸς τὸν βασιλέα, καὶ οὐκ ἐδυνήθησαν ἀπελθεῖν διὰ τὸ εἶναι κλεισμένας τὰς λάθρα φερούσας ὁδοὺς εἰς τὴν πόλιν. Καὶ οὕτως ἡμέραι πλεῖσται παρῆλθον, ἀφ' οὗ δὴ τὸ κατὰ τῆς πόλεως ἀπεκαλύφθη μυστήριον, καὶ θρους μέγας ἐγένετο καὶ βουλὴ καὶ μελέτη, καὶ πολλοὺς ἐλέγχους ὁ βασιλεὺς ἔλαβε παρὰ τῶν συμβουλεύσάντων αὐτὸν ποτε ἵνα πιάσῃ αὐτόν· εὑρίσκετο δὲ τότε ὁ βασιλεὺς δι' αἰτίαν λοιμοῦ ἐν τῇ μονῇ τῆς Περιβλέπτου. Μόλις οὖν δι ἄλλης ὁδοῦ τῆς πρὸς τὴν Μεσημβρίαν ἀπαγούσης ποτὲ ἔστειλεν ὁ Λεοντάρις δρομέα, καὶ ἐκεῖθεν διὰ θαλάσσης ἐλθὼν ἐκομίσατο γραφὴν περὶ τοῦ θανάτου **114** τοῦ ἀμηρᾶ· καὶ ἐγένετο ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τό· « Ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. » Καὶ ἰδοὺ ἔπεσον εἰς ἑτέραν βουλὴν καὶ μελέτην, πότερον ἔχειν μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἀμουράτου ἀγάπην καὶ παραχωρήσωσιν εἶναι αὐτὸν αὐθέντην, ὡς καὶ τὰ ὁρκωμοτικὰ αὐτοῦ διελάμβανον, ἢ ἵνα φέρωσι τὸν Μουσταφᾶν ἀπὸ τὴν Μιζιθρᾶν καὶ καταστήσωσιν αὐτὸν αὐθέντην εἰς τὴν δύσιν, καὶ ὁ Ἀμουράτης ἔσεται ἐν τῇ Ἀσίᾳ αὐθέντης, τοῦ μὲν βασιλέως καὶ πατρὸς τὸ πρῶτον βουλευομένου καὶ κρίνοντος δικαίως ἐκ πολλῶν αἰτιῶν ἵνα ὁ Ἀμουράτης αὐθέντης γένηται, τοῦ δὲ υἱοῦ αὐτοῦ καὶ τοῦ Καντακουζηνοῦ Δημητρίου ἵνα ποιήσωσι τὸν Μουσταφᾶν, λέγοντες ὅτι ἔδιδεν αὐτοῖς καὶ τὴν Καλλιούπολιν. Μόλις δέ ποτε οἱονεὶ κατὰ παραχώρησιν ὁ βασιλεὺς δέδωκεν ἐξουσίαν τῷ υἱῷ αὐτοῦ λέγων· « Ἐγὼ γὰρ εἰμὶ, υἱέ μου, γέρων καὶ ἀσθενὴς καὶ ἐγγὺς τοῦ θανάτου· τὴν οὖν βασιλείαν καὶ τὰ αὐτῆς δέδωκά σοι, καὶ πρᾶξον ὡς βούλει. » Ἐν δὲ τῷ Σεπτεμβρίῳ μηνὶ τοῦ ,ςϡκθ' ἔτους μετὰ πλείστων τριήρεων ἀπῆλθεν εἰς τὴν Καλλιούπολιν ὁ βασιλεὺς κὺρ Ἰωάννης ἄγων σὺν αὐτῷ καὶ τὸν ἀμηρᾶν Μουσταφᾶν ἀπὸ τῆς Πελοποννήσου, καὶ αὐθέντην ἐξέβαλεν εἰς τὴν δύσιν. Καὶ ἡ Καλλιούπολις προσεκύνησεν αὐτόν· καὶ μετά τινας ἡμέρας ζητηθεῖσα παρὰ τοῦ βασιλέως τάχα κατὰ τὰς ὑποσχέσεις, ἀπε-

bat : atque invicem sibi partes delicatas mittebant. Sub vesperam ameras, equo insidens, et qui eum comitabantur, Nicomediam versus abierunt, imperator cum filiis domum discessit.

38. Vere ejusdem anni revertens ameras in occidentem, via quæ trans Calliopolim ducit, Adrianopolim profectus est. Imperator ad eum expedivit Demetrium Leontarim, ut, quæ inisset consilia, cognosceret sibique renuntiaret, eumque de gratia et honore, quæ ei præstitisset, et de transvectione moneret, legatus tum personæ dignitate, tum donorum, quæ afferret, amplitudine insignis. Excepit eum admodum et honorifice et amice ameras, tandemque ei dixit, ægrotare se dies jam aliquot : postquam convaluisset, sermonem se collaturos esse. At post diem tertium vitam posuit. Consiliarii ejus palatini, quod evenerat, non aperuere Leontari, qui in tentorio suo degebat, miranti, cur non vocaretur ab amera ad explicandum ei legationis consilia. Ipsa autem hora, qua eum obisse cognovit, tabellarios complures ad imperatorem misit, qui tamen, quoniam viæ, quæ Cpolim ferebant, clam præclusæ erant, eo pervenire non potuerunt. Itaque multi dies efluxere, ex quo arcanum invadendæ urbis consilium patuit, tumultusque ingens exortus est, multaque deliberatio et sollicitudo erat, et vehementer reprehensus est imperator ab iis qui ameram comprehendendum esse olim suaserant. Versabatur tum imperator pestis vitandæ causa in monasterio Peribleptæ. Vix tandem alia via, quæ Mesembriam ferebat, Leontaris mittere potuit cursorem, qui inde per mare profectus, litteras de obitu ameræ attulit : atque comprobatum est eo die dictum illud : « Vesperi fletus erit, et mane lætitia. » En autem, ad aliam curam conversi sunt et consultationem, utrum cum filio ejus Amurate amicitiam inirent eumque sinerent principem esse, quemadmodum sane ejus exigebant sacramenta, an Mustapham, Mizithra reductum, in occidente principem constituerent, Amurates princeps esset in oriente. Imperator pater, qui primus sententiam dixit, multis de causis æquum judicabat, ut penes Amuratem rerum summa esset, filius autem ejus et Demetrius Cantacuzenus, ut Mustaphas princeps fieret, quod is Romanis dedisset Calliopolim. Tandem, licet ægre, imperator filio agendi, quod vellet potestatem concessit his verbis : « Fili mi, ego senex infirma valetudine et morti propinquus sum : itaque tibi trado imperium et quæ ad id pertinent : facito, quod placuerit. » Mense Septembri anni 6929 multis cum triremibus Calliopolim venit Joannes imperator, Mustapham e Peloponneso secum

Digitized by Google

κρίναντο **115** πάντες οἱ Τοῦρκοι λέγοντες, ὅτι ἐγγὺς τῆς πίστεως ἡμῶν ἡ Καλλιούπολίς ἐστι καὶ μεγάλη τις εὐλάβεια, ἐπεὶ ὁ πρῶτος τόπος ὃν ἐλάβομεν ἐν τῇ Εὐρώπῃ ἐστὶ τοῦτο τὸ φρούριον, ἔνθα καὶ τὰς τῆς ἡμῶν πίστεως προσκυνήσεις καὶ τὰ λοιπὰ πρῶτον ἐποιήσαμεν εἰς τὰ τῆς Εὐρώπης μέρη, καὶ οὐκ ἔξεστιν ἡμῖν κατὰ τὸν ἡμέτερον κορὰν δοῦναι αὐτήν. Ἀλλὰ δώσωμεν ὑμῖν ἑτέρους τόπους καὶ χώρας ἀντ' αὐτῆς. Ἔτι καὶ ὁ Ἀμουράτης ἐκ τῆς ἀνατολῆς διὰ πρέσβεων πολλὰ ἔτασσε τοῖς Ῥωμαίοις, δεόμενος ἵνα μὴ γενέσθαι τὸν Μουσταφᾶν αὐθέντην βοηθήσωσιν· οἱ δὲ ἡμέτεροι τὰ ἐναντία φρονοῦντες οὐδὲν ἀπεκρίναντο. Περὶ δὲ τὰς ἀρχὰς τοῦ χειμῶνος τοῦ αὐτοῦ ἔτους ὁ μπεγλὲρ μπέης Μπαγιαζήτης διερχόμενος διὰ τοῦ ἐπάνω στενοῦ εἰς τὴν δύσιν, ἀνὴρ χρήσιμος καὶ πρακτικὸς ἐν πολέμοις καὶ βιζίρις ὢν τοῦ πατρὸς τοῦ Ἀμουράτου, ὃς τὴν Ἄγκυραν ἐκέκτητο εἰς κεφαλάτικον, βουλόμενος, εἰ δυνατὸν ἦν, κρατῆσαι εἰς τὴν τοῦ Ἀμουράτη ἐξουσίαν, τὴν δύσιν δηλονότι. Καὶ τοῦ Μουσταφᾶ πάλιν ἐξελθόντος ἐκ τῆς Καλλιουπόλεως, διήρχετο κατ' αὐτοῦ εἰς τὰ περὶ τὴν Ἀνδριανούπολιν. Καὶ συναντηθέντες πόλεμος ἐγένετο, καὶ ὁ Μπαγιαζήτης ὑπὸ τοῦ Μουσταφᾶ νικηθεὶς καὶ πιασθεὶς ἀπεκτάνθη, καὶ τὴν εἰς τὴν δύσιν πᾶσαν ἀρχὴν τῶν ἀσεβῶν ἐκυρίευσε. **116** Καὶ πάλιν ἐπιστρέψας ὁ Μουσταφᾶς εἰς τὴν Καλλιούπολιν τῷ αὐτῷ ἔτει, καὶ περάσας εἰς τὴν ἀνατολὴν κατὰ τοῦ ἀνεψιοῦ αὐτοῦ Ἀμουράτη εἰς Προῦσαν εὑρισκομένου, ἠττηθεὶς ἐπανέστρεψεν εἰς τὴν δύσιν. Καὶ τῷ θέρει τοῦ αὐτοῦ ἔτους διῆλθε καὶ αὐτὸς ὁ Ἀμουράτης μετὰ Αἰγουρικῶν ἤτοι Γενουΐτων νηῶν, καὶ διώξας τὸν θεῖον αὐτοῦ καὶ καταλήψας ἀπέκτεινε. Ψευθέντες δὲ τὰς ἐλπίδας, ἃς ἤλπιζον ἔχειν, διὰ τὸν θάνατον τοῦ Μουσταφᾶ οἱ βασιλεῖς [οἱ] εἰς ταραχὴν λογισμῶν καὶ φόβον ἐνέπεσον διὰ τὴν ἔχθραν ἣν ἔδειξαν κατὰ τοῦ Ἀμουράτη, ζητοῦντες τρόπον καὶ αἰτίαν ἵνα, εἰ δυνατὸν ἦν, εἰρήνη καὶ ἀγάπη ἀναμέσον τῶν Τούρκων καὶ τῶν Ῥωμαίων γενήσεται· καὶ ἀπέστειλαν πρὸς τὸν ἀμηρᾶν πρέσβεις Δημήτριον τὸν Καντακουζηνὸν, Ματθαῖον τὸν Λάσκαριν καὶ τὸν γραμματικὸν Ἄγγελον τὸν Φιλομμάτην. Ὁ δὲ ἀμηρᾶς μαινόμενος ἦν τῷ θυμῷ κατὰ τῆς τῶν Ῥωμαίων ἀρχῆς δι' αἰτίας ἃς εἴπομεν· καὶ εὐθὺς ὡς εἶδεν αὐτοὺς, προστάξας ἐν εἱρκτῇ ἐζωφωμένῃ δεσμίους ἔθετο, καὶ ἀσφαλῶς τηρεῖσθαι κελεύσας.

Περὶ δὲ τὰς ἀρχὰς τοῦ θέρους, τῇ ὀγδόῃ τοῦ Ἰουνίου, τῷ ,ϛϡλ' ἔτει ἀποστείλας ὁ Ἀμουράτης διὰ τὸν Μιχάλμπεη, καὶ ἀπέκλεισε τὴν Κωνσταντινούπολιν πολιορκῶν αὐτήν. Καὶ τῇ ιε' τοῦ αὐτοῦ ἔφθασε καὶ αὐτὸς ὁ ἀμηρᾶς μετὰ **117** πλήθους στρατοῦ, ἔχων σὺν αὐτῷ καὶ τοὺς ἀποσταλέντας πρὸς αὐτὸν πρέσβεις δεσμίους. Καὶ τῇ κβ' τοῦ Αὐγούστου μηνὸς ἐπολέμησεν αὐτὴν δὲ τὴν πόλιν πολέμῳ καθολικῷ. Καὶ τῇ ς' τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ,ϛϡλα' ἔτους ἀπῆλθεν ἄπρακτος ἀπὸ τῆς πόλεως, Θεοῦ βοηθείᾳ. Καὶ τῇ λ' τοῦ αὐτοῦ μηνὸς ἦλθεν ὁ Μουσταφόπουλος ὁ τοῦ αὐτοῦ Ἀμουράτη ἀδελφὸς, καὶ διελθὼν τὴν πόλιν ἔπεσεν ἔξω εἰς τὸν αὐθεντικὸν περίβολον, καὶ ἐπὶ τὴν αὔριον τῇ α' τοῦ Ὀκτωβρίου ἦλθε προσκυνῆσαι τὸν βασιλέα καὶ τοὺς υἱοὺς αὐτοῦ. Καὶ τῇ σὺτῇ ἡμέρᾳ τὸ ἄριστον ἐπῆλθε τῷ βασιλεῖ τὸ τῆς ἡμιπληξίας νόσημα, ὃν ἰδόντες οἱ ἀπὸ τῆς Ἀσίας

ducens, quem in occidente principem constituit. Coluit quidem Joannem ea civitas, sed cum post dies aliquot requireret eam, ut pactum erat, imperator, Turcæ omnes responderunt, ipsorum sacris addictam esse Calliopolim, et magna se astringi religione, siquidem primus locus, quem obtinuissent in Europa, hoc oppidum esset, in quo primo inter omnia Europæ oppida religionis suæ auspicia et reliquas cæremonias fecissent: unde non liceret per coranem, eam urbem dare Romanis. Daturos se illis esse hujus loco alia oppida ac regiones. Interim Amurates ex oriente per legatos multum instabat Romanis orabatque, ne Mustapham ad principatum proveherent. At nostri, ut qui contraria sentirent, nihil responderunt. Circa initium hiemis ejusdem anni beglerbegus Bajazetes, vir strenuus et bello exercitatus, idemque vezires patris Amuratis et præfectura Ancyræ auctus, per superiores fauces in Europam transiit, eam, si posset, in potestatem Amuratis redacturus. Mustaphæ, qui Calliopoli exierat, ad Adrianopolim obviam fit. Pugna commissa, Mustaphas Bajazetem vincit captumque obtruncat, et universo Turcarum in occidente imperio potitur. Eodem autem anno Mustaphas Calliopolim reversus, susceptaque adversus Amuratem, qui Prusæ erat, expeditione in Asiam, victus in occidentem rediit; et æstate ejus anni patruum Amurates cum Ligurum sive Genuensium navibus persecutus est, comprehensumque interemit. Jam morte Mustaphæ spe sua delusi imperatores, turbari ac sibi metuere cœperunt, propterea quod hostilem in Amuratem animum prodidissent. Itaque modum et occasionem quærebant, qua concordia et amicitia inter Turcas et Romanos conciliaretur, miseruntque ad ameram legatos Demetrium Cantacuzenum, Matthæum Lascarim et Angelum Philommatem grammaticum. Ameras, ira incensus adversus Romanos propter eam, quam significavimus, causam, ubi primum legatos vidit, vinctos in obscurum carcerem detrudi diligenterque custodiri jussit.

39. Ineunte æstate, octavo die Junii, anno 6930, misit cum exercitu Michalbegum Amurates, clausitque et obsedit Cpolim. Die ejusdem mensis decimo quinto ipsemet cum magnis copiis accessit, legatos in vinculis adduceus, et die vicesimo secundo mensis Augusti urbem universis viribus oppugnavit. Die tandem sexto Septembris anni 6931 Dei gratia re infecta ab urbe recessit. Ejusdem mensis die tricesimo Mustaphopulus, Amuratæ frater, per urbem profectus, in septum Dominicum pervenit, et proximo die, qui fuit primus Octobris, ad imperatorem et filios ejus adorandos accessit. Eodem die post jentaculum imperator hemiplexia correptus est: quem Turcæ Asiani mirabundi dice-

Digitized by Google

Τοῦρκοι ἔλεγον θαυμάζοντες ὅτι ὅμοιος τῷ τῆς αὐτῶν πίστεως προφήτῃ Μαχομέτῃ ἐστὶ τῇ θεωρίᾳ, ὡς ποτε καὶ ὁ Μπαγιαζήτης ὁ καὶ ἐχθρὸς αὐτοῦ περὶ τούτου εἴρηκε· « Καὶ ὅστις οὐκ οἶδε τὸν βασιλέα, ἀπὸ μόνης τῆς θεωρίας αὐτὸν λέξῃ εἶναι βασιλέα. » Ὁ δὲ Μουσταφόπουλος πλημμελήσας πλείσταις ἡμέραις ἐν τῇ πόλει ἕνεκεν τοῦ τῷ βασιλεῖ συμβάντος τέλος ἀπῆλθε μέχρι τῆς Σηλυμβρίας, καὶ μὴ διατρίψας ἐκεῖσε ἐπανέστρεψεν εἰς τὴν πόλιν, καὶ διελθὼν ἀπῆλθεν εἰς τὴν Προῦσαν. Τῷ δὲ ἔαρι τοῦ αὐτοῦ ἔτους ἐπῆλθε καὶ ὁ ἀδελφὸς αὐτοῦ κατ' αὐτοῦ εἰς τὴν Ἀσίαν, καὶ ἀπέκτεινεν αὐτὸν προδοσίᾳ τῶν ἰδίων αὐτοῦ.

μ'. Τῷ δὲ Μαΐῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐάλω τὸ Ἑξαμίλιον **118** ἤτοι ὁ τῆς Πελοποννήσου Ἰσθμὸς ὑπὸ τοῦ Τουραχάνη, καὶ πολλοὶ τῶν Ἀλβανιτῶν ἀπεκτάνθησαν. Καὶ τῷ θέρει τοῦ αὐτοῦ ἔτους ἔφυγεν ὁ αὐθεντόπουλος κὺρ Δημήτριος μετὰ Ἱλαρίωνος Δόρια καὶ Γεωργίου Ἱζαοὺλ γαμβροῦ τοῦ αὐτοῦ Δόρια, καὶ ἀπῆλθον εἰς τὸν Γαλατᾶν, ἵνα ὑπάγωσι πρὸς τοὺς Τούρκους· καὶ πάλιν οὐκ ἀπῆλθον, ἀλλ' εἰς τὴν Οὐγγαρίαν. Καὶ τῇ ιε' τοῦ Νοεμβρίου τοῦ ,ςϑλβ' ἔτους, δέῃ ὁ βασιλεὺς κὺρ Ἰωάννης εἰς τὴν Οὐγγαρίαν, ποιήσας δεσπότην τὸν ἀδελφὸν αὐτοῦ τὸν αὐθεντόπουλον κὺρ Κωνσταντῖνον, καὶ καταλείψας αὐτὸν εἰς τὴν πόλιν ἀντ' αὐτοῦ. Τῇ δὲ κβ' τοῦ Φεβρουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐποιήσαμεν ὁρκωμοτικὸν ἀγάπης μετὰ τοῦ ἀμηρᾶ Ἀμουράτη, καὶ τότε τοὺς πρέσβεις ἠλευθέρωσε. Τότε οὖν αὖθις ἀπήλθομεν πρέσβεις, Λουκᾶς ὁ Νοταρᾶς ὁ καὶ ὕστερον μέγας δοὺξ γενόμενος καὶ ὁ Μελαχρηνὸς Μανουὴλ καὶ ἐγώ, δι' αἰτίας τοιαύτης, ὅτι ὁ μὲν Μελαχρηνὸς καὶ ἄλλοτέ ποτε προσεπῆλθε πρὸς τὸν ἀμηρᾶν καὶ ἔγνω ὅτι ἔμελλε γενηθῆναι ἡ ἀγάπη, ὁ δὲ Νοταρᾶς ἵνα τελέσῃ αὐτὴν ὡς χρήσιμος καὶ καλὸς, ἐγὼ δὲ ὡς παρὰ τῆς ἁγίας δεσποίνης τῆς συγγενοῦς τοῦ ἀμηρᾶ ἐκ τῆς μητρὸς αὐτοῦ ἀποσταλείς· καὶ εἴ τι ἂν δεήσῃ, γράψω καὶ διὰ ὑφειλτῶν γραμμάτων πρός τε τὸν γηραιὸν βασιλέα καὶ πρὸς τὸν υἱὸν αὐτοῦ τὸν βασιλέα κὺρ Ἰωάννην εἰς τὴν Οὐγγαρίαν εὑρισκόμεγον. Ἐν δὲ τῷ τέλει τοῦ Ὀκτωβρίου **119** τοῦ ,ςϑλγ' ἔτους ἐπανῆλθεν εἰς τὴν πόλιν διὰ τοῦ μέρους τοῦ εἰς τὸν Ἴστρον ποταμὸν κατερχομένου ἐν χώρᾳ τινὶ Κελλίῳ ἐπονομαζομένῳ ὁ βασιλεὺς κὺρ Ἰωάννης, ἀπελθουσῶν τριήρεων ἀπὸ Κωνσταντινουπόλεως ἐκεῖσε· προέπεμψε γὰρ ἀπὸ Οὐγγαρίας ἄνθρωπον ἀλλόγλωσσον καὶ ἀλλογενῆ τοῦ ἐλθεῖν διὰ ξηρᾶς μετὰ πιττακίου ὑφειλτοῦ, ὃς ἐλθὼν ἐζήτει ἰδεῖν τὸν βασιλέα λέγων ὅτι ἀνάγκη ἦν αὐτῷ ἰδεῖν αὐτὸν καὶ ὁμιλῆσαι σὺν αὐτῷ. Ἄτοπον· πῶς ἐδύνατο τοιοῦτον ἄνθρωπον ἰδεῖν βασιλέα ἀσθενῆ; κατάκοιτος γὰρ ἦν, καὶ μόνος πρὸς μόνον ἤθελεν συνᾶραι λόγον. Πολλῶν οὖν λόγων δαπανηθέντων ἐστάλησαν πρὸς τὸν ἄνθρωπον δύο τῶν σεκρέτων σὺν ἐμοὶ, καὶ εἶπον αὐτῷ· « Ἡ εἰπὲ ὃ βούλει τῷ παρόντι, » δείξαντες ἐμὲ, « ἢ ἄπελθε ἔνθα βούλει, » ἡνίκα παραλαβών με κατ' ἰδίαν δέδωκέ μοι χάρτην ὑφειλτὸν, ὃς δεδήλωκέ μοι ἔτι δὲ πόθεν καὶ πότε ἐξῆλθεν. Ὡς δὲ διώρθωσα τὸ ὑφειλτὸν καὶ ἀπῆλθον ἀναγνῶναι τοῦτο, ἀνέφερον ὅτι ζητῶ εὐεργεσίαν, ἐπεὶ χαίροντα ἔμελλον μηνύεσθαι διὰ τῶν ὑφειλτῶν. Ἐκεῖσε καὶ τῆς δεσποίνης καθεζομένης καὶ τῆς νύμφης αὐτῆς, τοῦ

A

B

C

D

bant specie simillimum esse auctori religionis suæ Mahometi; quemadmodum aliquando ejus hostis Bajazetes de eodem affirmavit: quicunque non nosset imperatorem, eum tamen e solo aspectu imperatorem illum esse intellecturum. Mustaphopulus per dies multos propter casum imperatoris flagitiis in urbe designatis, postremo Selymbriam usque abiit, sed inde statim Cpolim reversus, Prusam se contulit. Vere hujus anni frater ejus in Asia adversus eum profectus est proditumque a suis morte multavit.

40. Mense Maio ejusdem anni captum est a Turachane Hexamilium sive Isthmus Peloponnesi, ac multi ex Albanitis occisi sunt. Æstate sequenti princeps Demetrius cum Hilarione Doria et hujus genero, Georgio Hizaulo, profugus Galatam venit, ut ad Turcas abirent: ad quos tamen non venerunt, sed in Hungariam profecti sunt. Die decimo quinto Novembris, anno 6932, imperator Joannes in Hungariam transiit, despota facto et in urbe relicto fratre Constantino, qui suum interim locum teneret. Die vicesimo secundo Februarii ejusdem anni amicitiam sacramento firmavimus cum Amurate amera, qui legatos jam liberos dimisit. Tum rursus legati missi sumus, Lucas Notaras, qui postea magnus dux factus est, Manuel Melachrenus et ego, propterea quod Melachrenus jam prius ad ameram venerat pacemque esse conventuram cognoverat, Notaras ad perficiendam eam in primis utilis et idoneus esse videbatur, et ego a sancta despœna, quæ a materno genere ipsi ameræ cognata fuit, missus eram, cui etiam hoc munus datum est, ut, si quid opus foret, litteris id consignatam ad imperatorem senem et filium ejus, Joannem imperatorem, in Hungariam perscriberetur. Exeunte autem Octobri mense anni 6933, per regionem, cui Cellii nomen est, ad Istrum fluvium pertinentem, imperator Joannes in urbem reversus est, missis illic Cpoli triremibus. Præmiserat enim ex Hungario Joannes hominem peregrinum et peregrina utentem lingua, qui cum tabella obsignata terrestri via in urbem proficisceretur. Is, ubi advenit, imperatorem videre cupiebat, affirmans, necesse esse, ut videret eum et cum eo colloqueretur. At enim quo pacto fieri poterat, ut imperatorem, qui ægrotus decumbebat, iste homo conveniret et solus, id quod volebat, cum eo conferret sermonem? Itaque, cum multum esset disceptatum, missi ad eum sunt mecum duo viri imperatori a secretis, qui ita eum compellarunt: « Aut aperi, quid velis, huic viro » (me autem demonstrabant), « aut abi, quo libet. » Sic tandem seducto mihi litteras tradidit obsignatas, e quibus didici, unde et quo tempore Joannes discessisset. Deinde cum abissem ad recitandas eas, præmium me exspectare significavi, ut qui lætum nuntium essem allaturus. Con-

Digitized by Google

δεσπότου ἀπόντος εἰς τὸ κυνήγιον, κἀγὼ ἀνέγνωσα τὸν χάρτην, καὶ ἀκούσαντες ὅτι ὑγιαίνει καὶ ἔμελλεν ἐλθεῖν καλῶς εἰς τὰ περὶ τὴν μεγάλην Βλαχίαν, καὶ ὅπως ἀπέλθωσι τριήρεις εἰς τὸν τόπον τὸν ἐπονομαζόμενον Κελλίον **120** καὶ ἄρασαι αὐτὸν φέρωσι, ἐχάρησαν λίαν. Καὶ μετὰ μικρὸν κελεύσας ὁ βασιλεὺς τὸν ἱματοφύλακα, ἔδωκέ μοι καβάδιον μολιβδὸν χαμουχὰν μετὰ βαρεοκοιλίας ἐνδεδυμένον καὶ χρυσίου κεντηνάριον, ἔτι δὲ καὶ τὸν κάλλιστον γλωσσόκομον τὸν μέγαν καὶ ὡραῖον, ὃν πέρ ποτ' ἐμοῦ ἐζήτει· εἶχε γὰρ ὅδε ὁ γλωσσόκομος ἔνδον λάφυρα ἄξια θέας πολλὰ καὶ καλὰ καὶ ἕτερα εἴδη θαυμάσια, ἅπερ ἐδώθησαν ὕστερον μετὰ τὴν ἀποδημίαν αὐτοῦ ἐκ τῆς ἔνθεν ζωῆς, τὰ μὲν τοῖς υἱοῖς αὐτοῦ, τὰ δὲ ὑπὲρ τῆς ἁγίας ψυχῆς αὐτοῦ. Τοῦτον γὰρ τὸν ὡραῖον καὶ θαυμαστὸν γλωσσόκομον ἀπὸ καιροῦ ὠρέχθην αὐτόν· διὸ ἔδοξέ μοι ζητῆσαι τοῦτον, δεόμενος τῷ βασιλεῖ· ὁ δὲ ἀπεκρίνατό μοι ὅτι Αὐτὸς ὁ γλωσσόκομος ὑπῆρχεν τοῦ πατρός μου τοῦ βασιλέως, καὶ ἐν αὐτῷ, ὡς οἶδας, εἶχε πολλὰ καλὰ λάφυρα καὶ λίθους πολυτίμους καὶ ἕτερα πλεῖστα βασιλικὰ εἴδη, πλείονα ὧν οἶδας. Ἐγὼ δὲ πάλιν θέλω δωρήσασθαι αὐτὸν τῷ βασιλεῖ τῷ υἱῷ μου, ἵνα ἐν αὐτῷ ἔχῃ κἀκεῖνος μετὰ τῆς εὐχῆς αὐτοῦ καὶ ἐμοῦ τὰ ἑαυτοῦ. Καὶ ἀπέπεμψέ με· καὶ τότε διὰ τὰς χρηστὰς ἀγγελίας, ἃς ἐκόμισα αὐτῷ, προσέταξεν ἵνα λάβω τὸν εἰρημένον γλωσσόκομον, ὃν καὶ ἔσχηκα μετὰ τῆς ἁγίας αὐτοῦ εὐχῆς πλήρη πολλῶν χρησίμων καὶ τιμίων πραγμάτων τούτου τοῦ ματαίου βίου, κελεύσασα ἔτι καὶ **121** ἡ δέσποινα ἵνα σηρικὸν ἔνδυμα προσφέρωσί μοι καλὸν πράσινον καὶ νομίσματα πεντήκοντα, ἡ δὲ νέα δέσποινα μηνύσασά μοι ὅτι τὸ δεῖνα αὐτῆς ἔνδυμα ἔσηται τῇ ἐμοῦ συνεύνῳ, ὅταν γυναικὶ συναρμοσθῶ, καὶ χρυσίνοι τεσσαράκοντα.

Τῇ δὲ κα' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους κεκοίμηται ὁ ἐν τῇ μακαρίᾳ τῇ λήξει ἀοίδιμος καὶ εὐσεβὴς βασιλεὺς κὺρ Μανουὴλ, ὃς διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετωνομάσθη πρὸ ἡμερῶν δύο τῆς θανῆς αὐτοῦ Ματθαῖος μοναχός· καὶ ἐτάφη ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ περικαλλεῖ μονῇ τοῦ Παντοκράτορος, μετὰ πένθους καὶ συνδρομῆς οἵα οὐ γέγονε πώποτε πρός τινα τῶν ἄλλων. Ἦσαν δὲ πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ ἔτη οζ' καὶ ἡμέραι κε', ἐξ ὧν ἐβασίλευσεν ἔτη δύο καὶ τεσσαράκοντα.

Οὗτος οὖν ὁ βασιλεὺς κὺρ Μανουὴλ πρῶτον θυγατέρα ἐγέννησε τὴν . . . . . , εἶτα Κωνσταντῖνον, Ἰωάννην τὸν βασιλέα καὶ Ἀνδρόνικον τὸν δεσπότην, καὶ θυγατέρα δευτέραν τὴν . . . . . , Θεόδωρον τὸν δεσπότην καὶ πορφυρογέννητον, Μιχαὴλ τὸν αὐθεντόπουλον, Κωνσταντῖνον τὸν δεύτερον τὸν καὶ βασιλέα γενόμενον, Δημήτριον τὸν δεσπότην καὶ Θωμᾶν τὸν δεσπότην. Ζῶν δὲ ὁ βασιλεὺς καὶ πατὴρ αὐτῶν διεμέρισεν ἑκάστῳ τούτων τούσδε τοὺς τόπους, δι' ἣν αἰτίαν καὶ μέγα **122** κακὸν προξένησε τῇ τῶν Ῥωμαίων ἀρχῇ. Καὶ πρῶτον μὲν τὸν Ἰωάννην βασιλέα εἶασε, τῷ δὲ δεσπότῃ κὺρ Ἀνδρονίκῳ τὴν Θεσσαλονίκην καὶ τὰ ἑαυτῆς δέδωκεν.

sidentes ibi imperatrix et filia ejus, absente venandi causa imperatore, cum ego litteras prælegissem, magnam ex iis voluptatem perceperunt, quippe e quibus discerent, Joannem bona uti valetudine et in magnam Blachiam profecturum esse atque cupere, ut in regionem, Cellium quæ appellatur, mitterentur triremes, quæ se reciperent et in urbem reducerent. Ac brevi post imperator per præfectum vestimentorum donavit mihi vestem sericam egregiam et centenarium auri, atque arcam insuper vestiariam amplam et mire pulchram, quam olim mihi recusaverat. Continebat enim ea arca multam supellectilem visu dignam et præclaram, aliasque res mirabiles, quæ deinceps post obitum imperatoris partim filiis ejus donata, partim ob salutem beatæ ejus animæ sacrificata sunt. Hujus igitur arcæ egregiæ et plane mirabilis cum diu flagrassem desiderio, visum est mihi ab imperatore eam expetere. At ille ita respondit: « Fuit ea arca imperatori, patri meo, qui, ut nosti, multa præclara opera, lapides pretiosos aliaque regia ornamenta plura, quam credas, in ea asservabat. Ego eam rursus imperatori, meo filio, donabo, ut is quoque ex votis tum suis tum meis in eadem res suas asservet. » Ita dimisit me. Tum autem propter lætos, quos ei attuleram, nuntios imperavit, ut traderetur mihi ista arca, quam cum pio ejus voto rebus utilibus et in hac inani vita laudatis repletam accepi. Similiter imperatrix vestem sericam eximiam prasino colore et nummos quinquaginta mihi dari jussit; ejus filia autem significavit, postquam uxorem duxissem, huic se vestem suam præstantissimam et nummos aureos quadraginta donaturam esse.

Die Julii 21 ejusdem anni beatorum sorte obdormivit gloriosus et pius imperator Manuel dominus, biduo ante mortem divino et angelico habitu indutus et appellatus Matthæus monachus. Sepultus est in venerabili basilica et pulcherrimo monasterio Pantocratoris, cum luctu et concursu, qualis nulli unquam alii contigit. Omnino vixerat annos 77 et dies 25, e quibus regnaverat annos duos et quadraginta.

Hic igitur imperator, Manuel dominus, primum filiam procreavit nomine, . . . deinde Constantinum, imperatorem Joannem et Andronicum despotam, tum alteram filiam, cui nomen erat, . . . Theodorum despotam et porphyrogenitum, Michaelem principem, Constantinum minorem, qui imperator fuit, Demetrium despotam et Thomam despotam. His imperator pater, cum in vivis adhuc esset, locos hosce distribuit: quæ res imperio Romanorum magnam calamitatem attulit. Ac primum quidem Joannem sivit imperatorem esse, Andronico autem despotæ Thessalonicam ejusque urbis territorium donavit. Visum autem est huic propter summam imbecillitatem, Thessalonicam urbem et quæ ad eam pertinent Venetorum civitati vendere nummis

Digitized by Google

A ἔχουσι κατ' ἐμοῦ καὶ οὐ τρέφουσί με, εἰ μή ἐστι διὰ μὴ κεκτῆσθαι αὐτούς. Καὶ μετὰ δύο ἡμέρας ἐλθόντες πάλιν ζητοῦσί με· καὶ ἐδεήθην τοῦ αὐθέντου μου διὰ γραφῆς ἵνα ἐξαποστείλῃ ἄρχοντας συλλαλῆσαι τοῖς αἰχμαλωτεύσασί με πρὸς συμβίβασιν περὶ τῆς ἐμῆς ἐλευθερίας. Ὅπερ καὶ γέγονε. Καὶ συμβιβασθέντες δεδώκασιν αὐτῷ τὸ Σαραβάλε φρούριον τοιουτοτρόπως, ἵνα ἐγερθῇ καὶ ἀπέλθῃ εἰς τὸν οἶκον αὐτοῦ ἐν τῇ Γλαρέντζᾳ· καὶ μέχρις ὅλου Μαΐου εἰ μὲν ἔλθῃ ὁ μητροπολίτης καὶ αὐθέντης αὐτῶν, ποιησάτω ἐκεῖνος ὡς θέλει· εἰ δ' οὔ, παραδώσωσιν αὐτῷ τὸ κάστρον. Καὶ γεγονότων ὅρκων, καὶ παραλαβομένου καὶ τοῦ Σαραβάλε **146** τῇ πέμπτῃ Μαΐου, ἀπῆλθε μέχρι τῆς Σκλαβίτζας B καὶ Τεριόλου τὰ ὅρια. Δι' ἐμὲ δὲ ἐπαφῆκεν Ἰωάννην τὸν Ῥωσωτᾶν, ἵνα με ἄρῃ, σωζομένου ὅμως ὅτι μετὰ τὸ ἐλευθερωθῆναί με ἔξουσι τὸ βέβαιον τὰ πραχθέντα. Καὶ ἐλευθερωθεὶς ἡμιθανὴς σχεδὸν ἀπέσωσα ἔνθα ἦν ὁ αὐθέντης μου, ὃς εἶδέ με μετὰ χαρᾶς πολλῆς καὶ λύπης, τὸ μὲν ὅτι ἤμην οὕτως ἡμιθανής, τὸ δὲ ὅτι ἠλευθερώθην, καὶ πολλὰ εἶπε πρὸς ἔπαινον καὶ παραμυθίαν μου. Ἀπελθόντος μου οὖν εἰς τὴν σκηνὴν τὴν ἐμὴν προσέφερόν μοι εὐεργεσίαν τοιάνδε. Ἱμάτιον ἐπανώφορον διπλοῦν, χαμουχὰν πράσινον ἀπὸ Λούκκας ἀξιότιμον μετὰ πρασίνου ὑφάσματος καὶ καλοῦ ἐνδεδυμένον, σκούφιαν Θεσσαλονικαΐαν μετὰ χρυσοκοκκίνου χασδίου ἐνδεδυμένην, καβάδιον καρμεζὴν χαμουχᾶν μετὰ βαρέων καταρούχων ἐνδεδυμένον, κουρτζουβάκαν

C

cum sacerdote, qui ad eam divinis mysteriis impertiendam quotidie ventitabat; tum manus et oculos in cœlum attollens et veniam delictis suis petens, divini mysterii particeps fiebat. Quin etiam imperatori Joanni et despœnis aliisque multis frequenter se invisentibus, et qui tum propter ultimas ejus preces eam visebant, viris et feminis illustribus, et probatis hieromonachis et monachis abnuebat adeundi copiam precesque fundebat. Ita cum vixisset dies septem, ad Dominum abiit, et sepulta est honorifice, omnibus propemodum hieromonachis, vocatis et non vocatis, et primoribus utriusque sexus concurrentibus. Atque hæc quidem talia sunt et ad veritatem narrata.

6. Ego cum in carcere fuissem dies quadraginta adessetque lux dicata memoriæ magni martyris sancti Georgii, captivorum liberatoris, supplicitер hunc rogavi, ut cognominem me et a puero ipsius cultorem miseriis et vinculis eriperet. Tum somno oppressus, visus sum mihi esse in pulcherrimo templo Manganorum quod dicitur, illius nomini sacro. Ibi cum constitissem, pateram manu tenens et compedibus vinctus, imperatorem forte transeuntem, ut ecclesiæ sacris interesset, obsecravi, ut catenis me levaret. Cum jam intrasset in ecclesiam imperator, reversus unus de proceribus ita me allocutus est: «Jussit imperator, dominus noster, vinculis te liberari; id quod imperatrix, domina nostra, et omnes nos ab eodem petivimus.»

Et ecce, circa matutinum noctis ejusdem tempus, hora consueta, turris præfecti et alii viri, instrumentis ferreis instructi, catenis me expediunt, et excusant se mihi aiuntque, non hostili odio tam parce ac maligne victum se præbuisse, sed quia meliora quæ darent, non habuissent ipsi. Post biduum adsunt iterum et me cohortantur, atque ego per litteras dominum meum oravi, ut mitteret viros honoratos, qui de conditionibus liberationis meæ transigerent cum his, a quibus captivus detinebar: id quod factum est, et, composita amicitia, castellum Sarabale hoc ei pacto tradiderunt, ut Glarentzam domum recederet; et quidem si per Maium venisset metropolita et dominus ipsorum, faceret D is, quod vellet; si non venisset, castrum illi dederent. Dictis deinde utrimque sacramentis, et quinto Maii Sarabale accepto, Sclabitzam usque et ad fines Terioli abiit, ad me autem liberandum Joannem Rhosotanem misit, pactus, ut me libero demum, quæ acta essent, forent rata. Liberatus igitur, pæne semianimis perveni ad principem meum, qui magno me tum gaudio, tum dolore vidit, cum liber quidem, sed idem semianimis essem, multaque ad laudem et consolationem meam dixit. Postquam discessi in tentorium meum, hæc mihi munera oblata sunt: duplex amiculum, supparum prasini coloris pretiosum, Luccæ emptum et bombyce perpulcra inductum, birretum Thessalonicense, coccineo holoserico inductum, sagum sericum eleganter

Digitized by Google

χαμουχᾶν χρυσὸν πράσινον καὶ φωᾶν προύσινον, καὶ σπάθην ἐγκεκοσμημένην, καὶ φλωρία ἤτοι νούμια χρυσᾶ χιλιάδας τρεῖς.

θ'. Ἐπὶ τὴν αὔριον οὖν ἀπελθόντες εἰς Γλαρέντζαν, ἰδού τις ἄρχων τοῦ ἀμηρᾶ μετά τινας ὀλίγας ἡμέρας ἦλθε λέγων ὅτι ἡ Πάτρα τελεῖ τῷ ἀμηρᾷ τέλη, καὶ διαβαίνῃ αὐτῷ εἶναι· διὸ ἔπεχε αὐτῆς καὶ μὴ πολιόρκει αὐτήν. Εἰ δ' οὔ, πέμψομεν στρατὸν κατὰ σοῦ. Ὁ δ' αὐθέντης μου ἀποκριθεὶς **147** αὐτῷ εἶπεν· « Ἡμεῖς ἠκούσαμεν ὅτι θέλουσι παραδοῦναι αὐτὴν τοῖς Κατελάνοις. Οὐκ οὖν δοκεῖ μοι πρέπον εἶναι ἐᾶσαι ἡμᾶς τούς γε τοὺς ἐχθροὺς ἡμῶν καὶ ἐχθροὺς τοῦ ἀδελφοῦ μου τοῦ μεγάλου ἀμηρᾶ καὶ ἡμῶν παραλαβεῖν αὐτοὺς τὸ τοιοῦτον κάστρον τὸ ἐν μέσῳ τῶν ὁρίων ἡμῶν κείμενον. Διὰ τοῦτο ἀπήλθομεν ἐκεῖ, καὶ ἐξετάσαντες τὸ πρᾶγμα ἐστήσαμεν ἵνα μὴ γένηται· καὶ ἰδού, ὡς βλέπεις, ἠγέρθημεν ἐπανελθόντες οἴκαδε. Οὐ μετὰ πολλὰς ἡμέρας ἔχω κατὰ νοῦν ἵνα ἀποστείλω πρὸς τὸν ἀδελφόν μου τὸν μέγαν ἀμηρᾶν τοῦτον δὴ τὸν ἄρχοντα, » δεικνύων ἐμέ, « ὃς δηλοποιήσει αὐτῷ, καὶ πλείονα ἄλλα ἃ ἀναμεταξὺ ἡμῶν δεῖ ἐνεργεῖσθαι. » Ὁ οὖν Τοῦρκος ἀκούσας τούτους τοὺς λόγους, ἔτι δὲ καὶ φιλοδωρηθεὶς καλῶς, ἀπῆλθε χαίρων Ἐκείνου δ' ἀναχωρήσαντος προσέταξέ μοι λέγων· « Ἰδοὺ προετοίμαζε τὰ πρὸς χρείαν τῆς ὁδοῦ. » Καὶ μὴ εἰδὼς ἐγὼ τὸ τυχὸν, ἀνέφερον αὐτῷ ὅτι εἰ μὴ ἔλθῃ ὁ μητροπολίτης, Θεοῦ εὐδοκοῦντος, καὶ δώσωσι ἡμῖν τὸ κάστρον, κἀγὼ ἀναῤῥωσθῶ ὀλίγον. « Ἀλλ' ὅμως, εἶπέ μοι, προετοίμαζε πάντα τὰ εἰς ἐκπλήρωσιν τῆς προστάξεώς σου. »

η'. Τῆς δὲ προθεσμίας ἐλθούσης καὶ μὴ ἐλθόντος τοῦ μητροπολίτου, τῇ α' Ἰουνίου τοῦ αὐτοῦ ἔτους ἀπηρχόμεθα κινήσαντες εἰς Πάτραν. Ἐν ταύταις οὖν ταῖς ἡμέραις καὶ ὁ **148** αὐθεντόπουλος ὁ κὺρ Θωμᾶς τὸ τοῦ πριγκίπου Κεντηρίωνος πτολίεθρον τὴν Χαλατρίτζαν, τοῦ καὶ μετέπειτα γεγονότος πενθεροῦ αὐτοῦ, ἐπολιόρκει· ὁ δὲ αὐθέντης μου ἅμα τῷ ἀδελφῷ αὐτοῦ διήρχοντο διὰ τῆς ὁδοῦ τῆς εἰς Πάτραν φερούσης· κατελθόντες οὖν ἐμείναμεν ὁμοῦ εἰς τὴν Καρενίτζαν. Ἰωαννίκιος Βαλότας οὖν ὁ τοῦ πριγκίπου ἐκεῖσε ἄρχων, ὡς ἔμαθε τοῦτο, αἰτήσας ἀφιέρωσιν ἵνα ἀμφοτέρους τοὺς αὐθέντας ἔλθῃ προσκυνῆσαι αὐτοὺς, καὶ ἐλθὼν εὐθὺς τὰς τοῦ πτολιέθρου κλεῖς ἐκβαλὼν δέδωκε ταύτας τῷ αὐθέντῃ μου τῷ δεσπότῃ, εἰπών· « Τοῦτό ἐστι πτολίεθρον ἰδίως τοῦ αὐθέντου μου καὶ συγγάμβρου τῆς βασιλείας σου » (καὶ γὰρ ὁ τοῦ πριγκίπου υἱὸς προέλαβεν εἰς νόμιμον γυναῖκα τὴν ἀδελφὴν τῆς βασιλίσσης κυρίας Θεοδώρας), « ὃς μοι προσέταξεν ἵνα παραδώσω τοῦτο τῇ βασιλείᾳ σου. » Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· « Οὕτως ἔχει, ὅτι συγγενοῦς μού ἐστιν ὁ τοιοῦτος τόπος, ἀλλ' οὐ γνησιεστέρου τοῦ ἀδελφοῦ μου. Λοιπὸν εἰ προγενέστερον ἐποίει τοῦτο, ὁ ἀδελφός μου κατ' ἐμοῦ οὐκ ἐνεχειρίζετο οὐδὲν ὃ ἐγὼ εἶχον, καὶ αὐτὸς καὶ ὁ αὐθέντης σου ἀλλοτρόπως εἶχον αὐτό. Τὰ νῦν οὖν εἰ παραλάβω αὐτὸ, ἀνάγκη ἐστὶν ἵνα διαφερώμεθα μετὰ τοῦ ἀδελφοῦ μου, καὶ οὐ τυγχάνει διὰ πολύ τι, πολλῷ μᾶλλον διὰ τοσοῦτον. Ἀλλ' ἄπελθε ἐν αὐτῷ, καὶ ὡς δύνασαι ποίησον. » Ὡς οὖν ἤκουσε ταῦτα, ἤτησεν ἵνα ἀκάκως εἰσέλθῃ ἐν

ornatum, curtzubacas sericus aureus prasinus, gladius ornamentis conspicuus et florenorum sive nummorum aureorum tria millia.

7. Cum postridie Glarentzam profecti essemus, ecce paucis post diebus quidam ex ameræ optimatibus nuntium nobis affert, Patram ameræ tributa pendere in ejusdemque concessisse ditionem. Abstineret proinde ea urbe, neve eam obsideret: si minus contra eum exercitum missum iri. Cui ita respondit princeps meus: «Nos audieramus, velle eos urbem Catelanis tradere. Nam parum, mihi æquum videtur, pati nos communes fratris mei, magni ameræ, nostrosque hostes tale castrum occupare, in mediis finibus nostris situm. Qua de re hoc iter suscepimus, et, re cognita, id negotium ut impediremus, dedimus operam. Atque vides nos, collectis sarcinis, domum jam redire. Propediem autem ad fratrem meum, magnum ameram, mittere constitui hunc illustrem virum (me autem ostendebat) qui illi etiam alia multa exponet, de quibus inter nos agi necesse est.» Turca, his auditis, et muneribus bene cumulatus, læto animo discessit. Qui cum abisset, Constantinus jussit me parare, quæ ad iter faciendum necessaria essent. Ego, quid rei esset ignarus, respondi, ita fore, si Deo placuisset, ut non veniret metropolita, ac castrum nobis traditum esset, et postquam ipse aliquantum

convaluissem. At ille: « Nihilominus, inquit, ad perficiendum, quod mandatum tibi est, omnia præpara.»

8. Ubi venit dies præstituta, nec adfuit metropolita, Kalendis Junii ejusdem anni Patram movimus. Per eosdem dies etiam Thomas dominis Centerionis principis, cujus idem postea gener factus est, oppidulum Chalatritzam obsidebat. Dominus igitur meus cum fratre Patram processit, divertimusque una omnes Camenitzam. Itaque Johannicius Balotas, principis ibi procurator, ubi hoc didicit, postulata admissione, ambos dominos adoratum venit; et illico prolatas oppidi claves despotæ, domino meo, his verbis tradidit: «Oppidum hoc proprium est domino meo majestatis tuæ affini (etenim principis filius sororem Theodoræ imperatricis legitimis nuptiis sibi conjunxerat), qui mandavit mihi, ut majestati tuæ id dederem.» Respondet Constantinus: « Ita se res habet, locus iste affinis mei est, non fratris mihi cognatioris. Cæterum si prius hoc fecisset, frater meus nihil, quod ego tenerem, contra me occuparet, atque ille et princeps tuus incommode id tenebant. Nunc autem si oppidum accipio, inter me fratremque meum dissidium exoriri necesse est, quod ne magnæ quidem rei causa, nedum tantillæ fieri oportet. Sed tu abi in urbem et, quod potes, effice.» Illis auditis, petivit,

Digitized by Google

τῷ αὐτοῦ πτολιέθρῳ. Προσταχθεὶς **149** οὖν ἐγὼ συνώδευσα αὐτῷ μετὰ στρατιωτῶν. Καὶ περὶ τὴν ὁδὸν εὑρεθεὶς Ῥαοὺλ ὁ Θωμᾶς, καὶ νομίσας εὔκολον εἶναι ἵνα ἄρῃ αὐτὸν ἀπ' ἐμοῦ, καὶ εἰς κίνδυνον ἦλθε τοῦ φυέναι ἀνὰ τῶν ἀδελφῶν τι μάχιμον καὶ λυπηρόν· ὅμως οὖν Θεοῦ εὐδοκοῦντος ἐκεῖνον μὲν σῶον ἀπεκατέστησα οἴκαδε, κἀγὼ ἐπιστρέψας εὗρον τὸν αὐθέντην μου ἐν τῷ τοῦ ἁγίου Ἀνδρέου τοῦ πρωτοκλήτου ναῷ καὶ τάφῳ ἀποσωθέντα τῇ δ' Ἰουνίου ἑσπέρας. Τῇ ε' πρωῒ τοῦ αὐτοῦ, ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος, ἐξελθόντες πάντες οἱ τοῦ κάστρου ἔγκριτοι μετὰ παντὸς τοῦ λαοῦ, καὶ ἐλθόντες μέχρι καὶ τοῦ ῥηθέντος ναοῦ τοῦ ἁγίου Ἀνδρέου, τὸν δεσπότην καὶ αὐθέντην μου προσεκύνησαν καὶ τὰς κλεῖς τοῦ κάστρου παρέδωκαν αὐτῷ. Καὶ οὕτως κινήσαντες μετὰ πλείστης χαρᾶς ἀμφότερα τὰ μέρη, λέγω τοῦ αὐθέντου μου καὶ τοῦ πτολιέθρου, τινὲς ἔφιπποι καί τινες πεζοί, ἕκαστος κατὰ τὴν ἑαυτοῦ πηλικότητα, καὶ εἰσελθόντες εἰς τὸ κάστρον μέχρι καὶ τῶν κατὰ τὸν ναὸν τοῦ ἁγίου Νικολάου δωματίων ἀπῆλθομεν, τῆς μὲν ὁδοῦ πάσης κατεστρωμένης οὔσης πάντων ἀνθέων, καὶ εὐκοσμίας ἐκ δεξιῶν τε καὶ ἐξ εὐωνύμων, ἐκ δόμων πάντοθεν ῥαινομένων ῥοδοσταμμάτων καὶ ῥόδων καὶ τριακονταφύλλων. Ἀπὸ δ' ἄνωθεν τοῦ φρουρίου ἤτοι τοῦ πύργου διὰ σκευῶν καὶ τζαγγρῶν **150** κακῶς ἐδεξιοῦντο ἡμᾶς, ἀλλ' οὐδὲν ἔβλαψαν· οἱ γὰρ τοῦ μητροπολίτου κρατήσαντες τὸ φρούριον, ἔτι δὲ καὶ τὰ αὐθεντικὰ παλάτια τὰ πλησίον αὐτοῦ οἰκήματα σιταρχήσαντες καὶ ἀφιερώσαντες κατέσχον, ἐλπίζοντες ὅτι ἐλθόντος τοῦ μητροπολίτου διὰ τούτου πάλιν λάβωσι τὸ πτολίεθρον, ὅπερ καὶ πρότερον εἶχον. Ἡμῶν δὲ ἐπὶ τὴν αὔριον συναχθέντων ἐν τῷ τοῦ ἁγίου Νικολάου ναῷ, καὶ παντὸς τοῦ τῶν πολιτῶν δήμου, ὤμοσαν μετὰ ὅρκων ἵν' ὦσι πιστοὶ δοῦλοι καὶ ὑποτακτικοὶ τοῦ αὐθέντου ἡμῶν τοῦ δεσπότου· εἶτα ἐζήτησαν κἀμὲ τοῦ κρίνειν ἐν αὐτοῖς καὶ ἰθύνειν. Ὁ δὲ αὐθέντης μου ἀπεκρίνατο λέγων· « Καὶ μᾶλλον τοῦτο αὐτῷ ὀφείλομεν, καὶ χάριν τῆς ὑμῶν αἰτήσεως ἔσεται αὐτὸς εἰς κεφαλὴν ὑμῖν. » Τῇ δὲ ὀγδόῃ τοῦ αὐτοῦ Ἰουνίου μηνὸς διερχομένου μου εἰς Ναύπακτον, ἵνα πρὸς τὸν βασιλέα πρῶτον ἀπέλθω ἀκουστὸν ποιῆσαι αὐτῷ τὰ ἐν τῇ Πάτρᾳ παρακολουθήσαντα, εἶτ' ἀπ' ἐκεῖσε μετ' ἄρχοντος αὐτοῦ πρὸς τὸν ἀμηρᾶν, κατὰ τὴν τετάρτην τοῦ αὐτοῦ μηνὸς φθάσαντες ἐπείναμεν ἐν τῷ τοῦ ἁγίου Ἀνδρέου ναῷ. Ἰδοὺ καὶ δύο Τοῦρκοι διερχόμενοι τὴν Ναύπακτον, ὁ μὲν τοῦ ἀμηρᾶ, ὁ δὲ τοῦ Τουραχάνη, προσαγγέλλοντες ἐν προστάγματι ἵνα μὴ τὴν Πάτραν παραλάβωμεν. Οἵτινες δὲ πάλιν ὑπέστρεψαν μετ' ἐμοῦ ἀπολογίαν λαβόντες τοιάνδε, ὅτι ἐπεὶ ὁ παρὼν ἡμῶν ἄρχων ἀπέρχεται πρὸς τὸν ἀδελφόν μου τὸν μέγαν ἀμηρᾶν (δεικνύων ἐμὲ ἔφη αὐτοῖς ὁ **151** δεσπότης ὁ αὐθέντης μου), καὶ ὡς ἐκεῖνος προστάξει, οὕτως καὶ ποιήσομεν. Ἀναχωρησάντων οὖν ἡμῶν ἐν Ναυπάκτῳ ἐμείναμεν. Πρωῒ σκοτίας ἔτι οὔσης ἰδοὺ ἐκεῖσε καὶ ὁ παλαιῶν Πατρῶν μητροπολίτης τοὔνομα Πανδοῦλφος Μαλατέστας μετὰ τριήρεως Καταλανικῆς ἔφθασε· διερχόμενος γὰρ περὶ τὰ νησύδρια τὰ μέσον τῆς ὁδοῦ, ὡς ἔμαθεν ὅτι ἐδόθη τὸ πτολίεθρον τῷ δεσπότῃ, τὸν πλοῦν ἐποιήσατο διὰ τοῦ ἐκεῖσε κόλπου παρὰ τὴν Αἰτω-

ut tute urbem intrarem. Itaque jussus ego una perrexi cum manu militum. In itinere in Thomam Raulum incidimus: qui cum facile se posse Johannicium a me distrahere arbitraretur, periculum erat, ne inter fratres pugnæ et mala excitarentur. Sed favente Deo, illum salvum domum restitui, atque ipse reversus, in templo et sepulcro sancti Andreæ, qui primus ad apostolatum vocatus est, Constantinum inveni, quarto die Junii, ad vesperam. Die quinto, qui erat primus hebdomadis, mane omnes oppidi primores et plebs universa ad templum, de quo dictum est, progressi, despotam, dominum meum, venerabundi salutarunt tradideruntque ei oppidi claves. Itaque lætitia maxima pars utraque, et domini mei, et oppidi, alii equestres, alii pedites, pro sua quisque conditione, incedebant, atque castrum ingressi usque ad ædiculas juxta templum sancti Nicolai sitas processimus, tota via constrata omnis generis floribus et ad dextram lævamque ornata, cum e domibus insuper undique aqua rosacea et rosæ et odorifera folia spargerentur. De summo autem castello sive arce teli arcubusque balearibus male nos excipiebant, nec lædebant tamen. Nam qui a metropolita stabant, castellum occuparant, et præterea palatia principis in illius vicinia ædificata, spe ducti, fore ut, cum redisset metropolita, hujus auctoritate oppidum, quod etiam prius tenuerant, reciperent. Postera luce tota civitas, nobiscum in æde sancti Nicolai congregata, sacramentis fidem et obedientiam addixit despotæ, domino nostro. Deinde cum me præfectum et gubernatorem sibi exoptarent, respondit dominus meus: « Et ipsi admodum hoc debeo, et petentibus vobis satisfacio, ut vobis præsit. » Cum octavo die ejusdem mensis, Junii Naupactum discessissem, primum imperatori nuntium allaturus de rebus ad Patram transactis, deinde cum uno e proceribus ejus profecturus ad ameram, die quarto ejus mensis in templo sancti Andreæ commorati sumus. Advenerunt tum Naupactum forte duo Turcæ, vectantes unus ameræ, alter Turachanis nomine, ne Patram in ditionem nostram acciperemus. Hi mecum reversi, tale a Constantino responsum tulerunt: « Quoniam præsens hic vir ad fratrem meum, magnum ameram, proficiscitur (me autem his verbis significabat), ut ille decreverit, ita faciemus. » Sic igitur recessimus, constitimusque Naupacti. Antequam porro diluxerat, ecce etiam veterum Patrarum metropolita, Pandulphus Malatesta, illuc advectus est triremi Catelanica. Obiens enim insulas, trans quas via ferebat, cum oppidum despotæ traditum esse audisset, cursum per sinum illum proxime terram Ætolicam flexit, Naupactumque, urbem Ætoliæ, ut factum explorate cognosceret,

Digitized by Google

λικὴν χέρσον ἔγγιστα, καὶ ἀπεσώθη εἰς Ναύπακτον πόλιν τῆς Αἰτωλίας, ὅπως καλῶς μάθῃ περὶ τοῦ γεγονότος. Ἐδεήθη οὖν ἐπιμεῖναι κἀμὲ ἐκεῖσε καὶ ἐπὶ τὴν αὔριον· ἔγωγε ὑπεσχέθην τοῦτο ἕνεκεν δύο αἰτιῶν· τῆς μὲν ἵνα μηνύσω τῷ αὐθέντῃ μου περὶ τοῦ γεγονότος, ὃ καὶ παρ' ἐμοῦ ἔμαθε πρῶτον, τῆς δὲ ἵνα μάθω τίς ὁ σκοπὸς αὐτοῦ δὴ τοῦ μητροπολίτου. Διὰ ταύτας οὖν τὰς δύο αἰτίας ἀπέμεινα παρ' αὐτῷ. Μέσον δὲ γενομένου καὶ τοῦ Βικάρδου Μαρκέλλου ἡγεμόνος Ναυπάκτου, καὶ εἴδομεν ἀλλήλους, ὃν κἀγὼ βλέψας ἐθαύμασα ὅτι ἔοικεν εἰς πάντα τῷ τοῦ Σίδης μητροπολίτῃ. Συνανακείμενος οὖν ἐγὼ αὐτῷ καὶ συνομιλῶν, ἐν τῷ διαλέγεσθαι ἀεὶ μηχανούμενος ἦν ὅπως γνωρίσῃ τίνος ἕνεκεν ἤθελον ἐγὼ ἀπελθεῖν πρὸς τὸν ἀμηρᾶν, κἀγὼ ἐκεῖνον πυνθανόμενος τίς ὁ σκοπὸς αὐτοῦ περὶ τῶν κατὰ τῆς Πάτρας **152** συμβάντων, καὶ μὴ δυνάμενοι εἰς τοῦ ἑτέρου τὰ κρύφια γνωρίσαι. Ἔοικεν γὰρ ὡς τινες κερδαλέοι ἐποίησαν ἐμπορίας. Ὁ μὲν φορτίον εἶχεν ἀντὶ σηρικῆς μετάξης τὰς τῆς θαλάσσης βρύνας, ὁ δὲ ἀντὶ πεπέρεως σχοίνου σπόρον ξηρόν· καὶ συναπαντηθέντες ὁμοῦ ἐπυνθάνοντο ἀλλήλων « τί τὸ φορτίον; » ὁ μὲν, « Μέταξα, » ἔφη « ἐστί, τὸ ἐμόν· » ὁ δὲ, « Πέπερι· » καὶ ἕκαστος αὐτῶν ἐνόμιζε μήπως τὸν ἕτερον συμπαίξῃ. Καὶ οὕτως εἰς συνθήκην ἦλθον ἵνα ἀνταλλάξωσιν τὰ φορτία, καὶ μὴ γινώσκων ὁ εἷς τὰ τοῦ ἑτέρου ἕλαβον φορτία, καὶ σπουδαίως ἐπορεύετο ἕκαστος ἵνα πόρρω μακρύνῃ ἀπὸ τοῦ ἄλλου, μή πως ἡ μηχανὴ φανερωθείη· καὶ παραγενόμενοι ὁ εἷς ἔνθεν καὶ ὁ ἕτερος ἐκεῖθεν πολλῷ διαστήματι τῆς ὁδοῦ καὶ ἀνοίξαντες οὐχ εὗρον οὐδέν. Οὕτως ἐπάθομεν χἠμεῖς. Λοιπὸν ὁ μητροπολίτης δέδωκε τοῖς ἀπεσταλμένοις Τούρκοις παρὰ τοῦ ἀμηρᾶ καὶ τοῦ Τουραχάνη τοῖς μετ' ἐμοῦ οὖσι γράμματα πρὸς τοὺς ἑαυτῶν αὐθέντας τοὺς ἀποστείλαντας αὐτούς, κἀμοὶ δὲ πολὺς συνέβη λογισμὸς, μή ποτε ὑπόσχηται δοῦναι ἄστεά τινα τῆς Πάτρας, εἴπερ αὐτῷ βοηθήσῃ παραλαβεῖν αὐτὴν, ἢ πλῆθός τι χρημάτων. Καὶ μὴ παυόμενος τῷ λογισμῷ ἕως οὗ μάθω τὸ τί περιεῖχον τὰ γράμματα, καὶ πολλὰ κοπιάσας καὶ συνεσθίων αὐτοῖς ἐμέθυσα αὐτοὺς τὰ μέγιστα ἀκουσίως διὰ τὸ συγκοινωνεῖν **153** κἀμὲ σὺν αὐτοῖς πρὸς τὸ πιεῖν, καὶ σχεδὸν ἐμεθύσθην· καὶ τοσοῦτον ἐμέθυσαν ἐκεῖνοι ὥστε ἀπῆρα ἀπ' αὐτῶν τὰς ἐπιστολὰς, καὶ ἀνεγνωκὼς αὐτὰς καὶ μεταγράψας, πάλιν σφραγίσας εἶασα αὐτούς. Ὡς δὲ ἔφθασα εἰς τὴν πόλιν, ἐδόθη μοι συμπρέσβυς Μάρκος ὁ Παλαιολόγος ὁ Ἴαγρος ὁ καὶ ὕστερον πρωτοστράτωρ, τότε δὲ πρωτοβεστιαρίτης. Καὶ ἀντὶ τοῦ συμβοηθεῖν μοι ἐναντίος ἦν κατὰ τῆς ὑποθέσεως δι' ἣν ἐπῃρχόμην, καὶ οὐκ οἶδα τὸ αἴτιον, ἀλλ' ἢ τὸ ὁ φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον. Ἀπελθόντες δ' ὁμοῦ πρὸς τὸν ἀμηρᾶν ἐλόβομεν ἀπολογίαν ἵνα αὖθις ἀποδώσωμεν τὴν Πάτραν οἷς προεῖχον αὐτήν. Ἀπελογισάμην οὖν κἀγὼ τῷ πρώτῳ τῆς βουλῆς τοῦ ἀμηρᾶ τοὔνομα Ἰβραημ-πασιᾶ ὅτι τοιαύτην ἀπόκρισιν ἐγὼ οὐ τολμῶ εἰπεῖν τῷ αὐθέντῃ μου· ὅμως, ἐπεὶ ἐκεῖνος ἀπέστειλεν ἐμὲ πρὸς τὸν μέγαν ἀμηρᾶν, προσταξάτω καὶ αὐτός τινα τῶν

devenit. Rogavit igitur, ut ego quoque ad diem sequentem ibi manerem: quod ei duabus de causis promisi: una, ut indicarem domino meo quid contigisset, quod is sane ex me primum cognovit; altera, ut consilium metropolitæ discerem. Ob eas duas causas igitur cum illo mansi. Vidi ibi etiam intervenientem Bicardum Marcellum, Naupacti præfectum, quem mirabar omnino simillimum esse metropolitæ Sidensi. Malatesta, cum accubuissemus una et colloqueremur, in sermonibus studiose conabatur expiscari, qua de re ego ad ameram iter suscipere vellem, atque ego vicissim ex illo quærebam audire, quid ipse de rebus adversus Patram gestis sentiret: cumque neuter ex altero elicere posset secreta ejus consilia, accidit nobis, quod quæstuosis quibusdam accidit mercaturam facientibus, quorum alter pro serico plantam quamdam maritimam portabat, alter pro pipere junci baccam aridam. Hi cum sibi occurrissent, quæsissentque vicissim, quidnam mercium portarent, unus sericum, alter piper dixit. Itaque cum uterque alterius deludendi cupidus esset, convenit inter eos, ut permutarent merces, atque uterque quid alter haberet ignarus, ejus onus accepit abibatque festinanter, ut longe recederet ne fraus fieret manifesta. Diversi igitur cum abiissent et longo jam intervallo distarent, postremo apertis sarcinis, quod quærebant haud repererunt. Tale quid etiam nobis usu venit. Deinceps metropolita Turcis, ab amera et Turachane missis, qui mecum erant, ad eorum dominos, a quibus missi venerant, litteras dedit: ac vehemens me subiit suspicio, ne forte oppida quædam Patrensis territorii, aut aliquantum pecuniæ promisisset, si se in occupanda ea urbe adjuvaret. Nec cessavi a suspicione, donec cognovissem, quid eæ litteræ continerent, multumque operæ impendens et cum iis convivans, inebriavi eos quamvis repugnantes, cum una cum iis potarem, nec aberat multum, quin inebriarer ipse. Illi autem eo ebrietatis processerunt, ut epistolas iis subtraherem, quibus lectis et descriptis rursumque obsignatis, ipsos missos feci. Postquam in urbem veni, Marcus Palæologus Iagrus, qui postea protostrator fuit, tum autem protovestiarii dignitate fungebatur, legationis socius mihi adjunctus est. Is tantum aberat, ut me juvaret in negotio, ob quod veneram, ut adversaretur mihi: cujus ego rei nullam aliam causam novi, nisi quod invidia honorare utilitatem non consuevit. Una igitur ad ameram profecti, responsum tulimus, ut Patram iis, quorum fuisset, restitueremus; qua de re ego ei, qui ameræ primus erat a consiliis, Ibraemi-pasiani nomine, edixi, tale responsum non audere me referre ad dominum meum: verum tamen, cum ad magnum ameram ille me misisset, ipse quempiam mecum juberet abire, qui magni ameræ decretum

Digitized by Google

αὐτοῦ, ἵνα μετ' ἐμοῦ ἔλθῃ καὶ ἀπαγγέλῃ τῷ αὐθέντῃ μου τὸ τοῦ μεγάλου ἀμηρᾶ δόγμα. Καὶ στερεώσας τοῦτο λέγει· « Φρονίμως καὶ χρηστῶς εἶρηκας. » Ὁ δὲ Ἴαγρος μεμφόμενος ἐμὲ ὡς ἄπρακτον ἐλογίζετο καὶ μὴ δυνάμενον ἐκτελέσαι τι χρηστὸν εἰ μὴ ἐπιζήμιον· ἐγὼ δὲ Θεοῦ εὐδοκίᾳ ἔπραξα τοῦτο, καὶ ἦλθε σὺν ἐμοὶ τις παρὰ τοῦ ἀμηρᾶ πρέσβυς. Καὶ τοῦτο ἦν τὸ πρῶτον αἴτιον τοῦ λαβεῖν τὴν διόρθωσιν τὸ περὶ τῆς Πάτρας. A

154 η'. Τῷ δ' αὐτῷ Ἰουλίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἀπέθανε καὶ ὁ δεσπότης Κάρολος εἰς τὰ Ἰωάννινα, καὶ τῷ ,ϛϡλη' ἐν μηνὶ Σεπτεμβρίῳ εἰς τοὺς κρατικοὺς ἔπραξαν τὸ συνοικέσιον τοῦ αὐθεντοπούλου κὺρ Θωμᾶ οἱ αὐτάδελφοι αὐτοῦ καὶ δεσπόται μετὰ τῆς θυγατρὸς πριγκίπου Ἀσάνη Ζαχαρίου τοῦ Κεντυρίωνος· ἐν ᾧ δὴ μηνὶ κἀγὼ πάλιν ἐπανέστρεψα εἰς Λάρισσαν πρὸς τὸν Τουραχάνην, καὶ τὸ περὶ τῆς Πάτρας τελείως ἐδιώρθωσα. Καὶ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Νοεμβρίῳ ἡ βασίλισσα κυρία Θεοδώρα εὑρισκομένη εἰς τὸ Στάμηρον ἀπέθανε, καταλείψασα λύπην πολλὴν εἴς τε τὸν ἄνδρα αὐτῆς καὶ πάντας ἡμᾶς τοὺς αὐτῷ οἰκείους διὰ τὸ εἶναι αὐτὴν καλλίστην. Ἐτάφη δὲ μέχρι τινὸς ἐν μιᾷ τῶν ἐκκλησιῶν τῆς Γλαρέντζας, καὶ μετὰ ταῦτα ἀνεκόμισαν αὐτὴν εἰς τὴν ἐν τῇ Σπάρτῃ τοῦ Ζωοδότου μονήν. Καὶ τῷ Ἰανουαρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους εὐλογήθη ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς τὴν κυρίαν Αἰκατερίναν, θυγατέρα τοῦ ῥηθέντος πριγκίπου ἐν τῇ Σπάρτῃ. B

Τῇ δὲ κϛ' Μαρτίου τοῦ αὐτοῦ ἔτους, ἡμέρᾳ καὶ ὥρᾳ οἷς οἱ Πατρηνοί με ἔπιασον, ἐρχομένου μου εἰς τὸ δεσπότατον ὡς πρέσβυς ζητήσει τοῦ Καρόλου δεσπότου, ἀνεψιοῦ καὶ γυναικαδέλφου τοῦ αὐθεντός μου, καὶ τῶν φυσικῶν υἱῶν αὐτοῦ δὴ τοῦ Καρόλου, Ἐρκούλου καὶ Μενώνου, ἵνα εἰρηνοποιήσω **155** τούτους εἰς τὰ διαφερόμενα αὐτῶν· ἐποίησαν γὰρ ἐνόρκους συμφωνίας, λέγοντες ὅτι εἴ τι ἄρα γε διακρίνῃ ὁ ζητήσει ἡμῶν σταλεὶς ἄρχων τοῦ δεσπότου κὺρ Κωνσταντίνου (δηλονότι ἐγὼ) περὶ τῶν διαφορῶν αὐτῶν ὧν ἔχομεν, στερεώσωμεν ὁμοῦ τὰ μέρη· ἐρχόμενος οὖν κατὰ τὰ πλησίον τῆς ἁγίας Μαύρας νησύδρια ᾐχμαλωτίσθην ὑπὸ τῶν Καταλάνων μετὰ καὶ ἄλλων πολλῶν ἀνθρώπων καὶ σκευῶν πολυτίμων, καὶ κρατήσαντές με μέχρι τινὸς ἀπήγαγόν με ἄχρι τῆς Κεφαληνίας, ὡς δῆθεν διελθόντες εἰς τὰ περὶ τὴν Νεάπολιν. Τέλος ἐπεστρέψαμεν εἰς τὴν Γλαρέντζαν, κἀμὲ δὲ ἐπώλησαν καὶ τοὺς σὺν ἐμοὶ διὰ χρυσίνους χιλιάδας πέντε. C

Ἐν ᾧ δὴ καιρῷ μηνὶ Μαρτίῳ καὶ ὁ ἀμηρᾶς Ἀμουράτης ἐπολιόρκει τὴν Θεσσαλονίκην, κρατουμένην ὑπὸ τῶν Ἐνετῶν. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς πρέσβυν τὸν πρωτοσέβαστον Νικόλαον τὸν Χωνιάτην καὶ Φραγκόπουλον τὸν πρωτοστράτορα πρὸς τὸν ἀμηρᾶν, λέγων, « Οὐκ ἐξέστι μενούσης τῆς ἡμῶν φιλίας καὶ ἀγάπης, πολιορκεῖν σε τὰ ἡμέτερα· » ὁ δὲ ἀμηρᾶς ἀπεκρίνατο· « Ἀληθῶς λέγετε. Εἰ ἦτο ἐκ τῶν τοῦ βασιλέως, ἐγὼ οὐκ ἐπιχειριζόμην τι· εἰ δὲ καὶ ἐπιχειριζόμην, ἐγκατέλειπον ἄν. Πλὴν τοῖς πᾶσι δῆλόν ἐστι καὶ γνωστὸν ὁμοίως καὶ τῷ ἀδελφῷ μου τῷ βασιλεῖ καὶ ὑμῖν, ὅτι ἐκ πολλοῦ ἐπώλησε τὴν Θεσσαλονίκην καὶ τὰ πέριξ

domino meo renuntiaret. Quam petitionem approbans, « Prudenter, inquit, commodeque dixisti. » Iagrus autem me calumnians pro inepto habebat, quique ad nihil, nisi ad damnum parandum factus essem. Ego vero auxiliante Deo hoc effeci, venitque mecum ab amera legatus. Atque haec prima causa fuit, qua Patrense negotium eventum habuit.

9. Eodem mense Julio ejusdem anni Carolus despota apud Joanninam mortuus est, et anno 6958, mense Septembri, Thomæ principis fratres despotæ connubium inter ipsum et filiam principis Asanis Zachariæ Centerionis conciliarunt; quo mense ego Larissam ad Turachanem reverti, et Patrensem controversiam ad finem perduxi. Mense Novembri ejusdem anni imperatrix Theodora Stameri e vita excessit, ingenti desiderio sui tum marito, tum nobis omnibus domesticis propter eximiam suam venustatem relicto. Corpus in ædè quadam Glarentzæ ad tempus conditum, postea Spartam in monasterium Christi Salvatoris delatum est. Ejusdem anni mense Januario Thomas dominus solemni ritu Catharinam, dicti principis filiam, Spartæ uxorem duxit.

Die Martii vicesimo sexto ejusdem anni, die et hora, qua me Patrenses comprehenderant, cum legatus in despotatum proficiscens, rogatu Caroli despotæ, qui domini mei affinis et frater patruelis erat, et germanorum filiorum ejusdem, Herculis et Menonis, ut eos dissidentes inter se restituerem in concordiam: convenerant quippe et juraverant, si quid vir princeps a Constantino missus (ego videlicet) de litibus, quas haberent, decerneret, se id ratum habituros: cum igitur prope insulas Sanctæ Mauræ venissem, Catelani me cum aliis multis hominibus et rebus pretiosis ceperunt, atque aliquandiu retentum, abduxerunt in Cephaleniam, Neapolim videlicet trajecturi. Tandem Glarentzam reversi sumus, ubi me et reliquos captivos quinque aureorum millibus vendiderunt.

Quo quidem tempore, mense Martio, Amurates ameras Thessalonicam obsedit, quam tum Veneti tenebant. Misit imperator legatos Nicolaum Choniaten protosebastum et Francopulum protostratorem, qui hæc ameræ renuntiarent: « Pace et amicitia inter nos vigente, non licet tibi nostra obsidere. » Respondit ameras: « Recte dicitis. Si ea urbs imperatoris esset, non invasurus eam fuissem, aut, si invasissem, dimissurus; sed constat et notum est omnibus, et imperatori, fratri meo et vobis, jam pridem Thessalonicam cum locis adjacentibus omnibus ut peculium ab Andronico despota venditam esse Venetis. Jam vero non licet nec concedam, eam in confinio nostri vestrique

Digitized by Google

αὐτῆς πάντα ὡς ἴδιον **156** αὐτοῦ κτῆμα ὁ δεσπότης κὺρ Ἀνδρόνικος τοῖς Ἐνετίοις. Νῦν δὲ οὐκ ἔξεστιν, ἐάσω αὐτὴν ἐν μέσῳ τοῦ τόπου ἡμῶν καὶ ὑμῶν ἄρχεσθαι ὑπὸ τῶν Ἐνετῶν. » Καὶ οὕτως τῷ Ἀπριλλίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους παρέλαβε τὴν θαυμαστὴν Θεσσαλονίκην ὁ ἀμηρᾶς πολέμῳ.

Ὁ δὲ δεσπότης καὶ αὐθέντης μου κὺρ Κωνσταντῖνος Μαΐῳ τοῦ αὐτοῦ ἔτους παρέλαβε τὸ τῆς Πάτρας πολίχνιον, λιμοῦ αἰτίᾳ καὶ ἄλλης κακοπαθείας τῶν ἔνδον αὐτοῦ. Καὶ τῇ δεκάτῃ ἑβδόμῃ Ἰουλίου τοῦ αὐτοῦ ἔτους παρέλαβον οἱ Καταλάνοι τὴν Γλαρέντζαν, καὶ κρατήσαντές τινι καιρῷ εἶτα ἐπώλησαν αὐτὴν διὰ χρυσίνων νουμίων χιλιάδας δύο καὶ δέκα τῷ αὐθέντῃ μου, καὶ μετ' ὀλίγον προστάξας πάντα τὰ τείχη αὐτῆς ἐπόρθησε. Καὶ τῷ Αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐπαναστρέψαντες οἱ ἀπὸ τοῦ βασιλέως κὺρ Ἰωάννου πρὸς τὸν πάπαν Μαρτῖνον πρέσβεις, Μάρκος λέγω ὁ Ἴαγρος καὶ μέγας στρατοπεδάρχης, καὶ ὁ μέγας πρωτοσύγκελος καὶ ἡγούμενος τῆς σεβασμίας μονῆς τοῦ Παντοκράτορος, καὶ ὁ ἱερομόναχος καὶ πνευματικὸς Μακάριος ὁ Μακρὴς ὀνομαζόμενος, ἀνὴρ ἄριστος κατά τε λόγον καὶ ἀρετὴν καὶ σύνεσιν· καὶ διερχόμενοι τὴν Πελοπόννησον ἐποίησαν δι' ὁρισμοῦ τοῦ βασιλέως δεσπότην τὸν αὐθεντόπουλον κὺρ Θωμᾶν.

Καὶ τῷ ,ςϑλ' ἔτει μηνὶ Σεπτεμβρίῳ εὐηργετήθην ἐγὼ **157** τὴν τῆς Πάτρας ἡγεμονίαν. Καὶ τῷ αὐτῷ ἔτει Ὀκτωβρίῳ μηνὶ ἀπῆρεν ὁ μπεγλὲρ μπέης τῶν Τούρκων τοὔνομα Σινάνης τὰ Ἰωάννινα καὶ τὴν αὐτῶν περιοχήν. Καὶ τῇ κϛ' Μαρτίου τοῦ αὐτοῦ ἔτους, ἐν ἡμέρᾳ καὶ ὥρᾳ τῇ αὐτῇ ἐν ᾗ καὶ τὰ προγεγονότα μοι συνέβη, ἐδεξάμην καὶ τὸ λυπηρὸν ἐμοὶ μήνυμα παρὰ τοῦ αὐθέντου μου δι' ἐκείνου γράμματος ἐκ τῆς Βοστίτζας, ὅτι τοῦ παρελθόντος Ἰανουαρίου ζ' τέθνηκε λοιμώδει νόσῳ ὁ ἄριστος κάμοὶ φίλος Μακάριος ὁ καὶ Μακρὴς καλούμενος, ὁ παρ' ὀφθαλμῷ μὲν πατριαρχικῷ ὑπερηφάνῳ καὶ πλεῖστα ἀγεριώχῳ καρδίᾳ αἱρετικὸς, παρὰ δὲ ὀφθαλμῷ παντοκρατορικῷ ἀκοιμήτῳ καὶ ἀληθείᾳ δικαζούσῃ ὀρθόδοξος ὤν. Ὃς τινι καιρῷ καὶ εἰς Κωνσταντινούπολιν ἐπανῆλθεν ἀπὸ τοῦ ἁγίου ὄρους καὶ τὴν μονὴν τοῦ Παντοκράτορος ἔλαβε παρακινήσει καὶ συνεργίᾳ ἐμῇ, ὡς οἱ πάντες ἐπίσταντο· καὶ συνάρσει μὲν πρῶτον τοῦ παντοκράτορος Θεοῦ, ἔπειτα δὲ σπουδῇ τε καὶ ἐπιμελείᾳ ἐμοῦ τε κἀκείνου πᾶν καλὸν πρὸς σύστασιν καὶ εὐκοσμίαν εἰς τὴν αὐτὴν μονὴν προεχώρησε. Καὶ τῷ τέλει τοῦ ἔαρος αὐτοῦ δὴ τοῦ ἔτους ἦλθεν ὁ Τουραχάνης καὶ κατεχάλασεν αὖθις τὰ τοῦ Ἰσθμοῦ τείχη. Καὶ πολλὴ λοιμικὴ νόσος γέγονεν ἐν τῇ Πάτρᾳ.

ι'. Καὶ τῇ λα' Ἰανουαρίου τοῦ ,ςϑμ' ἔτους σταλθεὶς ἐγὼ ἀπῆλθον πρέσβυς πρὸς τὸν ἀμηρᾶν καὶ τὸν βασιλέα, ἀφ' οὗ δὴ τοῦ βασιλέως καὶ τὸ τοῦ πρωτοβεστιαρίου ὀφφίκιον **158** τότε εὐηργετήθην. Ἐν ᾧ ἔτει τῷ Μαρτίῳ μηνὶ καὶ ἡ ἐναλλαγὴ τῶν τόπων ἀμφοτέρων τῶν ἀδελφῶν καὶ δεσποτῶν κὺρ Κωνσταντίνου καὶ κὺρ Θωμᾶ ἐγένετο· ὁ μὲν ἀπῆρεν τὰ Καλάβρυτα καὶ πάντα τὰ ἐκεῖσε, ὁ δὲ τὴν Γλαρέντζαν καὶ τὰ περὶς αὐτῆς πάντα.

Καὶ τῷ ,ςϑμα' ἔτει τέθνηκεν ἡ τοῦ Μαλατέστα θυγάτηρ, γυνὴ τοῦ δεσπότου κὺρ Θεοδώρου τοῦ πορφυρογεννήτου, ἡ κυρία Κλεώπα τοὔνομα· καὶ ἐτάφη ἐν τῇ τοῦ Ζωοδότου μονῇ.

imperii teneri a Venetis. » Atque ita mense Aprili ejusdem anni inclytam Thessalonicam ameras vi cepit.

Constantinus despota autem, dominus meus, mense Maio ejusdem anni Patram in potestatem redegit, pesti aliisque civium incommodis subactam. Decimo septimo Julii anni ejusdem Catelani Clarentzam occuparunt, eamque aliquandiu retentam, duodecim aureorum millibus domino meo vendiderunt, qui brevi post mœnia ejus universa destrui jussit. Mense Augusto ejusdem anni redierunt ab imperatore Joanne ad Martinum papam missi legati, Marcus Jagrus, magnus stratopedarcha, et magnus protosyncelus et venerando monasterio Pantocratoris præfectus, hieromonachus et spiritualis pater Macarius, cognomine Macra, vir eloquentia, virtute et prudentia præstantissimus. Hi, per Peloponnesum proficiscentes, Thomam principem jussu imperatoris despotam fecerunt.

Anno 6959, mense Septembri, præfectura Patrensi cohonestatus sum. Eodem anno, mense Octobri, Beglerbegus Turca, nomine Sinanes, Joannina regionesque adjacentes occupavit; et vicesimo sexto Martii die et hora eadem, qua ante narrata mihi acciderunt, per litteras domini mei, Bostitza scriptas, tristem nuntium accepi, prætereiti Januarii die septimo mortuum esse pestifero morbo virum optimum et mihi amicissimum Macarium Macram : qui cum patriarchæ oculis superbis et animo ferocissimo hæreticus videretur, omnipotenti semperque vigili et ad veritatem judicanti oculo orthodoxus erat. Is quodam tempore Cpolim, a monte sancto reversus, me auctore et adjutore ut sciebant omnes, monasterium Pantocratoris regendum accepit, et auxilio quidem primum omnipotentis Dei, deinde meo et ipsius studio et diligentia, ad res monasterii ejus ordinandas administrandasque omnia præclarissime fecit. Exeunte vere ejusdem anni Turachanes, impressione facta dejecit rursus muros Isthmi, ac Patræ vehemens pestilentia fuit.

10. Die primo et tricesimo Januarii anni 6940 missus sum legatus ad ameram et imperatorem qui tum protovestiarii dignitate me ornavit. Quo eodem anno, mense Martio, permutatio locorum inter duos fratres et principes, Constantinum et Thomam, facta est : quorum alter Calabryta et quæ sunt in vicinia, alter Clarentzam et circumjacentia loca accepit.

Anno 6941 Malatestæ filia, uxor Theodori despotæ porphyrogeniti, Cleopa domina, obiit et in monasterio Christi Salvatoris sepulta est.

Digitized by Google

Καὶ τῷ ,ςϑμβ' ἔτει Ἰανουαρίου ζ' πάλιν ἀπῆλθον πρέσβυς πρὸς τὸν κὺρ Ἀντώνιον τὸν Κομνηνὸν τὸν τῶν Ἀθηνῶν αὐθέντην καὶ πρὸς τὸν ἀμηρᾶν καὶ πρὸς τὸν βασιλέα. Ἐν ᾧ δὴ Ἰανουαρίῳ τῇ κϑ' αὐτοῦ, νυκτὸς ὥρᾳ τρίτῃ, ἐπυρπόλησαν παῖδές τινες ἀργοντόπουλοι τὸν ἐν Βλαχέρναις εἰς ὄνομα τῆς Θεομήτορος θεῖον ναὸν τὸν περικαλλῆ καὶ θαυματουργὸν, θέλοντες πιάσαι τινὰς νεοττοὺς περιστερῶν· ὃς ναὸς ἔκειτο ἐν τῇ Κωνσταντινουπόλει πλησίον τοῦ κεραατικοῦ κόλπου ἐν τῷ αἰγιαλῷ. Καὶ τοῦτο ἀκηκόαμεν ἐν τῇ Κωνσταντινουπόλει ἀπερχόμενοι τῇ πρώτῃ Φεβρουαρίου, ὥρᾳ μετὰ τὸν ἑσπερινὸν τῆς Δεσποτικῆς ἑορτῆς τῆς Ὑπαπαντῆς. Καὶ ἐπεὶ ὁ εἰρηκὼς οὐκ ἐγνώσθη, ἐλογισάμεθα ψεῦδος εἶναι, καὶ διελθόντες παρέμπροσθεν μονὰς πέντε οὐδὲν περὶ τούτου ἠκούσαμεν, καὶ **159** εἰς τὴν ἐν τῷ Ῥαιδεστῷ ἕκτῃ μονῇ ἡμῶν ἐμάθομεν τοῦτο ἀκριβῶς, πῶς καὶ πότε ἐγένετο, ὅπερ καὶ παράλογον.

Καὶ κατ' ἀρχὰς τοῦ θέρους τοῦ ,ςϑμγ' ἀπέϑανε καὶ ὁ τῶν Ἀθηνῶν αὐθέντης καὶ Θηβῶν ὁ προρρηθεὶς κὺρ Ἀντώνιος Λαντζιόλης ὁ Κομνηνός· καὶ ζητήσει τῆς ἐκείνου γυναικὸς Μαρίας Μελισσηνῆς, θυγατρὸς Λέοντος τοῦ Μελισσηνοῦ, πρώτου ἐξαδέλφου Νικηφόρου τοῦ Μελισσηνοῦ ὃν προεδηλώσαμεν, ἐστάλην ἐγὼ μετὰ ἐνόρκου ἀργυροβούλλου καὶ πολλῶν στρατιωτῶν, ἵνα παραλάβω τὴν Ἀθήναν καὶ Θήβαν, καὶ ἄλλον ἀντ' αὐτῶν εἰς τὴν Πελοπόννησον αὐτῇ δώσω τόπον, κατὰ τὰ μέρη τῆς Λακωνικῆς, πλησίον ὥνπερ εἶχε τῆς αὐτῆς πατρικῆς κληρονομίας καὶ προικὸς, αἵ εἰσιν αἱ κάτω γεγραμμέναι

A χῶραι καὶ πόλεις καὶ κῶμαι, Ἄστρον, Ἅγιος-Πέτρος, Ἅγιος-Ἰωάννης, Πλαταμόνας, Μελίγον, Προάστειον Λεωνίδας, Κυπαρισσία, Ῥέοντας καὶ Σίτανας, καὶ οὕτως ἐγγὺς αὐτῶν δώσω αὐτῇ τόπον ὁπόσον καὶ οἷον φανήσεταί μοι εἰς γνώμην καὶ βουλὴν αὐτῆς. Προλαβόντος δὲ τοῦ Τουραχάνη καὶ τὴν Θήβαν ἀποκλείσαντος, ἣν καὶ παρέλαβε μετά τινας ἡμέρας, ἄπρακτος ἐγὼ ἐπανέστρεψα ἀπὸ τοῦ Ἰσθμοῦ, τοῦτο παραγγελίαν γὰρ ἔχοντός μου. Εἰς δὲ τὰ Στυλάρια εὑρισκομένου τοῦ δεσπότου καὶ αὐθεντός μου καὶ τὰς τῶν Ἐνετῶν ἐμπορικὰς **160** τριήρεις προσδοκῶντος ἵνα ἐμβὰς εἰς τὴν πόλιν ἀπέλθῃ, ἰδοὺ ἐγὼ ἄπρακτος ἔφθασα.

ια'. Καὶ ἐμβάντες εἰς τὰς τῶν Ἐνετῶν τριήρεις καὶ φθάσαντες εἰς Εὔριπον, ἔδοξε τῷ αὐθέντῃ μου καλὸν εἶναι ἀποστεῖλαί με πρὸς τὸν Τουραχάνην ἐν Θήβῃ εὑρισκόμενον, ἵνα τὰ περὶ τῆς Ἀθήνης αὐτῷ δηλοποιήσω. Καὶ παραγενομένου μου ἐδέχθη με μετὰ χαρᾶς, καὶ ἐπληροφόρησέ μοι μεθ' ὅρκου λέγων ὅτι Εἰ ἔγνωκα τοῦτο πρὶν οἴκοθεν ἐξελθεῖν με ἐνταῦθα, ἕνεκεν τῆς πρὸς τὸν δεσπότην ἀγάπης καὶ πρὸς σὲ γνωριμίας χαριέντως ὃ αἰτεῖς πληρῶσαι εἶχον, ἐπεὶ ἄνευ προστάγματος τοῦ μεγάλου αὐθέντου ἐποίησα τοῦτο, διότι ὅτε ἦμην ἐν τῷ οἴκῳ μου πλείστας προφάσεις ἐδυνάμην εὑρεῖν, νῦν δὲ πρόφασιν οὐκ ἔχω οὐδεμίαν. Φιλοφρονηθεὶς δὲ φιλοτίμως ἐγὼ παρ' ἐκείνου, καὶ τοὺς υἱοὺς αὐτοῦ προσέφερέ μοι εἰς προσκύνησίν μου, καὶ παρετίθετο αὐτοὺς ἐμοὶ καὶ τῷ αὐθέντῃ μου, ἐξ ὧν ἦν εἷς ὁ νῦν πολὺς καὶ μέγας ἀμήρης. Καὶ οὕτως τῶν ἐκεῖθεν ἐπανέστρεψα ἄπρακτος. Καὶ ἐπεὶ προλαβόντες

Anno 6942, die Januarii septimo, rursus legatus ad Antonium Comnenum, Athenarum dominum, ad ameram et ad imperatorem profectus sum: cujus mensis die vicesimo nono, noctis hora tertia pueri quidam nobiles, pullos columbinos comprehendere laborantes, incenderunt Dei Matris nomine ædificatum in Blachernis templum pulcherrimum et miraculis nobile, situm Cpoli in littore prope sinum ceratinum. Audivimus hoc Cpoli in ipso discessu, kalendis Februariis, hora prima post meridiem diei festi, qui ὑπαπαντὴ dicitur; cumque homo, qui rem narravit, ignotus nobis esset, commentitiam eam esse putavimus, et per itineris stationes quinque nihil de eadem edocti, tandem Rhædesti, quæ erat statio sexta, certo cognovimus, quo modo et tempore acciderit, quantumvis res videretur incredibilis esse.

Ineunte æstate anni 6943 etiam Antonius Lantziola Comnenus, Athenarum Thebarumque dominus, e vita cessit; ac rogante conjuge ejus, Maria Melissena, filia Leonis Melisseni, primi e patruelibus Nicephori Melisseni, cujus supra mentionem fecimus, ego cum litteris juratoriis, bulla argentea insignitis, multisque militibus missus sum Athenas et Thebas receptum, pro quibus illi alium locum in Peloponneso darem, in regione Laconica, finitimum iis quæ ex hæreditate paterna et dote sua

habebat: quæ quidem regiones, oppida et vici hæc sunt: Astrum, Sanctus-Petrus, Sanctus-Joannes, Platamonas, Meligum, Proasteum, Leonidas, Cyparissia, Rheontas, Sitanas. His igitur finitimum locum ei darem, qualem quantumque mihi videretur, et qui ad ipsius sententiam ac voluntatem esset. Sed quoniam antevertens Turachanes Thebas jam obsidebat, quas idem paucis diebus, expugnavit, ego, ut mandatum mihi fuerat, ex Isthmo re infecta redii, atque ad dominum meum Stylariis agentem triremesque Venetorum mercatorias exspectantem, quibus in urbem veheretur, frustra suscepto itinere, perveni.

11. Cum conscensis Venetorum triremibus venissemus in Euripum, visum est domino meo, mittere me ad Turachanem Thebis versantem, ut de Athenis cum eo agerem. Is advenientem me hilariter excepit, affirmavitque jurejurando, istud si novisset, priusquam domo huc profectus esset, pro amore, quo in despotam esset, et propter notitiam mei, libenter, quod peterem, facturum fuisse, siquidem injussu magni ameræ hoc fecisset et domi plurimas potuisset causas prætendere, nunc nullam posset. Habebat autem me benigne et honorifice, ac filios etiam me salutatum adduxit, eosque mihi et domino meo commendavit: e quibus unus fuit, qui hodie nobilis et magnus ameras est. Hoc igitur

Digitized by Google

οἱ ἐν τῷ Εὐρίπῳ ἦραν τὴν γέφυραν ἀκουσίως τῇ κθ' Αὐγούστου, ἡμεῖς ἐμείναμεν ἐν ἐκείνῃ τῇ νυκτὶ εἰς τὰς ἕξωθεν τῆς γεφύρας πέτρας· καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ πολλὰ ἐναντία ἐπάθομεν ἀπό τε ψύχους καὶ πείνας καὶ ἀπὸ τῆς ξηρότητος τῶν πετρῶν ἀπό τε φόβου τῶν λῃστῶν καὶ τῶν ἀπὸ τοῦ Τουραχάνη στρατοῦ **161** διὰ τὸ ξένους τοὺς ἵππους εἶναι, οὓς ἐκ τοῦ Λιέθρου ἐδανεισάμεθα, ὅ τι καὶ παροιμία ἐγένετο ἐπὶ κακῷ τοῖς μετ' ἐμοῦ τότε οὖσιν εἰς τὸν μετέπειτα ἤτοι ἐπιόντα χρόνον. Ἀναβάντες οὖν εἰς τὰς τριήρεις ἐπὶ τὴν αὔριον, τῇ κγ' τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ,ςϑμϐ' ἔτους εἰς τὴν Κωνσταντινούπολιν ἐφθάσαμεν.

ιβ'. Τῇ δὲ κε' Μαρτίου τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν ἡ τοῦ Παρασπονδήλου μεγάλου δουκὸς θυγάτηρ ὀνόματι Ζωὴ, μετὰ βασιλικῆς τριήρεως ἐσταλμένη μετὰ Μανουὴλ τοῦ Παλαιολόγου, ἵνα κομίσωσιν αὐτὴν, ἣν δὴ καὶ μετά τινας ἡμέρας ηὐλογήθη ὁ δεσπότης ὁ κὺρ Δημήτριος· μεθ' ἧς δὴ τριήρεως παρεγένετο εἰς τὴν πόλιν καὶ ὁ δεσπότης κὺρ Θεόδωρος διὰ τὸ εἶναι αὐτὸν ἐν τῇ πόλει διάδοχον τῆς βασιλείας ὡς δεύτερος ἀδελφὸς, ὃ καὶ ὁ βασιλεὺς ἐπεκύρου αὐτῷ ἀκουσίως, ὅτι τὸν κὺρ Κωνσταντῖνον τὸν αὐθέντην μου καὶ ἀδελφὸν αὐτοῦ πλεῖον ὠρέγετο ἔχειν ἐγγὺς αὐτοῦ ἐν τῇ πόλει, ὡς καὶ ὁ λόγος προῖὼν δηλώσει. Ἐπεὶ δὲ οὕτως παρηκολούθησε τὸ πρᾶγμα, ἐσπούδαζεν ἵνα εἰς τὴν Πελοπόννησον καὶ τοὺς τρεῖς ἀδελφοὺς ἐγκατοικήσῃ. Ὁ γοῦν αὐθέντης μου πάλιν ὁ δεσπότης κὺρ Κωνσταντῖνος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ κὺρ Θωμᾶ τοῦ δεσπότου (ἦν γὰρ μεθ' ἡμῶν ἐν τῇ πόλει ὁ πρῶτος ἄρχων τοῦ οἴκου ἐκείνου ὀνόματι Ῥαοὺλ Μιχαὴλ) ἐσπούδαζον ἵνα οἱ δύο μὲν σὺν τῷ βασιλεῖ μείνωσιν ἐν τῇ πόλει, οὗτοι δὲ οἱ δύο αὐθένται εἰς τὴν Πελοπόννησον. **162** Διὰ ταύτην δὴ τὴν αἰτίαν καὶ τῷ Ἰουνίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους διέβη ἀπὸ τῆς πόλεως εἰς τὴν Πελοπόννησον ὁ δεσπότης κὺρ Κωνσταντῖνος ὡς φεύγων μετά ὀκατίου τινός, κἀγὼ δὲ παρ' αὐτοῦ σταλεὶς πρὸς τὸν ἀμηρᾶν διὰ ταύτην δὴ τὴν αἰτίαν, ἵνα αὐτὸν ὑπὲρ ἑαυτῶν ἔχωσι. Καὶ οὕτως ἀπελθὼν τὰ ἀνατεθειμένα μοι καλῶς ᾠκονόμησα, καὶ διὰ ξηρᾶς εἰς Πελοπόννησον ἔφθασα. Εὗρον δὲ τοὺς ἀδελφοὺς καὶ αὐθέντας ἔχοντας ἤχλησιν μάχης μεγάλην· ὄπισθεν γὰρ τοῦ κὺρ Κωνσταντίνου τοῦ αὐθέντου μου σταλεὶς μετὰ τριήρεως ὁ κὺρ Θεόδωρος, ἵνα κατὰ τῶν δύο ἀδελφῶν αὐτοῦ μάχηται, καὶ στρατοῦ πλείστου συναθροισθέντος ἄμφω τοῖς μέρεσι, καὶ πόλεμός τις ἀνὰ αὐτῶν γέγονε. Τῷ ,ςϑμε' ἔτει ἀπεστάλησαν παρὰ τοῦ βασιλέως πρέσβεις πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ ὁ ἄγαν χρηστὸς Διονύσιος ἱερομόναχος, ὁ χρηματίσας καὶ μητροπολίτης Σάρδεων, καὶ ὁ Δισύπατος Γεώργιος, καὶ οὗτοι τὴν μάχην μικρόν τι κατεπράῦναν. Τέλος δὲ πάλιν ἄλλων ἐλθόντων πρέσβεων, τοῦ Μελισσηνοῦ λέγω Γρηγορίου ἱερομονάχου καὶ πνευματικοῦ, τοῦ καὶ χρηματίσαντος ὕστερον πατριάρχου Κωνσταντινουπόλεως, ὃς καὶ παρ' ἄλλοις Στρατηγόπουλος ἐπωνομάζετο καὶ σὺν αὐτῷ δὴ καὶ τῷ Γρηγορίῳ πάλιν τοῦ Δισυπάτου καὶ ἐμοῦ συμβιβασάντων καὶ συμφρονησάντων αὐτοὺς ἵνα ὁ μὲν αὐθέντης μου καὶ δεσπότης ἀπελθὼν παροικήσῃ ἐν τῇ Κωνσταντινουπόλει, ὁ δὲ κὺρ **163** Θεόδωρος καὶ κὺρ Θωμᾶς οἱ δεσπόται ἐν τῇ Πελοποννήσῳ. Καὶ τῇ ε' τοῦ Σεπτεμβρίου τῷ ,ςϑμη' διέβη ἀπὸ τῆς

modo infecta re redii. Cum autem Euripum qui accolebant, licet inviti, pontem sustulissent die Augusti 29, nos eam noctem extra pontem inter saxa transegimus, et multa adversa a frigore, fame et duritie saxorum, a timore item latronum et militum Turachanis pertulimus, quoniam equi nostri, quos e Liethro mutuati eramus, peregrini erant: quæ res proœmium quoddam malorum fuit, quæ postea experti sunt, qui tunc mecum erant. Conscensis postridie triremibus, vicesimo tertio die Septembris, anno 6944, Cpolim pervenimus.

12. Vicesimo quinto Martii ejusdem anni in urbem venit Paraspondeli, magni ducis, filia, nomine Zoe, triremi imperatoria, qua eam adduci voluit imperator, cum Manuele Palæologo advecta, atque nupsit post dies aliquot Demetrio despotæ. In eadem triremi venit etiam Theodorus despota, qui ut frater natu secundus imperii in urbe hæres erat, quod ei jus imperator non nisi invitus concessit, quippe qui Constantinum fratrem, dominum meum, secum in urbe habere mallet, id quod procedens narratio nostra declarabit. Quia vero sic evenerat, dedit operam, ut in Peloponneso tres fratres collocaret. Itaque Constantinus, dominus meus, et frater ejus, Thomas despota (erat enim nobiscum in urbe primus illius domus dux, Raul Michael) nitebantur, ut apud imperatorem in urbe duo alteri manerent, ipsi discederent in Peloponnesum. Atque hac de causa Junio mense ejusdem anni Constantinus despota velut fugitivus parvo navigio Cpoli in Peloponnesum abiit, et ego ad ameram missus sum, ut hunc in ipsorum partes pertraherem. Discessi igitur et mandatum mihi negotium feliciter transegi; deinde per terram in Peloponnesum reversus, inveni fratres principes magnis bellorum turbis implicatos. Constantinum enim, dominum meum, ut insequeretur et duos fratres debellaret, avectus est cum triremi Theodorus dominus, atque utrinque magnis collectis copiis, bellum exarsit. Anno 6945 ab imperatore ad fratres legati probissimus vir Dionysius hieromonachus, qui metropolita Sardium fuit, et Georgius Disypatus bellantium impetum aliquantum mitigarunt; tandemque alii missi legati, Gregorius Melissenus hieromonachus et pater spiritualis, qui etiam patriarchæ Cpolitanus postea fuit et a nonnullis Strategopulus appellabatur, et cum eo rursum Disypatus et ego, ita eos in amicitiam concordiamque reduximus, ut dominus meus discederet Cpoli habitatum, Theodorus et Thomas despotæ in Peloponneso essent. Itaque Constantinus die 5 Septembris anni 6948 Patra per terram ad Euripum nobiscum abiit, et vela fecimus ab urbe Euripi, in tri-

Digitized by Google

Πάτρας διὰ ξηρᾶς εἰς τὸν Εὔριπον ἀπελθών, ὁ αὐθέντης μου λέγω, σὺν ἡμῖν· καὶ ἐμβάντες εἴς τινα τῶν Ἑνετῶν τριήρη ἀπὸ ἄστεος Εὐρίπου Εὔβοιαν λεγομένην, ἐν ᾗ δὴ τριήρει ἦν καὶ ὅ ποτε ἐν τῇ Πάτρᾳ κανονικὸς Μάρκος ἡνίκα ἀπήλθομεν κατ' αὐτῆς, ὃς γέγονε καὶ λεγάτος παρὰ τοῦ πάπα Εὐγενείου τοῦ συγγενοῦς αὐτοῦ, καὶ παρ' ἐκείνου ἔτι καὶ πρὸς τὸν βασιλέα διὰ πρεσβείας ἀπεστάλη, καὶ τῇ κδ' τοῦ αὐτοῦ μηνὸς Σεπτεμβρίου ἀπεσώθημεν εἰς τὴν πόλιν.

Ἀλλ' ἐπειδὴ ἐν τῷδε τῷ καιρῷ διάλεξίς τις σεσημειωμένη ἐγένετο ἀναμεταξὺ τοῦ βασιλέως κὺρ Ἰωάννου καί τινος Ἑβραίου Ξένου τοὔνομα, τοῦ μετέπειτα διὰ τῆς τοῦ ἁγίου βαπτίσματος ἀναγεννήσεως μετονομασθέντος Ἐμμανουὴλ, λοιπὸν οὐκ ἀφήσω τοῦ διηγεῖσθαι.

Ἐν πρώτοις ἠρωτήθη ὁ βασιλεὺς παρὰ τοῦ Ἑβραίου τοιάδε· « Πῶς ἦν δυνατὸν τεκεῖν τὴν Μαρίαν τὸν Χριστὸν παρθένον οὖσαν; » Ὁ δὲ βασιλεὺς ἀπεκρίθη· « Πῶς ἔτεκεν ὁ Ἀδὰμ τὴν Εὔαν χωρὶς γυναικός; καὶ πῶς ἐξήνθησεν ἡ γῆ χωρὶς σπέρματος; πῶς ἔβλυσεν ὕδωρ ἡ ἀκρότομος πέτρα; πῶς τοῦ Ἀαρὼν ἐβλάστησεν ἡ ῥάβδος; πῶς οὐρανόθεν κατεπέμφθη τὸ μάννα; πῶς ἐπληθύνετο ἡ ὑδρία τοῦ ἀλεύρου; πῶς τὸ ἔλαιον Ἐλισσαίου ἔβλυσεν εἰς τοὺς κεράμους; πῶς ἡ **164** ῥάβδος τοῦ Ἰεσσαὶ ἐβλάστησεν ἄνθος; πῶς ἐπὶ Γεδεὼν ὁ πόκος ἀπερρύη δρόσον; πῶς ἐπὶ Σαμψὼν ἔβλυσεν ὕδωρ τὸ ὀστοῦν; πῶς ἐφύλαττε τοὺς παῖδας ἀφλέκτους ἡ κάμινος; πῶς ἐπὶ Μανωὲ ἀνήφθη ἡ πέτρα δίχα ὕλης; πῶς ἐκαίετο ἡ βάτος ἐπὶ Μωϋσέως καὶ οὐ κατεκαίετο; πῶς οὐ κατεφλέχθη Ἠλίας ἐπὶ τὸ ἅρμα τὸ πύρινον ἐπιβάς; πῶς ὁ Ἡσαΐας εἶδε τὸν Κύριον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον; πῶς ὁ Δανιὴλ ἐφανέρωσε τὸ κεκρυμμένον ἐνύπνιον τοῦ Ναβουχοδονόσωρ; πῶς ὁ οὐρανὸς τοὺς ἀστέρας κατέχει μὴ βασταζόμενος; πῶς ἡ νὺξ ἐγέννησε τὴν ἡμέραν καὶ γίνεται; πῶς τὸ φῶς τοῦ ἡλίου φωτίζει πάντα τὸν κόσμον; εἰ ταῦτα ἑρμηνεύσῃς μοι ἃ ἐρωτῶ σε, οἶδα ὅτι καταλαμβάνεις καὶ τὴν γέννησιν τῆς παρθένου. Ἀλλὰ ἀλλότριος κἀκείνων καὶ τούτων ὑπάρχεις.

Ὁ Ἑβραῖος πάλιν ἠρώτησεν· « Εἰ οὐκ ἀναγκαίως ἀλλ' ἑκών, ὡς αὐτὸς φῄς, ἀπέθανεν ὁ Χριστός, φονεὺς ἄρα ἑαυτοῦ νομίζοιτ' ἂν εἰκότως, καὶ ψυχικῆς διὰ τοῦτο τιμωρίας ἄξιος. » Ὁ βασιλεὺς ἀποκριθείς, « Πολύ τι, Ξένε, τοὶν λόγοιν ἀμφοῖν μεταξὺ τὸ διάφορον· ἀλλὰ θαῦμά γ' οὐδὲν ὁμοῦ τοῖς ἄλλοις ἀγνοεῖν σε καὶ τοῦτο. Φονεὺς γὰρ ἑαυτοῦ λέγοιτ' ἂν δικαίως ὁ ἑαυτὸν διαχειρίσας, οὐχ ὁ ὑπὲρ τῆς τῶν φιλουμένων ἀγάπης ἀφειδήσας ἑαυτοῦ καὶ θάνατον ὑποστάς· ὁ γὰρ τοιοῦτος **165** οὐκ αὐτόχειρ ἀλλὰ φίλος προσηκόντως ἀληθὴς καλοῖτ' ἂν ὡς ἑαυτὸν ὑπὲρ τῶν φιλουμένων προδούς, ἵν' ἐκείνους, εἰ οὕτως τύχοι, τῶν ἐπικρεμαμένων θανάτων ἐξέληται. Ταῦτ' ἄρα φιλανθρωπίας, καὶ ὁ Χριστὸς ἀποίσεται μᾶλλον χάριν ἢ τοιούτοις ἐγκλήμασιν ὑποκείσεται. »

Ξένος ὁ Ἑβραῖος ἠρωτᾷ· « Πόσων ἄρα δεινῶν αἴτιον ἀεὶ τὸ ψεῦδος καθίσταται! ὁ γὰρ προφήτης οὐχί, Ἡ παρθένος, ἀλλ', Ἡ νεᾶνις, φησὶν, τέξει, δηλονότι συνελθοῦσα ἀνδρί· ὑμεῖς δὲ τὰς ἑαυτῶν συστῆσαι βουλόμενοι τερατείας, τὴν παρθένον τῆς νεάνιδος ἀντιτίθετε. Τί γὰρ ἄν τις καὶ λέγοι, πόσων ἐντεῦθεν

remi Veneta, Eubœa dicta, in qua eadem Marcus erat qui olim, cum Patram oppugnaremus, in ea urbe canonicus, tum autem legatus Eugenii papæ, sibi cognati, ad imperatorem mittebatur. Die quarto et vicesimo Septembris incolumes Byzantium delati sumus.

Quoniam autem illo tempore habita est memorabilis disputatio inter Joannem imperatorem et Hebræum quemdam, nomine Xenum, qui postea sacro baptismate regeneratus, Emmanuelis nomen accepit, eam litteris mandare non omittam.

Primum Hebræus imperatorem sic interrogavit: « Quomodo Maria Christum generare potuit, dum virgo erat? » Respondit imperator: « Quomodo Adamus Evam sine usura mulieris genuit? terra efloruit sine semine? saxi superficies percussa emisit aquam? aut quomodo virga Aaronis frondit? quomodo cœlitus manna demissum est? hydria impleta est farina? quomodo in vasa fictilia oleum Elisæi manavit? Jessai baculum flores egit? irroratum est Gedeonis vellus? quomodo Sampsoni ex osse aqua salit? tres pueri in camino a combustione servati sunt? Quomodo Manoi saxum sine materia arsit? aut rubus Mosi flagravit, nec consumptus est? aut Elias in curru igneo non est combustus? quomodo Isaias dominum in throno excelso et elevato sedentem vidit? Daniel occultum somnium Nabuchodonosori aperuit? quomodo cœlum astra continet, cum non sustentetur? nox diem genuit et gignitur ipsa? lumen solis totum mundum illuminat? Hæc mihi si explicaveris, te etiam virginis partum putabo explicare posse. Enimvero tu nec illa, nec hunc comprehendis. »

Rursus Hebræus rogavit: « Si non coactus, sed volens, ut ipse dicis, Christus mortuus est, merito semet interfecisse et ideo pœna spirituali dignus esse videatur. » Imperator respondens, « Magnum, inquit, Xene, inter hæc discrimen est; nec mirum tamen, te hoc cum reliquis ignorare. Semet interfecisse enim jure dicatur, qui sua se manu occiderit, non is, qui, charitate in amicos commotus, vitæ suæ non parcit eorumque causa subit mortem. Talis enim non sui homicida, sed sincerus amicus merito nominatur, qui semetipsum pro dilectis tradit, ut eos, si possit, ab impendente morte eripiat. Quare illud animi benigni est, et Christus gratiam potius, quam istas criminationes meretur. »

Rursus Hebræus: « Quot mala semper mendacium creavit! propheta enim non virginem ait, sed adolescentulam parturam esse, virum videlicet expertam; vos autem, portenta vestra nobis commendaturi, pro adolescente muliere virginem supponitis. Quis hoc verbis assequatur, quanta

Digitized by Google

Ὀιγγον καὶ μόνον λεγόμενον ἐμποιεῖ, καὶ τὴν ἀπιστίαν ἡλίκην κατάγει τῶν ἀκροωμένων; Τί γὰρ τῶν ἐκ τοῦ παντὸς αἰῶνος παρθένον ἤκουσε τετοκυῖαν; Εἴ μοι μίαν ἔχει δεικνύναι τις, πρὸς οὐδ' ὁτιοῦν ἀντερῶ περαιτέρως. » Ὁ βασιλεὺς ἀπεκρίθη· « Εὖ λέγεις. Δεῖξόν μοι σὺ Θεὸν ἕτερον ἐξ οὐρανοῦ κατεληλυθότα καὶ σάρκα φορέσαντα· κἀγώ σοι δείξω τὴν, ὡς αὐτὸς ἀξιοῖς, παρθένον αὐτὸν γεννήσασαν. Σὺ δ' ἀλλ' ἐπεὶ τούτῳ πιστεύειν ὑπίσχνῃ, εἴ σοί τις καὶ ἄλλο τοιοῦτο ἔχει δεικνύναι γεγενημένον, δεκτέον ἂν εἴη σοι καὶ τοῦτο πρῶτον καὶ μόνον ὄν, ἐπεὶ κἀκεῖνο πρὸς οὐδὲν ἕτερον ἀφορᾷν ἔμελλεν, εἴπερ πρῶτον ἦν. Εἰ δ' οὖν, τοῦτο μὲν ἐατέον, δεῖξον **166** δὲ σύ μοι πῶς Μωσῆς τοὺς ὑμετέρους πατέρας τὴν Ἐρυθρὰν περαιωθῆναι πεποίηκε, κἀκ τῆς πέτρας τοσοῦτον ἔβλυσεν ὕδωρ ὡς ἅπαντα τὸν λαὸν κορεσθῆναι, καὶ ἡ κιβωτὸς τοῖς ἱερεῦσιν ἀνεχομένη καὶ τὸν Ἰορδάνου διαστήσασα ῥοῦν ἐπὶ τοῦ ξηροῦ διέβη, καὶ τὰ Ἰεριχούντινα κατεσείσθη τείχη, καὶ τῇ μηλωτῇ τὸν Ἰορδάνην αὖθις Ἐλισσαῖος διέῤῥηξε καὶ διῃρέθη τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, αὐτὸς δὲ ἐπὶ τοῦ ξηροῦ διέβη. Ἆρα κατὰ φύσιν τι γενέσθαι τούτων ἔστιν εἰπεῖν; οὐδαμῶς. Εἰ δ' ἐκεῖνα ὑπὲρ φύσιν, οὐδὲ τὸ τῆς παρθένου κατὰ φύσιν. Ὑμῶν δὲ καλῶς τὴν ἀπείθειαν ὁ μεγαλοφωνότατος ἐστηλίτευσεν Ἡσαΐας λέγων· « Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. » Πρὸς μὲν γὰρ πάσας τὰς περὶ τοῦ Χριστοῦ προφητείας ἐναργεῖς οὔσας καὶ σαφεστάτας μαινομένων τρόπον διάκεισθε, οἳ τῶν ὁδῶν τὰς τετριμμένας ἐκκλίνοντες κατὰ κρημνῶν πολλάκις ἑαυτοὺς ῥίπτου-

ιδ'. Κατὰ τὴν ἑβδόμην τοῦ Φεβρουαρίου μηνὸς ὁρμήσασαι ἐκ τοῦ Παρεντίου πᾶσαι αἱ τριήρεις ὁμοῦ· ἡ δὲ βασιλικὴ τριήρης διὰ τὸ εἶναι αὐτὴν ταχυτέραν τῶν ἄλλων προαπέσωσε τῶν ἄλλων εἰς Ἐνετίαν, καὶ ἔφθασεν εἰς τὸν ἅγιον Νικόλαον τῇ η' τοῦ μηνὸς, ὥρᾳ β' τῆς ἡμέρας. Ἐξῆλθον οὖν ἐκ τῆς Ἐνετίας πλεῖστα πλοιάρια εἰς συνάντησιν τῷ βασιλεῖ· τοσοῦτον ἦν τὸ πλῆθος ὅτι σχεδὸν εἰπεῖν μὴ φαίνεσθαι τὴν θάλασσαν δυναμένην ἐκ τοῦ πλήθους τῶν ὁλκάδων. Ἐξῆλθεν οὖν λόγος ἐκ τῆς τῶν Ἐνετῶν γερουσίας ἤτοι **182** αὐθεντίας μὴ ἐξελθεῖν τῆς τριήρεως τὸν βασιλέα ἕως τὸ πρωΐ, ἵνα συνέλθῃ ὁ δοὺξ αὺν πάσῃ τῇ γερουσίᾳ ποιῆσαι τὴν προσήκουσαν τιμὴν καὶ ἀσπασμὸν τῷ βασιλεῖ, καὶ ἐγένετο οὕτως. Καὶ μετ' ὀλίγην ὥραν παρεγένετο ὁ δοὺξ σὺν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ γερουσίᾳ. καὶ προσεκύνησε τὸν βασιλέα καθήμενον, ὁμοίως καὶ οἱ ἄρχοντες, καὶ πάντες ἀσκεπεῖς. Ἐκάθητο δὲ ἐκ ζεξιῶν αὐτοῦ ὁ δεσπότης ὁ ἀδελφὸς αὐτοῦ κὺρ Δημήτριος, μικρὸν κατωτέρω τοῦ βασιλικοῦ θρόνου· καὶ ἐξ εὐωνύμων τοῦ βασιλέως ἐκάθισεν ὁ τῶν Ἐνετῶν δούξ. Καὶ συλλαλήσαντες ἀλλήλοις λόγους χαιρετισμοῦ καὶ ἕτερα μυστήρια, εἶπεν ὁ δοὺξ τῷ βασιλεῖ ὅτι « Τῷ πρωΐ ἐλεύσομαι αὺν πᾶσι ποιῆσαι τὴν ὀφειλομένην τιμὴν τῇ βασιλείᾳ σου ἐν Θεῷ ἁγίῳ καὶ συναντῆσαι αὐτῇ μετὰ παῤῥησίας, καὶ ἐλεύσῃ ἐντὸς Ἐνετίας. » Καὶ οὕτως ἀνεχώρησεν ὁ δοὺξ μετὰ τῶν ἀρχόντων αὐτοῦ. Πρωΐας δὲ γενομένης, ἐπιφωσκούσης τῆς Κυριακῆς, Φεβρουαρίου θ', ὥρᾳ πέμπτῃ τῆς ἡμέρας, ἦλθεν ὁ δοὺξ μετὰ τιμῆς μεγάλης, μετὰ τῶν ἀρχόντων αὐτοῦ καὶ συμβούλων τῶν τῆς γερουσίας καὶ συγκλήτου ἑτέρων ἀρχόντων πολλῶν, ἐντὸς τοῦ πορθμείου τινὸς, ἐν ᾧ ἦθος ἦν τῇ γερουσίᾳ εἰσιέναι αὐτοὺς, κατὰ τὴν ἐκείνων διάλεκτον πουτζιδῶρον καλούμενον· ὃ ἦν εὐτρεπισμένον καὶ κεκαλυμμένον διὰ ἐρυθρῶν καλυμμάτων, καὶ χρυσοῦς λέοντας εἶχεν ἐν τῇ πρύμνῃ καὶ χρυσᾶ περιπλέγματα, καὶ ὅλον ἐζωγραφισμένον ποικίλων καὶ ὡραιοτάτων ἱστοριῶν· δηλονότι τὸ εἰρημένον **183** πουτζιδῶρον ἦν ἡ κύμβη ἤτοι πλοιάριον αὐθεντικόν. Ἦλθον δὲ μετ' αὐτοῦ καὶ ἕτεραι ἡμιτριήρεις, αἱ κατὰ τὴν τῶν Λατίνων διάλεκτον τετραήρεις ἐπονομαζόμεναι, ὡσεὶ δύο ἐπὶ δέκα, καὶ αὐταὶ εὐτρεπισμέναι καὶ ἐζωγραφισμέναι ἐντὸς καὶ ἐκτὸς, κατὰ πάντα ὅμοιαι τοῦ δουκός· ἐν οἷς ἦσαν ἄρχοντες πλεῖστοι, καὶ κύκλωθεν σημαίας εἶχον χρυσᾶς καὶ σάλπιγγας ἀπείρους καὶ πᾶν εἶδος ὀργάνων. Εἶχον δὲ καί τινα τετραήρη ἐξαίρετον πάνυ, εἰς ὄνομα τάχα τῆς βασιλικῆς τριήρεως, ἣν ἐποίησαν ὡραιοτάτην καὶ ποικίλην· κάτωθεν γὰρ οἱ ναῦται ἔμπλεα ἔχοντες φορέματα χρυσοπετάλινα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν εἶχον σημεῖον τὴν εἰκόνα τοῦ πανευφήμου Μάρκου τοῦ εὐαγγελιστοῦ, καὶ ὄπισθεν τούτου τὸ βασιλικὸν σημεῖον· εἶτα οἱ τζαγκράτορες ἄλλης θέας ἐνδύματα καὶ σημαίας φέροντες· καὶ κύκλωθεν τοῦ αὐτοῦ πλοίου ἤτοι τετραήρεως ὅλης σημαίας βασιλικὰς, εἰς τὴν πρύμναν χρυσᾶς ση-

supersedebo; ejusdem autem et comitum ejus ingressum Venetias, ut splendidum et gloriosum atque etiam dignum cognitione, narrabo, qualem cum ex ore Demetrii despotæ cognovi.

14. Septimo die mensis Februarii omnes simul triremes Parentio solverunt; sed imperatoria, utpote cæteris velocior, ante easdem Venetias pervenit, appulitque ad S. Nicolaum mensis die octavo, hora secunda. Venetiis imperatori obviam processerunt navigia pleraque, quorum tanta multitudo erat, ut, pene dixerim, mare conspici propter eam non posset. Rogatum deinde est a Venetorum senatu sive concilio, ne ante crastinum diem triremi sua imperator exiret, ut a duce cum toto patrum collegio digne salutari et honorari posset. Itaque factum est. Brevi dux cum proceribus suis et senatu adest, atque imperatorem sedentem adorat: similiter primates, idque omnes nudatis capitibus. Sedebat a dextris frater ejus Demetrius despota paulo infra sellam imperatoriam; a sinistris Venetorum dux consedit. Postquam amice inter se consalutarunt et alia secretiora colloqui sunt, dux ait imperatori, se luce sequenti, Deo volente, affuturum cum omnibus, debitumque ejus majestati honorem habiturum et occursurum celebrius Venetiasque eum inducturum esse. Ita cum primoribus suis recessit. Postera die, quæ erat Dominica et Februarii nonus, hora quinta, dux magna cum pompa adest, stipatus proceribus, consiliariis et senatoribus aliisque viris primoribus non paucis, in navigio, quo senatum vehi solemne erat, illorum lingua putzidoro appellato. Ornatum id convestitumque erat stragulis purpureis; in puppi leones aurei et aurea textilia; totum denique navigium illud principale variis pulcherrimisque historiis depictum. Advenerunt autem una semitriremes, quæ Latinorum sermone quadriremes vocantur, circiter duodecim, et ipsæ ornatæ ac depictæ intus atque extrinsecus, planeque similes navi ducis, quibus vehebantur nobiles quam plurimi, circumdati vexillis aureis, tubis innumeris et omni genere instrumentorum. Habebant autem unam plane insignem navem, quæ regia quadriremis dicebatur, quam varie et pulcherrime ornaverant. Infra enim remiges gerebant integras vestes frondibus aureis obtextas, et in capitibus signum celebratissimi Marci evangelistæ ac pone id imperatorium signum; deinde tzancratores alius generis vestimenta et insignia habebant; in ambitu navis autem imperatoria signa erant et in puppi quidem plurima eaque aurea, viri item quatuor vestimentis auro intertextis induti et capillis coccineis, auro intermicante, insignes: inter quos medius vir decorus nunc sedebat, nunc stabat, et ipse veste ornatus auro picta et splendida, manu sceptrum tenens, quo quasi quadriremis dominum se profitebatur. Illi præterea advenæ viri

Digitized by Google

μαίας καὶ πλείστας καὶ ἀνθρώπους τέσσαρας ἐστολισμένους μεθ' ἱματίων χρυσοζωγραφίστων, καὶ τρίχας κοκκινοχρύσας ἐπὶ τὰς κεφαλὰς αὐτῶν. Μέσον δὲ τούτων τῶν τεσσάρων ἀνήρ τις εὐειδὴς ποτὲ μὲν ἐκαθέζετο, ποτὲ δὲ ἵστατο, φέρων ἱμάτια χρυσοῦφαντα καὶ λαμπρὰ, καὶ κρατῶν ἐν τῇ χειρὶ σκῆπτρον, ὥσπερ τριήρεως κύριος δεικνύων εἶναι. Καὶ ἕτεροι ἄρχοντες ὡς ἐξ ἀλλοδαπῆς χώρας ὑπάρχοντες ἐωρῶντο, φέροντες **184** ἄλλης ἰδέας ἐνδύματα πάνυ ποικίλα, λατρεύοντες αὐτὸν μετ' εὐλαβείας τάχα. Ἔμπροσθεν δὲ τῆς πρύμνης ἵστατο ὄρθιόν τι ὡς στῦλος, ἄνωθεν δὲ τοῦ στύλου ἐκείνου ὡς τράπεζα τετράγωνος, ὀλιγώτερον ὀργυιᾶς μιᾶς· ἐπάνω δὲ τῆς τραπέζης ἐκείνης ἀνὴρ ἵστατο ὡπλισμένος ἀπὸ ποδῶν ἕως κεφαλῆς, ἀστράπτων ὡς ἥλιος, κρατῶν δὲ καὶ ἀριστερᾷ αὐτοῦ ὅπλον φοβερόν· δεξιᾷ δὲ καὶ ἀριστερᾷ αὐτοῦ ἐκάθηντο δύο παῖδες ἀγγελικὰ φοροῦντες, καὶ πτερωτοὶ ἦσαν ὡς ἄγγελοι. Καὶ οὗτοι οὐκ ἐν φαντασίᾳ, ἀλλ' ἀληθῶς ἄνθρωποι ἦσαν κινούμενοι. Καὶ δύο λέοντες ἦσαν ἐν τῇ πρύμνῃ χρυσοῖ, καὶ μέσον αὐτῶν ἀετὸς δικέφαλος, καὶ ἄλλα πλεῖστα ὡς φαντάσματα, καὶ ἄλλα τινὰ ἃ οὐδεὶς δύναται γραφῇ παραδοῦναι· ἦν γὰρ ὡκὺς πάνυ ἡ τετρήρης, ὡς ποτὲ μὲν ἔμπροσθεν τῆς βασιλικῆς τριήρεως, ποτὲ δὲ πλαγίως, καὶ ἐπορεύετο κύκλωθεν μετὰ ἀλαλαγμοῦ καὶ σαλπίγγων πολλῶν. Ἕτερα δὲ πλοιάρια καὶ ὁλκάδες ἦλθον, ὧν οὐκ ἦν ἀριθμός· ὡς ἀδύνατόν τινα ἀριθμῆσαι ἄστρα οὐρανοῦ καὶ φύλλα δένδρων ἢ ἄμμον θαλάσσης ἢ ψεχάδας ὑετοῦ, οὕτω κἀκεῖνα ἀριθμῆσαί τις οὐ δύ-

A

B

C

νατοι. Καὶ ἵνα μὴ πολλὰ λέγω καὶ διαλέγωμαι, ἰδοὺ προσῆγγισεν ὁ δοὺξ τῇ βασιλικῇ τριήρει μετὰ τῆς γερουσίας αὐτοῦ, καὶ ἀνελθὼν ἐπροσκύνησε τὸν βασιλέα καθήμενον ἐπὶ θρόνου, ὢν ἐκ δεξιῶν αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ, ὡς εἴρηται, καθήμενος κατώτερον τοῦ βασιλικοῦ θρόνου. Καθίσας οὖν **185** καὶ ὁ δοὺξ ἐξ ἀριστερῶν αὐτοῦ, ἐπὶ ὁμοίου σκάμνου τῷ τοῦ δεσπότου, καὶ κρατῶν αὐτὸν τῇ χειρὶ, συνωμίλουν ἀσπασίως. Καὶ οὕτως κατὰ μικρὸν εἰσήρχοντο μετὰ παῤῥησίας μεγάλης, μετὰ σαλπίγγων καὶ παντὸς γένους μουσικοῦ, ἐν τῇ λαμπρᾷ καὶ μεγάλῃ Ἐνετίᾳ καὶ ὄντως θαυμαστῇ καὶ θαυμαστοτάτῃ, πλουσίᾳ, ποικιλοειδεῖ καὶ χρυσοειδεῖ, τετορνευμένῃ, πεποικιλμένῃ καὶ μυρίων ἐπαίνων ἀξίᾳ, τῇ σοφῇ καὶ σοφωτάτῃ, ἣν εἰ καὶ δευτέραν γῆν τῆς ἐπαγγελίας ὀνομάσῃ τις, οὐχ ἁμαρτάνει. Περὶ αὐτῆς οἶμαι καὶ ὁ Προφήτης λέγει ἐν τῷ εἰκοστῷ τρίτῳ ψαλμῷ· « Ὁ Θεὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν. » Τί γὰρ ἂν ζητήσῃ τις καὶ οὐχ εὑρήσῃ ἐν αὐτῇ; Διὰ τοῦτο πολλῶν ἐπαίνων καὶ μεγάλων ἀξία ὑπάρχει. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη τῆς ἡμέρας ὅτε ἤρξατο εἰσέρχεσθαι ἐν τῇ Ἐνετίᾳ, καὶ ἐπλεοπόρουν ἕως δύσεως ἡλίου, καὶ κατήντησαν ἐν τοῖς οἴκοις τοῦ τῆς Φερράρας μαρκίωνος. Ἡ δὲ πόλις πᾶσα ἐσείσθη, ἐξελθόντες εἰς συνάντησιν τῷ βασιλεῖ, καὶ κρότος καὶ ἀλαλαγμὸς μέγας ἐγένετο. Καὶ ἦν ἰδεῖν ἔκστασιν φοβερὰν τῇ ἡμέρᾳ ἐκείνῃ, τὸν πολυθαύμαστον ἐκεῖνον τοῦ ἁγίου Μάρκου ναὸν, τὰ παλάτια τοῦ δουκὸς τὰ ἐξαίσια, καὶ τοὺς ἄλλους τῶν ἀρχόντων οἴκους πανμεγέθεις ὄντας, ἐρυθροὺς

D

nobiles conspiciebantur, qui diversi generis varia admodum vestimenta gestabant eumque magna cum reverentia venerabantur. Ante puppim quiddam columnæ instar erectum stabat, mensam quadratam orgyia aliquanto minorem sustinens, cui insistebat cataphractus, instar solis coruscus, sinistra gladium tenens horribilem : ad dextram sinistramque duo pueri in angelorum modum induti, et alati, sicut angeli, considebant, qui non imagine efficti, sed revera homines erant movebanturque. In puppi item duo leones aurei erant, et inter hos aquila biceps ; et alia plurima simulacra aliaque spectacula, quæ describere nemo possit. Velocissima enim hæc quadriremis erat, et nunc imperatoriam triremem antecedebat, nunc in obliquum currebat, et cum lætis vociferationibus tubarumque frequentium cantibus in orbem se agebat. Cæterorum, quæ adveniebant, navigiorum acatiorumque infinitus numerus erat : quæ non magis, quam stellas cœli, aut folia arborum, aut arenam maris, aut pluviæ guttas numerares. Sed, ne longus sim, dux ad imperatoriam navem cum senatu accessit, qua conscensa imperatorem in solio sedentem adorat, cui dextra, imperatorio solio paulo inferior, ut diximus, frater ejus assidebat. Considens deinde dux quoque sinistra, in inferiore scamno, uti despota, prehensa manu ejus, humane et amice colloquitur, atque ita paulatim, magna cum pompa, tubarum et omnium musicorum instrumentorum cantu, inclitas et ampias Venetias intrabant, urbem vere admirandam et summe admirandam, opulentam, multiformem, auream et quasi tornatam versicoloremque, et mille merito afficiendam laudibus, urbem sapientem, imo sapientissimam, urbem denique, quam qui dixerit alteram terram promissionis, non erraverit. De hac, opinor, psalmo vicesimo tertio Propheta dicit : « Deus super mare fundavit eam. » Quid enim quærat quispiam, quod illic non inveniat? qua de re multis et magnis laudibus digna est. Erat autem hora circiter sexta, cum Venetias navibus intrare cœperunt, et navigarunt ad occasum solis usque, deverteruntque ad ædes marchionis Ferraræ. Tota autem civitas commota erat, imperatori obviam se effundens, erantque lætantium plausus clamoresque ingentes ; ac licebat stupente animo videre eo die templum illud admirandum S. Marci, palatium ducis egregium, cæterasque principum domus longe maximas, purpura et auro ornatissimas, elegantes et elegantibus elegantiores. Qui oculis non ipsi viderunt, non credent ; qui viderunt, scribendo consequi nequeunt pulchritudinem illam et speciem virorum ac mulierum prudentiam, hominum frequentiam; qui læti omnes gaudentesque et exsultantes super adventu imperatoris astabant. Obstupefiebant enim animi omnium, qui videbant novam hanc rem, ut etiam clamarent obstupefacti : « Cœlum

Digitized by Google

καὶ χρυσίῳ πολλῷ κεκοσμημένους, ὡραίους καὶ ὡραίων ὡραιοτέρους. Οἱ μὴ εἰδότες ἐπ' ἀληθείας οὐ πιστεύσουσιν, ἀλλ' οἱ εἰδότες οὐ **186** δύνανται γραφῇ παραδοῦναι τὴν καλλονὴν καὶ τὴν θέσιν καὶ τῶν ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν τὴν σύνεσιν, τὸ πλῆθος τοῦ λαοῦ, ἑστώτων πάντων καὶ χαιρόντων ὁμοῦ καὶ εὐφραινομένων ἐπὶ τῇ εἰσόδῳ τοῦ βασιλέως· ἐξίστη γὰρ ἡ ψυχὴ πάντων βλεπόντων τὴν τοιαύτην παῤῥησίαν, ὥστε λέγειν καὶ αὐτοὺς ἐν ἐκστάσει· « Ὁ οὐρανὸς σήμερον, ἡ γῆ καὶ ἡ θάλασσα γέγονε. » Ἅ ἥλιον ὥσπερ τὰ ἐν τῷ οὐρανῷ κτίσματα καὶ ποιήματα τοῦ Θεοῦ οὐ δύναταί τις αὐτῶν καταλαβεῖν, ἀλλὰ μόνον ἐκπλήττεται, οὕτω καὶ τὰ τῆς ἡμέρας ἐκείνης ἐκπλήττοντο θεάματα βλέποντες· ἀλλὰ πολλὴ μεταξὺ τῶν ἐτέρων διαφορά. Ὅταν οὖν ἦλθον εἰς τὴν μεγάλην γέφυραν ἐκείνην ἣν καὶ Ῥεάλτον καλοῦσιν, καὶ ἦραν αὐτὴν ἄνω, ὑφ' ἧς διέδη ἡ τριήρης· ἦν δὲ κἀκεῖσε πλῆθος λαοῦ καὶ σημεῖα χρυσοειδῆ καὶ σάλπιγγες καὶ κρότοι καὶ ἀλαλαγμοὶ καὶ ἁπλῶς εἰπεῖν πᾶν εἶδος ἐξαισίου θεάματος. Ἔτι τοὺς ἐπαίνους καὶ τὴν τιμὴν ἣν ἔδειξαν πρὸς τὸν βασιλέα, τίς διηγήσεται; Ἀπῆλθον οὖν, ὡς προεῖπον, ἐν τοῖς οἴκοις τοῦ μαρκίωνος. Ἐκεῖσε γοῦν ἔστησαν τὴν τριήρη. Ἦν δὲ ὥρα ἕκτη ἡμέρας ἡλίου· καὶ ἀποχαιρετίσας ὁ δοὺξ καὶ οἱ ἄρχοντες ἀπῆλθον οἴκαδε.

ιε'. Φεβρουαρίου οὖν τῇ εἰκοστῇ ὀγδόῃ ἐξελθόντες τῆς Ἐνετίας ὅ τε βασιλεὺς καὶ ὁ δεσπότης καὶ πᾶς ὁ κλῆρος καὶ **187** ἡ συνοδία αὐτῶν ἔπλεον Φερράριας ὁδόν· ὁ δὲ πατριάρχης ἀπέμεινεν ἐν Ἐνετίᾳ δι' ἔνδειαν τῶν πλοιαρίων. Οὗτοι δὲ ἦλθον, ἵνα τὰ διὰ μέσου ὡς μὴ πάνυ ἀναγκαῖα ἐάσω, εἰς τὸ καστέλλι Φραγγουλῆ· ἔνθα ἀπέσωσαν καὶ ἐστήσαντο ἅπαντα τὰ πλοῖα τὰ ἐκ τῆς Ἐνετίας εἰς Φερράριαν ἐλθόντα. Ἦλθον οὖν διὰ ξηρᾶς ἄρχοντες ἐφιπποι ὡσεὶ πεντήκοντα, καὶ προσεκύνησαν τὸν βασιλέα. Καὶ ὁ λεγάτος ἦν μετ' αὐτῶν, ὅστις ποτὲ ἦλθε μετὰ τριήρεως τοῦ πάπα ἐν τῇ Κρήτῃ καὶ ἐν τῇ Κωνσταντινουπόλει· αὐτὸν γὰρ ἀπέσταλκεν ὁ πάπας ἰδεῖν τὴν βουλὴν τοῦ βασιλέως. Τότε γοῦν προστάξας ὁ βασιλεὺς τοῦ ἀγαγεῖν αὐτῷ τῷ πρωῒ ἵππους ἑκατὸν πεντήκοντα, ὅπως πορευθῇ διὰ ξηρᾶς εἰς Φερράριαν, ἔνθα ἦν ὁ πάπας. Ἔμειναν οὖν ἐν ἐκείνῳ τῷ τόπῳ ἐκείνῃ τῇ νυκτί· τῷ δὲ πρωῒ κελεύσαντος τοῦ βασιλέως ἀπῆλθον τὰ πλοῖα διὰ τοῦ ποταμοῦ εἰς Φερράριαν, αὐτὸς δὲ, ὡς εἴρηται, ἐπορεύθη διὰ ξηρᾶς. Τὰ δὲ πλοῖα διὰ τοῦ ποταμοῦ ἐπορεύθησαν. Ὁ γὰρ βασιλεὺς διὰ ξηρᾶς ἀπελθὼν ὥρᾳ ἕκτῃ τῆς ἡμέρας εἰσῆλθεν ἐφιππος εἰς τὴν Φερράριαν μετὰ τιμῆς μεγάλης καὶ παῤῥησίας· ἦσαν δὲ μετ' αὐτοῦ πολλοὶ μητροπολῖται, δηλονότι ἐπίσκοποι τοῦ πάπα, καὶ ὁ αὐθέντης τῆς χώρας ὡσαύτως ἦγουν ὁ μαρκίων, ἔτι δὲ καὶ ἱερεῖς τοῦ βασιλέως, καὶ ὁ πνευματικὸς αὐτοῦ ὁ μέγας πρωτοσύγκελλος, κὺρ Γρηγόριος, καὶ ἕτεροι ὡσεὶ διακόσιοι **188** τὸν ἀριθμόν. Καὶ οὕτως εἰσῆλθον μετὰ τῶν σαλπίγγων καὶ παντὸς γένους μουσικοῦ. Ἡ δὲ πόλις πᾶσα τῆς Φερράριας συνέδραμεν ἰδεῖν τὴν τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἔλευσιν μετὰ αἰδοῦς καὶ τιμῆς καὶ εὐλαβείας. Καὶ ὁ μὲν βασιλεὺς ἐκαθέζετο ἐφ' ἵππου ὡραιοτάτου μέλανος καὶ εὐτρεπισμένου μετὰ ἐρυθροῦ καὶ χρυσοῦφάντου

hodie, terra et mare facta sunt. » Unde apparet, quemadmodum quæ in cœlo a Deo condita et creata sunt, nemo potest mente comprehendere, sed ea stupet tantummodo, sic illius diei spectacula qui interuerunt, stupuisse : quanquam magnum inter utrasque res discrimen est. Cum igitur ad magnum illum pontem venissent, quem Realtum vocant, sublato eo, triremis transitum fecit. Ibi quoque magna hominum multitudo erat cum vexillis auratis tubisque, ingens strepitus plaudentium et ovantium, denique omne, ut tribus verbis dicam, insignis spectaculi genus. Ipsas autem laudes et honores, quibus imperatorem exceperunt, quis explicabit? Deverterunt igitur, ut supra narravi, in ædes marchionis, ibique triremem stiterunt. Fuit autem circa occasum solis. Dux et primores, salutato imperatore, domum abierunt.

15. Februarii die vicesimo octavo egressi Venetiis imperator et despota omnisque clerus comitatusque eorum Ferrariam versus navigarunt. Patriarcha propter penuriam navigiorum Venetiis mansit. Illi igitur, ut taceam, quæ in medio acciderunt, quippe minus necessaria, ad castellum Frangulinum venerunt, quo appulsæ sunt et in pucoris constiterunt naves omnes Venetiis Ferrariam proficiscentes. Ibi per continentem equis advecti viri illustres circiter quinquaginta imperatorem venerabundi salutarunt : in quibus legatus erat, qui quondam in triremi papæ in Cretam et Cpolim venerat. Hunc enim papa ad explorandum animum imperatoris miserat. Mandavit imperator, ut sisterentur sibi postero mane equi centum et quinquaginta, quibus terra Ferrariam iret, ubi papa erat. Itaque, nocte in eo loco transacta, mane jussu imperatoris naves per fluvium Ferrariam subvectæ sunt, ipse per terram, ut dictum est, iter fecit. Dum igitur naves per fluvium aguntur, imperator, in continenti profectus, hora sexta Ferrariam magno cum honore et pompa equo insidens ingressus est. Comitabantur eum multi metropolitæ sive episcopi papæ, et ipsius loci princeps, marchio, porro sacerdotes imperatoris ejusdemque spiritualis pater Gregorius, magnus protosyncellus, atque alii, numero ferme ducenti. Ita igitur intraruntcum tubarum et musicorum instrumentorum omnis generis strepitu ; concurritque civitas Ferrariensium universa ad videndum sacratissimi domini nostri et imperatoris introitum, cum observantia, honore et verecundia. Sedebat imperator in equo formosissimo nigri coloris, cui injectum erat stratum serici villosi purpurei et auro intertextum. Stipabant eum principes et alii quidam, aulæo candidi coloris eum opacantes, nigricante tanquam cœli imago. Alius equus

Digitized by Google

χασδίου· ἄρχοντες δὲ καί τινες ἄλλοι συνηπείγοντο αὐτῷ, μετὰ οὐρανίας λευκοειδοῦς ἐπισκεπάζοντες αὐτὸν, καὶ αὕτη ἐπιμελανίζουσα ὡς ἰδέα οὐρανοῦ. Καὶ ἕτερος ἵππος λευκὸς ὡραιότατος, εὐτρεπισμένος καὶ αὐτὸς τὰ αὐτὰ, καὶ χρυσοῦς ἀετοὺς ἐπὶ τοῦ χασδίου ἔχων καὶ ἕτερα χρυσᾶ πλέγματα, ἐπορεύετο ἔμπροσθεν τοῦ βασιλέως, μὴ ἔχων ἀναβάτην. Ὁ δὲ μακαριώτατος πάπας ἦν καθήμενος ἐπὶ τοῦ παλατίου αὐτοῦ μετὰ παντὸς τοῦ κλήρου, καρδινάλεων δηλαδὴ μητροπολιτῶν, ἐπισκόπων, ἱερέων καὶ ἄλλων τοῦ ἱερατικοῦ καταλόγου, καὶ ἀρχόντων καὶ αὐθεντῶν πολλῶν, ἐκδεχόμενοι τὸν βασιλέα. Καὶ ἐλθόντες οἱ ἔμπροσθεν ἔφιπποι, τινὲς μὲν τῶν ἀρχόντων ἐπέζευσαν, καὶ αὐτὸς ὁ δεσπότης, καὶ εἰσῆλθον διὰ τῆς μεγάλης πύλης ἔνδον τοῦ παλατίου, οὗ ἦν ὁ πάπας· τὸν δὲ βασιλέα εἰσήγαγον ἔφιππον δι' ἑτέρας πύλης. Γνοὺς οὖν ὁ πάπας ὅτι ἐγγύς ἐστι τῆς πύλης ὁ βασιλεὺς, ἀνέστη καὶ περιεπάτει. Ὅν καὶ εὗρεν ὁ βασιλεὺς ὀρθιον· καὶ θέλων γονυπετῆσαι, οὐκ ἀφῆκεν αὐτὸν ὁ πάπας, ἀλλ' ἐδέξατο αὐτὸν εἰς τοὺς κόλπους **189** αὐτοῦ, καὶ δοὺς τὴν χεῖρα, ἠσπάσατο αὐτὴν ὁ βασιλεὺς, καὶ ἐκάθισεν αὐτὸν ἐξ ἀριστερῶν αὐτοῦ. Οἱ δὲ καρδινάλιοι παρὰ τοὺς πόδας αὐτῶν, ποιήσαντες τὸν ἐν Χριστῷ ἀσπασμὸν, καὶ ὁμιλήσαντες λόγους μυστικοὺς τῆς εἰρήνης ἀνεχώρησαν ἀπ' ἀλλήλων· καὶ ὁ μὲν πάπας ἔμεινεν ἐν τῷ παλατίῳ αὐτοῦ, ὁ δὲ βασιλεὺς ὑπὸ τῶν συνερχομένων αὐτῷ ἐφίππων ἦχθη μετὰ σαλπίγγων ἐν ἑτέρῳ παλατίῳ εὐτρεπισμένῳ πάνυ καλῶς, κἀκεῖσε ἀνεπαύσατο μετὰ τῶν ἀρχόντων αὐτοῦ καὶ τῶν ὑπηρετῶν βασιλικῶς, μηνὶ Μαρτίῳ τετάρτῃ ἡμέρᾳ.

ις'. Πλησιάσαντος τοίνυν τοῦ πατριάρχου ἡμῶν ἐν τῷ ἐρύματι Φραγγουλῇ, ἔτι αὐτοῦ μακρὰν ἀπέχοντος, ἰδοὺ πρὸς συνάντησιν αὐτῷ ναῦς τις ἐρχομένη κατάχρυσος καὶ συρομένη ἐν τῷ ποταμῷ παρὰ τῆς σκάφης αὐτῆς, καὶ ἐζήτουν τὸν πατριάρχην εἰσελθεῖν ἐν αὐτῇ· ἦν γὰρ διόροφος καὶ τριόροφος, ὡς ἡ παλαιὰ ἐκείνη τοῦ Νῶε κιβωτός. Καὶ ἐκείνη ἀσφαλῶς ἦν περισφαλισμένη. Αὐτὴ μὲν, ὅσον μὲν ἐν τῷ ὕδατι, πίσσῃ κεχρισμένη ὑπῆρχεν, ὅσον δὲ τὸ φαινόμενον, ἐν χρώμασι διαφόροις ἦν κεκαλλωπισμένη· μικρὸν δὲ ἀνωτέρω παραθυρίδες τετορνευμέναι, ὡς ἄν τις εἰκάσαι, μετὰ κιόνων λεπτῶν ἦσαν αὐταὶ καὶ μετὰ μαρμάρων κοκκίνων, καὶ ἄνωθεν τούτων πρόκυψις ὡραιοτάτη. Ὑπεράνω δὲ πάσης τῆς νηὸς κύκλωθεν πολεμικὰ ὄργανα, καὶ ἐν μέσῳ μαγειρεῖον διὰ **190** τὸ ἄνωθεν εἶναι τοῦ καπνοῦ, καὶ κλῖμάξ τις παρὰ τῇ πρύμνῃ καὶ ἑτέρα τῇ πρώρᾳ πρὸς τὸ ἀνέρχεσθαι καὶ κατέρχεσθαι τοὺς ὑπηρέτας αὐτῆς. Ἔσωθεν δὲ παλάτιον ἄλλο, ὡσάν τις εἴπῃ ναὸν περικαλλῆ, καὶ κοιτῶνες διάφοροι περικεκαλυμμένοι βηλοῖς χρυσοῖς· κύκλωθεν δὲ ἀναβαθμίδες καὶ προβαθμίδαι καὶ θρόνοι καὶ παραπετάσματα κατεστρωμένα τάποις μακροῖς, κύκλωθεν θεωρία λαμπρὰ καὶ περιφανὴς καὶ ἀξιέπαινος. Κάτωθεν δὲ τοῦ παλατίου ἄλλο ὡς κατώγαιον αὐτοῦ καὶ ὑποθῆκαι ὑπῆρχον πολλαί, αἱ μὲν οἴνου αἱ δὲ ἰχθύων αἱ δὲ τροφῶν ἄλλων. Ἡ δὲ καλάθωσις τοῦ ὀρόφου αὐτῆς καὶ ἡ θαυμαστὴ ἀπόθεσις καὶ ἀνάπαυσις τῶν κοιτώνων ἐν αὐτῇ ὑπῆρχον ὡραιότατα. Κατὰ τὴν τῶν Ἰταλῶν οὖν διάλεκτον ἐκαλεῖτο ἡ ναῦς ἐκείνη ὀρομπούρκιον. Εἰσῆλθε γοῦν ἐν αὐτῇ ὁ πατριάρχης μετὰ τῶν ἀρχιερέων καὶ παντὸς τοῦ

candidus et ipse formosissimus et simili modo ornatus, in cujus strato aquilæ aliæque figuræ auro intextæ erant, imperatorem præcedebat, carens equite. Sanctissimus papa in palatio suo cum toto clero, hoc est, purpuratis, metropolitis, episcopis, sacerdotibus, cæterisque ecclesiasticis, et viris principibus ac dominis multis, imperatorem exspectans, sedebat. Advectis, qui agmen ducebant, equitibus, e principibus nonnulli descenderunt, inter quos ipse despota fuit, ac per magnam portam palatii, ubi papa erat, ingressi sunt; imperatorem per aliam portam equo insidentem introduxerunt. Papa, cognito, imperatorem ad portam adesse, surrexit et inambulavit, et ita spatia facientem offendit eum imperator: qui cum in genua vellet procumbere, non id permisit papa, sed eum complexus porrectaque dextera, quam ille osculatus est, ad sinistram suam collocavit. Purpurati autem ad pedes eorum consederunt salutatione in Christo peracta. Deinde arcano de pace collocuti, digressi sunt; et papa quidem in palatio suo mansit, imperator ab equitibus, quibuscum venerat, in aliud palatium, splendidissime instructum, cum tubarum cantu deductus est, atque ibi cum optimatibus et ministris suis regie diversatus est, mensis Martii die quarto.

16. Accedente patriarcha nostro ad castellum Frangulinum, sed tamen longe adhuc absente, navis inaurata ei obviam mittitur, per flumen a scapha sua tracta, rogaturque patriarcha, ut eam conscenderet: habebat enim duo et tria tabulata, sicut vetus illa arca Noe, et bene undique erat communita, quantum sub undis erat, pice illita, quantum undis eminens, coloribus variis decorata. Paulo superius fenestræ opere, ut quis putaret, tornatili, cum columellis e rubro marmore; et supra has projectura pulcherrima. In summa navi circumcirca disposita erant arma bellica, et in medio culina ob ascensum fumi in cœlum liberum. Scalæ erant tum ad puppim, tum ad proram, quibus nautici ministri ascenderent et descenderent. Intus quasi palatium erat, quod diceres templum elegantissimum, et diversa conclavia, convestita velis aureis; in circuitu gradus erant et scamilla, throni et longorum tapetorum aulæa: circumcirca aspectus splendidus, magnificus et elegans. Infra palatium aliud quasi subterraneum conclave, et cellæ complures, aliæ vini, aliæ piscium, aliorumve esculentorum. Lacunaria et cubiculorum ad cubandum et quiescendum accommodatio pulcherrima erant. Appellabatur autem navis illa Italorum lingua Horoburcion. Intravit igitur eam patriarcha

Digitized by Google

κλήρου· καὶ ἦν ἰδεῖν πλέουσαν τὴν νῆα διὰ τοῦ ποταμοῦ ὡσεὶ παλάτιον, καὶ μηδ' ὅλως εἰκάζουσαν εἶναι ἐν ὕδατι ἀλλ' ὡς ἐπὶ ξηρᾶς. Πλεύσαντες οὖν διὰ τοῦ ποταμοῦ ἦλθον εἰς Φερράριαν, καὶ ἐπεμψαν ἀπὸ Ἐνετίας πρὸς τὸν πάπαν πρέσβεις τὸν Ἡρακλείας μητροπολίτην κὺρ Ἀντώνιον καὶ τὸν Μονεμβασίας κὺρ Θεοδόσιον. Τῷ πρωΐ δὲ, ὥρᾳ πρώτῃ τῆς ἡμέρας, παρεγένοντο τέσσαρες καρδινάλιοι καὶ ἐπίσκοποι πέντε ἐπὶ εἴκοσι, καὶ ὁ μαρκίων ὁ τῆς Φερράριας κύριος, καὶ σὺν αὐτῷ πλῆθος ἀρχόντων ἐφ' ἵππων καὶ ἡμιόνων ὀχουμένων, **191** συναντῆσαι τῷ πατριάρχῃ. Ἦν δὲ ὁ πατριάρχης ἐφιππος, ἐρχόμενος ἐν τῷ μέσῳ δύο καρδιναλίων μετὰ τιμῆς μεγάλης. Καὶ εὐθὺς ἀνελθόντες εἰς τὸ τοῦ πάπα παλάτιον ἠσπάσαντο ἀλλήλους τῷ ἁγίῳ φιλήματι.

Ἀφίεμεν οὖν τὰ ἐν τῇ συνόδῳ συμβάντα, καὶ τὰ ἀπὸ τούτων εἰς ἡμᾶς παρακολουθήσαντα εἴπωμεν.

ιζ'. Τῷ δὲ ,ςϑμς' ἔτει, τῇ κς' Ἰανουαρίου μηνὸς, ηὐλογήθην ἐγὼ Ἑλένην τὴν θυγατέρα τοῦ ἐπὶ καναικλείου Ἀλεξίου Παλαιολόγου τοῦ Ἐξαμπλάκωνος· καὶ ἦν ἐν τῷδε τῷ συνοικεσίῳ παράνυμφος ὁ αὐθέντης μου ὁ δεσπότης κὺρ Κωνσταντῖνος, ὁ κατὰ τὸ ἡμέτερον ἔθος στεφανώσας ἡμᾶς. Καὶ Μαΐου πρώτῃ τοῦ ,ςϑμζ' ἔτους ἐγεννήθη μοι υἱὸς τοὔνομα Ἰωάννης, ὃν καὶ ὁ προρρηθεὶς αὐθέντης μου ὁ δεσπότης ἀνεγέννησε διὰ τοῦ θείου βαπτίσματος.

Τῇ δὲ ιζ' τοῦ Δεκεμβρίου τοῦ ,ςϑμη' ἔτους τοῦ παρόντος ματαίου βίου μετέστη ἡ δέσποινα ἡ κυρία Μαρία ἡ ἀπὸ τῆς Τραπεζοῦντος, καὶ τῇ πρώτῃ Ἰουνίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανε καὶ ἡ δέσποινα κυρία Εὐγένεια ἡ τοῦ Κατελιούτζη θυγάτηρ τοῦ τῆς Λέσβου αὐθέντου, καὶ ἐτάφησαν αὗται ἐν τῇ τοῦ Παντοκράτορος μονῇ· καὶ σφοδρὸς εἴ πέρ ποτε χειμὼν τότε ἐγένετο. Καὶ τῇ ιζ' τοῦ αὐτοῦ μηνὸς τὸ κοινὸν χρέος ἐπλήρωσε καὶ ἡ κυρία Ζωὴ ἡ βασίλισσα, καὶ **192** ἐτάφη ἐν τῇ τῆς κυρίας Μάρθας μονῇ. Καὶ τῷ Φεβρουαρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐπανέστρεψαν πάντες εἰς Κωνσταντινούπολιν οἱ ἐν τῇ Ἰταλίᾳ ἀπελθόντες ἕνεκεν τῆς συνόδου, ὁ βασιλεὺς λέγω καὶ ὁ δεσπότης καὶ οἱ λοιποὶ, ἄνευ τῶν ἐκεῖσε ἐν Ἰταλίᾳ ἐναπολειφθέντων τριῶν, τοῦ πατριάρχου κὺρ Ἰωσὴφ ἐν Φλωρεντίᾳ πρὸς κύριον ἐκδημήσαντος καὶ τοῦ Σάρδεων μητροπολίτου ἐν Φερράριᾳ· καὶ ὁ Νικαίας πρόεδρος ἐν Ῥώμῃ ἐναπέμεινε τοὔνομα Βησσαρίων, ὃν μετὰ τὴν τοῦ πατριάρχου ἀπὸ τῶν ὧδε ἀποδημίαν ὁ βασιλεὺς καὶ ἡ σύνοδος αὐτὸν εἰς πατριάρχην ἐψηφίσαντο. Εἶτα ἕνεκέν τινων συγχύσεων καὶ σκανδάλων μὴ ἐλθὼν εἰς Κωνσταντινούπολιν, ἀλλ' εἰς Ῥώμην προσμείνας, ὁ ἄκρος ἀρχιερεὺς καρδινάλην ἐποίησεν αὐτὸν καὶ πλεῖστα σιτηρέσια αὐτῷ ἐδωρήσατο. Τῇ δὲ κζ' Μαρτίου τοῦ αὐτοῦ ἔτους, τῇ τῆς τοῦ Χριστοῦ ἀναστάσεως Κυριακῇ, ἐγεννήθη μοι ὁ δεύτερος υἱὸς Ἀλέξιος, ὃς μετὰ τριάκοντα ἡμέρας ἀπέθανε. Καὶ τῷ ἔαρι τοῦ αὐτοῦ ἔτους ἐγένετο πατριάρχης Κωνσταντινουπόλεως κὺρ Μητροφάνης ὁ πρὶν Κυζίκου μητροπολίτης.

ιη'. Καὶ τῇ ς' Δεκεμβρίου μηνὸς τοῦ ,ςμθ' ἔτους προσετάχθην ἀπελθεῖν με εἰς Λέσβον, ἔνθα καὶ κατέστησα ἵνα εἰς γυναῖκα λάβῃ ὁ δεσπότης κὺρ

cum archiepiscopis et universo clero, eratque eam nantem per flumen palatii instar intueri, ut neutiquam in aqua esse videretur. Itaque flumen emensi Ferrariam venerunt, ac miserunt Venetiis ad papam legatos Antonium, Heracleæ metropolitam, et Theodosium, episcopum Monembasiæ. Postridie, prima hora, adfuerunt patriarcham salutatum purpurati quatuor, episcopi viginti quinque, marchio, Ferrariæ dominus, et cum hoc viri nobilissimi permulti partim equis, partim mulis vecti. Equitabat etiam patriarcha, procedens inter purpuratos duos magno cum splendore. Ingressi statim palatium papæ, invicem se salutarunt osculo sancto.

Sed mittamus jam, quæ in synodo acta sunt, et dicamus, quæ nobismet ipsis deinceps evenerant.

17. Anno 6946, Januarii die 26, duxi ego uxorem Helenam, filiam Alexii Palæologi Exampheonis, camerlengo præfecti. Ejus conjugii paranymphus dominus meus Constantinus despota fuit, qui ex more nostro nos coronavit. Primo die Maii anni 6947 natus est mihi filius, nomine Joannes, quem idem ille dominus meus despota e sacro fonte suscepit.

Die Decembris decimo septimo anni 6948 cessit ex hac inani vita despœna Maria Trapezuntia, et primo die Junii ejusdem anni etiam despœna Eugenia, Cateliutzæ, Lesbiorum principis, filia, mortem obiit, sepultaque est utraque in monasterio Pantocratoris. Dura tum hiems erat, si unquam antea. Die decimo septimo ejusdem mensis commune debitum persolvit Zoe imperatrix, et sepulta est in monasterio Marthæ. Mense Februario ejusdem anni, quotquot synodi causa in Italiam profecti fuerant, Cpolim redierunt, imperator, Demetrius despota, et reliqui, tribus in Italia relictis, Josepho patriarcha, qui Florentiæ ad dominum concessit, Sardiensium metropolita, qui Ferrariæ obiit, et Bessarione, Nicææ episcopo, qui Romæ mansit; quem post Josephi patriarchæ obitum imperator et synodus subrogarunt in locum ejus. At ille propter perturbationes rerum et contentiones quasdam non venit Cpolim, sed Romæ hærens, a summo illo archiepiscopo purpuratus factus et stipendiis liberalissime donatus est. Eodem anno, die vicesimo septimo Martii, quæ erat Dominica resurrectionis, alter filius mihi natus est, Alexius, qui tamen intra dies triginta obiit. Vere ejusdem anni patriarcha Cpolis factus est Metrophanes, qui ante metropolita Cyzici fuerat.

18. Die sexto Decembris anni 6949 in Lesbum missus sum, ut Constantinus despota, dominus meus, Æcaterinam, Notaræ Palæologi Cateliutzæ,

Digitized by Google

Κωνσταντῖνος ὁ αὐθέντης μου τὴν κυρίαν Αἰκατερίναν, θυγατέρα τοῦ τῆς εἰρημένης νήσου **193** αὐθέντου κὺρ Νοταρᾶ Παλαιολόγου τοῦ Γατελιούτζη, καὶ τὴν τοῦ γάμου μνηστείαν ἐποίησα. Τῇ δὲ ις' Ἀπριλλίου τοῦ αὐτοῦ ἔτους, τῇ τοῦ πάσχα ἁγίᾳ Κυριακῇ, ἐγεννήθη μοι θυγάτηρ τοὔνομα Θάμαρ, ἣν ἀνεδέξατο καὶ αὐτὴν ἐκ τοῦ ἁγίου βαπτίσματος ὁ εἰρημένος δεσπότης κὺρ Κωνσταντῖνος ὁ αὐθέντης μου. Καὶ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὁ Παῦλος Ἀσάνης παραλαβὼν τὴν θυγατέρα αὐτοῦ Ἀσανίναν ἔφυγεν εἰς Μεσημβρίαν, δι' αἰτίαν ὅτι ἐρώμενος αὐτῆς ὁ δεσπότης κὺρ Δημήτριος· εἰς λέχος ἐζήτει αὐτὴν, ὁ δὲ βασιλεὺς καὶ κὺρ Κωνσταντῖνος ὁ δεσπότης καὶ οἱ αὐτάδελφοι αὐτοῦ ἅμα τῇ δεσποίνῃ καὶ μητρὶ οὐκ ἠνέσχοντο ἀκοῦσαι. Ἐν δὲ τῷ ἀπελθεῖν αὐτὸν εἰς Μεσημβρίαν καὶ ὁ δεσπότης κὺρ Δημήτριος ἐκεῖσε κρυφῶς παραγενόμενος εἰς νόμιμον γυναῖκα ἔλαβεν αὐτήν. Τῇ δὲ κζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν εἰς Λέσβον ὁ αὐθέντης μου ὁ δεσπότης κὺρ Κωνσταντῖνος μετὰ βασιλικῶν τριήρεων, καὶ ἔλαβεν εἰς γυναῖκα τὴν εἰρημένην κυρίαν Αἰκατερίναν τὴν Κατελιούτζεναν, δρουγγαρίου ὄντος ἐν ταῖσδε ταῖς τριήρεσιν Λουκᾶ τοῦ Νοταρᾶ τοῦ μετὰ ταῦτα μεγάλου δουκὸς γενομένου. Καὶ τῷ Σεπτεμβρίῳ μηνὶ τοῦ ,ςϡν' ἔτους καταλείψας ἐκεῖσε τὴν δέσποιναν καὶ γυναῖκα αὐτοῦ ὁ αὐθέντης μου, εἰς τὸν αὐτῆς πατέρα ἦλθομεν εἰς Πελοπόννησον μετὰ τῶν αὐθεντικῶν τριήρεων καὶ ἑτέρας ἄλλης τριήρεως τῆς Λέσβου. Τῇ δὲ κ' Ὀκτωβρίου **194** τοῦ αὐτοῦ ἔτους προσταχθεὶς ἐγὼ διέβην πρέσβυς πρὸς τὸν ἀμηρᾶν καὶ πρὸς τὸν βασιλέα, ἔχων καὶ ἀπόκρυφον μυστήριον, ὅτι ἐὰν δώσῃ τοῦτο ὁ βασιλεὺς, ἀπελθεῖν με πρὸς τὸν δεσπότην κὺρ Δημήτριον εἰς τὴν Μεσημβρίαν, καὶ δώσω ἐκείνῳ ἅπαντα τὸν τόπον ὃν ὁ αὐθέντης μου ἐν τῇ Πελοποννήσῳ εἶχεν· αὐτὸς δὲ ἔλθῃ πάλιν εἰς τὴν πόλιν, καὶ ἔχῃ τὴν Σηλυμβρίαν καὶ τὰ ἄλλα τὰ ἐκεῖσε τῆς μαύρης θαλάσσης ἤτοι τοῦ Εὐξείνου πόντου ἄχρι τῶν Δέρκων, διὰ τὸ ἐγγὺς εἶναι τῆς πόλεως ἕνεκεν τῆς ἐλπίδος τῆς βασιλείας, ὡς ἠγάπα καὶ ὁ βασιλεὺς, ὃς με καλῶς ὑπεδέξατο. Καὶ ἀπέσωσα ἐγὼ τῷ Ἰανουαρίῳ μηνὶ εἰς Μεσημβρίαν πρὸς τὸν δεσπότην κὺρ Δημήτριον· αὐτὸς δὲ ἦν ἑτοιμάζων ἵνα κατὰ τῆς πόλεως καὶ τοῦ βασιλέως καὶ ἀδελφοῦ αὐτοῦ ἔλθῃ, καὶ ἀπέπεμψέ με ἄπρακτον ἕνεκεν τούτου. Καὶ ἐν ταῖς ἡμέραις ἐν αἷς διέτριβον ἐγὼ ἐκεῖσε, ἐν ἀποπληξίᾳ δεινῇ περιπεσὼν ὁ Παῦλος ἐναπέψυξεν. Ἐμοῦ δὲ ἐπαναστρέψαντος εἰς τὴν πόλιν, καὶ προσμένοντός μου ὅπως ὁρισμῷ τοῦ βασιλέως ἐπανέλθω πρὸς τὸν αὐθέντην μου εἰς Πελοπόννησον, ἰδοὺ τῇ κγ' τοῦ Ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐπέδραμεν ὁ δεσπότης κὺρ Δημήτριος μετὰ στρατοῦ καὶ ἀπέκλεισε τὴν πόλιν, φθείρας καὶ ζημιώσας οὓς εὗρεν ἔξωθεν, ἔχων καὶ μεθ' ἑαυτοῦ συμμάχους μέρος ἱκανὸν ἐκ τοῦ τῶν Τούρκων στρατοῦ· ἐν ᾧ δὴ μηνὶ ἐγεννήθη αὐτῷ ἡ θυγάτηρ ἣν ἔλαβεν ὕστερον εἰς γυναῖκα ὁ ἀμηρᾶς Μεεμέτης. Καὶ τῷ Ἰουλίῳ **195** μηνὶ τοῦ αὐτοῦ ἔτους ἐρχομένου τοῦ αὐθέντου μου καὶ δεσπότου κὺρ Κωνσταντίνου εἰς βοήθειαν τῆς πόλεως, καὶ διὰ τῆς Λέσβου διελθόντος, ἔλαβε καὶ τὴν δέσποιναν τὴν ἑαυτοῦ σύζυγον μεθ' ἑαυτοῦ· καὶ ἐν τῇ Λήμνῳ ἐλθόντος ἐπολεμήθη ὑπὸ τοῦ στόλου παντὸς τῶν Τούρκων ἡμέραις πολλαῖς ἐκεῖ εὑρεθέντος· τῇ δὲ Θεοῦ βοηθείᾳ ἀπῆλθεν ἄπρακτος ἀπ' αὐτοῦ ὁ στόλος. Ἡ δὲ δέσποινα ἡ τούτου σύνευνος ἀπὸ τῆς πε-

ejus insulæ principis, filiam, in matrimonium acciperet, ac perfeci conjugii sponsalia. Ejusdem anni Aprilis die decimo sexto, ipsa Dominica Paschæ, Thamar filiam suscepi, quam et ipsam Constantinus despota, dominus meus, e sacro baptismate sustulit. Eodem die Paulus Asanes cum Asania filia Mesembriam profugit, quoniam ejus amore captus Demetrius despota lecti sociam eam expetebat, imperator autem et Constantinus despota, ejus fratres germani, cum despœna matre id nec audire sustinebant. Die vicesimo septimo Julii ejusdem anni dominus meus, despota, regiis triremibus in Lesbum profectus est accepitque in matrimonium Æcaterinam illam Cateliutzenam, drungario navibus præfecto Luca Notara, qui postea magnus dux factus est. Mense Septembri autem anni 6950 dominus meus, despœna uxore apud ejus patrem relicta, assumpsit me in Peloponnesum, triremibus principalibus et una Lesbica usus. Vicesimo Octobris die ad ameram et imperatorem ablegatus sum, cum secreto mandato, ut, si assentiretur imperator, transirem Mesembriam ad Demetrium despotam, eique oppida et loca omnia traderem, quæ in Peloponneso dominus meus habebat; ipse, Cpolim reversus, Selymbriam cum locis ad mare Nigrum sive pontum Euxinum finitimis usque Derca haberet, urbi vicinus esse cupiens propter spem imperii. Probata hæc sunt ab imperatore, qui benigne me excepit. Itaque mense Januario Mesembriam ad Demetrium despotam salvus perveni, qui tamen, ad bellum Cpoli et imperatori ac fratri inferendum cum maxime se parans, re infecta me dimisit. Diebus autem, quibus illic commorabar, Paulus, gravi tactus apoplexia, exspiravit. Reverso me igitur in urbem, et exspectante, ut jussu imperatoris ad dominum meum in Peloponnesum redirem, ecce die vicesimo tertio Aprilis ejusdem anni Demetrius despota cum exercitu adfuit et eversis deletisque, quoscunque foris offendit, urbem obsedit, auxiliis satis magnis Turcarum adjutus. Eodem mense filia ei nata est, quam postea in matrimonium duxit Mehemetes ameras. Mense Julio ejusdem anni Constantinus despota, dominus meus, ad opem urbi ferendam per Lesbum proficiscens, conjugem despœnam secum abduxit. In Lemnum ut venit, universa eum classis Turcarum, quæ dies ibi complures steterat, oppugnavit, sed divino auxilio factum est, ut conatu irrito discederet. Despœna autem, ejus conjux, ex eo casu morbo correpta, abortu facto, Augusto

Digitized by Google

Παρὼν καὶ Ματθαῖος ὁ ἱερομόναχος καὶ μέγας πρωτοσύγκελλος βασιλικῇ προστάξει ταῦτα ἔφη καὶ ἀπελογίσατο. Καὶ ὁ μὲν Ξένος ἐρωτῶν εἶπεν οὕτως, ὡς « Ἤδη τὸν μὲν Μεσσίαν ἐληλυθέναι φατὲ, τὸν Θεσβίτην μὴ ἥκοντα κατὰ τὰς τῶν προφητῶν ῥήσεις; » Ὁ Ματθαῖος ἀποκριθεὶς · « Ἄκουσον, ὦ Ξένε, καὶ σύνες. Δύο τὰς τοῦ Χριστοῦ παρουσίας οἱ προφῆται κηρύττουσι, ταύτην τε τὴν ἤδη γεγενημένην καὶ τὴν εἰς ἔπειτα τῇ τελευτῇ τοῦ κόσμου φανησομένην· καὶ τῆς μὲν μιᾶς, τῆς δευτέρας δηλαδὴ, πρόδρομον ἔσεσθαι τὸν Ἠλίαν λέγουσι, τῆς δὲ προτέρας Ἰωάννης ἐγένετο, ὃν ἄγγελον μὲν ὁ προφήτης ὠνόμασε Μαλαχίας, οὐ μόνον ὡς τὴν προτέραν αὐτοῦ παρουσίαν ἐγγὺς οὖσαν μηνύοντα, ἀλλὰ καὶ ὡς βίον ἀσπασάμενον μικροῦ τοῦ τῶν ἀγγέλων ἐξ ἐφαμίλλου χωροῦντα. Ἠλίαν δὲ καὶ τοῦτον ὁ Χριστὸς ἐκάλει, οὐκ ἐπειδὴ Ἠλίας ἦν, ἀλλ' 173 ὅτι τὴν αὐτὴν ἐκείνῳ πληρῶν ἐτύγχανε διακονίαν· ὥσπερ γὰρ ἐκεῖνος πρόδρομος ἔσται τῆς δευτέρας παρουσίας, οὕτω καὶ οὗτος τῆς προτέρας ἐγένετο. Οὐ παρὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ βίον μετῆει κατάκρας τῷ ἐκείνου συμβαίνοντα. Ἀλλ' οἱ μὲν προφῆται καὶ ἀμφοτέρων μέμνηνται τούτων καὶ τοὺς προωδευκότας ἑκατέρας κηρύττουσιν· ὑμεῖς δὲ τὴν μὲν προτέραν σιγῇ κακούργως παρέρχεσθε, εἴγε καὶ τῷ νῷ τῆς Γραφῆς ἀτεχνῶς ἐπιβάλλετε, τῆς δὲ δευτέρας μέμνησθε μόνης, ἧς ὁ Θεσβίτης προδραμεῖται πάντως; Ἠλίας. Ἀλλὰ γὰρ καὶ τῶν χρησμῶν αὐτῶν ἀκουσώμεθα. Ὁ θεσπέσιος Μαλαχίας τὴν τοῦ Σωτῆρος βουληθεὶς παρουσίαν διδάξαι, καὶ ὡς ἥξει τῆς δικαίας ἀνταποδόσεως ὁ καιρὸς, πρῶτος μὲν τὴν

spectantibusque, in cœlos susceptus est, ibique nunc assidet Deo Patri, cum eodem ab universo sancto cœlestium choro adoratus. »

Qui huic disputationi intererat Matthæus hieromonachus et magnus protosyncellus, jussu imperatoris hæc dixit responditque. Interrogans Xenus : « Vos, inquit, Messiam jam venisse dictitatis, Thesbiten non venisse secundum voces prophetarum ? » Respondit Matthæus : « Audi, Xene, et adverte. Duplicem adventum Christi prophetæ prænuntiant, cum, qui jam præteriit, et qui in fine rerum futurus est ; et unius quidem, secundi nempe, præcursorem Eliam fore canunt, sicut alterius præcursor Joannes fuit, quem Malachias propheta angelum nominavit ; non solum, quia priorem Domini adventum jam vicinum indicavit, sed etiam, quia vitæ institutum sectatus est, quod cum angelica vita propemodum certaret. Atque hunc quoque Christus Eliam appellavit, non quod Elias esset, sed quod eodem ministerio fungebatur, quo ille fungetur. Sicut enim alter adventum secundum antecedet, sic alter priorem antecessit. Nec ob unam istam causam ita eum appellavit, sed etiam, quia vitam colebat illius vitæ prorsus similem. Prophetæ igitur utrumque adventum memorant et utriusque prædicant præcursorem ; at vos priorem quidem adventum aequiter silentio præteritis, siquidem sensum Scripturæ haud dubie assequimini ; ac solum

A προτέραν ἐπιφάνειάν του προθεσπίζει καὶ δείκνυσι τὸν μετὰ Ἰωάννην τὸν βαπτιστὴν ἐκείνης προηγούμενον · « Ἰδοὺ γὰρ ἐγὼ, λέγων, ἐξαποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου σου · καὶ ἐξαίφνης ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος. » Πάντων γὰρ ἀγνοούντων ὁ σωτήριος τόκος ἐγένετο · ναὸν γὰρ τὴν ἀνθρωπείαν ὠνόμασε φύσιν, ἣν ὁ Θεὸς Λόγος ἀνέλαβε. Πρὸς δὲ τῇ προτέρᾳ καὶ τὴν δευτέραν ἔλευσιν ὑπογράφει · « Ἰδοὺ ἔρχεται Κύριος παντοκράτωρ, καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ, ἢ τίς ὑποστήσεται ἐν τῇ **174** ὀπτασίᾳ αὐτοῦ; ἀδυσώπητος καθεῖται κριτὴς ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Εἶτα διδάσκει τὰ κατὰ τὴν προτέραν αὖθις παρουσίαν ὑπ' B αὐτοῦ δρώμενα · « Διότι αὐτὸς πορεύεται ὡς πῦρ χωνευτηρίου καὶ ὡς πόα πλυνόντων, καὶ καθεῖται χωνεύων καὶ καθαρίζων τὸ ἀργύριον καὶ τὸ χρυσίον. » Σημαίνει δὲ διὰ τούτων ὁ προφήτης τὴν διὰ τοῦ ἁγίου Πνεύματος κάθαρσιν, ἣν θεανδρικῶς ὁ Λόγος πολιτευσάμενος ἡμῖν ἐχαρίσατο · καὶ γὰρ ἐν τούτῳ μυστικῶς τοὺς προσιόντας ἀναχωνεύει καὶ νεουργεῖ, τῷ πυρὶ τοῦ Πνεύματος χρώμενος, οἷα δημιουργὸς, ὁ Δεσπότης · καθάπερ τινὶ πόᾳ τῷ ὕδατι τοῦ βαπτίσματος τὸν τῆς ἁμαρτίας ῥύπον ἀποσμήχει, καὶ τῷ πυρὶ τοῦ Πνεύματος τοῦ ταύτης ἰοῦ τὰς ἡμετέρας ἐλευθεροῖ ψυχάς. Μεθ' ἣν τοῖς μὴ φυλάξασι εἰς τέλος τὴν ψυχὴν ἀκηλίδωτον φοβερὸς ὀφθήσεται καὶ ἀπαραίτητος κολαστὴς, τὸ δεύτερον αὖθις ἐπανιών. Καὶ μετά τινα τῆς δευτέρας πάλιν C ἐπιδημίας ὑπομιμνήσκει · « Ἰδοὺ ἐγὼ ἀποστελῶ

posteriorem commemoratis, cui omnino præcursurus est Thesbites Elias. Atenim audiamus ipsa oracula. Divinus Malachias de Salvatore affuturo nos docere volens, et quale futurum sit tempus justæ compensationis, primum quidem priorem alicujus adventum vaticinatur significatque, qui præcursori Joanni baptistæ successurus sit : « Ecce enim, inquit, angelum meum ante faciem tuam mittam, qui viam tibi sternet spectabitque eam ante faciem tuam ; et statim veniet ad templum suum Dominus. » Omnibus enim neseiis partus salutaris factus est. Nimirum templum naturam humanam appellavit, D quam Deus Verbum suscepit. Cum priore autem adventu etiam secundum describit. « Ecce venit Dominus omnipotens : quis sustinebit diem ingressus ejus, aut quis prodibit in ejus conspectum ? Inexorabilis judex sedebit referetque cuique secundum ejus opera. » Deinde in priori rursus adventu ab eo facta docet : « Quare ipse veniet ut ignis fornacis et sicut herba fullonum, ac sedebit conflans et purgans argentum et aurum. » Quibus verbis propheta purgationem per Spiritum sanctum futuram significat, quam Verbum utraque natura nobiscum versatum nobis impertivit. Hujus enim opera accedentes ad se mystice conflat ac renovat Dominus, igne Spiritus, tanquam artifex quispiam, usus; aqua baptismatis tanquam herba quadam sordes peccatorum abstergens, atque igne Spiritus eorum quasi

Digitized by Google

ὑμῖν Ἠλίαν τὸν Θεσβίτην· » καὶ σημαίνων τὸν καιρὸν ἐπήγαγε· « Πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ, » τὴν τῆς δευτέρας λέγων ἐπιφανείας. Διδάσκει δὲ ἅπερ ὁ μέγας Ἠλίας ποιήσει παραγενόμενος· « Ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν. » Ἐπειδὴ γὰρ πατέρες τῶν ἀποστόλων οἱ Ἰουδαῖοι, τοῦτο ἔοικε λέγειν, ὅτι ἀποκαταστήσει τοῖς δόγμασι τῶν υἱῶν αὐτῶν ἤτοι τῶν ἀποστόλων τὰς τῶν πατέρων καρδίας, τουτέστι τοῦ γένους **175** τῶν Ἰουδαίων τὴν διάνοιαν· ἀποκαταστήσει δὲ τοὺς εὐρεθησομένους τηνικαῦτα πρὸς τὴν εἰς Χριστὸν πίστιν εὐγνώμονας εἰς πατρῷον ὡς περὶ τὴν εὐσέβειαν κλῆρον, πάλαι δι' ἀπιστίας ἐκπεπτωκότας αὐτοῦ. » Καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ· καὶ τοὺς ἀδελφοὺς γὰρ ἀδελφικὰ παρασκευάσει φρονεῖν. Καὶ δεικνὺς τὸν σκοπὸν δι' ὃν Ἠλίας πρότερος παραγίνεται, ἐπήγαγε· « Μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην, » ἵνα μὴ εὑρὼν ὑμᾶς ἅπαντας ἐν ἀπιστίᾳ εἰς τὴν ἀτελεύτητον κόλασιν παραπέμψω. Ἐνταῦθα περιφανέστερον τὴν δευτέραν καὶ φοβερὰν τοῦ Κυρίου παρουσίαν ἐνέφηνε· τῇ γὰρ προτέρᾳ οὐκ ἦλθε τὴν γῆν πατάξαι, ἀλλὰ σῶσαι. Ἆρ' οὐ φανερῶς καὶ ἠκριβωμένως καὶ ἀμφοτέρας τὰς τοῦ Σωτῆρος ἐδήλωσε παρουσίας; Ἡ μὲν γὰρ ἤδη γεγένηται, θαυμασίους ἡμῖν ὄμβρους ἐπιβλύσασα χαρισμάτων· ἡ δὲ πρὸς τῷ τέλει τοῦ παρόντος αἰῶνος γενήσεται, εὐθύνας τῶν ἑκάστῳ βεβιωμένων εἰσπράττουσα. Εἰ οὖν τὴν ἐπὶ τὸ σῶσαι μόνον γεγενημένην παρὰ φαῦλον ἡγεῖσθε, τὴν δὲ ἐπ' εὐθύνην ἄγουσαν τοῦ Μεσσίου παρουσίαν ἐπιζητεῖτε, σκοπεῖτε μὴ πρὸ ἐκείνης λάθητε λύκῳ προσιόντες ἀντὶ ποιμένος καὶ τῷ τοῦ Ἀντιχρίστου στόματι περιπέσητε καὶ σὺν ἐκείνῳ τῷ πυρὶ τῷ αἰωνίῳ παραπεμπόμενοι ἀνόνητα μετακλαύσησθε. Ἢ οὐ καὶ τοῦτον μετὰ τὴν τοῦ χρόνου περίοδον καὶ τῶν ἡμερῶν αὐτοῦ ἐξαρίθμησιν **176** ὁ προφήτης ἐπιδημήσειν εἴρηκε Δανιήλ, θηρίον τροπικῶς ὀνομάσας παρὰ τὸ τῆς γνώμης ἀτίθασον, πάσης γέμον ἀπονοίας καὶ δυσσεβείας, καὶ τῷ τοῦ πυρὸς ποταμῷ τῷ ὑπ' ὄψιν ῥέοντι τοῦ κριτοῦ πρὸ τῶν ἄλλων δοθήσεσθαι; Ὥσπερ γὰρ ὁ διάβολος παρὰ πάντα τὸν νῦν αἰῶνα τῆς ἡμετέρας γνώμης ἀφείθη βάσανος καὶ τοῦ τῆς ψυχῆς αὐτεξουσίου γυμνάσιον, εἰ προαιρετικῶς ἔχομεν τοῦ καλοῦ καὶ τῆς ἀρετῆς (τοὺς γὰρ ἀρίστους ἡ πάλη δείκνυσιν), οὕτω καὶ ὁ Ἀντίχριστος· ὃς καὶ τὸν ὑπὸ τοῦ Ἐνὼχ καὶ Ἠλίου ἐλεγχον μὴ φέρων ἀνελεῖ αὐτοὺς ὡς τύραννος, τὸν τοῦ μαρτυρίου στέφανον προξενήσων αὐτοῖς· καὶ γὰρ οὔπω πεῖραν θανάτου ἔγνωσαν. »

Λοιπὸν ἔνεκεν τῆς τοῦ παναγίου Πνεύματος αἰγλῆς καὶ τοῖς σοφοῖς ῥήμασι τοῦ αὐτοκράτορος καὶ τοῦ ἱερομονάχου Ματθαίου φωτισθεὶς ὁ Ἑβραῖος τὴν ἁγίαν Τριάδα φανερῶς, ὡμολόγησε καὶ πάντα τὰ τῆς ὀρθοδόξου πίστεως δόγματα, καὶ τῷ θείῳ βαπτίσματι ἀναγεννηθεὶς ἀντὶ Ξένου Ἐμμανουὴλ ἐπωνυμάσθη.

ιγ'. Λοιπὸν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Τῇ κζ' τοῦ Νοεμβρίου τοῦ αὐτοῦ ἔτους διέβη ὁ βασιλεὺς κὺρ Ἰωάννης μετὰ τοῦ πατριάρχου κὺρ Ἰω-

ærugine animas nostras liberans. Post quam purgationem qui ad finem usque animam non servaverint a labe, iis terribilis et implacabilis vindex erit in secundo adventu : de quo mox idem propheta ita prædicat : « Ecce mittam ego vobis Eliam Thesbiten ; » et tempus significans, addit : « Antequam veniat dies Domini magnus et præclarus, » alterius nimirum adventus. Docet idem quæ facturus sit magnus Elias, cum advenerit : « Qui convertet animum patris ad filium. » Quoniam enim patres apostolorum Judæi erant, hoc videtur dicere, conversurum eum esse per filiorum ipsorum, hoc est, apostolorum doctrinam animos patrum, id est, mentem generis Judaici. Convertet autem quos tunc invenerit ad fidem Christi, quasi ad paternam pietatis sortem, unde pridem propter infidelitatem exciderunt. « Et cor ad hominem convertet, » fratres enim ut sensus fraternos induant faciet. Deinde rationem explicans, ob quam Elias prius venturus sit, addit : « Ne adveniens terram penitus percutiam, » id est, ne vos omnes infideles repertos ad supplicium sempiternum detrudam. Atque his quidem verbis secundum et horribilem Domini adventum clarius significavit. Prius enim terram non percussum, sed salvatum venit. Nonne igitur manifesto et accurate duplicem Salvatoris adventum significavit? Unus jam evenit, quo admirandis gratiarum imbribus irrigati sumus : alter sub finem hujus mundi eveniet, quo totius vitæ ab unoquoque peractæ ratio repetetur. Quod si adventum eum, qui tantum ob salutem hominum susceptus est, nihili æstimatis, illius autem, quo ratio danda erit, teneamini desiderio, cavete, ne ante eumdem imprudenter lupum pro pastore inveniatis neve in fauces Antichristi incidatis et cum ipso in ignem æternum conjecti nequidquam fundatis lacrymas. Annon hunc post exactam temporis periodum et absolutum numerum dierum Daniel propheta venturum dixit, translate bestiam appellans propter animi impotentiam effrenatamque impietatem, eumque fluvio igneo, in conspectu judicis labenti, præ cæteris injectum iri affirmavit? Sicut enim diabolus toto hujus sæculi spatio ad examen mentis et ad liberæ voluntatis exercitium nobis relictus est, ut cognoscatur, num pulchri et honesti simus studiosi (strenuos enim lucta prodit), ita Antichristus quoque, qui Enochi et Eliæ non ferens refutationem, quasi tyrannus quidam eos occidet iisque conciliabit coronam martyrii. Nondum enim illi mortem obierunt. »

Deinde sanctissimi Spiritus lumine et sapienti imperatoris ac Matthæi hieromonachi disputatione eductus Hebræus, sanctam Trinitatem omniaque orthodoxæ fidei capita palam confessus est, et divino baptismate regeneratus pro Xeno nominatus est Emmanuel.

13. Sed redeamus jam ad propositum. Die vicesimo septimo ejusdem anni imperator Joannes cum Josepho patriarcha et Demetrio despota mul-

Digitized by Google

σῆφ καὶ τοῦ δεσπότου κὺρ Δημητρίου καὶ πολλῶν ἀρχόντων τῆς συγκλήτου καὶ τῆς ἐκκλησίας **177** καὶ πάντων σχεδὸν τῶν μητροπολιτῶν καὶ ἐπισκόπων διὰ τὴν μελετηθεῖσαν καὶ μὴ ὠφεληθεῖσαν ἢ μᾶλλον εἰπεῖν μὴ ὠφελήσασαν σύνοδον τὴν ἐν Φλωρεντίᾳ συναθροισθεῖσαν, ἔνθα καὶ οὐ συνεπέρασε τι; πᾶσι. Οὐ λέγω τοῦτο κατὰ τῶν τῆς Ἐκκλησίας δογμάτων· ταῦτα γὰρ παρ' ἄλλοις ἐδόθησαν κρίνεσθαι· ἐμοὶ δὲ ἀρκεῖ ἡ πατρική μου διαδοχὴ τῆς πίστεως, διότι οὐ παρά τινος τῶν ἐκείνων μερῶν τῶν ἐξ ἐναντίας ἤκουσα λέγειν τὰ ἡμέτερα κακὰ εἶναι, ἀλλὰ μᾶλλον καλὰ καὶ ἀρχαῖα, καὶ τὰ ἐκείνων πάλιν οὐ κακά, ἀλλὰ καλά. Καὶ ὡς εἰπεῖν ἐν παραδείγματι, ὅτι τὴν μέσην ὁδὸν τῆς πόλεως τὴν πλατεῖαν καὶ εὐρύχωρον διηρχόμεθα πολλοὺς χρόνους μετά τινων, δι' ἧς καταντῶμεν εἰς τὴν ἁγίαν Σοφίαν· εἶτα μετά τινας καιροὺς εὑρέθη παρά τινων καὶ ἄλλη ὁδὸς καταντῶσα, ὡς λέγουσι, καὶ αὐτὴ ἐκεῖ, καὶ παροτρύνουσί με λέγοντες· « Ἐλθὲ καὶ σὺ διὰ τῆς ὁδοῦ ταύτης, ἣν εὕρομεν· καὶ γὰρ εἰ καί ἐστιν αὕτη δι' ἧς ἀπέρχῃ καλὴ καὶ ἀρχαία, καὶ ἡμῖν ἀρχῆθεν γνωστὴ καὶ σὺν ὑμῖν διερχομένη, ἀλλὰ καὶ αὕτη, ἣν εὕρομεν νῦν, καλή ἐστιν· » ἐγὼ δὲ ἀκούων παρὰ μὲν τῶν ὅτι καλή ἐστι, παρὰ δὲ τῶν ὅτι οὐ καλή, καὶ ἀσυμφωνία οὖσα ἐν τῷ μέσῳ, διά τί μὴ εἶπω μετ' εἰρήνης· « Ἀπέρχεσθε καλῶς εἰς τὴν ἁγίαν Σοφίαν ὅθεν βούλεσθε· ἐγὼ πάλιν διέλθω διὰ τῆς ὁδοῦ ἣν καὶ μεθ' ὑμῶν πολλῷ χρόνῳ **178** διηρχόμην, καὶ καλὴν αὐτὴν καὶ παρ' ὑμῶν καὶ τῶν προγόνων μαρτυρουμένην, καὶ διερχομένην; » Οὐ διὰ ταύτην οὖν τὴν αἰτίαν εἶπον τὰ ὡς μὴ ὠφελήσασαν, ἀλλ' ἕνεκεν τῆς ἀσυμφωνίας. Εἴθε ἕνωσις εἴη τῶν ἐκκλησιῶν, καὶ ὑστερήσαι με ὁ Θεὸς τῶν ὀφθαλμῶν μου. Ἀλλὰ διὰ τί; ὅτι καὶ αὐτὴ ἡ τῆς συνόδου ὑπόθεσις ἦν αἰτία πρώτη καὶ μεγάλη ἵνα γένηται ἡ κατὰ τῆς Κωνσταντινουπόλεως τῶν ἀσεβῶν ἔφοδος, καὶ ἀπὸ ταύτης πάλιν ἡ πολιορκία καὶ αἰχμαλωσία καὶ τοιαύτη καὶ τοσαύτη συμφορὰ ἡμῶν· καὶ ἀκούσατε λόγους ἀληθεῖς, τὴν Αὐτοαλήθειαν προβαλομένου μου μαρτυρίαν.

Εἶπεν ὁ ἀοίδιμος βασιλεὺς κὺρ Μανουὴλ πρὸς τὸν υἱὸν αὐτοῦ, τὸν βασιλέα κὺρ Ἰωάννην, μόνος πρὸς μόνον, κἀμοῦ μόνου ἱσταμένου ἔμπροσθεν αὐτῶν· καὶ ἐκπεσόντος λόγου περὶ τῆς συνόδου ἔφη· « Υἱέ μου, βεβαίως καὶ ἀληθῶς ἐπιστάμεθα ἐκ μέσου τῆς καρδίας αὐτῶν δὴ τῶν ἀσεβῶν, ὅτι λίαν διστάζουσι, φοβούμενοι μή πως συμφωνήσωμεν καὶ ἑνωθῶμεν τοῖς δυτικοῖς Χριστιανοῖς· δοκεῖ γὰρ αὐτοῖς ὅτι εἰ τοῦτο γένηται, γενήσεταί τι κακὸν μέγα κατ' αὐτῶν παρὰ τῶν εἰρημένων δυτικῶν δι' ἡμᾶς. Δοιπὸν τὸ περὶ τῆς συνόδου μελέτα μὲν αὐτὸ καὶ ζήτει, καὶ μάλιστα ὅταν χρείαν ἔχεις φοβῆσαι τοὺς ἀσεβεῖς, τὸ δὲ ποιῆσαι αὐτὴν μηκέτι ἐπιχειριαθῇς αὐτό, διότι ὡς βλέπω τοὺς ἡμετέρους, οὐκ εἰσιν ἁρμόδιοι πρὸς τὸ εὑρεῖν μέθοδον καὶ τρόπον ἑνώσεως συμφωνίας τε καὶ εἰρήνης **179** καὶ ἀγάπης καὶ ὁμονοίας, εἰ μὴ φροντίζουσι πρὸς τὸ ἐπιστρέψαι αὐτοὺς, λέγω τοὺς δυτικούς, ὡς ἦμεν ἀρχῆθεν. Τοῦτο δὲ ἀδύνατον ὄντως· σχεδὸν γὰρ φοβοῦμαι μὴ καὶ χεῖρον σχίσμα γένηται· καὶ ἰδοὺ ἀπεκαλύφθημεν τοῖς ἀσεβέσι. » Τοῦ

tisque tam senatorii ordinis, quam Ecclesiæ viris primoribus et universis propemodum metropolitis et episcopis, propter eam, quam meditabatur, sed cui non profuit, vel, ut aptius dicam, quæ ipsa nihil profuit, Florentiæ coactam synodum discessit. In ea igitur cum reliquis omnibus nihil profecit imperator : quod non de dogmatis Ecclesiæ dico : ea enim aliis data sunt judicanda, ac mihi sufficit quasi hæreditate a majoribus accepta fides, quoniam a nemine contrariæ partis assecla audivi, dogmata nostra prava esse, imo potius pulchra et antiqua, quanquam nec sua dogmata prava, sed et ipsa pulchra esse contendunt. Quam rem ita licebit exemplo illustrare. Si via illa per mediam urbem ferente plana et ampla per longum temporis spatium cum aliis quibusdam profecti essemus ad sanctæ Sophiæ templum, deinde, post aliquod tempus inventa a nonnullis alia via, et ipsa, ut illi quidem dicerent, eodem ferente, cohortarentur me his verbis : « Utare tu quoque hac, quam invenimus, via ; etiamsi enim ista, qua tu uteris, pulchra et antiqua est ac nobis pridem nota et vobiscum usitata, tamen etiam hæc pulchra est, quam nunc invenimus ; » ego autem ab aliis audirem, pulchram eam esse, ab aliis, non pulchram, esseque inter utrosque dissensio et discordia : quidni ego quiete ita responderem : « Ite vos, qua placet, ad templum sanctæ Sophiæ ; ego posthac quoque usurpabo viam eam, quam vobiscum diu usurpavi, et pulchram illam et a nobismet ac majoribus probatam usurpatamque ? » Non hac de causa igitur synodum nihil profuisse dixi, sed propter discordiam. Utinam fieret conciliatio ecclesiarum ! sic ego non recusarem, privari me a Deo oculis. Nimirum ipsa illius synodi quæstio causa prima et gravissima erat expeditionis ab impiis contra Cpolim susceptæ atque deinde consecutæ obsessionis et expugnationis et tantæ hujus cladis nostræ : agite audite ; audituros vos esse narrationes veras, testor eum, qui est ipsa veritas.

Gloriosus imperator Manuel Joannem filium imperatorem solus solum, me unico astante, cum forte de synodo mentio incidisset, sic est affatus : « Fili mi, inquit, vere ac certo scimus exploratis impiorum intimis sensibus, vehementer eos angi ac formidare, ne quando conciliemur et conjungamur cum Christianis occidentalibus. Hoc enim si fiat, ab iis, quos dixi, occidentalibus magno sese damno propter nos mactatum iri putant. Cæterum cogita de synodo et rem curæ habe, præsertim, cum impii tibi timendi sunt ; cogere autem eam ne jam aggrediare, quoniam nostrates, ut mihi quidem videtur, ad inveniendam rationem modumque conjunctionis, consensus, pacis, charitatis et concordiæ nequaquam apti sunt, sed eos, occidentales dico, tales facere animum inducunt, quales fuimus antiquitus. Quod profecto fieri non potest ; ac timeo pene, ne

Digitized by Google

δὲ βασιλέως, ἔδοξε, μὴ δεξαμένου τὸν λόγον τοῦ πατρὸς αὐτοῦ, μηδὲν εἰπὼν ἀναστὰς ἀπῆλθε. Καὶ μικρὸν σύννους γεγονὼς ὁ μακαρίτης καὶ ἀοίδιμος πατὴρ αὐτοῦ, ἐμβλέψας πρὸς μὲ εἶπε· « Δοκεῖ τῷ βασιλεῖ τῷ υἱῷ μου εἶναι αὐτὸν ἁρμόδιον βασιλέα, πλὴν οὐ τοῦ παρόντος καιροῦ· βλέπει γὰρ καὶ φρονεῖ μεγάλα, καὶ τοιαῦτα οἷα οἱ καιροὶ ἔχρηζον ἐπὶ τῆς εὐημερίας τῶν προγόνων ἡμῶν. Πλὴν τῇ σήμερον ὡς παρακολουθοῦσιν ἡμᾶς τὰ πράγματα, οὐ βασιλέα θέλει ἡμῶν ἡ ἀρχή, ἀλλ' οἰκονόμον· φοβοῦμαι γὰρ μή ποτε ἐκ τῶν ποιημάτων καὶ ἐπιχειρημάτων αὐτοῦ γένηται χαλασμὸς τοῦ οἴκου τούτου· προεῖδον γὰρ καὶ τὰς ἐνθυμήσεις αὐτοῦ, καὶ ὅσα ἐδόξασε κατορθῶσαι μετὰ τοῦ Μουσταφᾶ, καὶ εἶδον καὶ τὰ τέλη τῶν δογμάτων, ἐν τίνι κινδύνῳ ἡμᾶς ἤγαγον. »

Ἕτερον βεβαιοῦν τὴν ποτε βουλὴν τοῦ ἀοιδίμου πατρὸς αὐτοῦ. Ὡς ἔκρινεν ἵνα ἀπέλθῃ εἰς τὴν σύνοδον, ἐστάλη πρὸς τὸν ἀμηρᾶν πρέσβυς Ἀνδρόνικος ὁ Ἴαγρος δηλῶσαι τοῦτο πρὸς ἐκεῖνον ὡς τάχα φίλον καὶ ἀδελφόν· κἀκεῖνος ἀπεκρίνατο **180** ὅτι « Οὐ φαίνεταί μοι καλὸν εἶναι ἵνα ὑπάγῃ καὶ τοσοῦτον μοχθήσῃ καὶ καταναλώσῃ τὸν βίον αὐτοῦ, καὶ μετέπειτα τί τὸ κέρδος; Ἰδοὺ ἐγὼ ὑπὲρ αὐτοῦ, εἰ χρείαν ἔχει χρημάτων δι' ἔξοδον καὶ εἴσοδον καὶ ἄλλο τι πρὸς θεραπείαν αὐτοῦ, ἕτοιμός εἰμι θεραπεῦσαι αὐτόν. » Καὶ ἐγένετο πολὺς λόγος καὶ βουλή, πότερον γένηται τὸ τοῦ ἀμηρᾶ θέλημα, ἢ ἀπελθεῖν αὐτοὺς εἰς τὴν σύνοδον. Ὅμως ἐγένετο ὅπερ ἤθελεν ὁ βασιλεὺς ἢ μᾶλλον ἡ κακὴ τύχη. Ἐξελθόντος οὖν τοῦ βασιλέως ἀπὸ τῆς πόλεως καὶ ἀπερχομένου, ἐβουλεύσατο ὁ ἀμηρᾶς ποιῆσαι μάχην κατὰ τῆς πόλεως καὶ στρατόπεδα πέμψαι κατ' αὐτῆς. Καὶ τοῦτο παρὰ πᾶσι τοῖς αὐτοῦ ἐβεβαιώθη καὶ ἐστερεώθη, ἄνευ μόνου τοῦ Χαλὶλ μπασιᾶ, ὅστις ἀντέστη, λέγων ὅτι « Εἰ κατὰ τῆς πόλεως ποιήσεις μάχην, μᾶλλόν ἐστιν ἐπιβλαβὲς, μή πως ὁ βασιλεὺς ἐξ ἀνάγκης δεηθεὶς παρὰ τῶν Λατίνων βοήθειαν ἐπικυρώσῃ τὰ δόγματα αὐτῶν, καὶ ὁμονοήσαντες ὁμοῦ γενήσονται, ὅπερ ἐνδοιάζομεν. Ἀλλ' ἄφες αὐτὸ νῦν, ἕως ἂν ἴδῃς τί πράξει αὐτὸς, καὶ εἰ μὲν ὁμονοήσωσι, σὺ ἀγάπην ἔχε μετ' ἐκείνων καὶ ὅρκους εἰς τὸ πρόσω πάλιν· ὡς ἴδῃς, οὕτω καὶ πράξεις· εἰ δ' οὐχ ὁμονοήσωσι, τότε μᾶλλον ἐξέρχεται ὁ λογισμὸς, καὶ μετὰ πλείονος θάρσους ποιήσεις ὃ βούλῃ. » Καὶ αὕτη ἡ βουλὴ τὸν μὲν ἀμηρᾶν τοῦ σκοποῦ ἐκώλυσεν, περὶ δὲ τοῦ Χαλὶλ μπασιᾶ τὴν βουλὴν ὄντος τῷ καιρῷ μαθεῖν ἡμᾶς ἄλλα τῶν ἄλλων.

181 Ὁ οὖν αὐθέντης μου ὁ δεσπότης καὶ οἱ ἄρχοντες ἐξώρθωσαν τὸν Παλαιολόγον Θωμᾶν καὶ πρὸς τὸν βασιλέα ἀπέστειλαν· καὶ λογισμὸς καὶ τρικυμία ἐν τῇ πόλει περιέπεσε πλείστη, ἕως οὗ πάλιν ἐμάθομεν τὴν ἰσχύσασαν βουλὴν τοῦ Χαλὶλ μπασιᾶ. Καὶ ἰδού, ὡς ἐγὼ προεῖπον, μὴ ἕνεκεν τῶν τοιούτων σκανδάλων, τὸ ὡς μὴ ὤφελε γενέσθαι τὴν σύνοδον.

Καὶ τὴν μὲν ἀπὸ Κωνσταντινουπόλεως εἰς Ἰταλίαν περίοδον, ὡς περισσὴν οὖσαν, γραφῇ παραδοῦναι διὰ τὸ μῆκος ταύτην ἐάσω· τὴν δὲ εἰς τὴν Ἐνετίαν εἰσέλευσιν τοῦ βασιλέως Ἰωάννου καὶ τῶν

etiam deterius schisma eveniat: et nos ecce expositi foremus impiis. » Imperator non probata, ut visum est, patris sententia, tacitus surrexit ac discessit. Tum paulum secum reputans beatæ memoriæ et venerabilis pater ejus, meque intuens: « Videtur sibi, inquit, filius meus præclarus imperator esse: est haud dubie, sed non huic ætati aptus ille est. Spectat sapitque magna, et talia, qualia majorum nostrorum prospera tempora postulabant. Sed, ut hodie res sunt, non imperatore, sed gubernatore regnum nostrum eget. Metuo enim ne quando e facinoribus conatibusque ejus hujus quasi navis interitus exoriatur. Namque præsensi cogitationes ejus et quæ se cum Mustapha perfecturum sperabat, atque intellexi, in quod periculum nos præcipitarint sanctiones dogmatum. »

En tibi aliud, quo confirmatur gloriosi patris ejus consilium. Postquam ad synodum proficisci decrevit, ad ameram legatus missus est Andronicus Iagrus, qui id illi tanquam amico et fratri videlicet significaret. Respondit ameras, non sibi probari, eum abire, tantoque labore semet conficere. « Quid enim, » inquit, « inde emolumenti reportabit? Ego tamen, si pecuniis ad abitum et reditum vel ad alios usus indiget, paratus sum ei succurrere. » Multis deinde sermonibus et consultationibus agitata res est, utrum ameræ auctoritati parendum, an ad synodum abeundum esset. Sedenim factum est, quod imperator, sive potius fatum volebat. Egresso igitur ex urbe imperatore et iter prosequente, ameras Cpolim oppugnare copiasque adversus eam mittere constituit. Suaserunt hoc approbarunique omnes consiliarii ejus, uno Chalilbasia excepto, qui cæteris repugnans: « Imo potius, inquit, urbem oppugnare exitiosum videtur, quoniam metus est, ne imperator, necessitate coactus opem Latinorum implorare, eorum dogmata amplectatur, et ita eveniat, quod veremur, ut concordes illi fiant concilienturque. Quare nunc mitte eam rem, donec videris quid Joannes sua sponte facturus sit. Nam si in concordiam redierint, tute posthac rursus amicitiam cum iis ac fœdus servato, ac facito quod tibi videbitur: si inter eos non convenerit, tum melius evenit consilium, majorique confidentia facies, quod volueris. » Hoc consilium ameram cœpto prohibuit; de Chalilbasia autem, consilii opportune auctore, alia ex aliis cognovimus.

Dominus meus igitur, Constantinus despota, et principes Thomam Palæologum excitarunt atque ad imperatorem miserunt. Interea in cogitationes et fluctus curarum ingentes Cpolitani inciderunt, dum cognovimus, quod obtinuit, consilium Chalilbasiæ. Vides jam, quod supra dixi, propter tantas offensiones non debuisse synodum istam fieri.

Iter imperatoris Cpoli in Italiam factum, ut rem supervacaneam, litteris tradere, quia longum est,

Digitized by Google

σὺν αὐτῷ, ὡς λαμπρὰν καὶ αἰδέσιμον, ἔτι γε μὴν καὶ ἀξίαν, ταύτην διηγήσωμαι κατὰ τὸ δηλοποιηθέν μοι παρὰ τοῦ δεσπότου κὺρ Δημητρίου.

ιδ'. Κατὰ τὴν ἑβδόμην τοῦ Φεβρουαρίου μηνὸς ὁρμήσασαι ἐκ τοῦ Παρεντίου πᾶσαι αἱ τριήρεις ὁμοῦ· ἡ δὲ βασιλικὴ τριήρης διὰ τὸ εἶναι αὐτὴν ταχυτέραν τῶν ἄλλων προαπέσωσε τῶν ἄλλων εἰς Ἐνετίαν, καὶ ἔφθασεν εἰς τὸν ἅγιον Νικόλαον τῇ η' τοῦ μηνὸς, ὥρᾳ β' τῆς ἡμέρας. Ἐξῆλθον οὖν ἐκ τῆς Ἐνετίας πλεῖστα πλοιάρια εἰς συνάντησιν τῷ βασιλεῖ· τοσοῦτον ἦν τὸ πλῆθος ὅτι σχεδὸν εἰπεῖν μὴ φαίνεσθαι τὴν θάλασσαν δυναμένην ἐκ τοῦ πλήθους τῶν ὁλκάδων. Ἐξῆλθεν οὖν λόγος ἐκ τῆς τῶν Ἐνετῶν γερουσίας ἤτοι **182** αὐθεντίας μὴ ἐξελθεῖν τῆς τριήρεως τὸν βασιλέα ἕως τὸ πρωΐ, ἵνα συνέλθῃ ὁ δοὺξ σὺν πάσῃ τῇ γερουσίᾳ ποιῆσαι τὴν προσήκουσαν τιμὴν καὶ ἀσπασμὸν τῷ βασιλεῖ, καὶ ἐγένετο οὕτως. Καὶ μετ' ὀλίγην ὥραν παρεγένετο ὁ δοὺξ σὺν τοῖς μεγιστᾶσιν αὐτοῦ καὶ γερουσίᾳ, καὶ προσεκύνησε τὸν βασιλέα καθήμενον, ὁμοίως καὶ οἱ ἄρχοντες, καὶ πάντες ἀσκεπεῖς. Ἐκάθητο δὲ ἐκ δεξιῶν αὐτοῦ ὁ δεσπότης ὁ ἀδελφὸς αὐτοῦ κὺρ Δημήτριος, μικρὸν κατωτέρω τοῦ βασιλικοῦ θρόνου· καὶ ἐξ εὐωνύμων τοῦ βασιλέως ἐκάθισεν ὁ τῶν Ἐνετῶν δούξ. Καὶ συλλαλήσαντες ἀλλήλοις λόγους χαιρετισμοῦ καὶ ἕτερα μυστήρια, εἶπεν ὁ δοὺξ τῷ βασιλεῖ ὅτι « Τῷ πρωΐ ἐλεύσομαι σὺν πᾶσι ποιῆσαι τὴν ὀφειλομένην τιμὴν τῇ βασιλείᾳ σου ἐν Θεῷ ἁγίῳ καὶ συναντῆσαι αὐτῇ μετὰ παῤῥησίας, καὶ ἐλεύσῃ ἐντὸς Ἐνετίας. » Καὶ οὕτως ἀνεχώρησεν ὁ δοὺξ μετὰ τῶν ἀρχόντων αὐτοῦ. Πρωΐας δὲ γενομένης, ἐπιφωσκούσης τῆς Κυριακῆς, Φεβρουαρίου θ', ὥρᾳ πέμπτῃ τῆς ἡμέρας, ἦλθεν ὁ δοὺξ μετὰ τιμῆς μεγάλης, μετὰ τῶν ἀρχόντων αὐτοῦ καὶ συμβούλων τῶν τῆς γερουσίας καὶ συγκλήτου ἑτέρων ἀρχόντων πολλῶν, ἐντὸς τοῦ πορθμείου τινὸς, ἐν ᾧ ἔθος ἦν τῇ γερουσίᾳ εἰσιέναι αὐτοὺς, κατὰ τὴν ἐκείνων διάλεκτον πουτζιδῶρον καλούμενον· ὃ ἦν εὐτρεπισμένον καὶ κεκαλυμμένον διὰ ἐρυθρῶν καλυμμάτων, καὶ χρυσοῦς λέοντας εἶχεν ἐν τῇ πρύμνῃ καὶ χρυσᾶ περιπλέγματα, καὶ ὅλον ἐζωγραφισμένον ποικίλων καὶ ὡραιοτάτων ἱστοριῶν· δηλονότι τὸ εἰρημένον **183** πουτζιδῶρον ἦν ἡ κύμβη ἤτοι πλοιάριον αὐθεντικόν. Ἦλθον δὲ μετ' αὐτοῦ καὶ ἕτεραι ἡμιτριήρεις, αἱ κατὰ τὴν τῶν Λατίνων διάλεκτον τετραήρεις ἐπονομαζόμεναι, ὡσεὶ δύο ἐπὶ δέκα, καὶ αὐταὶ εὐτρεπισμέναι καὶ ἐζωγραφισμέναι ἐντὸς καὶ ἐκτὸς, κατὰ πάντα ὅμοιαι τοῦ δουκός· ἐν οἷς ἦσαν ἄρχοντες πλεῖστοι, καὶ κύκλωθεν σημαίας εἶχον χρυσᾶς καὶ σάλπιγγας ἀπείρους καὶ πᾶν εἶδος ὀργάνων. Εἶχον δὲ καί τινα τετραήρη ἐξαίρετον πάνυ, εἰς ὄνομα τάχα τῆς βασιλικῆς τριήρεως, ἣν ἐποίησαν ὡραιοτάτην καὶ ποικίλην· κάτωθεν γὰρ οἱ ναῦται ἔμπλεα ἔχοντες φορέματα χρυσοπετάλινα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν εἶχον σημεῖον τὴν εἰκόνα τοῦ πανευφήμου Μάρκου τοῦ εὐαγγελιστοῦ, καὶ ὄπισθεν τούτου τὸ βασιλικὸν σημεῖον· εἶτα οἱ τζαγκράτορες ἄλλης θέας ἐνδύματα καὶ σημαίας φέροντες· καὶ κύκλωθεν τοῦ αὐτοῦ πλοίου ἤτοι τετραήρεως ὅλης σημαίας βασιλικὰς, εἰς τὴν πρύμναν χρυσᾶς ση-

supersedebo; ejusdem autem et comitum ejus ingressum Venetias, ut splendidum et gloriosum atque etiam dignum cognitione, narrabo, qualem cum ex ore Demetrii despotæ cognovi.

14. Septimo die mensis Februarii omnes simul triremes Parentio solverunt; sed imperatoria, utpote cæteris velocior, ante easdem Venetias pervenit, appulitque ad S. Nicolaum mensis die octavo, hora secunda. Venetiis imperatori obviam processerunt navigia pleraque, quorum tanta multitudo erat, ut, pene dixerim, mare conspici propter eam non posset. Rogatum deinde est a Venetorum senatu sive concilio, ne ante crastinum diem triremi sua imperator exiret, ut a duce cum toto patrum collegio digne salutari et honorari posset. Itaque factum est. Brevi dux cum proceribus suis et senatu adest, atque imperatorem sedentem adorat: similiter primates, idque omnes nudatis capitibus. Sedebat a dextris frater ejus Demetrius despota paulo infra sellam imperatoriam; a sinistris Venetorum dux consedit. Postquam amice inter se consalutarunt et alia secretiora colloqui sunt, dux ait imperatori, se luce sequenti, Deo volente, affuturum cum omnibus, debitumque ejus majestati honorem habiturum et occursurum celebrius Venetiasque eum introducturum esse. Ita cum primoribus suis recessit. Postera die, quæ erat Dominica et Februarii mensis nona, hora quinta, dux magna cum pompa adest, stipatus proceribus, consiliariis et senatoribus aliisque viris primoribus non paucis, in navigio, quo senatum vehi solemne erat, illorum lingua putzidoro appellato. Ornatum id convestitumque erat stragulis purpureis; in puppi leones aurei et aurea textilia; totum denique navigium illud principale variis pulcherrimisque historiis depictum. Advenerunt autem una semitriremes, quæ Latinorum sermone quadriremes vocantur, circiter duodecim, et ipsæ ornatæ ac depictæ intus atque extrinsecus, planeque similes navi ducis, quibus vehebantur nobiles quam plurimi, circumdati vexillis aureis, tubis innumeris et omni genere instrumentorum. Habebant autem unam plane insignem navem, quæ regia quadriremis dicebatur, quam varie et pulcherrime ornaverant. Infra enim remiges gerebant integras vestes frondibus aureis obtextas, et in capitibus signum celebratissimi Marci evangelistæ ac pone id imperatorium signum; deinde tzancratores alius generis vestimenta et insignia habebant; in ambitu navis autem imperatoria signa erant et in puppi quidem plurima eaque aurea, viri item quatuor vestimentis auro intertextis induti et capillis coccineis, auro intermicante, insignes: inter quos medios vir decorus nunc sedebat, nunc stabat, et ipse veste ornatus auro picta et splendida, manu sceptrum tenens, quo quasi quadriremis dominum se profitebatur. Alii præterea adv[illegible]næ viri

Digitized by Google

μαίας καὶ πλείστας καὶ ἀνθρώπους τέσσαρας ἐστολισμένους μεθ' ἱματίων χρυσοζωγραφίστων, καὶ τρίχας κοκκινοχρύσας ἐπὶ τὰς κεφαλὰς αὐτῶν. Μέσον δὲ τούτων τῶν τεσσάρων ἀνήρ τις εὐειδὴς ποτὲ μὲν ἐκαθέζετο, ποτὲ δὲ ἵστατο, φέρων ἱμάτια χρυσοΰφαντα καὶ λαμπρά, καὶ κρατῶν ἐν τῇ χειρὶ σκῆπτρον, ὥσπερ τριήρεως κύριος δεικνύων εἶναι. Καὶ ἕτεροι ἄρχοντες ὡς ἐξ ἀλλοδαποῦς χώρας ὑπάρχοντες ἐωρῶντο, φέροντες **184** ἄλλης ἰδίας ἐνδύματα πάνυ ποικίλα, λατρεύοντες αὐτὸν μετ' εὐλαβείας τάχα. Ἔμπροσθεν δὲ τῆς πρύμνης ἵστατο ὄρθιόν τι ὡς στῦλος, ἄνωθεν δὲ τοῦ στύλου ἐκείνου ὡς τράπεζα τετράγωνος, ὀλιγώτερον ὀργυιᾶς μιᾶς· ἐπάνω δὲ τῆς τραπέζης ἐκείνης ἀνὴρ ἵστατο ὡπλισμένος ἀπὸ ποδῶν ἕως κεφαλῆς, ἀστράπτων ὡς ἥλιος, κρατῶν δὲ καὶ ἀριστερᾷ αὐτοῦ ὅπλον φοβερόν· δεξιᾷ δὲ καὶ ἀριστερᾷ αὐτοῦ ἐκάθηντο δύο παῖδες ἀγγελικὰ φοροῦντες, καὶ πτερωτοὶ ἦσαν ὡς ἄγγελοι. Καὶ οὗτοι οὐκ ἐν φαντασίᾳ, ἀλλ' ἀληθῶς ἄνθρωποι ἦσαν κινούμενοι. Καὶ δύο λέοντες ἦσαν ἐν τῇ πρύμνῃ χρυσοῖ, καὶ μέσον αὐτῶν ἀετὸς δικέφαλος, καὶ ἄλλα πλεῖστα ὡς φαντάσματα, καὶ ἄλλα τινὰ ἃ οὐδεὶς δύναται γραφῇ παραδοῦναι· ἦν γὰρ ὠκὺς πάνυ ἡ τετρήρης, ὡς ποτὲ μὲν ἔμπροσθεν τῆς βασιλικῆς τριήρεως, ποτὲ δὲ πλαγίως, καὶ ἐπορεύετο κύκλωθεν μετὰ ἀλαλαγμοῦ καὶ σαλπίγγων πολλῶν. Ἕτερα δὲ πλοιάρια καὶ ὁλκάδες ἦλθον, ὧν οὐκ ἦν ἀριθμός· ὡς ἀδύνατόν τινα ἀριθμῆσαι ἄστρα οὐρανοῦ καὶ φύλλα δένδρων ἢ ἄμμον θαλάσσης ἢ ψεκάδας ὑετοῦ, οὕτω κἀκεῖνα ἀριθμῆσαί τις οὐ δύ-

A νατοι. Καὶ ἵνα μὴ πολλὰ λέγω καὶ διαλέγωμαι, ἰδοὺ προσήγγισεν ὁ δοὺξ τῇ βασιλικῇ τριήρει μετὰ τῆς γερουσίας αὐτοῦ, καὶ ἀνελθὼν ἐπροσκύνησε τὸν βασιλέα καθήμενον ἐπὶ θρόνου, ὢν ἐκ δεξιῶν αὐτοῦ ὁ ἀδελφὸς αὐτοῦ, ὡς εἴρηται, καθήμενος κατώτερον τοῦ βασιλικοῦ θρόνου. Καθίσας οὖν **185** καὶ ὁ δοὺξ ἐξ ἀριστερῶν αὐτοῦ, ἐπὶ ὁμοίου σκάμνου τῷ τοῦ δεσπότου, καὶ κρατῶν αὐτὸν τῇ χειρὶ, συνωμίλουν ἀσπασίως. Καὶ οὕτως κατὰ μικρὸν εἰσήρχοντο μετὰ παῤῥησίας μεγάλης, μετὰ σαλπίγγων καὶ παντὸς γένους μουσικοῦ, ἐν τῇ λαμπρᾷ καὶ μεγάλῃ Ἐνετίᾳ καὶ ὄντως θαυμαστῇ καὶ θαυμαστοτάτῃ, πλουσίᾳ, ποικιλοειδεῖ καὶ χρυσοειδεῖ, τετορνευμένῃ, πεποικιλμένῃ καὶ μυρίων ἐπαίνων

B ἀξίᾳ, τῇ σοφῇ καὶ σοφωτάτῃ, ἣν εἰ καὶ δευτέραν γῆν τῆς ἐπαγγελίας ὀνομάσῃ τις, οὐχ ἁμαρτάνει. Περὶ αὐτῆς οἶμαι καὶ ὁ Προφήτης λέγει ἐν τῷ εἰκοστῷ τρίτῳ ψαλμῷ· « Ὁ Θεὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτήν. » Τί γὰρ ἂν ζητήσῃ τις καὶ οὐχ εὑρήσῃ ἐν αὐτῇ; Διὰ τοῦτο πολλῶν ἐπαίνων καὶ μεγάλων ἀξία ὑπάρχει. Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη τῆς ἡμέρας ὅτε ἤρξατο εἰσέρχεσθαι ἐν τῇ Ἐνετίᾳ, καὶ ἐπλεοπόρουν ἕως δύσεως ἡλίου, καὶ κατήντησαν ἐν τοῖς οἴκοις τοῦ τῆς Φερράρας μαρκίωνος. Ἡ δὲ πόλις πᾶσα ἐσείσθη, ἐξελθόντες εἰς συνάντησιν τῷ

C βασιλεῖ, καὶ κρότος καὶ ἀλαλαγμὸς μέγας ἐγένετο. Καὶ ἦν ἰδεῖν ἔκστασιν φοβερὰν τῇ ἡμέρᾳ ἐκείνῃ, τὸν πολυθαύμαστον ἐκεῖνον τοῦ ἁγίου Μάρκου ναὸν, τὰ παλάτια τοῦ δουκὸς τὰ ἐξαίσια, καὶ τοὺς ἄλλους τῶν ἀρχόντων οἴκους παμμεγέθεις ὄντας, ἐρυθροὺς

nobiles conspiciebantur, qui diversi generis varia admodum vestimenta gestabant eumque magna cum reverentia venerabantur. Ante puppim quiddam columnæ instar erectum stabat, mensam quadratam orgyia aliquanto minorem sustinens, cui insistebat cataphractus, instar solis coruscus, sinistra gladium tenens horribilem : ad dextram sinistramque duo pueri in angelorum modum induti, et alati, sicut angeli, considebant, qui non imagine efficti, sed revera homines erant movebanturque. In puppi item duo leones aurei erant, et inter hos aquila biceps ; et alia plurima simulacra aliaque spectacula, quæ describere nemo possit. Velocissima enim hæc quadriremis erat, et nunc imperatoriam triremem antecedebat, nunc in obliquum currebat, et cum lætis vociferationibus tubarumque frequentium cantibus in orbem se agebat. Cæterorum, quæ adveniebant, navigiorum acatiorumque infinitus numerus erat : quæ non magis, quam stellas cœli, aut folia arborum, aut arenam maris, aut pluviæ guttas numerares. Sed, ne longus sim, dux ad imperatoriam navem cum senatu accessit, qua conscensa imperatorem in solio sedentem adorat, cui dextra, imperatorio solio paulo inferior, ut diximus, frater ejus assidebat. Considens deinde dux queque sinistra, in inferiore scamno, uti despota, prehensa manu ejus, humane et amice colloquitur, atque ita paulatim, magna cum pompa, tubarum et omnium musicorum instrumentorum cantu, inclitas et ampias Venetias intrabant, urbem vere admirandam et summe admirandam, opulentam, multiformem, auream et quasi tornatam versicoloremque, et mille merito afficiendam laudibus, urbem sapientem, imo sapientissimam, urbem denique, quam qui dixerit alteram terram promissionis, non erraverit. De hac, opinor, psalmo vicesimo tertio Propheta dicit : « Deus super mare fundavit eam. » Quid enim quærat quispiam, quod illic non inveniat? qua de re multis et magnis laudibus digna est. Erat autem hora circiter sexta, cum Venetias navibus intrare cœperunt, et navigarunt ad occasum solis usque, deverteruntque ad ædes marchionis Ferrariæ. Tota autem civitas commota erat, imperatori obviam se effundens, erantque lætantium plausus clamoresque ingentes ; ac licebat stupente animo videre eo die templum illud admirandum S. Marci, palatium ducis egregium, cæterasque principum domus longe maximas, purpura et auro ornatissimas, elegantes et elegantibus elegantiores. Qui oculis non ipsi viderunt, non credent ; qui viderunt, scribendo consequi nequeunt pulchritudinem illam et speciem virorum ac mulierum prudentiam, hominum frequentiam; qui læti omnes gaudentesque et exsultantes super adventu imperatoris astabant. Obstupefiebant enim animi omnium, qui videbant novam hanc rem, ut etiam clamarent obstupefacti : « Cœlum

Digitized by Google

καὶ χρυσίῳ πολλῷ κεκοσμημένους, ὡραίους καὶ ὡραίων ὡραιοτέρους. Οἱ μὴ εἰδότες ἐπ' ἀληθείας οὐ πιστεύσουσιν, ἀλλ' οἱ εἰδότες οὐ **186** δύνανται γραφῇ παραδοῦναι τὴν καλλονὴν καὶ τὴν θέσιν καὶ τῶν ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν τὴν σύνεσιν, τὸ πανηγυρικὸν τοῦ λαοῦ, ἑστώτων πάντων καὶ χαιρόντων ὁμοῦ καὶ εὐφραινομένων ἐπὶ τῇ εἰσόδῳ τοῦ βασιλέως· ἐξέστη γὰρ ἡ ψυχὴ πάντων βλεπόντων τὴν τοιαύτην παῤῥησίαν, ὥστε λέγειν καὶ αὐτοὺς ἐν ἐκστάσει· « Ὁ οὐρανὸς σήμερον, ἡ γῆ καὶ ἡ θάλασσα γέγονε. » Δῆλον ὥσπερ τὰ ἐν τῷ οὐρανῷ κτίσματα καὶ ποιήματα τοῦ Θεοῦ οὐ δύναταί τις αὐτῶν καταλαβεῖν, ἀλλὰ μόνον ἐκπλήττεται, οὕτω καὶ τὰ τῆς ἡμέρας ἐκείνης ἐκπλήττοντο θεάματα βλέποντες· ἀλλὰ πολλὴ μεταξὺ τῶν ἑτέρων διαφορά. Ὅταν οὖν ἦλθον εἰς τὴν μεγάλην γέφυραν ἐκείνην ἣν καὶ Ῥεάλτον καλοῦσιν, καὶ ἦραν αὐτὴν ἄνω, ὑφ' ἧς διέβη ἡ τριήρης· ἦν δὲ κἀκεῖσε πλῆθος λαοῦ καὶ σημεῖα χρυσοειδῆ καὶ σάλπιγγες καὶ κρότοι καὶ ἀλαλαγμοὶ καὶ ἁπλῶς εἰπεῖν πᾶν εἶδος ἐξαισίου θεάματος. Ἔτι τοὺς ἐπαίνους καὶ τὴν τιμὴν ἣν ἔδειξαν πρὸς τὸν βασιλέα, τίς διηγήσεται; Ἀπῆλθον οὖν, ὡς προεῖπον, ἐν τοῖς οἴκοις τοῦ μαρχίωνος. Ἐκεῖσε γοῦν ἔστησαν τὴν τριήρη. Ἦν δὲ ὥρα δύσεως ἡλίου· καὶ ἀποχαιρετίσας ὁ δοὺξ καὶ οἱ ἄρχοντες ἀπῆλθον οἴκαδε.

ιε'. Φεβρουαρίου οὖν τῇ εἰκοστῇ ὀγδόῃ ἐξελθόντες τῆς Ἐνετίας ὅ τε βασιλεὺς καὶ ὁ δεσπότης καὶ πᾶς ὁ κλῆρος καὶ **187** ἡ συνοδία αὐτῶν ἔπλεον Φερράριας ὁδόν· ὁ δὲ πατριάρχης ἀπέμεινεν ἐν Ἐνετίᾳ δι' ἔνδειαν τῶν πλοιαρίων. Οὗτοι δὲ ἦλθον, ἵνα τὰ διὰ μέσου ὡς μὴ πάνυ ἀναγκαῖα ἐάσω, εἰς τὸ καστέλλι Φραγγουλῆ· ἔνθα ἀπέσωσαν καὶ ἐστήσαντο ἅπαντα τὰ πλοῖα τὰ ἐκ τῆς Ἐνετίας εἰς Φερράριαν ἐλθόντα. Ἦλθον οὖν διὰ ξηρᾶς ἄρχοντες ἐφιππεῖς ὡσεὶ πεντήκοντα, καὶ προσεκύνησαν τὸν βασιλέα. Καὶ ὁ λεγάτος ἦν μετ' αὐτῶν, ὅστις ποτὲ ἦλθε μετὰ τριήρεως τοῦ πάπα ἐν τῇ Κρήτῃ καὶ ἐν τῇ Κωνσταντινουπόλει· αὐτὸν γὰρ ἀπέσταλκεν ὁ πάπας ἰδεῖν τὴν βουλὴν τοῦ βασιλέως. Τότε γοῦν προστάξας ὁ βασιλεὺς τοῦ ἀγαγεῖν αὐτῷ τῷ πρωῒ ἵππους ἑκατὸν πεντήκοντα, ὅπως πορευθῇ διὰ ξηρᾶς εἰς Φερράριαν, ἔνθα ἦν ὁ πάπας. Ἔμειναν οὖν ἐν ἐκείνῳ τῷ τόπῳ ἐκείνῃ τῇ νυκτί· τῷ δὲ πρωῒ κελεύσαντος τοῦ βασιλέως ἀπῆλθον τὰ πλοῖα διὰ τοῦ ποταμοῦ εἰς Φερράριαν, αὐτὸς δέ, ὡς εἴρηται, ἐπορεύθη διὰ ξηρᾶς. Τὰ δὲ πλοῖα διὰ τοῦ ποταμοῦ ἐπορεύθησαν. Ὁ γὰρ βασιλεὺς διὰ ξηρᾶς ἀπελθὼν ὥρᾳ ἕκτῃ τῆς ἡμέρας εἰσῆλθεν ἔφιππος εἰς τὴν Φερράριαν μετὰ τιμῆς μεγάλης καὶ παῤῥησίας· ἦσαν δὲ μετ' αὐτοῦ πολλοὶ μητροπολῖται, δηλονότι ἐπίσκοποι τοῦ πάπα, καὶ ὁ αὐθέντης τῆς χώρας ὡσαύτως ἦγουν ὁ μαρχίων, ἔτι δὲ καὶ ἱερεῖς τοῦ βασιλέως, καὶ ὁ πνευματικὸς αὐτοῦ ὁ μέγας πρωτοσύγκελλος, κὺρ Γρηγόριος, καὶ ἕτεροι ὡσεὶ διακόσιοι **188** τὸν ἀριθμόν. Καὶ οὕτως εἰσῆλθον μετὰ τῶν σαλπίγγων καὶ παντὸς γένους μουσικοῦ. Ἡ δὲ πόλις πᾶσα τῆς Φερράριας συνέδραμεν ἰδεῖν τὴν τοῦ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως ἔλευσιν μετὰ αἰδοῦς καὶ τιμῆς καὶ εὐλαβείας. Καὶ ὁ μὲν βασιλεὺς ἐκαθέζετο ἐφ' ἵππου ὡραιοτάτου μέλανος καὶ εὐτρεπισμένου μετὰ ἐρυθροῦ καὶ χρυσοῦφάντου

holiæ, terra et mare facta sunt. » Unde apparet, quemadmodum quæ in cœlo a Deo condita et creata sunt, nemo potest mente comprehendere, sed ea stupet tantummodo, sic illius diei spectacula qui intuerentur, stupuisse : quanquam magnum inter utrasque res discrimen est. Cum igitur ad magnum illum pontem venissent, quem Realtum vocant, sublato eo, triremis transitum fecit. Ibi quoque magna hominum multitudo erat cum vexillis auratis tubisque, ingens strepitus plaudentium et ovantium, denique omne, ut tribus verbis dicam, insignis spectaculi genus. Ipsas autem laudes et honores, quibus imperatorem exceperunt, quis explicabit? Deverterunt igitur, ut supra narravi, in ædes marchionis, ibique triremem stiterunt. Fuit autem circa occasum solis. Dux et primores, salutato imperatore, domum abierunt.

15. Februarii die vicesimo octavo egressi Venetiis imperator et despota omnisque clerus comitatusque eorum Ferrariam versus navigarunt. Patriarcha propter penuriam navigiorum Venetiis mansit. Illi igitur, ut taceam, quæ in medio acciderunt, quippe minus necessaria, ad castellum Frangulinum venerunt, quo appulsæ sunt et in pucoris constiterunt naves omnes Venetiis Ferrariam proficiscentes. Ibi per continentem equis advecti viri illustres circiter quinquaginta imperatorem venerabundi salutarunt : in quibus legatus erat, qui quondam in triremi papæ in Cretam et Cpolim venerat. Hunc enim papa ad explorandum animum imperatoris miserat. Mandavit imperator, ut sisterentur sibi postero mane equi centum et quinquaginta, quibus terra Ferrariam iret, ubi papa erat. Itaque, nocte in eo loco transacta, mane jussu imperatoris naves per fluvium Ferrariam subvectæ sunt, ipse per terram, ut dictum est, iter fecit. Dum igitur naves per fluvium aguntur, imperator, in continenti profectus, hora sexta Ferrariam magno cum honore et pompa equo insidens ingressus est. Comitabantur eum multi metropolitæ sive episcopi papæ, et ipsius loci princeps, marchio, porro sacerdotes imperatoris ejusdemque spiritualis pater Gregorius, magnus protosyncellus, atque alii, numero ferme ducenti. Ita igitur intraruntcum tubarum et musicorum instrumentorum omnis generis strepitu ; concurritque civitas Ferrariensium universa ad videndum sacratissimi domini nostri et imperatoris introitum, cum observantia, honore et verecundia. Sedebat imperator in equo formosissimo nigri coloris, cui injectum erat stratum serici villosi purpurei et auro intertextum. Stipabant eum principes et alii quidam, aulæo candidi coloris eum opacantes, nigricante tanquam cœli imago. Alius equus

Digitized by Google

χασδίου· ἄρχοντες δὲ καὶ τινες ἄλλοι συνηπείγοντο αὐτῷ, μετὰ οὐρανίας λευκοειδοῦς ἐπισκεπάζοντες αὐτὸν, καὶ αὐτὴ ἐπιμελανίζουσα ὡς ἰδέα οὐρανοῦ. Καὶ ἕτερος ἵππος λευκὸς ὡραιότατος, εὐτρεπισμένος καὶ αὐτὸς τὰ αὐτὰ, καὶ χρυσοῦς ἀετοὺς ἐπὶ τοῦ χασδίου ἔχων καὶ ἕτερα χρυσᾶ πλέγματα, ἐπορεύετο ἔμπροσθεν τοῦ βασιλέως, μὴ ἔχων ἀναβάτην. Ὁ δὲ μακαριώτατος πάπας ἦν καθήμενος ἐπὶ τοῦ παλατίου αὐτοῦ μετὰ παντὸς τοῦ κλήρου, καρδινάλεων δηλαδὴ μητροπολιτῶν, ἐπισκόπων, ἱερέων καὶ ἄλλων τοῦ ἱερατικοῦ καταλόγου, καὶ ἀρχόντων καὶ αὐθεντῶν πολλῶν, ἐκδεχόμενοι τὸν βασιλέα. Καὶ ἐλθόντες οἱ ἔμπροσθεν ἐφιππoι, τινὲς μὲν τῶν ἀρχόντων ἐπέζευσαν, καὶ αὐτὸς ὁ δεσπότης, καὶ εἰσῆλθον διὰ τῆς μεγάλης πύλης ἔνδον τοῦ παλατίου, οὗ ἦν ὁ πάπας· τὸν δὲ βασιλέα εἰσήγαγον ἐφιππον δι' ἑτέρας πύλης. Γνοὺς οὖν ὁ πάπας ὅτι ἐγγύς ἐστι τῆς πύλης ὁ βασιλεὺς, ἀνέστη καὶ περιεπάτει. Ὅν καὶ εὗρεν ὁ βασιλεὺς ὀρθιον· καὶ θέλων γονυπετῆσαι, οὐκ ἀφῆκεν αὐτὸν ὁ πάπας, ἀλλ' ἐδέξατο αὐτὸν εἰς τοὺς κόλπους **189** αὐτοῦ, καὶ δοὺς τὴν χεῖρα, ἠσπάσατο αὐτὴν ὁ βασιλεὺς, καὶ ἐκάθισεν αὐτὸν ἐξ ἀριστερῶν αὐτοῦ. Οἱ δὲ καρδινάλιοι παρὰ τοὺς πόδας αὐτῶν, ποιήσαντες τὸν ἐν Χριστῷ ἀσπασμὸν, καὶ ὁμιλήσαντες λόγους μυστικοὺς τῆς εἰρήνης ἀνεχώρησαν ἀπ' ἀλλήλων· καὶ ὁ μὲν πάπας ἔμεινεν ἐν τῷ παλατίῳ αὐτοῦ, ὁ δὲ βασιλεὺς ὑπὸ τῶν συνερχομένων αὐτῷ ἐφίππων ἤχθη μετὰ σαλπίγγων ἐν ἑτέρῳ παλατίῳ εὐτρεπισμένῳ πάνυ καλῶς, κἀκεῖσε ἀνεπαύσατο μετὰ τῶν ἀρχόντων αὐτοῦ καὶ τῶν ὑπηρετῶν βασιλικῶς, μηνὶ Μαρτίῳ τετάρτῃ ἡμέρᾳ.

candidus et ipse formosissimus et simili modo ornatus, in cujus strato aquilæ aliæque figuræ auro intextæ erant, imperatorem præcedebat, carens equite. Sanctissimus papa in palatio suo cum toto clero, hoc est, purpuratis, metropolitis, episcopis, sacerdotibus, cæterisque ecclesiasticis, et viris principibus ac dominis multis, imperatorem exspectans, sedebat. Advectis, qui agmen ducebant, equitibus, e principibus nonnulli descenderunt, inter quos ipse despota fuit, ac per magnam portam palatii, ubi papa erat, ingressi sunt; imperatorem per aliam portam equo insidentem introduxerunt. Papa, cognito, imperatorem ad portam adesse, surrexit et inambulavit, et ita spatia facientem offendit eum imperator: qui cum in genua vellet procumbere, non id permisit papa, sed eum complexus porrectaque dextera, quam ille osculatus est, ad sinistram suam collocavit. Purpurati autem ad pedes eorum consederunt salutatione in Christo peracta. Deinde arcano de pace colloculi, digressi sunt; et papa quidem in palatio suo mansit, imperator ab equitibus, quibuscum venerat, in aliud palatium, splendidissime instructum, cum tubarum cantu deductus est, atque ibi cum optimatibus et ministris suis regie diversatus est, mensis Martii die quarto.

ις'. Πλησιάσαντος τοίνυν τοῦ πατριάρχου ἡμῶν ἐν τῷ ἐρύματι Φραγγουλῇ, ἔτι αὐτοῦ μακρὰν ἀπέχοντος, ἰδοὺ πρὸς συνάντησιν αὐτῷ ναῦς τις ἐρχομένη κατάχρυσος καὶ συρομένη ἐν τῷ ποταμῷ παρὰ τῆς σκάφης αὐτῆς, καὶ ἐζήτουν τὸν πατριάρχην εἰσελθεῖν ἐν αὐτῇ· ἦν γὰρ διόροφος καὶ τριόροφος, ὡς ἡ παλαιὰ ἐκείνη τοῦ Νῶε κιβωτός. Καὶ ἐκείνη ἀσφαλῶς ἦν περιησφαλισμένη. Αὐτὴ μὲν, ὅσον μὲν ἐν τῷ ὕδατι, πίσσῃ κεχρισμένη ὑπῆρχεν, ὅσον δὲ τὸ φαινόμενον, ἐν χρώμασι διαφόροις ἦν κεκαλλωπισμένη· μικρὸν δὲ ἀνωτέρω παραθυρίδες τετορνευμέναι, ὡς ἄν τις εἰκάσαι, μετὰ κιόνων λεπτῶν ἦσαν αὐταὶ καὶ μετὰ μαρμάρων κοκκίνων, καὶ ἄνωθεν τούτων πρόκυψις ὡραιοτάτη. Ὑπεράνω δὲ πάσης τῆς νηὸς κύκλωθεν πολεμικὰ ὄργανα, καὶ ἐν μέσῳ μαγειρεῖον διὰ **190** τὸ ἄνωθεν εἶναι τοῦ καπνοῦ, καὶ κλῖμάξ τις παρὰ τῇ πρύμνῃ καὶ ἑτέρα τῇ πρώρᾳ πρὸς τὸ ἀνέρχεσθαι καὶ κατέρχεσθαι τοὺς ὑπηρέτας αὐτῆς. Ἔσωθεν δὲ παλάτιον ἄλλο, ὡσάν τις εἴπῃ ναὸν περικαλλῆ, καὶ κοιτῶνες διάφοροι περικεκαλυμμένοι βηλοῖς χρυσοῖς· κύκλωθεν δὲ ἀναβαθμίδες καὶ προβαθμίδαι καὶ θρόνοι καὶ παραπετάσματα κατεστρωμένα τάποις μακροῖς, κύκλωθεν θεωρία λαμπρὰ καὶ περιφανὴς καὶ ἀξιέπαινος. Κάτωθεν δὲ τοῦ παλατίου ἄλλο ὡς κατώγαιον αὐτοῦ καὶ ὑποθῆκαι ὑπῆρχον πολλαί, αἱ μὲν οἴνου αἱ δὲ ἰχθύων αἱ δὲ τροφῶν ἄλλων. Ἡ δὲ καλάθωσις τοῦ ὁρόφου αὐτῆς καὶ ἡ θαυμαστὴ ἀπόθεσις καὶ ἀνάπαυσις τῶν κοιτώνων ἐν αὐτῇ ὑπῆρχον ὡραιότατα. Κατὰ τὴν τῶν Ἰταλῶν οὖν διάλεκτον ἐκαλεῖτο ἡ ναῦς ἐκείνη ὁρομπούρκιον. Εἰσῆλθε γοῦν ἐν αὐτῇ ὁ πατριάρχης μετὰ τῶν ἀρχιερέων καὶ παντὸς τοῦ

16. Accedente patriarcha nostro ad castellum Frangulinum, sed tamen longe adhuc absente, navis inaurata ei obviam mittitur, per flumen a scapha sua tracta, rogaturque patriarcha, ut eam conscenderet: habebat enim duo et tria tabulata, sicut vetus illa arca Noe, et bene undique erat communita, quantum sub undis erat, pice illita, quantum undis eminens, coloribus variis decorata. Paulo superius fenestræ opere, ut quis putaret, tornatili, cum columellis e rubro marmore; et supra has projectura pulcherrima. In summa navi circumcirca disposita erant arma bellica, et in medio culina ob ascensum fumi in cœlum liberum. Scalæ erant tum ad puppim, tum ad proram, quibus nautici ministri ascenderent et descenderent. Intus quasi palatium erat, quod diceres templum elegantissimum, et diversa conclavia, convestita velis aureis; in circuitu gradus erant et scamilla, throni et longorum tapetorum aulæa: circumcirca aspectus splendidus, magnificus et elegans. Infra palatium aliud quasi subterraneum conclave, et cellæ complures, aliæ vini, aliæ piscium, aliorumve esculentorum. Lacunaria et cubiculorum ad cubandum et quiescendum accommodatio pulcherrima erant. Appellabatur autem navis illa Italorum lingua Horoburcion. Intravit igitur eam patriarcha

Digitized by Google

κλήρου· καὶ ἦν ἰδεῖν πλέουσαν τὴν νῆα διὰ τοῦ ποταμοῦ ὡσεὶ παλάτιον, καὶ μηδ' ὅλως εἰκάζουσαν εἶναι ἐν ὕδατι ἀλλ' ὡς ἐπὶ ξηρᾶς. Πλεύσαντες οὖν διὰ τοῦ ποταμοῦ ἦλθον εἰς Φερράριαν, καὶ ἐπεμψαν ἀπὸ Ἐνετίας πρὸς τὸν πάπαν πρέσβεις τὸν Ἡρακλείας μητροπολίτην κὺρ Ἀντώνιον καὶ τὸν Μονεμβασίας κὺρ Θεοδόσιον. Τῷ πρωΐ δὲ, ὥρᾳ πρώτῃ τῆς ἡμέρας, παρεγένοντο τέσσαρες καρδινάλιοι καὶ ἐπίσκοποι πέντε ἐπὶ εἴκοσι, καὶ ὁ μαρκίων ὁ τῆς Φερράριας κύριος, καὶ σὺν αὐτῷ πλῆθος ἀρχόντων ἐφ' ἵππων καὶ ἡμιόνων ὀχουμένων, **191** συναντῆσαι τῷ πατριάρχῃ. Ἦν δὲ ὁ πατριάρχης ἐφιππος, ἐρχόμενος ἐν τῷ μέσῳ δύο καρδιναλίων μετὰ τιμῆς μεγάλης. Καὶ εὐθὺς ἀνελθόντες εἰς τὸ τοῦ πάπα παλάτιον ἠσπάσαντο ἀλλήλους τῷ ἁγίῳ φιλήματι.

Ἀφίεμεν οὖν τὰ ἐν τῇ συνόδῳ συμβάντα, καὶ τὰ ἀπὸ τούτων εἰς ἡμᾶς παρακολουθήσαντα εἴπωμεν.

ιζ'. Τῷ δὲ ,ςϑμς' ἔτει, τῇ κς' Ἰανουαρίου μηνὸς, ηὐλογήθην ἐγὼ Ἑλένην τὴν θυγατέρα τοῦ ἐπὶ κανακλείου Ἀλεξίου Παλαιολόγου τοῦ Ἐξαμπλάκωνος· καὶ ἦν ἐν τῷδε τῷ συνοικεσίῳ παράνυμφος ὁ αὐθέντης μου ὁ δεσπότης κὺρ Κωνσταντῖνος, ὁ κατὰ τὸ ἡμέτερον ἔθος στεφανώσας ἡμᾶς. Καὶ Μαΐου πρώτῃ τοῦ ,ςϑμζ' ἔτους ἐγεννήθη μοι υἱὸς τοὔνομα Ἰωάννης, ὃν καὶ ὁ προρρηθεὶς αὐθέντης μου ὁ δεσπότης ἀνεγέννησε διὰ τοῦ θείου βαπτίσματος.

Τῇ δὲ ιζ' τοῦ Δεκεμβρίου τοῦ ,ςϑμη' ἔτους τοῦ παρόντος ματαίου βίου μετέστη ἡ δέσποινα ἡ κυρία Μαρία ἡ ἀπὸ τῆς Τραπεζοῦντος, καὶ τῇ πρώτῃ Ἰουνίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανε καὶ ἡ δέσποινα κυρία Εὐγένεια ἡ τοῦ Κατελιούτζη θυγάτηρ τοῦ τῆς Λέσβου αὐθέντου, καὶ ἐτάφησαν αὗται ἐν τῇ τοῦ Παντοκράτορος μονῇ· καὶ σφοδρὸς εἰ πέρ ποτε χειμὼν τότε ἐγένετο. Καὶ τῇ ιζ' τοῦ αὐτοῦ μηνὸς τὸ κοινὸν χρέος ἐπλήρωσε καὶ ἡ κυρία Ζωὴ ἡ βασίλισσα, καὶ **192** ἐτάφη ἐν τῇ τῆς κυρίας Μάρθας μονῇ. Καὶ τῷ Φεβρουαρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐπανέστρεψαν πάντες εἰς Κωνσταντινούπολιν οἱ ἐν τῇ Ἰταλίᾳ ἀπελθόντες ἕνεκεν τῆς συνόδου, ὁ βασιλεὺς λέγω καὶ ὁ δεσπότης καὶ οἱ λοιποὶ, ἄνευ τῶν ἐκεῖσε ἐν Ἰταλίᾳ ἐναπολειφθέντων τριῶν, τοῦ πατριάρχου κὺρ Ἰωσὴφ ἐν Φλωρεντίᾳ πρὸς κύριον ἐκδημήσαντος καὶ τοῦ Σάρδεων μητροπολίτου ἐν Φερράριᾳ· καὶ ὁ Νικαίας πρόεδρος ἐν Ῥώμῃ ἐναπέμεινε τοὔνομα Βησσαρίων, ὃν μετὰ τὴν τοῦ πατριάρχου ἀπὸ τῶν ὧδε ἀποδημίαν ὁ βασιλεὺς καὶ ἡ σύνοδος αὐτὸν εἰς πατριάρχην ἐψηφίσαντο. Εἶτα ἕνεκέν τινων συγχύσεων καὶ σκανδάλων μὴ ἐλθὼν εἰς Κωνσταντινούπολιν, ἀλλ' εἰς Ῥώμην προσμείνας, ὁ ἄκρος ἀρχιερεὺς καρδινάλην ἐποίησεν αὐτὸν καὶ πλεῖστα σιτηρέσια αὐτῷ ἐδωρήσατο. Τῇ δὲ κζ' Μαρτίου τοῦ αὐτοῦ ἔτους, τῇ τῆς τοῦ Χριστοῦ ἀναστάσεως Κυριακῇ, ἐγεννήθη μοι ὁ δεύτερος υἱὸς Ἀλέξιος, ὃς μετὰ τριάκοντα ἡμέρας ἀπέθανε. Καὶ τῷ ἔαρι τοῦ αὐτοῦ ἔτους ἐγένετο πατριάρχης Κωνσταντινουπόλεως κὺρ Μητροφάνης ὁ πρὶν Κυζίκου μητροπολίτης.

ιη'. Καὶ τῇ ς' Δεκεμβρίου μηνὸς τοῦ ,ςϑμθ' ἔτους προσετάχθην ἀπελθεῖν με εἰς Λέσβον, ἔνθα καὶ κατέστησα ἵνα εἰς γυναῖκα λάβῃ ὁ δεσπότης κὺρ

cum archiepiscopis et universo clero, eratque eam nantem per flumen palatii instar intueri, ut neutiquam in aqua esse videretur. Itaque flumen emensi Ferrariam venerunt, ac miserunt Venetiis ad papam legatos Antonium, Heracleæ metropolitam, et Theodosium, episcopum Monembasiæ. Postridie, prima hora, adfuerunt patriarcham salutatum purpurati quatuor, episcopi viginti quinque, marchio, Ferrariæ dominus, et cum hoc viri nobilissimi permulti partim equis, partim mulis vecti. Equitabat etiam patriarcha, procedens inter purpuratos duos magno cum splendore. Ingressi statim palatium papæ, invicem se salutarunt osculo sancto.

Sed mittamus jam, quæ in synodo acta sunt, et dicamus, quæ nobismet ipsis deinceps evenerunt.

17. Anno 6946, Januarii die 26, duxi ego uxorem Helenam, filiam Alexii Palæologi Examplaconis, canacleo præfecti. Ejus conjugii paranymphus dominus meus Constantinus despota fuit, qui ex more nostro nos coronavit. Primo die Maii anni 6947 natus est mihi filius, nomine Joannes, quem idem ille dominus meus despota e sacro fonte suscepit.

Die Decembris decimo septimo anni 6948 cessit ex hac inani vita despœna Maria Trapezuntia, et primo die Junii ejusdem anni etiam despœna Eugenia, Cateliuzæ, Lesbiorum principis, filia, mortem obiit, sepultaque est utraque in monasterio Pantocratoris. Dura tum hiems erat, si unquam antea. Die decimo septimo ejusdem mensis commune debitum persolvit Zoe imperatrix, et sepulta est in monasterio Marthæ. Mense Februario ejusdem anni, quotquot synodi causa in Italiam profecti fuerant, Cpolim redierunt, imperator, Demetrius despota, et reliqui, tribus in Italia relictis, Josepho patriarcha, qui Florentiæ ad dominum concessit, Sardiensium metropolita, qui Ferrariæ obiit, et Bessarione, Nicææ episcopo, qui Romæ mansit; quem post Josephi patriarchæ obitum imperator et synodus subrogarunt in locum ejus. At ille propter perturbationes rerum et contentiones quasdam non venit Cpolim, sed Romæ hærens, a summo illo archiepiscopo purpuratus factus et stipendiis liberalissime donatus est. Eodem anno, die vicesimo septimo Martii, quæ erat Dominica resurrectionis, alter filius mihi natus est, Alexius, qui tamen intra dies triginta obiit. Vere ejusdem anni patriarcha Cpolis factus est Metrophanes, qui ante metropolita Cyzici fuerat.

18. Die sexto Decembris anni 6949 in Lesbum missus sum, ut Constantinus despota, dominus meus, Ægaterinam, Notaræ Palæologi Cateliuzæ,

Digitized by Google

Κωνσταντῖνος ὁ αὐθέντης μου τὴν κυρίαν Αἰκατερίναν, θυγατέρα τοῦ τῆς εἰρημένης νήσου **193** αὐθέντου κὺρ Νοταρᾶ Παλαιολόγου τοῦ Γατελιούτζη, καὶ τὴν τοῦ γάμου μνηστείαν ἐποίησα. Τῇ δὲ ις' Ἀπριλλίου τοῦ αὐτοῦ ἔτους, τῇ τοῦ πάσχα ἁγίᾳ Κυριακῇ, ἐγεννήθη μοι θυγάτηρ τοὔνομα Θάμαρ, ἣν ἀνεδέξατο καὶ αὐτὴν ἐκ τοῦ ἁγίου βαπτίσματος ὁ εἰρημένος δεσπότης κὺρ Κωνσταντῖνος ὁ αὐθέντης μου. Καὶ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὁ Παῦλος Ἀσάνης παραλαβὼν τὴν θυγατέρα αὐτοῦ Ἀσανίναν ἔφυγεν εἰς Μεσημβρίαν, δι' αἰτίαν ὅτι ἐρώμενος αὐτῆς ὁ δεσπότης κὺρ Δημήτριος· εἰς λέχος ἐζήτει αὐτὴν, ὁ δὲ βασιλεὺς καὶ κὺρ Κωνσταντῖνος ὁ δεσπότης καὶ οἱ αὐτάδελφοι αὐτοῦ ἅμα τῇ δεσποίνῃ καὶ μητρὶ οὐκ ἠνέσχοντο ἀκοῦσαι. Ἐν δὲ τῷ ἀπελθεῖν αὐτὸν εἰς Μεσημβρίαν καὶ ὁ δεσπότης κὺρ Δημήτριος ἐκεῖσε κρυφῶς παραγενόμενος εἰς νόμιμον γυναῖκα ἔλαβεν αὐτήν. Τῇ δὲ κζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν εἰς Λέσβον ὁ αὐθέντης μου ὁ δεσπότης κὺρ Κωνσταντῖνος μετὰ βασιλικῶν τριήρεων, καὶ ἔλαβεν εἰς γυναῖκα τὴν εἰρημένην κυρίαν Αἰκατερίναν τὴν Κατελιούτζεναν, ὀρουγγαρίου ὄντος ἐν ταῖσδε ταῖς τριήρεσιν Λουκᾶ τοῦ Νοταρᾶ τοῦ μετὰ ταῦτα μεγάλου δουκὸς γενομένου. Καὶ τῷ Σεπτεμβρίῳ μηνὶ τῷ ,ςϡν' ἔτους καταλείψας ἐκεῖσε τὴν δέσποιναν καὶ γυναῖκα αὐτοῦ ὁ αὐθέντης μου, εἰς τὸν αὐτῆς πατέρα ἦλθομεν εἰς Πελοπόννησον μετὰ τῶν αὐθεντικῶν τριήρεων καὶ ἑτέρας ἄλλης τριήρεως τῆς Λέσβου. Τῇ δὲ κ' Ὀκτωβρίου **194** τοῦ αὐτοῦ ἔτους προσταχθεὶς ἐγὼ διέβην πρέσβυς πρὸς τὸν ἀμηρᾶν καὶ πρὸς τὸν βασιλέα, ἔχων καὶ ἀπόκρυφον μυστήριον, ὅτι ἐὰν δώσῃ τοῦτο ὁ βασιλεὺς, ἀπελθεῖν με πρὸς τὸν δεσπότην κὺρ Δημήτριον ἄνω εἰς τὴν Μεσημβρίαν, καὶ δώσω ἐκεῖνῳ ἅπαντα τὸν τόπον ὃν ὁ αὐθέντης μου ἐν τῇ Πελοποννήσῳ εἶχεν· αὐτὸς δὲ ἔλθῃ πάλιν εἰς τὴν πόλιν, καὶ ἔχῃ τὴν Σηλυμβρίαν καὶ τὰ ἄλλα τὰ ἐκεῖσε τῆς μαύρης θαλάσσης ἤτοι τοῦ Εὐξείνου πόντου ἄχρι τῶν Δέρκων, διὰ τὸ ἐγγὺς εἶναι τῆς πόλεως ἕνεκεν τῆς ἐλπίδος τῆς βασιλείας, ὡς ἠγάπα καὶ ὁ βασιλεὺς, ὃς με καλῶς ὑπεδέξατο. Καὶ ἀπέσωσα ἐγὼ τῷ Ἰανουαρίῳ μηνὶ εἰς Μεσημβρίαν πρὸς τὸν δεσπότην κὺρ Δημήτριον· αὐτὸς δὲ ἦν ἑτοιμάζων ἵνα κατὰ τῆς πόλεως καὶ τοῦ βασιλέως καὶ ἀδελφοῦ αὐτοῦ ἔλθῃ, καὶ ἀπέπεμψέ με ἄπρακτον ἕνεκεν τούτου. Καὶ ἐν ταῖς ἡμέραις ἐν αἷς διέτριβον ἐγὼ ἐκεῖσε, ἐν ἀποπληξίᾳ δεινῇ περιπεσὼν ὁ Παῦλος ἐναπέψυξεν. Ἐμοῦ δὲ ἐπαναστρέψαντος εἰς τὴν πόλιν, καὶ προσμένοντός μου ὅπως ὁρισμῷ τοῦ βασιλέως ἐπανέλθω πρὸς τὸν αὐθέντην μου εἰς Πελοπόννησον, ἰδοὺ τῇ κγ' τοῦ Ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐπέδραμεν ὁ δεσπότης κὺρ Δημήτριος μετὰ στρατοῦ καὶ ἀπέκλεισε τὴν πόλιν, φθείρας καὶ ζημιώσας οὓς εὗρεν ἔξωθεν, ἔχων καὶ μεθ' ἑαυτοῦ συμμάχους μέρος ἱκανὸν ἐκ τοῦ τῶν Τούρκων στρατοῦ· ἐν ᾧ δὴ μηνὶ ἐγεννήθη αὐτῷ ἡ θυγάτηρ ἣν ἔλαβεν ὕστερον εἰς γυναῖκα ὁ ἀμηρᾶς Μεμέτης. Καὶ τῷ Ἰουλίῳ **195** μηνὶ τοῦ αὐτοῦ ἔτους ἐρχομένου τοῦ αὐθέντου μου καὶ δεσπότου κὺρ Κωνσταντίνου εἰς βοήθειαν τῆς πόλεως, καὶ διὰ τῆς Λέσβου διελθόντος, ἔλαβε καὶ τὴν δέσποιναν τὴν ἑαυτοῦ σύζυγον μεθ' ἑαυτοῦ· καὶ ἐν τῇ Λήμνῳ ἐλθόντος ἐπολεμήθη ὑπὸ τοῦ στόλου παντὸς τῶν Τούρκων ἡμέραις πολλαῖς ἐκεῖ εὑρεθέντος· τῇ δὲ Θεοῦ βοηθείᾳ ἀπῆλθεν ἄπρακτος ἀπ' αὐτοῦ ὁ στόλος. Ἡ δὲ δέσποινα ἡ τούτου σύνευνος ἀπὸ τῆς πε-

ejus insulæ principis, filiam, in matrimonium acciperet, ac perfeci conjugii sponsalia. Ejusdem anni Aprilis die decimo sexto, ipsa Dominica Paschæ, Thamar filiam suscepi, quam et ipsam Constantinus despota, dominus meus, e sacro baptismate sustulit. Eodem die Paulus Asanes cum Asania filia Mesembriam profugit, quoniam ejus amore captus Demetrius despota lecti sociam eam expetebat, imperator autem et Constantinus despota, ejus fratres germani, cum despœna matre id nec audire sustinebant. Die vicesimo septimo Julii ejusdem anni dominus meus, despota, regiis triremibus in Lesbum profectus est accepitque in matrimonium Æcaterinam illam Cateliutzenam, drungario navibus præfecto Luca Notara, qui postea magnus dux factus est. Mense Septembri autem anni 6950 dominus meus, despœna uxore apud ejus patrem relicta, assumpsit me in Peloponnesum, triremibus principalibus et una Lesbica usus. Vicesimo Octobris die ad ameram et imperatorem ablegatus sum, cum secreto mandato, ut, si assentiretur imperator, transirem Mesembriam ad Demetrium despotam, eique oppida et loca omnia traderem, quæ in Peloponneso dominus meus habebat; ipse, Cpolim reversus, Selymbriam cum locis ad mare Nigrum sive pontum Euxinum finitimis usque Derca haberet, urbi vicinus esse cupiens propter spem imperii. Probata hæc sunt ab imperatore, qui benigne me excepit. Itaque mense Januario Mesembriam ad Demetrium despotam salvus perveni, qui tamen, ad bellum Cpoli et imperatori ac fratri inferendum cum maxime se parans, re infecta me dimisit. Diebus autem, quibus illic commorabar, Paulus, gravi tactus apoplexia, exspiravit. Reverso me igitur in urbem, et exspectante, ut jussu imperatoris ad dominum meum in Peloponnesum redirem, ecce die vicesimo tertio Aprilis ejusdem anni Demetrius despota cum exercitu adfuit et eversis deletisque, quoscunque foris offendit, urbem obsedit, auxiliis satis magnis Turcarum adjutus. Eodem mense filia ei nata est, quam postea in matrimonium duxit Mehemetes ameras. Mense Julio ejusdem anni Constantinus despota, dominus meus, ad opem urbi ferendam per Lesbum proficiscens, conjugem despœnam secum abduxit. In Lemnum ut venit, universa eum classis Turcarum, quæ dies ibi complures steterat, oppugnavit, sed divino auxilio factum est, ut conatu irrito discederet. Despœna autem, ejus conjux, ex eo casu morbo correpta, abortu facto, Augusto

Digitized by Google

ριτάσεως ἀσθενήσασα καὶ ἐκτρωθεῖσα τῷ Αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους εἰς τὸ Παλαιόκαστρον τοῦ αὐτοῦ τῆς Λήμνου νησίου ἀπέθανε καὶ ἐτάφη. Καὶ τῇ ιδ' τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ,ςϡνα' ἔτους ἐγεννήθη μοι ὁ ἕτερος υἱὸς Ἀλέξιος. Καὶ τῷ Νοεμβρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν ὁ δεσπότης καὶ αὐθέντης μου. Καὶ τῇ α' Μαρτίου ἔλαβε ἀπὸ τὸν βατιλέα τὴν Σηλυμβρίαν, καὶ ἀπέστειλεν ἐμὲ ἐκεῖσε διοικεῖν, καὶ οὕτως προσέταξέ μοι φυλάττειν αὐτὴν μετὰ ἐπιμελείας, διὰ τὴν ὑποψίαν ἣν εἴχομεν ἐκ τοῦ ἀμηρᾶ καὶ τοῦ δεσπότου κὺρ Δημητρίου καὶ αὐτοῦ δὴ τοῦ βατιλέως.

ιθ'. Τῷ δὲ Ἰουνίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς Κωνσταντινούπολιν Λέων ὁ Φραγκόπουλος ὁ πρωτοστράτωρ, ὁ ἐπ' ἀδελφῇ υἱὸς τοῦ πάλαι μεγάλου πρωτοστράτορος Νικηφόρου τοῦ Μελισσηνοῦ, ὃν ἡ ἱστορία ἀλλαχοῦ ἐδήλωσε. Διὰ τοῦτο καὶ τὴν ἐπιτροπικὴν τοῦ Μεσσηνιακοῦ κόλπου διῆρχεν, **196** ὡς τοῦ ῥηθέντος μεγάλου πρωτοστράτορος ἀνεψιός, προστάξει τοῦ δεσπότου κὺρ Θεοδώρου, ἕως οὗ παρέδωκεν αὐτὴν τῷ δεσπότῃ κὺρ Κωνσταντίνῳ, ὡς προγέγραπται. Τότε ὁρισθεὶς κἀγὼ ἐκ τῆς Σηλυμβρίας ἐπανῆλθον εἰς Κωνσταντινούπολιν. Καὶ ἀναμεταξὺ τῶν ἀδελφῶν συμφωνίαι γεγόνασι τοιαῦται, ὅτι ὁ μὲν αὐθέντης μου ὁ δεσπότης Κωνσταντῖνος ἀπέλθῃ εἰς Πελοπόννησον καὶ τὸν τόπον ἅπαντα τοῦ δεσπότου κὺρ Θεοδώρου λάβῃ, ὁ δὲ κὺρ Θεόδωρος εἰς τὴν πόλιν ἔλθῃ καὶ τὴν Σηλυμβρίαν λάβῃ. Ἃ δὴ καὶ ἐγένετο. Καὶ τῇ δεκάτῃ Ὀκτωβρίου τοῦ ,ςμνβ' ἔτους ὁ αὐθέντης μου ὁ δεσπότης ἐξῆλθε μετὰ νηὸς ἀπὸ τῆς πόλεως, καὶ πλεύσας εἰς Πελοπόννησον, καὶ πάλιν μετ' αὐτῆς δὴ τῆς νηὸς ὁ δεσπότης κὺρ Θεό-

δωρος τῷ Δεκεμβρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἀπέσωσεν εἰς τὴν πόλιν· καὶ τῷ Μαρτίῳ μηνὶ παρέδωκα αὐτῷ τὴν Σηλυμβρίαν. Καὶ ἐμβάντος μου εἰς νῆα τὴν ἐκ Κρήτης Ὑαλινᾶ Ἀντωνίου, εἰς τὴν τῆς Εὐρίπου Κάρυστον ἐπαφῆκέ με· καὶ τῇ τρίτῃ τοῦ Ἰουνίου διὰ τῆς ξηρᾶς ὁδοῦ ἔφθασα εἰς τὴν Σπάρτην. Καὶ ὁ δεσπότης κὺρ Θεόδωρος ἐζήτει με τὰ πλεῖστα καὶ παρώτρυνε ἵνα καὶ τὴν Σηλυμβρίαν ἔχω καὶ τῶν πρώτων αὐτοῦ ὑποχειρίων εὑρήσωμαι. Διερχόμενος οὖν κἀγὼ εὗρον καὶ τὸν Ἰσθμὸν οἰκοδομηθέντα παρὰ τοῦ αὐθέντου τοῦ δεσπότου κὺρ Κωνσταντίνου τῷ παρελθόντι ἔαρι. Φθάσαντός μου οὖν εἰς τὴν Σπάρτην, μετά τινας ἡμέρας οὐ πολλὰς ἦλθεν εἰς τὴν Κωνσταντινούπολιν μετὰ πλείστων τριήρεων ὁ **197** καρδινάλιος καὶ βικεκαγκελλάριος καὶ καθολικὸς τοῦ πάπα λεγάτος διὰ τὴν κατὰ τῶν ἀσεβῶν τοῦ ῥηγὸς τῆς Οὐγγρίας ἐξέλευσιν. Ἐστάλην κἀγὼ αὖθις πρέσβυς πρός τε τὸν βασιλέα καὶ τὸν ἀμηρᾶν καὶ αὐτὸν δὴ τὸν ῥῆγα, ἀλλὰ δὴ καὶ πρὸς τὸν πρεσβευτὴν ἤτοι λεγάτον καὶ πρὸς τὸν καπητάνιον Ἀλουΐσιον Λαουρεδανὸν διά τινας ἀναγκαίας δουλείας, πρὸς οὗ προβῶσι τὰ πράγματα. Διερχόμενος οὖν εἰς τὴν Κόρινθον τῇ λ' τοῦ Αὐγούστου μηνὸς ἵνα τὰς τριήρεις τοῦ στόλου φθάσω εἰς Εὔριπον, εὗρον τεθαμμένον τὸν καλοκἀγαθὸν Κορίνθου Μάρκον, ὃς καὶ ἐν τῇ αὐλῇ ἡμῶν ἐγεννήθη καὶ συνανετράφη ἡμῖν καὶ ὑπὸ τοῦ κακοῦ τῆς μητρυιᾶς αὐτοῦ πολλὰ πιεζόμενος μεγάλας θεραπείας παρὰ τῶν γεννητόρων μου εὑρισκεν, ὃς καὶ ἀναγκασθεὶς ἐκ τοῦ πολλοῦ κακοῦ ἔφυγε τοῦ πατρὸς αὐτοῦ καὶ εἰς τὴν τῶν Ξανθοπούλων μονὴν ἀπῆλθε καὶ χρησιμώτατος κατεστάθη. Φθάσας οὖν ἐγὼ

menee ejusdem anni, Palæocastri, quod est illius insulæ oppidum, defuncta et sepulta est. Duodecimo die mensis Septembris 6951 alius filius mihi natus est, Alexius: quo eodem anno, mense Novembri, despota et dominus meus in urbem advenit, et kalendis Martiis ab imperatore Selymbria donatus, ad administrandam eam me ablegavit, cohortatus, ut eam diligenter custodirem, propter suspicionem, qua ameram et Demetrium despotam ipsumque imperatorem habebamus.

19. Mense Junio ejusdem anni Cpolim venit Leo Francopulus, protostrator, filius sororis Nicephori Melisseni, magni quondam protostratoris, de quo alio hujus historiæ loco dictum est: qua de causa idem, nempe ut nepos illius magni protostratoris, jussu Theodori despotæ Messeniaci sinus præfecturam procurabat, donec ea, ut supra narravimus, tradita est Constantino. Tum ego quoque jussus Selymbria Cpolim redii, factæque sunt inter fratres hæ pactiones, ut Constantinus despota, dominus meus, in Peloponnesum discederet, et ditionem omnem Theodori despotæ occuparet, Theodorus Cpolim veniret et acciperet Selymbriam. Itaque factum est. Decimo die Octobris 6952 despota, dominus meus, ab urbe navi in Peloponnesum profectus est, qua navi Theodorus despota mense Decembri ejusdem anni in urbem rediit, cui ego mense Martio Selymbriam tradidi, ingressusque navem Cretensem Antonii Hyalinæ et Carystum ad Euripum delatus, tertio die Junii pedestri itinere Spartam perveni. Theodorus despota autem vehementer me rogabat cohortabaturque, ut etiam Selymbriam gubernare vellem et e primis ejus subjectis esse. In transeundo igitur isthmum a Constantino, domino meo, æstate præterita structum inveni; et diebus non multis post, quam ego Spartam veni, purpuratus et vicecancellarius et catholicus papæ legatus multis triremibus Cpolim appulsus est propter Hungarorum regis adversum impios expeditionem. Quare ego rursus ad imperatorem, ameram, ipsumque regem, quin etiam ad legatum et præfectum Aloysium Lauredanum super negotiis quibus iam necessariis missus sum, exploratum, quo res procederent. Ut veni Corinthum die Augusti tricesimo, triremes classis in Euripo consecuturus, sepultum reperi pium et bonum Marcum, Corinthi episcopum, qui et in aula nostra natus, et nobiscum educatus fuerat, et, ab injusta noverca multum cruciatus, a parentibus meis non mediocria expertus erat solatia, sed tamen, adversissimis casibus exagitatus, patre relicto, in Xanthopulorum monasterium secessit, ubi vitam egit laudatissimam. In Eurípum

Digitized by Google

εἰς Εὔριπον καὶ μὴ εὑρὼν τὰς τριήρεις δι' ἄλλου πλευσίμου εἰς Λῆμνον ἀπέσωσα, κἀκεῖσε εὑρὼν τριήρην τινὰ βασιλικὴν ἀπεσώθην εἰς Κωνσταντινούπολιν κατὰ τὴν ἀρχὴν τοῦ Νοεμβρίου τοῦ ,ςϑνγ' ἔτους.

Καὶ τῷ αὐτῷ μηνὶ, ἐνδεκάτῃ, ὁ ῥὴξ τῆς Οὐγγαρίας ἀπεκτάνθη παρὰ τοῦ ἀμηρᾶ εἰς τὴν Βάρναν, τοιουτοτρόπως συγκροτηθέντος τοῦ πολέμου ἀνὰ τῶν Οὐγγρων καὶ Τούρκων. Ὁ τοῦ ῥηγὸς στρατὸς ὑπερεῖχε κατὰ πάντα, ὁ δὲ Τούρκων **198** ἀμηρᾶς· καὶ πᾶσα ἡ συμβουλὴ αὐτοῦ ἐζήτουν εὐκαιρίαν ἀναχωρῆσαι, εἰ δυνατὸν ἦν· πολὺς γὰρ φόβος καὶ τρόμος ἐνέπεσεν ἐπὶ τοὺς ἀσεβεῖς. Οἱ δὲ τοῦ Οὐγγρου ἐκ τοὐναντίου μετὰ χαρᾶς καὶ τόλμης καὶ ἀνδρίας θαρσαλέως ἐστήκεισαν, ἐλπίζοντες ἵνα τῆς νίκης φύχωσι καὶ τὸν ἀμηρᾶν καὶ πάντας τοὺς αὐτοῦ αἰχμαλωτίσωσιν. Ἐπὶ δὲ τὴν αὔριον θέλοντες οἱ Οὐγγαροι ἵνα τὸν πόλεμον κροτήσωσι, καὶ βουλῆς γενομένης ἀνὰ αὐτῶν, ὁ ῥὴξ καὶ ἕτεροί τινες διέκρινον λέγοντες ἵνα αὐτομάτως ὁ ῥὴξ τὸν πόλεμον συνάψῃ καὶ ἕως τῆς σκηνῆς τοῦ ἀμηρᾶ, εἰ δύναιτο, φθάσῃ, ὅπως ἡ φήμη τῆς νίκης καὶ τῆς ἀνδρίας αὐτοῦ κηρυχθῇ ἐν τῷ κόσμῳ· ῥᾴδιον γὰρ καὶ ἐν εὐκολίᾳ ἐλογίζοντο τὴν νίκην καθ' ἑαυτούς. Ὁ δὲ Ἴαγκος ὁ καὶ κυβερνήτης αὐτοῦ ὡς φρόνιμος καὶ πρακτικὸς ἐν πολέμοις τὰ ἐναντία φρονῶν ἔλεγε· « Τῆς τύχης τὸ ἄστατον οὐδεὶς οἶδε· διὸ ἡ βασιλεία σου οὐκ ἔστιν ἀνάγκη ἵνα τοιούτως ἐπιχειρισθῇς. Ἐπικίνδυνόν ἐστι τὸ πρᾶγμα. Ἀλλ' ἐγὼ πράξω ὅσα παρὰ τῆς βασιλείας σου προσταχθῶ· καὶ εἰ μὲν ἡ τύχη ἐμοὶ βοηθήσῃ, ἕως τῆς σκηνῆς τοῦ ἀμηρᾶ ἐγὼ ἀπελεύσομαι. Καὶ εἰ μὲν ἡ νίκη ἕως τέλους ἔσεται εἰς ἡμᾶς καὶ ἐγὼ ἐπαναστρέψω, δόξα τῷ Θεῷ, ἡ νίκη τῇ βασιλείᾳ σοῦ ἔστι καὶ ἔσεται· εἰ δὲ ἀποκταν θῶ, οὐδέν ἐστι τὸ ἐμποδίζον ὑμᾶς. Ἐμβλέψατε τὴν γνῶσιν τοῦ ὄφεως, ὃς πάντοτε τὴν κεφαλὴν σκέπων ὅλον τὸ σῶμα ὑγιαίνει· εἰ δὲ πληγῇ ἡ κεφαλὴ, ὅλον **199** τὸ σῶμα ἀπόλλυται. Τοιούτως καὶ εἰ ἡ βασιλεία σου ἐπιχειρισθῇς καὶ τοὐναντίον συμβῇ, ὃ δέομαι τοῦ Κυρίου μου μὴ γένοιτο, πάντες ἡμεῖς προφανῶς ἀπολλύμεθα. » Ὁ δὲ ῥὴξ μὴ δεχθεὶς τὴν τοῦ Ἰάγκου βουλὴν, τῷ πρωῒ συγκροτηθέντος πολέμου ἰσχυροῦ καὶ φοβεροῦ καὶ πολλῆ αἱματοχυσίᾳ καὶ σφαγῇ ἐκ τοῦ τῶν Τούρκων μέρους ἐγεγόνει. Ὁ δὲ ῥὴξ φθάσας ἄχρις ἐγγὺς τῆς σκηνῆς τοῦ ἀμηρᾶ, ἐβούλετο φεύγειν ὁ ἀμηρᾶς· οἱ δὲ Ἰαννιτζάριοι οὐκ εἴασαν αὐτὸν, εἰ καὶ εἰς δειλίαν ἐνέπεσεν θεωρῶν τὸν ῥῆγα ἀνδρείως μαχόμενον, ἀλλὰ χειροπέδαις σιδηραῖς κρατήσαντες τὸν ἵππον αὐτοῦ, καὶ οὐκ ἐδύνατο φεύγειν· οἳ καὶ ἠγωνίσαντο ἰσχυρῶς περὶ τῆς τοῦ ἀμηρᾶ σωτηρίας. Ὁ δὲ ῥὴξ δι' ἄλλης ἀνδρείως μαχόμενος, ἵνα τὸν ἀμηρᾶν καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτοῦ κερδήσῃ, καί τις τῶν Ἰαννιτζάρων τοὔνομα Χαμουζᾶς, ἐκ τῆς Πελοποννήσου ὁρμώμενος, τὸν ὄπισθεν πόδα τοῦ ἵππου τοῦ ῥηγὸς τρώσας ἀξίνῃ, ἣν ῥίψας κατὰ τοῦ ἵππου, καὶ ἐν τῇ γῇ πεσὼν σὺν τῷ ἀναβάτῃ, οὕτω δραμὼν αὐτὸν ἀπεκεφάλισε· καὶ μετὰ ἀλαλαγμοῦ, ὡς σύνηθες τοῖς ἀσεβέσι, τὴν τούτου κεφαλὴν ὕψωσαν ἐπὶ δόρατος. Καὶ ἰδόντες οἱ Οὐγγροι διεσκορπίσθησαν ἔνθεν καὶ ἐκεῖθεν, καὶ ἐν τῷ φεύγειν αὐτοὺς πολλοὶ ἐάλοντο καὶ ἐφονεύοντο· καὶ τοῦτο ἐκ τῆς κακῆς συμβουλῆς συνέβη. Τῷ δὲ εἰρημένῳ Ἰαννιτζάρῃ Χαμουζᾷ ὁ ἀμηρᾶς ἀνταμείψας

igitur ut veni, nec inveni triremes, alia navi Lemnum trajeci, ibique reperta triremi quadam imperatoria, Cpolim delatus sum ineunte Novembri anni 6955.

Eodem mense, die undecimo, Hungarorum rex apud Varnam ab amera cæsus est, pugna inter Hungaros et Turcas ita excitata. Regis exercitus ubivis superior erat, et ameras cum omni concilio suo opportunitatem quærebat recedendi, si possent: ingens enim timor et tremor impios invaserat. Hungari contra lætabundi audacter et fidenter stabant, victuros se esse sperantes ameramque et universas copias ejus oppressuros. Itaque, cum postridie pugnam committere Hungari cuperent, concione habita, rex et alii quidam statuerunt, ut ultro ipse rex prœlium consereret et ad tentorium ameræ usque, si posset, penetraret, ut fama victoriam virtutemque ejus toto orbe prædicaret; facilem quippe et nullius negotii victoriam fore arbitrabantur. At Iancus, gubernator ejus, ut vir prudens et bello expertus, contraria sentiens, dixit: « Fortunæ inconstantiam nemo novit; nec ulla necessitas est, istud ut coneris. Periculosum enim facinus est. At ego faciam, quidquid a majestate tua jussus fuero; ac, si mihi faverit fortuna, penetrabo ad tabernaculum ameræ. Quod si usque ad extremum victoria nobis constiterit et ego rediero, gloria Dei, victoria majestatis tuæ est eritque. Sin succumbam, nihil idcirco vos remorabitur. Intuemini serpentis prudentiam, qui semper caput tegendo totum corpus conservat, capite autem percusso, toto corpore perit. Eodem modo, si majestas tua impressionem fecerit, et secus res ceciderit, quod Deum rego ut ne fiat, manifestum est, nos omnes perituros esse. » At rex, Ianci consilium aspernatus, sequenti luce prœlio ingenti et horribili commisso, cum magna strage et cæde Turcarum, ita prope ad tentorium ameræ penetravit, ut is jam fugæ se committere cogitaret. Verum non dimiserunt eum janaitzarii, quantumvis timore perculsum, cum regem tam animose dimicantem videret; sed compedibus ferreis equum ejus adstrinxerunt, ut fugere non posset, ac strenue dimicarunt de salute ejus. Interim rex viriliter pugnabat, amera cum omni ejus apparatu potiri cupiens, cum quidam de janaitzariis, Chamuzas vocabulo, ex Peloponneso oriundus, posteriorem pedem equi regis, vibrata securi, vulneravit, eumque, cum equo humi prolapsum, consecutus occidit. Tum lætis clamoribus, ut mos est impiis, caput hastili præfigunt. Id ubi viderunt Hungari, huc illuc dissipantur, multique in fuga capti et interfecti sunt. Hic igitur mali consilii

Digitized by Google

τὴν ἀνδρίαν καὶ φύλμην αὐτοῦ δρουγγάριον τῆς
200 αὐτοῦ βίγλα; τετίμηκεν, ὃ λέγεται τῇ αὐτῶν
διαλέκτῳ ἰαννιτζάραγας, καὶ μετ' ὀλίγον καιρὸν καὶ
βεζίρην αὐτὸν ἐποίησε.

Τῇ οὖν ιζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους
γέγονε παγκόσμιος καύσων καὶ ἄξιος μνήμης· ἐν
ᾧ ὃὴ θέρει καὶ ὁ πνευματικὸς κὺρ Γρηγόριος ὁ
Μελισσηνὸς πατριάρχης ἐγένετο. Καὶ τῇ ιε' τοῦ
Αὐγούστου μηνὸς ἐγεννήθη μοι υἱὸς Ἀνδρόνικος
τοὔνομα, ὃς ἔζησεν ἡμέρας καὶ μόνον ὀκτώ. Καὶ
τῷ ,ςϑνδ' ἔτει ἐν μηνὶ Δεκεμβρίῳ φθίνοντι ἐλθόντος
μου εἰς τὴν Ἑλοπόννησον μετὰ τῶν τῆς Ἐνετίας
ἐμπορικῶν τριήρεων, καὶ Σεπτεμβρίου πρώτῃ τοῦ
,ςϑνε' ἔτους εὐηργετήθην τὴν ἡγεμονίαν τῆς Σπάρ-
της καὶ διοίκησιν καὶ πάντων τῶν πέριξ αὐτῆς,
ἤγουν Κουλᾶ, Ἑβραϊκῆς Τρίπης, Τζεραμίου, Παγ-
κότων, Σκλαβοχωρίου, καὶ πάντων τῶν ἄλλων αὐ-
τῆς χωρίων, καὶ πάντα τὰ εἰσοδήματα αὐτῶν, ὡς
οὐκ εἶχεν οὐδεὶς ἄλλος πώποτε τὴν τοιαύτην διοίκη-
γούμενος ἐν ἐπιτομῇ τοιάδε φάσκει· Ἐν ἑκάστῃ γὰρ χώρᾳ καὶ ἔθνεσιν ἐν τοῖς μὲν ἐγγράφως νόμος ἐστίν, ἐν τοῖς δὲ **218** ἀγράφως καὶ συνήθεια· νόμος γὰρ τὰ πάτρια δοκεῖ εἶναι. Ὡς πρῶτον Σῆρες οἱ τὸ ἄκρον τῆς γῆς οἰκοῦντες νόμους ἔχουσι τὰ πάτρια ἔθη, μὴ πορνεύειν ἢ κλέπτειν ἢ λοιδορεῖν ἢ φονεύειν. Νόμος δὲ παρὰ Βακτριανοῖς ἡ ἐκ προγόνων παιδεία καὶ εὐσέβεια, μὴ κρεωφαγεῖν ἢ οἰνοποτεῖν ἢ λαγνεύειν ἢ παντοῖα κακὰ διαπράττεσθαι, καίτοι γε τῶν παρακειμένων αὐτοῖς Ἰνδῶν τἀναντία διαπραττομένων ἀδεῶς. Ἐν δὲ τοῖς ἐνδοτέροις μέρεσι τούτων ἀνθρωποφάγοι εἰσὶ καὶ τοὺς ἐπιξενωμένους ἀναιροῦντες ἐσθίουσι. Νόμος Χαλδαίοις καὶ Βαβυλωνίοις ἀσελγείας καὶ αἰσχρουργίας ἀνάμεστος. Ἄλλος δὲ παρὰ Πηλαίοις νόμος, γυναῖκας γεωργεῖν καὶ οἰκοδομεῖν καὶ τὰ τῶν ἀνδρῶν πράττειν, ἀλλὰ καὶ πορνεύειν ὡς βούλονται, μὴ κωλυόμεναι ὑπὸ τῶν ἀνδρῶν αὐτῶν παντελῶς· ἐν αἷς ὑπάρχουσι καὶ πλεῖσται πολεμικώταται καὶ θηρῶσαι τὰ μὴ λίαν ἰσχυρότατα τῶν θηρίων. Ἐν Βρεταννίᾳ δὲ πλεῖστοι τῶν ἀνδρῶν μιᾷ συγκαθεύδουσι γυναικὶ, καὶ πολλαὶ γυναῖκες ἑνὶ ἑταιρίζονται ἀνδρί. Αἱ Ἀμαζῶναι μέν ποτε καιρῷ ἄνδρας οὐκ εἶχασιν, ἀλλ' ὡς τὰ ἄλογα ζῶα ἅπαξ τοῦ ἐνιαυτοῦ περὶ τὴν ἐαρινὴν ἰσημερίαν ὑπερόριοι γίνονται, καὶ μιγνύμεναι τοῖς γειτνιῶσιν ἀνδράσιν ὡς πανήγυρίν τινα καὶ μεγάλην ἑορτὴν τῷ καιρῷ ἐκείνῳ ἠγοῦνται· ἐξ ὧν καὶ ἐν γαστρὶ συλλαμβάνουσαι **219** παλινδρομοῦσι οἴκαδε πᾶσαι· τῷ δὲ καιρῷ τῆς ἀποκυήσεως τὰ μὲν ἄῤῥενα φθείρουσι, τὰ δὲ θῆλυ ζωογονοῦσι καὶ τιθηνοῦσιν ἐπιμελῶς καὶ ἐκτρέφουσιν. Οὕτως καὶ τὰ ἐνταῦθα, ὡς εἶπόν σοι, ὑπάρχει ἡ ἡμετέρα συνήθεια, ὡς καθὼς καὶ αὐτὸς μέλλεις μαθεῖν παρὰ ἀξιοπίστων ἀνδρῶν. Καὶ μὴ θαύμαζε, τιμιώτατε ἄνερ κὺρ Γεώργιε. Διὰ τοῦτο ποιοῦμεν τὸ παρὸν συνοικέσιον μετ' αἰδοῦς καὶ οὐκ ἀσυμβούλως τῶν, καὶ ὑπόσχομαι δοῦναι τῇ θυγατρί μου ἄνευ τῶν πολυτίμων σκευῶν ἀργυρίου καὶ χρυσίου καὶ λίθων πολυτίμων καὶ μανακίων διαμαργάρων καὶ χρυσίου καὶ ἑτέρων λίθων, χωρὶς τῶν ἐνδυμάτων καὶ ὑφασμάτων πολυειδῶν εἰς ὑπηρεσίαν αὐτῆς, καὶ πάρεξ τούτων χρυσᾶ νούμια χιλιάδας πεντήκοντα καὶ ἕξ. Ἔτι δὲ καὶ κατ' ἔτος ἕξῃ ἑτέρας χιλιάδας τρεῖς τοῦ ποιεῖν ἐλεημοσύνας εἰς πτωχοὺς, καὶ ὅπου δ' ἂν δόξῃ αὐτῇ. Σὲ δὲ ἀκούω ἔχειν παιδία δύο. Τὸ μὲν ἄῤῥεν ὁ βασιλεὺς ἀνετένησε διὰ τοῦ θείου βαπτίσματος, καὶ αὐτοῦ ἐκεῖνο ἔστι καὶ ἔσται· τὸ δὲ θῆλυ ἔστω ἐκ τῆς σήμερον τῇ θυγατρί μου, ἣ καὶ ὀφειλέτω τοῦ ὑπανδρεῦσαι αὐτὸ, ὅπου δ' ἂν σὺ κρίνῃς εἶναι ἄξιον τόπον. Καὶ ὅταν ἔλθῃς σὺν Θεῷ ἄραι αὐτὴν, τότε ἐπιδώσω σοι φορτία σηρικοῦ τέτταρα· ἔστι γὰρ ἡ μέταξα ἐκείνη οὐκ ἐξίτηλος, καὶ ὡς ἠκούσαμεν, πράττεται τὸ φορτίον διὰ χρυσῶν νουμίων πεντακοσίων. »

220 Ὡς οὖν πάντα τὰ ἐν τῇ Ἰβηρίᾳ καὶ Τραπεζοῦντι καταλεπτῶς ἐδιηγησάμην τῷ βασιλεῖ καὶ αὐθέντῃ μου ὡς ἄνωθεν, ἠρώτησε μαθεῖν καὶ περὶ τοῦ τῆς Σερβίας συνοικεσίου· καὶ ἀποκριθεὶς εἶπέ μοι· « Ἐγώ σοι ὀφείλω πολλὰ διὰ τὴν πρός με σὴν ἀγάπην καὶ πίστιν παιδιόθεν καὶ τὴν τοσαύτην δουλοσύνην· ἀλλὰ τοῦτο δὴ πλεῖον σήμερον τὸ τῆς Σερ-

breve contracta hæc docet. Cui is terræ et genti aut scripta lex est aut non scripta et more constituta. Lex enim esse videntur patria instituta, quemadmodum primum, qui in extremo orbe habitant, Seres legum loco patria instituta habent, ne mœchentur, aut furentur, aut calumnientur, aut occidant. Lex est apud Bactrianos a majoribus accepta disciplina et pietas, ne carnibus vescantur aut bibant vinum, neve libidini vel ulli generi pravitatis locum reliquant, cum finitimi illis Indi impune contraria agant: quorum qui in regionibus interioribus habitant, anthropophagi sunt et advenas occidunt comeduntque. Chaldæis et Babyloniis lex lasciviæ et turpitudinis plena. Apud Pelæos autem lex est, ut mulieres agros colant et domos ædificent cæterisque virorum operibus funganter, at vero etiam mœchentur, quantum libet, a viris plane non impeditæ: in quibus adeo plurimæ bellicosissimæ sunt ac bestias non plane validissimas venantur. In Britannia autem plerique viri uni concumbunt mulieri, et multæ mulieres uni viro. Amazones olim maritis carebant ac bestiarum instar semel quotannis, circa vernum æquinoctium, e finibus egressæ et concumbentes cum viris finitimis, quasi festum quemdam conventum celebrabant: unde conceptis fetibus cunctæ domum se recipiebant; deinde cum partum edidissent, mares necabant, feminas conservabant, diligenter lactabant educabantque. Si etiam nobis hic, ut tibi dixi, nostra est consuetudo, id quod a viris fide dignis poteris cognoscere. Verum ne mirare, vir honoratissime Georgi: præsens horum connubium reverenter nec inconsulte instituimus, polliceorque, præter pretiosam argenti et auri supellectilem, præter gemmas et monilia margaritis, auro et lapillis composita, præter vestes et textilia varii generis, ipsius usui destinata, præter hæc igitur daturum me esse nummum aureorum quinquaginta sex millia. Ad hæc in annos singulos accipiet alia aureorum tria millia, quæ in stipes pauperum aut quodcunque ipsi videbitur, impendat. Te autem duos habere liberos audio, quorum masculum imperator e sacro fonte suscepit: is igitur illius est eritque; at puella ab hodierno die esto filiæ meæ, cujus erit eam collocare, in quem tu locum boni consulueris. Tum autem, cum eam receptum venies, si Deo ita placuerit, donabo tibi insuper onera serici quatuor. Est enim non vulgaris illa metaxa, solvique pro singulis oneribus nummos aureos quingentos accepi. »

Cum igitur omnia in Iberia et Trapezunte gesta subtiliter imperatori domino meo et a principio enarrassem, de Serviano connubio eum percontatus sum, atque ille ita mihi respondit: « Equidem multum tibi debeo propter eam, quam a puero erga me præstitisti, benevolentiam et fidem tantaque officia; verum nunc Servianum hoc negotium benevolentiam

Digitized by Google

Θίας βεβαίωσις καὶ ἀσφάλεια καὶ ἐκσφράγισμά ἐστι τῆς εἰς ἐμέ σου ἀγάπης καὶ δουλοσύνης, καὶ ἀνταμοιβήν σοι ὀφείλω ἕως ἐν τοῖς ζῶσιν εὑρίσκομαι, ἐπεὶ τοσοῦτον κεκοπίακας ἀεὶ ὑπὲρ ἐμοῦ, καὶ μᾶλλον τὰ νῦν ἐγκατέλιπες τὸν οἶκόν σου, τοσοῦτον δὴ καιρὸν πόρρω τῆς σῆς πατρίδος ξένας χώρας περιερχόμενος. Ὅθεν οἱ ἐκεῖσε κυριεύοντες μεγάλας εὐεργεσίας καὶ τιμὰς ἐπηγγέλλοντό σοι δοῦναι, λέγω οἱ τῆς Ἰβηρίας καὶ Τραπεζοῦντος δεσπόται καὶ βασιλεῖς, ἕκαστος αὐτῶν ζητῶν σοι ὑπὲρ αὐτοῦ, ἵνα συνοικέσιον μετ' ἐμοῦ τελέσῃς. Αὐτὸς δὲ ὡς σώφρων καὶ πιστὸς θεράπων διέκρινας τὸ συμφέρον μοι καὶ ὠφελιμώτερον, καὶ ἔδρασας, καὶ ἃ νενόηκας ἔγραψάς μοι συμβουλεύων. Τοῦτο ἦν μέγα τι ἐκμαρτύριον τῆς πρὸς ἐμέ σου εὐνοίας καὶ ἀγάπης· καὶ πληροφορήθητι ἀληθῶς ὅτι καὶ παρ' ἐμοῦ ἔξεις ἀξίαν τὴν ἀντάμειψιν, ἕως ἐν τοῖς ζῶσιν ὑπάρχω. Περὶ δὲ τοῦ ἐν Σερβίᾳ συνοικεσίου οὗπερ ἠρωτᾷς με, τοιουτοτρόπως παρηκολούθησε. Μετὰ τὸ θανεῖν τὸν ἀμηρᾶν καὶ τὴν **221** τούτου σύζυγον ἐπαναστρέψασαν πρὸς τὸν τῆς Σερβίας δεσπότην τὸν πατέρα αὐτῆς, προσῆλθέ μοι συλλαλήσασα ἡ πρωτοστρατόρισσα ἡ συγγενὴς αὐτῆς περὶ τῆς τοιαύτης ὑποθέσεως, καὶ πλείστας δόσεις καὶ προῖκας ἐπηγγέλλετό μοι, καὶ ἄλλα πολλὰ ὠφελιμώτατα ἔτασσεν ὑποσχομένη ἐν τῷ μέλλοντι, ἅπερ κἀγὼ ἀπὸ πολλῶν αἰτιῶν ἐνόμισα ταῦτα ἀληθῆ εἶναι καὶ συμφέροντα. Ὅμως δὲ ἐν τούτῳ ἔδει καὶ ἑτέρα βουλὴ καὶ σκέψις, κἀγὼ οὐκ εἶχον μετά τινος συμβουλευθῆναι διὰ τὸ πάντας παθητικῶς διακεῖσθαι. Ἡ κυρία μου ἡ δέσποινα καὶ μήτηρ τοῦ παρόντος βίου ἐξεδήμησε.

Ὁ μὲν Καντακουζηνὸς, ὃς ἀπὸ τῶν ἄλλων ἀπροσπαθῶς ἐβούλευς, καὶ αὐτὸς ἀπέθανεν· ὁ δὲ Λουκᾶς ὁ Νοταρᾶς φανερῶς καὶ ἀφανῶς λέγει ὅτι οὐδεὶς τῶν ἄλλων πάρεξ αὐτοῦ οἶδε τί ποιεῖ, εἰ μὴ τὰ παρ' αὐτοῦ λεγόμενα καὶ ποιούμενα διισχυρίζεται ἀληθῆ καὶ καλὰ εἶναι, καὶ πάντα λίθον κινεῖ, τὸ τοῦ λόγου, ὡς καὶ αὐτὸς καλῶς ἐπίστασαι. Ὁ μέγας δομέστικος ἐχθρωδῶς διάκειται εἰς τὰ τῆς Σερβίας, καὶ ὁμονοήσας μετὰ τοῦ Καντακουζηνοῦ Ἰωάννου παροτρύνοντές με ἀεὶ ἵνα τὸ τῆς Τραπεζοῦντος συνοικέσιον γένηται. Τίνι γὰρ τότε ἐδυνάμην συμβουλεύεσθαι; Μετὰ μοναχῶν καὶ τῶν τοιούτων; ἀπράγμονές εἰσι. Μετὰ ἀρχόντων; καὶ οὐδεὶς ἐφρόντιζε μὴ προκείμενός τινι, μή πως δημοσιεύσῃ αὐτὰ τοῖς ἄλλοις. Λοιπὸν **222** ἐγὼ ἐδεινοπάθουν εἰς τὴν σὴν βραδύτητα. Ἐλθούσης δὲ τῆς γραφῆς σου, ἰδοὺ καὶ σὲ καὶ τὴν γνώμην σου ἔγνωκα· καὶ ἃ εἴχομεν καὶ ἡμεῖς προσυνιστάμενα, φρονίμως καὶ καλῶς ἔλυσας. Καὶ εὐθὺς τὸν Παλαιολόγον καὶ τὸν Εὐδαίμονα Ἰωάννην ἀπέστειλα, δι' ἄλλα μὲν τὸ φαινόμενον, ὡς ἀπὸ τῆς θείας αὐτοῦ τῆς πρωτοστρατορίσσης εἴπῃ τοῦτο. Καὶ ἰδοὺ ἠκούσαμεν τὸ αἴτιον τοῦ κωλύματος, καὶ ἐπαύσαμεν. Λοιπὸν σὺν Θεῷ τελέσωμεν τὸ τοῦ βασιλέως τῆς Ἰβηρίας. » Καὶ γεγονότος χρυσοβούλλου καὶ ὑπογραφέντος, περιεῖχεν οὕτως, ὅτι ἐκείνου μὲν ἡ θυγάτηρ ἔστω γυνὴ τοῦ βασιλέως καὶ δέσποινα τῆς Κωνσταντινουπόλεως, καὶ αὐτὸς δὴ ὁ βασιλεὺς ἔστω ἀνὴρ αὐτῆς, κατὰ πάσας τὰς σύμφωνίας ἃς μετ' ἐμοῦ ἔστησεν ὁ ῥηθεὶς ῥὴξ τῆς Ἰβηρίας. Καὶ κληθεὶς προσῆλθε κατενώπιον τοῦ βασιλέως ὁ ἐκ τῆς Ἰβηρίας μετ' ἐμοῦ ἐληλυθὼς

tuam ac studium etiam magis confirmat, communit et quasi obsignat, tibique obligatus sum, quoad in vivis ero, cum semper mea causa summopere laboraveris, nunc vero etiam domum tuam per longum tempus reliqueris, procul a patria exteras regiones obiens: unde cum, qui illic regnant, magna tibi dona honoresque promitterent, Iberiæ scilicet et Trapezuntis despotæ regesque, uterque te rogans, ipsi ut conciliares hoc connubium, ut prudens et fidelis minister decrevisti et feclsti, quod mihi commodum et utilissimum esset, et quid tibi videretur, per litteras mihi suasisti. Illud magnum mihi testimonium erat tuæ erga me voluntatis et benignitatis: et certo scito, digna me tibi præmia soluturum, quoad in vivis ero. Quod autem de Serviano me connubio rogas, res ea ita evenit. Amera mortuo et conjuge ejus reversa ad despotam Serviæ, ejus patrem, adiit me super illo negotio cognata ejus protostratorissa, sponditque mihi cumulatissima dona dotemque, et alia multa utilissima commemoravit et in futurum promisit: quæ ego multis de causis vera et e re mea fore existimavi. Attamen alio consilio et deliberatione in tali re opus erat, nec habebam, quem consulerem, quoniam omnes animo vehementiori erant. Domina et mater mea imperatrix e vita cesserat; Cantacuzenus, qui e reliquis non cupide judicabat, et ipse mortuus erat.

Lucas Notaras autem palam et occulte dictitat, præter se neminem omnium scire, quid facto opus sit, nihil, nisi quod ipse dicit facitque, verum ac bonum esse affirmat, omnemque lapidem movet, ut utar proverbio, id quod ipse bene nosti. Magnus domesticus infesto in Servios animo est conspiransque cum Joanne Cantacuzeno quotidie me ad Trapezuntium connubium adhortatur. Cum quonam igitur deliberarem? Cum monachis et ejusmodi hominibus? at rem publicam non attingunt. Cum proceribus? at nemo rem perpensurus erat, qui nulli propensior esset, ut timendum esset, ne eam cum cæteris communicaret. Itaque ego iniquius ferebam moras tuas. Epistola autem tua ad me perlata, et te et sententiam tuam cognovi, quæque nos quoque prius constituta habebamus, prudenter et commode expediveras. Statim igitur Palæologum cum Joanne Eudæmone, aliarum rerum prætextu, misi, a protostratorissa, matertera sua, illud nuntiatum. Ecce autem, causam quæ rem impediret, cognovimus, et destitimus. Cæterum, si Deo placet, perficiamus cum Iberorum rege connubium.» Fit igitur bulla aurea, cui subscriptum est, in hanc sententiam, ut illius filia esset uxor imperatoris et imperatrix Cpolis, imperator esset ejus maritus, secundum conditiones omnes quas Iberorum rex mecum composuerat. Vocatur in conspe-

Digitized by Google

πρέσβυς. Καὶ ὁ βασιλεὺς οἰκειοχείρως ἔμπροσθεν τούτου ἐποίησε σταυροὺς τρεῖς μετὰ κιναβάρεως εἰς τὸ ἀνώτερον τοῦ χρυσοβούλλου μέτωπον εἰς βεβαίωσιν κατὰ τὴν ἐκείνων συνήθειαν, καὶ ἔδωσε τὸν χρυσόβουλλον ἐπὶ τὰς χεῖρας τοῦ πρέσβεως, καὶ φησιν αὐτῷ· « Ἰδοὺ οὗτος » ἐμὲ δεικνύων « σὺν Θεῷ τῷ ἐρχομένῳ ἔαρι ἐλεύσεται μετὰ τριήρεων παραλαβεῖν τὴν ἐμὴν σύνευνον τὴν νεόνυμφον. » Προσκυνήσας οὖν ὁ πρέσβυς ἀνεχώρησεν.

223 Ἐπεὶ δὲ ἀπὸ τῆς ἀρχῆς τοῦ αὐτοῦ ἔτους ἐψιθυρίζετο ὅτι ὁ ἀμηρᾶς ἐβούλετο ἐλθεῖν κατὰ τὸ στενὸν ἐγγὺς τοῦ ἀνωτέρου μέρους τῆς τοῦ Ἀσωμάτου κώμης οἰκοδομῆσαί τι φρούριον, καὶ βουλῆς γενομένης ἵνα ὁ βασιλεὺς εἰς Πελοπόννησον στείλῃ μηνύων τοῦ ἐλθεῖν ἕνα τῶν αὐταδέλφων αὐτοῦ, ὃς ἂν βουλήσηται τούτων, καὶ ὁμοφωνήσῃ εἰς ὅσα αἱ βασιλικαὶ γραφαὶ διελάμβανον, ἵνα ἀνάγκης ἐπελθούσης ἴδωσιν εἰ ὁ ἀμηρᾶς βούλεται πρᾶξαί τι κατὰ τῆς πόλεως ἤτοι τῆς βασιλείας, καὶ ἀπέλθῃ πρὸς τοὺς δυτικοὺς αὐθέντας καὶ συμμαχίαν αἰτήσῃ, ἐν τῷδε τῷ μέσῳ παρῆλθον ἡμέραι τινές, εἶτα προστάξας ἐλθεῖν με ἐνώπιον αὐτοῦ εἶπέ μοι τάδε· « Πρωτοβεστιαρῖτα, περὶ τῆς βουλῆς ἧς ἐστήσαμεν ἑτοιμάσθητι τοῦ ἀπελθεῖν σε εἰς Πελοπόννησον· καὶ ὡς ἂν διορθώσῃς τὴν ἐκεῖσε ὑπόθεσιν, ἵνα τις τῶν ἀδελφῶν μου ἐλεύσηται ἐνθάδε, ἀναγκαῖόν ἐστιν ἀπελθεῖν σε ἐκεῖθεν εἰς Κύπρον πρὸς τὴν ἐμὴν ἀδελφόπαιδα τὴν ῥῆγισσαν. Ἡμεῖς δὲ ἐνταῦθα ἑτοιμάσωμέν σοι τὰ ἐπιτήδεια τῆς ὁδοῦ. Μετὰ τὸ ἐξελθεῖν σε κἀκεῖθεν πορεύσῃ αὖθις εἰς τὴν Ἰβηρίαν, ὅπως ἄρῃς τὴν νεόνυμφον τὴν ἐμὴν σύνευνον τὴν μελλοκυρίαν σου. » Ἐγωγε ἀποκριθεὶς εἶπον αὐτῷ· « Οὐ δύναμαι παραδῆναι τὸ πρόσταγμά σου, τοῦ μὴ ἐκτελέσαι ὡς κελεύεις· ἀλλ' ἡ σύντεκνος καὶ δούλη τῆς βασιλείας σου, ἡ γυνή μου, ὑποπτεύω μή ποτε διὰ τὸ συχνάκις με ἀπουσιάζειν αὐτῆς ἀγανακτῶσα ἀποκαρήσηται **224** μοναχῇ, ἢ καὶ ἄσῃ με καὶ ἄλλον λάβῃ· χθὲς γὰρ ἐλήλυθα ἀπὸ Ἰβηρίας, διατρίψας ἐκεῖ ἔτη δύο, καὶ εἰ ἀναχωρήσω αὖθις ἐν βραχημερίᾳ οἴκοθεν, εὔλογον αἰτίαν εὑρήσει καὶ δικαίαν πρόφασιν τοῦ πρᾶξαι ἓν ἐξ ὧν εἴρηκα. » Ὁ δὲ βασιλεὺς γελάσας εἶπέ μοι· « Ἀλλ' αὐτὸς λέξον αὐτῇ ἵνα ταύτην καὶ μόνην τὴν ὁδοιπορίαν συγχωρήσῃ σοι ποιῆσαι, καὶ ἐνόρκῳ προστάγματι τάσσω μηκέτι σε ἐνοχλῆσαι τοῦ ἐξελθεῖν σε πατριδόθεν. Καὶ μάλα καλῶς ἐπίστασαι τὰ ὅσα σοι ἐπηγγειλάμην εὐεργετῆσαί σε, καὶ τί τὰ ἀνὰ ἡμῶν συλλαληθέντα, καὶ τί βουλόμεθα ποιῆσαι. Καὶ τοῦτο βέβαιόν ἐστι καὶ χωρὶς ἐνόρκου προστάγματος, ὅτι αἱ πρεσβεῖαι καὶ ὁδοιπορίαι αἱ ὑπὸ σοῦ παύσουσι. Μηνύω δὲ καὶ πρὸς τὸν μέγαν δοῦκα τὸν Νοταρᾶν ὅτι ἐπὶ τὸ τοῦ μεγάλου δουκὸς ὀφφίκιον κτῆται, οὐ δύναται ἔχειν καὶ τὸ μεσαστικόν. Καὶ τοῦτο λέγω ἵνα σοι δωρήσωμαι. Ἀλλ' ὅμως οὐκ ἔστι πρέπον ἵνα ἀφαιρέσω αὐτὸ ἐξ αὐτοῦ· ἔστι γὰρ ὡς καταφρονεῖν, εἰ μὴ ἀναβολὴν καὶ τρόπον ποιήσομεν ἵνα αὐτοθελῶς ἐγκαταλείψῃ αὐτὸ ἐκεῖνος. Καὶ ἐχέτω δὴ πάλιν τὸ πρωτεῖον τῆς στάσεως καὶ τῆς βουλῆς, καί τι σιτηρέσιον δι' ἄλλου τρόπου, ἐπεὶ χρὴ ποιῆσαι κἀμὲ δύο τῶν ἀρχόντων συμβούλους, ὡς καὶ ὁ βασιλεὺς ὁ ἀδελφός μου εἶχεν, ἵν' ὦσι μετ' ἐμοῦ δι' ὅλης τῆς ἡμέρας ἐν τῷ παλατίῳ τοῦ προβλέπειν διορθώνειν

Cum initio ejusdem anni fama manaret, ameram ad angustias prope superiorem partem vici Asomati esse venturum, ut ibi exstrueret castellum, cumque, concilio habito, visum esset, ut imperator in Peloponnesum ad fratrem arcessendum mitteret, utercumque illorum venire vellet, et is comprobaret, quæcunque imperatoriis litteris constituta essent, atque, si necessitas adesset vidissentque ameram adversus urbem vel imperium aliquid moliturum, ad occidentales principes opem imploratum proficisceretur: hæc igitur dum fiunt, paucis diebus interjectis, imperator me ad se arcessitum ita allocutus est: «E consilio, quod cepimus, para te, protovestiarie, ut in Peloponnesum proficiscare, ibique negotium hoc perficias, ut alteruter fratrum meorum huc veniat. Inde oportet te in Cyprum ad reginam, neptem meam, iter facere. Nos hic necessaria itineri providebimus. Inde reversus autem in Iberiam discedes, ut advehas recens mihi sponsam uxorem, futuram dominam tuam.» Ad quæ ego ita respondi: «Non possum equidem declinare mandatum tuum, ut non faciam, quod jubes; verum majestatis tuæ commater et serva, conjux mea, vereor, ne quando, propter crebram absentiam meam indignata, monachis se adjungat aut me deserto nubat alii. Nuperrime enim ex Iberia redii, annos ibi duo moratus, atque si intra paucos dies iterum peregre abiero, causam idoneam et justam inveniet faciendi alterum horum, quæ dixi.» Subridens imperator: « At tu, inquit, facut unum hoc iter etiamnum facere tibi permittat, ac jure jurando tibi spondeo, posthac me non jam creaturum tibi molestiam itineris extra patriam faciendi. Scis autem, quæ tibi beneficia promiserim, quæ inter nos locuti simus et quid facere cogitemus, atque hoc quidem etiam sine sacramenti religione certum est, legationes et itinera tua finem habitura esse. Significabo autem Notaræ, magno duci, cum magni ducis munere fungatur, non posse eum præesse etiam administratoris officio. Atque hoc dico, ut te eo munere ornem. Neque tamen decet, spoliare me cum ista dignitate. Contemnere enim eum videamur, nisi exspectemus aliquantisper et modum excogitemus, quo eam ipse sua sponte deponat. Enimvero habebit rursus primas in consilio, et aliunde aliquod stipendium, quandoquidem me quoque duos e nobilitate consiliarios, quales habuit imperator, frater meus,

Digitized by Google

καὶ πράττειν ἀναγκαῖα, δουλείας τε καὶ ὑποθέσεις τῆς βασιλείας. » **225** Καὶ οὕτως ἐμηνύθη ὁ μέγας δοὺξ διὰ τοῦ ἐμοῦ καὶ αὐτοῦ συντέκνου, τοῦ ἱερομονάχου καὶ πνευματικοῦ πατρὸς Νεοφύτου τοῦ ἐν τῇ τοῦ Χαρσιανίτου μονῇ. Καὶ ἀκούσας ὁ Νοταρᾶς περὶ τοῦδε τοῦ ὀφφικίου ἔστερξε, πλὴν ἐκουσίως ἢ ἀκουσίως οὐκ οἶδα· καὶ μᾶλλον ἐδείκνυεν ὅτι καὶ πρὶν ἢ τοῦ εἰπεῖν αὐτῷ περὶ τούτου ἐλογίζετο ποιῆσαι, ὅπως καὶ ὁ βασιλεὺς ἀντιχαρίσηται τοῖς υἱοῖς αὐτοῦ ἄλλην τινὰ τιμήν. Ταῦτα οὖν πέρας οὐκ ἔλαβον διὰ τὴν ταχέως ἐπελθοῦσαν εἰς ἡμᾶς κοινὴν συμφοράν. Καὶ πάλιν εἶπέ μοι ὁ βασιλεὺς ὅτι ἤθελεν εὐεργετῆσαί μοι καὶ τὴν τοιαύτην χάριν, ἵνα συζεύξῃ εἰς γυναῖκα τὴν ἐμὴν θυγατέρα τῷ νεανίσκῳ ἐκείνῳ Νικολάῳ τῷ Μελισσηνῷ, τῷ υἱῷ ποτε Νικηφόρου τοῦ Μελισσηνοῦ, ὃν καὶ Μελισσουργὸν ἐπωνόμαζον, τοῦ καὶ μεγάλου πρωτοστράτορος, ὕστερον δὲ καὶ μητροπολίτου γεγονότος, ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς ἡμῶν ἱστορίας ἐμνήσθημεν· καὶ τὴν ἐπιτροπικὴν διοίκησιν, ἣν προειρήκαμεν, τῶν τούτου τόπων καὶ χώρων δώσῃ μοι τοῦ ἰθύνειν καὶ κυβερνᾶν, ἕως οὗ ἡ ἐμὴ θυγάτηρ τὸ δέκατον τέταρτον ἔτος φθάσῃ καὶ ὁ γάμος τέλειος γένηται. Καὶ αὕτη μὲν ἦν ἡ ὑπόθεσις, περὶ ἧς ἔλεγεν ὁ βασιλεὺς ὅτι αἱ δι' ἐμοῦ πρεσβεῖαι καὶ ὁδοιπορίαι παύσωσιν. Εἰρηκέ μοι καὶ τοῦτο, ὅτι ἐν τῇ Πελοποννήσῳ ἤθελεν ἀποστεῖλαι ἕτερόν τινα τῶν γηραιῶν ἀρχόντων, ἵνα τὰ ἐκεῖσε, ὡς ἔφημεν, διορθώσῃ μετὰ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἀνάθεσιν δώσῃ **226** αὐτῷ πῶς ἔχῃ πρᾶξαι· εἰ ἓν κεφαλαίων οὐ δυνηθῇ ποιῆσαι, πράξῃ κατὰ τὸ δεύτερον, καὶ οὕτω κατὰ διαδοχὴν ἢ τὸ τρίτον ἢ τὸ τέταρτον ἢ ἐξ ἀνάγκης τὸ πέμπτον. Καὶ εἶπέ μοι περὶ τούτου πάλιν· « Ἀλλ' ὑποψίαν ἔχω ὅτι ἐὰν ἕτερόν τινα πάρεξ σοῦ ἀποστείλω, οὐ φυλάξει μοι τὴν τρέπουσαν εὔνοιαν καὶ πίστιν, μή πως ἀπατήσωσιν αὐτὸν οἱ δεσπόται καὶ ἀδελφοί μου, ὑποσχόμενοι τούτῳ διὰ τούτῳ διὰ χρυσοβούλλου τινὰ κώμην ἢ χώραν αὐτῷ καὶ τοῖς κληρονόμοις αὐτοῦ κατὰ διαδοχήν, καὶ πεισθεὶς ἀποδοκιμάσῃ τὰ τέτταρα εἰρημένα κεφάλαια, καὶ πράξῃ κατὰ τὸ πέμπτον, ὅπερ βαρύτατόν μοι ἔσεται. Αὐτὸς οἶδας καὶ τὸν ἀπὸ τῆς Κύπρου ῥηγίσσας τῆς ἐμῆς ἀνεψιᾶς ἀποσταλέντα μοναχὸν, λέγοντά μοι ὅτι ἐπεὶ ἡ ῥήγισσα οὐκ εἶχεν ἄνθρωπον πιστὸν καὶ ἐπιτήδειον μηνῦσαί μοι δι' αὐτοῦ τὰ ὅσα ἦν ἀναγκαῖα, οὔτε δυνατὸν ἦν ὡς ἐκείνη ἐπεθύμει συλλαλῆσαί μοι διὰ στόματος, ἐξαποστεῖλω ἐγὼ πρὸς αὐτὴν ἄνθρωπον ἐκ τῆς ἡμετέρας αὐλῆς δόκιμον καὶ πιστόν. Διὰ τοῦτο ἕτερόν τινα οὐχ ἁρμόζει πάρεξ σοῦ εἰδέναι τὰ μυστήρια ἡμῶν, καὶ οὐδεὶς ὡς ἁρμοδιώτερός σου, εἰ μὴ μόνον σὺ ὁ πράξας καὶ στήσας καὶ ὁμιλήσας καὶ πληροφορήσας τὰ πάντα μετ' αὐτῆς καὶ ἐν ἑτέρῳ καιρῷ· διὸ οὐ δύναται δι' ἄλλου τινὸς ἡ ὑπόθεσις πέρας λαβεῖν. » Ἐγὼ δὲ πάλιν ἀποκριθεὶς εἶπα τῷ βασιλεῖ· « Ὡς κελεύει ἡ βασιλεία σου, οὕτως ἔχει. Ἕνεκεν τούτων τῶν εὐλόγων αἰτιῶν ἡ ἐμὴ σύνευνος ἡ **227** δούλη σου ἅμα τοῖς ἐμοῖς συγγενέσιν οὐ κωλύσουσί με, εἰ τύχῃ, καὶ ποιήσω τὸ προσταχθέν μοι. Ἦν εὖ μακαρίσω, ἀναφέρων αὐτῇ ἔτι περὶ ὧν διὰ τῆς καλοκαγαθίας τῆς βασιλείας σου ἐταξάς μοι περὶ τῆς ἐμῆς θυγατρὸς ὑπανδρίας καὶ τόπων καὶ τιμῆς δωρήσεως καὶ ἀναδοχῆς πλέον τῶν ἄλλων

creare necesse est, qui per totum diem mecum sint in palatio ad providenda, ordinanda, et facienda necessaria tum servitia tum consilia imperii.» Atque ita significatum est magno duci per meum et ipsius compatrem, hieromonachum et spiritualem patrem Neophytum, qui in Charsianitæ monasterio erat. Edoctus de hoc officio Notaras, non repugnabat, utrum libenter tamen, an invitus, nescio: quanquam præ se ferebat, etiam antequam monitus esset, cogitasse se istud facere, ut imperator ipsius filiis aliam impertiret dignitatem. At enim hæc non habuerunt exitum propter communem citius in nos ingruentem calamitatem. Rursus mihi affirmavit imperator, etiam hanc se mihi gratiam daturum, ut filiam meam juveni collocaret Nicolao Melisseno, filio Nicephori Melisseni, quem Melissurgum cognominabant, magni protostratoris, postea vero etiam metropolitæ munere functi, quemadmodum historiarum libro secundo commemoravimus; pollicitus etiam, traditurum se mihi vicariam, cujus ante mentionem fecimus, administrationem locorum ejus oppidorumque, quæ haberem et procurarem, donec filia mea decimum quartum annum attigisset et nuptiæ fierent. Atque hoc illud fuit, in quo legationes et itinera mea finem esse habitura imperator affirmavit. Idem mihi dixit; velle se in Peloponnesum alium e senibus optimatum mittere, qui illic res, de quibus diximus, cum fratribus componerent, et referret ad se, quid facto opus esset: quodsi non posset primum caput obtinere, obtinere niteretur secundum, atque ita deinceps aut tertium, aut quartum, aut, si necessitas cogeret, quintum. Rursus: «Sed si, inquit, alium præter te misero, metuo, ut is debitam mihi benevolentiam et fidem præstet, neve eum decipiant despotæ, fratres mei, per bullam auream vicum aliquem vel regionem ipsi et hæredibus deinceps polliciti: qua ille re commotus, quatuor capitibus rejectis, de solo quinto agat: quod mihi molestissimum accideret. Præterea scis ipse, a regina Cypri, cognata mea, ad me missum monachum dixisse, ut, cum regina non haberet hominem fidum et idoneum, per quem res quasdam maximi momenti mecum communicaret, nec posset, ut optaret, coram mecum colloqui, ego ad illam hominem ex nostra aula spectatum et fidum mitterem. Quare fieri nequit, ut alii, ac tibi, secreta nostra innotescant, neque est quisquam te aptior, quandoquidem tu etiam alias omnia cum illa egisti, constituisti, communicasti, perfecisti. Quam ob rem per alium istud negotium absolvi nequit. » Ego ita respondi: « Sicut censes, imperator, ita res habet. Ac propter istas gravissimas causas conjux mea, serva tua, cum reliquis propinquis

Digitized by Google

ἀρχοντισσῶν. » Καὶ οὕτως καιροῦ δὴ ὄντος τοῦ ἀριστῆσαι προσκυνήσας ἐγὼ ἀπῆλθον οἴκαδε. Μετὰ δὲ τὸ ἄριστον ἐλθόντος τοῦ μεγάλου δουκὸς ἐν τῷ παλατίῳ ἐφήσατο αὐτῷ ὁ βασιλεὺς τὰ ὅσα μετ' ἐμοῦ ἐλάλησε περὶ τοῦ πρέσβυν με ἀπελθεῖν, ἀλλ' οὐκ ἀπεκάλυψεν αὐτῷ δι' ἣν αἰτίαν· καὶ προσέθηκε καὶ τοῦτο, ὅτι 'Αναγκαῖόν ἐστι τιμήσωμεν καὶ ἡμεῖς τὸν Φραντζῆν, διότι τὸ ὀφφίκιον ὃ κέκτηται οὐκ ἔστιν εὐχαριστία οὐδεμία πρὸς ἡμᾶς, διότι παρὰ τοῦ βασιλέως τοῦ ἀδελφοῦ μου εὐηργετήθη τοῦτο αὐτῷ. Διὸ λέξον αὐτῷ ποῖον ἄλλο τῶν ὀφφικίων ὀρέγεται, καὶ ἀκούσωμεν. Καὶ ἐξελθὼν ὁ δοὺξ καὶ εὑρών με ἐπυνθάνετο τί τὸ ὀφφίκιον ὠρεγόμην ἵνα δωρήσηταί μοι ὁ βασιλεύς. Ἐγὼ δὲ ἀποκριθεὶς εἶπον ὅτι « Κατὰ νοῦν εἶχον καὶ ἐγὼ αἰτῆσαι μεῖζον ὀφφίκιον, ὅπερ οὐ κέκτηται ἄλλος, καὶ οὔτε ζῶντός μου εὐεργετήσῃ τινὶ ἑτέρῳ πλὴν ἐμοῦ· καὶ τὸ πρέπον οὕτως μοι δοκεῖ εἶναι, ὃ καὶ ὀρέγομαι, ἐπεὶ καὶ πρὸ τοῦ ἀπελθεῖν με εἰς Τραπεζοῦντα τοσαῦτα ὀνείδη καὶ κατηγορίας ἤκουσα καὶ ὑπέφερα διὰ τὸ εἶναι καὶ ἑτέρους **228** δύο ἄρχοντας ἐν τῷ ὀφφικίῳ ὃ ἔχω, ὃ οὐκ ἤθελα. 'Αλλ' ἵνα βεβαιωθῇ ὁ λόγος μου, ὡς μοι εἴρηκας κἀγὼ ὀρέγομαι, εἰ καὶ ἀρεστόν ἐστι τῷ αὐθέντῃ μου τῷ βασιλεῖ, εὐεργετήσῃ μοι τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου. » Καὶ οὕτως ἀπῆλθεν ὁ Νοταρᾶς καὶ ἀνέφερε πάντα τῷ βασιλεῖ· ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· « Αὐτὸ γὰρ τὸ ὀφφίκιον οὐ δίδωμι οὐδενί, ὅτι ὁ πρώην μου πενθερός ἐστι μέγας κοντόσταυλος, γεγονὼς ἐν τῇ Πελοποννήσῳ παρὰ τοῦ βασιλέως τοῦ πατρός μου, ὅτε ᾠκοδόμει τὸν Ἰσθμόν. Πλὴν δώσω αὐτῷ ἕτερον μεῖζον ὀφφίκιον, τὸ τοῦ μεγάλου λογοθέτου. » Ὁ δὲ δοὺξ ἀποκριθεὶς εἶπε· « Καὶ τί γενήσεται μετὰ τοῦ Παλαιολόγου τοῦ Μετοχίτου; » Ὁ Νοταρᾶς εἶπεν ὅτι τῷ βασιλεῖ ἵνα εὐεργετήσῃ με τὸ τοῦ μεγάλου πριμικηρίου, ὅ ἐστι μετὰ τὸ τοῦ στρατοπεδάρχου, καὶ οὐ τοῦτο, λέξας ὅτι « Ἡ βασιλεία σου ζητήσει τοῦ δεσπότου τοῦ ἀδελφοῦ σου ἐποίησας στρατοπεδάρχην τὸν τοῦ Καντακουζηνοῦ υἱὸν διὰ τὴν συγγαμβρίας συγγένειαν καὶ διὰ τὸν πρωτοστράτορα τὸν ἑαυτοῦ πατέρα. Καὶ ἐὰν δώσῃς τῷ Φραντζῇ τὸ τοιοῦτον ὀφφίκιον, ὅ ἐστι πρῶτον τοῦ μεγάλου στρατοπεδάρχου, τί γενήσεται; Ὅμως εἰ ἀρεστόν ἐστι τῇ βασιλείᾳ σου, εὐεργέτησον αὐτῷ τὸ τοῦ μεγάλου πριμικηρίου ὀφφίκιον, ὅ ἐστι μετὰ τὸ τοῦ μεγάλου στρατοπεδάρχου. » Ὁ δὲ βασιλεὺς εἶπεν· « Ἐγώ σοι προεῖπον ὅτι ὁ Φραντζῆς οὐ δέχεται **229** οὐδὲν ὀφφίκιον παρ' ἄλλου κρατούμενον, εἰ καὶ μειζότερον εἴη· πῶς οὖν καταδέξηται τὸ τοῦ μεγάλου πριμικηρίου; ὅμως ἐκ δευτέρου λάλησον αὐτῷ, καὶ ἴδωμεν τὴν γνώμην αὐτοῦ. » Λοιπὸν αὖθις ἦλθε πρός με ὁ μέγας δοὺξ λέγων· « Ὁ βασιλεὺς ἔφη ὅτι τὸ τοῦ μεγάλου κοντοσταύλου ὀφφίκιον, ἐπεὶ ὁ πενθερὸς αὐτοῦ ἔχει τοῦτο, οὔτε σοὶ οὔτε ἄλλῳ τινὶ εὐεργετήσει αὐτό, ἀλλὰ δώσει σοι τὸ τοῦ μεγάλου πριμικηρίου, ὅπερ καὶ πρῶτον τούτου ἐστί. » Κἀγὼ εἶπον αὐτῷ ὅτι « Εἰ καὶ πρῶτόν ἐστι τὸ τοῦ μεγάλου δουκὸς ὀφφίκιον, τοῦτο οὐ θέλω ἀφαιρεθῆναι ἀπὸ ἄλλου καὶ δοθῆναι ἐμοί· » καὶ οὕτως διελύθη ὁ σύλλογος. Βουλευθέντος δέ μου μετὰ τῶν συγγενῶν μου καὶ φίλων καὶ οἰκείων περὶ ὧν ὁ βασιλεύς μοι ἐπηγγείλατο, καὶ καλῶς πᾶσιν ἔδοξεν ἵνα τὸ συνοικέσιον

non obstabit fortasse, quominus voluntati tuæ obsequar: quam beabo, cum docebo, quæ majestatis tuæ gratia de filia mea collocanda decreverit, deque ditionis et honorum præmiis, præ reliquis feminis nobilibus eam evectura. » Ita cum tempus prandii adesset, adoratione facta, domum discessi. Post prandium magno duci in palatium venienti imperator retulit, quæ de obeunda mihi legatione mecum egisset, causam tamen non aperuit; addidit autem, necesse esse, ut ipse quoque me cohonestaret, quoniam munus, quo fungerer, non sua gratia, sed imperatoris, fratris sui, benevolentia mihi impertitum esset; mandavitque ei, ut quod munus optarem, ex me quæreret et sibi renuntiaret. Itaque dimissus dux, ubi me vidit, rogavit, quod munus ab imperatore mihi dari cuperem. Ad quæ ita respondi: « Possim equidem munus majus nunc petere, quod alius non habeat, quodque me vivo præter me nemini impertiatur. Quod honeste petiturus mihi videor, quia, antequam Trapezuntem discessi, plurimas calumnias et criminationes expertus sum ac pertuli, quia alii duo proceres in officio essent, quod habeo: id quod nolui. Itaque, ut eventum habeat oratio mea, quando tu ita jubes, cupio equidem, si imperatori, domino meo, acceptum sit, ut impertiat mihi munus magni contostauli. » Ita discessit Notaras et cuncta retulit imperatori: qui hæc ei respondit: « Illud quidem munus nemini impertio, quoniam pristinus affinis meus magnus contostaulus est, ornatus ea dignitate in Peloponneso a patre meo imperatore, cum Isthmum muniret. Verum dabo illi aliud majus munus, magni logothetæ. » Tum dux: « Quid igitur, inquit, de Palæologo Metochita fiet? » Additique, ut magni primicerii munus, quod post stratopedarchæ munus sequitur, non hoc, mihi daret. « Ipsa enim, inquit, majestas tua fratris despotæ rogatu stratopedarcham fecisti Cantacuzeni filium propter affinitatem et patrem ejus protostratorem. Phrantzæ igitur si dederis hoc officium, quod majus est dignitate stratopedarchæ, quid futurum est? Sed tamen, si placet ita majestati tuæ, magni primicerii munus illi imperti, quod magno stratopedarchæ proximum est. » Contra hæc imperator: « Jam ante tibi dixi, Phrantzen non accepturum dignitatem, quam cum alio communem habiturus sit, etiamsi sit præstabilior: quomodo igitur accipiet munus magni primicerii? verum tu iterum eum conveni, ut cognoscamus voluntatem ejus. » Itaque iterum ad me veniens magnus dux: « Imperator, ait, dixit, magni contostauli officium, quo ipsius affinis fungatur, nec tibi nec alii cuiquam se daturum, sed ornaturum te esse magni primicerii munere, quod etiam ma-

Digitized by Google

τῆς ἐμῆς θυγατρὸς γένηται· περὶ δὲ τοῦ ὀφφικίου, ὡς τὸ φέρον φέρῃ, καὶ ἀπέλθω καὶ εἰς Πελοπόννησον καὶ Κύπρον, καὶ σὺν ἐμοὶ ἄρω καὶ τὸν ἄριστόν μου υἱὸν τὸν καὶ κρείττονα σχεδὸν εἰπεῖν πάντων τῶν συνηλικιωτῶν αὐτοῦ, καὶ ἀπὸ τῆς κινητῆς μου περιουσίας τὸ πλέον μέρος, καὶ ἀπελθεῖν ἡμᾶς διὰ ξηρᾶς, ὅπως κἀκεῖνος ἴδῃ τοὺς τόπους καὶ παιδευθήσεται εἰς πᾶν τὸ χρήσιμον ἐν τῷ βίῳ· καὶ εἰ ἴδωμεν ὅτι ἀμηρᾶς καθ' ἡμῶν βούλεταί τι ποιῆσαι, ἐάσω τὸν υἱόν μου ἐν τῇ Πελοποννήσῳ μετὰ τῆς κινητῆς μου ὑπάρξεως παρὰ τοῖς μητρικοῖς **230** μου γνησίοις συγγενέσι, τοῖς κατοικοῦσιν ἐν ταῖς χώραις τοῦ μελλογάμβρου μου· εἰ δὲ οὐκ ἔσεταί τι καθ' ἡμῶν, ἐπαναστρέψῃ πάλιν σὺν ἐμοὶ ἐν τῇ πατρίδι. Ἕνεκεν λοιπὸν τῶν εἰρημένων πασῶν αἰτιῶν, δηλονότι τοῦ συνοικεσίου τῆς θυγατρός μου καὶ τῆς μάχης ὑποψίας καὶ τῶν λοιπῶν, ὡς προεἰπομεν, ἡ σύνευνός μου συνεχώρησε τὴν πάλιν ἐξέλευσίν μου. Ὡς οὖν τὸ τῆς θυγατρός μου συνοικέσιον διωρθώσαμεν, ποιήσαντες τὰ προικοσύμφωνα καὶ ἱερολογίαν τοῦ ἀββαβῶνος, καὶ χαρὰν διὰ τοὺς γάμους ποιήσαντες, πάντα τὰ ἀναγκαῖα διὰ τὴν ὁδὸν ᾠκονομήσαμεν, εἰ μὴ μόνον τὰς βασιλικὰς προστάξεις διὰ γραμμάτων προσεδόκουν λαβεῖν. Καὶ ἀπελθὼν εἰς τὸ παλάτιον εἰσελήλυθα ἔνδον τοῦ τοῦ βασιλέως κελλίου, ὡς σύνηθές μοι, καὶ οὐχ εὗρον αὐτόν. Περὶ οὗ ἠρώτησα, καὶ ἐρρέθη μοι ὅτι ἐν τῷ τρασσάρῳ δωματίῳ ἑτέρῳ πλησίον τοῦ κελλίου αὐτοῦ συνελάλει τῷ ἱερεῖ Ἀντωνίῳ τῷ Ῥοδίῳ. Κἀγὼ προσμείνας μικρὸν, ἰδοὺ ὁ βασιλεὺς ἐξερχόμενος θυμοῦ πνέων λέγει μοι· « Εἶδες τὸν μεσάζοντα τὸν Νοταρᾶν τί διὰ τοῦ ἱερέως Ἀντωνίου μηνύει μοι; » Εἶτα παραλιπὼν τὴν ὕβριν λέγει μοι πάλιν, « Σὺ ἐζήτησας τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου· ἐγὼ εἶπον τῷ Νοταρᾷ ὅτι οὔτε ἄλλῳ τινὶ δώσω διά τινας αἰτίας ὡς εἶπον· ἀλλ' ἔφην αὐτῷ ἵνα δώσω σοι τὸ ὀφφίκιον τοῦ μεγάλου λογοθέτου. Ὁ δὲ εἶπέ μοι ὅτι εἰ ὁ Παλαιολόγος **231** ὁ μέγας στρατοπεδάρχης ἀκούσῃ τοῦτο, τί γενήσεται, εἰ σοὶ εὐεργετήσω τὸ τοιοῦτον ἀξίωμα. Καὶ σήμερον ἐστείλεν ὃν εἶδες ἐξελθεῖν, τὸν ἐν σχήματι καὶ θεωρίᾳ ἐπιτήδειον, τῷ δὲ τρόπῳ καὶ νοῒ ἄγροικον καὶ ἀνωφελέστατον Ἀντώνιον ἱερέα, αἰτῶν μοι ἵνα τιμήσω τοὺς σκαιοτάτους καὶ ἀσυνέτους υἱοὺς αὐτοῦ, τὸν μὲν πρῶτον μέγαν λογοθέτην, τὸν δὲ δεύτερον μέγαν κοντόσταυλον, ἐπεὶ καὶ τοὺς ἐσθῆτας ἐκεῖνος ἄρχει, ὅπερ ἐστὶν ἡ ὑπηρεσία τοῦ αὐτοῦ ὀφφικίου. Λοιπὸν λέγω εὐεργετήσω αὐτοῖς ἄλλα ὀφφίκια μετὰ καιρὸν, οὐ τοσαύτης ἀξίας ὅμως, ἀλλ' ἐλάττονα· σὺ δὲ ἔσῃ ἀπὸ τοῦ νῦν μέγας λογοθέτης. Τοῦτο δὲ καὶ μόνον παραγγέλλω σοι, ὅτι διὰ τὰ συμβάντα τοῦ καιροῦ καὶ τὰς ποικιλώδεις γνώμας τῶν ἀρχόντων καὶ ἄλλας αἰτίας μὴ προσκυνήσεις με εἰς παράστασιν ἑορτῆς, ὡς ἔξεστι τῷ ὀφφικίῳ σου, εἰ μὴ ὁ Νοταρᾶς γράψει ἐν ταῖς πρὸς τοὺς αὐταδέλφους μου καὶ τὴν ἀνεψιάν μου τὴν ῥῆγισσαν ἐπιστολαῖς, καὶ ἁπλῶς πρὸς πάντας οὓς μέλλω γράψειν περὶ τῆς ἐκεῖσε ἀποδημίας, σὺ δὲ ἀντιγράψεις πάλιν ἐκεῖθεν πρός με καὶ πρὸς πάντας τοῦ οἴκου σου. Εἰ καὶ ἐν ταὐτῷ τῷ μέσῳ ἀκούσωσι οἱ μὴ θέλοντες, καὶ εἰ φανήσεται αὐτοῖς αὐστηρὸν ἢ πικρὸν, θέλοντες καὶ μὴ θέλοντες καταπίωσιν αὐτό. » Ἐγὼ δὲ ἀπεκρίθην τῷ

jus illo est. » Cui respondi, etiamsi majus esset id officium magni ducis officio, tamen non passurum me esse, alii id derogatum in me conferri, atque ita finem habuit colloquium. Consultante autem me cum cognatis, amicis et familiaribus de iis, quæ imperator mihi proposuerat, omnibus videbatur, ut conjugium filiæ meæ fieret, de officio autem fortunæ me committerem, atque in Peloponnesum et Cyprum proficiscerer et assumpto filio optimo ac, prope dicam, æqualibus suis omnibus præstantiore, et majore parte opum mobilium, per continentem iter facerem, ut ille quoque eas regiones cognosceret et ad omnem scientiam, quæ quid habet ad vitam commodi, institueretur, atque, si sensissemus, ameram aliquid adversus nos moliri, filium cum bonis mobilibus in Peloponneso apud maternos cognatos, in agro futuri affinis mei habitantes, relinquerem; sin nihil contra nos nisurus esset, eum mecum in patriam reducerem. Cæterum ob omnes illas causas, quos commemoravi, filiæ conjugium, suspicionem belli et reliqua, conjux mea, ut supra dixi, denuo me peregre proficisci passa est. Postquam igitur filiæ conjugium perfecimus, peracta dotis et arrhabonis sponsione, gaudio propter nuptias impleti, omnia ad faciendum iter necessaria providimus, nec jam opus erat, nisi scriptis mandatis imperatoris. Palatium igitur et cubiculum imperatoris pro consuetudine mea ingressus, ipsum non invenio. Roganti mihi responsum est, colloqui eum in conclavi cubiculo vicino cum Antonio sacerdote, Rhodio. Itaque præstolor aliquandiu, cum ecce prodiens imperator ira incensus me inclamat: « Nostine, inquit, qui a mandatis mihi est Notaras quid per Antonium sacerdotem mihi significet? » Deinde remissa superbia, addit: « Cupivisti tu officium magni contostauli: quod nec alii cuiquam daturum me esse propter causas, quas commemoravi, Notaræ edixi: tibi vero daturum me esse magni logothetæ officium. Ad quæ ille respondit: Si hac te dignitate ornassem, quid futurum esset, cum Pakæologus magnus stratopedarcha id cognovisset? Jam hodie misit ad me, quem exeuntem vidisti, habitu et specie idoneum, moribus et ingenio horridum et improbum Antonium sacerdotem, rogans, ut ineptissimos ipsius et stolidos filios, majorem magnum logothetam, minorem magnum contostaulum creem, cum ille etiam vestimentis præsit, quod proprium ejus munus est. Attamen consentio, procedente tempore daturum me iis esse alia officia, non tanti tamen ponderis, sed leviora; tu autem dehinc magnus logotheta eris. Verum hoc unum te moneo, ut propter temporis eventa et varias procerum voluntates aliasque causas in festorum die-

Digitized by Google

βασιλεῖ λέγων· « Κύριος ὁ Θεὸς μακροημερεύσοι τὸ κράτος σου. Ὅμως δεόμενος παρακαλῶ τὴν ἁγίαν σου βασιλείαν, ἐὰν μέλλῃ συμβῆναι δι' ἐμέ τι **232** σκάνδαλον δι' οὗ προξενηθήσεται λύπη τῷ κράτει σου, μὴ γένοιτο εἰς τὸν αἰῶνα, ἀλλὰ μᾶλλον καὶ τὸ δέρμα μου ἀφαίρεσον, εἰ εἰς εἰρήνην καὶ εὐφροσύνην τῇ βασιλείᾳ σου εἴη. » Ὁ δὲ εἶπέ μοι· « Ὡς πιστὸς θεράπων εἴρηκας. Ὅμως μὴ φρόντιζε περὶ τούτου οὐδέν· λυποῦμαι γὰρ πῶς μὴ περισκεπτόμενοι τὰς πρός με τοσαύτας παρὰ σοῦ θεραπείας καὶ φιλίας, βούλονται κατὰ σύγκρισιν τῶν σῶν ταῖς ἑαυτῶν ὑπολήψεσιν ἀποπηδᾷν τοὺς προσήκοντας βαθμοὺς τῶν ὀφφικίων. Πλὴν προσκάλεσον ἐνταῦθα τὸν τὰ ταύτης τῆς ὑπηρεσίας ἐμπιστευθέντα νοτάριον. » Καὶ ἐλθὼν ὁ νοτάριος, προστάξας ὁ βασιλεὺς εἶπεν αὐτῷ· « Προείπομέν σοι πρὸς τίνα καὶ τίνα ἔδει σε γράφειν τὰς τῆς πίστεως ἐπιστολάς, οἷς γράψον ὅτι μέλλουσι μαθεῖν τὸ πᾶν ὑπὸ τοῦ μεγάλου λογοθέτου Γεωργίου τοῦ Φραντζῆ· καὶ εἰ μὲν ζήσωμεν καὶ πρόσω, γράψεις αὐτὸν καὶ συγγενῆ ἡμῶν εἶναι. Καὶ ἐάν τινι οὐκ ἀρέσῃ, ἄκοντες ὑπομείνωσι, καὶ ἀντὶ νέκταρος ἢ μυρεψικοῦ ποτοῦ τὴν χολὴν καταπιέτωσαν. Εἰ μὴ καὶ σὺ, νοτάριε, ἔχε τοῦτο ὡς ἀπόκρυφον μέχρι ἡμερῶν τινῶν. » Καὶ συγκατασκευάσας τὰ πράγματα ἔλαβα αὐτὰ, καὶ προσεδόκουν σήμερον ἢ αὔριον προσκυνῆσαι τῷ βασιλεῖ ἤγουν λαβεῖν ἄδειαν ἵνα ἀπέλθω. Ἰδοὺ ἐξῆλθε τῆς Ἀνδριανουπόλεως ὁ ἀμηρᾶς βαδίζων καθ' ἡμῶν.

A Καὶ προσμείναντες ὀλίγον ἵνα ἴδωμεν, μή ποτε κατὰ τὴν ὁδὸν συναντήσῃ ἡμῖν τι ἀπευκταῖον.

233 γ'. Ἰδὼν καὶ ἀκούων ὁ ἀμηρᾶς Μεεμέτης τὰς τοῦ πατρὸς αὐτοῦ νίκας; καὶ πολέμους περιφανεῖς; καὶ τῶν ἑτέρων αὐτοῦ τρισκαταράτων προγόνων, ἐν ἑαυτῷ ἐφαντάζετο τί ἄρα καὶ αὐτὸς ποιήσῃ ἄξιον μνήμης. Ταῦτα οὖν κατὰ νοῦν λογιζόμενος βουλῇ κακῇ καθ' ἡμῶν χρησάμενος ἦν, ἵνα πόλεμον ἐγείρῃ κατὰ τῆς πόλεως· ἔλεγε γὰρ ἐν ἑαυτῷ· « Ἐὰν τὴν πόλιν νικήσω, ὑπὲρ πάντας τοὺς πρὸ ἐμοῦ ἤδη ἐποίησα, διότι αὐτοὶ μὲν κατὰ τῆσδε τῆς πόλεως πολλάκις πειρασθέντες οὐδὲν ἐκατόρθωσαν. » Διὰ ταύτην οὖν τὴν ὑποκεκρυμμένην ἔννοιαν καλὸν ἐφάνη αὐτῷ ἵνα κατὰ τὸ τῶν Ἀσωμάτων στενὸν ἄστυ κτίσῃ, ὡς προείρηται, ἵνα καταφυγὴν ἔχῃ αὐτὸ B περὶ ὧν ἐμελέτα ποιῆσαι, ὅπως οὐδὲν τῶν πλοιαρίων μικρὸν ἢ μέγα δυνηθείη κατελθεῖν ἐκ τοῦ Εὐξείνου πόντου κατὰ τὴν πόλιν, καὶ ἵνα ῥᾴδιον ἔχωσι τὸ πέραμα ἐκ τῆς Ἀσίας εἰς Εὐρώπην. Θέλων δὲ καὶ βιαζόμενος ἵνα τὰ μελετούμενα ὑπ' αὐτοῦ ἀρχὴν λάβωσιν, ἰδοὺ τῇ κς' Μαρτίου τοῦ ἑξακισχιλιοστοῦ ἐνακοσιοστοῦ ἑξηκοστοῦ ἔτους ἐλθὼν ἔπεσεν εἰς τὸ στενὸν, ἵνα οἰκοδομήσῃ τὸ ἄστυ. Ἰδὼν οὖν ὁ βασιλεὺς τὰς πανουργίας αὐτοῦ ἐβουλήθη ἀποκαλύψαι αὐτὸς πρῶτον τὴν μάχην, ὅπως αὐτὸν ἐμποδίσῃ. Τινὲς δὲ τῶν τῆς συγκλήτου ἱερωμένων τε καὶ λαϊκῶν ἐκώλυσαν τὴν γνώμην καὶ βουλὴν τοῦ βασιλέως, **234** λέγοντες μὴ ἀποκαλυφθήτω ἡ μάχη τῆς βα-

rum solemnitatibus ne me pro more officii tui adores. Quanquam notarius rei mentionem faciet in litteris ad fratres meos et cognatam meam reginam, denique ad omnes, ad quos de itinere tuo scripturus sum, ac tu illinc vicissim ad me et quemcunque domus tuæ scribens, titulum hunc usurpabis. Quodsi interea rem cognoverint, qui invident tibi, quamvis iis durum acerbumque videatur, volentes nolentes eam devoranto. » Respondi ita imperatori: « Deus Dominus producat imperium tuum. Sed tamen suppliciter rogo sanctam majestatem tuam, si mea causa ulla futura sit offensio, unde quid detrimenti capiat imperium tuum, unquam ne fiat, quod meditaris, imo potius pellem mihi detrahas, si ad majestatis tuæ tranquillitatem et pacem conducat. » Tum imperator: « Ut minister, ait, fidelis locutus es. Sed ne tibi ista res curæ sit ullo modo. Doleo enim, quod nihil circumspicientes tanta tua erga me officia et obsequia et tuorum meritorum comparationem affectantes animis gradus officiorum convenientes transsilire conantur. Verum arcesse huc jam munere hoc fungentem notarium. » Venientem notarium imperator ita allocutus est: « Ante tibi significavimus, quæ et ad quos publicæ fidei epistolis tibi scribenda sint: his adde, eos totam rem cognituros esse e Georgio Phratze magno logotheta; ac si vita suppeditaverit, scribes etiam, eumdem nobis affinem esse. Hoc cui displicuerit, ringatur licet, et pro nectare aut potu aromatico bilem concoquat.

C At tu quoque, notarie, hoc dies aliquot silentio tege. » Rebus deinde adornatis, instructus iis sum atque exspectabam, eo ipso die aut postridie me adoraturum imperatorem et abeundi potestatem accepturum esse, cum subito Adrianopoli egressus ameras adversus nos proficiscitur. Itaque præstolati sumus aliquandiu, ne forte in itinere contingeret nobis quid infaustum.

3. Mehemetes ameras cum patris majorumque exsecratissimorum præclaras victorias et res gestas videret audiretque, reputabat secum, quid ipse faceret dignum memoria. Hæc cogitans apud animum suum, malo consilio statuit, ut bellum adversus urbem pararet. Sic enim secum ratiocinabatur: « Si urbem vicero, priores omnes præcelluero, quoniam D illi eam urbem sæpe aggressi frustra laborarunt. » Ex hac occulta cogitatione igitur visum ei est, juxta Asomatorum angustias castrum condere, ut supra monuimus, quo refugium haberet, dum faceret quæ meditabatur, neve ullum sive parvum sive magnum navigium e Ponto Euxino in urbem posset pervenire, utque faciliorem haberent ex Asia in Europam transitum. Festinans igitur et instans, ut meditatis a se eventum daret, ecce die 26 Martii anni 6960 subito invasit angustias, castrum exstructurus. Animadvertens astutiam ejus imperator, ipse primum bellum commovere ad eum impediendum statuit. At quidam senatorii ordinis tum sacerdotes tum laici adversabantur sententiæ et consilio ejus. « Ne commoveatur, aiebant, a majestate tua bellum, donec cogno-

Digitized by Google

σιλείας σου, ἕως ἂν ἴδωμεν τί βούλεται αὐτὸς πρᾶ- A
ξαι. Εἰ καὶ τὸ ἄστυ κτίσῃ, ἐν εὐκολίᾳ παραλαμβάνο-
μεν αὐτὸ διὰ τὸ ἐγγύτερον εἶναι ἡμῖν. » Ὃ καὶ ἐν
ὑστέροις εἶδον τέλειον, καὶ ἀληθῶς ἔγνωσαν ὅτι
ἐλπίδες κεναὶ τρέφουσι τοὺς ἀνοήτους. Ἐγὼ δὲ ἑνα-
πέμεινα τῆς πορείας· ἡ ἡτοιμάσθη, «Σήμερον λέγον-
τες ἴδωμεν καὶ αὔριον· καὶ ὅτι διὰ ξηρᾶς οὐχ ἁρ-
μόζει, ἐπεὶ ἐπικίνδυνόν ἐστι τὸ πρᾶγμα, ἀλλ' εὑρή-
σωμεν πλεύσιμον. »

Ἐν Ἰουνίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἰδοὺ ἐδημοσιεύθη
ἡ μάχη· καὶ καθ' ἡμῶν τοῦ στρατοπέδου δραμόν-
τος, ἠχμαλώτευσε πάντας τοὺς ἔξωθεν τῆς πόλεως
οἰκοῦντας. Ἐν ᾧ καιρῷ ἐτελείωσε καὶ τὸ ἄστυ, καὶ
ἐν αὐτῷ ᾠκοδόμησε πύργους τρεῖς ἰσχυροὺς, τοὺς
δύο μὲν χερσαίους, τὸν δὲ ἕτερον κατὰ θάλασσαν, B
ὃς καὶ ὀλίγον τι μείζων τῶν δύο ὑπῆρχε. Τὸ δὲ τει-
χῶν εὖρος ἦν εἴκοσι καὶ πέντε ποδῶν, τὸ δὲ ἔσωθεν
αὐτῶν εὐρύχωρον ὑπῆρχε τριάκοντα καὶ δύο ποδῶν.
Εἶτα ἐν μολύβδῳ σκεπάσας τοὺς πύργους, καὶ πᾶν
τὸ ἄστυ καλῶς ἀσφαλίσας, καὶ ἐν αὐτῷ φρουροὺς
κατέστησε. Καὶ ἐν τῇ εἰκοστῇ ὁγδόῃ τοῦ Αὐγούστου
ἐγερθεὶς ἐκεῖθεν ἔπεσεν ἐπὶ τὰς σούδας τῆς πόλεως,
καὶ τῇ πρώτῃ τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ,ςϡξα'
ἔτους διέβη εἰς τὴν Ἀνδριανούπολιν, ὡς φαίνεται,
ἵνα ταῖς δύο αὐταῖς ἡμέραις ἴδῃ τὰ τείχη τῆς πό-
λεως καὶ **235** τάφρους, καὶ εἴ τι ἕτερον αὐτὸς
ἐλογίζετο. Καὶ τῷ αὐτῷ φθινοπώρῳ Ὀκτωβρίου
πρώτῃ στείλας τὸν Τουραχάνη καὶ τοὺς δύο υἱοὺς
αὐτοῦ Ἀχουμάτιν καὶ Ἀμάριν μετὰ πλείστου στρα-
τοῦ ἐν τῇ Πελοποννήσῳ, ἵνα μαχόμενοι κατὰ τῶν
δεσποτῶν τῶν τοῦ βασιλέως ἀδελφῶν κωλύσωσι τοὺς
τοιούτους ἐμποδίζοντες διὰ τοῦ πολέμου, ἵνα μὴ
δυνάμενοι ἐᾶσαι τὸν τόπον ἔλθωσι πρὸς συμμαχίαν

τῷ βασιλεῖ· καὶ οὕτως ἐπροσέταξεν ὁ ἀμηρᾶς ἵνα
δι' ὅλου τοῦ χειμῶνος ἐμποδίζοντες αὐτοὺς, καὶ μὴ
εὕρωσιν εὐκαιρίαν τοῦ ἐλθεῖν βοηθῆσαι τῇ πόλει
ἅμα τῷ βασιλεῖ τῷ καὶ ἀδελφῷ αὐτῶν. Ἐλθόντος
οὖν τοῦ Τουραχάνη καὶ τὰ τείχη τοῦ Ἰσθμοῦ αὖθις
ἁλώσαντος, καὶ ἀμφοτέρων τῶν μερῶν πλεῖστοι
ἀπεκτάνθησαν, λέγω Χριστιανῶν καὶ ἀπίστων, μά-
λιστα ἐκ τῶν Χριστιανῶν, οἳ καὶ εἰς φυγὴν ἐτρά-
πησαν. Αὐτὸς δὲ καταλιπὼν τὴν Κόρινθον καὶ διὰ
μέσου τῆς νήσου ἐρχόμενος αἰχμαλωτεύων, ἄλλους
σκυλεύων καὶ ἀνδραποδίζων, οὓς εὗρε, ἐφθασεν ἄχρι
τῆς Ἀρκαδίας ἐπαρχίας καὶ τοῦ Μεσσηνιακοῦ κόλ-
που, καὶ τὴν ὁδὸν βαδίζων τῆς Ἰθώμης, καὶ πάντα
τὸν Μεσσηνιακὸν κόλπον ληϊσάμενος ἄχρι τῆς Μαν-
τινείας. Ἰδὼν δὲ τὸ τοῦ τόπου στενὸν καὶ δύσχωρον,
δι' οὗ στρατὸς οὐκ ἐδύνατο ὁδεύειν ὁμοῦ πάντες,
τῷ υἱῷ αὐτοῦ Ἀχουμάτῃ μέρος οὐκ ἀγενοῦς **236**
στρατοῦ δώσας καὶ τὴν ὁδὸν ἐρχομένην ἐν τῷ Λεον-
τάρῃ παρήγγειλεν ὁδεύειν· ὁ δὲ δι' ἄλλης ὁδοῦ
ᾤχετο. Μαθόντες δὲ τοῦτο οἱ δεσπόται καὶ ἀδελφοὶ
στείλαντες τὸν Ματθαῖον Ἀσάνην μετὰ στρατοῦ λα-
θραίως, καὶ ἐλθὼν ἐν τῷ τόπῳ οὗ ἔμελλον περάσαι,
καὶ αἰφνιδίως εἰς αὐτοὺς συῤῥάξαντες πολλοὺς
ἀπέκτειναν καὶ ἠχμαλώτισαν, ἐν οἷς εἷς ἦν τῶν
αἰχμαλώτων καὶ ὁ Ἀχουμάτης ὁ Τουραχάνη υἱός·
ὃν ἀπέστειλαν εἰς Σπάρτην πρὸς τὸν δεσπότην κὺρ
Δημήτριον. Καὶ τῇ ιζ' τοῦ Ἰανουαρίου μηνὸς τοῦ
αὐτοῦ ἔτους ἐγεννήθη καὶ ὁ τῶν Παλαιολόγων γένους
καὶ τῆς βασιλείας διάδοχος καὶ τοῦ τῶν Ῥωμαίων
μικροῦ τούτου σπινθῆρος κληρονόμος, ὁ κύριος Ἀν- C
δρέας ὁ Παλαιολόγος, ὁ υἱὸς τοῦ δεσπότου κὺρ
Θωμᾶ τοῦ πορφυρογεννήτου.

verimus, quid ille velit. Etiamsi enim castrum condiderit, tamen facili opera id expugnabimus, quoniam propius nobis est. » Quod postea compererunt planissime, et revera cognoverunt, spe vana pasci amentes. Ego autem perseverabam in itineris jam parati consilio. Scilicet, « Hodie, aiebant, aut cras videbimus; nec per terram iter facere licet, quoniam periculosa res est, sed navigandi occasionem inveniemus. »

Mense Junio ejus anni bellum commissum est, atque invadente nos exercitu hostili, pro captivis abrepti sunt cuncti suburbani. Quo eodem tempore castrum perfectum est, exstructæque in eo tres D
turres firmæ, duæ continentem versus; tertia, illis paulo altior, ad mare. Murorum latitudo erat viginti quinque pedum, interius spatium duorum et triginta. Easdem plumbo texit et totum castrum bene munivit et præsidio firmavit. Deinde vicesimo octavo die Augusti inde egressus, in vallos urbis impressionem fecit, ac primo Septembris anni 6961 Adrianopolim concessit, duobus illis diebus urbis, ut videtur, mœnia et fossas, et si quid aliud volebat, speculatus. Eodem autumno, Octobris die primo, Turachanem et duos filios ejus, Achumatem et Amarim, cum exercitu ingenti in Peloponnesum misit, ut despotas, fratres imperatoris bello adorti prohiberent, ne, relictis illis locis, imperatori auxilio venirent, mandavitque iis ameras, ut per totam hiemem eos impedirent, ne invenirent occasionem ferendæ urbi opis una cum imperatore fratre. Turachanes igitur ut advenit, Isthmi propugnacula cepit, ceciderunteque ex utraque parte, Christianorum et infidelium, permulti, sed illorum plures, qui iidem fugæ se mandarunt. Ipse deinde, relicta Corintho, per mediam insulam procedit, capiens, spolians, in servitutem redigens quoscunque obvios, pervenitque ad provinciam Arcadiæ et sinum Messeniacum, et via Ithomensi progrediens totum sinum Messeniacum Mantineam usque depopulatur. Perspectis autem regionis angustiis et natura invia, per quam totus simul exercitus transire non posset, militum strenuorum parte Achumati filio commissa, via eum quæ trans Leontarim fert, procedere jussit. At aliam is viam ingressus est. Quo comperto, despotæ fratres Matthæum Asanem clam cum exercitu mittunt; qui ubi pervenerunt in locum, quem illi transire vellent, subito in eos incursione facta, non paucos partim occidunt, partim capiunt, in his ipsum Turachanis filium Achumatem, quem Spartam ad Demetrium despotam mittunt. Decimo septimo die Januarii anni ejusdem natus est Palæologorum et imperii parvæque hujus scintillæ Romanorum hæres, Andreas Palæologus, Thomæ porphyrogeniti despotæ filius.

Digitized by Google

Καὶ ταῦτα μὲν δὴ οὕτως εἶχον τὰ τῆς Πελοποννήσου. Ὡς δὲ τὸ ἔαρ ἐπέλαμψεν, ὁ ἀμηρᾶς, ὃν εἶχε κατεσκευασμένον στόλον οἰκονομήσας τὰς ἑλεβόλεις κατ' ἐλεβολίσκους καὶ ἑτέρας μηχανάς, ἃς εἶχε προητοιμασμένας, εἴτε ἔμπροσθεν στείλας τὸν Χαρατὴ μπασιᾶν μετὰ φουσάτου, καὶ ἐλθὼν ἀπέκλεισε τὴν πόλιν. Καὶ πρὸ τοῦ ἐλθεῖν τὸν ἀμηρᾶν, τοὺς ἔξωθεν πύργους τῆς πόλεως τοὺς ἐν ἀγροῖς καὶ κώμαις, ἐν οἷς ἦσάν τινες ἄνθρωποι συναχθέντες διὰ τὸ αἰφνίδιον τοῦ στρατοῦ, ἐξεπολιόρκησε καὶ ἐπῆρεν. Ἐξ αὐτῶν μέρος μὲν **237** ἐδουλώσαντο, καὶ μέρος ἐκ τοῦ λοιμοῦ καὶ τῆς ἄλλης κακοπαθείας ἐπῆρε, καὶ οὐκ ὀλίγους Χριστιανοὺς ἠχμαλώτισε. Τὰ δὲ τοῦ πολέμου ἀναγκαῖα καὶ ἐπιτήδεια καὶ μηχαναὶ ἀναμέσον ἤρχοντο πολλά· ἔφερον γὰρ ἑλεβόλεις πολλάς. Ἐξ αὐτῶν δέ τινες τοσοῦτον ὑπῆρχον εἰς μέγεθος, ὡς οὐκ ἐδύναντο τεσσαράκοντα ζεύγη βοῶν σύρειν ἑκάστην αὐτῶν ἢ καὶ πεντήκοντα ζεύγη καὶ πλέον ἢ δύο χιλιάδες ἄνθρωποι. Καὶ τῇ β' τοῦ Ἀπριλλίου ἔφθασε καὶ ὁ ἀμηρᾶς μετὰ πλῆθος ἀναρίθμητον στρατοῦ ἱππικοῦ τε καὶ πεζοῦ. Ἐλθὼν τὴν σκηνὴν αὐτοῦ πήγνυσιν ἐξ ἐναντίας τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ, καὶ ὁ στρατὸς ὡσεὶ ἄμμος θαλάσσης κατὰ τὸ Ἑξαμίλιον τῆς χέρσου ἐκ τῆς μιᾶς θαλάσσης καὶ ἐκ τῆς ἑτέρας. Καὶ ὁ τῆς Ἀνατολῆς στρατὸς ἐπήξατο τὰς σκηνὰς αὐτῶν ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ ἀμηρᾶ καὶ ἕως τῶν ἀκτῶν τῆς θαλάσσης πύλης τῆς Χρυσῆς, ὁ δὲ τῆς Εὐρώπης ἐν τῇ ἀριστερᾷ καὶ ἕως τῆς πύλης τῆς Ξυλίνης τῶν ἀκτῶν τοῦ Κερατίου κόλπου. Καὶ ὁ ἀμηρᾶς περιεχυκλοῦτο ὀρυκτοῖς χαρακώμασι καὶ ξυλίνοις περισταυρώμασι, καὶ ἔξωθεν τοῦ χαρακώματος περίσταντο οἱ Ἰανιτζάροι σὺν τοῖς ἄλλοις εὐγενέσι τοῦ παλατίου αὐτοῦ. Ὁ δὲ μπασιᾶς ὁ τοῦ ἀμηρᾶ συγγενὴς ἐλθὼν ἐσκήνωσεν ἅμα τῷ ἐμπιστευθέντι αὐτῷ στρατῷ ἄνωθεν τοῦ Γαλατᾶ. Καὶ τῇ αὐτῇ ἡμέρᾳ ἔφθασεν καὶ μέρος τοῦ στόλου αὐτοῦ, καὶ ἐπλησίασεν **238** ἐν ταῖς ἀκταῖς τῆς θαλάσσης τῆς πόλεως. Ἦσαν δὲ τριήρεις ὡσεὶ τριάκοντα καὶ δρόμωνες, νῆες δὲ καὶ πλοιάρια καὶ μονήρεις τριάκοντα καὶ ἑκατόν. Καὶ οὕτως παρίπεται τῇ πόλει πολιορκῶν αὐτὴν πᾶσι τρόποις καὶ μηχαναῖς, διὰ ξηρᾶς καὶ θαλάσσης περικυκλώσας τὰ δέκα ὀκτὼ μίλια τῆς πόλεως. Καὶ ὁ βασιλεὺς προσέταξε τὴν σειρὰν τὴν σιδηρᾶν τὴν βαρυτάτην ἐν τῷ στόματι τοῦ λιμένος βαλεῖν, ἵνα τοῦ στόλου, λέγω τῶν πολεμίων πλοίων, κωλύσῃ τὴν ἔφοδον· ἔσωθεν δὲ τῆς ἁλύσου τὰς παρατυχούσας νῆας ἐνέβαλλον, ὅπως ἰσχυροτέρως κωλύσωσι τὴν εἴσοδον καὶ κατὰ τῶν ἐχθρῶν ἀντιμάχωνται. Ἦσαν δὲ νῆες τοιαῦται, ἐκ μὲν Λιγουρίας τρεῖς, ἐκ δὲ Ἰβηρίας ἤτοι Καστελίας μία, ἐκ τοῦ Γάλλου τῆς Προβέντζιας . . ., ἐκ δὲ τῆς Κρήτης τρεῖς, ἐκ τῆς πόλεως λεγομένης Χάνδαξ ἡ μία καὶ αἱ δύο ἐκ Κυδωνίας, πᾶσαι εἰς παράταξιν πολεμικὴν καλῶς ἡτοιμασμέναι. Ἔτυχον δὲ καὶ ἐκ τῶν Ἐνετῶν τριήρεις ἐμπορικαὶ μεγάλαι τρεῖς, ἃς οἱ Ἰταλοὶ εἰώθασι γρόσσας γαλέρας καλεῖν ἢ μᾶλλον εἰπεῖν γαλεάτζας, καὶ ἕτεραι τριήρεις ταχεῖαι πρὸς φύλαξιν καὶ ὑπηρεσίαν τῶν ἐμπορικῶν τεταγμέναι. Καὶ προσέταξεν ὁ βασιλεὺς ἵνα καὶ αὗται ἐναπομείνωσιν εἰς συνδρομὴν τῆς πόλεως. Καὶ οὕτω τὰ τοῦ λιμένος ὠκονόμητο, ἐκ δὲ τῆς χέρσου ἔστησαν οἱ ἐναντίοι **239**

Ac res Peloponnesiacæ quidem tales fuerunt. Vere autem ingruente, ameras cum classe, quam instructam habebat, postquam expedivit helepoles et heleboliscos aliasque, quas paraverat, machinas, Charatehpasiane cum exercitu præmisso, advenit urbemque obsidione pressit : ante tamen turres extra urbem in agris vicisque sitas, in quas nonnulli propter repentinam hostium irruptionem se receperant, expugnatas evertit. Horum partem in servitutem redigit, partem peste et aliis incommodis confecit, ac non pauci Christiani captivi facti sunt. Res ad bellum necessariæ et utiles cum machinis interim magno numero advehebantur : in his helepoles permultæ, quarum nonnullæ tantæ erant magnitudinis, ut singulæ a quadraginta vel quinquaginta jugis boum atque hominum plus duobus millibus trahi non possent. Secundo Aprilis ipse ameras affuit cum copiis equestribus et pedestribus innumeris, et tentorium ex adverso portæ sancti Romani fixit, atque exercitus ut arena maris ad Hexamilium per terram ab uno mari ad alterum pertinuit, atque orientalis quidem pars a dextra ameræ usque ad portam, quæ est in littore, auream castrametata est, Europæa a sinistra usque ad ligneam portam in sinus Ceratini littore sitam. Erat ameras vallo et fossa palisque cinctus, et extra vallum stabant jannitzari cum reliquis palatii proceribus. Pasias autem, cognatus ameræ cum exercitu sibi commisso supra Galatam castra posuit. Eodem die pars classis advenit et prope urbem ad littus maris appulit. Erant triremes et dromones circiter triginta, naves minores autem et uniremes centum et trigiuta. Ita ad urbem accedit obsidetque eam omni modo omnisque generis machinis, terra marique per octodecim milliarium ambitum inclusam. Imperator ponderosissimam catenam ferream ori portus prætendi jussit, qua accessus navium hostilium arceretur ; intra eam naves, quæ forte aderant, collocabantur ad validius defendendum aditum et impetus hostium propulsandos. Erant naves hæ : e Liguria tres, ex Iberia sive Castilia una, e Provincia Galli. . ., e Creta tres, ex urbe, cui Chandax nomen, una, Cydoniatarum duæ, omnes ad pugnam probe instructæ. Aderant præterea Venetorum magnæ triremes mercatoriæ tres, quas Itali magnas galeras, sive potius galeatzas appellare solent, et aliæ triremes veloces ad custodiam et tutelam mercium constitutæ : quas et ipsas imperator ad succurrendum urbi manere jussit. Hoc modo igitur portui provisum est. In terra hostes magnam illam helepolim, cujus os patebat spithamas duodecim, et alias complures spectatu dignas collocarunt ; ac fossa militari alta ducta palisque superne munita, jaculabantur, et mœnia urbis locis quatuordecim graviter

Digitized by Google

4. Gabrieli Tribizano, Venetarum triremium præfecto, et aliis quinquaginta viris ad custodiam assignata est turris in medio fluctu, e regione portæ regiæ, sita, quæ aditum portus tuetur. Is creditam sibi partem ut pastor, non ut mercenarius, diligenter servabat. Antonius, mercatoriarum navium præfectus, triremium suarum et navium, quæ intra catenam constitutæ erant, tutelam accepit : quæ naves quoniam ad conflictum bene instructæ erant, ii, qui intus erant, tubarum, tympanorum, clamorum strepitu frequenti Turcarum naves et triremes ad certamen provocabant, et jaculis quotidie dimicantes, justa tamen pugna non concurrebant.

Digitized by Google

καὶ ἄριστοι ἄνδρες τῆς πόλεως ἐν τόποις ἀναγκαίοις διεμερίσθησαν φύλαττειν, καὶ πᾶν τὸ δυνάμενον οὐ διέλιπον ποιεῖν. Τοὺς δὲ μοναχοὺς καὶ ἱερεῖς καὶ κληρικοὺς καὶ τοῦ λοιποῦ καταλόγου τῆς ἐκκλησίας ἄνδρας διέταξαν ἵνα διαμερισθῶσιν ἔνθεν κἀκεῖθεν ἐν τῷ περιβόλῳ τῆς πόλεως, ἵνα καὶ αὐτοὶ τοῦ Θεοῦ δεόμενοι καὶ ἡμεροσκόπους καὶ νυκτοσκόπους ποιῶσι, καὶ δεήσεσι ἐξιλεοῦσθαι τὸ Θεῖον ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως. Τὸν δὲ Δημήτριον τὸν Καντακουζηνὸν καὶ τὸν γαμβρὸν αὐτοῦ Παλαιολόγον Νικηφόρον μετὰ καὶ ἑτέρων τινῶν κατέταξαν ἐν τῷ σεπτῷ ἀποστολείῳ καὶ ἐν ἑτέροις τόποις περιπατεῖν μετὰ ἑπτακοσίων ἀνδρῶν, ἵνα εἰς οἷον δὴ τόπον ἀνάγκη ὑπάρχῃ βοηθήσωσιν. Ὁ δὲ βασιλεὺς **256** ἅμα τῷ Φραγκίσκῳ τῷ Τολέδῳ τῷ συγγενεῖ αὐτοῦ, ὃς κατάγεται, λέγουσιν, ἐκ τοῦ αἵματος τοῦ περιφανοῦς βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ μεθ' ἡμῶν ἐφιππος δι' ὅλης τῆς ἡμέρας καὶ νυκτὸς περιπατῶν ἦν γύρωθεν ἔνδον τῆς πόλεως καὶ τῶν τειχῶν· καὶ τὰ εἰς ἀνάγκην τοῦ πολέμου ἡτοιμάζομεν.

Ἐπειδὴ δὲ καὶ χρημάτων ἐσπάνιζον τὰ βασίλεια διὰ τὸν μισθὸν τῶν στρατιωτῶν, προσέταξεν ὁ βασιλεὺς λαβεῖν τὰ τῶν ἐκκλησιῶν σκεύη ἅγια καὶ ἀφιερωμένα τῷ Θεῷ, καὶ χρήματα ἐποίησαν. Καὶ μή τις ἐγκαλέσῃ ἡμᾶς ὡς ἱεροσύλους· ἔνεκεν τῆς τοῦ καιροῦ ἀνάγκης ἐγίνετο, ὡς καὶ ὁ Δαβὶδ πεπονθώς, πεινάσας, τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, ἃ οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι μόνοις. Ἔλεγε γὰρ ὁ μακαρίτης ὁ βασιλεύς· « Ἂν ὁ Θεὸς τὴν πόλιν λυτρώσηται, τετραπλοῦν ἀποδώσω τῷ Κυρίῳ μου. »

Καὶ αὖθις ἑτέρας βουλῆς γενομένης, ἵνα τὰς ἐν τῷ λιμένι φερομένας τριήρεις καὶ γέφυραν ἐμπρήσωσι μηχανῇ τινι, διότι μεγάλην ταραχὴν καὶ κίνδυνον αἱ νῆες αὗται τῇ πόλει ἐνεδίδοσαν, καὶ μηχανήν τινα εὗρον, καὶ τὴν βουλὴν ἐξεφώνησαν **257** τῷ βασιλεῖ. Ἰάκωβος Κόκος ὁ Ἐνετὸς, ἀνὴρ ὀξύτερος τοῦ ποιεῖν ἢ λέγειν, ὡς ἐνεμπιστεύθη τοῦ πέρας δῶσαι τῆς ὑποθέσεως, ἤρξατο τοῦ ἔργου πάνυ ἐπιτηδείως καὶ καλῶς τρόπῳ τοιῷδε. Ἀκάτια τρία κάνυ ταχέα καὶ γοργὰ οἰκονομήσας, καὶ τεσσαράκοντα νέους θαρσαλέους καὶ μεγαλοψύχους καὶ ἀνδρείους ἐν αὐτοῖς ἔβαλε, Γραικούς τε καὶ Ἰταλούς, καὶ καλῶς παραγγείλας αὐτοῖς τὰ πάντα καὶ τὰς κατασκευασθείσας μετὰ τοῦ ὑγροῦ πυρὸς τέχνας δῶσαι, ἵνα ἔλθωσιν νυκτὸς καὶ περάσωσι πρὸς τὸν Γαλατᾶν καὶ πλησίον τῆς πέρας ἐκείνης γῆς ἔλθωσιν ἕως τῶν τριήρεων καὶ τὰ ὁρισθέντα πράξωσιν. Καὶ ἐγεγόνει ἄν, εἰ μὴ καὶ εἰς τὸ αὐτὸ ἡ κακὴ τύχη ἡμῶν ἐμπόδιζε. Ἐλθόντες δὲ πάνυ ἐπιτηδείως καὶ τὴν γέφυραν περιπατήσαντες καὶ περάσαντες καὶ δύο νέους ἀφέντες ἐκεῖ μετὰ κατασκευῆς, ἵνα ὅταν οἱ ἕτεροι τὰς τριήρεις ἐγγίσωσι καὶ σημεῖόν τι δῶσι, τότε ἐν μιᾷ ὥρᾳ θεαφίῳ τὸ ὑγρὸν πῦρ ἀνάψωσι, φθάσαντες δὲ καὶ ἕως τῶν τριήρεων ἐγγύς, ὁ Θεὸς ἢ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐκώλυσε τὸ ἔργον, ἢ ἐξ ἀπροσεξίας τινὸς τῶν νέων ἐκείνων οἰκέτης τις τὸ μυστήριον τοῖς ἐναντίοις ἐμήνυσε· καὶ φυλακὰς ἀγρύπνους καὶ νυκτοσκόπους ἔχοντες, ὡς εἶδον αὐτούς, μετὰ σκευῶν καὶ πετρῶν καὶ μετὰ ἑτέρων ἀκατίων τὸ ἓν ἀκάτιον ἐβύθισαν καὶ μερικοὺς τῶν ἀνθρώπων ἐζώγρησαν· καὶ οὕτως οὐδὲν ἕτερον **258** οἱ ἡμέτεροι

Reliqui generosi et strenui cives in locis iniquis ad custodiam dispertiti sunt, nec cessabant operam, quam possent, præstare. Monachi autem et sacerdotes et clerici et reliqui ordinis ecclesiastici homines per totam urbem passim distributi sunt, ut Deo supplicarent et die noctuque specularentur et precibus Numen pro salute urbis placarent. Demetrium Cantacuzenum et Nicephorum Palæologum, generum ejus, cum aliis quibusdam ad venerandum apostolorum templum et alia loca obeunda cum viris septingentis constituit, ut ubi res flagitaret, eo cum auxilio advolarent. Ipse imperator nobiscum etcum Francisco Toledo, cognato suo, qui ex illustri imperatore Alexio Comneno genus ducere fertur, tota die et nocte intra urbem et mœnia obequitabat, prospiciebatque rebus ad bellum necessariis.

Cum autem pecunia palatium deficeret propter stipendia militum, imperator sanctam et Deo consecratam ecclesiarum supellectilem usurpari et in numismata redigi jussit. Ne vero quisquam ut sacrilegos nos increpato. Coacti enim necessitate fecimus, haud secus ac David, qui esuriens panes propositionis comedit, quos nisi sacerdotibus nemini licebat edere. Ac dicebat beatæ memoriæ imperator : « Si Deus urbem liberaverit, quadruplum Domino restituam. »

Rursus alia inita consultatione, ut in portu collocatas triremes et pontem machinatione aliqua comburerent, quippe quibus in magnum discrimen et periculum urbs adduceretur, ratio aliqua inventa et cum imperatore communicata est. Jacobus Cocus, Venetus, vir ad agendum quam ad dicendum promptior, cui commissum est, ut perficeret consilium, opus admodum alacriter et apte ita aggressus est. Acatia tria apprime velocia et agilia paravit : iis quadraginta juvenes generosos et strenuos, tum Græcos tum Italos, quibus omnia diligenter præcepit deditque machinas igne Græco instructas, imposuit, ut nocte Galatam trajecti, prope littus ad triremes accederent facerentque, quæ constituta erant. Ac bene cessisset inceptum, nisi sinistra fortuna nostra fuisset impeditum. Nam cum prospere pontem circumissent trajecissentque, relictis ibi duobus juvenibus cum apparatu, ut, cum reliqui ad triremes pervenissent ac dedissent signum, eodem utrique tempore sulphure accenderent ignem Græcum, illi prope triremes jam advenerant, cum Deus rem impedivit, sive peccata nostra ita meruerant, sive imprudentia juvenum servus aliquis consilium hostibus prodiderat ; itaque cum illos animadvertissent, telis, saxis et acatiis unum e nostris navigiis submerserunt, ipsos homines ceperunt : nec nostri quid-

Digitized by Google

ἐποίησαν εἰ μὴ μίαν τῶν τριήρεων ἐπυρπόλησαν. Καὶ τὸ ἐν τῇ γεφύρᾳ πῦρ πλῆθος τῶν Τούρκων δραμόντες ἐναπέσβησαν. Τοὺς δὲ νέους ἐκείνους τοὺς θαυμαστοὺς καὶ ὡραίους ὁ ἀσεβὴς ἀμηρᾶς προστάξας τῷ πρωῒ πάντας οἰκτρῶς ἐθανάτωσεν ἡμῶν ὁρώντων αὐτούς· καὶ θρῆνος ἐγεγόνει ἐν τῇ πόλει ὑπὲρ αὐτῶν ἀμέτρητος. Ὁ δὲ βασιλεὺς λυπηθεὶς καὶ αὐτὸς προσέταξεν ἵνα ἄνωθεν τῶν πύργων κύκλωθεν τοὺς αἰχμαλώτους Τούρκους θανατώσωσιν· ἦσαν γὰρ τὸν ἀριθμὸν οἱ ἀναιρεθέντες διακόσιοι ἑξήκοντα. Καὶ διὰ ταῦτα οὖν σκάνδαλα ἀνεφύησαν, καὶ στάσις μεγάλη ἐγεγόνει ἀναμεταξὺ τῶν Ἐνετῶν καὶ Λιγουρίων· ἔλεγον γὰρ οἱ Λιγούριοι καὶ διισχυρίζοντο τοῦ εἶναι αὐτοὺς ἐμπειροτάτους ἢ τοὺς Ἐνετοὺς ἐν παντὶ πράγματι, καὶ δι' ἀπειρίαν μὴ εἰδέναι τὸν Κόκον Ἰάκωβον ἃ ἐποίει, οὔτε ἐκεῖνος οὔτε οἱ λοιποὶ τῶν Ἐνετῶν ἃ ἐπιχειρίζοντο· δι' ἣν αἰτίαν τοὺς τεσσαράκοντα ἐκείνους νέους ἀπώλεσαν, δι' οὓς τοσοῦτος οἶκτος ἐγένετο, καὶ τὰς τριήρεις καὶ τὴν γέφυραν τὰς ἐν τῷ λιμένι οὐκ ἐπυρπόλησαν. Ὡς οὖν ἤκουσεν ὁ βασιλεὺς τὰ γενόμενα, ἐλθὼν ὡμίλησε τοῖς Ἐνετοῖς καὶ Λιγουρίοις, καὶ λυπούμενος εἶπε· « Παρακαλῶ ὑμᾶς, ἀδελφοί, εἰρηνεύετε. Καὶ ἀρκεῖ ὑμῖν ὁ ἕξωθεν πόλεμος· καὶ μὴ ἀνὰ μεταξὺ ὑμῶν μάχεσθε διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ. » Καὶ ἄλλα πολλὰ δημηγορήσας εἰρηνοποίησεν αὐτούς.

259 Ὁ δὲ ἀμηρᾶς ἰδὼν γεγονέναι τὸ ἡμέτερον ἔργον εἰς οὐδὲν χρήσιμον κατὰ τῶν τριήρεων, ἀλλὰ μᾶλλον καὶ ἐζημιώθημεν, περιχαρὴς γεγονὼς μετὰ σοβαρότητος καὶ ἀγερώχου γνώμης εἶπών· « Τὰ ὅσα αὐτοὶ οὐκ ἐδυνήθησαν ἡμῖν ποιῆσαι, ἐγὼ ἀνταμείψομαι, » καὶ ἄνωθεν ἐν τῷ λόφῳ τοῦ ἁγίου Θεοδώρου πέραν ἐν τῷ Γαλατᾷ ἑλεβόλεις μεγάλας στήσας, ἵνα τὰς ἡμετέρας νῆας τὰς ἐν τῇ εἰσόδῳ τοῦ λιμένος βυθίσῃ καὶ ὄπισθεν ἦσαν ποιήσῃ ἀναχωρῆσαι. Καὶ ταῦτα μὲν ἐποίει οὐχὶ μόνον διὰ τὴν εἴσοδον τοῦ λιμένος, ἀλλ' ἵνα καὶ τὰς τῶν Λιγουρέων νῆας ἀνταμείψηται, ὅπως δείξῃ ἡμῖν ὅτι εἰς τὰ πάντα δύναται καὶ ἀγχίνους καὶ πολύτροπός ἐστιν. Ἰδόντες δὲ οἱ ἐν τῷ Γαλατᾷ ὅτι τὰς νῆας ἐβούλετο ζημιῶσαι, συναχθέντες εἶπον αὐτῷ· « Οὐκ ἔστι δίκαιον ὅτι τὰς τῶν Λιγουρέων καὶ ἡμῶν ἐμπορικὰς νῆας ζημιῶσαι, φίλοι ὄντες. » Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· « Αὗται αἱ νῆες οὐκ εἰσιν ἐμπορικαί, ἀλλὰ λῃσταὶ θαλάττιοι, καὶ χάριν ἐμπορείας οὐκ ἦλθον ἐνταῦθα, ἀλλ' ἵνα τὸν βασιλέα τὸν ἡμῶν ἐχθρὸν βοηθήσωσιν. Ἐγὼ δὲ ὡς προφανεῖς ἐχθροὺς, εἰ δυνατὸν, θέλω παιδεῦσαι· ὑμεῖς δὲ ἀπέλθατε μετ' εἰρήνης ὡς φίλοι. » Λοιπὸν τοῦ ἔργου ἀψάμενος, καὶ ἦν ἰδεῖν σημεῖον ὅτι τῇ πρώτῃ ἑλεβόλει ἡ ὁ τεχνίτης τὸ πῦρ ἐνέβαλε τὴν νῆα τὴν τῶν ἄλλων ἄρχουσαν ἐβύθισεν. Αἱ δὲ λοιπαὶ ἰδοῦσαι τὸν κίνδυνον καὶ θέλουσαι φυγεῖν, ἐπὶ τὸ **260** μέρος πλέον τοῦ Γαλατᾶ ὀλίγον ἐλθοῦσαι τὴν στάσιν ἐποίησαν, ὅπως διὰ τῶν ὑψηλοτάτων οἴκων σκέπωνται· αὐτὸς δὲ μὴ φειδόμενος τῶν οἴκων πολλοὺς ἐχάλασεν, ἵνα ἀκωλύτως τὰς νῆας μάχηται. Καὶ ἦν θαυμάσαι ὅτι πλεῖον ἢ ἑκατὸν καὶ τριάκοντα ἑλεβόλεις ῥίψας οὐδέν τι πλέον τὰς νῆας ἔβλαψεν οὔτε ἄνθρωπον ἐθανάτωσεν, εἰ μὴ γυ-

quam aliud præstiterunt, nisi quod unam combusserunt triremem. Ignem enim ponti injectum Turcarum turba confestim exstinxit. Juvenes illos egregios et formosos impius ameras ad unum omnes postero mane in conspectu nostro miserabiliter trucidari jussit. Luctus hinc in urbe ingens fuit, tantaque erat imperatoris mœstitia, ut ipse vicissim captivos Turcas in turribus circumcirca occidi juberet, numero ducentos sexaginta. Ortæ sunt ex hac re turbæ, ac magna emersit inter Venetos et Ligures seditio. Dicebant enim et affirmabant Ligures, se omni in re Venetis peritiores esse, et Jacobum Cocum ex imperitia nescivisse, quid faceret, nec perspexisse vel ipsum vel reliquos Venetos, qui auderent : unde quadraginta illi juvenes, propter quos tantus luctus esset, periissent, ac triremes et pons in portu non fuissent incensa. Hæc ubi audivit imperator, adiit Venetos et Ligures, et afflicto animo ita eos allocutus est : « Obsecro vos, fratres, pacem colite : sufficit externum bellum. Nolite, per misericordiam Dei, mutuum bellum exercere. » Alia multa dicendo tandem eos pacavit.

Ameras cum nostrum adversus triremes inceptum nihil nobis commodi, imo damnum attulisse videret, gaudio exsultans non sine fastu et indignatione dixit, facturum se nobis, quæ nos ipsis facere non potuissemus. Itaque in colle sancti Theodori trans sinum apud Galatam magnas helepoles collocavit, ut naves nostras ad introitum portus constitutas, nisi recederent, submergeret. Atque hoc faciebat non solum propter introitum portus, sed etiam, ut Ligurum navibus par redderet, nobisque ostenderet, se posse omnia et in primis solertem et versutum esse. Galatæi cernentes, ameram naves pessumdaturum esse, frequentes eum conveniunt monentque, æquum non esse, ab iis, quippe amicis, Ligurum et suas adeo mercatorias naves pessumdari. At ille respondit : « Hæ naves non sunt mercatoriæ, sed piraticæ, nec mercaturæ gratia huc advenerunt, sed imperatorem, hostem nostrum, adjuturæ. Quare ut hostes manifestos, si potero, eos puniam. Vos, ut amici, abite. » Itaque opus aggressus est, atque accidit, ut magister primæ helepoli, cui ignem injecit, navem principem demergeret. Reliquæ naves, animadverso periculo, fuga salutem quærebant et Galatam versus paulo provectæ constiterunt, ut altissimis ædificiis tegerentur. At ille nihil pepercit ædificiis, sed eorum multa diruit, quo libere naves oppugnaret. Verum mirum hoc accidit, ut centum et triginta amplius helepolibus usus, nihilo magis navibus noceret, nec hominem ullum interficeret.

Digitized by Google

καὶ ἄριστοι ἄνδρες τῆς πόλεως ἐν τόποις ἀναγκαίοις διεμερίσθησαν φύλαττειν, καὶ πᾶν τὸ δυνάμενον οὐ διέλιπον ποιεῖν. Τοὺς δὲ μοναχοὺς καὶ ἱερεῖς καὶ κληρικοὺς καὶ τοῦ λοιποῦ καταλόγου τῆς ἐκκλησίας ἄνδρας διέταξαν ἵνα διαμερισθῶσιν ἔνθεν κἀκεῖθεν ἐν τῷ περιβόλῳ τῆς πόλεως, ἵνα καὶ αὐτοὶ τοῦ Θεοῦ δεόμενοι καὶ ἡμεροσκόπους καὶ νυκτοσκόπους ποιῶσι, καὶ δεήσεσι ἐξιλεοῦσθαι τὸ Θεῖον ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως. Τὸν δὲ Δημήτριον τὸν Καντακουζηνὸν καὶ τὸν γαμβρὸν αὐτοῦ Παλαιολόγον Νικηφόρον μετὰ καὶ ἑτέρων τινῶν κατέταξαν ἐν τῷ σεπτῷ ἀποστολείῳ καὶ ἐν ἑτέροις τόποις περιπατεῖν μετὰ ἑπτακοσίων ἀνδρῶν, ἵνα εἰς οἷον δὴ τόπον ἀνάγκη ὑπάρχῃ βοηθήσωσιν. Ὁ δὲ βασιλεὺς **256** ἅμα τῷ Φραγκίσκῳ τῷ Τολέδῳ τῷ συγγενεῖ αὐτοῦ, ὃς κατάγεται, λέγουσιν, ἐκ τοῦ αἵματος τοῦ περιφανοῦς βασιλέως Ἀλεξίου τοῦ Κομνηνοῦ, καὶ μεθ' ἡμῶν ἐφιππος δι' ὅλης τῆς ἡμέρας καὶ νυκτὸς περιπατῶν ἦν γύρωθεν ἔνδον τῆς πόλεως καὶ τῶν τειχῶν· καὶ τὰ εἰς ἀνάγκην τοῦ πολέμου ἡτοιμάζομεν.

Ἐπειδὴ δὲ καὶ χρημάτων ἐσπάνιζον τὰ βασίλεια διὰ τὸν μισθὸν τῶν στρατιωτῶν, προσέταξεν ὁ βασιλεὺς λαβεῖν τὰ τῶν ἐκκλησιῶν σκεύη ἅγια καὶ ἀφιερωμένα τῷ Θεῷ, καὶ χρήματα ἐποίησαν. Κοὶ μή τις ἐγκαλέσῃ ἡμᾶς ὡς ἱεροσύλους· ἕνεκεν τῆς τοῦ καιροῦ ἀνάγκης ἐγίνετο, ὡς καὶ ὁ Δαβὶδ πεπονθώς, πεινάσας, τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, ἃ οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι μόνοις. Ἔλεγε γὰρ ὁ μακαρίτης ὁ βασιλεύς· « Ἂν ὁ Θεὸς τὴν πόλιν λυτρώσηται, τετραπλοῦν ἀποδώσω τῷ Κυρίῳ μου. »

Καὶ αὖθις ἑτέρας βουλῆς γενομένης, ἵνα τὰς ἐν τῷ λιμένι φερομένας τριήρεις καὶ γέφυραν ἐμπρήσωσι μηχανῇ τινι, διότι μεγάλην ταραχὴν καὶ κίνδυνον αἱ νῆες αὗται τῇ πόλει ἐνεδίδοσαν, καὶ μηχανήν τινα εὗρον, καὶ τὴν βουλὴν ἐξεφώνησαν **257** τῷ βασιλεῖ. Ἰάκωβος Κόκος ὁ Ἐνετὸς, ἀνὴρ ὀξύτερος τοῦ ποιεῖν ἢ λέγειν, ὡς ἐνεμπιστεύθη τοῦ πέρας δῶσαι τῆς ὑποθέσεως, ἥρξατο τοῦ ἔργου πάνυ ἐπιτηδείως καὶ καλῶς τρόπῳ τοιῷδε. Ἀκάτια τρία πάνυ ταχέα καὶ γοργὰ οἰκονομήσας, καὶ τεσσαράκοντα νέους θαρσαλέους καὶ μεγαλοψύχους καὶ ἀνδρείους ἐν αὐτοῖς ἔβαλε, Γραικούς τε καὶ Ἰταλοὺς, καὶ καλῶς παραγγείλας αὐτοῖς τὰ πάντα καὶ τὰς κατασκευασθείσας μετὰ τοῦ ὑγροῦ πυρὸς τέχνας δώσας, ἵνα ἔλθωσιν νυκτὸς καὶ περάσωσι πρὸς τὸν Γαλατᾶν καὶ πλησίον τῆς πέρας ἐκείνης γῆς ἔλθωσιν ἕως τῶν τριήρεων καὶ τὰ ὁρισθέντα πράξωσιν. Καὶ ἐγεγόνει ἂν, εἰ μὴ καὶ εἰς τὸ αὐτὸ ἡ κακὴ τύχη ἡμῶν ἐμπόδιζε. Ἐλθόντες δὲ πάνυ ἐπιτηδείως καὶ τὴν γέφυραν περιπατήσαντες καὶ περάσαντες καὶ δύο νέους ἀφέντες ἐκεῖ μετὰ κατασκευῆς, ἵνα ὅταν οἱ ἕτεροι εἰς τὰς τριήρεις ἐγγίσωσι καὶ σημεῖόν τι ἴδωσι, τότε ἐν μιᾷ ὥρᾳ θεαφίῳ τὸ ὑγρὸν πῦρ ἀνάψωσι, φθάσαντες δὲ καὶ ἕως τῶν τριήρεων ἐγγὺς, ὁ Θεὸς ἢ διὰ τὰς ἁμαρτίας ἡμῶν ἐκώλυσε τὸ ἔργον, ἢ ἐξ ἀπροσεξίας τινὸς τῶν νέων ἐκείνων οἰκέτης τις τὸ μυστήριον τοῖς ἐναντίοις ἐμήνυσε· καὶ φυλακὰς ἀγρύπνους καὶ νυκτοσκόπους ἔχοντες, ὡς εἶδον αὐτοὺς, μετὰ σκευῶν καὶ πετρῶν καὶ μετὰ ἑτέρων ἀκατίων τὸ ἓν ἀκάτιον ἐβύθισαν καὶ μερικοὺς τῶν ἀνθρώπων ἐζώγρησαν· καὶ οὕτως οὐδὲν ἕτερον **258** οἱ ἡμέτεροι

Reliqui generosi et strenui cives in locis iniquis ad custodiam dispertiti sunt, nec cessabant operam, quam possent, præstare. Monachi autem et sacerdotes et clerici et reliqui ordinis ecclesiastici homines per totam urbem passim distributi sunt, ut Deo supplicarent et die noctuque specularentur et precibus Numen pro salute urbis placarent. Demetrium Cantacuzenum et Nicephorum Palæologum, generum ejus, cum aliis quibusdam ad venerandum apostolorum templum et alia loca obeunda cum viris septingentis constituit, ut ubi res flagitaret, eo cum auxilio advolarent. Ipse imperator nobiscum et cum Francisco Toledo, cognato suo, qui ex illustri imperatore Alexio Comneno genus ducere fertur, tota die et nocte intra urbem et mœnia obequitabat, prospiciebatque rebus ad bellum necessariis.

Cum autem pecunia palatium deficeret propter stipendia militum, imperator sanctam et Deo consecratam ecclesiarum supellectilem usurpari et in numismata redigi jussit. Ne vero quisquam ut sacrilegos nos increpato. Coacti enim necessitate fecimus, haud secus ac David, qui esuriens panes propositionis comedit, quos nisi sacerdotibus nemini licebat edere. Ac dicebat beatæ memoriæ imperator : « Si Deus urbem liberaverit, quadruplum Domino restituam. »

Rursus alia inita consultatione, ut in portu collocatas triremes et pontem machinatione aliqua comburerent, quippe quibus in magnum discrimen et periculum urbs adduceretur, ratio aliqua inventa et cum imperatore communicata est. Jacobus Cocus, Venetus, vir ad agendum quam ad dicendum promptior, cui commissum est, ut perficeret consilium, opus admodum alacriter et apte ita aggressus est. Acatia tria apprime velocia et agilia paravit : iis quadraginta juvenes generosos et strenuos, tum Græcos tum Italos, quibus omnia diligenter præcepit deditque machinas igne Græco instructas, imposuit, ut nocte Galatam trajecti, prope littus ad triremes accederent facerentque, quæ constituta erant. Ac bene cessisset inceptum, nisi sinistra fortuna nostra fuisset impeditum. Nam cum prospere pontem circumissent trajecissentque, relictis ibi duobus juvenibus cum apparatu, ut, cum reliqui ad triremes pervenissent ac dedissent signum, eodem utrique tempore sulphure accenderent ignem Græcum, illi prope triremes jam advenerant, cum Deus rem impedivit, sive peccata nostra ita meruerant, sive imprudentia juvenum servus aliquis consilium hostibus prodiderat; itaque cum illos animadvertissent, telis, saxis et acatiis unum e nostris navigiis submersernnt, ipsos homines ceperunt : nec nostri quid-

Digitized by Google

ἐποίησαν εἰ μὴ μίαν τῶν τριήρεων ἐπυρπόλησαν. Καὶ τὸ ἐν τῇ γεφύρᾳ πῦρ πλῆθος τῶν Τούρκων δραμόντες ἐναπέσβησαν. Τοὺς δὲ νέους ἐκείνους τοὺς θαυμαστοὺς καὶ ὡραίους ὁ ἀσεβὴς ἀμηρᾶς προστάξας τῷ πρωῒ πάντας οἰκτρῶς ἐθανάτωσεν ἡμῶν ὁρώντων αὐτούς· καὶ θρῆνος ἐγεγόνει ἐν τῇ πόλει ὑπὲρ αὐτῶν ἀμέτρητος. Ὁ δὲ βασιλεὺς λυπηθεὶς καὶ αὐτὸς προσέταξεν ἵνα ἄνωθεν τῶν πύργων κύκλωθεν τοὺς αἰχμαλώτους Τούρκους θανατώσωσιν· ἦσαν γὰρ τὸν ἀριθμὸν οἱ ἀναιρεθέντες διακόσιοι ἑξήκοντα. Καὶ διὰ ταῦτα οὖν σκάνδαλα ἀνεφύησαν, καὶ στάσις μεγάλη ἐγεγόνει ἀναμεταξὺ τῶν Ἐνετῶν καὶ Λιγουρίων· ἔλεγον γὰρ οἱ Λιγούριοι καὶ διετσχυρίζοντο τοῦ εἶναι αὐτοὺς ἐμπειροτάτους ἢ τοὺς Ἐνετοὺς ἐν παντὶ πράγματι, καὶ δι' ἀπειρίαν μὴ εἰδέναι τὸν Κόκον Ἰάκωβον ἃ ἐποίει, οὔτε ἐκεῖνος οὔτε οἱ λοιποὶ τῶν Ἐνετῶν ἃ ἐπιχειρίζοντο· δι' ἣν αἰτίαν τοὺς τεσσαράκοντα ἐκείνους νέους ἀπώλεσαν, δι' οὓς τοσοῦτος οἶκτος ἐγένετο, καὶ τὰς τριήρεις καὶ τὴν γέφυραν τὰς ἐν τῷ λιμένι οὐκ ἐπυρπόλησαν. Ὡς οὖν ἤκουσεν ὁ βασιλεὺς τὰ γενόμενα, ἐλθὼν ὡμίλησε τοῖς Ἐνετοῖς καὶ Λιγουρίοις, καὶ λυπούμενος εἶπε· « Παρακαλῶ ὑμᾶς, ἀδελφοί, εἰρηνεύετε. Καὶ ἀρκεῖ ὑμῖν ὁ ἕξωθεν πόλεμος· καὶ μὴ ἀναμεταξὺ ὑμῶν μάχεσθε διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ. » Καὶ ἄλλα πολλὰ δημηγορήσας εἰρηνοποίησεν αὐτούς.

259 Ὁ δὲ ἀμηρᾶς ἰδὼν γεγονέναι τὸ ἡμέτερον ἔργον εἰ; οὐδὲν χρήσιμον κατὰ τῶν τριήρεων, ἀλλὰ μᾶλλον καὶ ἐζημιώθημεν, περιχαρὴς γεγονὼς μετὰ σοβαρότητος καὶ ἀγερώχου γνώμης εἶπών· « Τὰ ὅσα αὐτοὶ οὐκ ἐδυνήθησαν ἡμῖν ποιῆσαι, ἐγὼ ἀνταμείψομαι, » καὶ ἄνωθεν ἐν τῷ λόφῳ τοῦ ἁγίου Θεοδώρου πέραν ἐν τῷ Γαλατᾷ ἐλεβόλεις μεγάλας στήσας, ἵνα τὰς ἡμετέρας νῆας τὰς ἐν τῇ εἰσόδῳ τοῦ λιμένος βυθίσῃ καὶ ζθεν ἦσαν ποιήσῃ ἀναχωρῆσαι. Καὶ ταῦτα μὲν ἐποίει οὐχὶ μόνον διὰ τὴν εἴσοδον τοῦ λιμένος, ἀλλ' ἵνα καὶ τὰς τῶν Λιγουρέων νῆας ἀνταμείψηται, ὅπως δείξῃ ἡμῖν ὅτι εἰς τὰ πάντα δύναται καὶ ἀγχίνους καὶ πολύτροπός ἐστιν. Ἰδόντες δὲ οἱ ἐν τῷ Γαλατᾷ ὅτι τὰς νῆας ἐβούλετο ζημιῶσαι, συναχθέντες εἶπον αὐτῷ· « Οὐκ ἔστι δίκαιον ὅτι τὰς τῶν Λιγουρέων καὶ ἡμῶν ἐμπορικὰς νῆας ζημιῶσαι, φίλοι ὄντες. » Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· « Αὗται αἱ νῆες οὐκ εἰσὶν ἐμπορικαί, ἀλλὰ λῃσταὶ θαλάττιοι, καὶ χάριν ἐμπορείας οὐκ ἦλθον ἐνταῦθα, ἀλλ' ἵνα τὸν βασιλέα τὸν ἡμῶν ἐχθρὸν βοηθήσωσιν. Ἐγὼ δὲ ὡς προφανεῖς ἐχθροὺς, εἰ δυνατὸν, θέλω παιδεῦσαι· ὑμεῖς δὲ ἀπέλθατε μετ' εἰρήνης ὡς φίλοι. » Λοιπὸν τοῦ ἔργου ἀψάμενος, καὶ ἦν ἰδεῖν σημεῖον ὅτι τῇ πρώτῃ ἐλεβόλει ᾗ ὁ τεχνίτης τὸ πῦρ ἐνέβαλε τὴν νῆα τὴν τῶν ἄλλων ἄρχουσαν ἐβύθισεν. Αἱ δὲ λοιπαὶ ἰδοῦσαι τὸν κίνδυνον καὶ θέλουσαι φυγεῖν, ἐπὶ τὸ **260** μέρος πλέον τοῦ Γαλατᾶ ὀλίγον ἐλθοῦσαι τὴν στάσιν ἐποίησαν, ὅπως διὰ τῶν ὑψηλοτάτων οἴκων σκέπωνται· αὐτὸς δὲ μὴ φειδόμενος τῶν οἴκων πολλοὺς ἐχάλασεν, ἵνα ἀκωλύτως τὰς νῆας μάχηται. Καὶ ἦν θαυμάσαι ὅτι πλεῖον ἢ ἑκατὸν καὶ τριάκοντα ἐλεβόλεις ῥίψας οὐδέν τι πλέον τὰς νῆας ἔβλαψεν οὔτε ἄνθρωπον ἐθανάτωσεν, εἰ μὴ γυ-

quam aliud præstiterunt, nisi quod unam combusserunt triremem. Ignem enim ponti injectum Turcarum turba confestim exstinxit. Juvenes illos egregios et formosos impius ameras ad unum omnes postero mane in conspectu nostro miserabiliter trucidari jussit. Luctus hinc in urbe ingens fuit, tantaque erat imperatoris mœstitia, ut ipse vicissim captivos Turcas in turribus circumcirca occidi juberet, numero ducentos sexaginta. Ortæ sunt ex hac re turbæ, ac magna emersit inter Venetos et Ligures seditio. Dicebant enim et affirmabant Ligures, se omni in re Venetis peritiores esse, et Jacobum Cocum ex imperitia nescivisse, quid faceret, nec perspexisse vel ipsum vel reliquos Venetos, qui auderent : unde quadraginta illi juvenes, propter quos tantus luctus esset, periissent, ac triremes et pons in portu non fuissent incensa. Hæc ubi audivit imperator, adiit Venetos et Ligures, et afflicto animo ita eos allocutus est : « Obsecro vos, fratres, pacem colite : sufficit externum bellum. Nolite, per misericordiam Dei, mutuum bellum exercere. » Alia multa dicendo tandem eos pacavit.

Ameras cum nostrum adversus triremes inceptum nihil nobis commodi, imo damnum attulisse videret, gaudio exsultans non sine fastu et indignatione dixit, facturum se nobis, quæ nos ipsis facere non potuissemus. Itaque in colle sancti Theodori trans sinum apud Galatam magnas helepoles collocavit, ut naves nostras ad introitum portus constitutas, nisi recederent, submergeret. Atque hoc faciebat non solum propter introitum portus, sed etiam, ut Ligurum navibus par redderet, nobisque ostenderet, se posse omnia et in primis solertem et versutum esse. Galatæi cernentes, ameram naves pessumdaturum esse, frequentes eum conveniunt monentque, æquum non esse, ab iis, quippe amicis, Ligurum et suas adeo mercatorias naves pessumdari. At ille respondit : « Illæ naves non sunt mercatoriæ, sed piraticæ, nec mercaturæ gratia huc advenerunt, sed imperatorem, hostem nostrum, adjuturæ. Quare ut hostes manifestos, si potero, eos puniam. Vos, ut amici, abite. » Itaque opus aggressus est, atque accidit, ut magister primæ helepoli, cui ignem injecit, navem principem demergeret. Reliquæ naves, animadverso periculo, fuga salutem quærebant et Galatam versus paulo provectæ constiterunt, ut altissimis ædificiis tegerentur. At ille nihil pepercit ædificiis, sed eorum multa diruit, quo libere naves oppugnaret. Verum mirum hoc accidit, ut centum et triginta amplius helepolibus usus, nihilo magis navibus noceret, nec hominem ullum interficeret.

Digitized by Google

ναΐκά τινα πέτρα πεσοῦσα ἐκ τῶν τειχῶν ἀπέκτεινεν.

Ἡμέρας γάρ τινας ὁ ἀμηρᾶς οὐ τελείαν συμπλοκὴν, ὡς σύνηθες, ἐνέδιδεν ἡμῖν ὡς τὸ πρότερον, εἰ μὴ ἀκροβολισμοὺς μακρόθεν· καὶ ταῖς ἐλεβόλεσι ἡμέρᾳ τε καὶ νυκτὶ οὐκ ἔπαυον τὰ τείχη σφοδρῶς τύπτειν. Καί τινες μὲν οἱ μὴ ὄντες ἔμπειροι τοσοῦτον τοῦ πολέμου, ὡς ἔβλεπον μὴ γίνεσθαι συμπλοκὴν, τοὺς διατεταγμένους τόπου; αὐτῶν ἀφίνοντες ἐν τοῖς οἴκοις αὐτῶν ἤρχοντο· οἱ δὲ Τοῦρκοι εὐκαιρίαν εὑρίσκοντες μετὰ ὀνύχων σιδηρῶν ἤτοι ἀγκίστρων ἔν τισι τόποις τὰς μεστὰς χώματος σπυρίδας, ὅπου ἦσαν εἰς σκέπην τῶν ἀνθρώπων ἐν τῇ συμπλοκῇ, κάτω ἔσυρνον· οἱ δὲ δήμαρχοι ἀντ' αὐτῶν ἑτέρας εὐθὺς ἔβαλον. Μαθὼν δὲ ὁ βασιλεὺς ὑπὸ τοῦ στρατηγοῦ ὅ τι συμβαίνει γενέσθαι ᾧ τρόπῳ εἰρήκαμεν, τοὺς τοιούτους σφοδρῶς ἠπείλησεν. Αὐτοὶ δὲ ἀπεκρίναντο λέγοντες ὅτι διὰ τὸ μὴ ἔχειν αὐτοὺς φαγεῖν καὶ πιεῖν, τέκνα τε καὶ γυναῖκας, τοῦτο ἐποίησαν. Ἀκούσας δὲ ὁ βασιλεὺς ὥρισεν ἵνα ὅσοι **261** τινὲς οἱ μὴ δυνάμενοι μάχεσθαι διὰ γῆρας ἢ δι' ἑτέραν αἰτίαν, τοὺς ἄρτους καὶ πᾶν βρώσιμον διαμερίζειν ἐν τοῖς οἴκοις καὶ ἐν τοῖς πύργοις κατὰ τὴν ἀναλογίαν ἑνὸς ἑκάστου. Καὶ ὁ πόλεμος ἡμέραν καθ' ἡμέραν ηὔξανε διὰ τὸ καθ' ἑκάστην εἰς τοὺς ἐναντίους ἐκ τοῦ τῆς Ἀσίας κλίματος νέος στρατὸς οὐ διέλιπεν ἔρχεσθαι· τὰ δὲ ἡμέτερα ὀλιγόστευον καὶ ἐταπεινοῦντο, ὥσπερ σελήνη λειψίφωτος, διὰ τὸν καθημερινὸν θάνατον. Τινὲς δὲ ἐκ τῶν ἡμετέρων ἀπειθεῖς καὶ ἀπάνθρωποι τὰ ἡμῶν ταπεινοῦσθαι βλέποντες, εὑρόντες τὸν καιρὸν εἰς τὰς πονηρὰς ὀρέξεις, στάσεις καὶ ἀκαταστασίας καθ' ἡμέραν ἐποίουν, καὶ ὕβρεις καὶ λοιδορίας εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως κατὰ τοῦ δυστυχοῦς βασιλέως καὶ τῶν ἑτέρων ἀρχόντων ἐξέχεον ἐκ τοῦ μιαροῦ αὐτῶν λάρυγγος, μήτε τὸν Θεὸν φοβούμενοι μήτε τὸν βασιλέα ἢ τοὺς ἀνθρώπους ἐντρεπόμενοι. Αὐτὸς δὲ ὁ τρισμακάριστος τὸ τοῦ Δαβὶδ ῥητὸν μιμούμενος τό· « Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος ἐγενόμην, καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς, ὅτι οἱ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ, ὅτι ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως. » Καὶ τινὲς μὲν προσήρχοντο αὐτῷ λέγοντες ὅτι Ὁ δεῖνα καὶ ὁ δεῖνα τάδε ἔφη· τινῶν δὲ περιπατῶν ἤκουε. Καὶ ἐν ἡμῖν ἐπληρώθη τὸ ῥητὸν τὸ φάσκον **262** « Τῶν μὲν εὐτυχούντων πάντες ἄνθρωποι φίλοι, τῶν δὲ δυστυχούντων οὐδ' αὐτὸς ὁ γεννήτωρ. »

Τῇ δὲ εἰκοστῇ τετάρτῃ τοῦ Μαΐου ἐψιθυρίσθη ὅτι ὁ ἀμηρᾶς βούλεται διὰ ξηρᾶς καὶ θαλάσσης τῇ εἰκοστῇ ἐννάτῃ τοῦ αὐτοῦ πολεμῆσαι ἡμᾶς σφοδρῶς μετὰ συμπλοκῆς καὶ συῤῥήξεως. Οἱ δὲ στρατηγοὶ καὶ δήμαρχοι πάντες, καὶ μάλιστα Ἰωάννης ὁ Ἰουστινιανὸς, οὐκ ἔπαυον πᾶσαν μηχανὴν ποιεῖν εἰς ἀντιπαράταξιν τῶν ἐναντίων, καὶ δι' ὅλης τῆς νυκτὸς τοὺς τείχους τοὺς ἐμπεσόντας ἐν τῷ τύπτεσθαι ὑπὸ τῶν ἐλεβόλεων ἐδιώρθωνον μυριστρόπως. Εἶτα ὁ Ἰουστινιανὸς στείλας πρὸς τὸν μέγαν δοῦκα τὸν Νοταρᾶν ἐζήτει ἐξαποστεῖλαι αὐτῷ ἐλεβόλεις τινάς, αἳ ὑπῆρχον ἐν τοῖς μέρεσιν οὗ ἐφύλαττεν αὐτός. Ὁ δὲ κὺρ Λουκᾶς ὁ Νοταρᾶς οὐκ ἠθέλησε δοῦ-

nisi quod lapis de muro delapsus mulierem aliquam occidit.

Diebus aliquot ameras non justa, ut solebat, pugna nos exercuit, sicut ante, sed eminus jaculationibus; helepolibus tamen nec die nec nocte cessavit acriter mœnia arietare. Itaque quidam rei militaris non admodum periti, cum pugnam non committi viderent, relictis stationibus domos abibant. Quam opportunitatem Turcæ aucupati, uncis ferreis sive harpagonibus nonnullis in locis corbes ad tegendum in pugna militem terra impletas detraxerunt, pro quibus tribuni illico alias reposuerunt. Imperator ubi a duce, quid fieret, rescivit, graviter illos increpavit: qui responderunt, quoniam non haberent, quod ederent aut biberent, nec liberi nec uxores, ita se egisse. Hoc audito, imperator constituit, ut quotquot senectute vel alia re impedirentur, ne pugnarent, iis pro cujusvis conditione panis et reliquus cibus per ædes et turres distribueretur. Interim bellum in dies ingravescebat, cum ad hostes ex Asia quotidie recentes copiæ adventarent, nostræ autem res lunæ decrescentis instar imminuerentur et extenuarentur quotidiana cæde. Insuper quidam de nostris, contumaces et feroces homines, cum nos in angustias adduci viderent, perversis suis cupiditatibus occasionem nacti, perpetuo turbas et seditiones excitabant, et ore scelesto per plateas et vicos urbis maledicta et contumelias in imperatorem et reliquos principes conjiciebant, nec Deum nec imperatorem vel homines veriti. At ille ter beatus vir Davidis dictum imitabatur: «Ego autem sicut surdus non audiebam, et tanquam mutus eram, factusque sum sicut homo non audiens, nec habens in ore redargutiones, quoniam inimici mei vivunt et prævaluerunt super me et qui injuria me oderunt, multiplicati sunt.» Et adibant eum, qui narrarent, hunc vel illum talia de ipso effutire: quosdam etiam præteriens ipse audiebat. Denique in nobis tum illud eventum habuit: « Felicium omnes sunt amici, infelicium ne ipse pater quidem.»

Die Maii vicesimo quarto fama manavit, ameram vicesimo nono ejusdem mensis terra marique acriter nos bello et dimicatione adoriturum esse. Itaque duces et tribuni omnes, inque primis Joannes Justinianus, non desinebant moliri omnia ad resistendum hostibus, ac tota nocte muros helepolium pulsu concussos mille modis instaurabant. Misit tum Justinianus ad Notaram, magnum ducem, ut cederet sibi helepoles aliquot in iis locis constitutas, quibus is præerat. At recusavit Lucas Notaras eas tradere, quod etiam in sua regione necessariæ essent. Respondit Justinianus, minime

Digitized by Google

νσι αὐτάς, λέγων ὅτι καὶ ἐν ἐκείνοις τοῖς μέρεσι ἀνάγκη ἦν εἶναι αὐτάς. Ὁ δὲ Ἰουστινιανὸς ἀντέλεγεν ὅτι οὐδεμία χρεία ἦν ἐλεβόλεις τοσαύτας εἶναι ἐν ἐκείνοις τοῖς μέρεσι τοῖς ὀδρείοις. Διὰ ταῦτα μὲν οὖν τὰ αἴτια ἦλθον καὶ εἰς λόγους νεωτερικούς, καὶ ὄβρεις ἐξέχεον ἑκατέρωθεν τῶν στομάτων εἰς κατὰ τοῦ ἑτέρου, καὶ ὁ Ἰουστινιανὸς τὸν Νοταρᾶν ἀνωφελῆ καὶ ἀλάστορα καὶ ἐχθρὸν τῆς πατρίδος ἐκάλεσεν, **263** αὐτὸς δὲ πάλιν αὐτὸν ἐξ ἐναντίας ὕβρεσιν ἑτέραις ἐνέπλυνε. Ἀκούσας δὲ ὁ βασιλεὺς ταῦτα παραλαβὼν αὐτοὺς κατ' ἰδίαν λέγει· « Ἀδελφοί, οὐκ ἔστι καιρὸς ἀναμέσον ἡμῶν τοιούτως ποιεῖν καὶ λέγειν καὶ μάχεσθαι, ἀλλὰ καὶ τοῖς μισοῦσιν ἡμᾶς συγχωρήσωμεν καὶ τῷ Θεῷ δεηθῶμεν ἵνα λυτρωθῶμεν ἐκ τοῦ προφανοῦς στόματος τοῦ αἰσθητοῦ τούτου δράκοντος. » Καὶ ἑτέρους οὐκ ὀλίγους λόγους αὐτοῖς εἰπὼν εἰρηνοποίησεν αὐτούς, καὶ ἕκαστος τούτων ἐν τῷ ἐμπιστευθέντι αὐτῷ τόπῳ ἐπανέστρεψε, τὴν ὑπηρεσίαν αὐτοῦ ἐκπληρῶν. Ὁ δὲ Ἰουστινιανὸς φοβερὸς ἐφάνη τοῖς ἐναντίοις καὶ μάλιστα ἐν ἐκείναις ταῖς ἡμέραις ἐν τῷ λέγειν καὶ διορθώνειν καὶ πράττειν, καὶ ἀκροβολισμοὺς καὶ συρρήξεις καθ' ἑκάστην ἡμέραν κατὰ τῶν ἐχθρῶν ἐποίει, καὶ πολλοὺς μὲν ἐζώγρει, ἑτέρους δὲ μαχαίρας ἐποίει παρανάλωμα. Καὶ τὰ κατορθώματα καὶ τὰ ἔργα τοῦ ἀνδρὸς οἱ πάντες ἐθαύμαζον, καὶ λυτρωτὴν καὶ σωτῆρα τῆς πόλεως ἔλεγον. Πλὴν οὐκ εἰς τέλος οὕτως ἐνέμεινεν, ἀλλὰ τὴν φήμην ἣν μετὰ ἀνδρίας ἐκέρδησεν, ὕστερον ἡ δειλία διέφθειρεν.

Ἡμῶν δὲ οὕτως ἐχόντων, ἰδού τις φήμη ψευδὴς ἐρρέθη εἰς τὸ ἐναντίων στρατόπεδον, ὅτι ἐκ τῆς Ἰταλίας στόλος εἰς βοήθειαν τῆς πόλεως ἔρχεται· ὁμοίως καὶ ὁ Ἴαγκος ὁ κυβερνήτης τῶν Οὐγγάρων μετὰ πλείστων στρατῶν ἱππικῶν τε καὶ **264** πεζῶν. Ἀκούσαντες δὲ οἱ υἱοὶ τῆς Ἄγαρ, φόβος διέσχε πλεῖστος αὐτούς· καὶ κατὰ τοῦ ἀμηρᾶ ἀρὰς ἔλεγον καὶ διεγόγγυζον, λέγοντες ὅτι αὐτὸς ἔσεται ὁ ἀφανισμὸς τοῦ γένους αὐτῶν διὰ τὸ ἀδύνατα ἐπιχειρίζεσθαι αὐτούς. Ὡσαύτως καὶ ὁ ἀμηρᾶς μεστὸς ὑπάρχων διαλογισμῶν καὶ ταραχῆς καὶ δειλίας, καὶ πᾶσα ἡ βουλὴ αὐτοῦ περίλυπος ὑπῆρχε, πρῶτον μὲν διότι ἐρρέθη αὐτοῖς περὶ τῆς βοηθείας, δεύτερον δὲ θεωροῦντες πῶς τοσοῦτον στράτευμα φοβερὸν καὶ ἀναρίθμητον διὰ ξηρᾶς τε καὶ θαλάσσης τοσούταις ἡμέραις οὐδὲν ἐκατόρθωσεν, καὶ πολλάκις τοσούταις μηχαναῖς καὶ δυνάμεσι τὰς κλίμακας ἐν τοῖς τείχεσι βαλόντες κακῶς ἀπεπέμφθησαν καὶ ἀπεκρημνίσθησαν, καὶ φόνος πολὺς κατ' αὐτῶν ἐγίγνετο, ὥστε τοῖς Τούρκοις τοῖς ἐν τοῖς τείχεσι δειλία προσήγγισε· τρίτον δὲ ὅτι ἐθεώρουν σημεῖον. Φῶς ἀστράπτον καταβαῖνον ἐξ οὐρανῶν καὶ δι' ὅλης τῆς νυκτὸς ἄνωθεν τῆς πόλεως ἐστὸς διέσκεπεν αὐτήν. Καὶ ὡς εἶδον αὐτὸ τὸ φῶς, ἐν πρώτοις ἔλεγον ὅτι Ὁ Θεὸς ὠργίσθη τοῖς Χριστιανοῖς καὶ ἤθελεν αὐτοὺς κατακαῦσαι καὶ ἡμῖν παραδῶσαι δούλους. Ἔπειτα δὲ ὡς εἶδον ὅτι πάντοτε μετὰ αἰσχύνης ἐκ τῶν τειχῶν καὶ τῶν κλιμάκων ἀπεκρημνίζοντο καὶ τοσούτας μηχανὰς ποιοῦντες καὶ οὐδὲν ἴσχυσαν, καὶ ὡς ἤκουσαν καὶ ψευδῆ φήμην περὶ τοῦ στόλου τῆς Ἰταλίας καὶ τοῦ Ἴαγκου, πάλιν περὶ τοῦ φωτὸς **265** ἐκείνου ἔλεγον ὅτι Ὁ Θεὸς ὑπὲρ τῶν Χριστιανῶν πολεμεῖ καὶ σκέπει αὐτοὺς καὶ ἀντιλήπτωρ αὐτῶν ἐστι,

opus esse tot helepolibus in locis illis aquosis. Ex hac causa ad sermones fervidiores processum est, et utrinque se lacessebant conviciis, et Justinianus quidem Notaram hominem ineptum et pestiferum et inimicum patriæ appellavit, hic in illum alia vicissim convicia fudit. Quæ cum audisset imperator, cum utroque seorsum collocutus: « Fratres, inquit, minime tempus est ita inter vos agendi, loquendi et certandi, quin potius etiam iis, qui oderunt nos, ignoscamus, et Deum precemur, ut liberemur a faucibus hujus, quem ante oculos videmus, draconis. » Aliis pluribus verbis usus in amicitiam eos restituit, et uterque in commissum sibi locum ad muneris sui functionem rediit. Justinianus hostibus, illis præsertim diebus, terribilis erat dictis, consiliis, factis, ac quotidie eos jaculationibus et præliis vexavit et eorum multos tum cepit tum gladio confecit. Admirabantur omnes hujus viri consilia et facinora eumque vindicem et servatorem urbis prædicabant. Verum non ad finem usque talem se præstitit, sed quam sibi famam fortitudine pepererat, eam postea timiditate amisit.

Hæc cum rerum nostrarum conditio esset, falsus rumor per exercitum hostilem pererebuit, ad opem nobis ferendam ex Italia classem adventare, item Jancum Hungarorum principem cum copiis equestribus et pedestribus maximis. Quæ ubi audiverunt filii Agar, timor ingens eos invasit: ameram maledictis proscindebant murmurantesque dicebant, ipsum generis sui perniciem fore, a quo coacti conarentur, quæ perfici non possent. Ipse quoque ameras agitabatur consilii inopia, perturbatione ac metu, totusque senatus ejus tristabatur, primum quidem, quod de adventante auxilio audiebant, deinde, quod videbant, tantum tamque terribilem exercitum terra marique tot diebus nihil proficere, sed sæpissime, scalis omni adminiculo et summo labore mœnibus applicatis, milites male repelli et detrudi et magna cæde posterni, ut jam qui in muris essent Turcæ, formidine trepidarent. Huc accessit tertio loco, quod portentum viderunt. Lumen fulminis instar coruscum, de cœlo supra urbem demissum, tota nocte eam obtexit. Quod lumen ubi animadverterunt, primum jactabant, Deum succensere Christianis eosque exussurum et sibi in servitium traditurum esse. Deinde autem, cum ubivis se cum dedecore de mœnibus et scalis deturbari et tanta machinarum vi nihil prospere agere animadverterent, ac falsum perciperent de classe Itala et Janco rumorem, rursus lumen illud ita interpretati sunt, ut dicerent, Deum pro Christianis pugnare,

Digitized by Google

δ.ὸ καὶ ἡμεῖς ἄνευ θελήματος αὐτοῦ οὐ δυνάμεθα ποιῆσαι οὐδέν. Καὶ διὰ ταύτας τὰς αἰτίας ὁ ἀμηρᾶς, ὡς εἴπαμεν, καὶ πᾶς ὁ στρατὸς αὐτοῦ λυπούμενος καὶ κατηφὴς ὑπῆρχον· ὃς βουληθεὶς ἐπὶ τὴν αὔριον ἐγερθῆναι καὶ τὴν πολιορκίαν λῦσαι. Τῇ δὲ αὐτῇ ἑσπέρᾳ ἐν ᾗ ἐπὶ τὴν αὔριον ἐβούλοντο ἵνα ἀπέλθωσιν, ὁρῶσι πάλιν, ὡς σύνηθες, τὸ φῶς ἐκ τῶν οὐρανῶν καταβαῖνον. Καὶ οὐχ ἥπλωτο, ὡς σύνηθες τὸ πρότερον, ἕως ἄνωθεν τῆς πόλεως ἱστάναι δι' ὅλης τῆς νυκτὸς, ἀλλ' ἐκ μακροῦ μόνον ἐφάνη καὶ εὐθὺς διασκορπισθὲν ἀφανὲς ἐγένετο. Ὡς οὖν εἶδον αὐτὸ ὁ ἀμηρᾶς καὶ πάντες οἱ αὐτοῦ, χαρᾶς πολλῆς πλησθέντες ἔλεγον· « Ὁ Θεὸς τὰ νῦν ἐγκατέλιπεν αὐτούς. » Καὶ αὐτὸ ἔκριναν οἱ τῆς μιαρᾶς αὐτῶν καὶ ἀσεβοῦς θρησκείας καὶ πλάνης σοφοὶ καὶ γραμματεῖς πῶς τὴν πόλιν κερδήσωσι τὸ φῶς; ἐδήλου· καὶ οὕτως πάντες ἐλπίδας εἶχον χρηστὰς ὧν καὶ ἐπέτυχον διὰ τὰς ἁμαρτίας ἡμῶν.

Ἀλλ πασιᾶς μὲν ὁ πρῶτος τῆς βουλῆς αὐτοῦ, ὁ ὑπὲρ πάντας δόκιμος καὶ πρακτικὸς, θεωρῶν τὸν ἀμηρᾶν οὕτως διαλογιζόμενον καὶ τοὺς ἑτέρους πάντας μεστοὺς φόβου καὶ δειλίας, εἰς τὸ φαινόμενον καὶ αὐτὸς ἐλυπεῖτο, ἔσωθεν δὲ ἐγαλλιᾶτο. Καὶ ἡ αἰτία ἦν ὅτι αὐτὸς πάντοτε τῷ ἀμηρᾷ ἐν ταῖς βουλαῖς **266** ἔλεγεν ἵνα μὴ πόλεμον ἐγείρῃ κατὰ τῆς πόλεως, ὅπως μὴ οἱ δυτικοὶ αὐθέντσι ἀκούσωσι καὶ συναχθέντες ὁμονοήσωσι καὶ τοὺς Τούρκους ἐκ τῆς Εὐρώπης ἐξώσωσι. Καὶ τότε πάλιν δεικνύων ὡς λυπούμενος ἦν ἔλεγε τῷ ἀμηρᾷ· « Ἐγὼ ἐξ ἀρχῆς ταῦτα ἐνωτιζόμην περὶ τούτων πῶς ἔμελλον γενέσθαι, καὶ πολλάκις ταῦτά σοι εἶρηκα, καὶ οὐκ ἤκουσάς μου. Τὰ νῦν δὲ πάλιν, ἐὰν ἀρεστόν σοί ἐστιν ἵνα ἐκ τῶν ἐντεῦθεν ἀναχωρήσωμεν, καλόν ἐστιν, ἵνα μή τι χεῖρον γένηται. » Καὶ ὁ ἀμηρᾶς ἀκούων τοὺς λόγους τούτους ἠμείβανῆς ἐκ τῆς λύπης καὶ τῆς περιφρονήσεως ἐπανέμεινεν, πῶς μετὰ αἰσχύνης τοσαύτης ὡς φεύγων ἀναχωρήσῃ. Ἰδὼν δὲ αὐτὸν οὕτως ἑστῶτα καὶ διαλογιζόμενον Σογὰν πασιᾶς ὁ δεύτερος βεζίρης αὐτοῦ, ἐσυμβούλευσε τὸν ἀμηρᾶν ἵνα τὴν μάχην κινήσῃ καθ' ἡμῶν, καὶ διὰ τὸ φθονεῖν τῷ Ἀλὶ πασιᾷ· κεκρυμμένην γὰρ ἔχθραν εἶχον ἀναμεταξύ. Καὶ οὕτως ἀναθαῤῥύνας αὐτὸν λέγει· « Ἵνα τί, ὦ ἀμηρᾶ, ἔστηκας σκυθρωπὸς καὶ λυπούμενος, καὶ τίς ἡ δειλία ἡ ἐμπεσοῦσά σοι, καὶ τίνες οἱ ἀναβαίνοντες διαλογισμοὶ ἐπὶ τὴν καρδίαν σου; ὁ Θεὸς μετὰ σοῦ ἐστι. Μὴ λυπήσαι. Οὐχ ὁρᾷς διὰ τοῦ φωτὸς ἐκείνου σημεῖον ὅτι τὴν πόλιν ταύτην εἰς χεῖρά σου δώσει; Οὐχ ὁρᾷς τοσούτου μὴ ἀριθμητοῦ στρατοῦ πλῆθος ὃ ἔχεις, καὶ καλῶς εἶ ἡτοιμασμένος, καὶ πᾶσα ἡ προπαρασκευὴ πολλὴ καὶ καλή; Ὁ στρατὸς **267** τοῦ Μακεδόνος Ἀλεξάνδρου τοσοῦτος οὐχ ὑπῆρχέ ποτε ὡς ὁ σὸς, οὐδὲ τοσαύτας παρασκευάς; αὐτὸς εἶχε· καὶ τὸν κόσμον ἐκυρίευσεν ὅμως. Ἐγὼ μὲν οὐ πιστεύω οὔτε ἐλπίζω ἐκ τῆς Ἰταλίας ἐνταῦθα στόλον ἐλθεῖν, ὡς τινες λέγουσιν καὶ ὁ ἀδελφός μου ὁ Ἀλὶ Πασιᾶς εἶρηκε, διὰ τὶ μὲν καλῶς οἴδατε ὅτι ἡ πολυαρχία τῶν Ἰταλῶν αὐθέντων καὶ τῶν ἑτέρων ἑσπερίων ἀνάρχους ποιεῖ αὐτοὺς εἶναι, καὶ ἀναμέσον αὐτῶν οὐκ ἔστιν ὁμόνοια. Καὶ ὅταν πάλιν τινὲς αὐτῶν ὁμονοήσωσι μετὰ κόπου

eos tueri et defendere, quo invito ipsi nihil possent proficere. His de causis ameras, ut diximus, cum universo exercitu in tristitia et mœrore erat, qui adeo postero die, soluta obsidione, recedere vellet. At ea ipsa vespera, cum sequenti mane discessuri essent, rursus, ut ante, lumen illud cœleste conspiciunt: verum non perinde ac prius diffundebatur, donec supra urbem consisteret tota nocte, sed a longinquo tantum comparuit et subito dispersum evanuit. Quod ut ameras et reliqui omnes viderunt, magna perfusi lætitia, exclamarunt, Deum nunc nos deseruisse. Item exsecrandæ et impiæ superstitionis et erroris eorum sapientes ac scribæ ex illo lumine vaticinabantur, Turcas urbe potituros esse. Ita omnes spem bonam conceperunt, qua propter peccata nostra non sunt frustati.

Ali pasias, princeps senatus, vir præ cæteris spectatus et solers, cum ameram sic fluctuare et reliquos omnes metu et trepidatione agitari videret, in speciem tristis erat, revera exsultabat. Cujus rei causa erat, quod ameram in consiliis a bello contra urbem suscipiendo perpetuo deterrere studuerat, ne occidentales principes, re audita, fœdere conjuncti, Turcas ex Europa ejicerent. Itaque tum rursus mœstitiam simulans, ameram sic compellavit: «Ego ab initio ita hæc eventura esse præsagiebam, ac sæpe tibi edixi, nec audisti me. Nunc denuo, si ita placeat tibi, suadeo, ut hinc recedamus, ne pejus quid accidat. » Qua oratione audita, ameras tristitia et sollicitudine pæne contabuit, quod tanta cum ignominia in modum fugæ recedendum esset. Cum eum ita stantem et cogitabundum videret Sogan pasias, secundus vizires ejus, ut bello nos premeret, ei suasit, invidia erga Ali pasiam commotus. Occultam enim hi inter se exercebant inimicitiam. Itaque eum cohortatus, « Quid, inquit, amera, ita mœstus et afflictus es? Quæ te formido invasit, aut quæ cogitationes subierunt animum tuum? Deus tecum est: mitte sollicitudinem. Annon e luminis illius omine intelligis, eum tibi urbem hanc in manus traditurum esse? nonne innumeri hujus, quem habes, et egregie instructi exercitus multitudinem et tantum ejusdem et tam eximium apparatum cernis? Alexandri Marcedonis olim copiæ non tantæ fuerunt, quantæ tuæ sunt, nec tantus ejusdem apparatus bellicus: et tamen orbem terrarum is expugnavit. Equidem ego non credo, nec spero, ex Italia classem affore, ut quidam aiunt, et affirmavit cum maxime Ali pasias, frater meus: siquidem bene nostis, multitudinem Italorum et reliquorum occidentalium principum facere, ut sine imperio sint, nec vigere inter eos concordiam. Quodsi quidam eorum multo labore multisque conditionibus pacem firmarint, non longo, hercle, sed

Digitized by Google

καὶ συμβάσεων πολλῶν, ἐν ὀλίγῳ καιρῷ καὶ οὐκ εἰς μάκρος λύεται ὁ τούτων σύνδεσμος· καὶ ἐν συνεῖσμῳ ὄντες εἷς κατὰ τοῦ ἑτέρου περιεργάζεται, πῶς ἁρπάξαι δυνήσεται τὰ τούτου, καὶ ἀλλήλους προσέρχονται καὶ φυλάττονται. Πολλὰ μὲν οὖν βουλεύονται καὶ λογίζονται καὶ λέγουσι, καὶ ὀλίγα πράττουσιν, καὶ ἡ τῆς ἑσπέρας βουλὴ τῷ πρωῒ οὐκ ἀρεστὴ ἐστι πάλιν αὐτοῖς. Καὶ ὅταν ἡ βουλὴ σταθῇ, ἐν τοῖς ἔργοις χρονίζουσι· καὶ τοῦτο ποιοῦσιν, ἵνα κατὰ τὰς γνώμας αὐτῶν καὶ ὀρέξεις καιρὸν ἐπιτήδειον εὕρωσι. Καὶ ὅταν ἔργον τι ἐπιχειρισθῶσι καὶ ἀρχὴν ποιήσωσιν, οὐδὲν κατορθώνουσι διὰ τὰς ἀσυμφωνίας αὐτῶν. Καὶ μάλιστα τὰ νῦν, καθὼς γινώσκετε, νέας διαφορὰς ἀναμέσον μέρος τι ἐξ αὐτῶν ἔχουσιν. Καὶ ὅμως πάλιν ἐγὼ ἐρῶ, ὅπερ ἐστὶν ἀδύνατον δι' ἃς αἰτίας εἴρηκα· εἰ στόλος κατὰ ἀλήθειαν ἐκ τῆς Ἰταλίας ἔλθῃ, **268** τί ἐξ αὐτοῦ ἀνάγκη ἡμῖν, ὅτι οὐδέποτε ἐλεύσεται λαὸς ὅσος τὸν ἀριθμὸν τὸ ἥμισυ τοῦ ἡμετέρου στρατοῦ, ἀλλ' οὔτε τὸ τέταρτον μέρος. Διὰ τοῦτο, ὦ ἀμηρᾶ ἡμέτερε αὐθέντα, θάρσει. Οὐκ ἀνάγκη ἐστὶ πρὸς τὸ παρὸν φόβον σε ἔχειν εἰ μὴ μόνον ἐκ Θεοῦ. Καὶ ἀνδρίζου καὶ ἀγάλλου καὶ ἴσχυε, καὶ τῇ τέχνῃ τῇ τοῦ πυρὸς οὐκ ὄκνησον σήμερον καὶ αὔριον, ἵνα μετὰ τῶν ἐλεβόλεων, ὅσον δυνατὸν, τὰ τείχη πλέον ταπεινώσῃς. » Οἱ γὰρ τοιοῦτοι λόγοι καὶ βουλαὶ τῷ ἀμηρᾷ πλεῖστα ἤρεσκον, καὶ χαρίεις ἐναπέμεινε, καὶ ἀναψυχὴν ἐκ τῆς λύπης ἔλαβε. Καὶ προστάξας λέγει αὐτῷ· « Ἀναθεώρησον τὸν στρατὸν ἐν τῇ νυκτὶ ταύτῃ, καὶ γνώρισον αὐτοὺς, ἐν τίνι γνώμῃ εἰσίν. » Αὐτὸς δὲ ποιήσας τὸ προσταχθὲν καὶ ἐλθὼν λέγει· « Εἶδον τὸν στρατὸν καὶ ἐγνώρισα. Τοσοῦτόν ἐστιν· μάχου μετὰ χαρᾶς, καὶ ἡ νίκη ἡμετέρα ἐστίν. » Ἀπεκρίθη οὖν ὁ ἀμηρᾶς καὶ εἶπε· « Λοιπὸν, ὦ Σογὰν, ἀρεστόν σοί ἐστιν ἵνα καὶ ἡμεῖς τὰ νῦν τὴν τύχην γνωρίσωμεν, εἰ ἀρεστὸν αὐτῇ ἐστιν καὶ βοηθήσῃ ἡμῖν ὡς καὶ ἑτέροις πολλοῖς. Στεῖλον οὖν ἐπὶ τὸν Γαλατᾶν φυλακήν τινα, ἵνα μὴ λαθραίως ἐξ αὐτοῦ περάσωσιν καὶ τῇ πόλει βοηθήσωσιν. »

Ἀκούσας δὲ ταῦτα ὁ Ἀλὶ πασιᾶς ἐλυπήθη λίαν, αἰσχυνθεὶς **269** ὅτι ὑπερίσχυσαν οἱ λόγοι τοῦ Σογὰν πασιᾶ, καὶ ἐκ τοῦ φθόνου ἤθελεν, εἰ δυνατὸν, ποιῆσαι μηχανὴν ἵνα οὐδὲν πράξωσιν κατὰ τῆς πόλεως. Ἐμήνυσε τῷ βασιλεῖ τὰ συμβάντα καὶ παρῄνει αὐτὸν μὴ φοβεῖσθαι, διότι ἐν τοῖς πολέμοις ἄδηλός ἐστιν ἡ τύχη πολλάκις· καὶ διὰ τοῦτο οἱ φύλακες φυλαττέτωσαν ἀγρύπνως. Ἦν δὲ τοῦτο τῇ ἑβδόμῃ καὶ εἰκοστῇ τοῦ Μαΐου ἑσπέρᾳ. Ὁ δὲ Ἀμηρᾶς προστάξας δι' ὅλης ἐκείνης τῆς νυκτὸς καὶ τῆς ἐπιούσης ἡμέρας φῶτα καὶ φανοὺς ποιήσωσι, καὶ νήστεις δι' ὅλης τῆς ἡμέρας διατελέσωσι καὶ ἑπτάκις λουσθῶσι, καὶ τοῦ Θεοῦ νήστεις καὶ καθαροὶ δεηθῶσιν, ὅπως τὴν πόλιν νικήσωσιν· ὃ καὶ ἐγένετο. Τῇ δὲ δευτέρᾳ ἑσπέρᾳ ἐπὶ τὴν ἡλίου δύσιν μετὰ τὸ ἀριστῆσαι αὐτοὺς ὁ οὖν ἀμηρᾶς σταθεὶς δημηγορῶν ταῦτα ἔφη·

ε'. Ὦ τέκνα φίλτατα, παρὰ τοῦ Θεοῦ καὶ τοῦ αὐτοῦ προφήτου Μωάμεθ καὶ ἐμοῦ τοῦ δούλου αὐτοῦ δέομαι καὶ παρακαλῶ ὑμᾶς ἵνα ἐπὶ τὴν αὔριον ἄξιον ἔργον μνήμης αἰωνίου ποιήσητε, ὡς καὶ οἱ πρὸ ἡμῶν πανταχοῦ ἕως τοῦ νῦν, ὡς φανερόν ἐστιν,

brevi tempore horum fœdus rumpitur; quique vinculo conjuncti sunt, alii aliorum ditioni aliquid detrahere conantur, ac mutuo sibi insidiantur caventque. Multa illi consultant, ratiocinantur, loquuntur, pauca præstant: quod vespere ineunt consilium, mane non jam probant: aut si stet sententia, rebus cunctantur: quod propterea faciunt, ut cupiditatibus et consiliis suis aptum nanciscantur tempus. Si opus quodpiam aggressi sint et ejus fecerint initium, nihil tamen propter sententiarum discrepantiam recte agunt. In primis hoc tempore, ut nostis, pars eorum novam alit discordiam. Verum fac, ut fiat, quod propter eas, quas dixi, causas fieri nequit: si revera veniat classis ex Italia, quid inde nobis periculi minetur, quandoquidem eorum exercitus non dimidia pars, imo ne quarta quidem hujus multitudinis erit, quam nos habemus. Quare, amera, domine noster, bonum animum habeto; nulla causa nunc quidem est, cur periculum metuas nisi a solo Deo. Itaque fortis, lætus et alacer esto, et quidquid vi ignis effici potest, hodie et cras ne intermittatur, ut helepolibus mœnia, quantum possunt, atterantur. » Hic sermo et consilium ameræ vehementer placuit, et animum ejus e priore mœstitia gaudio perfudit et recreavit. Itaque mandavit ei, ut ea ipsa nocte obiret exercitum et exploraret, quo animo essent milites. Ille jussis obsecutus, rediit et, « Lustravi, inquit, et exploravi exercitum. Hoc scito: pugna læto animo, stat a nobis victoria. » Respondit Ameras: « Jam igitur, mi Sogan, si videtur tibi, nos quoque fortunam nunc exploremus, ut cognoscamus, placeatne ei, nos adjuvare, ut adjuvat alios multos. Quare mitte Galatam custodiam, ne clam huc trajiciant et urbi opem ferant. »

Iis auditis, Ali Pasias magnopere doluit, pudore motus, quod Sogan pasiæ sententia prævaluisset, constituitque ex invidia, ut, si posset, impediret, ne quid proficerent adversus urbem. Significavit imperatori, quid accidisset, eumque hortatus est, ne metueret, quoniam in bellis varia et anceps fortuna soleret esse. Proinde custodes excubias pervigiles agerent. Agebatur hoc vespera vicesimi septimi diei mensis Maii. Ameras imperavit, ut per totam eam noctem et sequentem diem ignes facesque arderent, milites toto die jejunarent et lavarentur septies, ac Deum jejuni lotique suppliciter rogarent expugnationem urbis. Ita cum factum esset, altera vespera sub occasum solis post prandium ameras talem ad milites concionem habuit:

5. « Filii dilectissimi, per Deum et Mohametem, prophetam ejus, et me, ejusdem servum, obsecro vos hortorque, ut crastino die rem peragatis omnium sæculorum memoria dignam, quales ad hunc usque diem majores ubivis fecisse constat, et alacri, ge-

Digitized by Google

ἐποίησαν, καὶ μετὰ προθυμίας καὶ γενναιότητος καὶ μεγαλοψυχίας τοὺς τείχους ἀχωθεν μετὰ τῶν κλιμάκων ὡς πτερωτοὶ διέλθητε· καὶ τὴν φήμην ἣν οἱ πρὸ ἡμῶν, ὡς εἴπομεν, ἐκέρδησαν καὶ ὁ Θεὸς ἐχαρίσατο, μὴ γένοιτο ἵνα ἡμεῖς ἀπολέσωμεν αὐτὴν, ἀλλὰ μάλιστα νῦν ἡ ὥρα ἤγγικεν ἵνα αὐτὴν πολυπλασίως **270** αὐξήσωμεν. » Καὶ ἑτέρους πολλοὺς λόγους στρατιωτικοὺς εἰπὼν αὐτοῖς διέγειρε τούτους εἰς μεγαλοψυχίαν, ἵνα γενναίως πράξωσιν. Εἶτα λέγει· « Καὶ ἐὰν καὶ ἐξ ἡμῶν τινες ἀποκτανθῶσιν, ὡς ἔθος ἐστὶν ἐν τοῖς πολέμοις, γεγραμμένον ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καλῶς οἴδατε διὰ τοῦ ἡμετέρου κορᾶν τί φησιν ὁ προφήτης, ὅτι ὁ ἀποθανὼν ἐν καιρῷ τοιούτῳ ὁλόσωμος ἐν τῷ παραδείσῳ μετὰ τοῦ Μωάμεθ ἀριστήσει καὶ πιεῖ, καὶ μετὰ παίδων καὶ μετὰ γυναικῶν ὡραίων καὶ παρθένων ἐν τόπῳ χλοερῷ καὶ μεμυρισμένῳ ἀνθεσιν ἀναπαυθῇ, καὶ ἐν λουτροῖς ὡραιοτάτοις λουσθῇ, καὶ ἐν ἐκείνῳ τῷ τόπῳ ἐκ Θεοῦ ἕξει ταῦτα. Ἐνταῦθα δὲ πάλιν ἐξ ἐμοῦ πᾶς ὁ ἐμὸς στρατὸς καὶ ἄρχοντες τῆς αὐλῆς μου, ἐὰν νικήσωμεν, ὁ μισθὸς ὃν ἔξουσι παρ' ἐμοῦ, κατὰ τὴν ἀναλογίαν ἑκάστου διπλασίων ἔσται οὗ τὰ νῦν ἔχουσι, ὃς ἀπὸ τοῦ νῦν ἄρξηται ἕως τέλους τῆς ζωῆς αὐτῶν. Καὶ ἡμέραις τρισὶν ἡ πόλις πᾶσα ὑμῶν ἔσεται. Καὶ εἴ τι δ' ἂν σκυλεύσητε καὶ εὕρητε χρυσίου καὶ ἀργυρίου σκεῦος καὶ ἱματισμὸν, αἰχμαλώτους τε ἄνδρας καὶ γυναῖκας, μικρούς τε καὶ μεγάλους, οὐδεὶς δυνηθείη αὐτοὺς ὑμῖν αἰτῆσαι ἢ τι ἐνοχλῆσαι εἰς οὐδέν. » Καὶ τελειώσας τοῦ λέγειν ὥμοσεν αὐτοῖς φυλάξαι τὰ ὅσα αὐτοῖς διετάξατο. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν λίαν, καὶ ἐν μιᾷ φωνῇ πάντες ἀλ-

λάξαντες ἦσαν κατὰ τὴν ἐκείνων διάλεκτον· « Ἀλλὰ ἀλλά· Μεεμέτη ρεσοὺλ ἀλλὰ, » τοῦτ' ἔστιν· « Ὁ Θεὸς τῶν θεῶν, καὶ ὁ Μαχουμέτης ὁ προφήτης αὐτοῦ. »

271 Ἀκούσαντες δὲ ἡμεῖς ἐν τῇ πόλει τῆς τοσαύτης κραυγῆς ὡσεὶ ἦχον μέγαν θαλάσσης, ἐλογιζόμεθα τί ἄρα ἐστί· μετ' ὀλίγον δὲ ἐμάθομεν βεβαίως καὶ ἐν ἀληθείᾳ ὅτι ἐπὶ τὴν αὔριον ὁ Ἀμηρᾶς ἡτοίμασε χερσαῖόν τε καὶ ὑδραῖον πόλεμον σφοδρῶς, ὅσον αὐτῷ ἦν δυνατὸν, δῶσαι τῇ πόλει. Ἡμεῖς δὲ θεωροῦντες τοσοῦτον πλῆθος τῶν ἀσεβῶν, λέγω ὡς ἐμοὶ δοκεῖ, ὄντως καθ' ἕκαστον ἡμῶν πεντακόσιοι καὶ πλεῖον ἦσαν ἐξ αὐτῶν· καὶ εἰς τὴν ἄνω πρόνοιαν πάσας ἡμῶν τὰς ἐλπίδας ἀνεθέμεθα. Καὶ Προστάξας ὁ βασιλεὺς ἵνα μετὰ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων καὶ τῶν θείων ἐκτυπωμάτων ἱερεῖς, ἀρχιερεῖς καὶ μοναχοὶ, γυναῖκές τε καὶ παιδία, μετὰ δακρύων διὰ τῶν τειχῶν τῆς πόλεως περιερχόμενοι τὸ Κύριε ἐλέησον μετὰ δακρύων ἐκραζον, καὶ τὸν Θεὸν ἱκέτευον ἵνα μὴ διὰ τὰς ἁμαρτίας ἡμῶν παραδώσῃ ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων καὶ ἀποστατῶν καὶ πονηροτάτων παρὰ πᾶσαν τὴν γῆν, ἀλλ' ἵλεως γενήσηται ἡμῖν τῇ κληρονομίᾳ αὐτοῦ. Καὶ μετὰ κλαυθμοῦ ἀλλήλους ἀνεθαῤῥύνοντο ἵνα ἀνδρείως ἀντισταθῶσι τοῖς ἐναντίοις ἐπὶ τῇ ὥρᾳ τῆς συμπλοκῆς. Ὁμοίως δὲ καὶ ὁ βασιλεὺς τῇ αὐτῇ ὁδυνηρᾷ ἑσπέρᾳ τῆς δευτέρας συνάξας πάντας τοὺς ἐν τέλει ἄρχοντας καὶ ἀρχομένους δημάρχους καὶ ἑκατοντάρχους καὶ ἑτέρους προκρίτους στρατιώτας ταῦτα ἔφη·

ς'. « Ὑμεῖς μὲν, εὐγενέστατοι ἄρχοντες καὶ ἐκλαμπρότατοι δήμαρχοι καὶ στρατηγοὶ καὶ γεν-

neroso et forti animo mœnia per scalas tanquam alites escendatis, neve accidat, ut gloriam, a majoribus, ut dixi, quæsitam et a Deo donatam, nos nunc amittamus, cum eximie augendæ ejus tempus adsit. » Aliis multis bellicis dictis ad fortitudinem eos cohortatus est, ut strenue pugnarent. Deinde addidit : « Quodsi nonnulli de nobis, quæ est belli natura, occubuerint, bene nostis e corane, quid de his propheta dicat : tali tempore qui moriatur, eum cum toto corpore in paradiso cœnaturum et bibiturum esse cum Mohamete, et cum pueris et muliebribus formosis virginibusque in regione virenti et floribus fragranti quieturum et lavacris pulcherrimis usurum. Atque talia quidem in illo loco a Deo accipiet. Hic autem omnis exercitus et aulæ proceres, si vicerimus, stipendium duplex ejus, quod nunc habent, accipient, ab hoc inde die ad finem vitæ usque. Tota urbs tribus diebus vestra erit. Ac si quis spoliorum quidpiam legerit, vasa aurea vel argentea, vestes repererit, viros, feminas cujusvis ætatis ceperit, nemo hæc vos postulare aut molestiam vobis creare poterit. » Ubi finem dicendi fecit, sacramento se obstrinxit, facturum se esse, quæ promisisset. Milites hac conditione mirifice lætati, uno ore clamarunt lingua sua : « Alla alla ! Mehemetes resul alla ! » hoc est, « Deus deorum et Mahumetes propheta ejus. »

Cum nos in urbe tantos clamores, tanquam magnum maris fremitum, audiremus, quid illud esset, cogitabamus. Sed mox certo ac vere cognovimus, in crastinum diem Ameram terrestre et maritimum bellum, quantum posset, urbi parare. Intuentes tantam impiorum multitudinem (dicam, quod mihi videtur), ut sine dubio contra singulos nostrum plures quingentis pugnarent, in superna Providentia spem omnem collocabamus. Præcepit imperator, ut cum sacris et venerandis imaginibus et simulacris sacerdotes, episcopi et monachi, mulieres et pueri, cum lacrymis intra mœnia urbis obeuntes, Kyrie eleeson clamitarent et Deo supplicarent, ne propter peccata nostra in manibus hostium iniquorum et impiorum et, quos terra sustinet, sceleratissimorum nos traderet, sed propitius esset nobis, hæreditati suæ. Insuper collacrymantes invicem se cohortabantur, ut tempore committendi prælii fortiter hostibus resisterent. Cæterum etiam imperator luctuosa illa vespera, coactis omnibus primoribus, principibus et subditis, tribunis, centurionibus et reliquis præcipuis militibus, concionem habuit in hunc modum :

6. « Principes nobilissimi, tribuni et milites cla-

Digitized by Google

ναιότατοι συστρατιῶται καὶ πᾶς **272** ὁ πιστὸς καὶ τίμιος λαὸς, καλῶς οἴδατε ὅτι ἔφθασεν ἡ ὥρα καὶ ὁ ἐχθρὸς τῆς πίστεως ἡμῶν βούλεται ἵνα μετὰ πάσης τέχνης καὶ μηχανῆς ἰσχυροτέρως στενοχωρήσῃ ἡμᾶς, καὶ πόλεμον σφοδρὸν μετὰ συμπλοκῆς μεγάλης καὶ συρρήξεως ἐκ τῆς χέρσου καὶ θαλάσσης δώσῃ ἡμῖν μετὰ πάσης δυνάμεως, ἵνα, εἰ δυνατὸν, ὡς ὄφις τὸν ἰὸν ἐκχύσῃ καὶ ὡς λέων ἀνήμερος καταπίῃ ἡμᾶς. [Βιάζεται] διὰ τοῦτο λέγω καὶ παρακαλῶ ὑμᾶς ἵνα στῆτε ἀνδρείως καὶ μετὰ γενναίας ψυχῆς, ὡς πάντοτε ἕως τοῦ νῦν ἐποιήσατε, κατὰ τῶν ἐχθρῶν τῆς πίστεως ἡμῶν. Παραδίδωμι δὲ ὑμῖν τὴν ἐκλαμπροτάτην καὶ περίφημον ταύτην πόλιν καὶ πατρίδα ἡμῶν καὶ βασιλεύουσαν τῶν πόλεων. Καλῶς οὖν οἴδατε, ἀδελφοὶ, ὅτι διὰ τέσσαρά τινα ὀφειλέται κοινῶς ἐσμεν πάντες ἵνα προτιμήσωμεν ἀποθανεῖν μᾶλλον ἢ ζῆν, πρῶτον μὲν ὑπὲρ τῆς πίστεως ἡμῶν καὶ εὐσεβείας, δεύτερον δὲ ὑπὲρ τῆς πατρίδος, τρίτον δὲ ὑπὲρ τοῦ βασιλέως ὡς Χριστοῦ Κυρίου, καὶ τέταρτον ὑπὲρ συγγενῶν καὶ φίλων. Λοιπὸν, ἀδελφοὶ, ἐὰν χρεῶσταί ἐσμεν ὑπὲρ ἑνὸς ἐκ τῶν τεσσάρων ἀγωνίζεσθαι ἕως θανάτου, πολλῷ μᾶλλον ὑπὲρ πάντων τούτων ἡμεῖς, ὡς βλέπετε προφανῶς, καὶ ἐκ πάντων μέλλομεν ζημιωθῆναι. Ἐὰν διὰ τὰ ἐμὰ πλημμελήματα παραχωρήσῃ ὁ Θεὸς τὴν νίκην τοῖς ἀσεβέσιν, ὑπὲρ τῆς πίστεως ἡμῶν τῆς ἁγίας, ἣν Χριστὸς ἐν τῷ οἰκείῳ αἵματι **273** ἡμῖν ἐδωρήσατο, κινδυνεύομεν· ὅ ἐστι κεφάλαιον πάντων. Καὶ ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ τις καὶ τὴν ψυχὴν ζημιωθῇ, τί τὸ ὄφελος; Δεύτερον πατρίδα περίφημον τοιούτως ὑστερούμεθα καὶ τὴν ἐλευ-

A θερίαν ἡμῶν. Τρίτον βασιλείαν τὴν ποτὲ μὲν περιφανῆ, νῦν δὲ τεταπεινωμένην καὶ ὠνειδισμένην καὶ ἐξουθενημένην ἀπωλέσαμεν, καὶ ὑπὸ τοῦ τυράννου καὶ ἀσεβοῦς ἄρχεται. Τέταρτον δὲ καὶ φιλτάτων τέκνων καὶ συμβίων καὶ συγγενῶν ὑστερούμεθα. Αὐτὸς δὲ ὁ ἀλιτήριος ὁ ἀμηρᾶς πεντήκοντα καὶ ἑπτὰ ἡμέρας ἄγει σήμερον ἀφ' οὗ ἡμᾶς ἐλθὼν ἀπέκλεισεν καὶ μετὰ πάσης μηχανῆς καὶ ἰσχύος καθ' ἡμέραν τε καὶ νύκτα οὐκ ἐπαύσατο πολιορκῶν ἡμᾶς· καὶ χάριτι τοῦ παντεπόπτου Χριστοῦ Κυρίου ἡμῶν ἐκ τῶν τειχῶν μετὰ αἰσχύνης ἄχρι τοῦ νῦν πολλάκις κακῶς ἀπεπέμφθη. Τὰ νῦν δὲ πάλιν, ἀδελφοὶ, μὴ δειλιάσητε, ἐὰν καὶ τεῖχος μερόθεν ὀλίγον ἐκ τῶν κρότων καὶ τῶν πτωμάτων τῶν ἐλεπόλεων ἔπεσε, διότι, ὡς ὑμεῖς θεωρεῖτε, κατὰ τὸ δυνατὸν ἐδιωρθώ- B σαμεν πάλιν αὐτό. Ἡμεῖς πᾶσαν τὴν ἐλπίδα εἰς τὴν ἅμαχον δόξαν τοῦ Θεοῦ ἀνεθέμεθα, οὗτοι ἐν ἅρμασι καὶ οὗτοι ἐν ἵπποις καὶ δυνάμει καὶ πλήθει, ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν πεποίθαμεν, δεύτερον δὲ καὶ ἐν ταῖς ἡμετέραις χερσὶ καὶ ῥωμαλεότητι, ἣν ἐδωρήσατο ἡμῖν ἡ θεία δύναμις. Γνωρίζω δὲ ὅτι αὕτη ἡ μυριαρίθμητος ἀγέλη τῶν ἀσεβῶν, καθὼς ἡ αὐτῶν συνήθεια, ἐλεύσονται καθ' ἡμῶν **274** μετὰ βαναύσου καὶ ἐπηρμένης ὀφρύος καὶ θάρσους πολλοῦ καὶ βίας, ἵνα διὰ τὴν ὀλιγότητα ἡμῶν θλίψωσι καὶ ἐκ τοῦ κόπου στενοχωρήσωσι, καὶ μετὰ φωνῶν μεγάλων καὶ ἀλαλαγμῶν ἀναριθμήτων, ἵνα ἡμᾶς φοβήσωσι. Τὰς τοιαύτας αὐτῶν φλυαρίας καλῶς οἴδατε, καὶ οὐ χρὴ λέγειν περὶ τούτων. Καὶ ὧρα ὀλίγοι ταῦτα ποιήσωσι, καὶ C ἀναριθμήτους πέτρας καὶ ἕτερα βέλη καὶ ἐλεβολί-

rissimi, commilitones generosissimi et omnes fideles et honorandi cives! Probe nostis, venisse tempus, quo fidei nostræ hostis omnibus artibus et machinis vehementius nos urgere, et grave bellum magno conflictu et certamine terra marique summa contentione nobis inferre decrevit, ut, si possit, tanquam anguis, venenum in nos effundat, et, tanquam immitis leo, nos devoret. Quare rogo et hortor vos, ut forti et generoso animo, sicut hucusque semper fecistis, hostibus fidei nostræ resistatis. Trado et commendo vobis clarissimam hanc et illustrem urbem, patriam nostram, et reginam urbium. Non ignoratis, fratres, quatuor nominibus communiter omnes nos mortem vitæ anteponere debere, primum pro fide et pietate, deinde pro patria, tum pro imperatore ut uncto servo Domini, postremo pro cognatis et amicis. Quodsi, fratres, pro una harum quatuor rerum decertare usque ad necem debemus, multo magis, ut liquido apparet, pro his omnibus mortem non recusabimus. Si propter delicta mea Deus victoriam impiis concesserit, in sancta fide nostra, quam Christus sanguine suo nobis paravit, periclitamur : id quod omnium caput est. Nam si quis totum mundum lucretur, animæ autem detrimentum patiatur, quid illi proderit? Secundo loco inclita patria et libertate privamur. Tertio imperium olim illustre, nunc

depressum et spretum et contemptum amittimus, in potestatem tyranni et impii hominis concessurum; postremo liberis amatissimis, conjugibus et cognatis spoliamur. Est autem dies quinquagesimus septimus, ex quo scelestus iste ameras nos obsessos tenet et omnibus machinis omnique vi die ac nocte nos oppugnare non desistit : at omnia intuentis Christi Domini gratia hucusque sæpenumero cum dedecore a mœnibus repulsus est. Quapropter nec nunc, fratres, timori locum relinquatis, etiamsi mœnia aliqua ex parte propter helepolium pulsus et ictus corruerunt, quoniam, D ut videtis ipsi, pro viribus ea instauravimus. Omnem spem in gloria invicta Dei collocavimus. Illi curribus, equis, copiis, multitudini, nos Dei, Domini et Salvatoris nostri, nomini, deinde demum manibus et robori fidimus, a divina potentia nobis donatis. Scio equidem, hanc innumerabilem impiorum turbam more suo contra nos processuram esse cum fastu, elato supercilio, spiritibus magnis et violentia, ut nos pauces urgeant et ærumnis premant, ingenti item cum clamore et ululatu, quo metum nobis injiciant : quas eorum nugas probe nostis, ut nihil attineat, de his dicere. Non pauci tum ita facient, atque lapides aliaque tela et jacula, ut arena maris, innumera, in nos conjicientur : quibus tamen nihil nos læsum iri confido, quam-

Digitized by Google

σκους ὡσεὶ ἄμμον θαλασσῶν ἄνωθεν ἡμῶν πτήσουσι· δι' ὧν, ἐλπίζω γάρ, οὐ βλάψωσι, διότι ὑμᾶς θεωρῶ καὶ λίαν ἀγάλλομαι καὶ τοιαύταις ἐλπίσι τὸν λογισμὸν τρέφομαι, ὅτι εἰ καὶ ὀλίγοι πάνυ ἐσμὲν, ἀλλὰ πάντες ἐπιδέξιοι καὶ ἐπιτήδειοι ῥωμαλέοι τε καὶ ἰσχυροὶ καὶ μεγαλήτορες, καὶ καλῶς προπαρασκευασμένοι ὑπάρχετε. Ταῖς ἀσπίσιν ὑμῶν καλῶς τὴν κεφαλὴν σκέπεσθε ἐπὶ τῇ συμπλοκῇ καὶ συῤῥήξει. Ἡ δεξιὰ ὑμῶν ἡ τὴν ῥομφαίαν ἔχουσα μακρὰ ἔστω πάντοτε. Αἱ περικεφαλαῖαι ὑμῶν καὶ οἱ θώρακες καὶ οἱ σιδηροῖ ἱματισμοὶ λίαν εἰσὶν ἱκανοὶ ἅμα καὶ τοῖς λοιποῖς ὅπλοις, καὶ ἐν τῇ συμπλοκῇ ἔσονται πάνυ ὠφέλιμα· ἃ οἱ ἐναντίοι οὐ χρῶνται, ἀλλ' οὔτε κέκτηνται. Καὶ ὑμεῖς ἔσωθεν τῶν τειχῶν ὑπάρχετε οκεπόμενοι, οἱ δὲ ἀσκεπεῖς μετὰ κόπου ἔρχονται. Διὸ ὦ συστρατιῶται γίνεσθε ἕτοιμοι καὶ στερεοὶ καὶ μεγαλόψυχοι διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ. Μιμηθῆτε τούς ποτε τῶν Καρχηδονίων ὀλίγους ἐλέφαντας, πῶς τοσοῦτον πλῆθος ἵππων Ῥωμαίων τῇ φωνῇ καὶ θέᾳ ἐδίωξαν· καὶ ἐὰν **275** ζῶον ἄλογον ἐδίωξε, πόσον μᾶλλον ἡμεῖς οἱ τῶν ζώων καὶ ἀλόγων ὑπάρχοντες κύριοι, καὶ οἱ καθ' ἡμῶν ἐρχόμενοι ἵνα παράταξιν μεθ' ἡμῶν ποιήσωσιν, ὡς ζῶα ἄλογα, καὶ χείρονές εἰσιν. Αἱ πέλται ὑμῶν καὶ ῥομφαῖαι καὶ τὰ τόξα καὶ ἀκόντια πρὸς αὐτοὺς πεμπέτωσαν παρ' ὑμῶν. Καὶ οὕτως λογίσθητε ὡς ἐπὶ ἀγρίων χοίρων πλῆθυν κυνήγιον, ἵνα γνώσωσιν οἱ ἀσεβεῖς ὅτι οὐ μετὰ ἀλόγων ζώων, ὡς αὐτοὶ, παράταξιν ἔχουσιν, ἀλλὰ μετὰ κυρίων καὶ αὐθεντῶν αὐτῶν καὶ ἀπογόνων Ἑλλήνων καὶ Ῥωμαίων. Οἴδατε καλῶς ὅτι ὁ δυσσεβὴς αὐτὸς ὁ ἀμυρᾶς καὶ ἐχθρὸς τῆς ἁγίας ἡμῶν πίστεως χωρὶς εὐλόγου αἰτίας τινὸς τὴν ἀγάπην ἣν εἴχομεν ἔλυσεν, καὶ τοὺς ὅρκους αὐτοῦ τοὺς πολλοὺς ἠθέτησεν ἀντ' οὐδενὸς λογιζόμενος, καὶ ἐλθὼν αἰφνιδίως φρούριον ἐποίησεν ἐπὶ τὸ στενὸν τοῦ Ἀσωμάτου, ἵνα καθ' ἑκάστην ἡμέραν δύνηται βλάπτειν ἡμᾶς. Τοὺς ἀγροὺς ἡμῶν καὶ κήπους καὶ παραδείσους καὶ οἴκους ἤδη πυριαλώτους ἐποίησε· τοὺς ἀδελφοὺς ἡμῶν τοὺς Χριστιανοὺς, ὅσους εὗρεν, ἐθανάτωσε καὶ ᾐχμαλώτευσε· τὴν φιλίαν ἡμῶν ἔλυσε. Τοὺς δὲ τοῦ Γαλατᾶ ἐφιλίωσε, καὶ αὐτοὶ χαίρονται, μὴ εἰδότες καὶ αὐτοὶ οἱ ταλαίπωροι τὸν τοῦ γεωργοῦ παιδὸς μῦθον, τοῦ ἐψήνοντος τοὺς κοχλίας καὶ εἰπόντος, Ὦ ἀνόητα ζῶα, καὶ τὰ ἑξῆς. Ἐλθὼν οὖν, ἀδελφοὶ, ἡμᾶς ἀπέκλεισε, καὶ καθ' ἑκάστην τὸ ἀχανὲς αὐτοῦ στόμα χάσκων, πῶς εὕρῃ καιρὸν ἐπιτήδειον ἵνα καταπίῃ ἡμᾶς καὶ τὴν πόλιν ταύτην, ἣν ἀνήγειρεν ὁ τρισμακάριστος **276** καὶ μέγας βασιλεὺς Κωνσταντῖνος ἐκεῖνος, καὶ τῇ πανάγνῳ τε καὶ ὑπεράγνῳ δεσποίνῃ ἡμῶν θεοτόκῳ καὶ ἀειπαρθένῳ Μαρίᾳ ἀφιέρωσεν καὶ ἐχαρίσατο τοῦ κυρίαν εἶναι καὶ βοηθὸν καὶ σκέπην τῇ ἡμετέρᾳ πατρίδι καὶ καταφύγιον τῶν Χριστιανῶν, ἐλπίδα καὶ χαρὰν πάντων τῶν Ἑλλήνων, τὸ καύχημα πᾶσι τοῖς οὖσιν ὑπὸ τὴν τοῦ ἡλίου ἀνατολήν. Καὶ οὗτος ὁ ἀσεβέστατος τήν ποτε περιφανῆ καὶ ὁμφακίζουσαν ὡς ῥόδον τοῦ ἀγροῦ βούλεται ποιῆσαι ὑπ' αὐτόν. Ἣν ἐδούλωσε σχεδὸν, δύναμαι εἰπεῖν, πᾶσαν τὴν ὑφ' ἥλιον, καὶ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτῆς Πόντον καὶ Ἀρμενίαν, Περσίαν καὶ Παμφλαγονίαν, Ἀμαζόνας καὶ Καππαδοκίαν, Γαλατίαν καὶ Μηδίαν, Κολχοὺς καὶ Ἴβηρας, Βοσπορινοὺς καὶ Ἀλβάνους, Συρίαν καὶ Κιλικίαν καὶ

doquidem vos dum intueor, animum non abjicio, sed bona spe sustento, quoniam, licet perpauci, tamen omnes dexteri, idonei, robusti, fortes et generosi et præclare ante exercitati estis. Scutis capita bene tegite in pugna et conflictu ; dextera gladium tenens semper extensa esto. Galeæ, thoraces et tunicæ ferreæ plane sufficiunt cum reliquis munimentis, et præliantibus valde erunt utilia : quæ hostes non usurpant, nec habent omnino. Præterea vos intra muros tecti consistitis, illi aperti et cum labore concursant. Quare, commilitones, per misericordiam Dei strenui et fortes generosique estote. Mementote, quantam olim equorum Romanorum multitudinem perpauci elephanti Carthaginiensium voce aspectuque fugarint. Quodsi bruta animalia illud fecerunt, quanto facilius nos, qui animalium ratione expertium domini sumus, præsertim cum, qui nos oppugnatum veniunt, similes animalium brutorum et ipsis brutis magis etiam bruti sint? Atque ita existimate, venari vos aprorum greges, ut cognoscant impii, pugnare se non cum brutis bestiis, quales ipsi sunt, sed cum dominis et principibus suis, Græcorum et Romanorum posteris. Probe scitis, ipsum impium ameram, fidei nostræ hostem, sine ulla idonea causa pacem, quam colebamus, rupisse, et tot nobis data sacramenta flocci pependisse et palam viola se, et subito, impressione facta, castellum condidisse ad fauces Asomati, ut quotidie posset nos vexare. Agros nostros, hortos, vivaria et ædificia igne jam vastavit ; fratres nostros Christianos, quoquot invenit, necavit aut captivos abduxit ; amicitiam diremit. Galatæos sibi conciliavit, qui gaudent ea conciliatione, nescii illi miseri fabulæ de puero rustico, qui cochleas coquens dixit, Stulta animalia et quæ sequuntur. Advenions igitur, fratres, nos obsedit, et ore ingenti hiat quotidie, dum idoneum tempus inveniat deglutiendi nos et urbem hanc, quam ter beatus et magnus ille imperator Constantinus excitavit et castissimæ et supra, quam dici potest, castissimæ dominæ nostræ, Deiparæ ac semper virgini Mariæ consecravit donavitque, ut domina, auxiliatrix et protectrix patriæ nostræ Christianorumque perfugium esset, urbem, quæ spes et gaudium Græcorum omnium et gloriatio eorum est, qui per Orientem habitant. Hac insigni quondam et florente urbe, ut rosa agri, nunc impius iste potiri conatur : quæ, prope dixerim, pene totum sub sole mundum subegit, et pedibus suis subjecit Pontum, Armeniam, Persas, Paphlagoniam, Amazones, Cappadociam, Galatiam, Mediam, Colchos, Iberos, Bosporianos, Albanos, Syriam, Ciliciam, Mesopotamiam, Phœniciam, Palæstinam, Arabiam, Judæam, Bactrianos, Scythas, Macedoniam, Thessa-

Digitized by Google

Μεσοποταμίαν, Φοινίκην καὶ Παλαιστίνην, Ἀραβίαν τε καὶ Ἰουδαίαν, Βακτριανοὺς καὶ Σκύθας, Μακεδονίαν καὶ Θετταλίαν, Ἑλλάδα, Βοιωτίαν, Λοκροὺς καὶ Αἰτωλοὺς, Ἀκαρνανίαν, Ἀχαΐαν καὶ Πελοπόννησον, Ἤπειρον καὶ τὸ Ἰλλυρικὸν, Λυχνίτας κατὰ τὸ Ἀνδριατικὸν, Ἰταλίαν, Τουσκίνους, Κελτοὺς καὶ Κελτογαλάτας, Ἰβηρίαν τε καὶ ἕως τῶν Γαδείρων, Λιβύαν καὶ Μαυρητανίαν καὶ Μαυρουσίαν, Αἰθιοπίαν, Βελέδας, Σκούδην, Νουμιδίαν καὶ Ἀφρικὴν καὶ Αἴγυπτον, αὐτὸς τὰ νῦν βούλεται δουλῶσαι, καὶ τὴν κυριεύουσαν **277** τῶν πόλεων ζυγῷ ὑποβαλεῖν καὶ δουλείᾳ, καὶ τὰς ἁγίας ἐκκλησίας ἡμῶν, ἔνθα ἐπροσκυνεῖτο ἡ ἁγία Τριὰς καὶ ἐδοξολογεῖτο τὸ πανάγιον, καὶ ὅπου οἱ ἄγγελοι ἠκούοντο ὑμνεῖν τὸ Θεῖον καὶ τὴν ἐνσαρκον τοῦ Θεοῦ Λόγου οἰκονομίαν, βούλεται ποιῆσαι προσκύνημα τῆς αὐτοῦ βλασφημίας καὶ τοῦ φληναφοῦ αὐτοῦ ψευδοπροφήτου Μωάμεθ, καὶ κατοικητήριον ἀλόγων καὶ καμήλων. Λοιπὸν, ἀδελφοὶ καὶ συστρατιῶται, κατὰ νοῦν ἐνθυμήθητε ἵνα τὸ μνημόσυνον ὑμῶν καὶ ἡ μνήμη καὶ ἡ φήμη καὶ ἡ ἐλευθερία αἰωνίως γενήσηται. »

Καὶ στραφεὶς πρὸς τοὺς Ἐνετοὺς ἐν τοῖς δεξιοῖς μέρεσιν ἱσταμένους ἔφη· « Ἐνετοὶ εὐγενεῖς, ἀδελφοὶ ἠγαπημένοι ἐν Χριστῷ τῷ Θεῷ, ἄνδρες ἰσχυροὶ καὶ στρατιῶται δυνατοὶ καὶ ἐν πολέμοις δοκιμώτατοι, οἳ διὰ τῶν ἐστιλβωμένων ὑμῶν ῥομφαίων καὶ χάριτος πολλάκις πλῆθος τῶν Ἀγαρηνῶν ἐθανατώσατε, καὶ τὸ αἷμα αὐτῶν ποταμειδὸς ἐκ τῶν χειρῶν ὑμῶν ἔῤῥευσε, τῇ σήμερον παρακαλῶ ὑμᾶς ἵνα τὴν πόλιν ταύτην τὴν εὑρισκομένην ἐπὶ τοσαύτῃ συμφορᾷ τοῦ πολέμου ὀλοψύχως καὶ ἐκ μέσου ψυχῆς γένησθε ὑπερασπισταί. Οἴδατε γὰρ καλῶς, καὶ δευτέραν πατρίδα καὶ μητέρα αὐτὴν ἀεννάως εἴχετε· διὸ καὶ ἐκ δευτέρου πάλιν λέγω καὶ παρακαλῶ ἵνα ἐν αὐτῇ ὥρᾳ ὡς φιλόπιστοί τε καὶ ὁμόπιστοι καὶ ἀδελφοὶ ποιήσητε. » Εἶτα στραφεὶς ἐν τοῖς ἀριστεροῖς μέρεσι λέγει τοῖς Λιγουρίταις· « Ὦ Λιγουρῖται, ἐντιμότατοι ἀδελφοὶ, ἄνδρες **278** πολεμισταὶ καὶ μεγαλοκάρδιοι καὶ φημιστοὶ, καλῶς οἴδατε καὶ γινώσκετε ὅτι ἡ δυστυχὴς αὕτη πόλις πάντοτε οὐκ ἐμοὶ μόνον ὑπῆρχεν, ἀλλὰ καὶ ὑμῖν διὰ πολλά τινα αἴτια. Ὑμεῖς μὲν πολλάκις μετὰ προθυμίας αὐτῇ ἐβοηθήσατε, καὶ συνδρομῇ ὑμετέρᾳ ἐλυτρώσατε ἀπὸ τῶν Ἀγαρηνῶν τῶν αὐτῆς ἐναντίων. Τὰ νῦν πάλιν ὁ καιρός ἐστιν ἐπιτήδειος ἵνα δείξητε εἰς βοήθειαν αὐτῆς τὴν Χριστῷ ἀγάπην καὶ ἀνδρίαν καὶ γενναιότητα ὑμῶν. » Καὶ πληθυντικῶς στραφεὶς πρὸς πάντας εἶπεν· « Οὐκ ἔχω καιρὸν εἰπεῖν ὑμῖν πλείονα. Μόνον τὸ τεταπεινωμένον ἡμέτερον σκῆπτρον εἰς τὰς ὑμῶν χεῖρας ἀνατίθημι, ἵνα αὐτὸ μετ' εὐνοίας φυλάξητε. Παρακαλῶ δὲ καὶ τοῦτο καὶ δέομαι τῆς ὑμετέρας ἀγάπης, ἵνα τὴν πρέπουσαν τιμὴν καὶ ὑποταγὴν δώσητε τοῖς ὑμετέροις στρατηγοῖς καὶ δημάρχοις καὶ ἑκατοντάρχοις, ἕκαστος κατὰ τὴν τάξιν αὐτοῦ καὶ τάγμα καὶ ὑπηρεσίαν. Γνωρίσατε δὴ τοῦτο. Καὶ ἐὰν ἐκ καρδίας φυλάξητε τὰ ὅσα ἐνετειλάμην ὑμῖν, ἐλπίζω εἰς Θεὸν ὡς λυτρωθείημεν ἡμεῖς τῆς ἐνεστώσης αὐτοῦ δικαίας ἀπειλῆς. Δεύτερον δὲ καὶ ὁ στέφανος ὁ ἀδαμάντινος ἐν οὐρανοῖς ἐναπόκειται ὑμῖν, καὶ μνήμη αἰώνιος καὶ ἄξιος ἐν τῷ κόσμῳ ἔσεται. » Καὶ ταῦτα εἰπὼν καὶ τὴν δημηγορίαν τελέσας καὶ μετὰ δακρύων καὶ στεναγμῶν τὸν Θεὸν

liam, Helladem, Bœotiam, Locros, Ætolos, Acarnaniam, Achaiam, Peloponnesum, Epirum, Illyricum, Lychnitas in mari Adriatico, Italiam, Tuscos, Celtas, Celtogalatas, Iberiam usque Gades, Libyam, Mauretaniam, Maurusiam, Æthiopiam, Beledas, Scudam, Numidiam, Africam, Ægyptum: hac igitur nunc iste potiri conatur et reginam urbium subjugare in servitutemque redigere, atque sanctas ecclesias nostras, ubi sancta Trinitas adorabatur et sanctissimum celebrabatur Numen, ubi angeli divinam mentem et in carne susceptam Dei Verbi œconomiam canentes audiebantur, in fanum blasphemiæ suæ et garruli prophetæ Mohametis et brutorum camelorumque habitaculum convertere cogitat. Verum, fratres et commilitones, cogitate cum animis vestris, quo pacto memoriam nostri et famam et libertatem perpetuam consequamini. »

Tum ad Venetos conversus, qui a dextris adstabant: « Veneti, inquit, illustres, fratres in Christo Deo dilecti, viri fortes et milites strenui et bello probatissimi, qui gladiis vestris micantibus et divina gratia sæpe magnas Agarenorum strages edidistis, quorum sanguis fluminis instar de manibus vestris defluxit, hodie vos obsecro, ut urbem hanc in tanta belli calamitate versantem, ex animo et intimo pectore defendatis. Scitis enim ipsi, hanc vos alteram patriam et matrem semper habuisse: quare iterum vos obsecro, ut in ipso rerum discrimine amicos et fidei socios et fratres vos præstetis. » Deinde ad sinistram versus, Ligures ita allocutus est: « Ligures, fratres honoratissimi, viri bellicosi, generosi et nobiles, non ignoratis, infelicem hanc urbem semper non meam solius, sed etiam vestram fuisse multis de causis. Vos sæpe studiose ei opem tulistis, et auxilio vestro liberastis eam ab Agarenis, ejus hostibus. Nunc rursus tempus adest opportunum, quo ope ferenda illam in Christo charitatem, fortitudinem ac magnanimitatem vestram comprobetis. » Postremo ad omnes simul conversus: « Non est tempus, inquit, pluribus vos allòquendi. Tantummodo sceptrum nostrum dignitate sua exutum manibus vestris commendo, ut studiose a vobis custodiatur. Hortor autem et charitatem vestram obsecro, ut quem decet honorem et obedientiam militibus vestris, tribunis et centurionibus, secundum suum quisque ordinem et manipulum, præbeatis: scitote, hoc quoque esse muneris vestri. Quodsi ex animo feceritis, quæ vobis mandavi, Deo confisus spero, minis et periculis jure ab eo in nos intentis nos liberatum iri. Deinde corona adamantina in cœlo vos manet, et memoria vestri perpetua et eximia in orbe terrarum erit. » His verbis cum finem dicendi fecisset et cum lacrymis gemitibusque Deo gratias egisset, cuncti velut uno

Digitized by Google

εὐχαριστήσας, οἱ πάντες ὡς ἐξ ἑνὸς στόματος ἀπεκρίναντο μετὰ κλαυθμοῦ λέγοντες, « Ἀποθάνωμεν ὑπὲρ τῆς Χριστοῦ πίστεως καὶ τῆς πατρίδος; **279** ἡμῶν. » Ἀκούσας δὲ ὁ βασιλεὺς καὶ πλεῖστα εὐχαριστήσας καὶ πλείστας δωρεῶν ἐπαγγελίας αὐτοῖς ἀπηγγείλατο. Εἶτα πάλιν λέγει· « Λοιπὸν, ἀδελφοὶ καὶ συστρατιῶται, ἕτοιμοι ἔστε τῷ πρωΐ. Χάριτι καὶ ἀρετῇ τῇ παρὰ τοῦ Θεοῦ ὑμῖν δωρηθείσῃ, καὶ συνεργούσης τῆς ἁγίας Τριάδος, ἐν ᾗ τὴν ἐλπίδα πᾶσαν ἀνεθέμεθα, ποιήσωμεν τοὺς ἐναντίους μετὰ αἰσχύνης ἐκ τῶν ἐντεῦθεν κακῶς ἀναχωρήσωσιν. »

ζ'. Ἀκούσαντες δὲ οἱ δυστυχεῖς Ῥωμαῖοι καρδίαν ὡς λέοντες ἐποίησαν, καὶ ἀλλήλοις συγχωρηθέντες ἦτουν εἷς τῷ ἑτέρῳ καταλλαγῆναι, καὶ μετὰ κλαυθμοῦ ἐνηγκαλίζοντο, μήτε φιλτάτων τέκνων μνημονεύοντες οὔτε γυναικῶν ἢ πλούτου φροντίζοντες, εἰ μὴ μόνον τοῦ ἀποθανεῖν ἵνα τὴν πατρίδα φυλάξωσι. Καὶ ἕκαστος ἐν τῷ διατεταγμένῳ τόπῳ ἐτανέστρεφε, καὶ ἀσφαλῶς ἐποίουν ἐν τοῖς τείχεσι τὴν φυλακήν. Ὁ δὲ βασιλεὺς ἐν τῷ πανσέπτῳ ναῷ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας ἐλθὼν καὶ προσευξάμενος μετὰ κλαυθμοῦ τὰ ἄχραντα καὶ θεῖα μυστήρια μετέλαβεν. Ὁμοίως καὶ ἕτεροι πολλοὶ τῇ αὐτῇ νυκτὶ ἐποίησαν. Εἶτα ἐλθὼν εἰς τὰ ἀνάκτορα ὀλίγον σταθεὶς καὶ ἐκ πάντων συγχώρησιν αἰτήσας, ἐν τῇδε τῇ ὥρᾳ τίς διηγήσεται τοὺς τότε κλαυθμοὺς καὶ θρήνους τοὺς ἐν τῷ παλατίῳ; Εἰ καὶ ἀπὸ ξύλου ἄνθρωπος ἦν ἢ ἐκ πέτρας ἦν, οὐκ ἐδύνατο μὴ θρηνῆσαι.

280 Καὶ ἀναβὰς ἐφ' ἵππου ἐξῆλθομεν τῶν ἀνακτόρων περιερχόμενοι τὰ τείχη, ἵνα τοὺς φύλακας διεγείρωμεν πρὸς τὸ φυλάττειν ἀγρύπνως. Ἦσαν δὲ πάντες ἐπὶ τοῖς τείχεσι καὶ πύργοις τῇ νυκτὶ ἐκείνῃ· καὶ αἱ πύλαι πᾶσαι ἦσαν κεκλεισμέναι ἀσφαλέστατα, δι' ὧν οὐ δυνατὸν ἦν ἐξελθεῖν τινα ἢ εἰσελθεῖν. Ὡς δὲ ἤλθομεν ἐν τοῖς Καλιγαρίοις ὥρᾳ πρώτῃ τῆς ἀλεκτροφωνίας, κατιόντες τῶν ἵππων ἀνήλθομεν εἰς τὸν πύργον, καὶ ἠκούσαμεν συχνῶς ὁμιλεῖν καὶ θόρυβον μέγαν ποιεῖν ἔξωθεν ἐπιτήδειον, καὶ εἶπον ἡμῖν οἱ φύλακες ὅτι δι' ὅλης τῆς νυκτὸς οὕτως ποιοῦσιν· ἦσαν γὰρ σύρνοντες τὰ ὅσα τῶν ὀργάνων πρὸς τειχομαχίαν ἡτοίμασται, φέροντες αὐτὰ ἐγγὺς τοῦ ὀρύγματος. Ἐπὶ τούτοις σαλεύονται καὶ τῶν ἠόνων τὰ μέγιστα τῶν ἀντιπάλων σκάφη, καὶ αἱ τριήρεις καὶ αἱ γέφυραι ἐν τῷ λιμένι τοῖς τείχεσι καὶ ταῖς ἀκτοῖς προσπελάζουσι. Περὶ δὲ δευτέραν ἀλεκτροφωνίαν ἄνευ σημείου τινὸς, καθὼς καὶ ἄλλαις ἡμέραις προεποίουν, τὸν πόλεμον ἀνῆψαν μετὰ μεγάλης σπουδῆς καὶ βίας. Ἐπροώρισεν οὖν ὁ ἀμηρᾶς ἵνα πάντες οἱ μὴ ὄντες τοσοῦτον ἔμπειροι ἐν πολέμοις καὶ τινες γέροντες καὶ νέοι ἐν πρώτοις τὸν πόλεμον ἀνάψωσι καὶ τὴν συμπλοκὴν ποιήσωσιν, ἵνα ἡμᾶς ὀλίγον κοπιάσωσι καὶ οἱ πλέον ἰσχυροὶ καὶ ἀνδρεῖοι καὶ ἔμπειροι τοῦ πολέμου μετὰ πλείονος θάρσους καὶ προθυμίας καθ' ἡμῶν ἔλθωσι. Καὶ ταῦτα ἐγένετο, καὶ ὁ πόλεμος καὶ ἡ συμπλοκὴ ὡς κάμινος ἀνῆψε. Καὶ οἱ ἡμέτεροι γενναίως ἀντέλεγον καὶ κακῶς αὐτοὺς **281** ἐδεξιοῦντο καὶ ἐκ τῶν τειχῶν ἀπεκρήμνιζον, καί τινα τῶν πολεμικῶν ὀργάνων καὶ σκευῶν τῶν ἐναντίων κατέσπασαν· καὶ ἐξ ἀμφοτέρων τῶν μερῶν θάνατος ἐγεγόνει, καὶ μάλιστα ἐκ τοῦ τῶν

ore, ipsi quoque collacrymantes, responderunt, pro fide Christiana et patria mortem se oppetiturus esse. Ad hæc imperator gratias amplissimas egit et amplissima promisit præmia. Tum rursus: « Quod restat, inquit, fratres et commilitiones, parati estote in crastinum diem. Gratia et virtute a Deo vobis impertita, et adjuvante sancta Trinitate, in qua spem omnem collocavimus, efficiemus, ut hostes cum dedecore hinc recedant. »

7. Illis auditis, miseri Romani animos leonum sibi fecerunt, veniamque petebant et dabant mutuo, et cum lacrymis inviecem se complectebantur, non jam liberorum charissimorum, aut conjugum, aut facultatum memores, sed solius mortis, quam pro salute patriæ obire vellent. Ad suam quisque stationem rediérunt, et in muris custodiam agebant diligenter. Imperator venerandum Sapientiæ Dei Verbi templum ingressus, precibus ibi et lacrymis effusis, intacti et divini mysterii particeps factus est: quod idem alii multi eadem nocte fecerunt. Deinde in palatium se contulit, ibique aliquantisper moratus, ab omnibus veniam petiit. Quis fletus et lamenta tum audita per palatium fando assequatur? Si quis ligneus aut saxeus homo fuisset, non potuisset sibi temperare a lacrymis.

Conscensis equis, e palatio egredimur et obimus mœnia, ad vigiles excubias custodes excitatum. Erant omnes in muris et turribus ea nocte, et portæ tutissime clausæ, per quas nemo aut exire aut intrare posset. Ubi in Caligaria venimus sub primum cantum galli, ex equis descendimus atque ascendimus in turrim. Ibi foris crebros colloquentes et magnum strepitum audivimus, dixerunique custodes, per totam noctem ita fieri. Quippe quidquid instrumentorum ad oppugnandos muros paratum erat, ad fossam comportabant. Interim etiam in littoribus omnia fervent: maxima hostium navigia, triremes et pontes in portu exstructi mœnibus et litoribus admoventur. Circa secundum galli cantum sine ullo signo, quemadmodum etiam superioribus diebus fecerant, oppugnationem impense et summo conatu ordiuntur. Præceperat autem ameras, ut qui rei militaris minus periti essent et senes quidam et adolescentes pugnam committerent, quo nos aliquantum fatigarent, et validiores, fortiores et bello exercitatiores majori audacia et alacritate nos aggrederentur. Fiebat ita, ac prælium et conflictus camini instar exarsit. Nostri fortiter resistebant, male eos excipiebant et de mœnibus deturbabant, et nonnullas machinas et instrumenta bellica eorum diffringebant, et, cum utrinque caderent, e Turcis tamen plures cadebant. Ubi autem stellæ in cœlo micare cessarunt, lucescente lumine diei, et ab oriente rosea aurora comparuit, omnis ho-

Digitized by Google

Τούρκων μέρους. Ὡς δὲ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἀρχὴν ἐποίουν μὴ φαίνεσθαι, τοῦ φωτὸς τῆς ἡμέρας αὐγάζοντος, καὶ ἐκ τῶν ἀνατολῶν τὸ ῥοδοειδὲς τῆς πρωΐας ἐνέφαινεν, πᾶν τὸ πλῆθος τῶν πολεμίων ὡς σχοίνισμα ἓν ἐγεγόνει ἐκ τοῦ ἑνὸς μέρους τῆς πόλεως ἕως τοῦ ἑτέρου. Καὶ τὰ ὄργανα τὰ πολεμικά, τύμπανά τε καὶ ἄλλα κεράτινα καὶ πᾶν ἕτερον, κρούσαντες καὶ φωναῖς ἰσχυραῖς ἀλαλάξαντες εἰς τὰς ἐλεπόλεις πᾶσας τὸ πῦρ ἐνέβαλον, καὶ πάντες ὁμοθυμαδὸν ἐν ἑνὶ καιρῷ καὶ ὥρᾳ διά τε χέρσου καὶ θαλάσσης τὴν ἐμβολὴν καὶ σύρρηξιν τοῦ πολέμου καὶ συμπλοκὴν ἐποίησαν. Θαρσαλέοι δέ τινες πολεμήτορες τὰς μηρινθώδεις κλίμακας ἐπανίουσι. Τὰ δὲ βέλη παντοῖα κατὰ τῶν ἐν τοῖς πύργοις ἀφίετο. Καὶ ὥραις μὲν δύο ἡ μάχη ἐνεστήκει στενοῦσα καὶ φρικαλέα, ἦν δέ πως τὰ τῶν Χριστιανῶν ἐπικρατέστερα· καὶ γὰρ αἱ κλιμακοφόροι τριήρεις σὺν τῇ γεφύρᾳ ἄπρακτοι τῶν τειχῶν τῶν ὑδραίων ἀπεκρούσθησαν, καὶ τὰ τῶν λίθων ἐκ τῆς πόλεως ἀφετήρια πλείστους τῶν ἐναντίων Ἀγαρηνῶν διέφθειραν, καὶ ἐκ τῆς χέρσου μέρους τὰ ὅμοια τοὺς ἐναντίους καὶ χεῖρον ἐδεξιώσαντο. Καὶ ἦν ἰδεῖν θέαμα ξένον, ὥσπερ νεφέλη σκοτεινὴ καλύπτουσα τὸν ἥλιον καὶ τὸν οὐρανόν. **282** Καὶ τὰς κατασκευασθείσας μηχανὰς μετὰ τοῦ ὑγροῦ πυρὸς ῥίπτοντες τοὺς ἐναντίους ἔκαιον, καὶ τὰς ἀναβάθρας καὶ κλίμακας μετὰ τῶν ἀναβαινόντων λίθοις βαρέοις ἄνωθεν ἀκοντίζοντες κατέκοπτον, καὶ μετὰ ἐλεβολίσκων καὶ τόξων ἀπεδίωκνον· καὶ ἔνθ' ἂν τὸ πλῆθος ἐθεώρουν, ἐκεῖσε ταῖς ἐλεβόλεσι πῦρ ἐνέβαλλον καὶ πολλοὺς ἔκτηττον καὶ ἀπέκτεινον. Οἱ δὲ ἐναντίοι ἔκ τε τοῦ κόπου τοῦ πολέμου καὶ τῆς ἀντιστάσεως τοσοῦτον ἀγανακτήσαντες ὥστε ὄπισθεν ὀλίγον ἤθελον στρέψαι, ἵνα ἀναψυχὴν λάβωσιν· οἱ δὲ τζαούσιδες καὶ ῥαβδοῦχοι τῆς αὐλῆς μετὰ ῥάβδων σιδηρῶν καὶ βουνεύρων ἐνέτυπτον, ἵνα μὴ δίδωσι νῶτα τοῖς ἐχθροῖς. Τίς διηγήσεται τὰς τότε φωνὰς καὶ τὰς κραυγὰς καὶ τῶν πληγέντων διαμφὶ τὸ οὐαί; ὅθεν ἕως τῶν οὐρανῶν ἀνέβαινον αἱ φωναὶ καὶ ὁ κρότος. Καί τινες μὲν ἐκ τῶν ἡμετέρων θεωροῦντες αὐτοὺς οὕτως πάσχοντας μετὰ φωνῶν μεγάλων ἔλεγον· « Ταῦτα πολλάκις ποιήσαντες κακῶς ἀπεκρούσθητε· » αὐτοὶ δὲ μετὰ βίας, τὴν ἀνδρίαν αὐτῶν θέλοντες δεῖξαι, ἐπὶ τὰς κλίμακας πάλιν ἀνέβαινον. Ἕτεροι δέ τινες τολμηροὶ καὶ ἰσχυροὶ καὶ δραστικοὶ ἐπὶ τῶν ὤμων εἷς τοῦ ἑτέρου ἀνέβαινε, καὶ ἄλλος πάλιν ἐπὶ τῶν ὤμων τοῦ δευτέρου ἀνήρχετο ὅπως ἐδύνατο, ἵνα ἄνω ἐν τοῖς τείχεσιν ἔλθωσι. Καὶ ταῦτα πάντα ποιοῦντες σφοδρῶς καὶ βιαίως· συρρήγνυται περὶ τὰς εἰσόδους καὶ ἀνόδους μάχη καρτερά, καὶ τὰ ξίφη ἐσπασμένοι συνεπλέκοντο, φόνος δὲ πολὺς ἦν **283** ἑκατέρωθεν. Κλινομένης δὲ ἤδη τῆς ἡμῶν παρατάξεως Θεόφιλος μὲν ὁ Παλαιολόγος καὶ Δημήτριος ὁ Καντακουζηνὸς ἄνδρες ἄριστοι προπηδήσαντες νικῶσι τοὺς Ἀγαρηνοὺς καὶ τρέπουσι καὶ ἐκ τῶν τειχῶν καὶ τῶν κλιμάκων κακῶς ἀπεκρήμνισαν καὶ διεσκέδασαν. Τότε οὖν καὶ ἕτεροι οἱ διατεταγμένοι εἰς βοήθειαν ἔφθασαν. Ἐκεῖ δὲ ὁ βασιλεὺς ἔφιππος εὑρέθεις καὶ τοὺς στρατιώτας ἀναθαῤῥύνων καὶ ἐγείρων, ἵνα προθύμως μάχωνται, ἔλεγεν· « Ὦ συστρατιῶται καὶ ἀδελφοί, στῆτε ἀνδρείως, παρακαλῶ ὑμᾶς διὰ τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ, ὅτι τὰ νῦν θεωρῶ τὸ πλῆθος τῶν ἐναντίων ἀρχὴν λαμβάνειν συγκοπὴν ποιῆσαι, καὶ ὀλίγον διασκεδάζονται, καὶ οὐ κατὰ τὴν τάξιν αὐτῶν καὶ συνήθειαν ἔρχονται, καὶ ἡ νίκη ἐλπίζω

stium multitudo perinde ac funis ab una parte urbis ad alteram pertinuit. Organis bellicis, tympanis, tubis corneis, reliquis omnibus strepentes et magno frementes clamore, in omnes helepoles igne conjecto, cuncti concorditer, eodem tempore et hora, terra marique impressionem faciunt et pugnam lacessunt. Quidam audaciores bellatores per scalas ascendunt. Omnis generis tela in eos, qui in turribus erant, conjiciuntur. Horas duas acriter et horribiliter pugnatum est, ac superior forsan erat res Christiana. Nam triremes, quibus scalæ portabantur, cum ponte re infecta a muris maritimis repulsæ sunt, et saxa ex urbe jactata Agarenorum plurimos exstinxerunt, atque e terra similiter ac pejus etiam hostes excipiebant : eratque videre novum spectaculum, solem et cœlum tanquam obscura nube involutum. Machinis igne Græco instructis jaculantes, hostes concremabant ; scalæ et qui eas ascendebant, molaribus desuper jactis deturbabantur et jaculis sagittisque repellebantur, et ubi confertos hostes videbant, eo helepolibus ignem jaculati multos vulnerabant et interficiebant. Hostes autem labores belli et nostrorum renisus ita ægre tulerunt, ut nonnihil recedere vellent ad recreandas vires. Verum tzausides et lictores aulæ virgis ferreis et scorteis eos urgebant, ne hosti terga darent. Quis voces et clamores et vulneratorum utrimque gemitus verbis assequatur, unde ad sidera penetraret strepitus ? Quidam de nostris, cum ita hostes affectos viderunt, clamabant : « Sæpe hoc conati, male semper repulsi estis, » Ad quæ illi, virtutis ostentandæ cupiditate, scalas rursus ascendebant. Alii audaces, strenui et prompti viri alter in alterius humeros et in hujus humeros tertius, qui posset, ascendebant, ut sic muros superarent. Hæc omnia dum fiunt, vehementer et acriter circa aditus et ascensus prælium commissum, et strictis ensibus pugnatum est, magnaque utrimque fiebat cædes. Inclinante jam acie nostra, Theophilus Palæologus et Demetrius Cantacuzenus, viri fortissimi, prosiluerunt, Agarenos vicerunt et fugarunt atque e mœnibus male deturbatos disperserunt. Tum etiam alii, qui illic dispositi essent, ad auxilium advolarunt. Imperator, qui forte ibi aderat in equo, milites, ut strenue dimicarent, his verbis cohortatus est : « Commilitones et fratres, per misericordiam Dei vos rogo, state viriliter, quandoquidem hostium copias nunc viribus labascere et paulatim dissipari nec ordine et more suo incedere video, ac, Deo confisus, spero, victoriam nostram fore.

Digitized by Google

εἰς Θεὸν τοῦ εἶναι ἡμετέρα. Λοιπὸν, ἀδελφοὶ, χαίρετε, ὅτι ὁ πολύτιμος στέφανος ὑμῖν ἔσεται, οὐχὶ μόνον φθαρτὸς καὶ γήϊνος, ἀλλὰ καὶ ἐπουράνιος. Ὁ Θεὸς ὁ ὑπὲρ ἡμῶν πολεμεῖ, δειλίᾳ κατέχει τὸ πλῆθος τῶν ἀσεβῶν. »

Καὶ ταῦτα τοῦ βασιλέως λέγοντος, Ἰωάννης ὁ Ἰουστινιανὸς ὁ καὶ στρατηγὸς ἐπλήγη τόξου βέλει ἐν τοῖς σκέλεσιν ἐπὶ τὸν δεξιὸν πόδα. Αὐτὸς δὲ ὁ τοσοῦτον ἔμπειρος ὢν πολέμου, ὡς εἶδε τὸ αἷμα ῥέειν ἐκ τοῦ σώματος αὐτοῦ, ὅλος ἠλλοιώθη, καὶ ἣν προέδειξεν ἀνδρίαν ἐκ τοῦ φόβου ἔχασε, καὶ ἀνωφελῶς μετὰ ταῦτα ἔπραξε. Ὅς ἀνεχώρησεν ὅθεν ἦν.

284 Μετὰ σιωπῆς διήρχετο ζητῶν ἰατροὺς, μὴ μνημονεύων τῆς γενναιότητος καὶ ἐπιδεξιότητος ἣν ἀρχῆθεν ἔδειξε. Καὶ οὐκ εἶπε τοῖς συνοῦσιν αὐτῷ οὐδὲν, οὔτε ἀντ' αὐτοῦ εἰσέ τινα ἕτερον, ἵνα μὴ ἡ γεγονυῖα σύγχυσις γένηται καὶ ἀπώλεια. Στραφέντες δὲ οἱ στρατιῶται καὶ μὴ ἰδόντες τὸν στρατηγὸν, διὰ τοῦ ῥηθέντος λόγου ὅτι ἔφυγεν εἰς ταραχὴν καὶ δειλίαν μεγάλην ἐνέπεσον. Ὁ οὖν βασιλεὺς κατὰ συγκυρίαν πάλιν ἐκεῖσε εὑρεθεὶς ὁρᾷ τοὺς στρατιώτας συγχεχυμένους καὶ μεστοὺς φόβου ὡς πρόβατα διωκόμενα, καὶ μαθὼν τὸ αἴτιον καὶ τὸν στρατηγὸν αὐτοῦ Ἰουστινιανὸν ἰδὼν φεύγοντα ἐγγίσας αὐτῷ λέγει· « Ἀδελφὲ, τί τοῦτο πεποίηκας; Στρέψον ἐν τῷ διατεταγμένῳ σου τόπῳ. Ἡ πληγὴ αὕτη ὀλίγον τί ἐστι. Στρέψον, ὅτι τὰ νῦν ἡ πλείων ἀνάγκη ἐστίν. Ἡ πόλις εἰς χεῖράς σου κρέμεται, ἵνα λυτρώσῃς αὐτήν. » Πολλὰ δὲ εἰπόντος τοῦ βασιλέως αὐτῷ οὐδὲν ἀπεκρίνατο, ἀλλ' ἐν τῷ Γαλατᾷ περάσας αἰσχρῶς ἐκεῖ τελευτᾷ ἐκ τῆς πικρίας καὶ περιφρονήσεως. Οἱ δὲ Τοῦρκοι, ἰδόντες τὴν τοσαύτην σύγχυσιν τῶν ἡμετέρων, θάρσος ἔλαβον. Ἐκεῖ καὶ ὁ Σογὰν μπασιᾶς παρὼν τοῖς Ἰαννιτζαρίοις καὶ τοῖς ἑτέροις διαλεχθεὶς ἐπήγειρεν αὐτῶν τὰ φρονήματα. Καί τις Ἰαννίτζαρις τοὔνομα Χασάνης (ἐκ τοῦ Λουπαδίου ὁ γιγαντώδης ὥρμητο λένδρος) ὑπὲρ κεφαλῆς τῇ ἀριστερᾷ χειρὶ τὸν θυρεὸν βαλών, τῇ δὲ δεξιᾷ τὸ ξίφος ἀσπασάμενος, ἐπὶ τὸ τεῖχος, οὗ ἐθεώρει τὴν σύγχυσιν, ἐχώρησεν. **285** Ἕποντο δὲ αὐτῷ καὶ ἕτεροι ὡσεὶ τριάκοντα, τὴν ἀνδρίαν ζηλώσαντες. Οἱ δὲ ἐναπομείναντες ἡμέτεροι ἐν τῷ τείχει κατηκόντιζον αὐτοὺς καὶ βέλεσιν ἔβαλλον καὶ λίθους ὑπερμεγέθεις ἐκύλιον κατ' αὐτῶν· δέκα καὶ ὀκτὼ ἐξ αὐτῶν ἀπεκρήμνισαν. Ὁ δὲ Χασάνης οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ ἀνελθεῖν ἐν τοῖς τείχεσι καὶ τρέψασθαι τοὺς ἡμετέρους. Ἡνίκα γοῦν ἐκράτησε τῆς ἐπιχειρήσεως, καὶ ἕτεροι πολλοὶ ἀκολουθήσαντες ἀνήρχοντο εἰς τὸ τεῖχος. Καὶ τοὺς ἀναβαίνοντας οὐκ ἔφθασαν κωλύειν οἱ ἡμέτεροι διὰ τὴν ὀλιγότητα· οἱ δὲ πολέμιοι πλῆθος ἦσαν. Τοῖς δὲ ἀναβᾶσι συμπλέκοντες ἐμάχοντο, καὶ ἦν οὐκ ὀλίγος αὐτῶν ὁ φόνος. Καὶ ὁ Χασάνης μαχόμενος προσπαισθεὶς πέτρᾳ τινὶ κατέπεσεν. Ἐπιστραφέντες δὲ οἱ ἡμέτεροι καὶ ἰδόντες αὐτὸν κείμενον πέτραις ἔβαλλον πάντοθεν· ὁ δὲ εἰς γόνυ διαναστὰς ἠμύνετο, ὑπὸ δὲ τοῦ πλήθους τῶν τραυμάτων παρείθη τὴν δεξιὰν καὶ κατεχώσθη τοῖς βέλεσι. Καὶ ἕτεροι πολλοὶ ἀπεκτάνθησαν καὶ ἐπλήγησαν καὶ ἕνεκεν τῶν τραυμάτων πρὸς τὸ στρατόπεδον ἐκομίσθησαν. Εἶτα τοσοῦτον ἀναβὰν τὸ πλῆθος τῶν πολεμίων τοὺς ἡμετέρους διεσκέδασαν, καὶ ἀφέντες τοὺς

Ac gaudete, fratres, quoniam corona pretiosissima vobis reposita est, non fluxa et terrena solum, sed etiam cœlestis. Qui pro nobis pugnat Deus, impiorum copias formidine cohibet. »

Hæc dicente imperatore, Joannes Justinianus dux sagitta vulneratus est in dextero pede. Vir rei militaris tam egregie peritus, ubi sanguinem e corpore profluentem vidit, totus mutatus, quam ante ostenderat virtutem, statim pavore abjecit, nec quidquam postea operæ navavit, sed loco, in quo erat, relicto, cum silentio discessit, medicum quærens, nec memor fortitudinis et dexteritatis, quam a principio præstiterat : nec vero iis qui aderant, ullum verbum fecit, aut sui vicarium reliquit, quo impediretur, quæ secuta est, confusio et pernicies. Conversi enim milites, cum ducem non conspiciunt, sed fugisse audiunt, in perturbationem et metum ingentem inciderunt. Rursus forte aderat imperator : qui ubi milites perturbatos et plenos timore, velut oves bestiis agitatas, vidit, causam edoctus et Justinianum profugum animadvertens, sic eum aggreditur : « Mi frater, inquit, quid istud agis? Redi in locum tuum : plaga ista modica est; redi, amabo te ; gravior enim nunc necessitas urget. Urbs in manibus tuis est, a te servanda est. » Alia plura monenti imperatori nihil respondit, sed Galatam trajectus, ibidem in contemptionem adductus, mœrore obiit. Interim Turcæ, animadversa tanta nostrorum perturbatione, receperunt animos; atque Sogan basias jannitzaros aliosque adhortatus erexit. Jannitzarus quidam, nomine Chasanes, Lupadio oriundus, ingenti corporis magnitudine, sinistra manu supra caput scutum protendens, dextra gladium stringens, ad murum, qua turbatos nostros vidit, processit, circiter triginta virtutis æmulis sequentibus. Nostri manserunt in muro, eosque jaculis et grandibus saxis exceperunt atque decem et octo deturbarunt. Verum Chasanes non prius remisit impetum, quam, escenso muro, nostros fugaret. Postquam igitur auso potitus est, etiam multi alii, eum secuti, in murum evadebant, quos nostri propter paucitatem prohibere non poterant, cum hostium magnus numerus esset. Prælium tamen cum iis, qui ascenderent, commiserunt et non exiguam in eos ediderunt cædem. Ipse Chasanes, inter pugnandum saxo offensus, procubuit. Quem cum conversi nostri jacentem vident, lapides undique in eum conjiciunt. Ille in genua enisus, pugnabat, sed mox plagarum multitudine manibus elanguit et telis obrutus est. Multi item alii aut occisi, aut vulnerati et propter plagas in castra asportati sunt. Tandem hostes catervatim muro potiti, nostros dissiparunt, qui, relictis exterioribus mœnibus, per portam in urbem irrumpenter

Digitized by Google

ἔξωθεν τείχους ἔσωθεν διὰ τῆς πύλης ἔβαινον καταπατῶντες εἰς τὸν ἕτερον. Ταῦτα δὲ οὕτως ἐχοντα καὶ φωνή τις ἐῤῥέθη ἔσωθεν καὶ ἔξωθεν καὶ ἐκ τοῦ μέρους τοῦ λιμένος· « Ἑάλω τὸ φρούριον, καὶ τὰ στρατήγια καὶ τὰ σημαῖα ἄνωθεν ἐν τοῖς πύργοις ἕστησαν. » Καὶ ἡ φωνὴ τοὺς ἡμετέρους ἐτρέψατο, τοὺς δὲ πολεμίους ἀνεθάῤῥυνε· **286** καὶ ἀλαλάξαντες φωνὰς πολλὰς καὶ προθύμως ἄνευ φόβου οἱ πάντες ἐπὶ τὰ τείχη ἀνέβαινον.

Ὡς οὖν εἶδεν ὁ δυστυχὴς, ὁ βασιλεὺς καὶ αὐθέντης μου, δακρυχέων ἐπαρακάλει τὸν Θεὸν, καὶ τοὺς στρατιώτας ἵνα μεγαλοψυχήσωσι προέτρεπε· καὶ οὐκ ἦν συνδρομῆς καὶ βοηθείας ἐλπὶς οὐδεμία. Ὁ δὲ τὸν ἵππον κεντήσας δραμὼν ἔφθασεν ἔνθα τὸ πλῆθος τῶν ἀσεβῶν ἤρχετο, καὶ ὥσπερ ὁ Σαμψὼν ἐπὶ τοὺς ἀλλοφύλους ἐπόλει, καὶ τοὺς ἀσεβεῖς ἐν τῇ πρώτῃ συμπλοκῇ ἐκ τῶν τειχῶν ἀπεκρήμνισεν, ὡς ἰδεῖν θαῦμα ξένον τοὺς ἐντυχόντας καὶ βλέποντας. Βρυχόμενος ὡς λέων καὶ τὴν ῥομφαίαν ἐσπασμένην ἔχων ἐν τῇ δεξιᾷ πολλοὺς τῶν πολεμίων ἀπέσφαξε· καὶ τὸ αἷμα ποταμηδὸν ἐκ τῶν ποδῶν καὶ τῶν χειρῶν αὐτοῦ ἔῤῥεε. Καὶ ὁ προῤῥηθεὶς Δὸν Φραγκίσκος ὁ Τολέδος ὑπὲρ τὸν Ἀχιλλέα ἐποίησεν· ἐν τοῖς δεξιοῖς τοῦ βασιλέως ἔτυχε, καὶ ὥς τις ἀετὸς μετὰ ὀνύχων καὶ στόματος τοὺς ἐναντίους κατέκοπτεν. Ὁμοίως καὶ Θεόφιλος ὁ Παλαιολόγος, ὡς εἶδε τὸν βασιλέα μαχόμενον καὶ τὴν πόλιν κινδυνεύουσαν, μεγαλοφώνως μετὰ κλαυθμοῦ κράξας εἶπε· « Θέλω θανεῖν μᾶλλον ἢ ζῆν, » καὶ συῤῥήξας ἑαυτὸν ἐν μέσῳ μετὰ κραυγῆς τοὺς ὅσους εὗρε πάντας διεσκέδασε καὶ διεσκόρπισε καὶ ἐθανάτωσεν. Ἀλλὰ καὶ Ἰωάννης ὁ Δαλμάτης ἐκεῖ πιπρὼν ὑπὲρ πάντα στρατιώτην γενναίως τοῖς πολεμίοις **287** ἐσυμπλέκετο· καὶ οἱ ἐντυχόντες καὶ βλέποντες ἐθαύμαζον περὶ τῆς ἰσχύος καὶ γενναιότητος τῶν ἀρίστων ἀνδρῶν. Καὶ δὶς καὶ τρὶς τῆς ἐμβολῆς καὶ συῤῥήξεώς τε καὶ συμπλοκῆς γενομένης μεγάλως τοὺς ἀσεβεῖς ἐτρέψαντο καὶ πλῆθος ἀπέκτειναν καὶ ἑτέρους ἐκ τῶν τειχῶν ἀπεκρήμνιζον, καὶ ἀγωνιζόμενοι σφοδρῶς καὶ συμπλεκόμενοι ἀπεκτάνθησαν, καὶ πολὺν φόνον εἰς τοὺς πολεμίους πρὸ τοῦ ἀποθανεῖν ἐποίησαν οὗτος. Καὶ ἕτεροί τινες στρατιῶται οὐκ ἀγενεῖς μαχόμενοι ἐν τῷ τόπῳ ἐκείνῳ καὶ αὐτοὶ ἀπεκτάνθησαν πλησίον τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ, ὅπου τὴν ἑλέβολιν ἐκείνην κατεσκεύασαν καὶ τὴν μεγάλην ἑλέβολιν ἔστησαν, καὶ τὰ τείχη τῆς πόλεως χαλάσαντες ἐκεῖθεν ἐν τῇ πόλει πρῶτον εἰσῆλθον. Ἐγὼ δὲ τῇ ὥρᾳ ἐκείνῃ οὐχ εὑρέθην πλησίον τοῦ αὐθεντός μου τοῦ βασιλέως, ἀλλὰ προστάξει ἐκείνου εἰς ἐπίσκεψιν δῆθεν ἐν ἄλλῳ μέρει τῆς πόλεως ἤμην.

η'. Ἐλθόντων δὲ τῶν Τούρκων καὶ τοὺς ἐν τοῖς ἔσωθεν τείχεσι Χριστιανοὺς μετὰ ἑλεβολίσκων καὶ βελῶν καὶ τόξων καὶ πετρῶν ἐναπολειφθέντας ἐδίωξαν, καὶ ἐγκρατεῖς πάντων ἐγένοντο, ἄνευ δὲ τῶν πύργων τῶν λεγομένων Βασιλείου Λέοντος καὶ Ἀλεξίου, ἐν οἷς ἐστήκεισαν οἱ ναῦται ἐκεῖνοι οἱ ἐκ τῆς Κρήτης· αὐτοὶ γὰρ γενναίως ἐμάχοντο μέχρι καὶ τῆς ἕκτης καὶ ἑβδόμης ὥρας καὶ πολλοὺς Τούρκους ἐθανάτωσαν, καὶ τοσοῦτον πλῆθος βλέποντες καὶ τὴν πόλιν δεδουλωμένην **288** πᾶσαν, αὐτοὶ οὐκ ἤθελον δουλωθῆναι, ἀλλὰ μᾶλλον ἔλεγον ἀποθανεῖν κρεῖττον ἢ ζῆν. Τοῦρκος δέ τις τῷ Ἀμηρᾷ ἀναφορὰν ποιήσας περὶ τῆς τούτων ἀνδρίας, προσέταξεν ἵνα κατέλθωσι μετὰ συμβάσεως καὶ ὧσιν ἐλεύθεροι

invicem se conculcabant. Hæc dum aguntur, intus et extra et ad portum clamatur : « Capta est arx, signa et vexilla sublime in turribus elata. » Quæ vox nostros fugavit, hostes erexit, qui magno clamore et impetu, nullo timore, in murum ascendunt.

Hæc cum videt miser imperator, dominus meus, cum lacrymis Deum precatur, et milites, ut generose pugnent, impellit : at nulla jam opis et auxilii spes erat. Itaque ipse equo concitato advolat, qua irruebat hostium turba, et quemadmodum Sampso hostes prostravit, ita impios primo impetu e mœnibus deturbat, ut qui aderant et videbant, mirum cernerent spectaculum. Leonis instar fremens, et dextra gladium strictum tenens, multos hostes trucidavit, ac sanguis in modum fluminis e pedibus et manibus ejus profluebat. Dominus Franciscus autem, Toledus, quem supra nominavi, ipsum superavit Achillem, ad dextram imperatoris dimicans et aquilæ instar unguibus et ore hostes concidens. Similiter Theophilus Palæologus, ut imperatorem decertantem et urbem periclitantem vidit, magna voce et lacryman's clamavit : « Mori quam vivere malo, » et impetu facto in medios hostes, quotquot invenit, disjecit, dissipavit, occidit. At enim Joannes Dalmata quoque, ibi præsens, præ reliquis militibus generose adversus hostes decertavit : ut, qui aderant et videbant, fortissimorum virorum virtutem et audaciam mirarentur. Itaque bis et ter impressione et pugna facta, impios vehementer fugarunt, multos occiderunt, alios de muris depulerunt, atque occubuerunt tandem constanter et strenue pugnantes et magna prius hostium strage data. Item alii haud imbelles milites eodem loco dimicantes ceciderunt, prope portam sancti Romani, ubi helepolim illam Turcæ fecerant et magnam helepolim constituerant : qua primum diruto muro, in urbem penetrarunt. Ego illo tempore non versabar circa imperatorem, dominum meum, sed jussu ejus ad lustrandam aliam partem urbis discesseram.

8. Turcæ urbem ingressi Christianos intra interiorem murum reliquos heleboliscis, jaculis, sagittis, saxis persecuti, et cunctis potiti sunt, præter eos qui in turribus Basilii Leonis et Alexii quæ dicebantur constituti erant, nautas Cretenses. Hi enim ad sextam et septimam horam strenue pugnabant et multos Turcas interficiebant, cumque tantam hostium multitudinem et totam urbem subactam viderent, noluerunt tamen ipsi subigi, sed mortem vita esse præstabiliorem ducebant. De quorum virtute cum Turca aliquis Ameræ renun-

Digitized by Google

εἰς Θεὸν τοῦ εἶναι ἡμετέρα. Λοιπόν, ἀδελφοί, χαίρετε, ὅτι ὁ πολύτιμος στέφανος ὑμῖν ἔσεται, οὐχὶ μόνον φθαρτὸς καὶ γήϊνος, ἀλλὰ καὶ ἐπουράνιος. Ὁ Θεὸς ὁ ὑπὲρ ἡμῶν πολεμεῖ, δειλίᾳ κατέχει τὸ πλῆθος τῶν ἀσεβῶν. »

Καὶ ταῦτα τοῦ βασιλέως λέγοντος, Ἰωάννης ὁ Ἰουστινιανὸς ὁ καὶ στρατηγὸς ἐπλήγη τόξου βέλει ἐν τοῖς σκέλεσιν ἐπὶ τὸν δεξιὸν πόδα. Αὐτὸς δὲ ὁ τοσοῦτον ἔμπειρος ὢν πολέμου, ὡς εἶδε τὸ αἷμα ῥέειν ἐκ τοῦ σώματος αὐτοῦ, ὅλος ἠλλοιώθη, καὶ ἣν προέδειξεν ἀνδρίαν ἐκ τοῦ φόβου ἔχασε, καὶ ἀνωφελῶς μετὰ ταῦτα ἔπραξε. Ὃς ἀνεχώρησεν ὅθεν ἦν. **284** Μετὰ σιωπῆς διήρχετο ζητῶν ἰατρούς, μὴ μνημονεύων τῆς γενναιότητος καὶ ἐπιδεξιότητος ἣν ἀρχῆθεν ἔδειξε. Καὶ οὐκ εἶπε τοῖς συνοῦσιν αὐτῷ οὐδὲν, οὔτε ἀντ' αὐτοῦ εἶστέ τινα ἕτερον, ἵνα μὴ ἡ γεγονυῖα σύγχυσις γένηται καὶ ἀπώλεια. Στραφέντες δὲ οἱ στρατιῶται καὶ μὴ ἰδόντες τὸν στρατηγὸν, διὰ τοῦ ῥηθέντος λόγου ὅτι ἔφυγεν εἰς ταραχὴν καὶ δειλίαν μεγάλην ἐνέπεσον. Ὁ οὖν βασιλεὺς κατὰ συγκυρίαν πάλιν ἐκεῖσε εὑρεθεὶς ὁρᾷ τοὺς στρατιώτας συγχεχυμένους καὶ μεστοὺς φόβου ὡς πρόβατα διωκόμενα, καὶ μαθὼν τὸ αἴτιον καὶ τὸν στρατηγὸν αὐτοῦ Ἰουστινιανὸν ἰδὼν φεύγοντα ἐγγίσας αὐτῷ λέγει· « Ἀδελφὲ, τί τοῦτο πεποίηκας; Στρέψον ἐν τῷ διατεταγμένῳ σου τόπῳ. Ἡ πληγὴ αὕτη ὀλίγον τί ἐστι. Στρέψον, ὅτι τὰ νῦν ἡ πλείων ἀνάγκη ἐστίν. Ἡ πόλις εἰς χεῖράς σου κρέμεται, ἵνα λυτρώσῃς αὐτήν. » Πολλὰ δὲ εἰπόντος τοῦ βασιλέως αὐτῷ οὐδὲν ἀπεκρίνατο, ἀλλ' ἐν τῷ Γαλατᾷ περάσας αἰσχρῶς ἐκεῖ τελευτᾷ ἐκ τῆς πικρίας καὶ περιφρονήσεως. Οἱ δὲ Τοῦρκοι, ἰδόντες τὴν τοσαύτην σύγχυσιν τῶν ἡμετέρων, θάρσος ἔλαβον. Ἐκεῖ καὶ ὁ Σογὰν μπασιᾶς παρὼν τοῖς Ἰαννιτζαρίοις καὶ τοῖς ἑτέροις διαλεχθεὶς ἐπήγειρεν αὐτῶν τὰ φρονήματα. Καί τις Ἰαννίτζαρις τοὔνομα Χασάνης (ἐκ τοῦ Λουπαδίου ὁ γιγαντώδης ὥρμητο λένδρος) ὑπὲρ κεφαλῆς τῇ ἀριστερᾷ χειρὶ τὸν θυρεὸν βαλών, τῇ δὲ δεξιᾷ τὸ ξίφος ἀσπασάμενος, ἐπὶ τὸ τεῖχος, οὗ ἐθεώρει τὴν σύγχυσιν, ἐχώρησεν. **285** Ἕποντο δὲ αὐτῷ καὶ ἕτεροι ὡσεὶ τριάκοντα, τὴν ἀνδρίαν ζηλώσαντες. Οἱ δὲ ἐναπομείναντες ἡμέτεροι ἐν τῷ τείχει κατηκόντιζον αὐτοὺς καὶ βέλεσιν ἔβαλλον καὶ λίθους ὑπερμεγέθεις ἐκύλιον κατ' αὐτῶν· δέκα καὶ ὀκτὼ ἐξ αὐτῶν ἀπεκρήμνισαν. Ὁ δὲ Χασάνης οὐ πρότερον ἐπέσχε τὴν ὁρμὴν ἢ ἀνελθεῖν ἐν τοῖς τείχεσι καὶ τρέψασθαι τοὺς ἡμετέρους. Ἤνικα γοῦν ἐκράτησε τῆς ἐπιχειρήσεως, καὶ ἕτεροι πολλοὶ ἀκολουθήσαντες ἀνήρχοντο εἰς τὸ τεῖχος. Καὶ τοὺς ἀναβαίνοντας οὐκ ἔφθασαν κωλύειν οἱ ἡμέτεροι διὰ τὴν ὀλιγότητα· οἱ δὲ πολέμιοι πλῆθος ἦσαν. Ταῖς δὲ ἀναβάσι συμπλέκοντες ἐμάχοντο, καὶ ἦν οὐκ ὀλίγος αὐτῶν ὁ φόνος. Καὶ ὁ Χασάνης μαχόμενος προσπαισθεὶς πέτρᾳ τινὶ κατέπεσεν. Ἐπιστραφέντες δὲ οἱ ἡμέτεροι καὶ ἰδόντες αὐτὸν κείμενον πέτραις ἔβαλλον πάντοθεν· ὁ δὲ εἰς γόνυ διαναστὰς ἠμύνετο, ὑπὸ δὲ τοῦ πλήθους τῶν τραυμάτων παρείθη τὴν δεξιὰν καὶ κατεχώσθη τοῖς βέλεσι. Καὶ ἕτεροι πολλοὶ ἀπεκτάνθησαν καὶ ἐπλήγησαν καὶ ἕνεκεν τῶν τραυμάτων πρὸς τὸ στρατόπεδον ἐκομίσθησαν. Εἶτα τοσοῦτον ἀναβὰν τὸ πλῆθος τῶν πολεμίων τοὺς ἡμετέρους διεσκέδασαν, καὶ ἀφέντες τοὺς

Ac gaudete, fratres, quoniam corona pretiosissima vobis reposita est, non fluxa et terrena solum, sed etiam cœlestis. Qui pro nobis pugnat Deus, impiorum copias formidine cohibet. »

Hæc dicente imperatore, Joannes Justinianus dux sagitta vulneratus est in dextero pede. Vir rei militaris tam egregie peritus, ubi sanguinem e corpore profluentem vidit, totus mutatus, quam ante ostenderat virtutem, statim pavore abjecit, nec quidquam postea operæ navavit, sed loco, in quo erat, relicto, cum silentio discessit, medicum quærens, nec memor fortitudinis et dexteritatis, quam a principio præstiterat : nec vero iis qui aderant, ullum verbum fecit, aut sui vicarium reliquit, quo impediretur, quæ secuta est, confusio et pernicies. Conversi enim milites, cum ducem non conspiciunt, sed fugisse audiunt, in perturbationem et metum ingentem inciderunt. Rursus forte aderat imperator : qui ubi milites perturbatos et plenos timore, velut oves bestiis agitatas, vidit, causam edoctus et Justinianum profugum animadvertens, sic eum aggreditur : « Mi frater, inquit, quid istud agis? Redi in locum tuum : plaga ista modica est; redi, amabo te ; gravior enim nunc necessitas urget. Urbs in manibus tuis est, a te servanda est. » Alia plura monenti imperatori nihil respondit, sed Galatam trajectus, ibidem in contemptionem adductus, mœrore obiit. Interim Turcæ, animadversa tanta nostrorum perturbatione, receperunt animos; atque Sogan basias jannitzaros aliosque adhortatus erexit. Jannitzarus quidam, nomine Chasanes, Lupadio oriundus, ingenti corporis magnitudine, sinistra manu supra caput scutum protendens, dextra gladium stringens, ad murum, qua turbatos nostros vidit, processit, circiter triginta virtutis æmulis sequentibus. Nostri manserunt in muro, eosque jaculis et grandibus saxis exceperunt atque decem et octo deturbarunt. Verum Chasanes non prius remisit impetum, quam, escenso muro, nostros fugaret. Postquam igitur auso potitus est, etiam multi alii, eum secuti, in murum evadebant, quos nostri propter paucitatem prohibere non poterant, cum hostium magnus numerus esset. Prælium tamen cum iis, qui ascenderent, commiserunt et non exiguam in eos ediderunt cædem. Ipse Chasanes, inter pugnandum saxo offensus, procubuit. Quem cum conversi nostri jacentem vident, lapides undique in eum conjiciunt. Ille in genua enisus, pugnabat, sed mox plagarum multitudine manibus elanguit et telis obrutus est. Multi item alii aut occisi, aut vulnerati et propter plagas in castra asportati sunt. Tandem hostes catervatim muro potiti, nostros dissiparunt, qui, relictis exterioribus mœnibus, per portam in urbem irrumpentes

Digitized by Google

ἔξωθεν τείχους ἔσωθεν διὰ τῆς πύλης ἔβαινον καταπατῶντες εἰς τὸν ἕτερον. Ταῦτα δὲ οὕτως ἐχόντα καὶ φωνή τις ἐῤῥέθη ἔσωθεν καὶ ἔξωθεν καὶ ἐκ τοῦ μέρους τοῦ λιμένος· « Ἑάλω τὸ φρούριον, καὶ τὰ στρατήγια καὶ τὰ σημαῖα ἄνωθεν ἐν τοῖς πύργοις ἑστησαν. » Καὶ ἡ φωνὴ τοὺς ἡμετέρους ἐτρέψατο, τοὺς δὲ πολεμίους ἀνεθάῤῥυνε· **286** καὶ ἀλαλάξαντες φωνὰ; πολλὰς καὶ προθύμως ἄνευ φόβου οἱ πάντες ἐπὶ τὰ τείχη ἀνέβαινον.

Ὡς οὖν εἶδεν ὁ δυστυχὴς, ὁ βασιλεὺς καὶ αὐθέντης μου, δακρυχέων ἐπαρακάλει τὸν Θεὸν, καὶ τοὺς στρατιώτας ἵνα μεγαλοψυχήσωσι προέτρεπε· καὶ οὐκ ἦν συνδρομῆς καὶ βοηθείας ἐλπὶς οὐδεμία. Ὁ δὲ τὸν ἵππον κεντήσας δραμὼν ἔφθασεν ἔνθα τὸ πλῆθος τῶν ἀσεβῶν ἤρχετο, καὶ ὥσπερ ὁ Σαμψὼν ἐπὶ τοὺς ἀλλοφύλους ἐποίει, καὶ τοὺς ἀσεβεῖς ἐν τῇ πρώτῃ συμπλοκῇ ἐκ τῶν τείχων ἀπεκρήμνισεν, ὡς ἰδεῖν θαῦμα ξένον τοὺς ἐντυχόντας καὶ βλέποντας. Βρυχόμενος ὡς λέων καὶ τὴν ῥομφαίαν ἐσπασμένην ἔχων ἐν τῇ δεξιᾷ πολλοὺς τῶν πολεμίων ἀπέσφαξε· καὶ τὸ αἷμα ποταμηδὸν ἐκ τῶν ποδῶν καὶ τῶν χειρῶν αὐτοῦ ἔῤῥεε. Καὶ ὁ προῤῥηθεὶς Δὸν Φραγκίσκος ὁ Τολέδος ὑπὲρ τὸν Ἀχιλλέα ἐποίησεν· ἐν τοῖς δεξιοῖς τοῦ βασιλέως ἔτυχε, καὶ ὥς τις ἀετὸς μετὰ ὀνύχων καὶ στόματος τοὺς ἐναντίους κατέκοπτεν. Ὁμοίως καὶ Θεόφιλος ὁ Παλαιολόγος, ὡς εἶδε τὸν βασιλέα μαχόμενον καὶ τὴν πόλιν κινδυνεύουσαν, μεγαλοφώνως μετὰ κλαυθμοῦ κράξας εἶπε· « Θέλω θανεῖν μᾶλλον ἢ ζῆν, » καὶ συῤῥήξας ἑαυτὸν ἐν μέσῳ μετὰ κραυγῆς τοὺς ὅσους εὗρε πάντας διεσκέδασε καὶ διεσκόρπισε καὶ ἐθανάτωσεν. Ἀλλὰ καὶ Ἰωάννης ὁ Δαλμάτης ἐκεῖ παρὼν ὑπὲρ πάντα στρατιώτην γενναίως τοῖς πολεμίοις **287** ἐσυμπλέκετο· καὶ οἱ ἐντυχόντες καὶ βλέποντες ἐθαύμαζον περὶ τῆς ἰσχύος καὶ γενναιότητος τῶν ἀρίστων ἀνδρῶν. Καὶ δὶς καὶ τρὶς τῆς ἐμβολῆς καὶ συῤῥήξεώς τε καὶ συμπλοκῆς γενομένης μεγάλως τοὺς ἀσεβεῖς ἐτρέψαντο καὶ πλῆθος ἀπέκτειναν καὶ ἑτέρους ἐκ τῶν τειχῶν ἀπεκρήμνιζον, καὶ ἀγωνιζόμενοι σφοδρῶς καὶ συμπλεκόμενοι ἀπεκτάνθησαν, καὶ πολὺν φόνον εἰς τοὺς πολεμίους πρὸ τοῦ ἀποθανεῖν ἐποίησαν οὗτος. Καὶ ἕτεροί τινες στρατιῶται οὐκ ἀγενεῖς μαχόμενοι ἐν τῷ τόπῳ ἐκείνῳ καὶ αὐτοὶ ἀπεκτάνθησαν πλησίον τῆς πύλης τοῦ ἁγίου Ῥωμανοῦ, ὅπου τὴν ἑλέβολιν ἐκείνην κατεσκεύασαν καὶ τὴν μεγάλην ἑλέβολιν ἔστησαν, καὶ τὰ τείχη τῆς πόλεως χαλάσαντες ἐκεῖθεν ἐν τῇ πόλει πρῶτον εἰσῆλθον. Ἐγὼ δὲ τῇ ὥρᾳ ἐκείνῃ οὐχ εὑρέθην πλησίον τοῦ αὐθεντός μου τοῦ βασιλέως, ἀλλὰ προστάξει ἐκείνου εἰς ἐπίσκεψιν δῆθεν ἐν ἄλλῳ μέρει τῆς πόλεως ἤμην.

η'. Ἐλθόντων δὲ τῶν Τούρκων καὶ τοὺς ἐν τοῖς ἔσωθεν τείχεσι Χριστιανοὺς μετὰ ἑλεβολίσκων καὶ βελῶν καὶ τόξων καὶ πετρῶν ἐναπολειφθέντας ἐδίωξαν, καὶ ἐγκρατεῖς πάντων ἐγένοντο, ἄνευ δὲ τῶν πύργων τῶν λεγομένων Βασιλείου Λέοντος καὶ Ἀλεξίου, ἐν οἷς ἐστήκεισαν οἱ ναῦται ἐκεῖνοι οἱ ἐκ τῆς Κρήτης· αὐτοὶ γὰρ γενναίως ἐμάχοντο μέχρι καὶ τῆς ἕκτης καὶ ἑβδόμης ὥρας καὶ πολλοὺς Τούρκους ἐθανάτωσαν, καὶ τοσοῦτον πλῆθος βλέποντες καὶ τὴν πόλιν δεδουλωμένην **288** πᾶσαν, αὐτοὶ οὐκ ἤθελον δουλωθῆναι, ἀλλὰ μᾶλλον ἔλεγον ἀποθανεῖν κρεῖττον ἢ ζῆν. Τοῦρκος δέ τις τῷ Ἀμηρᾷ ἀναφορὰν ποιήσας περὶ τῆς τούτων ἀνδρίας, προσέταξεν ἵνα κατέλθωσι μετὰ συμβάσεως καὶ ὧσιν ἐλεύθεροι

invicem se conculcabant. Hæc dum aguntur, intus et extra et ad portum clamatur : « Capta est arx, signa et vexilla sublime in turribus elata. » Quæ vox nostros fugavit, hostes erexit, qui magno clamore et impetu, nullo timore, in murum ascendunt.

Hæc cum videt miser imperator, dominus meus, cum lacrymis Deum precatur, et milites, ut generose pugnent, impellit : at nulla jam opis et auxilii spes erat. Itaque ipse equo concitato advolat, qua irruebat hostium turba, et quemadmodum Sampso hostes prostravit, ita impios primo impetu e mœnibus deturbat, ut qui aderant et videbant, mirum cernerent spectaculum. Leonis instar fremens, et dextra gladium strictum tenens, multos hostes trucidavit, ac sanguis in modum fluminis e pedibus et manibus ejus profluebat. Dominus Franciscus autem, Toledus, quem supra nominavi, ipsum superavit Achillem, ad dextram imperatoris dimicans et aquilæ instar unguibus et ore hostes concidens. Similiter Theophilus Palæologus, ut imperatorem decertantem et urbem periclitantem vidit, magna voce et lacrymans clamavit : « Mori quam vivere malo, » et impetu facto in medios hostes, quotquot invenit, disjecit, dissipavit, occidit. At enim Joannes Dalmata quoque, ibi præsens, præ reliquis militibus generose adversus hostes decertavit : ut, qui aderant et videbant, fortissimorum virorum virtutem et audaciam mirarentur. Itaque bis et ter impressione et pugna facta, impios vehementer fugarunt, multos occiderunt, alios de muris depulerunt, atque occubuerunt tandem constanter et strenue pugnantes et magna prius hostium strage data. Item alii haud imbelles milites eodem loco dimicantes ceciderunt, prope portam sancti Romani, ubi helepolim illam Turcæ fecerant et magnam helepolim constituerant : qua primum diruto muro, in urbem penetrarunt. Ego illo tempore non versabar circa imperatorem, dominum meum, sed jussu ejus ad lustrandam aliam partem urbis discesseram.

8. Turcæ urbem ingressi Christianos intra interiorem murum reliquos helebolisciis, jaculis, sagittis, saxis persecuti, et cunctis potiti sunt, præter eos qui in turribus Basilii Leonis et Alexii quæ dicebantur constituti erant, nautas Cretenses. Hi enim ad sextam et septimam horam strenue pugnabant et multos Turcas interficiebant, cumque tantam hostium multitudinem et totam urbem subactam viderent, noluerunt tamen ipsi subigi, sed mortem vita esse præstabiliorem ducebant. De quorum virtute cum Turca aliquis Ameræ renun-

Digitized by Google

αὐτοί τε καὶ ἡ ναῦς αὐτῶν καὶ πᾶσα ἡ ἀποσκευὴ ἦν εἶχον. Καὶ οὕτως γενομένων πάλιν μόλις ἐκ τοῦ πύργου τούτους ἔπεισαν ἀπελθεῖν. Καὶ δύο μὲν αὐτάδελφοι Ἰταλοὶ, Παῦλος καὶ Τρωΐλος τοὔνομα, ἐν τῷ διατεταγμένῳ αὐτοῖς τόπῳ μετὰ καὶ ἑτέρων πολλῶν γενναίως ἐμάχοντο καὶ τοὺς πολεμίους κακῶς ἀπεδίωχνον καὶ οὐκ ἀγεννῆ συμπλοκὴν καὶ σύρραξιν ἐποίουν, καὶ φόνος ἦν ἀναμεταξὺ, λέγω τῶν δύο μερῶν τῶν μαχομένων καὶ ὑπερμαχούντων. Στραφεὶς δὲ ὁ Παῦλος καὶ ὁρῶν τοὺς πολεμίους ἔσωθεν τῆς πόλεως λέγει τῷ ἀδελφῷ αὐτοῦ· « Ὦ φρίξον, ἥλιε! ὦ στέναξον, γῆ! ἑάλω ἡ πόλις, ἡμᾶς δὲ τοῦ πολεμεῖν παρῆλθεν ἡ ὥρα. Ἀλλ' ὑπὲρ τῆς σωτηρίας ἡμῶν, εἰ δυνατὸν, φροντίσωμεν. »

Καὶ οὕτως ἐγκρατεῖς οἱ πολέμιοι πάτης τῆς πόλεως γεγονότες ἡμέρᾳ τρίτῃ, ὥρα ἦν τῆς ἡμέρας β' καὶ ἥμισυ, τοῦ ,ςϡξα' ἔτους, τῇ κθ' μηνὸς Μαΐου. Καὶ τῶν μὲν προσπιπτόντων ἦν ἁρπαγὴ καὶ αἰχμαλωσία, τῶν δὲ καταλαμβανομένων καὶ ἀνθισταμένων σφαγή· καὶ οὐδαμῶς ἡ γῆ ἐν τισι τόποις ἐκ τῶν νεκρῶν διεφαίνετο. Καὶ ἦν ἰδεῖν θέαμα ξένον καὶ θρήνους πολλοὺς καὶ ποικίλους καὶ ἀμετρήτους ἀνδραποδισμοὺς, **289** τῶν εὐγενῶν ἀρχουσῶν καὶ παρθένων καὶ ἀφιερωμένων τῷ Θεῷ συρομένων ὑπὸ τῶν Τούρκων διὰ τῶν ἐθειρῶν καὶ κομῶν καὶ πλοκάμων τῆς κεφαλῆς ἔξωθεν τῶν ἐκκλησιῶν μετὰ ὀδυρμῶν ἀνηλεῶς, τὴν βοὴν καὶ κλαυθμὸν τῶν παίδων, τοὺς ἱεροὺς καὶ ἁγίους οἴκους λεηλατισμένους, τὸ φρικῶδες καὶ ἀκουόμενον τίς διηγήσεται; Ἦν ὁρᾶν τὸ θεῖον αἷμα καὶ σῶμα Χριστοῦ κατὰ γῆς χεόμενον καὶ ῥιπτόμενον, καὶ τὰ

A τιμαλφῆ δοχεῖα τούτου ἁρπάζοντες τὰ μὲν διέθρευον, τὰ δὲ σῶα ἐνεκολπίζοντο, καὶ τοὺς ἐγκεκοσμημένους κόσμους ὁμοίως ἐποίουν, καὶ τὰς ἁγίας εἰκόνας μετὰ χρυσοῦ καὶ ἀργύρου καὶ λίθων πολυτίμων κατεπάτουν, καὶ τοὺς κόσμους αἴροντες κλίνας καὶ τραπέζας ἐποίουν, καὶ μετὰ τῶν ἱερατικῶν στολῶν καὶ ἐνδυμάτων τῶν ἐκ σηρικῶν καὶ χρυσοϋφάντων ὄντων τοὺς ἵππους ἐσκέπαζον, καὶ ἄλλοι ἐπ' αὐτοῖς ἤσθιον, καὶ τοὺς πολυτίμους μαργάρους τῶν ἁγίων κειμηλίων ἀναρπάστους ἐποίουν, τὰ ἅγια λείψανα καταπατοῦντες. Καὶ ἕτερα ἀνοσιουργήματα πλεῖστα ἐποίουν ἄξια θρήνου οἱ τοῦ ἀντιχρίστου πρόδρομοι. Ὦ τῶν σοφῶν σου κραμάτων, Χριστὲ βασιλεῦ, ὡς ἀνερμήνευτα καὶ ἀνεξιχνίαστά εἰσι! Καὶ ἦν ἰδεῖν τὸν παμμέγιστον ἐκεῖνον ναὸν καὶ θειότατον τῆς B τοῦ Θεοῦ σοφίας, τὸν οὐρανὸν τὸν ἐπίγειον, τὸν θρόνον τῆς δόξης τοῦ Θεοῦ, τὸ Χερουβικὸν ὄχημα καὶ στερέωμα δεύτερον, τὴν Θεοῦ χειρῶν ποίησιν, τὸ θέαμα καὶ ἔργον ἄξιον, τὸ πάσης τῆς γῆς ἀγαλλίαμα, τὸν ὡραῖον **290** καὶ ὡραῖον ὡραιότερον· οὗ ἔσωθεν τῶν ἀδύτων καὶ ἄνωθεν τῶν θυσιαστηρίων καὶ τραπεζῶν ἤσθιον καὶ ἔπινον, καὶ τὰς ἀσελγεῖς γνώμας καὶ ὀρέξεις αὐτῶν μετὰ γυναικῶν καὶ παρθένων καὶ παίδων ἐπάνωθεν ἐποίουν καὶ ἔπραττον. Τίς μὴ θρηνήσῃ σε, ἅγιε ναέ; καὶ παντοῦ πᾶν κακὸν ἦν, καὶ πᾶσα κεφαλὴ ἤλγει. Ἐν οἴκοις θρῆνοι καὶ κλαυθμοὶ, ἐν τριόδοις ὀδυρμοὶ, ἐν ναοῖς ὁλοφυρμοὶ, ἀνδρῶν οἰμωγαὶ, γυναικῶν ὀλολυγαὶ ἑλκυσμοὶ ἀνδραποδισμοὶ τε καὶ C βιασμοί. Οἱ σεμνοὶ τῷ γένει ἀτίμως περιῆσαν, οἱ πλούσιοι ἀνόσιοι. Αἱ πλατεῖαι, αἱ γωνίαι κατὰ

tiasset, edixit is, ut ex pacto descenderent et cum navi et omni supellectile sua liberi essent. At sic quoque ægre iis persuaserunt, ut discederent. Duo fratres Itali, Paulus et Troilus nominibus, in loco sibi commisso cum aliis multis generose decertantes, hostes acriter repellebant et haud levi dimicabant prælio, et utrorumque, tum pugnantium tum defensantium, cædes edebantur. Respiciens autem Paulus hostesque intra urbem conspicatus, ad fratrem conversus: « O sol, horresce, inquit, o tellus, ingemisce! capta urbs est, et pugnandi tempus jam præteriit. Attamen de salute nostra, si qua spes est, cogitemus. »

Ita hostes tota urbe potiti sunt die tertio, hora secunda et dimidia, anno 6961, mensis Maii die 29. Qui irruerant, rapiebant et captivos faciebant, qui capiebantur et resistebant, mactabantur, atque nonnullis in locis præ cadaverum multitudine non apparebat terra. Vidisses novum spectaculum, lamenta multa et varia, rapinas innumeras, quibus mulieres primariæ, virgines et Deo consecratæ, capillis et crinibus a Turcis atrociter magno ejulatu ex ecclesiis avellebantur. Clamores et ploratus puerorum, sanctarum ædium sacrilegia et si quid aliud horrendum, quis hæc enarret? Erat videre Christi divinum sanguinem et corpus in terram effundi et projici, sacra vasa diripi et partim diffringi partim integra in sinum abscondi. Perinde de ornatu faciebant, sanctas imagines, auro, argento et lapillis pretiosis decoratas, conculcabant, et ornamenta spoliantes in lectulos et mensas adhibebant, sacerdotalibus stolis et vestimentis, tum sericis tum auro intextis, equos sternebant aut pro mappis utebantur, pretiosas sacræ gazæ margaritas spoliabant, sacris reliquiis humi protritis. Alia permulta exsecratissima et lacrymis prosequenda facinora præcursores illi Antichristi patrabant. O sapientissima tua consilia, Christe Rex, quam sunt abscondita et inscrutabilia! erat D porro videre maximum illud et divinissimum templum Sapientiæ Dei, cœlum terrestre, sellam gloriæ Dei, Cherubicum vehiculum et firmamentum alterum, opus manuum Dei, spectaculum eximium et totius orbis terrarum lumen, templum illud elegans et elegantibus elegantius, intra cujus adyta et supra altaria ac mensas ederent ac biberent, et incestas cupiditates et libidines suas cum feminis, virginibus et pueris exercerent. Quis te non lugeat, templum sanctissimum! ubique calamitas erat et dolebat omne caput. In domibus lamenta et fletus, in triviis planctus, in templis luctus, virorum gemitus, mulierum ululatus, rapinæ, captivitates, insultationes. Genere nobiles contempti erant, divites impii. Plateæ et anguli ubique omni malorum ge-

Digitized by Google

πάντα τόπον πανταχοῦ πασῶν κακιῶν ἦν ἔμπλεα· οὐδεὶς τόπος ἀνεξερεύνητος ἢ ἄσυλος ἔμεινεν. Ὦ Χριστὲ βασιλεῦ, τῆς τότε θλίψεως καὶ στενοχωρίας πᾶσαν πόλιν καὶ χώραν, ἣν οἰκοῦσιν οἱ Χριστιανοί, ἐλευθέρωσον. Καὶ πάντα κῆπον καὶ οἶκον οἱ ἀσεβεῖς οὐκ εἴασαν ἀνώρυκτον, ἵνα τὰ κεκρυμμένα χρήματα εὕρωσι· καὶ πλείστων μὲν νέων θησαυρῶν καὶ παλαιῶν καὶ ἑτέρων πολυτίμων πραγμάτων, εὑρόντες, ἐνεπλήσθησαν.

η'. Ὡς οὖν ἡ πόλις ἑάλω, ὁ ἀμηρᾶς ἔνδον εἰσελθὼν εὐθὺς πάσῃ σπουδῇ ζήτησιν ἐποίει περὶ τοῦ βασιλέως, ὃς κατὰ νοῦν ἄλλον οὐκ ἐλογίζετο εἰ μὴ μόνον μαθεῖν εἰ ζῇ ἢ τέθνηκεν ὁ βασιλεύς. Καὶ τινὲς μὲν ἐλθόντες ἔλεγον ὅτι ἔφυγεν, ἄλλοι δὲ ἐν τῇ πόλει ἔλεγον εἶναι κεκρυμμένον, ἄλλοι δὲ τεθνάναι μαχόμενον. Καὶ θέλων πιστωθῆναι ἀληθῶς ἔστειλεν ἔνθα **291** δὴ τὰ πτώματα τῶν ἀναιρεθέντων ἔκειτο σωρειδὸν Χριστιανῶν τε καὶ ἀσεβῶν. Καὶ πλείστας κεφαλὰς τῶν ἀναιρεθέντων ἔπλυναν, εἰ τύχῃ καὶ τὴν βασιλικὴν γνωρίσωσι. Καὶ οὐκ ἐδυνήθησαν γνωρίσαι αὐτὴν εἰ μὴ τὸ τεθνεὸς πτῶμα τοῦ βασιλέως εὑρόντες, ὃ ἐγνώρισαν ἐκ τῶν βασιλικῶν περικνημίδων ἢ καὶ πεδίλων, ἔνθα χρυσοῖ ἄετοὶ ἦσαν γεγραμμένοι, ὡς ἔθος ὑπῆρχε τοῖς βασιλεῦσι. Καὶ μαθὼν ὁ ἀμηρᾶς περιχαρὴς καὶ εὐφραινόμενος ὑπῆρχε· καὶ προστάξει αὐτοῦ οἱ εὑρεθέντες Χριστιανοὶ ἔθαψαν τὸ βασιλικὸν πτῶμα μετὰ βασιλικῆς τιμῆς. Οὐαὶ οὐαὶ κἀμοὶ τῆς προνοίας ἐν τίνι καιρῷ με φυλαττούσης! Ἦν δὲ πᾶσα ἡ ζωὴ τοῦ ἀοιδίμου ἐν βασιλεῦσι καὶ γαληνοτάτου καὶ μάρτυρος τούτου χρόνοι τεσσαράκοντα ἐννέα καὶ μῆνες τρεῖς καὶ ἡμέραι εἴκοσι.

Ὁ δὲ ἀμηρᾶς τῇ νίκῃ τῇ μεγάλῃ ἐπαρθεὶς καὶ πλείστῃ κενοδοξίας πλησθεὶς ὡμὸς καὶ ἀνελεήμων ἐφάνη. Προσελθὼν δὲ αὐτῷ ὁ μέγας δοὺξ ὁ κὺρ Λουκᾶς ὁ Νοταρᾶς προσεκύνησεν αὐτὸν, καὶ δείξας αὐτῷ θησαυρὸν πολὺν ὃν εἶχε κεκρυμμένον, καὶ λίθους καὶ μαργάρους καὶ ἕτερα λάφυρα ἄξια βασιλεῦσιν, ἃ ἰδὼν ὁ Ἀμηρᾶς καὶ πᾶσα ἡ βουλὴ αὐτοῦ ἐθαύμασαν. Ὁ δὲ Νοταρᾶς εἶπε τῷ ἀμηρᾷ· « Ταῦτα πάντα ἐφύλαττον διὰ τὴν βασιλείαν σου, καὶ ἰδοὺ τὰ νῦν χαρίζομαί σοι δῶρον· καὶ δέομαι, δέξαι τοῦ δούλου σου τὴν δέησιν καὶ παράκλεσιν. » Ἠπείζεν οὖν οὗτος δι' αὐτῶν ἐλευθερίαν τύχαι **292** μετὰ τοῦ οἴκου αὐτοῦ· ἀπελογίσατο δὲ αὐτῷ ὁ μηρᾶς καὶ εἶπεν· « Ὦ ἡμικύων καὶ ἀπάνθρωπε ἀμηχανορράφε καὶ πολύτροπε, τοσοῦτον πλοῦτον εἶχες καὶ οὐκ ἐβοήθησας τῷ βασιλεῖ τῷ αὐθέντῃ σου καὶ τῇ πόλει τῇ πατρίδι σου; Νῦν δὲ μετὰ τοιούτων πονηριῶν καὶ πανουργιῶν ἃς οἶδας ποιεῖν καὶ πράττειν ἐκ νεότητος, βούλῃ ὑποσκελίσαι κἀμὲ, καὶ φύγῃς τοῦ πρέποντός σοι; Εἰπέ μοι, ὦ ἀσεβῆ, τίς ὁ χαρίσας μοι τὸν πλοῦτον τὸν σὸν καὶ τὴν πόλιν ταύτην εἰς χεῖράς μου; » Λέγει αὐτῷ ὁ Νοταρᾶς· « Ὁ Θεός. » Ὁ δὲ Ἀμηρᾶς εἶπεν αὐτῷ· « Ἐπεὶ ὁ Θεὸς ταῦτά μοι ἐχαρίσατο καὶ σὲ καὶ πάντας ὑπὸ τὰς χεῖράς μου δούλους ἔδωσε, τί σὺ λέγεις, πονηρὲ, καὶ φλυαρεῖς; Πῶς οὐκ ἔστειλάς μοι αὐτὰ πρὶν τὴν μάχην κινήσω καθ' ὑμῶν ἢ πρὶν τὴν πόλιν νικήσω, ἵνα ὀφείλω σοι τὴν χάριν καὶ τὴν ἀνταμοιβήν; Νῦν

nere redundabant; nullus locus erat, quem non scrutarentur et expilarent. Christe Rex, ab illa, quam tum experti sumus, miseria et calamitate omnem urbem et terram, quam Christiani habitant, tueare. Nullos hortos, nulla domicilia non perquirebant impii, ut pecuniam abditam reperirent: ac maximis inventis thesauris, vetustis et novis, atque aliis rebus pretiosis impleti sunt.

9. Capta igitur urbe, Ameras, eam ingressus, studiosissime de imperatore quærebat, nec quidquam antiquius habebat, quam ut cognosceret, viveretne an interiisset imperator. Atque eum alii fugisse dicebant, alii in urbe latitare, alii prælio occubuisse. Itaque ut rem certo cognosceret, misit, ubi Christianorum et impiorum cadavera acervatim jacebant. Abluerunt occisorum capita plurima, si forte imperatoris agnoscerent. Non poterant autem, sed inventum imperatoris cadaver ex imperatoriis ocreis et calceamentis agnoverunt, in quibus aureæ aquilæ depictæ essent, ut mos erat imperatoribus. Hujus rei certior factus Ameras, summopere gavisus et exhilaratus est, et qui aderant Christiani jussu ejus imperatorium cadaver honore imperatoribus legitimo sepeliverunt. Væ mihi quoque, quem quo tempore servavit divina providentia! Vixit venerandus hic et placidissimus imperator, dum martyr obiit, annos quadraginta novem, menses tres et dies viginti.

Ameras magna victoria elatus et inani tumefactus gloria, crudelem se et immanem præstitit. Accessit ad eum Lucas Notaras, magnus dux, et, adoratione facta, ingentem thesaurum, quem absconditum habebat, gemmas porro et margaritas aliamque gazam regibus dignam ei monstravit; quorum aspectu Ameras cum universo comitatu obstupuit. Tum Notaras: « Hæc omnia, inquit, servavi majestati tuæ et nunc tibi pro munere trado, ac rogo, ut servi tui preces et vota ne aspernere. » Sperabat autem, sic se cum domo sua libertatem consecuturum esse. At respondit Ameras: « Heu te semicanem, hominem immanem, veteratorem et fraudulentum, qui tantas opes possederis, nec succurreris domino tuo, imperatori, nec huic urbi, patriæ tuæ! nunc vero cum istis nequitiis et fraudibus, quibus deditus fuisti a pueritia, me quoque supplantare et pœnam effugere studes? Dic mihi, sceleste, quis est, qui in manus meas tradidit divitias tuas et hanc urbem? » Respondit Notaras: « Deus. » Tum Ameras: « Quodsi Deus hæc mihi donavit, atque te et reliquos in manus meas dedidit, quid tu, nequam, ais et nugaris? cur mihi hæc non ante misisti, quam bellum contra vos commoverem aut urbem caperem, ut tibi gratias et remunerationem deberem? Nunc enim non tu hæc mihi largiris, sed Deus. » Ita statim mandavit lictoribus, ut eum in carcerem conjicerent et diligenter custodirent. Postridie cum rursus coram se

Digitized by Google

ρῦν οὐκ εἶ σὺ ὁ χαρίσας μοι ταῦτα, ἀλλὰ ὁ Θεός. » Καὶ εὐθὺς ὥρισε τοῖς δημίοις ἵνα εἰς φυλακὴν βάλωσιν αὐτὸν καὶ ἀσφαλῶς τηρῶσι. Τῇ δὲ ἐπαύριον προστάξας ἤνεγκαν πάλιν αὐτὸν ἔμπροσθεν τοῦ βήματος αὐτοῦ· καὶ λέγει αὐτῷ· « Ἐπεὶ οὐκ ἠθέλησας βοηθῆσαι τῷ βασιλεῖ καὶ τῇ πατρίδι σου μετὰ τοσούτου θησαυροῦ ἀναριθμήτου ὃν εἶχες, καὶ διὰ τί οὐκ ἐβούλευσας τὸν βασιλέα, ὅτε ἐμήνυσα αὐτῷ ἵνα μετ' εἰρήνης καὶ ἀγάπης μοι δώσῃ τὴν πόλιν καὶ ἄλλον ἀντ' αὐτῆς τόπον δώσω μετ' ἀγάπης καὶ φιλίας, ἵνα μὴ τοσοῦτοι φόνοι ἀναμέσον ἡμῶν γενήσωνται; » Ὁ δὲ ἀποκριθεὶς εἶπεν **293** αὐτῷ· « Ἐγὼ αἴτιος οὐχ ὑπάρχω εἰς τὴν αὐτὴν ὑπόθεσιν, ἀλλ' οἱ Ἐνετοὶ καὶ οἱ ἐν τῷ Γαλατᾷ, οἵ ἔτασσον τῷ βασιλεῖ ἵνα στόλον καὶ στρατὸν εἰς βοήθειαν αὐτῷ στείλωσιν. » Ὁ δὲ Ἀμηρᾶς· « Πολλὰ οἶδας, » λέγει, « ψεύδους ἐφευρήματα· τὰ νῦν δὲ καιρὸς ψεύδους οὐκ ἔστιν ἵνα βοηθήσῃ σοι. » Καὶ προστάξας ἐπὶ τὴν αὔριον ἐπὶ τὴν τοῦ Ξηροῦ λόφου ἀγορὰν πρῶτον κατενώπιον αὐτοῦ θανατώσωσι τοὺς δύο υἱοὺς αὐτοῦ, οὓς ποτε ᾔτει τῷ βασιλεῖ ἵνα τὸν ἕνα αὐτῶν τιμήσῃ τῷ τοῦ μεγάλου κοντοσταύλου ἀξιώματι καὶ τὸν ἕτερον τῷ τοῦ μεγάλου λογοθέτου, εἶτα καὶ αὐτὸν θανατώσωσιν, ὡς καὶ ἐγένετο· καὶ οὕτω τὰ τοῦ Λουκᾶ τοῦ Νοταρᾶ πέρας ἔλαβον. Εἶτα προστάξας μετὰ ταῦτα ἐθανάτωσε πολλοὺς εὐγενεῖς ἄρχοντας, τὸν τῶν Ἐνετῶν ἄγγαρον καὶ τὸν υἱὸν αὐτοῦ, τὸν ἀστάνδην τῆς Καταλονίας καὶ τοὺς δύο υἱοὺς αὐτοῦ. Εἶτα ἤθελεν θανατῶσαι καὶ τὸν Κονταρῖνον καὶ ἑτέρους εὐγενεῖς τῶν Ἐνετῶν, οἵ χρήματα δώσαντες καὶ ἐπαγγειλάμενοι τῷ Σογὰν μπασιᾷ τοῦ ζῆν ἐχαρίσθησαν. Καὶ στείλας ἐν τῷ Γαλατᾷ καὶ πολλοὺς πιάσας ἐθανάτωσε, καὶ πᾶσα ἡ αὐτοῖς ἐπαγγελία ἣν ἐπηγγείλατο εἰς οὐδὲν ἐλογίσθη, ἀλλὰ καὶ αὐτοὺς ὑποτελεῖς ὥρισεν εἶναι. Τὸν δὲ Ἀλὶ μπασιᾶν στείλας ἀπέκλεισεν ἐν πύργῳ τινί, καὶ μετὰ ὀλίγας ἡμέρας καὶ αὐτὸν ἐθανάτωσε, δι' ἣν αἰτίαν εἴπομεν, ἤγουν διὰ τὸ λέγειν αὐτὸν τοῦ μὴ **294** ἐγεῖραι μάχην κατὰ τῆς πόλεως, ἵνα μὴ οἱ τῶν ἑσπερίων αὐθένται Χριστιανοὶ συναχθῶσιν ἐπὶ τὸ αὐτὸ καὶ τῆς Εὐρώπης αὐτοὺς διώξωσι καὶ τὰ ἑξῆς, ὡς προγέγραπται. Ὁ θάνατος οὖν αὐτοῦ λύπην ἀμέτρητον παντὶ τῷ στρατῷ τοῦ ἀμηρᾶ ἐνέδωκε διὰ τὸ εἶναι αὐτὸν ὑπὸ πάντων φιλούμενον καὶ εἰς πάντα καλῶς τὸν ἀμηρᾶν συμβουλεύοντα.

ι'. Ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ γίνεται ἔτη ,βσμβ', καὶ ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη φ', καὶ ἀπὸ τῆς πυργοποιΐας ἕως τῆς ἐλεύσεως τοῦ Ἀβραὰμ εἰς Χαναὰν γῆν, ἐξ ἧς καὶ τῶν Ἑλληνικῶν θεῶν λαμβάνουσιν ἀρχὴν τὰ ὀνόματα, εἰσὶν ἔτη χις'. Καὶ ἀπὸ τοῦ Ἀβραὰμ ἕως Ῥώμου καὶ Ῥωμύλου ἔτη ,ατμβ', καὶ ἀπὸ τοῦ Ῥώμου καὶ Ῥωμύλου ἕως Αὐγούστου Καίσαρος ἔτη ψπς', καὶ ἀπὸ τοῦ Αὐγούστου Καίσαρος ἕως τοῦ μεγάλου Κωνσταντίνου Φλαβίου τοῦ τρισολβίου καὶ ἀοιδίμου τε καὶ ἀειμνήστου, τοῦ μεταθέσαντος τὰ βασίλεια ἀπὸ τῆς παλαιᾶς Ῥώμης εἰς Κωνσταντινούπολιν τὴν ποτε Βυζάντιον, ἣν αὐτὸς ἀνῳκοδόμησε καὶ νέαν Ῥώμην ὠνόμασεν, εἰσὶν ἔτη τλβ'. Καὶ ἀπὸ Κωνσταντίνου Φλαβίου τοῦ Χλωροῦ ἕως Ἡρακλείου τοῦ μεγάλου ἔτη τε', ἐν οἷς χρόνοις ἦν καὶ ὁ τρισκατάρατος καὶ ψευδοπροφήτης Μωάμεθ, ὁ ἀπόγονος τοῦ Ἰσμαὴλ, ὃς ὑπῆρχεν ἐκ τῆς τοῦ Κηδὰρ φυλῆς τοῦ πρωτοτόκου υἱοῦ Ἰσμαήλ. Νίζαρος γὰρ

adduci jussit et his verbis compellavit: « Quandoquidem imperatori et patriæ tuæ ditissimo hoc thesauro, quem habebas, opitulari noluisti, cur imperatori non suasisti, cum talem ego ei conditionem proposuissem, ut pacifice et ultro urbem mihi daret, ego illi alium locum cum benevolentia et amicitia restituerem, ne tantæ inter nos cædes fierent? » Respondit ille: « Hujus rei non ego culpam sustineo, sed Veneti et Galatæi, qui imperatori promittebant, se classem et copias ei auxilio missuros. » Rursus Ameras: « Multa, inquit, fingere mendacia didicisti. Verum nunc tempus non est mandaciis tibi consulendi. » Præcepit deinde ut sequenti die in foro Collis aridi, quod dicitur, prius coram ipso duo filii ejus trucidarentur, de quibus olim rogaverat, ut imperator alterum magni contostauli, alterum magni logothetæ dignitate honestaret: deinde trucidaretur ipse: id quod ita factum est. Hunc igitur finem res Lucæ Notaræ habuerunt. Deinde Ameras multos generosos viros principes interfici jussit, velut Venetorum stationarium et filium ejus, magistrum cursus publici Catelanorum cum duobus filiis. Mox etiam Contarinum et alios nobiles Venetos occidi voluit, qui tamen, pecunia data et promissa Soganbasiæ, vitam impetrarunt. At vero Galatam misit et multos ibi comprehensos trucidavit, nec quidquam jam meminerat, quam iis conditionem promisisset, sed illos quoque sibi stipendiarios esse voluit. Ali Basiam in turrim inclusum, post paucos dies interemit, propter causam a nobis significatam, quod suaserat, ne bellum adversus urbem susciperetur, ut occidentales principes Christiani ne conjungerentur ea occasione et se ex Europa ejicerent, et quæ alia supra commemoravimus. Ejus mors ingentem luctum exercitui universo Ameræ attulit, quoniam ab omnibus diligebatur et præclara semper consilia Ameræ dederat.

10. Ab Adamo ad diluvium anni sunt 2242, a diluvio ad exstructam turrim anni 500, ab exstructa turri ad Abrahami in Chanaan adventum, ex qua terra Græcorum deorum nomina originem ducunt, anni 616; ab Abrahamo ad Romulum et Remum anni 1342; a Romulo ad Augustum Cæsarem anni 787; ab Augusto Cæsare ad magnum Flavium Constantinum, ter beatum, venerandum et æternæ memoriæ imperatorem, qui a vetere Roma imperii sedem Cpolim, quam, olim Byzantium dictam, ipse instauratam novam Romam appellavit, 332; a Flavio Constantino Chloro ad Heraclium magnum anni 305; quo quidem tempore vixit ter exsecrandus pseudopropheta Mohametes, e posteris Ismaelis,

Digitized by Google

ὁ τοῦ Κηδὰρ **295** ἀπόγονος ἐγέννησεν υἱοὺς δύο, Μόδδαρον καὶ Ῥαβίαν, ὁ δὲ Μόδδαρος Κοῦσαρον καὶ Καῖτον καὶ Θεμίνην καὶ Ἄσαδον, ὁ δὲ Κούσαρος τὸν Ἀβεδουλᾶν, ὁ δὲ Ἀβεδουλᾶς τὸν ψευδοπροφήτην καὶ ἀντίχριστον Μωάμεθ. Γεννηθεὶς δὲ καὶ ἀνατραφεὶς πενίᾳ συζῶν καὶ κτηνοτρόφος ὢν καὶ μάλιστα σεληνιαζόμενος, φωτισθεὶς τὰ τοῦ σκότους παρὰ τοῦ πατρὸς αὐτοῦ τοῦ Σατανᾶ, ἐκατώρθωσεν ἃ ἕτεροι πολλοὶ συνέγραψαν, περὶ ὧν οὐκ ἔστιν ἡμῖν ἀναγκαῖον διηγεῖσθαι. Πλὴν ὀλίγων τινῶν ἐκ τῶν αὐτοῦ μιαρῶν ἔργων καὶ πονηρῶν μνείαν ποιήσωμεν. Οὗτος ὁ παμμίαρος ἐκ τῶν Ἐθρίβου ὀρέων ὥρμητο, καὶ πρῶτον μὲν δοῦλος ὑπάρχων τινὶ γυναικὶ χήρᾳ καὶ ὁμοφύλῳ αὐτοῦ, πλουσίᾳ πάνυ, ὀνόματι Χαδιχᾶ· ὃς μετὰ τῆς πονηρίας καὶ πανουργίας αὐτοῦ τὴν ἑαυτοῦ κυρίαν εἰς γυναῖκα ἔλαβεν, καὶ δαιμόνια ἔχων καὶ πίπτων καὶ τρέμων καὶ ἀφρίζων αὐτὸς τὸ πάθος μετεσχημάτιζεν, ὅπως μὴ αἰσχύνηται ἡ γυνὴ καὶ κυρία αὐτοῦ, μεμφομένη αὐτὸν πῶς συνεζεύχθη τοιούτῳ πένητι καὶ δαιμονήτῃ· τὸν ἄγγελον Γαβριὴλ ἔλεγεν ὅτι ἑώρα λέγοντα αὐτῷ τὰ μέλλοντα συμβαίνειν ἐν τῷ κόσμῳ καὶ ἀποκαλύπτοντα, ὡς ἔθος ἐστὶ πᾶσι τοῖς μοναχοῖς καὶ προφήταις· ἐκ τοῦ φόβου ἐξίστατο καὶ ἐδειλία. Ἦν δέ τις ψευδαββᾶς ὀνόματι Σέργιος, διὰ κακοπιστίαν ἐκ τῆς Κωνσταντινουπόλεως ἐξόριστος, καὶ φίλος ὢν τῷ Μωάμεθ· ὃν **296** ὁ Μωάμεθ ἐπαρεκάλει τῇ αὐτοῦ κυρίᾳ τῇ καὶ γυναικὶ ταῦτα λέγειν καὶ βεβαιώνειν, καὶ παραινεῖν ἵνα μὴ λυπῆται, ἀλλ' ἵνα χαίρῃ. Ἡ δὲ γυνὴ ἐπίστευε τῷ ψευδαββᾷ πλεῖον ἢ τῷ ἀνδρί. Διὰ τοῦτο λέγουσι καὶ οἱ πάντες ὅτι ὁ Μωάμεθ ὥρισε τοὺς μοναχοὺς πάντας ἀτελεῖς εἶναι καὶ ἀφορολογήτους διὰ τὴν τοῦ ψευδαββᾶ Σεργίου φιλίαν, καὶ οὕτως παρήγγειλεν. Ἔλεγεν οὖν ταῖς γυναιξὶν αὐτὴ ὅτι ὁ ἀνὴρ αὐτῆς προφήτης ἐστίν. Καὶ παρὰ τῶν γυναικῶν εἰς τοὺς ἄνδρας αὐτῶν κηρυχθείς, καὶ οὕτως ἐν τῷ κόσμῳ παρὰ τῶν ἀφρόνων ὁ ψευδοπροφήτης ὠνόμασται, καὶ ἕως τοῦ νῦν τὸ αὐτὸ μέγα ψεῦδος παρὰ τῶν Ἰσμαηλιτῶν ᾄδεται. Ἀποθανούσης δὲ τῆς γυναικὸς αὐτοῦ κληρονόμος τοῦ βίου καὶ πλούτου τοῦ τοσούτου αὐτῆς γενόμενος, φύλαρχος τῶν Ἰσμαηλιτῶν τῶν ἐκεῖ ἐχρημάτιζεν. Εἶτα ἐρχόμενος ὁ βασιλεὺς Ἡράκλειος τῷ τότε καιρῷ ἐκ τῆς Περσίδος μετὰ νίκης μεγάλης, καὶ θέλων περᾶσαι πλησίον ὡσεὶ ἡμερῶν τινῶν ὁδὸν ἐν ἐκείνοις τοῖς μέρεσιν ἔνθα διέτριβε καὶ κατ�ᾴκει ὁ ἀλιτήριος, ὡς ἤκουσε τοῦτο ὁ πονηρὸς, πρόεισιν εἰς προσκύνησιν καὶ προϋπάντησιν τῷ βασιλεῖ μετὰ δώρων πολυτίμων πολλῶν ἀξίων βασιλεῦσι καὶ τινων οὐκ ὀλίγων ἐκ τῆς αὐτῆς φυλῆς. Ἐδέξατο οὖν αὐτὸν ὁ βασιλεὺς διὰ τὴν ὑποταγὴν καὶ μεγάλην δουλοσύνην ἣν ἔδειξε· καὶ χώραν αἰτήσας τῷ βασιλεῖ εἰς κατοίκησιν, καὶ ἐδωρήσατο ὁ βασιλεὺς μετὰ γράμματος βασιλικοῦ. Ἀναζωσάμενος **297** οὖν καὶ τὴν βασιλικὴν ἐξουσίαν καὶ εἰς τὴν φιλίαν θαῤῥῶν καὶ πλέον ἐπαρθεὶς τῇ διανοίᾳ εὐθὺς ἔθετο καὶ προστάγματα· καὶ τοὺς μὲν λόγοις ἀπατῶν, τοῖς δὲ μὴ πειθομένοις εὐχερῶς τὸ ξίφος ἀνατεινόμενος καὶ ὑποκλίνασθαι τούτους ἐκβιαζόμενος, ἄρχων τέλειος τῶν Σαρακηνῶν ἐγένετο. Καὶ μετ' ὀλίγον τινὰ καιρὸν

e tribu Cedar, qui filius primogenitus Ismaelis fuit. Nizarus enim, unus e posteris Cedar, filios duos genuit, Mobdarum et Rhabiam, Mobdarus Cusarum, Caitum, Themenen et Asadum, Cusarus Abedulam, Abedulas pseudoprophetam et antichristum Mohametem. Is in egestate natus et educatus, adeoque pecuarius et quam maxime lunatibus, quæ innovaverit, tenebris sibi a patre Satana illustratis, alii multi conscripserunt, ut nos de iis dicere nihil attineat. Sed tamen pauca aliqua e scelestis et pravis facinoribus ejus commemorabimus. E montibus Ethribi igitur profectus scelestissimus iste homo, primum servus fuit viduæ alicujus tribulis, feminæ ditissimæ, nomine Chadichæ ; sed mox, qua erat pravitate et versutia, heram uxorem duxit, atque, morbo comitiali correptus, caducus, tremebundus et ore spumans, ipse ita moderabatur morbum, ut eum non ægre ferret uxor et hera. Neve conquereretur, quod homini egeno et lunatico conjugio juncta esset, Gabrielem angelum videre se aiebat, dicentem sibi et aperientem, quæ futura essent in mundo, quemadmodum monachis et prophetis mos est : atque præ timore sui impos erat ac stupebat. Erat porro pseudabbas quidam, Sergius nomine, propter fidei pravitatem Cpoli exsul et Mohameti familiaris : hunc ille adhibebat, ut heræ et conjugi suæ diceret, commendaret et persuaderet, ne tristaretur, imo potius gauderet : habebatque mulier pseudabbati majorem, quam marito fidem. Qua de re omnes affirmant, Mohametem propter pseudabbatis Sergii amicitiam constituisse, ut cuncti monachi immunes essent : quod sane imperavit. Mox Mohametis conjux mulieribus persuasit, maritum suum prophetam esse ; atque a feminis Mohametes maritis commendatus, postremo per orbem terrarum ab insciis eo nomine appellatus est, et ingens id mendacium hodieque ab Ismaelitis decantatur. Uxore mortua, tantarum opum et divitiarum hæres factus, Ismaelitarum suæ regionis dux evasit. Illo tempore rediens e Persis post magnam victoriam imperator Heraclius, aliquot dierum itinere ad ea loca procedere volebat, in quibus nefarius iste versabatur et habitabat. Quod ubi audivit nebulo, ad adorandum imperatorem cum aliis nonnullis tribus suæ hominibus obviam ei proficiscitur, donis pretiosis et imperatore dignis onustus. Excepit eum imperator propter modestiam et obedientiam insignem, quam præ se tulit, et terram, quam habitabat, rogatus, donavit ei eam cum litteris imperatoriis. Itaque ille, munitus jam scripto imperatoris et ejusdem fisus amicitia, et magis etiam elatus consilii versutia, statim edicta constituit, atque alios verbis decipiens, alios, qui non facile obedirent, stricto gladio et vi redigens ad obsequium, summus dux Saracenorum evasit. Mox opportunitatem nactus, cum impera-

Digitized by Google

ρὸν εὐκαιρίαν εὑρὼν διὰ τὸ τοὺς βασιλεῖς περισπωμένους ὑπάρχειν ἐν πολέμοις τῆς Ἰταλίας, τὴν αἵρεσιν αὐτοῦ ἐπαῤῥησιάσατο, ἣν εἶχεν ὑποκεκρυμμένην χρόνους ἱκανοὺς, καὶ νομοθέτης αὐτῶν καὶ διδάσκαλος ἐγένετο· καὶ τὰ ἐν τῷ Κορὰν, τουτέστι τοῦ ἐκτεθέντος παρ' αὐτοῦ νόμου, κεφάλαια ποιήσας, καὶ ἐν τέσσαρσι λόγοις ταῦτα τὰ κεφάλαια διαμερίσας, αὐτοῖς ἐπαρέδωκεν. Ἃ εἰσι ταῦτα.

ια'. Ἐν τῷ πρώτῳ κεφαλαίῳ τοῦ πρώτου λόγου λέγει ὅτι ὁ Μωάμεθ τῇ ὥρᾳ τῆς ἐπιληψίας, ἐν ᾗ ἐκυλίετο ἀφρίζων, τὸν ἀρχάγγελον Γαβριὴλ ἐρχόμενον πρὸς αὐτὸν ἔλεγεν ὁρᾶν, ὡς εἴρηται. Δεύτερον ὅτι συνεγράψατο τὸ βιβλίον, Ἀραβιστὶ Κορὰν ὀνομάσας, ὃ λέγεται Ἑλληνιστὶ Νόμος Θεοῦ σωτήριος. Τρίτον ὅτι προφήτην Θεοῦ καὶ ἀπόστολον ἑαυτὸν ἐκάλεσεν. Τέταρτον ὅτι τὰ Μωσαϊκὰ πάντα τό τε ψαλτήριον καὶ τὰ προφητικὰ δίκαια καὶ ἅγια καὶ ἀληθῆ ὠνόμασε, κατ' ἐξαίρετον δὲ τῶν ἄλλων τὸ Εὐαγγέλιον ἅγιον καὶ δίκαιον καὶ εὐθὲς **298** καὶ ἀληθινὸν καὶ τέλειον ἀπεφήνατο, ὥστε καὶ ἐν τῷ κεφαλαίῳ τοῦ Ἰωνᾶ Θεοῦ ὑπομνήσεις ταῦτα ὠνόμασε. Πέμπτον ὅτι μὴ μόνον παρὰ τοῦ Μωάμεθ ἐξετέθη ὁ νόμος ἀλλὰ καὶ παρ' ἑτέρων. Ἕκτον ὅτι ὁ παρὰ τοῦ Μωάμεθ ἐκτεθεὶς νόμος στόματι πρὸς οὓς ἐξετέθη παρὰ τοῦ δαίμονος. Ἕβδομον ὅτι εἷς χαλιφᾶς τὸ ἀξίωμα, τουτέστιν ἄκρος διδάσκαλος, ἐγένετο Χριστιανός. Ὄγδοον ὅτι ὁ Μωάμεθ ἐντυχὼν αἱρετικοῖς τισι Νεστοριανοῖς καὶ Ἀρειανοῖς, ἀλλὰ δὴ καὶ Ἰουδαίοις τισὶ, τὴν τούτων κακίαν ἐσώρευσεν. Ἔνατον ὅτι μεγαλορῥημόνως περὶ αὐτοῦ ἔλεγεν ὡς Εἰ πάντες ἄνθρωποι συναχθεῖεν καὶ πάντα τὰ πνεύματα καὶ πάντες οἱ ἄγγελοι, οὐκ ἂν δύναιντο ποιῆσαι τοιοῦτο Κορὰν ὡς ἐγώ. Δέκατον ὅτι ἐν τῷ ἀνωτέρῳ μέρει ἦγουν ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ Δεσποτικοῦ θρόνου ἔστι γεγραμμένον τὸ τοῦ Μωάμεθ ὄνομα. Ἑνδέκατον ὅτι οὐκ ἦλθε διὰ θαυμάτων, ἀλλὰ διὰ ξίφους δοῦναι τὸν νόμον, καὶ τοῖς μὴ πειθομένοις αὐτῷ θάνατος ἔσται ἡ τιμωρία ἢ φόρους διδόναι. Δωδέκατον ὅτι ὁ Νὼε καὶ Ἀβραὰμ, ἀλλὰ δὴ καὶ οἱ ἀπόστολοι τοῦ αὐτοῦ δόγματος, φησὶν, ἦσαν οὗπερ οὗτος ἐξέθετο ὕστερον.

Τοῦ δευτέρου λόγου κεφάλαιά εἰσι ταῦτα. Πρῶτον ὅτι τὰ ἐν ταῖς Μωσαϊκαῖς παραδόσεσι τοῖς προφήταις τε καὶ τῷ ψαλτηρίῳ καὶ τῷ Εὐαγγελίῳ γεγραμμένα ἅγια καὶ δίκαια καὶ ἀπὸ Θεοῦ δεδομένα καλεῖ, στέργει τε καὶ φυλάσσει αὐτὰ, καὶ οὐδ' ὅλως εἰσὶν **299** οἱ τούτου ἀκόλουθοι, εἰ μὴ ταῦτα πληρώσοιεν. Δεύτερον ὅτι εἰς ἑβδομήκοντα πρὸς ταῖς τρισὶ μοίρας μέλλουσι σχισθῆναι οἱ τῷ νόμῳ αὐτοῦ ἀκολουθήσαντες, καὶ ἡ μὲν μία καὶ μόνη ἐκ τούτων σωθήσεται, αἱ δὲ ἄλλαι τῷ πυρὶ παραδοθήσονται. Τρίτον ὅτι εἰ μὴ παρὰ Θεοῦ ἦν τὸ Κορὰν, πολλαὶ ἐναντιότητες εὑρίσκοντο ἐν αὐτῷ. Τέταρτον ὅτι μετὰ τοῦ Γαβριὴλ ἀνελθεῖν λέγει εἰς τὸν οὐρανὸν, καὶ ἐντυχεῖν ἀγγέλῳ μυριάκις μείζονι παντὸς τοῦ κόσμου, θρηνοῦντι τὰς αὐτοῦ ἁμαρτίας, καὶ τυχεῖν παρὰ τοῦ Θεοῦ συγγνώμης δι' αὐτοῦ. Πέμπτον ὅτι τέλος καὶ σφραγὶς τῶν προφητῶν ἐστιν οὗτος. Ἕκτον ὅτι ἁρπαγὰς καὶ φόνους κωλύει καὶ ἐπιορκίας, καὶ πάλιν ταῦτα ἐνδίδωσιν. Ἕβδομον ὅτι ὁ Θεὸς ἐνέδωκε τούτῳ ἐπιορκῆσαι. Ὄγδοον ὅτι διαλεγόμενος αὐτῷ ὁ Θεὸς εἶπεν ὡς παιδιᾶς χάριν ἐποίησε

tores bellis in Italia distinerentur, consilium suum aliquandiu prudenter celatum, libere professus est et eorum legislator exstitit, atque tradidit iis coranem, hoc est, legem ab ipso constitutam, in capita distributum, capita ea quatuor libris complexus, quæ capita hæc sunt.

11. Capite primo libri 1 legitur, Mohametem dicere, epilepsia correptum, qua volvebatur spumanti ore, se vidisse Gabrielem archangelum ad se accedentem : sicut supra commemoravimus. 2. Conscripsisse Mohametem hunc librum, quem arabice Coranem appellat, quod Græce est Lex Dei salvatrix. 3. Prophetam Dei et apostolum se appellat. 4. Mosaica omnia, deinde psalterium et prophetica justa, sancta et vera esse dicit, præ cæteris vero Evangelium sanctum, justum, probum, verum et perfectum appellat : adeo ut in capite Jonæ hæc nominarit commentarios Dei. 5. Non solum a Mohamete, sed etiam ab aliis legem constitutam esse. 6. A Mohamete constitutam legem ore ad aurem enuntiatam esse a dæmone. 7. Unum Chalipham hoc est eximium magistrum fuisse Christianum. 8. Mohametem, cum in hæreticos quosdam Nestorianos et Arianos, imo et Judæos aliquot incidisset, horum coacervasse pravitatem. 9. Magnifice de se prædicat, omnes homines, omnes spiritus, omnes angelos conjunctim non posse talem librum componere, qualem composuerit ipse. 10. In parte superiori, a dextra throni Domini, scriptum esse nomen Mohametis. 11. Venisse eum, non miraculis, sed gladio legem constitutum, et qui non parerent sibi, iis capitis aut pendendi tributi pœnam fore. 12. Noachum et Abrahamum, quin etiam apostolos eamdem doctrinam secutos esse, quam ipse postea docuerit.

Libri secundi capita hæc sunt. 1. In Mosaicis libris, propheticis, Psalterio et Evangelio scripta eum sancta, justa et a Deo impertita appellare, observare et venerari, nec omnino esse ipsius asseclas, nisi qui illa colerent. 2. In septuaginta tres sectas discessuros esse legis suæ asseclas, quarum una salva foret, reliquæ igni tradendæ. 3. Nisi a Deo impertitus esset Coran, multa in eo inventum iri, quæ sibi repugnarent. 4. Mohametem cum Gabriele in cœlum ascendisse et in angelum decies millies majorem, quam universus mundus sit, et peccata sua deplorantem incidisse, qui per ipsum veniam a Deo impetrarit. 5. Mohametem perfectionem et sigillum prophetarum esse. 6. Eum rapinas et cædes et perjuria nunc improbare nunc probare. 7. Deum ei permisisse, ut perjuraret. 8. Deum ei colloquentem dixisse, animi causa se mundum condidisse. 9. In capite quod dicitur Bacara, hoc est Cerva, dicit, Judæos et Christianos salvos fore; in

Digitized by Google

τὸν κόσμον. Ἔνατον ὅτι ἐν τῷ κεφαλαίῳ τῷ λεγομένῳ Μπακαρᾶ, ὅπερ ἑρμηνεύεται Δάμαλις, λέγει ὡς οἱ Ἰουδαῖοι καὶ οἱ Χριστιανοὶ σωθῆναι μέλλουσιν· ἐν δὲ τῷ κεφαλαίῳ τῷ Ἀμρὰμ αὖθίς φησιν ὅτι οὐδεὶς δύναται σωθῆναι ἄνευ τῶν ἐν τῷ νόμῳ τῶν Ἰσμαηλιτῶν. Δέκατον ὅτι πρὸ αὐτοῦ οὐ δύνανται τις εἰσελθεῖν εἰς τὸν παράδεισον· καὶ αὖθίς φησιν ὅτι ἔδειξεν αὐτῷ ὁ Θεὸς γυναῖκάς τε καὶ ἄνδρας πολλοὺς εἰσελθόντας πρὸ αὐτοῦ εἰς τὸν παράδεισον. Ἑνδέκατον ὅτι ὁ Θεὸς μετὰ τὴν ἀνάστασιν οἴκους περικαλλεῖς καὶ λουτρὰ καὶ παραδείσους καὶ γυναῖκας πολλὰς ὑπισχνεῖται δοῦναι τοῖς τῷ τοῦ Μωάμεθ νόμῳ ἀκολουθοῦσιν. Δωδέκατον ὅτι **360** ἐν τῷ κεφαλαίῳ τῷ Σὰδ φησιν ὡς οἱ μὲν ἄγγελοι ἐκ πυρὸς ἐδημιουργήθησαν, οἱ δὲ ἄνθρωποι ἐκ χοός. Δέκατον τρίτον ὅτι ἐν τῷ κεφαλαίῳ τῷ Νεμελὲ, ὅπερ ἑρμηνεύεται Μυῖα, φησὶ περὶ τοῦ Σολομῶντος καὶ τῶν μυιῶν ψεῦδός τι εὐηθες, ὅπερ καί φησι. Δέκατον τέταρτον ὅτι ἐν τῷ κεφαλαίῳ τῷ Ῥουβεπᾶ φησὶ περὶ τοῦ Σολομῶντος καὶ τοῦ σκώληκος ὁμοίως τῷ ἀνωτέρῳ ψεύδει. Δέκατον πέμπτον ὅτι ἐν τῷ βιβλίῳ τῶν διηγήσεων ἀποδίδωσι τὴν αἰτίαν δι' ἣν ὁ οἶνος κεκώλυται αὐτοῖς. Δέκατον ἕκτον ὅτι ὁ κτίστης οὐρανὸς οὗτος γέγονεν ἐκ καπνοῦ, ἡ δὲ θάλασσα ἐξ ὄρους τινὸς Κὰφ ὀνομαζομένου. Δέκατον ἕβδομον ὅτι τὸν ἥλιον καὶ τὴν σελήνην ἴσα φωτὸς καὶ δυνάμεώς φησι γενέσθαι. Δέκατον ὄγδοον ὅτι προσκληθέντος τούτου παρὰ τοῦ Γαβριὴλ ἀνελθεῖν εἰς τὸν οὐρανὸν καὶ τοῦ Θεοῦ θέντας τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτῷ, καὶ τοσαύτης ψύξεως αἴσθησιν λαβεῖν αὐτὸν ὡς διελθεῖν ταύτην μέχρι καὶ νωτιαίου μυελοῦ. Ἔνατον δέκατον ὅτι ἐν τῷ κεφαλαίῳ τῷ Σὰδ φησιν ὡς ἄγγελοι ὄντες οἱ δαίμονες καὶ προσταχθέντες παρὰ τοῦ Θεοῦ προσκυνῆσαι τὸν Ἀδὰμ οὐκ ἠθέλησαν ποιῆσαι τοῦτο, καθὼς καὶ πάντες οἱ λοιποὶ ἄγγελοι προσεκύνησαν αὐτὸν, καὶ διὰ τοῦτο ἐγένοντο δαίμονες. Εἰκοστὸν ὅτι ἀποδίδωσι τὴν αἰτίαν δι' ἣν κεκώλυται αὐτοῖς ἐσθίειν τὰ ὕεια κρέη. Εἰκοστὸν πρῶτον ὅτι πρὸς τῷ τέλει τοῦ κόσμου ἀποκτενεῖ ὁ Θεὸς πᾶσαν φύσιν ἀγγέλων καὶ ἀνθρώπων. Εἰκοστὸν δεύτερον ὅτι συνεγράψατο βιβλία δυοκαίδεκα χιλιάδας λόγους ἔχοντα **301** θαυμαστοὺς, καὶ ἀπὸ τούτων οἱ μὲν τρισχίλιοί εἰσιν ἀληθεῖς οἱ δὲ ἕτεροι ψευδεῖς. Εἰκοστὸν τρίτον ὅτι ἐν τῷ βιβλίῳ τῷ Κεραμὰρ φησιν ὡς ἔσχισε τὴν σελήνην εἰς δύο τμήματα, καὶ τὸ μὲν ἥμισυ ἀπὸ τούτων εἰσῆλθεν εἰς τὸν χιτῶνα αὐτοῦ, τὸ δὲ ἕτερον ἥμισυ ἔπεσεν εἰς τὴν γῆν, καὶ αὖθις ἀποκατέστησεν αὐτὴν σῶαν. Εἰκοστὸν τέτσρτον ὅτι ὁ Θεὸς καὶ οἱ ἄγγελοι εὔχονται ὑπὲρ τοῦ Μωάμεθ. Εἰκοστὸν πέμπτον ὅτι ἐν τῷ κεφαλαίῳ τῷ Ἐλμαϊδᾶ, ὅπερ ἑρμηνεύετσι Τράπεζα, μὴ εἶναι τοὺς Ἑβραίους καὶ τοὺς Χριστιανοὺς υἱοὺς Θεοῦ ἢ φίλους διὰ τὸ παιδεύεσθαι αὐτούς.

Τὰ τοῦ τρίτου λόγου κεφάλαιά εἰσι ταῦτα. Πρῶτον ὅτι οὐκ ἔστι δυνατὸν τὸν Θεὸν υἱὸν ἄνευ γυναικὸς ἔχειν. Δεύτερον ὅτι εἰ υἱὸν εἶχεν ὁ Θεὸς, σχίσματα ἂν ἐγένοντο μέσον αὐτῶν. Τρίτον ὅτι ἐν τῷ κεφαλαίῳ τῷ Ἐλνεσᾶ, ὅπερ ἑρμηνεύεται Γυναῖκες, λόγον Θεοῦ καὶ ψυχὴν Θεοῦ καὶ πνοὴν Θεοῦ λέγει εἶναι τὸν Χριστόν. Τέταρτον ὅτι ἐκ τῆς παρθένου ὁμολογεῖ γεγεννῆσθαι τὸν Χριστὸν ἄνευ ἀνδρός. Πέμπτον ὅτι ἀρνεῖται τὸ τὸν Χριστὸν εἶναι Υἱὸν Θεοῦ καὶ Θεὸν, ἀλλὰ καὶ τὴν τούτου σάρκωσιν· ψιλὸν δὲ μόνον ἄνθρωπον λέγει τοῦτον κατὰ τὸν Νεστόριον, ἅγιον δὲ καὶ ὑπὲρ πάντας ἀνθρώπους. Ἕκτον ὅτι μὴ ἐσταυρῶσθαι τὸν Χριστὸν, ἀλλ' ἕτερον ἀντ' ἐκείνου. Ἕβδομον ὅτι ὁ Θεὸς τὸν Χριστὸν πρὸς ἑαυτὸν προσεκαλέσατο εἰς τοὺς οὐρανοὺς, περὶ δὲ

capite autem, quod Abrahamus inscribitur, quemquam salvari posse negat, nisi qui Ismaelitarum legem sequatur. 10. Ante ipsum neminem posse intrare paradisum. 11. Deum domos pulcherrimas, lavacra, hortos et feminas permultas post resurrectionem iis daturum esse, qui legem Mohametis sequantur. 12. In capite Sad dicit, angelos ex igne, homines e pulvere factos esse. 13. In capite Nemele, hoc est Musca, de Solomonte et muscis ridiculum quoddam mendacium narrat. 14. In capite Rhubepa de Solomonte et lumbrico mendacium priori simile tradit. 15. In libro narrationum rationem reddit, cur vino iis interdicatur. 16. Conditum hoc cœlum e fumo, mare e monte, cui nomen Caph, factum esse. 17. Solem et lunam ejusdem luminis et potentiæ esse affirmat. 18. Mohametem a Gabriele arcessitum in cœlum ascendisse et, manu sibi a Deo imposita, tantum frigus duxisse, quod ad medullam dorsi penetrasset. 19. In capite Sad docet, dæmones olim angelos fuisse, sed jussos a Deo Adamum adorare, noluisse id facere, sicut reliqui angeli omnes, ac propterea dæmones factos esse. 20. Rationem explicat, quare carne suina vesci non liceat. 21. Sub finem mundi Deum omne genus humanum et angelicum exstincturum esse. 22. Mohametem scripsisse duodecies mille libros disputationibus mirabilibus plenos, e quibus ter mille veræ, reliquæ mendaces sint. 23. In libro Ceramar narrat, discidisse se lunam in duo segmenta, quorum alterum pallium suum penetrarit, alterum in terram deciderit: deinde eamdem in pristinum statum restituisse. 24. Deum et angelos precari pro Mohamete. 25. In capite Elmaida, hoc est Mensa, docet, Hebræos et Christianos non esse Dei filios aut amicos, quia educentur.

Libri tertii capita hæc sunt. 1. Deum filium habere non posse sine femina. 2. Si filium Deus haberet, dissidia inter eos fore. 3. In capite Elnesa, hoc est Mulieres, verbum Dei et animam Dei et spiritum Dei Christum esse dicit. 4. E virgine sine viro Christum natum esse consentit. 5. Negat, Christum esse aut Dei Filium, aut Deum, aut incarnationem ejus; sed nude eum hominem esse dicit, sicut Nestorius, at sanctum illum ante omnes homines. 6. Non Christum cruci affixum esse, sed alium loco ejus. 7. Deum ad se in cœlos vocasse Christum, qui tamen sub finem mundi rediturus et antichristum occisurus deinde autem ipse quoque

Digitized by Google

τὰ τέλη τοῦ κόσμου μέλλει ἐλεύσεσθαι καὶ θανατώσειν τὸν ἀντίχριστον, μετὰ δὲ ταῦτα καὶ αὐτὸν τὸν Χριστὸν ἀποθανεῖν. Ὄγδοον ὅτι **302** θεοποιοῦσιν οἱ Χριστιανοὶ τὴν Θεοτόκον, καὶ ὅτι ἐστὶν ἀδελφὴ τοῦ Μωϋσέως καὶ Ἀαρών.

Τὰ τοῦ τετάρτου λόγου κεφάλαιά εἰσι ταῦτα. Πρῶτον ὅτι ἀναληφθεὶς εἰς τοὺς οὐρανοὺς ὁ Μωάμεθ ἔστη ἔμπροσθεν τοῦ Θεοῦ, καὶ ἀκήκοεν ὅσα καὶ ἀκήκοε, καὶ αὖθις κατῆλθεν ἐν τῇ γῇ. Δεύτερον ὅτι οἱ δαίμονες σωθῆναι μέλλουσι. Τρίτον ὅτι τοῦ κορὰν τὴν ἐξήγησιν οὐδεὶς τῶν ἀνθρώπων γινώσκει, οὐδ' αὐτὸς ὁ Μωάμεθ, ἀλλ' ἢ μόνος ὁ Θεός.

Ταῦτα οὖν ποιήσας καὶ αὐτοὺς τοὺς ἀθλίους καὶ τελαιπώρους βαρβάρους διδάξας, καὶ ἀμαθὴς καὶ ἄγροικος ὢν διδάσκαλος ἐγεγόνει· καὶ τὸ ῥητὸν ἐπληρώθη ἐν αὐτοῖς τὸ λέγον· « Τυφλὸς τυφλὸν ὁδηγεῖ, καὶ ἀμφότεροι εἰς βόθρον ἔπεσον. » Καὶ ἕτερα τρία καὶ δέκα καὶ ἑκατὸν συνεγράψατο μυθάρια, ἑκάστῳ τούτων ὄνομα ἐπιθεὶς ἄξιον τῆς ἀπαιδευσίας αὐτοῦ καὶ μωρολογίας, ὧν ἀπ' αὐτῶν τὴν ἀκαθαρσίαν καὶ πρόδηλον φλυαρίαν τὸ διηγήσασθαι αὐτὰ ἴσον ἐστὶ τῷ τὴν τοῦ Αὐγείου κόπρον ἐκκομίσαι κατὰ τὸν Ἡρακλέα. Καὶ τὸ ἔθνος ἅπαν κακῶς σοφισάμενος καὶ ὑφ' ἑαυτὸν ποιησάμενος, καὶ νομοθέτης αὐτῶν γεγονὼς, εἶτα καὶ ἑαυτῷ συνήγαγεν δύναμιν ἱκανὴν, τήν τε Συρίαν πᾶσαν κατέδραμε καὶ ἐλῃσατο, καὶ πολλὰς χώρας Ῥωμαϊκὰς ἐκάκωσε καὶ ἠφάνισε. Καὶ ἐν τῷ μέλλειν αὐτὸν τελευτᾷν καὶ πρὸς τὸν πατέρα αὐτοῦ τὸν **303** Σατανᾶν ἀναχωρῆσαι, Ἀβουβάκαρ τὸν αὐτοῦ ἀδελφιδοῦν προεχειρίσατο ἀντ' αὐτοῦ. Ἀμηρεύσας δὲ οὗτος ἔτη δύο ἥμισυ τελευτᾷ, καὶ ἀντ' αὐτοῦ κρατεῖ Οὔμαρος. Αὐτὸς τὴν Δαμασκὸν ἔλαβε καὶ τὰς χώρας πάσας τῆς Φοινίκης, καὶ κατοικήσας ἐν αὐταῖς εἶτα λαμβάνει τὴν Αἴγυπτον, καὶ εἰς αὐτὴν οἰκήσας εἶτα ἔρχεται κατὰ Περσῶν καὶ νικᾷ αὐτούς. Εἶτα παραλαμβάνει τὴν Βόστραν καὶ ἄλλας πολλὰς πόλεις, καὶ ἔφθασε καὶ μέχρι τοῦ Γαβαθᾶ. Ἔπειτα στρατεύει κατὰ τῆς Παλαιστίνης καὶ λαμβάνει τὴν ἁγίαν πόλιν μετὰ συμβάσεως· καὶ ἔκτοτε οὐκ ἐπαύσατο τὸ τῶν Ἰσμαηλιτῶν γένος τὴν Ῥωμαίων γῆν κατατρέχειν καὶ ληΐζεσθαι ἕως τῆς σήμερον, ὅπου καὶ παντελῶς τὸ σκῆπτρον κατέλυσε καὶ τὴν βασιλείαν ἠφάνισεν. Ὑπῆρχε δὲ καὶ ἕτερος Οὔμαρος νέος, ὅστις ἠνάγκαζε τοὺς Σαρακηνοὺς ῥυπαίνειν καὶ βεβηλοῦν τοὺς Χριστιανοὺς καὶ τοὺς πειθομένους ἀτελεῖς ἐποίει· ἔγραψε δὲ καὶ πρὸς τὸν βασιλέα Λέοντα τὸν Ἀρμένιον τοῦ βεβηλῶσαι αὐτὸν, ὅταν ἀποκεκλεισμένην τὴν πόλεν εἶχε καὶ ἐπολιόρκει αὐτὴν, καὶ λῦσαι τὴν πολιορκίαν αὐτὸς μόνος ἐθέσπισε, μὴ Χριστιανοὶ κατὰ τῶν Τούρκων μαρτυρῶσιν. Ὀνομάζονται δὲ τρισσῶς, Σαρακηνοὶ Ἰσμαηλῖτσι καὶ Ἀγαρηνοί· Σαρακηνοὶ μὲν ὅτι ἡ Σάῤῥα ἐξαπέστειλε τὴν Ἄγαρ καὶ τὸν Ἰσμαὴλ κενοὺς κληρονομίας· Ἰσμαηλῖται δὲ ὡς ἐκ τοῦ Ἰσμαὴλ καταγόμενοι, Ἀγαρηνοὶ δὲ διὰ τὴν προμήτορα αὐτῶν Ἄγαρ.

304 Ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν. Ἀπὸ δὲ Ἡρακλείου τοῦ μεγάλου καὶ τοῦ ψευδοπροφήτου Μωάμεθ ἕως τῆς βασιλείας Κωνσταντίνου τοῦ Παλαιολόγου, τοῦ ὀγδόου βασιλεύσαντος ἐκ τοῦ γένους τῶν Πολαιολόγων, ὃς ἐβασίλευσεν ἔτη δ' καὶ μῆνας δ', εἰσὶν ἔτη ωνζ'. Ἐβασίλευσε δὲ τὸ τῶν Παλαιολόγων γένος ἐν τῇδε τῇ βασιλευούσῃ τῶν

moriturus sit. 8. Christianos pro dea habere Deiparam, Moysis et Aaronis sororem.

Libri quarti capita hæc sunt. 1. Receptum in cœlos Mohametem coram Deo constitisse et audisse quæ tandem cumque audiit, deinde rursus descendisse in terram. 2. Dæmones salvatum iri. 3. Coranis interpretationem nullum hominem callere, ne ipsum quidem Mohametem, sed solum Deum.

Hæc cum faceret et doceret miseros et infelices Barbaros, licet rudis et agrestis homo, eorum magister factus est, et probatum in iis est: « Cæcus cæcum ducit, et uterque in fossam incidit. » Idem alias centum decem et tres fabulas composuit, quibus singulis nomina inscripsit inscitia et vaniloquentia sua dignissima, quarum si quis velit sordes et manifestas nugas enumerare, labor par illi foret, quo ex Augiæ stabulis stercora egerenda erant, sicut est in fabulis de Hercule. Gente igitur male falsa et sibi subjecta, legislator ejusdem factus, copias idoneas sibi paravit, et omnem Syriam permeavit et depopulatus est multasque Romanorum terras vastavit et pessumdedit. Cum, morte instante, ad patrem suum, satanam, migraturus esset, Abubacarem, fratris filium, in locum suum evexit; qui postquam annos duos et dimidium Ameras fuit, mortuus est. Excepit imperium Umarus. Is Damascum et omnes Phœniciæ regiones cepit, in quas translata sede, Ægyptum occupavit, atque hic rursus collocato domicilio, Persas bello adortus superavit. Tum Bostram et alias multas urbes expugnavit, ac processit usque Gabatham. Inde in Palæstinam profectus, sancta urbe e pactione potitus est. Ex illo inde tempore Ismaelitarum gens ad hunc usque diem non cessavit Romanorum terram incursare et depopulari, donec tandem plane sustulit imperium et regnum evertit. Fuit etiam alius minor Umarus, qui Saracenos cogebat, ut pollluerent Christianos, obedientesque voluntati suæ immunes esse volebat. Scripsit idem imperatori Leoni Armenio, quando obsessam urbem oppugnabat, de polluendo ipso, atque edixit, ut obsidio solveretur, ne Christiani per Turcas martyres fierent. Nominantur triplici nomine, Saraceni, Ismaelitæ, Agareni, et Saraceni quidem, quod Sara Agar et Ismaelem hæreditatis expertes dimisit, Ismaelitæ autem, ut Ismaelis posteri, Agareni denique propter Agar, matrem gentis.

Sed redeamus jam ad propositum. Ab Heraclio magno et Mohamete pseudoprophete usque ad imperium Constantini Palæologi, imperatoris e gente Palæologorum octavi, qui annos quatuor et menses quatuor imperavit, anni 857 numerantur. Impera-

Digitized by Google

πόλεων ἔτη ρϛδ' καὶ μῆνας ι' καὶ ἡμέρας δ'. Καὶ ὑπὸ Κωνσταντίνου Φλαβίου ἤρξατο ἡ βασιλεία ἐν Κωνσταντινουπόλει καὶ ἐπὶ Κωνσταντίνου τοῦ Παλαιολόγου πέρας ἔλαβεν. Ἐν τῇδε τῇ τριταλαίνῃ πόλει ἐπεκράτησεν ἡ τῶν Ῥωμαίων βασιλεία ἔτη ,αρμγ' μῆνας ι' καὶ ἡμέρας δ'.

Ποιήσας οὖν τῇ τρίτῃ ἡμέρᾳ τῆς ἁλώσεως ὁ ἀμηρᾶς θρίαμβον καὶ χαρὰν μεγάλην διὰ τὴν νίκην τὴν κατὰ τῆς πόλεως, καὶ κελεύσας ἵνα ἐξέλθωσι πάντες οἱ ἄνθρωποι μικροί τε καὶ μεγάλοι οἱ ὄντες κεκρυμμένοι ἔν τισι τόποις κρυφοῖς τῆς πόλεως καὶ ἐλεύθεροι καὶ ἀνενόχλητοι ὦσιν· ὁμοίως καὶ πάντες ὅσοι ἐκ τῆς πόλεως ἔφυγον, ὡς προεῖπαμεν, διὰ τὸν φόβον τοῦ πολέμου, ἕκαστος αὐτῶν ἐπιστρέψῃ εἰς τὸν οἶκον αὐτοῦ, καὶ βιῶναι ἕκαστον κατὰ τὴν τάξιν καὶ θρησκείαν αὐτοῦ, ὡς καὶ πρότερον ἦν. Ὁμοίως προσέταξεν ἵνα ποιήσωσι καὶ πατριάρχην ὡς σύνηθες ἦν κατὰ τὴν τάξιν αὐτῶν· ἦν γὰρ προαποθανὼν ὁ πατριάρχης. Καὶ ἐκλέξαντες οἱ ἐντυχόντες ἀρχιερεῖς καὶ οἱ ὀλίγοι πάνυ ἕτεροι ἱερωμένοι καὶ λαϊκοὶ τὸν **305** σοφώτατον κὺρ Γεώργιον τὸν Σχολάριον λαϊκὸν ἔτι ὄντα εἰς πατριάρχην ἐχειροτόνησαν, ὃν καὶ Γεννάδιον ἐπωνόμασαν.

Προϋπῆρχε δὲ καὶ τάξις καὶ συνήθεια τοῖς βασιλεῦσι Χριστιανοῖς ἵνα δωροποιῶσι τῷ χειροτονηθέντι πατριάρχῃ νεωστὶ δεκανίκιον χρυσοῦν μετὰ λίθων πολυτίμων καὶ μαργάρων ἐγκεκοσμημένον, καὶ ἵππον ἐκλεκτὸν ἐκ τῶν βασιλικῶν μετὰ ἐφιππίου καὶ ἐφεστρίδος βασιλικῆς ἐγκεκοσμημένον πολυτελῶς· καὶ μετὰ χασδίου λευκοῦ καὶ χρυσοῦ σκεπόμενος ἦν ὁ ἵππος. Καὶ ἐκ τοῦ παλατίου τοῦ βασιλικοῦ μετὰ πάσης τῆς συγκλήτου ἐξερχόμενος ὁ πατριάρχης καὶ εὐφημούμενος ἐν τῷ πατριαρχείῳ ἐπανέστρεφεν· καὶ ἡ χειροτονία ἐγίνετο παρὰ τῶν ἀρχιερέων, ὡς τάξις καὶ νόμος ἦν. Ἐλάμβανε δὲ ὁ μέλλων γενέσθαι πατριάρχης ἐκ τῶν τοῦ βασιλέως χειρῶν τὸ δεκανίκιον τοιουτοτρόπως. Καθεζομένου τοῦ βασιλέως ἐπὶ τοῦ βασιλικοῦ δίφρου, καὶ πᾶσα ἡ σύγκλητος ἱστάμενοι ἀσκεπεῖς καὶ ὀρθοί, καὶ ὁ μέγας πρωτοπαπᾶς τοῦ παλατίου ἐποίει εὐλογητὸν, εἶτα καὶ μικρὰν ἐκτενῆν, καὶ ὁ μέγας δομέστικος ἔψαλλε τὸ « Ὅπου γὰρ βασιλέως παρουσία, » καὶ τὰ ἑξῆς. Εἶτα τὸ « Δόξα, » ὁ λαμπαδάριος ἐκ τοῦ ἑτέρου χοροῦ, καὶ νῦν τό· « Ὁ βασιλεὺς τῶν οὐρανῶν, » καὶ τὰ ἑξῆς. Μετὰ δὲ τὸ τέλος τοῦ τροπαρίου ὁ βασιλεὺς ἀνίστατο, ἔχων ἐπὶ τὴν δεξιὰν τὸ δεκανίκιον, ὁ δὲ ὑποψήφιος ἐρχόμενος, καὶ ἐκ τοῦ ἑνὸς μέρους αὐτοῦ ὁ Καισαρείας, ἐκ δὲ τοῦ δευτέρου ὁ Ἡρακλείας μητροπολίτης, **306** καὶ ποιεῖ πρὸς πάντας μετανοίας τρεῖς, εἶτα προσέρχεται τῷ βασιλεῖ καὶ ἐνώπιον τούτου ποιεῖ τὴν προσήκουσαν αὐτῷ προσκύνησιν. Καὶ ὁ βασιλεὺς τὸ δεκανίκιον ὀλίγον ὑψῶν ἔλεγεν· « Ἡ ἁγία Τριὰς ἡ τὴν ἐμοὶ βασιλείαν δωρησαμένη προχειρίζεταί σε εἰς πατριάρχην νέας Ῥώμης. » Καὶ οὕτως ἐκ τῶν βασιλικῶν χειρῶν ὁ πατριάρχης ἐλάμβανε τὴν ἐξουσίαν, καὶ τὴν εὐχαριστίαν τῷ βασιλεῖ ἐδίδου. Εἶτα οἱ χοροὶ ἔψαλλον τό· « Εἰς πολλὰ ἔτη, δέσποτα, » ἐκ τρίτου, καὶ ἀπόλυσις. Ὁ πατριάρχης κατερχόμενος μετὰ λαμπάδων ἐπὶ τὰ διβάδουλα καὶ εὑρίσκων τὸν ἵππον ἡτοιμασμένον ἀνέβαινεν ἐπ' αὐτόν.

Οὕτως δὲ καὶ αὐτὸς ὁ ἀλιτήριος θέλων ποιῆσαι ὡς βασιλεὺς τῆς πόλεως, καθὼς ἐποίουν καὶ οἱ Χρι-

runt autem Palæologi in hac regina urbium annos 194, menses 10 et dies 4, Cpoli imperium cœptum est sub Flavio Constantino, finitum sub Constantino Palæologo. Vigvit igitur in miserrima hac urbe annos 1143, menses 10, dies 4.

Ameras die tertio post captam urbem triumphum et gaudium ingens propter reportatam victoriam agitavit, edicens, ut omnes, magni et parvi, qui latebant in locis urbis absconditis, prodirent neve a quoquam vexarentur; item ii qui timore belli impulsi, ut ante commemoravimus, ex urbe profugerant, suam quisque domum redirent et viverent secundum morem et religionem suam, sicut antea. Idem imperavit, ut patriarcham pro more suo crearent; vetus enim mortuus erat Itaque qui forte aderant episcopi et perpauci alii clerici et laici sapientissimum dominum Georgium Scholarium, etiamtum laicum, elegerunt et patriarcham crearunt, mutato nomine Gennadium appellatum.

Erat autem munus et mos Christianorum imperatorum, ut recens creato patriarchæ pedum aureum, gemmis et margaritis decoratum, atque electum de regio stabulo equum, stella et strato sumptuose ornatum, et serico villoso albi coloris et filis aureis intertexto tectum, donarent. Huic equo insidens patriarcha cum universo senatu et faustis acclamationibus e palatio imperatorio in patriarchale redibat, atque creatio per episcopos fiebat, ut lege et more sancitum erat. Accipiebat autem futurus patriarcha e manibus imperatoris pedum tali modo. Sedente imperatore in sella imperatoria et omni procerum ordine circumstante nudis capitibus, magnus protopapas palatii benedictionem, deinde parvam precum seriem pronuntiabat, atque magnus domesticus canebat: « Ubi enim regis præsentia, » et quæ sequuntur; tum: « Gloria » lampadarius ex altero choro, et « rex cœlorum, » etc. Finito cantu alterno, imperator surgebat, dextra manu pedum tenens, atque candidatus, cujus alterum latus metropolita Cæsareensis, alterum Heracleensis tegebat, corpore ad omnes ter inclinato, ad imperatorem accedebat et solemni cum prosequebatur adoratione. Tum is, pedo paulum sublato, dicebat: « Sancta Trinitas, quæ imperium mihi dedit, ad patriarchatum novæ Romæ te evehit. » Ita e manibus imperatoris potestate patriarchali accepta, patriarcha eidem gratias agebat. Deinde chori: « In multos annos Dominus, » canebant, atque fiebat dimissio. Dehinc patriarcha cum lampadibus ad dibabula descendebat paratumque ibi inveniens equum conscendebat.

Scelestus iste igitur ut imperator urbis idem facere cupiens, quod fecerant Christiani imperato-

Digitized by Google

στιανοὶ βασιλεῖς, τὸν πατριάρχην προσεκαλέσατο, ἵνα συγκαθίσῃ μετ' αὐτοῦ τοῦ ἀριστῆσαι καὶ ὁμιλῆσαι. Καὶ ἐλθόντος τοῦ πατριάρχου ἐδέξατο αὐτὸν ὁ τυράννος μετὰ μεγάλης τιμῆς· καὶ πολλὰ ὁμιλήσαντες ἀναμεταξὺ, καὶ ἐπαγγελίας ἀμετρήτους ἐπηγγείλατο δοῦναι τῷ πατριάρχῃ. Ὡς δὲ ἤγγικεν ὁ καιρὸς τοῦ ἐξελθεῖν τὸν πατριάρχην ἐκ τοῦ παλατίου, ἐκβαλὼν ὁ ἀμηρᾶς δέδωκεν αὐτῷ δῶρον τὸ πολύτιμον ἐκεῖνο δεκανίκιον, καὶ ἐπαρεκάλεσεν αὐτὸν δεχθῆναι τοῦτο. Καὶ κατῆλθε μετὰ τοῦ πατριάρχου ἕως κάτωθεν τῆς αὐλῆς, θέλοντος καὶ μὴ θέλοντος τοῦ πατριάρχου, καὶ τὸν ἵππον εὐτρεπισμένον ἔχων ἀνεβίβασεν **307** αὐτὸν, καὶ προσέταξεν ἵνα πάντες οἱ ἄρχοντες τῆς αὐλῆς αὐτοῦ ἐξέλθωσιν εἰς συνοδίαν τῷ πατριάρχῃ, καὶ οὕτως ἄχρι τοῦ σεπτοῦ ἀποστολείου συνώδευσαν αὐτὸν, τινῶν προπορευομένων καὶ τινῶν ἑπομένων αὐτῷ. Αὐτὸ γὰρ τὸ τῶν ἀποστόλων τέμενος δέδωκεν ὁ ἀμηρᾶς εἰς πατριαρχεῖον. Τὸν δὲ περικαλλῆ καὶ θεῖον ναὸν τῆς Θεοῦ Σοφίας, τὸ περιβόητον κειμήλιον, τὸν οὐρανὸν τὸν ἐπίγειον καὶ τὸ ξένον ἄκουσμα, ἐποίησεν ὁ ἀλιτήριος εἰς ἴδιον αὐτοῦ προσκύνημα. Ὁ δὲ ἐν Βλαχέρναις θαυματουργὸς ναὸς πυρποληθεὶς ἦν, ὡς προεγράφη. Ποιήσας ὁ πατριάρχης ἐν τῷ σεπτῷ ἀποστολείῳ καιρὸν ὀλίγον, ἔπειτα θεωρῶν ὅτι ἐν ἐκείνοις τοῖς μέρεσι τῆς πόλεως οὐδεὶς ταλαίπωρος Χριστιανὸς ἐναπέμεινε, καὶ φοβηθεὶς μή τι ἐναντίον συμβῇ αὐτῷ διὰ τὴν ἐρημίαν, διότι ἐν μιᾷ τῶν ἡμερῶν εὑρέθη τις Ἀγαρηνὸς πεφονευμένος ἐν τῷ τοῦ ναοῦ περιαυλείῳ, καὶ διὰ ταύτας τὰς αἰτίας ὁ πατριάρχης ᾔτησε τὴν μονὴν τῆς Παμμακαρίστου. Καὶ ἐδωρήθη αὐτῷ τοῦ εἶναι εἰς κατοίκησιν ἐν ἐκείνοις γὰρ τοῖς μέρεσιν ἐναπέμεινάν τινες ὀλίγοι Χριστιανοί. Τὰς δὲ οὔσας μοναχὰς ἐν τῇ Παμμακαρίστῳ προσέταξεν ἀπελθεῖν ἐν τῇ μονῇ τοῦ ἁγίου προφήτου προδρόμου Ἰωάννου τοῦ ἐν τῷ Τρούλλῳ, ὅπου ἐπὶ τῆς βασιλείας Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου ἡ πενθέκτη ἁγία σύνοδος συνηθροίσθη. Παλάτιον γὰρ τοῦτο περιφανὲς τῷ τότε καιρῷ ὑπῆρχεν ἐκεῖ ἐγγὺς τῆς Παμμακαρίστου κατὰ τὸ βόρειον μέρος.

308 Οὗτος οὖν ὁ παμμίαρος καὶ φθορεὺς τῶν Χριστιανῶν πονηρὸς ὢν καὶ πολύτροπος καὶ τῇ ἀλώπεκι ὑποκρινόμενος ταῦτα οὐχ ὑπὲρ εὐλαβείας ἢ καλοκαγαθίας αὐτοῦ ἐποίει, ἀλλ' ἵνα οἱ Χριστιανοὶ ἀκούσωσι τὰς ἐπαγγελίας συναχθῶσίν τε ἐν τῇ πόλει καὶ κατοικήσωσιν αὐτήν· ἢ ἐκ τοῦ καθημερινοῦ πολέμου ἠρημώθη, καὶ μάλιστα ἐν τῇ ἁλώσει. Καὶ οὕτως ἐγένετο, καί τινες Χριστιανοὶ συνήχθησαν. Μετ' ὀλίγον δὲ καί τινας ἀποίκους εἰσήνεγκε, κατ' ἐκείνην τὴν διάλεκτον λεγομένους σουργούνιδες, ἔκ τε τοῦ Καφᾶ Τραπεζοῦντος καὶ Σινωπίου καὶ Ἀσπροκάστρου· καὶ οὕτως τὴν πόλιν ἐκατῴκησε. Ἔδωκε δὲ καὶ προστάγματα ἐγγράφως τῷ πατριάρχῃ μετ' ἐξουσίας βασιλικῆς ὑπογεγραμμένης κάτωθεν ἵνα μηδεὶς αὐτὸν ἐνοχλήσῃ ἢ ἀντιτείνῃ, ἀλλὰ εἶναι αὐτὸν ἀναίτητον καὶ ἀφορολόγητον καὶ ἀδιάσειστόν τε ἀπὸ παντὸς ἐναντίου, καὶ τέλους καὶ δώσεως ἐλεύθερος ἔσηται αὐτὸς καὶ οἱ μετ' αὐτὸν πατριάρχαι εἰς τὸν αἰῶνα, ὁμοίως καὶ πάντες οἱ ὑποτεταγμένοι αὐτῷ ἀρχιερεῖς.

res, patriarcham, ut secum pranderet et colloqueretur, invitavit. Venientem tyrannus magno honore excepit, et multa cum eo colloquutus, infinita ei promissa fecit. Ubi tempus discedendi affuit, Ameras porrexit patriarchæ pretiosum illud pedum, et eum cohortatus est, ut id acciperet, descenditque cum patriarcha, quantumvis recusante, ad extremum usque palatium, in equum rite decoratum ascendere eum jussit, atque edixit, ut cuncti palatii proceres eumdem comitarentur. Itaque eum usque ad venerandum Apostolorum templum, partim præcedentes, partim subsequentes, deduxerunt. Id enim templum ut patriarchalis sedes esset ameras donaverat. Pulcherrimum autem et divinum templum Sapientiæ Dei, cimelium celeberrimum, cœlum terrestre et ornamentum inauditum, scelestus iste in suæ superstitionis usum convertit. Mirabilis vero in Blachernis ædes incendio interierat, ut supra narravimus. Commoratus aliquantisper in venerando Apostolorum templo, cum in ea regione de miseris Christianis neminem manere vidisset, timeretque, ne quid mali sibi accideret propter solitudinem, quoniam aliquando Agarenus in vestibulo templi inventus erat occisus, beatissimæ Virginis monasterium pro domicilio petivit et obtinuit. In ea enim regione pauci aliqui Christiani remanserant. Monachas ejus templi in monasterium sancti prophetæ et præcursoris Joannis, quod in Trullo est, concedere jussit, ubi Justiniano Rhinotmeto imperante sancta synodus quinisexta habita est. Palatium enim hoc illustre tum erat, prope beatissimæ Virginis templum septentrionem versus situm.

Iste igitur scelestissimus homo, Christianorum mala pestis, veterator et vulpes, non pietate aut benevolentia commotus, illud fecit, sed ut Christiani promissis suis auditis, in urbem confluerent eamque habitarent: quæ propter quotidianas pugnas ejus præcipue temporis, quo capta est, deserta erat. Ac revera nonnulli Christiani congregati sunt. Brevi colonos, quos Turcæ sua lingua surgunides appellant, Capha, Trapezunte, Sinope et Asprocastro eodem deduxit, atque ita urbem civibus denuo implevit. Idem patriarchæ litteras cum regiæ auctoritatis subscriptione dedit, ut ne vexaretur aut impugnaretur a quoquam, sed liber et securus esset ab omni inimico, neve quidquam tributi aut vectigalium penderet, tum ipse, tum omnes in perpetuum sequentes patriarchæ cunctique eidem subjecti episcopi.

Digitized by Google

ΒΙΒΛΙΟΝ Δ'

Ἀρχόμενον μετὰ τὴν ἅλωσιν τῆς βασιλευούσης τῶν πόλεων, περιέχον τὰς ἐν τῇ Πελοποννήσῳ συγκλύσεις καὶ πολέμους ἀναμεταξὺ τῶν ἀδελφῶν καὶ δεσποτῶν, καὶ πῶς ὁ ἀμηρᾶς ὑποτάξας αὐτοὺς ὑπέταξε καὶ τήνδε τὴν νῆσον, καὶ περὶ ὧν ἔπαθεν ὁ συγγραφεὺς, καὶ ἄλλας τινὰς ὑποθέσεις, ὡς κατὰ κεφάλαιον εὑρήσονται.

—

309 α'. Ἁλωθεὶς οὖν κἀγὼ καὶ πάντα τὰ δυσχερῆ καὶ κακὰ τῆς αἰχμαλωσίας ὑπενεγκὼν ὁ ἄθλιος τέλος ἐξηγοράσθην τῇ πρώτῃ τοῦ Σεπτεμβρίου τοῦ ,ςϡξβ' ἔτους καὶ ἀπέσωσα εἰς τὴν Πελοπόννησον ἐν τῇ Σπάρτῃ. Τῆς δὲ γυναικός μου καὶ τῶν τέκνων μου ἁλωθέντων ὑπό τινων γερόντων Τούρκων καλογνώμων ὄντων, καὶ παρ' αὐτῶν πάλιν πραθέντων τῷ πρώτῳ ἱπποκόμῳ τοῦ ἀμηρᾶ, ὃς λέγεται τῇ ἐκείνων διαλέκτῳ μεραχούρης, ὃς καὶ ἄλλας πολλὰς τῶν ἀρχοντιτσῶν ἠγόρασε καὶ πολλοῦ ἐράνου ἐπέτυχε δι' αὐτῶν, τοῦ δὲ κάλλους καὶ ἄλλων χρηστῶν **310** ἠθῶν τῶν τέκνων μου μὴ δυναμένων κρυβῆναι, μαθὼν περὶ τούτων ὁ ἀμηρᾶς ἐπῆρεν αὐτὰ, δοὺς τῷ εἰρημένῳ αὐτοῦ πρωτοϊπποκόμῳ χρήματα πολλά. Ἐναπέμεινε δὲ ἡ ἀθλία αὐτῶν μήτηρ μόνη μετὰ μιᾶς καὶ μόνης ἀνατραφείσης αὐτῇ, αἱ δὲ ἄλλαι διεμερίσθησαν.

Καὶ καταφρονοῦντες μέμφονται καὶ κατηγοροῦντες ἐλέγχουσιν ἡμᾶς οἱ Λατῖνοι, καὶ λέγουσιν ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ διὰ τὸ μὴ ὀρθῶς φρονεῖν ἡμᾶς ἀπωλέσαμεν τὴν βασιλείαν. Ἡμεῖς δὲ λέγομεν ὅτι ἁμαρτωλοί ὑπάρχομεν, καὶ οὐδεὶς ἀναμάρτητος εἰ μὴ εἷς ὁ Θεός· περὶ δὲ τοῦ ὀρθῶς φρονεῖν γινώσκετε, πατέρες καὶ ἀδελφοί, ὅτι ἡμεῖς καινοτομίαν οὐδεμίαν ἐποιήσαμεν εἰς τὰ τοῦ Εὐαγγελίου ῥητὰ, εἰ μὴ πιστεύομεν καὶ δοξάζομεν τὰ ὅσα οἱ αὐτόπται τοῦ λόγου καὶ ὑπηρέται ἡμᾶς ἐδίδαξαν, καὶ ὅ αἱ ἅγιαι καὶ οἰκουμενικαὶ ἑπτὰ σύνοδοι καὶ αἱ κατὰ καιρὸν τοπικαὶ ἡμῖν ὄντως παρέδωσαν, ἀληθῶς καὶ βεβαίως κρατοῦμεν, ὡς ἐδίδαξεν ὁ ἁγιώτατος Σίλβεστρος ἐν τῇ πρώτῃ συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Δάμασος ἐν τῇ δευτέρᾳ συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Καιλεστῖνος ἐν τῇ τρίτῃ συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Λέων ἐν τῇ τετάρτῃ συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Βιγίλιος ἐν τῇ πέμπτῃ συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Ἀγάθων

—

LIBER IV

Qui a capta regina urbium incipit, turbas ac pugnas in Peloponneso inter fratres et despotas excitatas continens, atque enarrans quomodo ipsos et insulam Ameras sibi subjecerit, et quæ scriptori acciderint et res alias quasdam, capitibus distributas.

—

1. Ego ipse in potestatem hostium veni, et omnes calamitates et mala servitutis expertus, postremum primo Septembris anni 6962 venditus et in Peloponnesum Spartam sospes perductus sum. Item uxor mea et liberi capti sunt a Turcis quibusdam senibus, bonis viris, et venditi primario ameræ præfecto stabuli, quem illi sua lingua merachurem appellant, qui præterea alias multas feminas nobiles mercatus est, et iis divendendis magnum quæstum fecit. Cum autem forma et compositi mores liberorum meorum latere non possent, audito de iis, Ameras, grandi pecunia numerata, ab eo, quem dixi, summo præfecto stabuli eos accepit. Remansit misera eorum mater sola cum una et sola a se nutrita muliercula, reliquæ dispersæ sunt.

Contemnentes et calumniantes nos Latini aiunt atque exprobrant, propter peccata nostra et fidei perversitatem nos amisisse imperium. Nos vero consentimus, improbos nos esse : at nemo probus est, præter solum Deum. De fidei autem veritate scitote, patres ac fratres, nihil nos innovasse in sententiis Evangelii, sed credere et profiteri, quæcunque Verbi testes oculati et ministri nos docuerunt, et quæ sanctæ et œcumenicæ septem synodi et si quæ topicæ opus erant, revera nobis tradiderunt, vere et firme tenemus, quemadmodum in prima synodo sanctissimus Silvester docuit, in secunda sanctissimus Damasus papa, in tertia sanctissimus Cælestinus papa, in quarta sanctissimus Leo papa, in quinta sanctissimus Vigilius papa, in sexta sanctissimus Agatho papa, in septima sanctissimus Adrianus papa. Scitis enim omnes, eos anathemata et exsc-

Digitized by Google

ἐν τῇ ἕκτῃ συνόδῳ, καὶ ὁ ἁγιώτατος πάπας Ἀδριανὸς ἐν τῇ ἑβδόμῃ **311** συνόδῳ· ὡς ἴστε πάντες ὅτι ἔθεντο καὶ ἀναθεματισμοὺς καὶ ὁφορισμοὺς ἀλύτους, μή τις τολμήσῃ προσθῆσαι ἢ ἐκλεῖψαι ἢ ὅλως παρασαλεῦσαι ἅπερ ἐκεῖνοι εὐαγγελικῶς καὶ ἀποστολικῶς καὶ ἀκριβῶς ἐξακολουθοῦντες διὰ Πνεύματος ἁγίου ἐσφραγίσαντο. Μάρτυρες τῶν αὐτῶν αἱ συνοδικαὶ βίβλοι καὶ τὰ συνοδικὰ γράμματα τῶν κατὰ καιρὸν ἄκρων ἀρχιερέων ἤτοι πάπων καὶ τῶν ἁγίων μεγάλων ἐκείνων συνόδων, ὡς ἠριθμήσαμεν, ἐκ τῆς ὑμετέρας ὄντες καὶ αὐτοὶ τῆς φυλῆς τῶν Λατίνων, ἄνδρες θεοφρουρούμενοι ἔργῳ καὶ λόγῳ τετιμημένοι. Ταύτην τὴν παράδοσιν ἡμεῖς ἀσφαλῶς κρατοῦμεν, ἵνα μὴ εἰς ὁφορισμὸν τῶν ἁγιωτάτων ἀποστόλων καὶ τῶν ἁγίων οἰκουμενικῶν ἑπτὰ συνόδων καὶ τῶν ἁγιωτάτων ἐκείνων ὄντως ἄκρων ἀρχιερέων πέσωμεν. Καὶ ἡμεῖς εὐαγγελικῶς καὶ ἀποστολικῶς κατὰ ἀλήθειαν κρατοῦμεν τὴν παράδοσιν τῆς πρεσβυτέρας Ῥώμης· τὸ γὰρ ἡμέτερον δόγμα παρ' ἀμφοτέρων εὖ πάντοτε ὡμολογεῖτο, τὸ δὲ ἐξ αὐτῶν καινοτομηθὲν αὐτοῖς μόνοις ἀκατηγόρητον εἶναι δοκεῖ, καὶ ἡμᾶς ἔδει κριτὰς αὐτῶν εἶναι καὶ κατηγόρους, καὶ οὐχ αὐτοὺς ἡμῶν. Τὰ νῦν δὲ νεωστί τινες αὐτῶν θεολόγοι ἢ καὶ μᾶλλον εἰπεῖν καινολόγοι, καὶ οὐκ αἰσχύνονται ἐπ' ὀκρίβαντος ἀναβαίνειν διδάσκοντες λέγειν ἐρρόρουμ Γραικόρουμ, τουτέστι σφάλματα ἡμέτερα, εἶτα μὴ ἔχοντές τι ἕτερον εἰπεῖν εἰ μὴ μόνον, ὡς εἴπομεν, διὰ τὸ μὴ ἡμᾶς ὀρθῶς φρονεῖν τὴν βασιλείαν ἀπωλέσαμεν· **312** καὶ αὐτοὶ τάχα ὡς δῆθεν ὀρθόδοξοι ἴσως ὄντες αὐτοὶ ἑαυτῶν τὴν βασιλείαν κρατοῦσιν, οὐκ εἰδότες ὅτι οὐ πάντες οἱ κρατοῦντες πάντως ὀρθόδοξοι, οὐδ' αὖθις οἱ κρατούμενοι αἱρετικοί, ὡς ἔστιν ἰδεῖν ἐφ' ἡμῖν· μὴ γὰρ ὀρθόδοξοί εἰσιν οἱ Ἰσμαηλῖται, ὅτι κρατοῦσιν ἡμῶν, καὶ πρὸ τούτων οἱ εἰδωλολάτραι οἳ τοὺς Χριστιανοὺς ἐδίωκον, ἢ πάλιν οἱ Αἰγύπτιοι ἢ Βαβυλώνιοι οἵ ποτε ἐξουσιάσαντες τῶν Ἰσμαηλιτῶν. Ἀλλ' οὐκ ἔχουσι τί εἰπεῖν· δῆλον γὰρ ὅτι οἱ μὲν κυριεύσαντες ἀσεβεῖς, οἱ δὲ κυριευόμενοι εὐσεβεῖς. Διὰ τοῦτο οὐ δεῖ αὐτοὺς κομπάζειν περὶ τῆς αὐτοκρατορίας. Καὶ ἐπὶ τούτοις ἀντεροῦμεν αὐτοῖς· Πῶς οἱ κατὰ τὴν Μυσίαν καὶ Ῥωσσίαν καὶ Ἰβηρίαν τὴν ἑῴαν καὶ Ἀβασγίαν οἰκοῦντες καὶ ἐν λοιποῖς τόποις ἄρχουσι καὶ ἄρχονται ὀφ' ἑαυτῶν, καίτοι γε τοῖς ἡμετέροις δόγμασιν ἀκολουθοῦσι; Καὶ ἄλλως τὸ σχίσμα τῶν ἐκκλησιῶν ἐπῆγεν ὁ πάπας Στέφανος ὁ Συρῥῥών, ὃς καὶ πρῶτος τοῖς Ἰταλοῖς μετὰ ἀζύμων παρέδωκεν ἐπιτελεῖν τὴν ἁγίαν λειτουργίαν, καὶ τὴν προσθήκην τὴν εἰς τὸ σύμβολον τὸ ἅγιον φανερῶς ἐκήρυξε, καὶ τὰς τρίχας τοῦ πώγωνος πρῶτος ἀπέθριξε, καὶ τοῖς ὑπ' αὐτὸν πᾶσιν οὕτως ἐξέδωκε, βασιλεύοντος μὲν τῆς νέας Ῥώμης τῷ τότε καιρῷ τοῦ ἀειμνήστου βασιλέως Κωνσταντίνου τοῦ μονομάχου, πατριαρχεύοντος δὲ Μιχαήλ, ὃς τῇ ἐπωνυμίᾳ ἐλέγετο Κηρουλάριος. Οὗτος οὖν ὁ πατριάρχης γνώμῃ τοῦ βασιλέως καὶ τῶν **313** ἑτέρων τριῶν πατριαρχῶν καὶ τοῦ ἀρχιεπισκόπου Βουλγαρίας καὶ τοῦ Κύπρου καὶ πάσης τῆς ὑπ' αὐτὸν συνόδου τὸν εἰρημένον πάπαν Στέφανον τῶν διπτύχων ἐξέβαλεν, ζητοῦντες τῆς τῶν ἀζύμων καὶ τῆς προσθήκης τῆς ἐμβολῆς τὸ αἴτιον, κόσμου ἔτει ,ςφ', ἰνδικτιῶνος ια'. Ἡ δὲ

erationes perpetuas iis minatos esse, qui quid adderent aut demerent aut omnino fluctuarent in iis, quæ ipsi, Evangelii et apostolorum præcepta accurate assecuti per sanctum Spiritum, constituissent. Testes sunt libri et litteræ synodici summorum singulis temporibus episcoporum sive paparum et sanctarum illarum synodorum, quas enumeravimus, cum illi e vestra et Latinorum gente essent, viri pii et venerabiles dicto et facto. Hanc igitur traditionem inviolatam servamus, ne in sanctissimorum apostolorum et septem sanctarum synodorum œcumenicarum et sanctissimorum illorum revera summorum episcoporum exsecrationem incidamus. Ac tenemus sane evangelice et apostolice traditionem veteris Romæ. Nostra enim doctrina ab utrisque semper observata est; at quæ ab illis innovata sunt, solis ipsis non vituperanda esse videntur, ita ut nos illorum judices et accusatores esse oporteat, non contra. Nuper vero in illis quidam rerum divinarum, imo potius novarum studiosi exstiterunt, qui non vererentur, de nostris scilicet erroribus disputaturi, in suggestum ascendere, cum nihil haberent, quod afferrent, nisi amisisse nos imperium propter doctrinæ pravitatem: quasi vero ipsi, quod orthodoxi sint, tueantur imperium suum, ignari illi, non omnes, qui imperant, orthodoxos, nec qui obediunt, hæreticos esse, id quod in nobis animadverti licet. An orthodoxi sunt Ismaelitæ, quia nobis imperant, aut priores illis idololatræ, qui premebant Christianos, aut Ægyptii vel Babylonii Ismaelitis olim imperantes? Enimvero non habent, quid respondeant. In aperto enim est, eos qui imperant, impios, quibus autem imperatur, pios esse. Quare non decet illos jactare imperium suum. Præterea contra eosdem dicamus: Quomodo qui Mysiam, Rossiam, Iberiam orientalem et Abasgiam habitant, et aliis in regionibus regnent, et sui juris sint, quandoquidem nostram sectam sequuntur? At enim ecclesiarum dissensionem temere movit Stephanus Syrphro papa, qui primus pane non fermentato sanctum sacrificium peragi sivit, et additamentum illud ad sanctum symbolum palam proclamavit, ac primus barbam totondit, idemque omnibus sibi subjectis facere permisit, regnante tum Cpoli perpetuæ memorabili imperatore Constantino Monomacho patriarchatum administrante Michaele, qui cognomento Cerularius appellabatur. Hic igitur patriarcha e sententia imperatoris et reliquorum trium patriarcharum, archiepiscopi item Bulgariæ et Cypri, totius denique, cui præerat, synodi, eum quem dixi, papam Stephanum, diplomatis ejecit, panis fermentati et facti additamenti rationem desiderans, anno mundi 6500. Ecclesiæ autem Alexandriæ et Antiochiæ et Hierosolymorum, fidelis Thebais, san-

Digitized by Google

Ἐκκλησία τῆς Ἀλεξανδρείας καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων, ἡ Θηβαΐς ἡ πιστὴ, ἡ Λιβύη ἡ ὁσία, ἡ τοὺς πολίτας θρέψασα τῆς βασιλείας τῶν οὐρανῶν, καθὼς φησὶν ὁ θεῖος Κοσμᾶς, ἐν ποίῳ καιρῷ ἐδουλώθησαν ὑπὸ τοῦ ἀμηρᾶ Οὐμὰρ, ὅστις ἦν ὁ τρίτος μετὰ τὸν τρισκατάρατον Μωάμεθ, καὶ ἠχμαλωτίσθησαν; Καὶ τοῦτο φανερόν ἐστιν ὡς ἐγεγόνει ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου, κόσμου ἔτει ,ϛρλδ', πρὶν τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἕκτην σύνοδον συναθροισθῆναι, ὅπου οὔτε σχίσματα ἐν ταῖς ἐκκλησίαις ὑπῆρχον οὔτε διαφοραί. Μετὰ δέ τινα καιρὸν οἱ βασιλεῖς μετὰ κόπου οὐκ ὀλίγου τὴν ἁγίαν πόλιν ἐκ τῶν χειρῶν τῶν ἀσεβῶν ἠλευθέρωσαν καὶ ὑπὸ τὴν ἐξουσίαν Ῥωμαίοις ἐποίησαν· καὶ πάλιν ἐκ δευτέρου ἐπὶ τῆς βασιλείας Βασιλείου τοῦ πορφυρογεννήτου τοῦ λεγομένου Βουλγαροκτόνου ὁ τῆς Αἰγύπτου ἀμηρᾶς Ἀζίζιος τὴν ἁγίαν πόλιν πάλιν ἔλαβε πολέμῳ, καὶ τὸν τάφον τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἐγηγερμένου πολυτελῶς θεῖον ναὸν κατεστρέψατο, καὶ τὰ σκεύη ἐλυμήνατο, τὰ μοναστήρια κατηδάφισε, καὶ τοὺς **314** ἀσκουμένους ἀπανταχοῦ τῆς γῆς ἐκείνης μοναχοὺς, Ἰταλοὺς τὸ πλέον ἢ Ῥωμαίους καὶ ἐξ ἑτέρων φυλῶν, ἐφόνευσε καὶ ἐφυγάδευσε. Πάνυ θαυμαστόν ἐστιν, ὡς λέγουσιν, ἡνωμένων οὐσῶν τῶν ἐκκλησιῶν τῷ τότε καιρῷ, πῶς ὁ Θεὸς ἐπαρέδωκεν αὐτοὺς εἰς χεῖρας ἀσεβῶν. Ὥστε ἐκ πάντων τούτων ἦν ἰδεῖν ὅτι οὐ διὰ παρανομίαν τινὰ παρεδόθημεν τοῖς ἐχθροῖς ἡμῶν, ἀλλὰ πρὸς μερικὴν παιδείαν, ὡς καὶ οἱ πρὸ ἡμῶν ἅγιοι· « Καὶ πάντα γὰρ ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγεῖ δὲ υἱὸν ὃν παραδέχεται, » καὶ τὰ ἑξῆς. « Πιστὸς γὰρ, φησὶν, ὁ Θεὸς, ὃς οὐκ ἀφήσει ὑμᾶς εἰς τέλος πειρασθῆναι ὑπὲρ ὃ δύνασθε. » Καὶ ὁ Δαβὶδ· « Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με. »

Καὶ τοῦτο ἄκουσον. Ὥσπερ τοίνυν ἡ τῶν Ἀσσυρίων βασιλεία κατελύθη ὑπὸ τῶν Βαβυλωνίων, ἡ δὲ τῶν Βαβυλωνίων ὑπὸ τῶν Περσῶν, ἡ δὲ τῶν Περσῶν ὑπὸ τῶν Μακεδόνων, ἡ δὲ Μακεδόνων ὑπὸ τῶν Ῥωμαίων, οὕτως καὶ ἡ τῶν Ῥωμαίων κατελύθη ὑπὸ τῶν Ὀτμανλίδων. Τὸ δὲ τέλος ταύτης ἥξει ἐν τῷ προσήκοντι καὶ ὡρισμένῳ καιρῷ, καὶ καταλυθήσεται, καθὼς φησὶν ὁ θεσπέσιος Ἡσαΐας ἐν τῷ τῆς Ἰδουμαίας ὁράματι· « Εἰπέ μοι Κύριος· ἔτη ἐνιαυτοῦ ὡς ἐνιαυτὸς μισθωτοῦ, **315** καὶ ἐκλείψει ἡ δόξα Κηδὰρ, καὶ τὸ κατάλειμμα τῶν τοξευμάτων υἱῶν Κηδὰρ τῶν ἰσχυρῶν ἔσται ὀλίγον, διότι Κύριος ἐλάλησεν ὁ Θεὸς Ἰσραήλ. » Οὕτω δὲ καὶ ὁ σοφώτατος Στέφανος ὁ Ἀλεξανδρεὺς, ἐπακολουθῶν τῷ τοῦ προφήτου ῥητῷ, ἐπὶ ἔτους ,ϛρλα', Σεπτεμβρίου γ', ἡμέρᾳ ϛ' θεμάτιον περὶ τῆς τῶν Ἰσμαηλιτῶν βασιλείας ποιήσας καὶ κανονίσας, « Οὗτος κρατήσει ἐν ἰσχύϊ μὲν καὶ εὐτυχίᾳ ἔτη τριακόσια ἐννέα, ἐν δὲ συστροφῇ καὶ ἀκαταστασίᾳ ἕτερα ἔτη πεντήκοντα ἕξ, ὥστε εἶναι τὴν διακράτησιν αὐτῶν πᾶσαν εὐτυχοῦσαν καὶ δυστυχοῦσαν ἔτη τξε'. » Τινὲς μὲν λοξῶς τὸν χρησμὸν διαλαμβάνοντες λέγουσι, Κακῶς ἐθεμάτισεν ὁ ἀστρονόμος, λαμβάνοντες τὴν ἀρχὴν τοῦ χρησμοῦ ἐκ τοῦ εἰρημένου ἔτους· καὶ ἐὰν οὕτως ἦν ὡς ἐμὲ παχὺ λεπτὸν, ἐλάνθανεν ἐκεῖνον. Ἐγὼ δὲ κατὰ τὸ δοκοῦν τινῶν φιλοσόφων ἀρίστων

cta Libya, quæ cives imperii cœlorum nutrivit, ut ait divinus Cosmas, quonam tempore subactæ sunt ab Umaro amera, post Mohametem ter exsecrandum tertio, et in servitutem redactæ? Factum hoc est manifesto imperante Constantino Pogonato, anno mundi 6134, antequam sancta et œcumenica sexta synodus haberetur, quo tempore nec schismata nec dissidia in ecclesiis erant. Aliquanto post reges labore non levi sanctam urbem a manibus impiorum vindicatam Romanorum tradiderunt imperio; sed imperante Basilio porphyrogenito, qui Bulgaroctonus nominatur, rursus Ægypti ameras, Azizius, eamdem expugnavit, sepulcrum Salvatoris nostri Jesu Christi et sumptuose ornatum templum sanctissimum in potestatem redegit, supellectilem polluit, monasteria evertit, ubivis illic corpus exercentes monachos, in quibus Italorum et aliarum gentium major, quam Romanorum numerus erat, aut occidit aut fugavit. Plane mirum autem est, ut aiunt, Christianos, cum conjunctæ essent ecclesiæ, a Deo tum in potestatem impiorum traditos esse. Adeo ex his omnibus intelligitur, non propter peccatum aliquod hostibus nos subjectos esse, sed ob singularem educationem, quemadmodum olim sancti docuerunt: « Quemcunque enim amat Deus, eum educat, et castigat filium, quem recipit, » et quæ sequuntur. « Fidelis enim, ait, Dominus est, qui non permittet vos ultra, quam sustinere possitis, tentari. » Item David: « Educando educavit me Dominus, nec vero morti me tradidit. »

Etiam hoc audi. Quemadmodum Assyriorum regnum a Babyloniis eversum est, Babyloniorum a Persis, Persarum a Macedonibus, Macedonum a Romanis, ita Romanorum quoque imperium ab Otmanlidibus: atque horum finis aderit justo et constituto tempore, evertenturque, sicut ait divinus Isaias in specie Idumææ. « Dixit mihi Dominus: Intra annum, qualis est annus mercenarii, deficiet gloria Cedar, et reliquiæ jaculorum fortium filiorum Cedar exiguæ erunt, quoniam Dominus, Deus Israelis, locutus est. » Ad quod dictum prophetæ se appliquans sapientissimus Stephanus Alexandrinus, anno 6131, Septembris die 3, hebdomadis 6, de Ismaelitarum regno hoc thema fecit et constituit: « Is potenter et prospere regnabit annos trecentos novem, in rerum angustiis et perturbatione deinde annos quinquaginta sex, ut omnino eorum imperium tum faustum tum infaustum futurum sit per annos 365. » Nonnulli vaticinium perperam interpretati, astronomum male ratiocinatum esse affirmant, initium ducentes ab eo, quem dixi, anno. Quod si ita esset, falsus ille foret. At equidem de ea re quorumdam doctissimorum hominum sententias cognovi et didici, secundum quas sapiens ille vir initium

Digitized by Google

ἀνδρῶν οἰδὼς καὶ ἀνεγνώκώς. Οὐκ ἀρχὴν τῆς τῶν Ἰσμαηλιτῶν θρησκείας ἡ βασιλεία ὁ σοφὸς οὗτος ἐποίει ἀπὸ τῶν χρόνων Μωάμεθ, ἀλλ' ὥσπερ περὶ τῆς προφητείας Δανιὴλ τοῦ θείου. Τέταρτον θηρίον ὀνομάζει τὴν τῶν Ῥωμαίων βασιλείαν· καὶ οὐκ ἀρχὴν ποιοῦσιν οἱ ἐξηγηταὶ ἀπὸ Ῥώμου καὶ Ῥωμύλου, οὔτε δυναστείας Ῥωμαίων, ἀριστοκρατείας, δημοκρατείας, διδακτορίας, ὑπατίας καὶ βασιλείας μνημονεύουσιν, ἀλλὰ μόνον ἐκ τοῦ Ὀκταβίου Καίσαρος διὰ τὴν κατάπαυσιν τῆς μοναρχίας, καθὼς κάτωθεν ῥηθήσεται. Οὕτω μὲν καὶ ὁ σοφώτατος Στέφανος ἐκ τοῦ Ὀτμάνου **316** ἀμηρᾶ ἀρχὴν τοῦ κανονίου αὐτοῦ ποιεῖ. Ἔτι δὲ καὶ ὁ σοφώτατος Λέων ὁ βασιλεὺς Ῥωμαίων θεμάτιον καὶ αὐτὸς ἐποίησε, τρισαρίθμου κύκλου εὑρὼν κρατῆσαι ἔχει βασιλεία δυνατὴ καὶ ἰσχυρὰ ἡ ἐκ τῆς Ἄγαρ, τουτέστιν ἔτη τριακόσια. Ἡ δὲ συστροφὴ πεντήκοντα ἐξ οὐκ ἐμνήσθη. Εἶτα τὸ ξανθὸν γένος ἅμα μετὰ τῶν πρακτόρων ὅλον Ἰσμαὴλ τροπώσουσι κατὰ τοὺς χρησμοὺς τῶν θείων ἀνδρῶν. Καὶ διὰ μὲν οὖν τῶν τεσσάρων ἀνέμων τὰς τέσσαρας μεγάλας βασιλείας ὁ μέγιστος διδάσκει Ζαχαρίας καὶ Δανιὴλ ὁ θεῖος, τὴν Χαλδαίων λέγω, τὴν Περσῶν καὶ τὴν τῶν Μακεδόνων καὶ τὴν τῶν Ῥωμαίων. Τὰ δὲ δύο ὄρη τὰ χαλκᾶ τὰ δύο κλίματα τῆς οἰκουμένης εἶναι φασὶν· εἰς δύο γὰρ τέμνεται, εἴς τε Ἀσίαν καὶ Εὐρώπην. Καὶ οἱ μὲν πυῤῥοὶ ἵπποι τὸ μιαιφόνον τῶν Χαλδαίων σημαίνουσιν, οἱ δὲ μέλανες τὸν ἐπενεχθέντα παρὰ Περσῶν καὶ Μήδων τοῖς Βαβυλωνίοις θάνατον, οἱ δὲ λευκοὶ τὸ σαφὲς τῆς δόξης τῶν Μακεδόνων· οὐ γὰρ ὥσπερ αἱ ἄλλαι βασιλεῖαι καὶ αὕτη. Οἱ δὲ ψαροὶ καὶ ποικίλοι τὸ ἰσχυρὸν καὶ εὔτονον τῆς τῶν Ῥωμαίων βασιλείας δηλοῦσι. Τὸ δὲ προσταχθὲν αὐτοὺς περιοδεῦσαι τὴν γῆν διδάσκει πάλιν ὡς διὰ τοῦ Θεοῦ πᾶσα βασιλεία συνίσταται· φησὶ γὰρ ὁ Εὐσέβιος ὁ Παμφίλου· Ἐπὶ τοῦ Αὐγούστου Ὀκταβίου Καίσαρος ἀρχὴν ἡ τετάρτη βασιλεία λαμβάνει, ἣν ὁ Δανιὴλ τέταρτον θηρίον φοβερὸν ὀνομάζει, διότι μὲν τότε πρῶτος αὐτὸς ἐμονάρχησε καὶ τὸν κόσμον ὅλον σχεδὸν εἰπεῖν καθυπέταξεν. Οὗτος ἐν **317** μιᾷ τῶν ἡμερῶν ἀπελθὼν εἰς Δελφοὺς τοὺς νῦν ὀνομαζομένους Δαύλια, ἠρώτησε τὸ μαντεῖον τίς μετ' αὐτὸν βασιλεύσῃ. Τοῦ δὲ Πυθίου μηδὲν ἀποκρινομένου ὁ δ' αὖθις ἠρώτησε, διὰ τί σιγᾷ τὸ μαντεῖον; Τότε ἡ Πυθία ἔφη . . . . . Ἐλθόντος οὖν τούτου ἐν Ῥώμῃ, καὶ ἐν τῷ μέλλειν ἀποδιῶναι παρεγγύησε τοὺς ἐν τέλει αὐτοῦ χεῖρας κροτῆσσι καὶ γελάσαι· ὡς ἐπὶ μίμου τελευτῆς. Τοῦτο δὲ ποιῆσαι διωρίσατο ἀποσκοπῶν εἰς τὸν ἀνθρώπινον βίον ὡς γέλωτος ἄξιον.

Καὶ περὶ μὲν οὖν τῶν προειρημένων βασιλειῶν Δανιὴλ ὁ θεῖος προφήτης καὶ ὁ θεῖος Ζαχαρίας καὶ ἕτεροι, ὡς προείπομεν, τήν τε ἀνόρθωσιν αὐτῶν καὶ κατάλυσιν καὶ τὰ συμβάντα πάντα διὰ Πνεύματος ἁγίου λέγουσιν, ὁμοίως δὲ καὶ Ἡσαΐας καὶ ὁ σοφὸς Στέφανος καὶ Λέων ὁ βασιλεὺς περὶ τῆς καταλύσεως τῆς βασιλείας, ὡς προείπομεν. Ὁ δὲ θεόπτης Μωσῆς περὶ ἀναβάσεως καὶ εὐτυχίας ἐν τῇ Γενέσει τάδε διέξεισιν· « Ὁ πατριάρχης ἡμῶν Ἀβραὰμ υἱοὺς ἐγέννησεν ὀκτώ, πρῶτον μὲν Ἰσμαὴλ τὸν νόθον ἐκ τῆς Ἄγαρ, δεύτερον Ἰσαὰκ ἐξ ἐπαγγελίας ἐκ τῆς γυναικὸς αὐτοῦ Σάῤῥας, ὃς καὶ εὐλογήθη παρὰ Θεοῦ.

superstitionis et imperii Ismaelitarum non a Mohametis ætate duxit, sed ad modum vaticinii divini Danielis locutus est. Is quartam bestiam Romanorum imperium appellavit : nec interpretes a Remo et Romulo initium capiunt, aut Romanorum principatus, nobilium, plebis, dictatorum, consulum, regum imperia commemorant, sed ab Octavio demum Cæsare propter exitum monarchiæ, quemadmodum infra docebitur. Eodem igitur modo sapientissimus Stephanus ab Otmane amera canonis sui initium facit. Etiam doctissimus Romanorum imperator Leo thema fecit, qui florentem et vigentem imperii Saracenorum statum ter computandum circulum tenere, hoc est, annos trecentos duraturum invenit. Perturbati imperii per annos quinquaginta sex non fecit mentionem. Deinde flava gens una cum vindicibus omne Ismaelis genus fugabit secundum divinorum hominum vaticinia. Quatuor ventis autem quatuor magna imperia Zacharias et divinus Daniel significant, Chaldæorum, Persarum, Macedonum et Romanorum. Duos æneos montes autem duas terræ regiones esse dicunt ; in duas enim partes terra dividitur, Asiam et Europam. Atque rufi equi atrocitatem Chaldæorum significant, nigri a Persis et Medis Babyloniis illatum interitum, candidi claram Macedonum gloriam ; neque enim horum imperium cæteris simile est ; cineracei vero et versicolores robur et potentiam imperii Romanorum. Deinde mandato, ut terram obeant, significatur, per Deum omne constare regnum. Dicit enim Eusebius Pamphili, ab Augusto Octavio Cæsare quartum regnum initium capere, quoniam tum is primus solus imperavit, et totum pæne orbem terrarum sibi subjecit. Is quondam Delphos, qui nunc Daulia appellantur, profectus, oraculum consuluit, quis post se imperaturus esset. Cum nihil responderet Pythia, iterum rogavit, quare oraculum sileret. Tum Pythia respondit . . . . is Romam reversus, cum mors ipsi instaret, imperavit primoribus ut plauderent et riderent ut in fine mimi. Hoc fieri voluit, quoniam vitam rem esse risu dignam putabat.

De iis igitur, quæ modo commemoravi, regnis Daniel, divinus propheta, divinus Zacharias alique, ut dictum est, de eorum tum origine tum exitu et rebus gestis, a sancto Spiritu edocti, dixerunt. Similiter quæ Isaias, et sapientissimus Stephanus et Leo imperator de exitu imperii docuerint, explicuimus. Qui Deum vidit Moses de incrementis et successu in Genesi hæc explicat : « Abrahamus, patriarcha noster, filios octo procreavit, primum Ismaelem nothum, ex Agar, deinde promissum sibi Isaacum e Sarra uxore, cui benedictum est a Deo. Sarra mortua, Cheturam duxit, e qua filios sex ge-

Digitized by Google

Μετὰ δὲ τὸ ἀποθανεῖν Σάρραν ἔλαβε τὴν Χετοῦραν εἰς γυναῖκα, ἐξ ἧς ἐγέννησεν υἱοὺς ἕξ, τὸν Ζομβρὰν, τὸν Ἰεζαὶ, τὸν Μαδάϊ, τὸν Μαδιὰμ καὶ τὸν Ἐβόει καὶ τὸν Σοΐαι. Ἀλλ' ἐπὶ τὸν Ἰσμαὴλ τὸν νόθον ἐπανέλθωμεν. **318** Μετὰ τὸ συγγενέσθαι Ἀβραὰμ τῇ Ἄγαρ εὑρέθη ἐν γαστρὶ ἔχουσα, καὶ ἰδοῦσα Σάρρα ἐζηλοτύπει αὐτῆς, καὶ ὠνείδιζε τὸν Ἀβραὰμ, καὶ ἔθλιψε καὶ ἐλύπει τὴν Ἄγαρ. Ἡ δὲ Ἄγαρ, μὴ δυναμένη τοσοῦτον θλίβεσθαι καὶ κακουχεῖσθαι ὑπὸ τῆς κυρίας, ἀπέδρα, καὶ ἐν τῷ ἀποδιδράσκειν αὐτὴν ἐκ τῆς κυρίας αὐτῆς τῆς Σάρρας ἀπήντησεν αὐτῇ ἄγγελος Κυρίου λέγων· « Ἀποστράφηθι πρὸς τὴν κυρίαν σου, καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς. » Καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· « Ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις, καὶ τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαὴλ, ὅτι ἐπήκουσε Κύριος τὴν ταπείνωσίν σου. Οὗτος ἔσται ἄγροικος, ἄνθρωπος, καὶ αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτόν· καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοικήσει. » Καὶ πάλιν ἐπὶ κεφαλαίῳ ιζ', εἶπεν ὁ Θεὸς τῷ Ἀβραὰμ περὶ τῆς Σάρρας τῆς γυναικὸς αὐτοῦ· « Σάρραν τὴν γυναῖκά σου εὐλογήσω, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον, καὶ εὐλογήσω αὐτὸν, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖαι ἐθνῶν ἐξ αὐτοῦ ἔσονται. » Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἐγέλασε, καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων· « Εἰ δυνατὸν, τῷ ἑκατονταετεῖ υἱὸς γενήσεται, καὶ Σάρρα ἐνενήκοντα ἐτῶν οὖσα τέξεται. » Εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν Θεόν· « Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου. » Εἶπε δὲ ὁ Θεὸς πρὸς Ἀβραάμ· « Ναὶ, ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεται σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαὰκ, καὶ **319** στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον, εἶναι αὐτῷ Θεὸς ὡς καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. Περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου, καὶ ἰδοὺ εὐλόγησα αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα· δώδεκα ἔθνη γεννήσει, καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα. Τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαὰκ, ὃν τέξεταί σοι Σάρρα εἰς τὸν καιρὸν τοῦτον. » Ὥδε δυνάμεθα καταλαβεῖν τὸ μέγα μυστήριον τῆς εὐσεβοῦς καὶ ὑγιοῦς καὶ ἁγίας ἡμῶν πίστεως, καὶ τὴν ἀσέβειαν ἣν ἔχουσιν οἱ Ἀγαρηνοί. Καὶ οὐκ εἶπεν αὐτῷ ὁ Θεὸς ἅπαξ, ἀλλὰ καὶ δίς. Ἐν πρώτοις μὲν εἶπε· « Τέξεις υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαὰκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον, καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν. » Ὁ δὲ Ἀβραὰμ αἰτήσας τῷ Θεῷ οὕτως ποιῆσαι καὶ τὸν Ἰσμαὴλ καὶ εὐλογῆσαι αὐτὸν, ὁ δὲ Θεὸς ἀποκριθεὶς εἶπεν· « Ἰδοὺ εὐλόγησα αὐτὸν, καὶ πληθυνῶ αὐτὸν σφόδρα, καὶ δώδεκα ἔθνη γεννήσει καὶ εἰς ἔθνος μέγα ἔσται. Τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ. » Καὶ οὐκ ἠθέλησεν ὁ Θεὸς δῶσαι καὶ ἐμπιστεῦσαι τὴν διαθήκην αὐτοῦ τῷ Ἰσμαὴλ καὶ τῷ σπέρματι αὐτοῦ, ἀλλὰ μόνῳ τῷ Ἰσαὰκ καὶ τοῖς ἐξ αὐτοῦ εἰς τὸν αἰῶνα. Καὶ ἦν θαυμάσαι εἰ τίς οὐ δύναται καταλαβεῖν τὴν ἔννοιαν τῶν τοιούτων ῥητῶν, Οἱ δὲ Ἀγαρηνοὶ, βάρβαροι καὶ ἄγροικοι ὄντες, οὐκ οἴδασιν ὀρθῶς τὴν ἔννοιαν τῶν ῥητῶν, καὶ κλαύσωσι, πῶς ὁ Θεὸς ἐξ ἀρχῆς ἐξένωσε τὴν πατριάρχην αὐτῶν καὶ **320** αὐτοὺς τῆς διαθήκης αὐτοῦ καὶ τῆς χάριτος, ἀλλὰ οὗτοι κομπάζουσι πῶς καὶ αὐτοὶ ἀπόγονοί εἰσι τοῦ Ἀβραὰμ καὶ ὁ Θεὸς εὐλόγησε καὶ τὸν Ἰσμαὴλ ὡς

neravit, Zombram, Iezai, Madai, Madiam, Eboei, et Soiai. Sed redeamus ad Ismaelem nothum. Agar ab Abrahamo compressa, gravida facta est. Quod ubi animadvertit Sarra, invidia commota, exprobrabat, atque lædebat et affligebat Agar. Quæ cum heræ cruciatus et injurias sustinere non posset, aufugit. At profugienti a Sarra hera obviam venit angelus, et eam cohortatus est, ut rediret ad heram, et imperio ejus se subjiceret. Ac dixit ei angelus Dei : « Ecce in ventre geris, et filium paries quem appellabis Ismaelem, quoniam Dominus exaudivit ægritudinem tuam. Erit is ferus homo, et manus ejus adversus omnes, et omnium manus adversus ipsum intentæ erunt ; atque habitabit in conspectu omnium fratrum suorum. » Rursus capite 17, Deus Abrahamo de Sarra, uxore ejus, dixit : « Benedicam Sarræ, uxori tuæ, et ex eadem filium tibi dabo, atque benedicam illi, eritque is gentium origo, et regna gentium ex eodem exsistent. » Atque procubuit Abrahamus in faciem risitque, atque dixit cum animo : « Si fieri potest, centenario filius nascetur, et Sarra pariet ætatis anno nonagesimo. » Dixitque Deo Abrahamus : « Ismael hic coram te vivat. » Dixit Deus Abrahamo : « Profecto Sarra, uxor tua, filium tibi pariet, et nominabis eum Isaacum, atque faciam cum eo pactionem meam in tempus æternum, ut sim ipsi et posteris ejus Deus. De Ismaele autem exaudivi te, et ei benedixi, et magnopere eum augebo. » Duodecim nationes procreabit, atque in magnam gentem eum faciam. Pactionem autem meam cum Isaaco faciam, quem Sarra tibi pariet in hocce tempus. » Ita comprehendere possumus magnum mysterium piæ, sanæ et sanctæ fidei nostræ, et impietatem, cui Agareni obnoxii sunt. Neque semel ei Deus illud dixit, sed bis. Primum dixit : « Procreabis filium et appellabis eum Isaacum, et pactionem meam cum eo faciam in tempus æternum, cum ipso et posteris ejus. » Cum autem Abrahamus Deum rogaret, ut idem Ismaeli faceret eique benediceret, respondens Deus : « Ecce, inquit, benedixi illi et magnopere eum augebo, atque duodecim nationes procreabit et gens magna exsistet. At pactionem meam cum Isaaco faciam. » Noluit igitur Deus pactionem suam Ismaeli et posteris ejus dare aut confidere, sed soli Isaaco et hujus posteris in tempus æternum. Atque mirandum sit, si quis assequi nequeat horum verborum sententiam. Agareni tamen, barbari et feri homines, haud recte intelligunt verborum sensum, et lacrymanto, quod Deus a principio eorum patriarcham et ipsos pactione et gratia sua exclusit ; at gloriantur iidem, quod ipsi quoque Abrahami posteri sint et Deus Ismaeli haud secus atque Isaaco benedixerit. Errant autem hac in re, ut in omnibus solent, quod

Digitized by Google

καὶ τὸν Ἰσαάκ. Καὶ ἐν τούτῳ πλανῶνται ὡς καὶ ἐν πᾶσι πλανθάνονται, διὰ τί μὲν ὁ Θεὸς εὐλόγησε τὸν Ἰσαὰκ καὶ τὴν διαθήκην αὐτοῦ ἐνεμπίστευσεν αὐτῷ, τὸν δὲ Ἰσμαὴλ οὐχ οὕτως, ἀλλ' εὐλόγησεν αὐτὸν ἁπλῶς ὅτι « Καὶ πληθυνῶ αὐτὸν σφόδρα. » Καὶ τὰ ἄλογα ζῶα ὁ Θεὸς, τετράποδα καὶ ἑρπετὰ, ἰχθύας τε καὶ πετεινὰ, εὐλόγησεν εἰπών· « Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν. » Τὸν δὲ Ἀδὰμ οὐ τοιούτως ηὐλόγησε μόνον, « Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, » ἀλλὰ καὶ, « Κατακυριεύσατε αὐτῆς· » καὶ πάντα ὑπὸ τὰς χεῖρας αὐτοῦ ἔδωκε τὰ ὅσα ἐν τῇ γῇ ἐστὶ κατεξουσιάζειν καὶ δεσπόζειν, ὥστε ἦν ἰδεῖν ὅτι καὶ αἱ εὐλογίαι τοῦ Θεοῦ διάφοροί εἰσι καὶ οὐχὶ ὡς αὐτοὶ λέγουσι, διὰ τὶ μὲν αἱ θεῖαι καὶ ἱεραὶ Γραφαὶ καλῶς δηλοποιοῦσι τοῖς εὖ φρονοῦσιν, ἑκάστου υἱοῦ τοῦ Ἀβραὰμ, Ἰσαὰκ λέγω καὶ Ἰσμαὴλ, πῶς διαφέρουσιν αἱ εὐλογίαι, τὰ γένη καὶ αἱ κληρονομίαι ἑνὸς ἑκάστου αὐτῶν.

Ἐν δὲ τῷ κεφαλαίῳ τῷ κ' καὶ κα' τάδε φησὶ περὶ τοῦ Ἰσμαήλ· « Εἶπε δὲ τῷ Ἀβραὰμ ἡ Σάρρα· Ἔκβαλε τὴν παιδίσκην ταύτην μετὰ τοῦ υἱοῦ αὐτῆς· οὐ γὰρ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ. » Σκληρὸν δὲ **321** ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ Ἰσμαήλ. Εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραάμ· « Μὴ σκληρὸν ἔστω ἐναντίον σου περὶ τοῦ παιδίου καὶ τῆς παιδίσκης. Πάντα ὅσα ἂν εἴπῃ σοι Σάρρα, ἄκουε τῆς φωνῆς αὐτῆς, ὅτι ἐν τῷ Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, καὶ τὸν υἱὸν δὲ τῆς παιδίσκης ταύτης εἰς ἔθνος μέγα ποιήσω αὐτὸν, ὅτι σπέρμα σού ἐστιν. »

Ἀνέστη δὲ Ἀβραὰμ τῷ πρωΐ, καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκε τῇ Ἄγαρ, καὶ ἐπέθηκεν ἐπὶ τὸν ὦμον αὐτῆς καὶ τὸ παιδίον, καὶ ἀπέστειλεν αὐτήν. Ἀπελθοῦσα δὲ ἐπλανᾶτο τὴν ἔρημον κατὰ τὸ φρέαρ τοῦ ὅρκου· ἐξέλιπε δὲ τὸ ὕδωρ ἐκ τοῦ ἀσκοῦ, καὶ ἐκ τῆς δίψης ἐλειποθύμει ὁ Ἰσμαήλ. Καὶ ἔβριψε τὸ παιδίον καὶ ἔκλαυσεν. Εἰσήκουσε δὲ ὁ Θεὸς τοῦ παιδίου ἐκ τοῦ τόπου οὗ ἦν· καὶ ἐκάλεσεν ἄγγελος Θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν αὐτῇ· « Τί ἐστιν, Ἄγαρ; μὴ φοβοῦ· ἐπακήκοε γὰρ ὁ Θεὸς τὴν φωνὴν τοῦ παιδίου σου ἐκ τοῦ τόπου οὗ ἐστίν. Ἀνάστηθι καὶ λάβε τὸ παιδίον καὶ κράτησον τῇ χειρί σου αὐτό· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό. » Καὶ ἀνέῳξεν ὁ Θεὸς τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ εἶδε φρέαρ ὕδατος ζῶντος, καὶ ἐπορεύθη καὶ ἔμπλησε τὸν ἀσκὸν τοῦ ὕδατος καὶ ἐπότισε τὸ παιδίον. Καὶ ἦν ὁ Θεὸς μετὰ τοῦ παιδίου, καὶ ηὐξύνθη, καὶ ἐκατῴκησεν ἐν τῇ ἐρήμῳ τῇ Φαραῇ· ἐγένετο δὲ τοξότης δυνατός. »

Ὧδε δυνάμεθα καταλαβεῖν τὸν Ἰσμαήλ. Καθὼς ἐπηγγείλατο ὁ Θεὸς τῷ Ἀβραὰμ, εἰς μέγα ἔθνος εἶναι ἐποίησε, καὶ **322** βασιλεῖς μεγάλοι ἐξ αὐτοῦ γεγόνασι, καὶ τὰς χεῖρας αὐτοῦ ἐπὶ πάντας θεωροῦμεν εἶναι, καὶ αἱ χεῖρες πάντων ἐπ' αὐτὸν, καὶ ἐνεκατῴκησεν ἐπὶ πρόσωπον ἡμῶν πάντων, καὶ οἱ ἐκ τούτου τοξόται ἄριστοί εἰσι λίαν λίαν. Πλὴν τῆς διαθήκης αὐτοῦ ὁ Θεὸς ὑστέρησεν αὐτόν· ὥστε καθώς φησιν ἡ θεία Γραφὴ, καὶ ἦν ὡρισμένον ἐκ πολλοῦ ἄνωθεν δι' ὧν κριμάτων οἶδεν ὁ Θεὸς, τοιούτως γενέσθαι· ἦν γὰρ ἀνάγκη λοιπὸν ἵνα πέρας λάβωσι τὰ ὅσα ὁ θεόπτης Μωσῆς ἔφησε, καὶ οὐχὶ ὅτι οὐκ

Deus Isaaco benedixit et pactionem suam dedit, Ismaeli non item, sed simpliciter benedixit et promisit, magnopere se eum auciurum esse. Nam brutis animantibus, quadrupedibus et reptilibus, piscibus et alitibus, Deus benedixit, cum diceret: « Augemini et multiplicamini et implete terram. » Adamo autem non sic benedixit solum: « Augemini et multiplicamini et implete terram, » verum etiam, « Domini ejus este, » atque in manus eorum tradidit, quæcunque in terra possideri et regi possunt, ut intelligatur, benedictiones Dei diversas esse, secus atque illi dicunt, quoniam divinæ et sacræ Litteræ recte sentientibus satis demonstrant. in utroque filio Abrahami Isaaco, inquam, et Ismaele diversas esse benedictiones, genera et hæredia.

Capite 20 et 21 hæc de Ismaele narrantur. « Dixit Abrahamo Sarra: « Ejice puellam hanc cum filio ejus. Neque enim hæres erit filius puellæ cum filio meo Isaaco. » Admodum asperum id dictum Abrahamo videbatur in ipsius filium Ismaelem. Sed Deus Abrahamo dixit: « Ne asperum tibi videatur in puerum aut puellam; imo quæcunque dixerit Sarra, ausculta voci ejus, quoniam in Isaaco vocabitur tibi semen, et filium puellæ hujus magnam gentem facturus sum, quia semen tuum est. » Surrexit igitur mane Abrahamus, panem et utrem aquæ Agar tradidit, humero ejus puerum imposuit, et dimisit eam. Quæ cum abiisset, per deserta delata est ad fontem sacramenti. Deficiebat aqua in utre et præ siti elanguescebat Ismael. Abjecit puerum mulier et lacrymabat. Audivit autem e sede sua vocem pueri Deus, atque appellavit Agar de cœlo angelus Dei, eique dixit: « Quid rei est, Agar? ne timeas; audivit enim Deus vocem pueri tui ex loco eo, in quo est. Surge, tolle puerum, eumque manu tua comprehende; magnam enim gentem eum faciam. » Tum aperuit Deus oculos ejus, ut videret fontem aquæ. Abiit igitur mulier, et, repleto utre, potum præbuit puero. Deinde aderat Deus puero, qui adolescebat et habitabat in deserto Pharæ, factusque est sagittarius eximius. »

Sic agnoscere possumus Ismaelem. Sicut Deus Abrahamo promisit, ita magnam gentem eum fecit, et reges magni ex eo exstiterunt, et manus ejus adversus omnes, et omnium manus adversus ipsum intentas videmus, et domicilium collocatit in conspectu nostri omnium, et posteri ejus sagittarii longe optimi sunt; pactione autem sua Deus eum exclusit: ut, quemadmodum in sacris Litteris est et longe ante constitutum erat ob rationes, quas Deus novit, ita evenerit. Necesse enim erat, ut eventum haberent, quæcunque divinus Moses dixerat. Minime vero nos prave sentiebamus, Ko-

Digitized by Google

ἐφρονοῦμεν ὀρθῶς Ῥωμαῖοί τε καὶ Σέρβοι καὶ Βούλγαροι, καθὼς λέγουσιν οἱ κατηγοροῦντες ἡμᾶς καὶ ὀνειδίζουσιν. Ἐὰν δὲ πάλιν καὶ ὑπὸ ἁμαρτιῶν ἡμεῖς ἐπαιδεύθημεν, καὶ ὑμεῖς οἱ Ἰταλοὶ μὴ ἀμερίμνως μείνατε, ἀλλὰ τὰς χεῖρας ἐπὶ τὸ στῆθος ὑμῶν βάλετε καὶ κατὰ νοῦν ἐνθυμήθητε, καὶ κατηγοροῦντες ἡμᾶς παύσατε. Αὐτοὶ δὲ οἱ Ἰσμαηλῖται ἄπιστοι ὄντες χαλεποὶ καὶ ἀνελεήμονες, προστάξει δὲ Θεοῦ τοὺς πιστοὺς παιδεύουσι καὶ τὸ πλεῖον μέρος τοῦ κόσμου κυριεύουσι. Διὸ οὐ δεῖ μεγαλορρημονεῖν περὶ τούτων τοὺς Ἰταλοὺς, ὅτι διὰ τὸ ὀρθῶς φρονεῖν καὶ δίκαιοι καὶ ἅγιοι ἑαυτοὺς λέγουσιν εἶναι, καὶ διὰ τὴν αὐτῶν ὀρθοδοξίαν καὶ δικαιοσύνην ἕως τοῦ νῦν βασιλεύουσι.

Τούτους μὲν τοὺς λόγους εἰρήκαμεν οὐχὶ πρὸς τὸ B κατακρίνειν ἢ κατηγορεῖν τινα, μὴ γένοιτο! ἀλλ' ἵνα τοῖς καταλαλοῦσιν ἡμᾶς δείξωμεν ὅτι οὐκ ὀρθῶς καὶ σαφῶς τὰς Γραφὰς **323** οἴδασι. Διὰ τοῦτο μὲν ἡμᾶς μέμφονται, καὶ σοφοί εἰσι πάντες τοῦ νουθετεῖν, αὐτοὺς δὲ ἁμαρτάνοντας οὐ γινώσκουσι.

β'. Ἐπὶ τὴν ἡμετέραν οὖν διήγησιν ἐπανέλθωμεν. Ἐάν τις αἰτήσῃ τί τὸ πραχθὲν παρὰ τοῦ βασιλέως τῷ διὰ μέσου καιρῷ τῆς μάχης, εἴπω αὐτῷ· Ἐν ᾧ δὴ χρόνῳ καὶ καιρῷ ὁ Ἀμηρᾶς παρεσκευάζετο καὶ τὴν βοήθειαν ἐποίησαν οἱ ἔξωθεν αὐθέντοι οἱ Χριστιανοί. Καὶ τῶν μὲν περικύκλωθεν αὐθέντων Χριστιανῶν δῆλόν ἐστι τοῖς πᾶσιν οὐδέν, ἀλλὰ μᾶλλον καὶ πρὸς τὸν τῆς Σερβίας αὐθέντην Γεώργιον πρέσβυν ὁ ἀμερᾶς ἀπέστειλεν, ἵνα μεσιτεύσῃ περὶ τῆς εἰρήνης τῆς ἀναμεταξὺ τῶν Οὐγγάρων καὶ τοῦ C ἀμηρᾶ. Μετὰ δὲ τοῦ ἀπερχομένου πρέσβεος Χριστιανός τις γραμματικὸς ἦν, ἀνατεθειμένος παρά τινων Τούρκων τῶν τῆς βουλῆς εἰπεῖν τῷ δεσπότῃ ἵνα ποιήσῃ ἀναβολὴν εἰς τὴν ἀγάπην, ὅτι ἐὰν γένηται ἡ μετὰ τῶν Οὐγγάρων συνθήκη τῆς ἀγάπης ἤτοι εἰρήνης, εὐθὺς ὁ Τοῦρκος κατὰ τῆς Κωνσταντινουπόλεως καθορμήσεται. Κἀκεῖνος οὐκ ἐφρόντισε περὶ τούτου οὔτε ἔμελεν αὐτῷ, οὐκ εἰδὼς ὁ ἄθλιος ὅτι εἰ ἀφαιρεθῇ ἡ κεφαλὴ τοῦ σώματος, τὰ μέλη εἰσὶ νεκρά.

Τότε οὖν καὶ ἐν τῇ Ἐνετίᾳ βουλῆς μεγάλης γενομένης περὶ τούτου ἀνέστη ὁ τῷ τότε καιρῷ δοὺξ, τοὔνομα Φραγκίσκος Φούσκαρις, λέγων· « Οὐ κατ' ἄγνοιαν γὰρ ὁ βασιλεὺς Ἰωάννης ὥριζεν ἡμᾶς. » Ἀλλὰ καὶ ἄλλοι οἱ ἰδόντες καὶ ὁμιλήσαντες **324** αὐτῷ φρονιμώτερον αὐτοῦ ἄνθρωπον ἐν τῇ Ἰταλίᾳ οὐκ εἶδον, εἰ μὴ διὰ κακίαν καὶ φθόνον· οὐκ οἶδε γὰρ ὁ φθόνος προτιμᾶν τὸ συμφέρον. Ἦν δὲ τὸ αἴτιον τούτου τοῦ Ἀλωϋσίου Διέδου τοῦ ποτὲ μεσιτεύσαντος ἵνα ὁ μακαρίτης ὁ αὐθέντης μου ὁ κὺρ Κωνσταντῖνος, δεσπότης ὢν τότε τῷ καιρῷ ἐν τῇ Πελοποννήσῳ, λάβῃ εἰς γυναῖκα αὐτοῦ τὴν τοῦδε τοῦ δονκὸς θυγατέρα μετὰ προικὸς πολλῆς. Ὁ οὖν αὐθέντης μου οὐ δι' ἄλλο εἰ μὴ ἵνα γένηται οἱονεὶ καὶ αὐτὸς καὶ ὁ τόπος αὐτοῦ μετὰ τῆς Ἐνετίας ἕν, συνεκατέβαινε τῇ τοιαύτῃ ἀγχιστείᾳ, ἐμοῦ τε καὶ ἄλλων πλειόνων συναινούντων τοῦτο καὶ ἀναγκαζόντων σχεδὸν ἤδη ἐγίνετο. Ὡς δὲ ἐγένετο βασιλεὺς καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, τοῦτο ἀνοίκειον ἦν· πῶς γὰρ ἐδύναντο οἱ τῆς πόλεως ἄρχοντες καὶ ἀρχόντισσαι κυρίαν καὶ δέσποιναν αὐτῶν καταδεχθῆναι Ἐνετοῦ θυγατέρα, καὶ τοὺς γαμβροὺς αὐτοῦ τοὺς ἄλλους

mani, Servii et Bulgari, id quod, qui nos calumniantur et accusant, dicunt. Vos vero Itali ne securi agatis, sed, impositis pectori manibus, meditamini cum animo, et desistite nos accusare. Ismaelitæ autem, homines impii, duri et inhumani, e voluntate Dei pios castigant et majorem partem orbis terrarum occupatam tenent. Quare non decet de his gloriari Italos, sese propter doctrinæ probitatem justos et sanctos se appellare et propter orthodoxiam et justitiam ad hunc diem regnare.

Hæc verba minime fecimus, quo, quod absit! quemquam damnemus aut accusemus, sed ut ostendamus iis qui nos calumniantur, haud probe nec recte eos Scripturas intelligere. Hinc enim fit ut nos vituperent et omnes sibi videantur ad reprehendendum satis sapere, ipsos se errare non sentiant.

2. Revertamur ad propositum nostrum. Si quæras, quid imperator tempore, quod in obsidione consumptum est, egerit, dicam. Quo quidem tempore Ameras bellum parabat et ad ferendam opem se instruebant externi principes Christiani. Quanquam Christianorum, qui circa habitabant, principum, nullam opem allatam esse, notum est omnibus : quin imo ad Serviæ principem Georgium Ameras legatum misit, ut is de pace inter Hungaros et Ameram concilitanda ageret. Cum legato Christianus aliquis litteratus erat, a Turcis quibusdam consiliariis additus, qui despotæ suaderet, ut amicitiam conciliare studeret, ut, si fieret cum Hungaris pacis et amicitiæ pactio, Turca statim CPolim invaderet. Quam rem miser ille nihili æstimabat nec pensi habebat, nescius, capite a corpore deciso, membra mortua esse.

Eodem tempore etiam Venetiis de hac re magnum concilium habitum est, in quo, qui tum dux erat, Franciscus Fuscaris surrexit et dixit : « Non ex ignorantia imperator Joannes nos expetivit. » Enimvero etiam alii, qui eum vidissent et cum eo collocuti essent, prudentiorem hominem in Italia visum esse negabant. At obstabat nequitia et invidia. Nescit enim invidia honorare utilitatem. Cujus rei causa erat Aloysius Diedus, qui olim curaverat, ut beatæ memoriæ princeps meus, Constantinus dominus, despota tum in Peleponneso, hujus ducis filiam cum magna dote uxorem duceret. Princeps meus non aliam ob causam, nisi ut ipse et principatus cum Venetis jungerentur, eam affinitatem admisit, nobis et aliis multis id approbantibus et ut fieret pæne cogentibus. Sed postquam imperator factus est et in urbem venit, incommodum erat. Quomodo enim fieri poterat, ut civitatis viri et feminæ principes dominam et imperatricem reciperent Veneti filiam, et generi ac filii ejus affi-

Digitized by Google

καὶ υἱοὺς συγγάμβρους καὶ γυναικαδελφοὺς εἶναι τῷ βασιλεῖ, ἐνδόξου μὲν ἴσως καὶ δουκὸς ὄντος, ἀλλὰ πρόσκαιρος ἦν. Καὶ αὖθις μετὰ τὸ βασιλέα γενέσθαι τὸν αὐθέντην μου ὁ δοὺξ ἐζήτει τὸ τοιοῦτο, ἀλλ' ἀπεπέμφθη. Ἕνεκεν τούτου λοιπὸν ὁ ἄνθρωπος ἐγένετο ἐχθρός· καὶ πολλὰ εἰπόντος τοῦ Ἀλωϋσίου Λαυρεδάνου καὶ τοῦ Ἀντωνίου Διέδου καὶ ἄλλων πολλῶν, καὶ ἀποδειξάντων ὅτι εἰ καὶ ἡ πόλις ἁλωθῇ, πλείστη ζημία συμβαίνει καὶ τῇ σὺν τῶν **325** αὐθεντίᾳ, πλὴν οὐκ ἴσχυσαν παροτρῦναι τὸν δοῦκα συνδραμεῖν τῷ βασιλεῖ.

Καὶ ἡ Ἐκκλησία τῆς Ῥώμης περὶ τούτου ἐφρόντισεν. Εὑρεθέντος γὰρ τοῦ καρδηναλίου Ῥωσσίας εἰς τὴν πόλιν, καὶ ἐγὼ περὶ τούτου μεσιτεύσας πρὸς τὸν ἀοίδιμον καὶ μακαρίτην τὸν αὐθέντην μου τὸν βασιλέα, ἵνα γένηται ὅδε καρδηνάλις πατριάρχης Κωνσταντινουπόλεως· καὶ εἰ γένηται, τὰ καὶ τὰ γενήσονται παρ' αὐτοῦ καὶ τοῦ τότε πάπα εἰς βοήθειαν τῆς πόλεως, εἰ κἂν ἐκ δευτέρου μνημονευθῇ ὁ πάπας· καὶ πολλῶν συζητήσεων λόγων καὶ βουλῆς γενομένων ἔδοξε τῷ ἀοιδίμῳ βασιλεῖ τῷ αὐθέντῃ μου τὸ ἓν τῶν δύο μὴ γένοιτο παντελῶς, ὅτι τῷ γενομένῳ πατριάρχῃ ἀνάγκη ἦν ἢ πείθεσθαι αὐτῷ τοὺς πάντας, ἢ ἔρις καὶ ἔχθρα γενήσεται ἀναμεταξὺ αὐτοῦ καὶ αὐτῶν τῶν μὴ πειθομένων αὐτῷ. Καὶ ἐν ἐκείνῳ τοῦ καιροῦ διαμέσῳ εἰ καὶ συμβῇ ἡμῖν μάχη ἔξωθεν παρὰ τῶν ἐχθρῶν, καὶ ἔχειν ἡμᾶς καὶ ἔσωθεν, πόσον ἔσεται κακόν; Τὸ δὲ μνημονεύεσθαι τὸν πάπαν γενηθήτω ἕνεκεν ἐλπίδος βοηθείας ἐν τῇ ἀνάγκῃ ἡμῶν· καὶ ὅσοι τοῦτο ποιήσωσιν ἐν τῇ ἁγίᾳ Σοφίᾳ, οἱ ἄλλοι ἔσονται ἀναίτιοι καὶ εἰρηνικοί.

nes imperatoris et fratres imperatricis essent? Quandoquidem dux honoratus forsan erat, sed ad tempus lectus. Atque dux quidem etiam postquam dominus meus imperator factus est, huic connubio instabat, sed repudiatus est. Propter hanc causam igitur is nobis inimicus erat, et cum multa dixissent Aloysius Lauredanus et Antonius Diedus et alii multi, demonstrassentque, si urbs caperetur, magna detrimenta etiam ipsorum rebus allatum iri, non poterant tamen duci persuadere, ut imperatori succurreret.

Etiam Ecclesiæ Romanæ hæc res curæ erat. Cum enim in urbe adesset cardinalis Rossiæ, et ego egissem cum venerando et beatæ memoriæ imperatore, domino meo, ut is cardinalis patriarcha Cpolis fieret, unde futurum esset, ut ab ipso et papa nonnihil fieret ad urbem adjuvandam, si rursus papæ mentio fieret, multis sermonibus et consultationibus habitis, imperatori, domino meo, visum est, neutrum eorum quæ consecutura essent, fieri debere, quandoquidem necesse esset, ut aut patriarchæ omnes obedirent, aut lites et inimicitiæ inter ipsum et eos, qui non obedirent, orirentur. Interea si nobis foris bellum inferretur ab hostibus, et conflictaremur etiam domi dissidiis, quanta mala futura essent? Papæ tamen memoria fieret propter spem auxilii in hac necessitate. Quod qui facerent in Sanctæ Sophiæ templo facerent: reliqui ne accu-

Καὶ τῇ ιβ' τοῦ Δεκεμβρίου παρελθόντων ἓξ μηνῶν, καὶ τοσούτου λόγου γενομένου περὶ βοηθείας ὅσον ἐποιήσατο ὁ σουλτάνος τοῦ Κάιρος ἤτοι τῆς Αἰγύπτου· ἀπὸ δὲ τῆς Σερβίας **326** δυνατὸν ἦν ἀποσταλθῆναι χρήματα κρυφίως πολυμερῶς, καὶ ἀνθρώπους ὁμοίως δι' ἄλλου τρόπου· ἀλλ' οὐκ ἀπέλαυσεν οὐδὲ εἶδεν οὐδεὶς ἕνα ὀβολόν. Ναί, ἀληθῶς ἀπέστειλαν πολλὰ χρήματα καὶ ἀνθρώπους πρὸς τὸν Ἀμηρᾶν πολιορκοῦντα τὴν πόλιν· καὶ ἐθριάμβευσαν αὐτούς οἱ Τοῦρκοι, δεικνύοντες ὅτι Ἰδοὺ καὶ οἱ Σέρβοι καθ' ὑμῶν εἰσί. Τίς τῶν Χριστιανῶν αὐθέντων ἢ Ἰβήρων ἀπέστειλεν ἕνα ὀβολὸν ἢ ἀνθρώπους εἰς βοήθειαν τῆς πόλεως, ἢ φανερῶς ἢ κρυφίως; Οἱ Οὔγγαροι δὲ ἔστειλαν πρέσβεις πρὸς τὸν Ἀμηρᾶν λέγοντες ὅτι, Σωζομένου ἵνα ἔχητε καὶ μετὰ τοῦ βασιλέως εἰρήνην καὶ ἀγάπην, ἐποιήσαμεν καὶ ἡμεῖς τὴν ἀγάπην μεθ' ὑμῶν· ἀλλ' ἐπεὶ οὐ τηρεῖτε κατὰ τὰς ἀναμεταξὺ ἡμῶν καὶ ὑμῶν συνθήκας, καὶ ἡμεῖς ἀθετήσωμεν πᾶσαν τὴν εἰρηνοποίησιν. Καὶ ἔφθασαν οἱ πρέσβεις, ἡνίκα ἐπολιορκεῖτο ἡ πόλις, ἐν ᾗ ἑβδομάδι ἔμελλον τὴν ἐμβολὴν δῶσαι. Ὁ δὲ Ἀμηρᾶς καὶ πᾶσα ἡ βουλὴ αὐτοῦ ἐχρόνιζον αὐτοὺς λόγοις κολακείας προσδοκᾶν τὴν ἀπόκρισιν σήμερον ἢ αὔριον. Καὶ τοῦτο ἐποίουν μετὰ δόλου, ἄχρι ἔλαβον τὰ μέλλοντα συμβῆναι, ὅτι εἰ μὲν παραλάβοιεν τὴν πόλιν, εἴπωσιν πρὸς αὐτούς· « Ἰδοὺ γὰρ ἐλάβομεν αὐτήν· ὑμεῖς δὲ ἀπέλθετε, καὶ ὡς ἂν δόξῃ ὑμῖν ποιήσατε, ἢ εἰρήνην ἔχειν μεθ' ἡμῶν ἢ μάχην· » ὃ δὴ καὶ ἐγένετο καὶ τοῖς πρέσβεσιν ἐρρέθη. Εἰ δὲ οὐκ ἐπαρελάμβανον αὐτήν, ἤθελον εἰπεῖν ὅτι ἕνεκεν τῆς ἀναμεταξὺ ἡμῶν καὶ ὑμῶν εἰρήνης ὁ πόλεμος

sarentur nec turbarentur.

Die 12 Decembris, cum sex menses præterissent, et tot verba essent facta de auxilio, quot fecit sultanus Cairi sive Ægypti, et a Servia posset pecunia occulte multis modis, homines item alio modo summitti, nemo quidquam inde commodi percepit nec vidit vel teruncium. Imo miserunt magnam pecuniæ et militum copiam Ameræ urbem oppugnanti, atque laudibus eos efferebant Turcæ, jactantes, etiam Servios nobis adversari. Quis Christianorum principum aut Iberorum vel teruncium aut homines ad urbis auxilium sive aperte sive occulte misit? Hungari tamen legatos ad Ameram miserunt, qui nuntiarent, se sic, ut illi cum imperatore pacem et amicitiam colerent, cum ipsis pacem fecisse: nunc cum illi non servarent mutua pacta, se quoque pacem factam omnino improbare. Advenerunt legati, cum urbs obsideretur, qua hebdomade impressionem facturi erant. Ameras et totum concilium ejus blandis sermonibus eos differebant, ut in præsentem aut crastinum diem responsum exspectarent. Callide ita agebant, donec viderent, quo res evasura esset, si urbem cepissent, dicturi, se eam expugnasse: illi abirent, et utrum ipsis videretur, facerent, sive pacem sive bellum mallent: id quod factum et legatis responsum est. Si eam non capturi essent, dicere statuerant, ob pacem cum illis servandam se de-

Digitized by Google

ἔπαυσε, καὶ κατὰ τὰς συμφωνίας ἀνεχωρήσαμεν.
327 Ὅμως ἐψιθυρίσθη ὅτι ὁ ὁμηρᾶς ἐλογίζετο λέγων· « Εἰ οὐ μὴ παραλάβω τὴν πόλιν τὰ νῦν, εὐθέως ποιήσω ἀγάπην, καὶ κατὰ πᾶσάν μου τὴν ζωὴν τηρήσω αὐτήν. »

Ὁ δὲ μακαρίτης ὁ αὐθέντης μου καὶ βασιλεὺς τί οὐκ ἔπραξε, κρυφῶς ἢ φανερῶς, ὑπὲρ τῆς βοηθείας τῆς πόλεως καὶ τῆς αὐτοῦ βασιλείας, ἢ μᾶλλον εἰπεῖν ὑπὲρ τῆς σωτηρίας τῆς ζωῆς αὐτοῦ ; Καὶ γὰρ δῆλόν ἐστιν ὅτι, εἰ ἤθελεν, εὐκόλως ἐδύνατο φυγεῖν. Πλὴν οὐκ ἤθελεν, ἀλλ' ἠγωνίζετο ὡς ὁ ποιμὴν ὁ καλὸς, ὃς τίθησι τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων, ὡς καὶ ἐποίησε. Καὶ τίς τῶν ἄλλων τὰ τοιαῦτα καὶ ἄλλα γενόμενα ἐπίστατο πάρεξ τοῦ Καντακουζηνοῦ Ἰωάννου καὶ ἐμοῦ ; Ὅτι ὁ ἐξ Οὐγγάρων Ἴαγκος προεζήτει ἵνα δώσῃ αὐτῷ ὁ βασιλεὺς τὴν Σηλυμβρίαν ἢ τὴν Μεσημβρίαν, καὶ ἔσηται εἷς τῶν ὑπεξουσίων αὐτοῦ, καὶ πολλοὺς τῶν ἀνθρώπων αὐτοῦ ἐκεῖσε ἔχειν, καὶ ἐν καιρῷ τῆς μάχης ὑπὸ τῶν Τούρκων ἔσηται ἐκείνων ἐχθρὸς καὶ βοηθὸς τῆς πόλεως. Καὶ ὡς ἐγένετο ἡ μάχη, ἐδόθη αὐτῷ ἡ Μεσημβρία κατὰ τὴν ἐκείνου αἴτησιν, καὶ τὸ χρυσόβουλλον δι' ἐμοῦ ἐγράφη, καὶ ὁ γαμβρὸς Θεοδοσίου τοῦ Κυπρίου ὁ τοῦ Μιχαὴλ υἱὸς ἐκόμισε τὸ χρυσόβουλλον πρὸς Ἴαγκον. Τίς ἐπίστατο τὴν τοῦ τῶν Καταλάνων ῥηγὸς ζήτησιν ; ὃς δωρηθῆναι αὐτῷ τὴν Λῆμνον ἐζήτει, καὶ ἔσηται κατὰ τῶν Τούρκων διὰ θαλάσσης ἀεὶ καὶ ὑπὲρ τῆς πόλεως ἐν ἀνάγκῃ βοήθεια· καὶ ἐπράττετο. Τίς **328** ἐπίστατο ὅσα δὴ καὶ χρήματα καὶ ἐπαγγελίας δέδωκεν ὁ βασιλεὺς καὶ ἔστειλεν εἰς τὴν Χίον διὰ τοῦ Γαλατᾶ, ἵνα στείλωσιν ἀνθρώπους, καὶ οὐκ ἔστειλαν ; ἢ τίς νηστεία καὶ δεήσεις ἐποιεῖτο δι' ἑαυτοῦ καὶ διὰ τῶν ἱερέων, διδοὺς αὐτοῖς χρήματα ἢ τοῖς πτωχοῖς, οὓς μᾶλλον ἐθεράπευσεν ; ἢ ἐπαγγελίας ἃς ἐποιήσατο πλείστας πρὸς Θεὸν εἰς τὸ ἐλευθερωθῆναι τοὺς Χριστιανοὺς ἀπὸ τῆς αἰχμαλωσίας τῶν ἀσεβῶν. Ἀλλ' ὅμως ταῦτα πάντα τὰ μὲν παρεῖδε Θεὸς, διά τινων ἁμαρτιῶν οὐκ οἶδα αἰτίαν, τὰ δὲ ἠγνόησαν οἱ ἄνθρωποι, καὶ ἕκαστος ἔλεγεν ὡς αὐτῷ ἐδόκει. Ἐγὼ δὲ κατὰ τὸ δοκοῦν μοι ταῦτά φημι· κρίσις γὰρ ἦν ὄντως Θεοῦ, πάλαι κυρωθεῖσα πρὸς ἐσχατιὰς καταβῆναι δυστυχημάτων τὰ Ῥωμαίων πράγματα. Διὰ τοῦτο λόγοις ἀποῤῥήτοις τῆς προνοίας τῶν μὲν λυπηρῶν καὶ ἐναντίων καὶ βλαπτόντων μεγάλη τις γίνεται συνδρομὴ, τῶν δὲ ἀγαθῶν καὶ ὠφελούντων πλεῖστα τὰ ἐμπόδια.

Πρὸ ὀλίγου λοιπὸν τὰ περὶ τοῦ τρισκαταράτου Μωάμεθ εἰρήκαμεν, μέρος τῶν φλυάφων αὐτοῦ μύθων τῶν γέλωτος ἀξίων· τὰ νῦν οὖν τὰς ἀντιῤῥήσεις αὐτῶν καὶ ἐλεγμοὺς εἴπωμεν.

γ'. Φέρετε εἰς κατηγορίαν ἡμῶν, ὦ ἀσεβεῖς, ὅτι ἐρωτηθεὶς ὁ Χριστὸς παρὰ τῶν Ἰουδαίων, Εἰ Υἱὸς Θεοῦ εἶ σύ; **329** ἠρνήσατο καὶ εἶπεν ὅτι Ὑμεῖς λέγετε τοῦτο. Καὶ φέρετε αὐτὸ εἰς μαρτυρίαν καθ' ἡμῶν, ἵνα δείξητε τὰ παρ' ὑμῶν λεγόμενα ἀληθῆ. Ταῦτα γοῦν ποιεῖτε ἀπὸ τοῦ μὴ γινώσκειν ὑμᾶς τὰς Γραφάς· εἰ γὰρ εὑρίσκεσθε ἐξετάζοντες καὶ ἐρευνῶντες τὰς Γραφὰς ὡς δεῖ, οὐκ ἂν ἐπλανήθητε. Ὅμως ἀφίημι τοῦ λέγειν κατὰ τὸ παρὸν τὰς ἀπ' ἀρχῆς τοῦ κόσμου μαρτυρίας, αἵτινες ἐλαλήθησαν περὶ τοῦ Χριστοῦ, δεικνύουσαι αὐτὸν Υἱὸν Θεοῦ καὶ Θεὸν καὶ ἄνθρωπον, πολλὰς οὔσας· διὸ ἀπὸ τούτων φθάσαν-

stitisse a bello et secundum conventa discessisse. Rumor tamen erat, Ameram cogitare ac dicere, si urbe nunc potiretur, statim se amicitiam nobiscum initurum et per totam vitam servaturum esse.

Beatæ autem memoriæ imperator, dominus meus, quid pro defensione urbis et imperii, imo, ut verius dicam, pro salute capitis, palam et occulte non est molitus? Manifestum est enim, si voluisset, facile eum fugere potuisse. Verum noluit, sed laborabat ad exemplum boni pastoris, qui animam deponit pro ovibus, ut deposuit sane. Quis autem alius hæc et reliqua facta præter Joannem Cantacuzenum et me noverat? Optaverat ex Hungaris oriundus Jancus, dari sibi ab imperatore Selymbriam aut Mesembriam, pollicitus se unum e subjectis ejus fore et multos de suis eo traducturum, atque bello cum Turcis conflato horum hostem, urbis vindicem futurum esse. Itaque, commisso bello, data ei est Mesembria, ut petiverat, bulla aurea a me conscripta et per Thedosii Cyprii affinem, Michaelis filium, ad Iancum perlata. Cui nota erat Catelanorum regis petitio? qui, si donaretur sibi Lemnus, adversus Turcas mari semper pugnaturum et urbi, cogente necessitate, opitulaturum se esse recipiebat : de qua re cum illo actum est. Aut quis noverat, quantam pecuniam et quæ promissa dederit imperator miseritque in Chium per Galatam, ut milites sibi mitterent, nec misisse illos? aut jejunia et preces, quas aut ipse faciebat, aut per sacerdotes fieri curabat, pecunia illis vel pauperibus, quos magis diligebat, distributa? aut vota, quæ Deo plurima fecit ad Christianos a servitio impiorum liberandos? Verum hæc omnia partim, nescio propter quæ peccata, neglexit Deus, partim homines ignorarunt, pro sua quisque libidine fabulantes. Ego vero pro mea quidem sententia ita statuo : fuisse hoc revera judicium Dei, quo pridem decretum erat, ut res publica Romanorum ad extremas devolveretur miserias. Arcanis autem Providentiæ consiliis ingratis quidem, adversis et noxiis magna auxilia parata sunt, sed bonis et commodis plurima impedimenta.

Paulo supra ter exsecrandi Mohametis nonnullas nugas et fabulas ridiculas commemoravimus : earum nunc dubitationes et refutationes promamus.

3. Affertis in accusationem nostri, impii, Christum a Judæis interrogatum, num Filius Dei esset, negasse, et istos ita dicere respondisse, testimonio hoc adversus nos usi, quo quæ ipsi dicitis vera esse ostendatis. At hoc quidem ex inscitia sacrarum Litterarum facitis : quas si investigaretis, et scrutaremini, ut decet, non errassetis forsan. Sed omitto nunc quidem inde a rerum principio quæ de Christo pronuntiata sunt permulta testimonia, quæ

Digitized by Google

Eodem capite Mohametes dæmones salvatum iri dicit, Origenem hæreticum secutus. Quod enim alio loco narrat, multos dæmones, qui Mohametis Coranem prælegi audirent, eum librum laudasse et admiratos esse, et fide ei habenda esse salvatos: nunc quidem non idem dicit, sed in universum docet, dæmones salvos fore. Si enim unus ex eorum ordine salvari potest, omnes salvari possunt. Sed sicut ubivis secum pugnat et dissentit, ita hic quoque. Nam cum ipse et asseclæ ejus Evangelium omnino perfectum, sanctum et salutare esse dicant ut doctrinam Christi, nunc, ut sæpe, huic generali sententiæ contraria proferunt. Christus enim gehenna dignis ita edixit: « Abite hinc, exsecrandi, in ignem æternum paratum diabolo et angelis ejus. » Quod cum diceret, nullum dæmonum exe-

μόνων ἀφῆκεν ἐκτὸς τῆς κολάσεως. Καὶ εἰκότως· ὁ γὰρ σεσωσμένος σὺν μετανοίᾳ τὸ κατὰ δύναμιν καὶ αὐτὸς συμβάλλει διὰ πράξεως εἰς τὴν τῆς σωτηρίας ὁδόν. Ἐπὶ γὰρ τοῦ σώματος οὐ δύναται ἄνθρωπος ποιῆσαι τὸ κατὰ βούλησιν ἤτοι τὸ μὴ ἐμπεσεῖν εἰς νόσον, ἢ ἐμπεσὼν οὐκ ἔχει ἐπ' ἐξουσίας ἐπανελθεῖν εἰς τὴν προτέραν ὑγίειαν· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως, ἀλλὰ πᾶς τις ἄνθρωπος ἐπ' ἐξουσίας ἔχει ἵνα μὴ ἁμάρτῃ, ὅπερ ἐστὶν ἀσθένεια ψυχῆς· ἁμαρτὼν δὲ εἰς τὴν αὐτοῦ θέλησίν ἐστιν ἵνα καὶ αὖθις ἀνακαλέσηται ἑαυτὸν, καὶ μὴ μόνον εἰς τὴν προτέραν ὑγίειαν τῆς ψυχῆς ἐπανέλθοι, ἀλλὰ καὶ πολλῷ τῷ μέτρῳ ὑπερβῇ, καὶ ἡ σὺν τῇ μετανοίᾳ, ὡς εἴρηται, ποιήσῃ καὶ ἔργα ἀξιόχρεα, ἢ κατὰ δεύτερον, ὡς φασι, πλοῦν μόνον μετανοῶν εὑρίσκηται. Καὶ ὁ πανάγαθος Θεὸς, ὁ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων κλίνας τοὺς οὐρανοὺς καὶ κατελθὼν καὶ γεγονὼς ἄνθρωπος, ἐκχέει τὸ ἔλεος αὐτοῦ, ὅπερ ἐστὶ μεῖζον πάσης πράξεως ἀγγέλων, τε καὶ ἀνθρώπων, καὶ ἀντὶ πασῶν ἀρετῶν τοῦτο λογίζεται, καὶ πρὸς ἑαυτὸν προσκαλεῖται αὐτοὺς καὶ φίλους αὐτοῦ καθίστησιν. Ἐπὶ δὲ τοῦ διαβόλου ποῦ μετάνοια; ποῦ ταπείνωσις; Ἡ γὰρ μετάνοια ἐκ ταπεινώσεως γίνεται· πρότερον γὰρ καταγινώσκει τις ἑαυτοῦ ὡς κακῶς πράξαντος, ἔπειτα μετανοεῖ ἐφ' οἷς ἥμαρτεν. Ὁ δὲ διάβολος τοὐναντίον στέργει μὲν τὴν ἁμαρτίαν ἣν ἥμαρτε καὶ τὸ κατὰ δύναμιν πράξενος καὶ συνεργὸς τῆς τῶν ἀνθρώπων ἀπωλείας εὑρίσκεται. Τίς γοῦν κοινωνία Θεῷ καὶ διαβόλῳ; **372** Ἄρα ματαίως ἐλάλησεν ὁ Μωάμεθ, εἰπὼν ὅτι δύνανται σωθῆναι οἱ δαίμονες.

mit de pœna. Nec immerito. Nam qui propter pœnitentiam salvatur, factis suis pro viribus confert ad salutem obtinendam. Corpore enim homo facere, quod vult, non potest, velut a morbo sibi cavere, aut, postquam incidit in morbum, pristinam valetudinem ad arbitrium recuperare; contra animo omni homini licet ac concessum est peccatum vitare, qui morbus animi est, aut, si peccavit, revocare se et non solum recuperare pristinam animi valetudinem, sed etiam longe firmiorem sibi parare, atque aut cum pœnitentia, ut dixi, opera salutaria edere, aut solam viam, ut aiunt, pœnitentiæ tenere. Deus optimus enim, qui ob salutem hominum, relicto cœlo, in terram descendit et homo factus est, misericordiam suam, quæ omnibus angelorum hominumque factis major est et par habetur cunctis virtutibus, effundit, eos ad se invitat et amicos sibi facit. At ubinam in diabolo pœnitentia? Ubinam submissus animus? Pœnitentia enim animi non nisi submissi est. Nam prius aliquis quod male fecerit, se accusat, deinde eum pœnitet eorum quæ fecit. Sed diabolus amat potius peccatum, quod commisit, et pro viribus adjuvat perniciem hominum. Quæ igitur diabolo cum Deo communio? Ergo temere Mohametes loquitur, cum dæmones salvari posse dicit.

Digitized by Google

Ἔτι ὁ αὐτὸς Μωάμεθ φησὶ περὶ τοῦ κορὰν ὅτι οὐδεὶς τῶν ἀνθρώπων οὐδ' αὐτὸς ὁ Μωάμεθ γινώσκει τὴν τούτου ἐξήγησιν, ἀλλ' ἢ μόνος ὁ Θεός. Καὶ εἰ τοῦτό ἐστιν ἀλήθεια, ποία ἐστὶν ἡ τοῦ κορὰν ὠφέλεια; Ἴσως γὰρ οὕτως ἠδύνατο ὠφελῆσαι, εἴπερ ἐγίνωσκον τὰ παρὰ Θεοῦ λεγόμενα· ἐπεὶ δ' αὐτὸς ὁ Μωάμεθ εὑρίσκεται μαρτυρῶν ὅτι οὐδεὶς τῶν ἀνθρώπων γινώσκει τὰ ἐν τῷ κορὰν λεγόμενα, τίς ἡ τούτου ὠφέλεια; Πάντως οὐδεμία. Καὶ τίς μείζων ἄλλη ἀπόδειξις ὅτι οὐκ ἔστιν ἀπὸ Θεοῦ ὁ παρὰ τοῦ Μωάμεθ δοθεὶς νόμος; Οὐ γὰρ δὴ ματαίως νομοθετεῖ ὁ Θεός. Ἰδοὺ τοίνυν καταφανές ἐστι τὸ κορὰν, ὅτι οὐκ ἔστιν παρὰ Θεοῦ, ἀλλὰ καὶ ἀνάπλασμά ἐστι διανοίας αὐτοῦ τοῦ κακοδαίμονος. Καὶ πρόδηλον ἐξ αὐτοῦ τοῦ κορὰν, ὅτι οὔτε τῇ παλαιᾷ Γραφῇ συμφωνεῖ οὔτε τῇ νέᾳ Διαθήκῃ, καίτοι γε ὁμολογοῦντος τοῦ Μωάμεθ ὅτι ἅγιαι καὶ καλαί εἰσιν αἱ Γραφαὶ, καὶ ὅτι οὐδέν εἰσιν οἱ ἐκείνου ἀκόλουθοι εἰ μὴ πληρώσαιεν τόν τε νόμον καὶ τὸ Εὐαγγέλιον. Ἔτι σχεδὸν δι' ὅλου αὐτὸς ἑαυτῷ ἐστιν ἀντιλέγων. Ἔτι οὐδὲν θαῦμα ἐποίησεν εἰς πίστωσιν τῶν λεγομένων. Ἔτι ὁμολογούμενα ψεύδη περιέχει, ὅπερ ἐστὶ τοῦ Θεοῦ ἀλλότριον πάντη. Ἔτι βίαιόν ἐστι καὶ καταλύει τὸ αὐτεξούσιον, ὅπερ οὐδέ ποτε ὁ Θεὸς ἀνέτρεψεν. Ἔτι παντελῶς ἐστιν ἄτακτον, καὶ τὸ ἄτακτον μακράν ἐστι τοῦ Θεοῦ· οὐ γάρ ἐστιν ὁ Θεὸς ἀταξία; Θεός. Ἔτι πονηρὸν **373** ἀναφαίνεται· καὶ πῶς ἀπὸ τοῦ Θεοῦ τοῦ πάσης ἐπέκεινα εὐθύτητος καὶ ἁπλότητος; Ἔτι πεπλασμένας καὶ τερατώδεις θεωρίας περιέχει· καὶ πῶς τοῦτο ἀπὸ Θεοῦ τοῦ ποιητοῦ καὶ δοτῆρος τῆς ἀληθείας; Τὸ δὲ πάν-

Idem Mohametes affirmat, Coranem nullum hominem interpretari posse, ne ipsum Mohametem quidem, sed solum Deum. Quod si verum est, quæ tandem est utilitas Coranis? Fortasse utilis esse posset, si intelligerent homines a Deo tradita; sed cum Mohametes ipse testetur, nullum hominem intelligere, quæ in Corane doceantur, quænam possit istius utilitas esse? Profecto nulla omnino. Quod autem gravius documentum est, quo probetur, Deum non esse legis a Mohamete constitutæ auctorem? Neque enim nequidquam Deus leges sancit. Manifestum est igitur, Coranem non esse a Deo repetendum, sed potius opus sapientiæ ipsius Satanæ esse; atque ex ipso corane perspicuum est, eum nec cum vetere Scriptura, nec cum Novo Testamento congruere, cum tamen consentiat Mohametes, eas Litteras sacras et pulchras esse, nec quidquam agere asseclas suos, nisi legi et Evangelio satisfaciant. Accedit, ut pene ubivis sibi repugnet; ut nullum miraculum ediderit ad fidem dictis parandam; ut liber iste manifesta mendacia contineat, id quod a Deo prorsus alienum est; ut violentus sit et libertatem tollat, quam Deus nunquam evertit; ut perturbationis plenus sit, quæ a Deo longe abest, quandoquidem Deus non est perturbationis Deus: ut pravus sit, cum Deus omni sit æquitate et justitia superior; ut itinera fictitia et prodigiosa

των τῶν κακῶν ἔσχατόν καὶ πρῶτον, ὅτι παρὰ δαίμονος ἐξεδόθη τὸ τοιοῦτον κορὰν, κἂν καὶ τὸν Θεὸν διαβάλλοντες λέγωσιν ὅτι ἀπὸ Θεοῦ ἐδόθη.

Θαυμάζω γὰρ ἔγωγε καὶ λίαν ἐκπλήττομαι πῶς τὸν Χριστὸν ἀφέντες οἱ τάλανες ἠκολούθησαν τῷ Μωάμεθ. Αὐτὸς καὶ γὰρ ὁ τοῦ Μωάμεθ νόμος, τοῦτ' ἔστι τὸ κορὰν, αὐτὸ τοῦτό φησιν ὅτι δι' ἀγγέλου εὐηγγελίσθη τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ διὰ Πνεύματος ἁγίου ἡγιάσθη καὶ τῇ δυνάμει τοῦ Θεοῦ συνελήφθη, ἀλλ' οὐ φύσεως ἐνεργείᾳ, καὶ ἐκ παρθένου ἁγιωτάτης καὶ ὑπὲρ πάσας τὰς ἄλλας γυναῖκας καθαρᾶς γεννηθῆναι· ἐν γὰρ τῷ κεφαλαίῳ τῷ Αἰνεσάν φησιν· « Ὦ ἑταῖροι τῆς βίβλου (τοῦτ' ἔστιν οἱ πιστοί), μὴ λέγετε περὶ τοῦ Θεοῦ πλὴν τῆς ἀληθείας, ὅτι ὁ Χριστὸς Ἰησοῦς υἱός ἐστι τῆς Μαρίας καὶ ἀπόστολος Θεοῦ καὶ Λόγος Θεοῦ, ὃν ἐν αὐτῇ ἔθηκε διὰ Πνεύματος τοῦ ἁγίου. » Ἰδοὺ γοῦν Θεὸν ὀνομάσας καὶ Λόγον Θεοῦ καὶ Πνεῦμα ἅγιον τὴν τρισυπόστατον Τριάδα ὁ ἄθλιος οὐκ ἤνοιξε τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἰδεῖν τὸ φῶς τῆς Τριάδος. Καὶ εἰκότως· ὥσπερ γὰρ τὰ ἐν τῇ κοιλίᾳ τῆς μητρὸς εὑρισκόμενα **374** ἔμβρυα πρὸ τῆς γεννήσεως αὐτῶν ζωὴν μὲν ἔχουσιν, ἀνωφελῆ δὲ καὶ ἀνόητον, καὶ ψυχὴν μὴ δυναμένην διακρῖναι τὸ κρεῖττον τοῦ χείρονος, ἢ παρὰ καιρὸν γεννηθέντα οὔκ εἰσιν ἄνθρωποι, ἀλλ' ἐκτρώματα καὶ ἀμβλώματα, οὕτω καὶ πᾶς ἀσεβὴς ὁ μὴ ἀναγεννηθεὶς δι' ὕδατος καὶ πνεύματος, τοῦτ' ἔστι διὰ τοῦ ἁγίου βαπτίσματος, οὐ δύναται ἰδεῖν τὸ οὐράνιον φῶς καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ διὰ τοῦτο μύσας τοὺς τῆς ψυχῆς αὐτοῦ ὀφθαλμοὺς ὁ μάταιος σκοτεινὸς ἐναπελείφθη

contineat, cum Deus sit omnis veritatis auctor. Quorum malorum omnium primum et postremum est, quod a dæmone editus est coran iste, quamvis eum a Deo editum esse dicant Deum calumniantes.

Miror equidem et admodum stupeo, quod, Christo relicto, miseri isti Mohametem secuti sint. In ipsa enim Mohametis lege, hoc est Corane docetur, Christum per angelum Matri Jesu prænuntiatum, per Spiritum sanctum sanctificatum, vi divina, non naturali, conceptum, et e virgine sanctissima et præ omnibus feminis pura natum esse. Capite Ænesan enim dicit: « Socii Scripturæ (hoc est, fideles), ne dicatis nisi verum de Deo, Jesum Christum Filium Mariæ et legatum et Verbum Dei esse, quem in ea collocavit per Spiritum sanctum. » Itaque miser iste, cum Deum appellaret et Verbum Dei et Spiritum sanctum, hoc est sanctam Trinitatem, non aperuit tamen oculos mentis ad videndum lumen Trinitatis. Nimirum sicut in ventre matris fetus immaturi vitam quidem, sed inutilem et sui nesciam, atque mentem, utrum melius, utrum pejus sit, non discernentem habent, aut, ante tempus editi, non homines, sed partus præsposteri vel abortus sunt, ita quisquis impius per aquam et spiritum, hoc est sanctum baptisma, non regeneratus, cœleste lumen et veritatem aspicere nequit; et propterea, clausis oculis mentis, nebulo iste occæ-

Digitized by Google

ὡς ὁ πατὴρ αὐτοῦ ὁ διάβολος. Περὶ γὰρ τοῦ ἁγίου Πνεύματος συνεχῶς ἐν τῷ κορὰν μέμνηται. Φησὶ γὰρ ἐν τῷ κεφαλαίῳ τῷ Ἐμπιᾷ ὡς ἐκ προσώπου τοῦ Θεοῦ ὅτι περὶ τῆς Μαρίας ἐνεφυσήσαμεν αὐτῇ ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου. Καὶ πάντως οὐ δύναται εἰπεῖν ὅτι περὶ ἀγγέλου εἶπε τοῦτο ὁ Θεός. Καὶ περὶ μὲν τοῦ Χριστοῦ τοιαῦτα· περὶ δὲ τοῦ Μωάμεθ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ὅτι ἦν ὀρφανὸς καὶ πλανήτης ὑπὸ Θεοῦ συναχθείς. Ἔτι τὸν Χριστὸν Λόγον Θεοῦ ὀνομάζει, ὡς εἴρηται, καὶ ψυχὴν Θεοῦ καὶ προφήτην πάντων τῶν προφητῶν μέγιστον, τὸν δὲ Μωάμεθ οὕτως μόνον προφήτην ἁπλῶς. Ἔτι τὸν Χριστὸν ἐκ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὁμολογοῦσιν εἶναι τοῦ ἔχοντος τὰς ἐπαγγελίας· ὁ δὲ Μωάμεθ ἐκ τοῦ Ἰσμαὴλ ἐστιν, ὅστις ἐξεβλήθη μετὰ τῆς μητρὸς αὐτοῦ τῆς παιδίσκης Ἄγαρ ἐκ τοῦ οἴκου τοῦ Ἀβραάμ. Ἔτι ὁ Χριστὸς οὐδέ ποτε ἐποίησεν ἁμαρτίαν (Λόγος γὰρ Θεοῦ καὶ Πνεῦμα **375** Θεοῦ οὐ δύναται πλανηθῆναι), ὁ δὲ Μωάμεθ εἰδωλολάτρης ἐγένετο καὶ φονεὺς καὶ ἅρπαξ καὶ ἀσελγὴς, καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασιν ἔνοχος ἐγένετο, ἐφ' οἷς ὁ Θεὸς, ὥς φασιν, αὐτὸν συνεπάθησεν. Ἔτι ὁ Χριστὸς φρικτὰ καὶ ἐξαίσια πεποίηκε θαύματα, ὡς ἐν τῷ κεφαλαίῳ τῷ Ἐλμαΐδᾳ μεμαρτύρηται ὅτι ὁ Χριστὸς τυφλοὺς ἐφώτισε, λεπροὺς ἐκαθάρισε, νεκροὺς ἀνέστησε καὶ ἄλλα πολλὰ εἰργάσατο· ὁ δὲ Μωάμεθ οὐδὲν θαῦμα πεποίηκε κατὰ τὸ κορὰν, ἀλλ' ἢ μόνον τὸ τῆς σελήνης, ὅπερ ἐστὶ ψεῦδος ἄντικρυς, καὶ ἕτερά τινα αἰσχρὰ, ἅπερ καὶ παρεσιωπήθησαν καὶ τῇ σιγῇ παρεδόθησαν διὰ τὸ λίαν δύσφημον. Ἔτι κατὰ μὲν τὸ Εὐαγγέλιον καὶ αὐτὴν τὴν ἀλήθειαν ὁ Χριστὸς ἐσταύρωται καὶ τέθνηκε καὶ ἐτάφη καὶ ἀνέστη καὶ ἀνελήφθη καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς κάθηται· κατὰ δὲ τὸ κορὰν, ὡς δῆθεν τιμῶντες αὐτὸν, λέγουσιν ὅτι οὐκ ἀπέθανεν, ἀνελήφθη δ' ὅμως. Καὶ ἰδοὺ ὅσον ἀπὸ τῆς τοῦ Εὐαγγελίου ἀληθείας καὶ ἀπὸ τῆς τοῦ Μωάμεθ ψευδολογίας ὁ Χριστὸς ζῶν ἀναφαίνεται καὶ ὁμολογεῖται, ὁ δὲ Μαχούμεθ οὐτοσὶν, ὡς πάντες οἱ τὰ ἐκείνου φρονοῦντες ὁμολογοῦσιν, ἀπέθανε καὶ οὐκ ἀνέστη. Καὶ τοίνυν διὰ ταῦτα πάντα τὸν Χριστὸν ἔδει προσκυνεῖν καὶ μὴ τῷ Μωάμεθ ἀκολουθεῖν. Πῶς γὰρ ἔδει πιστευθῆναι τὰ τοῦ Θεοῦ λόγια ἀνθρώπῳ ὁμοίῳ κατὰ πάντα τῷ δαίμονι; Καὶ εἰ βούλει, παραβάλλωμεν ἀμφοτέρους, καὶ γνωσόμεθα τὰ τούτων ἰδιώματα. Ὁ διάβολος ἐπηρμένος καὶ ἀλαζὼν, ὁ Μωάμεθ **376** ἐπηρμένος καὶ ἀλαζών· τίς γὰρ μείζων τοῦ Μωάμεθ, ὃς ὑπεραναβὰς τοὺς οὐρανοὺς, ὡς αὐτὸς περὶ αὐτοῦ εἴρηκε, καὶ αὐτὰς πάσας τὰς ἀγγελικὰς δυνάμεις τῷ Θεῷ προσωμίλει, καὶ μεσίτης τῶν ἑπταικότων ἀγγέλων ἐγένετο, ἀλλὰ καὶ τοῦ κόσμου παντὸς προστάτης; Ὁ διάβολος ἀνθρωποκτόνος ἐστὶ, καὶ ὁ Μωάμεθ τοὺς μὴ πειθομένους τοῖς δόγμασιν αὐτοῦ θανάτῳ κατεδίκασεν. Ὁ διάβολος ἀπατεών ἐστι, καὶ ὁ Μωάμεθ τὰς ἡδονὰς ἐνδοὺς καὶ ὥσπερ τι δέλεαρ ἐν ἀγκίστρῳ ἐνθεὶς τοὺς ἀνοήτους πρὸς ἑαυτὸν ἑφελκύσατο. Ὁ διάβολος ψεύστης ἐστὶν, ἀλλ' οὐ τοσοῦτον ὡς ὁ Μωάμεθ, καθὼς καὶ ἐν ὅλῳ τῷ κορὰν τρανῶς ἀναφαίνεται. Ὁ διάβολος ὑπουλός ἐστι· καὶ τίς ἄλλος ὡς Μωάμεθ τῇ ταπεινώσει ὑποκριθεὶς τὴν ὑψηλοφροσύνην ἠσπάσατο; Ὁ διάβολος σύμβουλός ἐστι τῶν ἀπηγορευμένων, καὶ ὑπὲρ πάν-

catus mansit, ut pater ejus diabolus. Sancti Spiritus enim in Corane perpetuo mentionem facit. Capite Empia enim nomine Dei de Maria dicit : « Inspiravimus ei per Spiritum sanctum. » Profecto enim dicere non potest, de angelo hoc Deum dicere. Hæc igitur de Christo prædicat ; de Mohamete nihil ejusmodi, sed orbum eum fuisse et vagum hominem a Deo compulsum. Idem Christum Verbum Dei appellat, ut diximus, et animam Dei et prophetam omnium prophetarum maximum, Mohametem autem simpliciter prophetam. Deinde Christum ab Abrahamo, Isaaco et Jacobo, quibus promissa data erant, genus ducere consentiunt ; Mohametes autem ex Ismaelis posteris est, qui cum matre sua, Agar ancilla, ab Abrahamo domo ejectus est. Christus nunquam peccavit (nam Verbum Dei et Spiritus Dei non potest peccare), sed Mohametes idololatra, homicida, prædo, libidinosus, multisque aliis vitiis obnoxius erat, ob quæ eum Deus, ut aiunt, miseratus est. Christus stupenda et eximia miracula edidit, sicut in capite Elmaida confirmatur, Christum cæcis visum restituisse, scabiosos purgasse, mortuos suscitasse, et multa alia fecisse. Contra Mohametes nullum miraculum edidit secundum Coranem, præter unum illud de luna, quod manifestum mendacium est, et alia quædam turpia, quæ silentio prætermissa sunt propter nimiam infamiam. Christus secundum Evangelium et revera cruci affixus, mortuus et sepultus est, surrexit, in cœlum ascendit et a dextra Patris sedet ; secundum Coranem autem, utpote eum venerantes, dicunt, eum non mortuum esse, sed tamen in cœlum ascendisse. Itaque veritas Evangelii et mendacia Mohametis testimonio sunt et consentiunt, Christum vivere ; Mohametes iste vero, ut omnes asseclæ ejus conveniunt, mortuus est nec surrexit. Ob hæc omnia igitur Christum profiteri, non Mohametem sequi debebant. Quis enim dicta Dei ab homine omnino dæmoni simillimo accipiat? Si placet, comparemus eos et cognoscamus utrinsque proprietates. Diabolus elatus et nebulo ; Mohametes elatus et nebulo. Quis enim Mohamete major, qui supra cœla, ut ipse de se prædicat, et omnes angelos egressus Deum convenit et angelis, qui peccaverant, divinam gratiam reconciliavit, quin etiam totius mundi patronus fuit? Diabolus homicida est ; Mohametes eos qui dogmatis suis non obtemperarent, morte multavit. Diabolus fraudulentus est; Mohametes licentiam voluptatum faciens, quas quasi ut escam hamo affixit, imprudentes ad se pellexit. Diabolus mendax est, nec tantus tamen, quantus Mohametes, quod toto Corane clare demonstratur. Diabolus subdolus est ; quis autem pariter ac Mohametes, humilitate occultans superbiam, blanditus est? Diabolus veti-

Digitized by Google

τας ὁ Μωάμεθ· οὐδὲν γὰρ ὑγιὲς, οὐδὲν ὠφέλιμον, οὐδὲν Θεῷ δεκτὸν, ἀλλὰ τὰ πάντα κατὰ τοῦ θείου νόμου ἐδίδαξεν. Ὁ διάβολος ἄθεός ἐστι, καὶ κατὰ πάντα ὅμοιος αὐτῷ ὁ τῆς ἀπωλείας υἱὸς ὁ Μωάμεθ· Θεὸν γὰρ προσκυνεῖ καὶ κηρύττει ὁλόσφαιρον καὶ ψυχρότατον, Θεὸν προσκυνεῖ τὸν μήτε γεννήσαντα μήτε γεννηθέντα, μὴ νοήσας ὁ δείλαιος ὅτι σῶμα προσκυνεῖ καὶ οὐ Θεόν· ἡ γὰρ σφαῖρα εἶδος σώματός ἐστι καὶ ἡ ψῦξις ποιότης σώματος. Τὸν δὲ Θεὸν τὸν μήτε γεννήσαντα μήτε γεννηθέντα οὐ προσκυνεῖ, ἀλλὰ σῶμα, οὔτε Θεὸν ἀσώματον καὶ ἀληθῆ, ἀλλὰ **377** Θεὸν προσκυνεῖ ὃν ὄνειροι τῶν ἀσεβῶν διαπλάττουσι. Γελοῖον γὰρ πάντως ἐστὶ δοξάζειν τινὰ ἥλιον φῶς μὴ ἔχοντα καὶ πηγὴν ἄνευ ὕδατος καὶ νοῦν λόγον μὴ ἔχοντα. Ὡς ἀπόλοιτο ὁ τοιοῦτος Θεός. Ὁ δὲ παρ' ἡμῖν τοῖς Χριστιανοῖς Θεὸς εἷς ἐστιν, ὁ πρὸ πάντων καὶ ἐπὶ πάντων καὶ ἐν πᾶσι καὶ ὑπὲρ τὸ πᾶν, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι πιστευόμενός τε καὶ προσκυνούμενος, μονὰς ἐν Τριάδι καὶ Τριὰς ἐν μονάδι ἀσυγχύτως ἑνουμένη καὶ ἀμερίστως διαιρουμένη, μονὰς ἡ αὐτὴ καὶ Τριὰς παντοδύναμος, πατὴρ ἄναρχος οὐ μόνον ὡς ἄχρονος, ἀλλὰ καὶ ὡς κατὰ πάντα τρόπον ἀναίτιος, μόνος αἰτία καὶ ῥίζα καὶ πηγὴ τῆς ἐν Υἱῷ καὶ ἁγίῳ Πνεύματι θεωρουμένη θεότητος· ὃς ἵλεως γένοιτο ἡμῖν καὶ πᾶσι Χριστιανοῖς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, πρεσβείαις τῆς πανυπερευλογημένης δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ πάντων τῶν ἁγίων. Ἀμήν.

ς'. Τίς γοῦν ἀντιλογία ἐστὶ περὶ τοῦ πλάσματος τῆς σελήνης; Ὅμως πᾶς τις ὁ ζητῶν τὴν ἀλήθειαν γνώτω ὅτι τὰ θαύματα οὐ κατ' ἐπίδειξιν γίνονται, ἀλλὰ δι' ὠφέλειαν ψυχικὴν ἅμα καὶ σωματικήν, ὡς ἐπὶ τοῦ Χριστοῦ, ἢ διὰ χρῆσιν, ὡς ἐπὶ τοῦ Μωϋσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ. Ἀλλὰ πῶς ἐνήργησε τὸ τῆς σελήνης τοιοῦτον ἐξαίσιον θαῦμα; Αὐτὸς γάρ ἐστιν ὁ εἰπὼν ὅτι οὐκ ἦλθε διὰ θαυμάτων δοῦναι τὸν νόμον, ἀλλὰ καὶ διὰ τὸ παιδεύεσθαι ἡμᾶς κατηγορεῖ ἡμῶν· ἐγὼ **378** δὲ, φησὶ, τοὐναντίον, ὅτι ἐπιμελούμενος ὁ πατὴρ τοῦ παιδὸς παιδεύει αὐτὸ, ἀγάπης ἐνυπαρχούσης. Καὶ περὶ μὲν τῶν Ἑβραίων ἀληθῶς εἶπεν· οἱ γὰρ Ἑβραῖοι κατὰ καιροὺς ἔλαβον ὀργὴν ἀπὸ Θεοῦ, ἀλλ' οὐκ ἀσυμπαθῆ· εἶχον καὶ γὰρ προφήτας δι' ὅλου τοῦ καιροῦ καὶ ἁγιασμὸν καὶ ἱερωσύνην, παιδεύοντος μὲν αὐτοὺς τοῦ Θεοῦ σωματικῶς, ψυχικῶς δὲ οὐ κατελιμπάνοντο. Μετὰ δὲ τὸν τοῦ Κυρίου σταυρὸν καὶ τὸ πάθος ἐγένετο παντελὴς εἰς αὐτοὺς ἐγκατάλειψις ψυχῶν τε καὶ σωμάτων, εἰς αὐτοὺς λέγω τοὺς αὐθάδεις.

ζ'. Ἐπὶ τὸ προκείμενον οὖν ἐπανέλθωμεν τῆς ἡμετέρας διηγήσεώς τε καὶ ἱστορίας. Τῷ θέρει τοῦ ,ςϑξβ' ἔτους ἤρξατο φαίνεσθαι κομήτης ἐκ τῶν δυτικῶν μερῶν τοῦ ἀφ' ἑσπέρας ὁρίζοντος ἑκάστης, εὐθὺς μετὰ δύσιν ἡλίου, ῥομφαίᾳ τινὶ ἐοικὼς, καὶ τῇ σελήνῃ πλησιάσας πανσελήνῳ σύσῃ ἔκλειψις κατὰ τύχην γέγονε κατὰ τὴν τάξιν καὶ κύκλον τῶν οὐρανίων φωστήρων, ὡς ἔθος. Τινὲς δὲ τὸν κομήτην ξιφοειδῆ ὁρῶντες καὶ ἐκ τῶν ἑσπερίων κινούμενον καὶ πρὸς ἀνατολὰς τὴν πορείαν ποιοῦντα καὶ τῇ σελήνῃ πλησιάσαντα, καὶ τὸ σκότος τῆς ἐκλείψεως

torum suasor est; idem præ omnibus Mohametes, qui nihil salutare, nihil utile, nihil Deo acceptum, sed omnia legi divinæ contraria docuit. Diabolus impius est; omnino ei simillimus est perniciei filius Mohametes. Deum enim adorat, quem globosum et frigidissimum appellat, Deum, qui nec generavit nec generatus est, adorare sibi visus, atque nescius, corpus, non Deum a se adorari. Globus enim species, frigus qualitas corporis est. Itaque non Deum, qui nec generavit nec generatus est, adorat, sed corpus adorat, nec Deum incorporeum et verum adorat, sed Deum, quem somnia impiorum confinxerunt. Prorsus ridiculum enim est, solem lucis, aut fontem aquæ, aut mentem rationis expertem cogitare. Quare pereat iste Deus. Sed Christianorum Deus unus est ante omnia et post omnia et in omnibus et supra omnia, in Patre, Filio et Spiritu sancto creditus et adoratus, unitas in Trinitate et Trinitas in unitate immista conjuncta, et individua separata, unitas eadem et Trinitas omnipotens, Pater initio carens, non solum quod tempore, sed etiam quod omnino causa non continetur, solus causa et radix et fons divinitatis Filio et Spiritui sancto insitæ: qui nobis et cunctis Christianis propitius sit die judiciali, deprecante benedictissima domina nostra, Deipara et semper Virgine Maria et omnibus sanctis. Amen.

6. Quæ vero fabulæ istius de luna conflictæ insulsitas est? Nempe quicunque verum dicere cupit, scito, miracula non ostentandi causa, sed propter salutem animæ et corporis, ut a Christo, aut propter necessitatem, ut a Moyse et Jesu, Navæ filio, fieri. Quid autem iste lunæ illud eximium miraculum edidit? Ipse enim dicit, non venisse se miraculis legem constitutum. Quin etiam nos, quod castigemur, accusat. Equidem, ait, contra dico, patrem filium, quem curæ habet, castigare, amore commotum. Ac de Hebræis quidem recte dicit. Hebræi enim nonnunquam iram Dei experti sunt, neque tamen illam immiserieordem. Habebant enim perpetuo prophetas, sacra et sacerdotia, corpore a Deo castigati, sed anima non destituti. Post Christi autem supplicium et perpessionem secuta est perfecta eorum, id est contumacium, destitutio tum corporis tum animæ.

7. Redeamus jam ad res, in quibus nunc maxime versamur, enarrandas. Æstate anni 6962 in parte occidentali horizontis quotidie statim post occasum solis cometes romphææ similis apparere cœpit; qui cum prope lunam esset, pleno lumine splendentem, accidit, ut defectio lunæ fieret, secundum ordines et circuitum rerum cœlestium, ut solet fieri. Quidam cum cometem gladio similem e regione occidentali orientem versus procedere et lunæ appropinquare viderent sentirentque tenebras defectionis, existimabant, cometem hunc es-

Digitized by Google

ἰδόντες, ἐνόμιζον ὅτι ὁ κομήτης ὁ ξιφοειδὴς καὶ ἡ σκότωσις τῆς σελήνης οὕτως δηλοῖ, ὅτι μέλλουσιν ὁμοφωνῆσαι οἱ τῶν ἑσπερίων αὐθέντες Χριστιανοὶ ἐλθεῖν κατὰ τῶν Τούρκων, καὶ αὐτοὺς νικήσουσιν. Οἱ Τοῦρκοι δὲ θεωροῦντες καὶ αὐτοὶ εἰς φόβον οὐκ ὀλίγον καὶ λογισμοὺς ἐνέπεσον. Ἀλλὰ καὶ αἱ νύκτες **379** ἐκεῖναι πανσέληνοι οὖσαι, οὐ διέλειπον ἀστραπαὶ καὶ βρονταὶ καθ' ἑκάστην ἑσπέραν ἄχρι καὶ τῆς δευτέρας φυλακῆς τῆς νυκτός. Τῷ δὲ πρωῒ σεισμοί τινες ἐλαφροὶ ἐγίνοντο ἐπὶ ἡμέρας δέκα καὶ ὀκτώ. Καὶ καύσων ἐν ἐκείναις ταῖς ἡμέραις οὐκ ὀλίγος ἦν.

Ἀλλὰ μέρος τι περὶ τῆς φύσεως τῶν κομητῶν καὶ ἀστραπῶν καὶ βροντῶν καὶ ἄρκων ἤγουν κεραυνῶν καὶ σεισμοῦ καὶ στοιχείων διηγησώμεθα· καὶ ὅσον τὸ κατὰ δύναμιν δηλώσω πρὸς ὑμᾶς. Ἄκουσον οὖν.

η'. Κομῆται λέγονται τὰ φαινόμενα ἀπὸ γῆς πρὸς οὐρανὸν ἐκχυνόμενα, ἅπερ λέγουσί τινες ἄστρα· ἀλλ' οὐκ οἴδασι τί λέγουσιν. Ἕτεροι δὲ λέγουσιν ὅτι δαίμονές εἰσιν, μὴ εἰδότες καὶ αὐτοὶ τί λέγουσι, καὶ σφαλερῶς βλασφημοῦσιν. Ἀλλ' οὔτε ἄστρα εἰσὶν οὔτε δαιμονικὰ πνεύματα· τὰ γὰρ δαιμόνια οὐκ εἰσὶ λαμπρά, ἀλλὰ ἐζοφωμένα καὶ ἀφανῆ τῆς ἀνθρωπίνης ὄψεως. Διὰ τοῦτο οἱ ταῦτα λαλοῦντες φλυαροῦσιν ἁμαρτάνοντες. Εἰ δὲ πάλιν ἄστρα εἰσὶ καὶ πάντοτε ἀπὸ αἰῶνος πίπτοντα ἦσαν, ἔμενεν ὁ οὐρανὸς ἄναστρος. Διὰ τοῦτο οὔτε ἄστρα εἰσὶν οὔτε πονηρὰ πνεύματα, ἀλλὰ κομῆταί εἰσιν. Οἱ γὰρ κομῆτσι τοιουτοτρόπως γίνονται. Τῶν ἀνέμων ἐπὶ τῆς γῆς καὶ ἐν τῷ αἰθέρι εἰσερχομένων, τὸ λεπτότατον ἐπιφέρουσι τῆς γῆς ὑλοειδὲς πρὸς τὸ οὐράνιον πῦρ, καὶ

A βιαζομένη ὑπὸ τῶν ἀνέμων ἡ ὕλη οὐ κατέρχεται ἕως οὗ σιγήσῃ ὁ ἄνεμος. Καὶ τότε ἐκπίπτουσιν ὑλομανούντων τῶν ἀνέμων, **380** ἐκκεχυμένων λαυροειδῶς, ὡς ὑπὸ τοῦ πυρὸς τοῦ ἄνωθεν κατακαιόμενος ὁ ἄνεμος σὺν τῇ ὕλῃ λαυροειδὴς γίνεται· καὶ οὕτω γίνονται οἱ κομῆται. Καὶ εἰ ἅμα τῷ κρύει ἐκπέσῃ ὁ πεπυρακτωμένος ἄνεμος, γίνεται πάλιν ἀχλὺς καὶ σμίγεται τῷ ὁμοίῳ αὐτοῦ ἀέρι.

θ'. Ἡ ἀστραπὴ οὐκ ἐν ἑτέρῳ τρόπῳ γίνεται εἰ μὴ συναλλαττομένων τῶν ἀνέμων, καὶ τῶν νεφελῶν συγκρουομένων, ὡς βιαζομένων ὑπὸ τῶν ἀνέμων, γίνεται κτύπος, ἐν δὲ τῷ κτύπῳ συγκέχυται τὸ πῦρ παρὰ τοῦ οὐρανίου πυρός. Προτέρα δὲ ἡ βροντὴ τῆς ἀστραπῆς γίνεται· ἡμεῖς δὲ ὀξυτέραν ἔχοντες τὴν ὅρασιν διὰ τοῦτο πρῶτον θεωροῦμεν τὴν ἀστραπήν, B μετὰ δὲ ταῦτα ἀκούομεν τὴν βροντήν, διότι βραδυτέραν τὴν ἀκοὴν ἔχομεν. Βλέπε· ἐν παραδείγματι ἀποδείξω σοι. Ἀπέχοντός σού τινος πόρρωθεν κόπτοντος ξύλα, βλέπεις αὐτοῦ τὴν ἀξίνην συγκρουομένην, καὶ οὕτω μετὰ μικρὸν τὸν κτύπον ἀκούεις.

ι'. Ἄνωθεν πρὸς τὸν αἰθέρα ἠπλωμένον ὑπάρχει τὸ πῦρ ἐν ὅλῳ τῷ προσώπῳ τοῦ οὐρανοῦ· αὐτὸ γάρ ἐστι τὸ τέταρτον στοιχεῖον, καὶ ἰσομερεῖ τῶν ἑτέρων τριῶν, ὡς μὴ ἰσαζομένων ὁ κόσμος ἀπώλετο ἄν· οἶδε γὰρ ὁ δημιουργὸς πῶς παρεσκεύασεν αὐτά.

ια'. Ὁ μὲν κεραυνὸς οὕτω γίνεται. Συγκρουομένων τῶν **381** νεφελῶν γίνεται, ὥσπερ προείπομεν, κτύπος, καὶ μετὰ τὸν κτύπον γίνεται πῦρ. C Τὸ δὲ πῦρ ἐκεῖνο ἐὰν τύχῃ καὶ συνουσιάσῃ μετὰ κομήτου, οὐ χλιαίνει ὡς οἱ κομῆται, ἀλλὰ ἐπὶ γῆς ἐπεισέρχεται καὶ φθείρει· θανατοῖ καὶ ἀπειλοῖ,

obscuratam lunam significare, occidentales principes Christianos, conspiratione facta, adversus Turcas profecturos eosque devicturos esse. Atque Turcæ ipsi, ista cum viderent, in timorem haud levem sollicitudinemque inciderunt. Quin etiam, cum noctibus illis plena luna esset, fulgura et tonitrua non cessabant quavis vespera usque ad secundam vigiliam. Mane autem terra tremebat mediocriter per dies octodecim. Æstus solis per idem tempus haud levis erat.

Enimvero disseramus paucis de natura cometarum, fulgurum, tonitruum, fulminum, motuum terræ et elementorum. Docebo equidem pro viribus de his rebus. Audi igitur.

8. Cometæ dicuntur phænomena a terra in cœlum sublata, quos nonnulli astra appellant, nescii, quid dicant. Alii dæmones eos esse dicunt, qui et ipsi nesciunt, quid dicant, et graviter blasphemant. Dæmonia enim non clara, sed obscura sunt, nec humanis oculis cerni possunt. Quare istud qui dicunt, nugantur et peccant. Si autem astra essent et inde ab omni tempore caderent, cœlum non foret astris distinctum. Itaque neque astra, neque mali spiritus, sed cometæ sunt. Cometæ enim hoc modo nascuntur. Venti supra terram et per aerem flantes tenuissimam terræ materiem ad ignem cœlestem auferunt, nec descendit ea materies ventorum vi avecta, nisi dum silent venti. Tum excidunt ventis materie repletis et in speciem folii laurei effusis; quippe igne superiore inflammatus ventus cum materie formam talis folii induit. Sic igitur cometæ nascuntur. Si in frigus ventus ignitus incidit, rursus obscurus fit et miscetur cum sui simili aere.

9. Fulgur hoc modo fit, ut luctantibus ventis, et nebulis ventorum vi collisis, fragor oriatur, fragore autem ignis avellatur a cœlesti igne. Tonitru autem prius fulgure fit; sed quoniam visum acriorem habemus, prius fulgur videmus, deinde audimus tonitru, quia auditus lentior est. En tibi ejus rei documentum. Si quis procul a te ligna cædit, vides asciam immissam, paulo post demum sonitum audis.

10. Sursum per æthera dispersus est ignis toto spatio cœli. Id enim quartum elementum est, cæteris tribus æquabile. Nam si æquabilia non essent, periret mundus. Atenim novit rerum auctor, quomodo ea constituerit.

11. Fulmen hoc modo fit. Nebulis collisis, fragor, ut ante dixi, et post eum fragorem ignis efficitur. Qui ignis cum cometa junctus, non calefacit, sicut cometæ, sed in terram delatus evertit: occidit ac

Digitized by Google

ἀλλ' οὐ καίει, ὡς λέγουσί τινες. Καὶ οὕτως γίνεται ὁ κεραυνὸς, ὅνπερ ἡμεῖς λέγομεν ἀρκόν.

ιβ'. Περὶ δὲ σεισμοῦ ἄκουσον, καὶ ὅσον κατὰ δύναμιν δηλώσω ὑμῖν, ὅτι μετὰ καθαρᾶς ἀποδείξεως τοῦτο τὸ τοῦ Θεοῦ μέγα μυστήριον ἀποδεῖξαι οὐ δύναμαι, ὅτι τῶν τοῦ Θεοῦ κριμάτων καὶ προνοίας αὐτοῦ καὶ βάθος καὶ ὕψος τῆς αὐτοῦ σοφίας ἐξιχνιάσαι ἀνθρωπίνη οὐ δύναται γλῶσσα, ἀλλ' οὐδὲ γνώσει ἐπ' αὐτὰ συνιεῖ, οὐδ' αὐτὸς ὁ θαυμάσιος Παῦλος ἰσχύει ἐξιχνιᾶν τὰς ὁδοὺς Κυρίου· ἀλλ' ὡς εὔσπλαγχνος ὢν οἰκτίρμων καὶ πολυέλεος καὶ ἄπασαν σοφίαν καὶ σύνεσιν φιλανθρώπως τῷ τοῦ αὐτοῦ ἐχαρίσατο πλάσματι, οὕτω γνωρίζει ἡμῖν ὅτι πᾶσα κτίσις κινεῖται, ὡς προείπομεν, ὑπὸ τῶν τεσσάρων στοιχείων, ὧν τὰ μὲν δύο εἰσὶν εὐφερῆ, ὡς ἐλαφρώτερα κουφιζόμενα ἐν τῷ αἰθέρι· ἀλλ' οὔτε ἄνωθεν ἐκλείπουσιν οὔτε κάτωθεν· ἀλλ' ὅπου οὖν εἰσιν οὐδὲ ἵστανται, οὐχ, ὡς λέγουσιν, οὐ φθάνουσιν, ἀλλὰ καὶ ἐκεῖθεν δυνάμει αὐτῶν ἐνεργοῦσιν. Ἐν δὲ τῷ οὐρανῷ οὐκ ἔστι γῆ· ἀλλ' ὁ κονιορτὸς αὐτῆς λαυροειδὴς γίνεται σὺν τῷ ἀέρι, καὶ ἐκχεῖται πεπυρακτωμένος, καὶ ἐμφανὴς τῷ κόσμῳ τῷ κάτω φαίνεται. Ἐν δὲ τῇ γῇ οὐκ ἔστι πῦρ· ἀλλὰ τοῦ πυρὸς αἱ δυνάμεις πολλάκις ἐπὶ γῆς ἐνεργοῦσιν. **382** Οὕτω; δὲ ἐν τῷ οὐρανῷ ὕδωρ, ἀλλὰ καὶ αἱ νεφέλαι αὐτὸ πρὸς οὐρανοὺς ἀνάγουσι. Γέγραπται γὰρ ὅτι καὶ ὑπεράνω τῶν οὐρανῶν ὕδωρ ὑπάρχει· ἄλλο γὰρ τὸ ὑπερκόσμιον καὶ ἄλλο τὸ ἐν κόσμῳ φαινόμενον. Τοιουτοτρόπως ὁ ἀὴρ ἰσχυρόν ἐστι στοιχεῖον, καὶ ἄνωθεν καὶ κάτωθεν ἐνεργεῖ πολλάκις καὶ σημεῖα καὶ τέρατα ποιεῖ. Ἐξ ὑσχάτου τῆς γῆς ἀνάγει νεφέλας σὺν ὕδατι πρὸς οὐ-

A ρανοὺς, ἀστραπὰς ποιεῖ, βροντὰς τρανοτάτας καὶ φοβερὰς ὥστε καὶ οἱ οὐρανοὶ σείονται καὶ ἠχοῦσι· καὶ τῷ πυρὶ συνενοῦται καὶ κεραυνοὺς ποιεῖ διὰ πυρός. Καὶ πάντας ὁ ἀὴρ ἐκθροεῖ καὶ ταράττει· τὴν θάλασσαν μετατιθεῖ καὶ ἐκ βυθοῦ ἀμετρήτου συνταράττει, καὶ πάντα κυμαίνει ἐν ἐξουσίᾳ πολλῇ· περικυκλοῖ τὴν γῆν· αὐτὸ γὰρ τὸ στοιχεῖον ἰσχυρότερον πάντως καὶ πολεμικὸν ὑπάρχει. Διὰ τοῦτο καὶ ὑπ' αὐτοῦ ὁ σεισμὸς γίνεται καὶ πᾶσα ἡ κτίσις κινεῖται· ἡ γὰρ γῆ, ὡς εἴρηται, οὐ βαστάζεται ὑπὸ οὐδενός.

ιγ'. Ὁ μὲν ἀὴρ πρωτόκτιστον πάντων ὑπάρχει στοιχεῖον, ὑπὸ δὲ τοῦ ἀέρος τὸ ὕδωρ γεννᾶται· καὶ οὕτως ἀέρος ἐξερχομένου ἐκ τοῦ στόματός σου καὶ ὑποπίπτοντος εἰς τὴν σὴν πολιὰν γίνεται δροσία, ὡς ὑπὸ τεσσάρων στοιχείων καὶ ὁ ἄνθρωπος συνηρμοσμένος ὑπάρχει καὶ πᾶσα ἡ κτίσις. Τὸ δὲ ὕδωρ χοῦν ἀποτελεῖ. Εἰ βούλῃ, τοῦτο ὄψῃ ἀληθῶς. Λάβε **383** ὕδωρ ἀπὸ βροχῆς καθαρὸν ἐν ὑελίῳ ὑδρίᾳ, καὶ ἄφες αὐτὸ τὸ ὕδωρ ἕως οὗ ἐκλείπῃ, καὶ εὑρεῖς χοῦν, ὡς εἴπομεν. Ὁ δὲ χοῦς γεννᾷ λίθον καὶ σίδηρον καὶ πῦρ ἀποτελεῖ.

Ἐνταῦθα εἰπόντες τὴν τῶν στοιχείων καὶ ἄλλων τινῶν διήγησιν ἐν συνόψει, τὰ νῦν τὰ τῆς ἡμετέρας ἱστορίας αὖθις ἀψώμεθα.

ιδ'. Τῷ αὐτῷ δὴ φθινοπώρῳ, τοῦ ,ςϡξβ' ἔτους δηλονότι, τελέως ἐπανέστησαν οἱ τῆς Πελοποννήσου Ἀλβανῖται κατὰ τῶν δεσποτῶν καὶ αὐθέντων αὐτῶν, καὶ τὸν Καντακουζηνὸν Μανουὴλ δεσπότην τάχα πεποιήκασι, περὶ οὗ οὐκ οἶδα τί εἰπεῖν, πόθεν καὶ διὰ τί οὕτως ἐπεχειρίσθη. Τῷ δὲ Δεκεμβρίῳ τοῦ αὐ-

B

C

τοῦ ἔτους ἐλθόντος πάλιν τοῦ Ἀμάρη υἱοῦ τοῦ Του-

dejicit, nec urit tamen, ut nonnulli dicunt. Sic fulmen fit, quod vulgo ἀρκὸν appellamus.

12. De motibus terræ jam audi, quos pro viribus explicare conabor, quandoquidem perfecta declaratione magnum hoc mysterium Dei explanare nequeo, quoniam judiciorum, providentiæ et sapientiæ divinæ altitudinem nec lingua humana eloqui nec mens perspicere potest adeo ut ipse divus Paulus vias Domini investigare se non posse fateatur. Sed cum probenevolentia et misericordia sua omnem sapientiam et cognitionem benigne impertiverit creaturæ suæ, tum edocet nos, totum mundum, ut diximus, quatuor elementis contineri, quorum duoleviorasunt et versus cœlum sublimia, attamen nec supra nec infra plane deficiunt; nec ubi constituta non sunt, eo non perveniunt, sed ibi quoque vim suam exercent. In cœlo non est terra: sed pulvis speciem folii laurei cum aere induit et ignitus effunditur et ex inferiore terra conspicitur. In terra non est ignis: sed vis ignis sæpe in terra efficax est. Ita nec aqua in cœlo est, sed tamen nebulis eo attollitur. Quod enim in sacris Litteris est, etiam supra cœla aquam esse, alia est supra mundum, alia in mundo aqua. Similiter aer validum elementum est, et tum supra tum infra vim suam exercet ac signa et prodigia efficit. Ex extrema terra nebulas cum aqua in cœlum attollit, fulgura excitat et to-

nitrua acerrima et terribilia, ita ut etiam cœla contremant et personent, atque, igni junctus, fulmina efficit. Ita aer omnes homines terret et turbat, mare ciet et ex altitudine immensa concitat, cuncta agitat vi ingenti, terram circumdat. Adeo id elementum validum et vehemens est. Ex hoc igitur motus terræ oriuntur, quibus universa natura concutitur. Terra enim, ut dictum est, a nemine portatur.

13. Aer primus ex elementis conditus est, ex aere autem aqua nata. Ita aere ex ore tuo exeunte et adhærente barbæ, ros nascitur, quoniam e quatuor elementis etiam homo cum universa natura compositus est. Aqua limum efficit: quod, si velis, ita experiare. Collige aquam puram urna vitrea, et emitte eam, donec deficiat, atque invenies limum, ut diximus. Limus autem lapidem gignit et ferrum atque ignem creat.

In conspectu posita elementorum et aliarum quarumdam rerum natura, redeat jam, unde digressa est, narratio.

14. Eodem autumno, anni 6962, Albanitæ Peloponnesii adversus despotas et principes suos manifestam moverunt seditionem et Manuelem Cantacuzenum despotam crearunt, de quo non habeo dicere, unde et cur id egerit. Decembri ejusdem anni Amares, Turachanis filius, despotarum rogatu cum exercitu ad eos adjuvandos advenit: qui

Digitized by Google

λιον εἰς τὸν κόσμον ἅπαντα οὐ μετὰ βίας οὐδὲ μετ' ἀνάγκης οὐδὲ μετὰ ξίφους καὶ σπάθης, ἀλλ' ἐν ἀγάπῃ καὶ ἱλαρότητι καὶ ἐν ταπεινώσει εὑρίσκοντο διδάσκοντες οἱ ἀπόστολοι τὸν λόγον τοῦ Θεοῦ. Καὶ ἀντέστραπται τὰ πράγματα. Τῶν γὰρ ἀποστόλων τυπτομένων, κολαφιζομένων, λοιδορουμένων, διωκομένων, διδασκόντων οὐ κατέπιπτε τὸ κήρυγμα, ἀλλ' ἡμέρᾳ τῇ ἡμέρᾳ ἐμεγαλύνετο καὶ ηὐξάνετο τὸ τοῦ Χριστοῦ εὐαγγέλιον. Καὶ ἐκεῖνοι οἱ πολλὰ σπουδάζοντες καὶ πολλὰ κεκοπιακότες καλύψαι τὸ τοῦ Χριστοῦ ὄνομα, ἵνα μὴ ὁμολογήσῃ αὐτὸν τις τῶν ἀνθρώπων Θεὸν, ὁ δὲ τοῦτο τολμήσων θανάτῳ ἀποθανεῖται, αὐτοὶ ἐκεῖνοι κατανοήσαντες τὴν ἀλήθειαν, προσέπεσον καὶ προσεκύνησαν, οἱ μὲν τοῖς ἀποστόλοις, οἱ δὲ τοῖς ἐκείνων διαδόχοις καὶ μαθηταῖς, καὶ ἐπίστευσαν ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, ὁ Χριστὸς, αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἐλυποῦντο καὶ ἔκλαιον τὰς παρελθούσας ἡμέρας, ἃς περιεπάτησαν ἐν τῇ σκοτίᾳ καὶ τῇ πλάνῃ τοῦ Σατανᾶ. Ὁ δὲ πανάγαθος Θεὸς καὶ ἐλεήμων ἐδέξατο αὐτῶν τὴν μετάνοιαν, καὶ αὐτοὺς τοὺς διώκοντας τὸ τοῦ Χριστοῦ ὄνομα κατέστησε ποιμένας **357** καὶ διδασκάλους καὶ κήρυκας τοῦ Εὐαγγελίου καὶ τοῦ ὀνόματος αὐτοῦ. Καὶ λαβόντες οἱ πάντες τὸ εὐαγγέλιον μετέγραψαν καὶ εἶχον αὐτὸ εἷς ἕκαστος, καὶ ἀνεγίνωσκε καὶ ἐμάνθανε καὶ ἐδιδάσκετο καὶ προσεκύνει τὰ ἐν αὐτῷ γεγραμμένα. Καὶ οὕτως διεδόθη εἰς τὸν ἅπαντα κόσμον τὸ Εὐαγγέλιον, καὶ εἶχον αὐτὸ πάντες οἱ κατοικοῦντες τὴν γῆν. Ἀπὸ γοῦν τοῦ Χριστοῦ ἕως οὗ ἤρξατο διδάσκειν ὁ Μωάμεθ παρῆλθον χρόνοι ἐπέκεινα τῶν πεντακοσίων· μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου τῶν πεντακοσίων χρόνων τίς ἔμελλεν τολμήσειν ἐκβαλεῖν τὸ τοῦ Μωάμεθ ὄνομα ἀπὸ τοῦ Εὐαγγελίου, εἴπερ εὑρίσκετο ἐν αὐτῷ γεγραμμένον; Τὸ μὲν ὅτι μίαν καὶ μόνην λέξιν ὁ τολμήσας προσθήσειν ἢ ἐκβαλεῖν οὐ δύναται πλέον ἐκεῖνος ὀνομάζεσθαι Χριστιανός· τὸ δὲ ὅτι εἴπερ καί τις κακὸς, ὁποθώμεθα, ἐξέβαλέ τινα λέξιν ἀπὸ τοῦ Εὐαγγελίου, ὁ ἕτερος ἅπας κόσμος ἀκολουθήσειν ἔμελλε τῷ τοῦ ἑνὸς ἀτοπήματι; Πάντως οὐχί. Ἀπὸ γοῦν τούτου ἀναφαίνεται ὅτι οὐκ ἦν γεγραμμένον τὸ ὄνομα τοῦ Μωάμεθ ἐν τῷ Εὐαγγελίῳ. Ἢ ὡς καλὸν ἔμελλε μαρτυρήσειν ὁ Χριστὸς ἐκεῖνον ἢ ὡς κακόν· καὶ εἰ μὲν ὡς καλὸν, ἔμελλον ἐκδέχεσθαι πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντες οἱ τοπάρχαι, πάντες οἱ Χριστιανοὶ τὸν παρὰ τοῦ Χριστοῦ μαρτυρηθέντα, ἵνα λάβωσι τὴν ἀπὸ τούτου ὠφέλειαν· εἰ δ' ὡς κακὸν, πάλιν ἔμελλον ἔχειν τὰ ἐκείνου **358** γνωρίσματα καὶ φυλάττεσθαι ἐξ αὐτοῦ, ἵνα μὴ βλαβῶσι· καὶ εἴτε ὡς ἐκδεχόμενοι τὸν καλὸν εἴτε ὡς ἀποστρεφόμενοι τὸν κακὸν, οὐδὲν ἔμελλεν ἐκβαλεῖν ἅπας ὁ κόσμος ἐκ τοῦ Εὐαγγελίου τὸ τοῦ Μωάμεθ ὄνομα. Καὶ ἀπὸ τούτου ἀναφαίνεται ὅτι οὐκ ἦν γεγραμμένον ἐν τῷ Εὐαγγελίῳ τὸ τούτου ὄνομα. Ἔτι οὐδείς ἐστιν ὁ φθονῶν ἑτέρῳ πρὶν τῆς γεννήσεως αὐτοῦ· τίς γοῦν ἔμελλε φθονήσειν τῷ Μωάμεθ πρὸ τῆς αὐτοῦ γεννήσεως; Πάντως οὐδείς. Εἰ δ' ἴσως ἐφθόνησεν αὐτῷ τις μετὰ τὴν αὐτοῦ γέννησιν, πῶς ἔμελλεν ἀκολουθήσειν ἅπας ὁ κόσμος τῷ πρὸς τὸ Μωάμεθ ἑνὸς φθόνῳ; Καὶ τίς παράφρων οὕτως ὥστε μὴ λογίσασθαι τοῦτο τὸ ἀδύνατον; Καὶ ἀπὸ τούτου ἀναφαίνεται ὅτι οὐκ ἦν καταγεγραμμέ-

parte Europæ et per insulas ac regiones a Græcis habitatas innotuit. Ita Evangelium per totum orbem terrarum non vi et violentia, nec ense et gladio, divulgatum est, sed pie et læte et modeste apostolis verbum Dei docentibus. Eratque rerum quasi repugnantia quædam. Nam cum apostoli persequerentur, flagellarentur, conviciis afficerentur, exagitarentur inter docendum, non oppressa est eorum doctrina, sed in dies nova incrementa capiebat et lætius efflorescebat Evangelium Christi. Qui enim multum operæ impendebant multumque enitebantur, ut occultarent nomen Christi, ne quis eum Deum esse crederet (quod qui conabitur, morte periturus est), illi ipsi igitur, cognita veritate, adorarunt et venerati sunt apostolos vel successores et discipulos eorum, atque crediderunt, eum verum Deum et Christum et Filium Dei vivi esse, ac lugebant et lamentabantur de tempore præterito, quo tenebris et erroribus Satanæ obstricti fuerant. Deus autem optimus et misericors accipiebat mutationem mentis eorum, et hos ipsos, qui persequebantur nomen Christi, pastores et magistros et nuntios verbi et nominis sui faciebat: qui omnes Evangelium sibi compararunt et descripserunt, ac legebat, discebat, docebatur et adorabat quisque, quæ in eo scripta erant. Ita igitur per totum orbem terrarum Evangelium divulgatum est, eratque in manibus omnium, qui terram habitabant. A Christo autem ad id tempus, quo Mohametes docere cœperat, anni amplius quingenti præterierunt. Jam vero cum annos quingentos lectum esset Evangelium, quis Mohametis nomen inde ejicere ausus sit, si quidem in eo scriptum fuerit? Nam primum qui vel unum vocabulum addere aut demere voluerit, non jam poterit Christianus haberi; deinde fac, malum quempiam hominem vocabulum aliquod ejecisse ex Evangelio; num reliquus totus orbis terrarum hujus unius fraudem probaverit? Minime profecto. Hinc igitur patet, non scriptum fuisse in Evangelio nomen Mohametis. Deinde aut bonum aut malum eum appellaturus erat Christus: si bonum, omnes reges orbis terrarum, omnes principes, omnes Christiani a Christo probatum prophetam amplexuri erant, ut fructum ex eo perciperent; sin malum, servaturi erant indicia, unde eum cognoscerent, et cauturi, ne laberentur. Neutiquam autem, sive bonum probarunt, sive spreverunt malum, per totum orbem terrarum nomen Mohametis ex Evangelio ejecturi erant. Manifestum igitur est, nomen ejus non scriptum fuisse in Evangelio. Nec vero quisquam ulli homini nondum nato invidet. An quis Mohameti inviderit antequam natus esset? Profecto nemo. Si quis autem jam nato Mohameti inviderit, num totus orbis terrarum in unius hominis invidiam concessurus erat?

Digitized by Google

νον τὸ τοῦ Μωάμεθ ὄνομα ἐν τῷ Εὐαγγελίῳ. Ἔτι εἰ μὲν ἔλεγον οἱ Ἰσμαηλῖται ὅτι μόνον ἐν τῷ Εὐαγγελίῳ εὑρίσκετο γεγραμμένον τὸ τοῦ Μωάμεθ ὄνομα καὶ ἐξέβαλον αὐτὸ οἱ Χριστιανοί, καὶ οὕτως ἀρκεταί εἰσιν αἱ ἀποδείξεις ἃς λέγομεν, ἵνα φανῇ τὸ ἀληθὲς, ὅτι οὐδὲν αὐτοὶ λέγουσιν ἀληθές· ἐπεὶ δὲ λέγουσιν ὅτι ἐν τῇ γενέσει τῇ συγγραφείσῃ παρὰ τοῦ Μωϋσέως εὑρίσκετο γεγραμμένον, πῶς ἐξέβαλον αὐτὸ ἐκ τῆς παλαιᾶς οἱ Ἑβραῖοι; Θὐδὲ γὰρ εὑρίσκεται ἐκεῖσε ὅλως ἴχνος σημείου περὶ τοῦ Μωάμεθ. Καὶ ἰδοὺ ὡς οἱ Μουσουλμάνοι λέγουσι, φθονήσαντες οἱ Χριστιανοὶ ἐξέβαλον τὸ ὄνομα ἐκείνου· οἱ δὲ Ἑβραῖοι διὰ τί; Καίτοι γε εἰς τε τὴν περιτομὴν καὶ ἄλλα τινὰ, εἰς τροφάς φημι καὶ ἕτερα ἔθιμα, συμφωνοῦσιν οἱ Μουσουλμάνοι **359** μετὰ τῶν Ἑβραίων. Ἰδοὺ γοῦν καὶ ἀπὸ τούτου ἀναφαίνεται ὅτι οὔτε ἐν τῇ παλαιᾷ Μωσαϊκῇ βίβλῳ εὑρίσκετο τὸ τοῦ Μωάμεθ ὄνομα οὔτε ἐν τῷ εὐαγγελίῳ.

Καὶ ταῦτα μὲν οὕτως, ἵνα καὶ τὸν πάντη ἀγνώμονα ἀγάγωμεν εἰς τὴν τῆς ἀληθείας γνῶσιν.

ε'. Ἀσεβὴς εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονεῖ, φησὶν ὁ θαυμάσιος Σολομών· καὶ τίς ἀσεβέστερος τοῦ Μωάμεθ; ποῖον δὲ βάθος κακῶν, μᾶλλον δὲ σκότος, εἰς ὃ οὐκ ἐνέπεσεν ὁ δύστηνος οὗτος; καὶ γὰρ μετὰ τῶν ἄλλων πλασμάτων καὶ τεράτων ψευδῶν ἐπλάσατο καὶ τὴν παροῦσαν ἄθεσμον θεωρίαν, ἔχουσαν ἐπὶ λέξεως οὕτως, ἐν τῷ κεφαλαίῳ τῶν υἱῶν· Ἰσραὴλ « Αἶνος τῷ ποιήσαντι διελθεῖν τὸν δοῦλον αὐτοῦ ἐν μιᾷ νυκτὶ ἀπὸ τοῦ εὐκτηρίου τοῦ Ἐλαρὰμ, ὅ ἐστιν οἶκος Μεκκὲ, μέχρι τοῦ πορρωτάτου εὐκτηρίου, ὅ ἐστιν οἶκος ἅγιος Ἱερουσαλήμ, ἣν εὐλογήσαμεν. Ὁ Μαχούμετ ἐν μιᾷ τῶν ἡμερῶν, μετὰ τὸ ψᾶλαι αὐτὸν τὴν ὥραν αὐτοῦ, εἶπεν τοῖς ἀνθρώποις, Ὦ ὑμεῖς ἄνθρωποι, κατανοήσατε. Χθὲς μετὰ τὸ διαστῆναί με ὑμῶν, ἦλθε πρός με ὁ Γαβριὴλ μετὰ τὴν ἑσπερινὴν ψαλμῳδίαν, καὶ εἶπέ μοι, Ὦ Μωάμεθ, ἐντέλλεταί σοι ὁ Θεὸς ἐπισκέψασθαι αὐτόν. Ὦ εἶπον, Καὶ ποῦ αὐτὸν ἐπισκέψομαι; Καὶ εἶπεν ὁ Γαβριὴλ, Ἐν τῷ τόπῳ ὅπου ἔστι. Καὶ ἤγαγέ μοι κτῆνος, μεῖζον μὲν ὄγου, ἔλαττον δὲ ἡμιόνου· καὶ τὸ ὄνομα **360** αὐτοῦ Μπεράκ. Καὶ εἶπέ μοι, Ἀνάβαινε τούτῳ, καὶ ἔλαυνε αὐτὸ μέχρι τοῦ οἴκου τοῦ ἁγίου. Καὶ ὡς ἐφρόντιζον ἀναβαίνειν, ἔφυγε τὸ κτῆνος. Καὶ εἶπεν αὐτῷ, Ἵστασο ἀσφαλῶς· ὁ Μαχούμετ γάρ ἐστιν ὃ σε βουλόμενος ἀναβῆναι. Καὶ ἀπεκρίθη τὸ κτῆνος, Μὴ ὑπὲρ αὐτοῦ ἀπεστάλην; Ἀπεκρίθη ὁ Γαβριὴλ, Ναί. Καὶ εἶπε τὸ κτῆνος, Θὐ συγχωρήσω αὐτῷ ἀναβῆναι, εἰ μὴ πρότερον ὑπὲρ ἐμοῦ τοῦ Θεοῦ δεηθείῃ. Ἐγὼ δὲ ἐδεήθην τοῦ Θεοῦ ὑπὲρ τοῦ κτήνους, ἐπέβην τε ἐπ' αὐτό. Καὶ περιεπάτει ἐπικαθημένου μου πορείᾳ λεπτῇ, ἐπεστήριζέ τε τὴν χηλὴν τοῦ ποδὸς ἐν τῷ ὁρίζοντι τῆς ὄψεως αὐτοῦ. Καὶ οὕτως ἦλθον εἰς τὸν οἶκον τὸν ἅγιον, ἐλάττονι διαστήματι ἢ ὅσον λίθου βολὴ τελεσθείη. Ἦν δὲ καὶ ὁ Γαβριὴλ μετ' ἐμοῦ, καὶ ἤγαγέ με εἰς ἀπορρῶγα ἐν τῷ οἴκῳ τῷ ἁγίῳ ἐν τῇ Ἱερουσαλήμ. Καὶ εἶπέ μοι ὁ Γαβριὴλ, Κατάβηθι, ὅτι ἀπὸ τῆς πέτρας ταύτης ἀναβήσῃ εἰς τὸν οὐρανόν. Καὶ κατέβην, καὶ ὁ Γαβριὴλ ἠσφαλίσατο μετὰ κύκλου πρὸς τὴν ἀπορρῶγα τὸ κτῆνος τὸ Μπεράκ, καὶ ἐδάστασέ με ἐν τοῖς ὤμοις αὐτοῦ μέχρι τοῦ οὐρανοῦ. Καὶ ὅτε ἤλθομεν πρὸς τὸν οὐρανὸν, ἔκρουσε τὴν θύραν ὁ Γαβριὴλ,

Quis adeo stultus sit, qui fieri hoc non potuisse non intelligat? Itaque hinc quoque manifestum est, Mohametis nomen scriptum non fuisse in Evangelio. Jam si Ismaelitæ nomen Mohametis dicerent in solo Evangelio scriptum fuisse, sed ejectum esse a Christianis, sufficeret ea, quam instituimus, disputatio, ut intelligeretur, quod res est, haud vere istos dicere; sed affirmant iidem, nomen illud in Genesi, a Moyse conscripta, fuisse. Quomodo igitur e Testamento Vetere ab Hebræis ejectum est? Nam ne illic quidem vestigium indicii Mohametis comparet. Ecce autem, Christianos invidia commotos illius nomen ejecisse Musulmani dicunt: qua re commoti Hebræi? Qui quidem circumcisione et aliis quibusdam rebus, velut usu ciborum et institutis aliis, cum Musulmanis concordant. Enimvero vides manifesto, nec in vetusto libro Moysis, nec in Evangelio nomen Mohametis fuisse.

Atque hæc quidem propterea disputavimus, ut etiam plane imperitos ad verum cognoscendum perduceremus.

5. Scelestus in extrema mala delabitur æquo animo, eximius Solomo dicit. Quis autem Mohamete magis scelestus? Et quæ mala sive potius malorum tenebræ, in quas non delapsus sit nequam iste? nam cum reliquis commentis et mendaciis portentosis etiam perversam hanc itineris fabulam, ad verbum translatam, in capite filiorum Israelis narravit. « Laus esto Domino, qui servum suum una nocte a sacello Elarami, quæ est ædes Meccæ, ad longissime distans sacellum duxit, quæ sancta ædes Hierosolymorum est. Mohametes quodam die, postquam psallit horam suam, homines ita allocutus est: Audite, homines. Heri, cum a vobis discessissem, adiit me Gabriel post extremam psalmodiam, et, Mohametes, inquit, jubet te Deus se videre. Cui respondi: Ubinam eum videbo? Tum Gabriel: In loco eo, in quo est, simulque adduxit mihi jumentum majus asino, sed minus mulo, cujus nomen Berac erat. Deinde dixit: Conscende hanc bestiam et vehere ad sanctam ædem. Sed bestia, cum eam conscendere vellem, aufugit. At ille clamavit: Consiste: Mohametes enim te conscensurus est. Respondit bestia: Propter illumne missus sum? Ad quæ Gabriel, Es, inquit. Rursus bestia: Non permittam ei, ut me conscendat, nisi prius pro me Deum precatus sit. Itaque ego Deum precatus pro bestia, conscendi eam. Asportavit me facili itinere, et ungulam pedis in orbe, quo finiebatur visus ejus, ligebat. Ita ego in sanctam ædem perveni breviori spatio, quam quo jactus lapidis conficitur. Comitabatur me etiam Gabriel et duxit me in præcipitium quoddam in æde Hierosolymorum, dixitque: Descende, ut ex hoc saxo ascendas in cœlum. Descendi igitur, atque ligavit Gabriel annulo in præcipi-

Digitized by Google

διαχωρίζον τοὺς Ἑβραίους ἀπὸ τῶν Αἰγυπτίων εἰς τὸ μὴ συνέρχεσθαι τούτους εἰς γάμου κοινωνίαν καὶ ἕνωσιν, τὸ μὲν διὰ τὴν αἰτίαν ἣν φθάσαντες εἴπομεν, τὸ δὲ ἵνα καὶ ἐν τῷ καιρῷ τῆς ἐλευθερίας αὐτῶν ὦσιν ἕτοιμοι καὶ γνώριμοι οἱ Ἑβραῖοι· καὶ γὰρ εἴπερ ἡνοῦντο μετὰ τῶν ἀλλοφύλων, πῶς ἔμελλε φυλάττεσθαι τὸ τοῦ Ἀβραὰμ σπέρμα καὶ γένος; Διά τοι τοῦτο ἐν τῇ ἐρήμῳ εὑρισκόμενοι οὐ περιετέμνοντο τεσσαράκοντα χρόνους· διαβιβάσαντες, ἀλλ' ἐν τῇ Αἰγύπτῳ καὶ μετὰ τὴν ἐκ τῆς ἐρήμου ἔξοδον πάλιν. Καὶ ὁ μὲν τῆς περιτομῆς σκοπὸς ἔχει οὕτως καθὼς καὶ εἴπομεν. Ὁ δ' αὖ ἕτερος ἔχει οὕτως, ὅπως περιτμηθέντες τῇ σαρκὶ ἔλθωσιν εἰς συστολὴν καὶ σωφρονισμὸν τῆς πολιτείας αὐτῶν, καὶ οὐκ ὦσι λάγνοι καὶ ἀκρατεῖς, καὶ ἐντεῦθεν λογίζωνται τὰς πορνείας αὐτῶν ἀντ' οὐδενός, ἀλλ' ἀνάγωνται κατὰ μικρὸν εἰς τὸ ἐξῆς, εἰς ὑψηλοτέραν γνῶσιν καὶ πολιτείαν, ἐπεὶ οὐκ ἐδόθη ὀρθοδοξίας χάριν παρὰ Θεοῦ ἡ περιτομή, ἀλλὰ μόνον δι' ἃς εἴπομεν αἰτίας.

Ὅτι δὲ ἐλθόντος τοῦ Χριστοῦ ἤργησεν ὁ νόμος καὶ οὐδὲ περιτομή ἐστιν, ἀφ' ὧν μέλλεις ἀκοῦσαι πρόσσχες. Τὸ μὲν **339** βάπτισμα παρὰ Θεοῦ δοθὲν ὀρθοδοξίας χάριν ἐδόθη, καὶ διὰ τοῦτο πάντες ἄνδρες καὶ πᾶσαι γυναῖκες βαπτίζονται, ὁ δὲ μὴ βαπτισθεὶς οὐκ ἔστιν ὀρθόδοξος· ἡ δὲ περιτομὴ οὐχ οὕτως, ἀλλὰ μόνον οἱ ἄνδρες περιτέμνονται, αἱ δὲ γυναῖκες οὐχί. Ἔοικε γοῦν ἵνα οἱ μὲν ἄνδρες ὡς περιτετμημένοι ὦσιν ὀρθόδοξοι, αἱ δὲ γυναῖκες ὡς ἀπερίτμητοι ἀσεβεῖς. Βλέπεις πῶς ἄλλος ἐστὶν ὁ τῆς περιτομῆς λόγος, καὶ ἄλλως ποιοῦσιν οἱ Μουσουλμάνοι· οἱ γὰρ αὐτοὶ πάντα ἀπερίτμητον ἀσεβῆ λογίζονται. Καὶ ἰδοὺ αὐτοὶ ἑαυτοῖς μάχεσθε, καὶ ἅπερ ὀρθοδοξίας χάριν τιμᾶτε, ταῦτα ἀπὸ μέρους ἀτιμάζετε.

Καὶ οὐ μόνον εἰς αὐτὸ τοῦτο ἀναφαίνονται οἱ Μουσουλμάνοι ἐναντιοφωνοῦντες πρὸς ἑαυτούς, ἀλλὰ καὶ ἐν ἑτέροις πολλοῖς, ἅπερ οὐκ ἔστι τις χρεία κατὰ τὸ παρὸν λέγειν περὶ ἐκείνων. Ὅμως περὶ ἑνὸς εἴπωμεν. Λέγει ὁ Χριστὸς ἐν τῷ Εὐαγγελίῳ ὅτι ἐὰν μή τις βαπτισθῇ, οὐκ ἔστι τοῦ Θεοῦ οὐδὲ τῆς σωτηρίας· ὁ Μωάμεθ μαρτυρεῖ τὸ Εὐαγγέλιον ἅγιον καὶ τέλειον καὶ εὐθές· οἱ Μουσουλμάνοι τοὺς περιτετμημένους λογίζονται ὀρθοδόξους, τοὺς δὲ βεβαπτισμένους ἀσεβεῖς. Εἰ μὲν οὖν στέργετε τὸν Μωάμεθ ὅτι ἀληθῶς λέγει, πῶς ὀνομάζετε τοὺς βεβαπτισμένους ἀσεβεῖς, καὶ οὐκ ἀκολουθεῖτε τῇ τοῦ Εὐαγγελίου διδασκαλίᾳ, καὶ λογίζεσθε τοὺς μὲν περιτετμημένους κακῶς ποιοῦντας, τοὺς δὲ βεβαπτισμένους εὐσεβῶς, ἀλλὰ τἀναντία φρονεῖτε; Οὐκ ἔστι πρόδηλον ὅτι αὐτοὶ ἑαυτοῖς **340** μάχεσθε καὶ αὐτοὶ ἑαυτοὺς ἀνατρέπετε; Ἀλλὰ ταῦτα μὲν οὕτως.

Ἐπεὶ δὲ ὁ Ἰσμαὴλ, ὃν λέγουσιν οἱ Μουσουλμάνοι ἔχειν προπάτορα, οὔτε μετὰ τῶν Ἑβραίων κατῆλθεν εἰς Αἴγυπτον, ὅτι ἐν ἐκείνῳ χρεία οὐκ ἦν ὥσπερ τοῖς Ἑβραίοις, οὔτε συγκατελογίζετο μετὰ τῶν κληρονόμων τοῦ Ἀβραὰμ, διότι ὁ Θεὸς οὕτως ἐνετείλατο τῷ Ἀβραὰμ εἰπών· « Ἔκβαλε τὴν παιδίσκην μετὰ τοῦ υἱοῦ αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσῃ ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας. » Καὶ ἐξεβλήθη ὁ Ἰσμαὴλ μετὰ τῆς μη-

nens, ne connubii societatem inirent, partim ob eam, quam exposuimus, causam, partim ut tum cum liberandi forent, parati et insignes essent. Nam si juncti fuissent alienis, quomodo servari potuissent Abrahami semen et genus? atque hac de causa circumcisione per eos, quos in deserta regione oberrabant, annos quadraginta non utebantur, sed utebantur ea in Ægypto, et deinde rursus, cum e deserta regione exissent. Circumcisionis alter finis igitur is est, quem diximus. Alter autem ita habet: ut in carne circumcisi ad moderationem et temperantiam vitæ se conformarent, neve lascivi et animi impotentis essent, sed libidinem nihili æstimarent ac paulatim deinceps ad meliorem cognitionem vitamque eveherentur, quandoquidem non orthodoxiæ causa, sed tantum ob eas, quas dixi, causas, circumcisio instituta est.

Cur autem post adventum Christi lex neglecta fuerit nec in usu sit circumcisio, id unde discas, audi. A Deo datum baptisma orthodoxiæ causa institutum est: quapropter omnes et viri et feminæ baptizantur, nec orthodoxus est, qui non est baptizatus. Diversa est ratio circumcisionis, cui in viris locus est, in feminis non est: unde quis colligat, viros utpote circumcisos orthodoxos esse, feminas, quippe quæ non circumcidantur, impias. Vides igitur, diversam esse circumcisionis rationem, et temere agere Musulmanos, qui omnes non circumcisos impios esse existimant. Adeo vobiscum ipsis pugnatis, et quod ob orthodoxiam nunc colitis, id nunc negligitis.

Nec in hac una re Musulmani manifesto sibi repugnant, sed in multis præterea aliis, de quibus nunc dicere nihil attinet. De una tamen exponamus. Christus in Evangelio dicit, nisi qui baptizetur, neminem Dei aut salutis esse. Jam vero Mohametes Evangelium sanctum, perfectum justumque esse dicit, Musulmani autem circumcisos orthodoxos, baptizatos impios esse arbitrantur. Quodsi Mohametem ut vera docentem veneramini, quomodo baptizatos impios appellatis; nec præcepta Evangelii secuti eos, qui circumciduntur, impie, qui baptizantur, pie agere existimatis, sed his contraria sentitis? Nonne in aperto est, vos nobiscum pugnare et vestro vos gladio conficere? sed hæc quidem hactenus.

Deinde Ismael, quem Musulmani auctorem se habere dicunt, nec cum Hebræis in Ægyptum venit, quoniam illi non, ut Hebræis, opus erat, nec numeratus est in hæredibus Abrahami, quandoquidem Deus ita imperavit Abrahamo: «Ejice ancillam cum filio ejus; neque enim ancillæ filium cum filio ingenuæ mulieris heredem esse decet.» Ejectus igitur est Ismael cum Agar matre ab Abra-

Digitized by Google

τρὸς αὐτοῦ Ἄγαρ ἀπὸ τοῦ Ἀβραάμ. Εἰ δ' ἴσως ποτὲ πρὸς τὸν Ἀβραὰμ θεωρίας χάριν ἦλθεν, ἀλλ' οὐχ ὡς υἱὸς καὶ σπέρμα καὶ κληρονόμος αὐτοῦ. Τούτου γοῦν οὕτως ἔχοντος, πόθεν ἔχουσιν οἱ Μουσουλμάνοι τὴν πίστιν οὐκ οἶδα. Διὰ τοῦτο οὐκ ἀναφαίνεται ἀπό τινος πράγματος πρὸ τοῦ Μωάμεθ ἐκ τοῦ Ἀβραὰμ εἶναι τὴν τῶν Μουσουλμάνων πίστιν· ἀλλ' αὐτός ἐστιν ὁ ἀρχηγὸς τῶν τοιούτων δογμάτων, καὶ ὅτι ἀπὸ κοιλίας αὐτοῦ ἐδίδαξεν ὅσα ἐδίδαξεν, οὐκ ἀπὸ Θεοῦ.

Ὅτι δὲ λέγουσιν οἱ Μουσουλμάνοι ὡς γεγραμμένον εὑρίσκεται τὸ τοῦ Μαχούμετ ὄνομα ἐν τῷ Εὐαγγελίῳ, εἰπόντος τοῦ Χριστοῦ περὶ ἐκείνου ὅτι Εὐαγγελίζομαι ὑμῖν ὅτι μετ' ἐμὲ μέλλει ἐλθεῖν ἀπόστολος καὶ προφήτης, ὄνομα αὐτῷ Μωάμεθ· οἱ δὲ Χριστιανοὶ φθονήσαντες ἐξέβαλον αὐτὸ ἐκ τοῦ Εὐαγγελίου· **341** δεῦρο δὴ σκεψώμεθα καὶ περὶ τούτου, καί μοι δοκεῖ ὡς οὐ μὴ κρυβήσεται ἡ ἀλήθεια. Ἄκουσον τοίνυν νουνεχῶς. Τρεῖς εἰσιν νομοθέται οἱ διδάξαντες νόμους καθολικούς· ὁ Μωϋσῆς, ᾧ ἠκολούθησε τὸ γένος τῶν Ἑβραίων· ὁ Χριστός, ᾧ ἠκολούθησαν πάντα τὰ ἔθνη καὶ οἱ εἰς αὐτὸν πιστεύσαντες τὸ πλεῖον μέρος τῶν Ἑβραίων, ἐπεὶ ἀπὸ τούτων οἱ μὴ πιστεύσαντες πολλῷ ἐλάττους εἰσὶν αὐτῶν δὴ τῶν πιστευσάντων καὶ σχεδὸν εὐαρίθμητοι· καὶ ὁ Μωάμεθ, ᾧ ἠκολούθησαν οἱ Μουσουλμάνοι. Ἄνευ τούτων δὴ τῶν τριῶν ἕτερός τις διδάξας καὶ δοὺς νόμον οὐκ ἔστιν. Ἀλλ' ὁ μὲν Μωϋσῆς μεμαρτύρηται ἀπεσταλμένος εἶναι παρὰ Θεοῦ. Ἐξ ἀρχῆς ἕτι ὢν ἐν τῇ Αἰγύπτῳ ἐποίησε σημεῖα καὶ τέρατα μεγάλα, καὶ ἐμάστιξε τὴν Αἴγυπτον, ἐπάξας ἐν αὐτῇ πληγὰς μεγάλας σφόδρα, καὶ ἔπληξε καὶ ἐθεράπευσε, καὶ προέλεγε τὰ γενησόμενα ὡς προφήτης, ὅτι Εἰ μὲν ἀπολύσεις τὸν λαὸν τοῦ Θεοῦ, ἀπόλυσον· εἰ δ' οὔν, τὰ καὶ τὰ συμβήσονταί σοί τε καὶ παντὶ τῷ λαῷ τῆς Αἰγύπτου. Καὶ ὑπισχνούμενος Φαραὼ ποιῆσαι τὸ ῥῆμα Κυρίου ἐθεραπεύετο παρὰ τοῦ Μωϋσέως, ὡς ἐξουσίαν λαβόντος ἀπὸ Θεοῦ. Μετὰ δὲ ταῦτα ἐξέβαλεν ὁ Μωϋσῆς μετὰ βραχίονος ὑψηλοῦ τὸ γένος τῶν Ἑβραίων ἐκ γῆς Αἰγύπτου καὶ τῆς δουλείας τοῦ Φαραώ, καταδιώξας δ' αὐτοὺς ὁ Φαραὼ ἐποντίσθη ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ μετὰ πάσης τῆς στρατιᾶς αὐτοῦ παρὰ τοῦ Μωϋσέως. Μετὰ δὲ ταῦτα περιεπάτει ἐν τῇ ἐρήμῳ χρόνους τεσσαράκοντα ποιῶν θαύματα ἄπειρα. Ἀλλὰ **342** καὶ ἐνώπιον πάντων τῶν Ἑβραίων ἀνέβη ὁ Μωϋσῆς ἐπὶ τοῦ ὄρους Σινᾶ, εἰπόντων τοῦτο τῶν Ἰουδαίων πρὸς αὐτὸν ὅτι Ἀνάβαινε εἰς τὸ ὄρος καὶ γνῶθι τὸ τοῦ Θεοῦ θέλημα· ἡμεῖς γὰρ φωνὴν Θεοῦ ἀκοῦσαι οὐ δυνάμεθα, μήποτε τελευτήσωμεν. Καὶ ὁ λαὸς ἵστατο μακρόθεν τοῦ ὄρους μετὰ φόβου καὶ τρόμου προσκυνοῦντες τῷ Θεῷ τῷ λαλοῦντι τῷ Μωϋσῇ· ὁ δὲ Μωϋσῆς ἀκούων τοὺς λόγους τοῦ Θεοῦ ἔλεγε τούτους τοῖς Ἑβραίοις, καὶ παρευθὺς τὸ λαληθὲν ἐπληροῦτο. Ἀλλ' οὐδέποτε ἐκίνησαν τοὺς τεσσαράκοντα χρόνους ἀπὸ τοῦ τόπου αὐτῶν ἄνευ λόγου τοῦ Θεοῦ. Μωϋσῆς γάρ, φησὶν ἡ Γραφή, ἐλάλει, καὶ ὁ Θεὸς ἀπεκρίνατο φωνῇ. Μετὰ γοῦν τῶν πολλῶν μαρτυριῶν τε καὶ θαυμάτων ἐξέδωκε τὸν νόμον τοῖς Ἰουδαίοις, καὶ ἐδέξαντο τοῦτον καὶ προσεκύνησαν, καὶ παρέλαβον τὸν παρὰ τοῦ Μωϋσέως δοθέντα νόμον ὡς τοῦ Θεοῦ νόμον.

hanc; atque etiamsi Abrahamum videndi causa adierit, non adiit tamen eum ut filius et semen et hæres ejus. Quæ cum ita sint, undenam fidem suam Musulmani habeant, equidem nescio; nec ex ulla re ante Mohametem ab Abrahamo repetenda videtur Musulmanorum fides; sed ipse istius doctrinæ auctor est, et quæcunque docuit, e suo ingenio, non a Deo accepta, docuit.

Quod autem Musulmani dicunt, scriptum esse Mohametis nomen in Evangelio, cum Christus de eo dixerit: «Edico vobis, venturum esse post me apostolum et prophetam, cui Mohametis nomen, » sed expulsum esse ex Evangelio invidia Christianorum, age, etiam de hac re videamus: ac spero equidem, verum non in occulto fore, modo attente audias. Tres legislatores sunt, qui leges generales constituerunt: Moyses, quem Hebræorum natio secuta est; Christus, quem secutæ sunt omnes gentes et major pars Hebræorum, ad fidem ejus conversa, siquidem qui fidem ejus non amplexi sunt Judæi, iis qui eam amplexi sunt, longe pauciores sunt et, prope dicam, facili opera numerandi; atque Mohametes, quem musulmani secuti sunt. præter hos tres, qui legem constituerit ac docuerit, nemo est. Jam Moysem quidem a Deo missum esse, in confesso est. Statim ab initio, cum esset adhuc in Ægypto, signa et miracula magna edidit atque Ægyptum plagis ingentibus castigavit, perterruit et domuit, ac futura ut propheta prædixit, ita locutus: «Si dimissurus es populum Dei, dimitte eum; sin minus, illa vel illa tibi et omni Ægypto eventura sunt.» Atque pollicitus Pharao, facturum se jussum Domini, benigne habitus est a Moyse, cui ita faciendi a Deo data erat potestas. Post hæc Moyses gravi brachio gentem Hebræorum ex Ægypto et servitio Pharaonis eduxit, et persequentem eos Pharaonem cum toto exercitu ejus in mari Rubro submersit. Deinde in regione deserta annos quadraginta oberrans miracula innumera edidit. Et vero coram cunctis Hebræis in montem Sina ascendit, Judæis ita eum cohortatis: «Ascende in montem et disce Dei voluntatem; nos enim vocem Dei audire non sustinemus, ne moriamur.» Itaque populus procul a monte adstabat, cum metu ac tremore Deum cum Moyse colloquentem adorantes. Moyses audita verba Dei statim communicavit cum Hebræis, mandataque illico fieri cœpta sunt. Nec per totos illos quadraginta annos castra moverunt injussu Domini. Moyses enim, ait Scriptura, loquebatur, ac Deus respondebat voce. Multis igitur cum signis et miraculis legem Judæis dedit, quam illi acceperunt et adorarunt: veneratique sunt legem a Moyse datam ut legem Dei.

Digitized by Google

Ἦλθεν ὁ Χριστὸς, καὶ εἶχε τὰς παρὰ πάντων τῶν προφητῶν μαρτυρίας. Καὶ ὁ μὲν Μωϋσῆς ἔλαβε τὴν μαρτυρίαν ὀγδοηκοντούτης· τοσούτων γὰρ ἐτῶν εὑρίσκετο ὁπότε προσετάγη παρὰ Θεοῦ ἐξάραι τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου· ὁ δὲ Χριστὸς εἶχε τὰς μαρτυρίας ἀπὸ καταβολῆς κόσμου, πρὶν ἢ γεννηθῆναι αὐτόν· ἀπὸ γὰρ τοῦ Ἀβραὰμ ἤρξαντο ἀναφαίνεσθαι αἱ τοῦ Χριστοῦ μαρτυρίαι, καθὼς ἐν τοῖς ἔμπροσθεν ἀποδέδεικται. Γεννηθεὶς δὲ πάλιν ἐμαρτυρήθη τὴν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς μαρτυρίαν μίαν καὶ δίς· ἐποίησε δὲ καὶ θαύματα οὐ κατὰ τὸν Μωϋσέα ἐν Αἰγύπτῳ καὶ ἐν τῇ ἐρήμῳ, **343** ἀλλὰ μεγάλα καὶ ὑπὲρ φύσιν, καὶ τοσούτῳ ἐκείνων μείζονα ὅσον διαφέρει Δεσπότης δούλου. Καὶ μετὰ τὰς πολλὰς ἐκείνας μαρτυρίας καὶ τὰ ἄπειρα καὶ ὑπὲρ φύσιν θαύματα ἔκτοτε ἐξεδόθη ὁ τοῦ Εὐαγγελίου νόμος, καὶ προσεκύνησαν καὶ ἠσπάσαντο αὐτὸν πάντα τὰ ἔθνη, πᾶσα ἡ οἰκουμένη, καὶ ἐπίστευσαν εἰς τὸν Χριστὸν τὸν δόντα τὸ Εὐαγγέλιον.

Ὁ δὲ Μωάμεθ οὐτοσὶ πόθεν λαβὼν τὰς μαρτυρίας ἐδίδαξε τὰ ῥήματα ἅπερ ἐδίδαξεν, ἤτοι δόγματα, καὶ ἐξέδωκε τὸν νόμον τοῖς Μουσουλμάνοις; Πάντως οὐκ ἄλλοθεν ἢ αὐτὸς ἀφ' ἑαυτοῦ ἐστὶν ὁ μαρτυρῶν περὶ αὐτοῦ· εἰς γὰρ πᾶσαν τὴν θείαν Γραφὴν οὐκ ἀναφαίνεται περὶ αὐτοῦ μαρτυρία, ἀλλὰ τοὐναντίον. Ὁ γὰρ Μωϋσῆς οὕτως εἴρηκε περὶ τοῦ Χριστοῦ πρὸς τὸν τῶν Ἑβραίων λαὸν, ὅτι Ἀναστήσει Κύριος ὁ Θεὸς προφήτην ἐκ τῶν ἀδελφῶν ἡμῶν ὡς ἐμέ· πᾶσα ψυχὴ, ἥτις οὐκ ἀκούσεται τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται. Κἂν γοῦν καὶ ἐν τοῖς ἔμπροσθεν περὶ τούτου εἴπωμεν, ἀλλ' οὐκ ὀκνήσομεν πάλιν εἰπεῖν περὶ αὐτῶν· ἐν γὰρ τῷ εἰπεῖν τὸν προφήτην Μωϋσῆν ὅτι Προφήτην ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ἡμῶν, ἔδειξεν ὅτι ἐκ τῶν Ἰουδαίων ἐστὶν ὁ μέλλων ἐλθεῖν προφήτης καὶ ἐκείνου ἀκούσονται· ἄλλου δὲ ἐλθόντος οὐ παραδέξονται αὐτὸν, ἀλλὰ καὶ μακρὰν που διώξουσιν αὐτὸν ἐξ αὐτῶν. **344** Λέγει ὁ Χριστὸς περὶ Ἰωάννου τοῦ υἱοῦ Ζαχαρίου, μαρτυρῶν αὐτὸν προφήτην καὶ μέγιστον προφήτην, ὅτι Πάντες οἱ προφῆται ἕως Ἰωάννου προεφήτευσαν, ἀπὸ δὲ τοῦ Ἰωάννου ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται. Ὁρᾷς πῶς ὁ μὲν Μωϋσῆς παραγγέλλει τῷ γένει τῶν Ἑβραίων ὡς ἕνα μόνον τὸν ἐκ τοῦ γένους τῶν Ἑβραίων ἐλθόντα προφήτην δέξωνται, ἄλλον δὲ οὐδαμῶς, ἀλλὰ καὶ πάντες οἱ προφῆται ἐκ τοῦ γένους τῶν Ἰουδαίων εἰσὶν· ὁ δὲ Χριστὸς πάλιν καθαρώτερον εἴρηκεν ὅτι πάντες οἱ προφῆται ἕως Ἰωάννου, καὶ πλέον οὐχί. Διὰ τοῦτο ὁ μὴ ἔχων μαρτυρίαν παρὰ Θεοῦ καὶ τῶν προφητῶν καὶ αὐτῆς τῆς θείας Γραφῆς, προφήτης οὐκ ἔστι παρὰ Θεοῦ· ὁ Μωάμεθ ἄρα μὴ ἔχων τὴν ἀπὸ τῆς θείας Γραφῆς μαρτυρίαν, οὐκ ἔστιν ἀπεσταλμένος παρὰ Θεοῦ.

Οὐ μόνον δὲ τοῦτο εἴρηκεν ὁ Χριστὸς τὸ, Πάντες οἱ προφῆται ἕως Ἰωάννου καὶ περαιτέρω οὐκ ἔσονται· ἀλλὰ καὶ ἔτι σημεῖον γνωρίσματος δέδωκε τοῖς πᾶσιν οὕτως εἰπών· « Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. » Σκεψώμεθα τοίνυν τίς ἐστιν ὁ καρπὸς τοῦ παρὰ τοῦ Μωά-

Venit Christus habuitque omnium prophetarum testimonia. Moyses testimonium accepit anno ætatis octogesimo; tot enim annos natus erat, cum jussus est a Deo, filios Israelis ex Ægypto educere; Christus autem testimonia habuit inde a mundo condito, ante quam natus esset. Nam inde ab Abrahamo testimonia Christi fieri cœpta sunt, quemadmodum supra docuimus. Natus autem Dei Patris testimonium semel atque iterum expertus est; ediditque miracula non qualia in Ægypto et regione deserta Moyses edidit, sed magna et naturam excedentia, tantoque illis majora, quanto servus a Domino distat. Ac post multa hæc testimonia et infinita naturamque superantia miracula constituta est lex Evangelii, quam adorarunt et amplexæ sunt omnes gentes omnisque orbis terrarum, ac professi sunt, qui constituit legem, Christum.

Mohametes iste autem undenam testimonia nactus præcepta sive dogmata docuit, quæ docuit, constituitque legem Musulmanis? Omnino e nullo alio nisi e semetipso de se testimonium habuit. In tota enim sacra Scriptura nullum comparet de illo testimonium, imo alia, quæ ei contraria sint. Moyses enim de Christo ad Hebræorum populum ita locutus est: « Excitabit Deus Dominus e fratribus meis prophetam, sicut me, atque omnis anima, quæ non audiet illum prophetam, pessumdabitur. » De qua re etiamsi jam supra diximus, non recusabimus tamen de eadem iterum dicere. Moyses igitur, cum dicit: « Deus Dominus e fratribus meis prophetam excitabit, » declaravit, e Judæis fore, qui futurus esset, prophetam, eumque iis audiendum esse; alium autem ne reciperent, imo longe a se propellerent. Christus de Joanne, Zachariæ filio, dicit, prophetam eum, et summum prophetam esse testatus: « Omnes prophetæ ad Joannem usque vaticinati sunt, sed inde a Joanne regnum Dei nuntiatur. » Vides, quare Moyses Hebræorum genti ediderit, ut unum modo prophetam ex ipsorum natione oriundum reciperent, nullum alium, cum tamen omnes prophetæ Judæi essent. Ac Christus rursus clarius prophetas omnes ad Joannem usque fuisse, nec fore ullum post, dixit. Jam vero, qui non a Deo nec a prophetis nec omnino a sacra Scriptura testimonium habet propheta, a Deo non est: quare Mohametes, cum non habeat a sacra Scriptura testimonium, non est a Deo missus.

At vero Christus non solum hoc dixit, omnes prophetas ad Johannem usque fuisse, nec fore ullum postea, sed etiam signum cunctis indicavit, his verbis: « Cavete vobis a pseudoprophetis, qui veste ovili induti vos adeunt, intus rapaces lupi sunt. E fructibus agnoscetis eos. » Examinemus jam qua-

Digitized by Google

μεθ δοθέντος νόμου· καὶ τούτου ἀκριβῶς ἐξεταA σθέντος φανερωθήσεται ἡ ἀλήθεια. Ὁ Μωάμεθ λέγει· « Ἐγὼ οὐκ ἦλθον διὰ θαυμάτων δοῦναι τὸν νόμον, ἀλλὰ διὰ σπάθης καὶ ξίφου· καὶ οἱ μὴ ὑποκύψοντες τῷ ἡμετέρῳ νόμῳ, ὃς ἐστι παρὰ Θεοῦ, θανάτῳ ἀποθανέτωσαν, **345** ἢ φόρους διδότωσαν, καὶ διδομένων τῶν φόρων μενέτωσαν ἐν τῇ πίστει αὐτῶν. » Καὶ εἰ μὲν οὐκ ἦν τὸ Εὐαγγέλιον ἅγιον καὶ δίκαιον καὶ ὀρθόν, δικαίως καὶ πρεπόντως ἔμελλεν ἐλθεῖν νομοθέτης ὃς διδάξει τὴν ἀλήθειαν τοῖς ἀνθρώποις καὶ δικαιοσύνην· εἰ δὲ δίκαιον καὶ ἅγιον ἦν, ἀτελὲς δὲ ὅμως, καὶ οὕτως πάλιν τὸ αὐτὸ ἦν δίκαιον καὶ πρέπον, ἵνα ἐλθὼν νομοθέτης ἀναπληρώσῃ τὸ ὑστέρημα τοῦ Εὐαγγελίου. Ἐπεὶ δὲ ἅγιον καὶ δίκαιον καὶ τέλειον καὶ ὀρθὸν καὶ λέγεται καὶ ἔστι, μαρτυρεῖ δὲ καὶ ὁ Μωάμεθ περὶ αὐτοῦ B καὶ ὁμολογεῖ καὶ λέγει ὅτι τὸ Εὐαγγέλιον ἀπὸ Θεοῦ ἐστὶ δεδομένον καὶ ἅγιον καὶ πλῆρες καὶ εὐθές, τίς χρεία λοιπὸν νομοθέτου ἑτέρου; Πάντως οὐδεμία, καὶ λοιπὸν ἄκαιρος καὶ ἄχρηστος ἡ τοῦ Μωάμεθ νομοθεσία· τοῦ γὰρ ὀρθοῦ κατὰ πάντα οὐδὲν ὀρθότερον, καὶ τοῦ τελείου οὐδὲν τελειότερον, καὶ τῆς ἀληθείας οὐδὲν ἀληθέστερον. Ἀλλ' ὅμως ἐξετάσαντες ἴδωμεν τί βούλονται τὰ τοῦ νομοθέτου ῥήματα. Πάντως οὐδὲν, ἀλλ' ἢ κατανοήσας ἑαυτὸν ὅτι μακράν που εὑρίσκεται τῆς ἐνεργείας τῶν θαυμάτων, βουλόμενος κρύψαι τὴν ἑαυτοῦ ἀσθένειαν, μή ποτε παρὰ τῶν ἀνθρώπων εὕρῃ κατάγνωσιν, εἶπεν ὅτι Οὐκ ἦλθον δοῦναι τὸν νόμον διὰ θαυμάτων ἀλλὰ διὰ ξίφους; καὶ σπάθης· ὡς καὶ ἐν ταῖς διαλέξεσιν ἐνC μοθέτησεν ἵνα μὴ διαλέγωνται μετὰ τῶν Χριστιανῶν οἱ τούτου μαθηταὶ καὶ οἱ ἐκείνων διάδοχοι, πάντως οὐ διʼ ἄλλο τι ἢ ἵνα μὴ ἐλεγχθῇ ἡ **346** ἐκείνων ματαιότης. Τὸ δὲ δοῦναι τὸν νόμον μετὰ ξίφους καὶ σπάθης φόνους πάντως καὶ ἁρπαγὰς διδάσκει. Καὶ τίς ἤκουσε τῶν ἀνθρώπων πιστεῦσαί τινα βίᾳ; ἡ πίστις τῆς ψυχῆς καὶ τοῦ νοῦ ἐστί· καὶ ἐπεὶ ἡ ψυχὴ καὶ ὁ νοῦς πρᾶγμά ἐστιν ἀδούλωτον, πῶς ὁ ποιήσας αὐτὰ Θεὸς ἐλεύθερα πέμψειν ἔμελλεν νομοθέτην βιάσαι αὐτὰ, ὥσπερ ἐπιλαθόμενος τοῦ ἔργου αὐτοῦ; Ἡ γὰρ πίστις θελήσει καὶ προαιρέσει καὶ τῇ ἐλευθερίᾳ τῆς ψυχῆς καὶ τῇ γνώσει αὐτῆς γίνεται, ἀλλοτρόπως δὲ οὐδαμῶς. Τὸ γὰρ σῶμα δουλοῦται καὶ δεσμεῖται καὶ ἔστιν ὅτε καὶ τὰ μὴ θέλοντα πράττειν· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως, ἀλλὰ θελήσει καὶ κρίσει καὶ γνώσει καὶ προαιρέσει. Καὶ τῶν πιστευόντων σὺτῷ ἐν κρίσει καὶ ἀληθείᾳ ἔστιν ὁ Θεός· καρδιογνώστης γάρ ἐστιν· οὐδὲ γὰρ βλέπει εἰς πρόσωπον, ἀλλ' εἰς καρδίαν. Καὶ ἅπερ τὰ ἄλογα ζῶα νόμῳ φύσεως οὐ ποιοῦσι, ταῦτα ὁ Μωάμεθ νομοθετεῖ. Τίς γὰρ οἶδε λέοντα λέοντα φαγόντα, ἢ ἄρκτον ἄρκτον, ἢ πάρδαλιν πάρδαλιν; Οὗτος δὲ ἀναφανδὸν διδάσκει φονεύειν τὸν ἄνθρωπον ἄνθρωπον. Καὶ τίς μάταιος, ὅστις μέλλει δέξασθαι τοῦτον εἶναι ἀπὸ Θεοῦ; Οὐδὲ γὰρ ἁρπαγὰς καὶ φόνους διδάσκει Θεός. Πρὸς τούτοις ὅτι καὶ κακία κακίας ἀλλάσσεται. Λέγει γὰρ ὅτι Ἢ ἀποθανέτωσαν ἢ φόρους διδότωσαν, καὶ ἀλλάσσεται φόνος φιλοχρηματίᾳ. Οὐ μόνον δὲ καὶ μέχρι τούτου ἡ κακία **347** ἔστη, ἀλλὰ καὶ περαιτέρω προέβη. Τί γὰρ τῆς τοιαύτης ὠμότητος καὶ μισανθρωπίας χεῖρον γένοιτʼ ἄν, ὥστε φονεύειν μηδὲν ἠδικηκότας; Καὶ γὰρ ὁπόταν ἀπέλ-

lis sit fructus a Mohamete constitutæ legis: qua re bene illustrata, verum apertum erit. Mohametes ita de se profitetur: « Equidem non veni, miraculis legem constitutum, sed ense et gladio: et qui non subjicient se legi nostræ, quæ a Deo est, aut capite multantor, aut pendunto stipendia, et pensis stipendiis perseveranto in religione sua. » Si Evangelium non fuisset sanctum, justum et verum, æquum et consentaneum fuisset, alium venturum esse legislatorem, qui quid verum et justum esset, homines doceret; aut si justum sanctumque, sed imperfectum fuisset, rursus æquum et par fuisset, ut legislator quispiam expleret lacunam Evangelii. Sed cum sanctum, justum, perfectum rectumque et sit et habeatur, atque ipse testetur ac dicat Mohametes, Evangelium a Deo datum, justum, perfectum et verum esse, quid alio præterea legislatore opus est? Plane nulla atque inepta et inutilis Mohametis lex est. Recto enim nihil rectius, perfecto nihil perfectius, vero nihil verius est. Sed tamen examineinus, quid sibi velint legislatoris dicta. Nullam aliam ob causam, nisi quod longe abesse se sentiret a miraculorum faciendorum potestate, imbecillitatem autem suam occultare vellet, ne in vituperia hominum incurreret, sese non miraculis, sed ense et gladio legem constitutum venisse dixit: sicut idem, ne cum Christianis discipuli sui et qui iis successuri essent disputarent, nulla alia de causa vetuit, nisi propterea, ne confutaretur eorum vanitas. Ense autem et gladio legem constituere cædes et rapinas exercere est. At quis unquam audivit, vi coactum quemquam fidem amplexum esse? Fides animi et mentis est. Jam cum animus ac mens servitii expertes sint, quomodo qui libera ea fecit, Deus legislatorem ad vim iis inferendam mittat, tanquam oblitus operis sui? Fides enim voluntate et optione, animique arbitrio et cognitione, nec ulla alia re, efficitur. Nam corpus quidem in servitium redigitur et vincitur, facitque non D nunquam, quæ nolis: mens non item, sed agit semper e voluntate, judicio, cognitione et arbitrio. Adeo Deus prudenter et vere se profitentium Deus est. Corda enim novit, nec personam, sed corda respicit. Quod brutæ bestiæ non faciunt, id Mohametes lege sancit. Quis enim leonem a leone, aut ursum ab urso, aut pantheram a panthera devoratum audivit? Sed iste aperte præcipit, ut homo hominem occidat. Quis igitur tam stultus sit, qui istum a Deo missum credat? Deus non præcipit rapinas et cædes. Deinde ab eodem malum malo remittitur. Dicit enim, ut aut capite multentur, aut stipendia pendant, remittiturque cædes cupiditate habendi. Nec vero ad hoc dunt taxat pravitatis, sed etiam ulterius processum est. Quid

Digitized by Google

θωσι Μουσουλμάνοι πρὸς πόλεμον καὶ ἐν τῷ πολεμῳ πέσῃ τις ἐξ αὐτῶν, οὐ λογίζονται ἑαυτοὺς ἀξίους μέμψεως ὡς αἰτίους τοῦ πολέμου, ἀλλ' ἐπὶ τὸ νεκρὸν σῶμα τοῦ πεπτωκότος σφάττουσι ζῶντας, ὅσους ἂν δυνηθῇ ἕκαστος· καὶ ὅσον πλείους κτείνει, τοσοῦτον λογίζονται ὠφέλειαν τῆς τοῦ τεθνεῶτος ψυχῆς. Εἰ δ' ἴσως οὐκ ἔχει ἀνθρώπους εἰς ἐξουσίαν αὐτοῦ ὁ βουλόμενος βοηθῆσαι τῇ τοῦ τεθνεῶτος ψυχῇ, ἐξωνεῖται Χριστιανούς, εἴπερ εὕροι, καὶ ἢ ἐπάνω τοῦ νεκροῦ σώματος σφάττει αὐτοὺς ἢ ἐπὶ τῷ τάφῳ αὐτοῦ. Καὶ ὁ ταῦτα νομοθετῶν πῶς ἀπὸ Θεοῦ; Ἔτι νομοθετεῖ ὅτι ὁ δοὺς τῇ πόρνῃ μίσθωμα καὶ κοιμηθεὶς μετ' αὐτῆς οὐχ ἁμαρτάνει· καὶ ὁ βιασάμενος παρθένον ἁμαρτάνει, ὁ δὲ μετὰ τῆς θελήσεως αὐτῆς κοιμηθεὶς μετ' αὐτῆς οὐχ ἁμαρτάνει· καὶ ἐὰν αἰχμαλωτίδας τις λάβῃ ἐν πολέμῳ, ἔξεστιν ἐπ' αὐταῖς ποιῆσαι ὃ βούλεται ἀκωλύτως. Ὁ γοῦν πορνείας καὶ παρθενοφθορίας νομοθετῶν πῶς ἀπὸ Θεοῦ;

Καὶ τὸ δὴ χείριστον ὅτι τοὺς κατὰ τὴν ἀποδοχὴν τοῦ Θεοῦ περιπατήσαντας ἐν τῷ παρόντι αἰῶνι μετὰ τὴν ἐνθάδε ἀποδίωσιν αὐτῶν λουτρὰ καὶ οἴκους περικαλλεῖς καὶ γυναῖκας παρθένους ὅτι πολλὰς ὑπισχνεῖται δοθήσεσθαι ἑκάστῳ **348** παρὰ Θεοῦ. Καὶ ὅπερ οἱ τῶν εἰδωλολατρῶν Ἑλλήνων ὀνομαζόμενοι θεολόγοι οὐκ εἶπον οὐδὲ ἐνόμισαν εἶναι, ταῦτα ὁ Μωάμεθ ἀνακεκαλυμμένῳ τῷ προσώπῳ νομοθετεῖ. Ἐκεῖνοι γὰρ οὕτως λέγουσιν, ὅτι οἱ μὲν καλῶς ἐνθάδε βιώσαντες, ἐπὰν ἀποθάνωσι καὶ καθαρῶς ἀποδημήσωσιν αἱ ψυχαὶ ἀπὸ τῶν σωμάτων, εἰς τοὺς θεοὺς ἀπέρχονται καὶ μετὰ τῶν θεῶν εὑρίσκονται εἰς τὰς τῶν μακαρίων νήσους καὶ μετ' αὐτῶν συναγάλλονται· τῶν δὲ κακῶς ἐνθάδε βιωσάντων καὶ ἀκαθάρτων καὶ μεμολυσμένων ἀπελθόντων αἱ τούτων ψυχαὶ εἰς ζοφώδεις καὶ σκοτεινοὺς ἀπέρχονται τόπους καὶ εἰς τὸν ποταμὸν τὸν Πυριφλεγέθοντα. Καὶ οἱ μὲν εἰδωλολάτραι Ἕλληνες ἔλεγον ταῦτα· ὁ δὲ Μωάμεθ, ὃς ὀνομάζει ἑαυτὸν ὀρθόδοξον καὶ πλησίον τοῦ Θεοῦ εὑρισκόμενον, λέγει καὶ νομοθετεῖ τοιαῦτα ἀτοπήματα αἰσχρὰ, καὶ οὐκ ἔχει ἐνθύμησιν ὅλως ὅτι ταῦτα πάντα ὀργῆς καὶ ἀποστροφῆς ἔργα καὶ τῆς ἁμαρτίας ἀποτελέσματά εἰσι. Πρὸ γὰρ τῆς παραβάσεως καὶ ἁμαρτίας τοῦ Ἀδὰμ ποῦ λουτρὰ, ποῦ ὅλως οἰκήματα, ποῦ αἱ πολλαὶ γυναῖκες; Ἀλλὰ μετὰ τὴν ἁμαρτίαν καὶ τὴν κατάραν ἐπανέστη τὸ σῶμα ὥσπερ θηρίον κατὰ τῆς ψυχῆς τῆς μὴ ἐχούσης καθολικῶς τὴν τοῦ Θεοῦ ἐπίσκεψιν. Ἴσχυσε τὸ σῶμα, καὶ κατέσπασε τὴν ψυχὴν ἀπὸ τοῦ ὕψους καὶ τοῦ μεγαλείου αὐτῆς καὶ κατήγαγεν εἰς τὰς παραλόγους καὶ ματαίας σωματικὰς ἐπιθυμίας καὶ ἡδονάς· καὶ ὥσπερ ἀνδράποδον, οὕτως κατεδουλώθη ἡ ψυχὴ εἰς τὰς σωματικὰς ὀρέξεις· εἰ γοῦν μετὰ **349** τὴν ἐκ νεκρῶν ἀνάστασιν οὐδὲν μέλλουσιν εὑρεῖν οἱ κατὰ ἀποδοχὴν τοῦ Θεοῦ πολιτευσάμενοι ἄνθρωποι τὴν μακαρίαν ἐκείνην ζωὴν ἣν ὁ προπάτωρ εἶχεν Ἀδὰμ πρὸ τῆς παραβάσεως καὶ ἀπώλεσεν, ἀλλὰ πάλιν τὴν αὐτὴν ζωὴν μέλλουσι εὑρεῖν ἣν εἶχε μετὰ τὴν κατάραν, οὐαὶ τοῖς ἀνθρώποις ἐκείνοις. Καὶ τὸ δὴ χείριστον ὅτι οὐδὲ μέχρι τῆς ταλαιπώρου ἐκείνης καὶ ἐπαρά-

enim ista immanitate et sævitia cogitari crudelius potest, quam trucidare, qui nihil peccarunt? Quotiescunque enim ad pugnam procedunt Musulmani et eorum quis prælio occiditur, non se criminatione dignos putant, ut auctores belli, sed in occisi cadavere vivos trucidant, quot quisque potest, ac quanto quis plures necat, tanto majorem utilitatem fore putant ad animam occisi. Si non possidet homines, qui mortui animæ opitulari studet, Christianos, si quos reperit, coemit, eosque aut supra cadaver occisi, aut in sepulcro ejusdem jugulat. Talia qui præcipit quomodo a Deo missus sit? Docet idem, qui data pecunia cum meretrice concumbat, eum non peccare; qui per vim virginem stupret, eum peccare, qui autem cum consentiente concumbat, non peccare; quas quis bello ceperit, iis ei uti licere, quemadmodum velit. Atqui stupra et virginum vitiationes qui probat, quomodo a Deo missus sit?

Gravissimum autem est, quod qui ad voluntatem Dei in hac vita se composuerint, iis singulis post mortem balneas et ædes pulcherrimas virginesque plurimas a Deo datum iri pollicetur. Et quod Græcorum idololatrarum theologi non dixerunt nec crediderunt, id Mohametes revelata fronte statuit. Illi enim ita aiunt, qui pulchre hic vixerint, eos post mortem, cum animi e corporum vinculis puri excesserint, ad deos migrare et cum diis versari in beatorum insulis cum iisdemque lætari: contra qui male hic vixerint et impuri atque inquinati excesserint, horum animas in loca tenebrosa et obscura et Pyriphlegetontem fluvium abire. Hæc igitur Græci idololatræ dixerunt. Mohametes vero, qui se orthodoxum esse et coram Deo stetisse jactat, probat docetque fœdas istas nugas, nec ulle modo sentit, quam omnes hæ res libidinosæ et detestandæ sint et peccatum consecutæ. Ante Adami enim peccatum et delictum ubinam balneæ, ubinam omnino ædes, ubinam multæ feminæ? sed post peccatum et exsecrationem corpus tanquam bestia menti, perfecta notione Dei non sustentatæ, inhiabat, superabat eam, atque animam, ex altitudine et magnificentia dejectam, in vanas et insanas libidines voluptatesque corporis adduxit: ac mancipii instar anima cupiditatibus corporis obstricta est. Quodsi, qui ad voluntatem Dei vixerunt homines, post resurrectionem mortuorum non inventuri sint beatam illam vitam, quam Adamus pater ante peccatum egit atque amisit, sed eamdem rursus vitam, quam ille post exsecrationem toleravit, væ hominibus illis! Imo vero, quod miserrimum est, ne acquievit quidem in ærumnosa hac et exsecrata vita Mohametis insania, ut hanc scilicet Deus justis daturum se esse promiserit, sed invenit vitam malis longe insigniorem et vero turpem. Adamus enim post delictum et exsecrationem et e paradiso exsi-

Digitized by Google

του ζωῆς ἔστη ἡ τοῦ Μωάμεθ παραλογία, ἣν δῆθεν ἐπαγγέλλεται ὁ Θεὸς δώσειν τοῖς δικαίοις, ἀλλὰ πολλῷ τῷ χείρονι διαφέρουσαν καὶ αἰσχράν. Ὁ γὰρ Ἀδὰμ μετὰ τὴν παράβασιν καὶ τὴν κατάραν καὶ τὴν ἐξορίαν τὴν ἀπὸ τοῦ παραδείσου ἔγνω τὴν Εὔαν· ἀλλὰ καὶ τοῦτο διὰ τὴν τεκνογονίαν, καὶ ἐτεκνοποίησε· πρὸ δὲ τῆς παραβάσεως ἀγγελικῶς ἔζων. Ὅμως καὶ ὁ Ἀδὰμ εἴπερ ἔγνω τὴν Εὔαν, ἀλλὰ καὶ αὖθις μία καὶ μόνη εὑρίσκετο γυνὴ καὶ οὐ πολλαί. Οὔτε γὰρ ἓν ἄρσεν ἐποίησεν ὁ Θεὸς καὶ πολλὰ θήλεα, οὔτε πολλὰ ἄρρενα καὶ ἓν θῆλυ, ἀλλ' ἓν ἄρσεν τὸν Ἀδὰμ καὶ ἓν θῆλυ τὴν Εὔαν· πληθυνθέντος δὲ τοῦ γένους τῶν ἀνθρώπων καὶ πεσόντος εἰς ὀσελγείς καὶ ἀθεμίτους πράξεις ἐβαρύνθη ὁ Θεὸς καὶ ὠργίσθη κατ' αὐτῶν, ὡς ὁ μακάριος Μωϋσῆς γράφων εὑρίσκεται ἐν τῷ βιβλίῳ τῆς Γενέσεως ὅτι εἶπεν ὁ Θεός· « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐπ' αὐτοὺς διὰ τὸ εἶναι αὐτοὺς σάρκας, » ὡς δῆθεν ὅλως σαρκικοὺς γεγονότας καὶ παντελῶς γηΐνους, οὐκ ἐχοντας μνήμην τοῦ ἀγαθοῦ καὶ εἰς ἀσελγείας **350** ἐμπεσόντας. Τότε λέγει ὁ Θεὸς τῷ Νῶε, « Ὅτι σε εὗρηκα δίκαιον ἐν ταύτῃ τῇ γενεᾷ, ποίησον κιβωτὸν μετὰ ξύλων τοιάνδε καὶ τοιάνδε. » Καὶ ἐποίησε Νῶε τὴν κιβωτὸν κατὰ τὸ ῥῆμα Κυρίου. Καὶ εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ, Σὴμ Χὰμ Ἰάφεθ. Καὶ εἰσῆλθεν ἡ γυνὴ τοῦ Νῶε εἰς τὴν κιβωτὸν, καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν Νῶε. Ὁρᾷς πῶς ὁ Νῶε μὲν ἐμαρτυρήθη παρὰ τοῦ Θεοῦ δίκαιος ὁ ἔχων τὴν μίαν γυναῖκα. Ἀλλὰ δὴ καὶ οἱ υἱοὶ αὐτοῦ, ἀνὰ μίαν

A καὶ μόνην γυναῖκα ἔχων ἕκαστος, ἐσώθησαν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ· ἅπαν δὲ τὸ γένος τῶν ἀνθρώπων ἀπέθανεν ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ὑδάτων. Πάντως καὶ τὸν πάντη ἀνόητον τοῦτο διδάσκει ὅτι μίαν καὶ μόνην γυναῖκά ἐστιν ἀπὸ τοῦ δικαίου ἔχειν τὸν ἄνθρωπον καὶ ἕνα μόνον ἄνδρα τὴν γυναῖκα. Ἀλλὰ καὶ τοῦτο μετὰ τὴν κατάραν ἐγένετο, διὰ τὴν τεκνογονίαν, ὡς εἴρηται. Ὁ δὲ Μωάμεθ διδάσκει ἀναφανδὸν ὅτι ἡ παρὰ τοῦ Θεοῦ τοῖς δικαίοις ἀνταπόδοσις λουτρὰ καὶ γυναῖκες πολλαὶ ἑνὶ ἑκάστῳ καὶ οἶκοι περικαλλεῖς. Ὁ γοῦν ταῦτα νομοθετῶν πῶς ἀπὸ Θεοῦ; Μάταιος δὲ ὁ ταῦτα παραδεχόμενος καὶ πιστεύων ὅτι τὸ γεγονὸς δι' ὀργὴν τῷ ἁμαρτήσαντι πολυπλασιάζεται ἐν τῷ καιρῷ τῆς

B μισθαποδοσίας τοῦ καλοῦ καὶ ἀγαθοῦ τοῖς ἁγίοις καὶ δικαίοις. Καὶ πρόσεξον τὰ γεγονότα. Λέγει ὁ Μωϋσῆς· « Καὶ εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ. » **351** Καὶ εἰς μὲν τὴν εἰσέλευσιν λέγει· « Εἰσῆλθε Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ· » εἰς δὲ τὴν ἔξέλευσιν οὐχ οὕτως ἀλλ'· « Ἐξῆλθε Νῶε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ, » πάντως οὐδὲν ἕτερον δηλοῦντος τοῦ λόγου ἢ ὅτι κἂν καὶ μίαν μόνην γυναῖκά ἐστιν ἀπὸ δικαίου ἔχειν τὸν ἄνθρωπον, ἀλλ' ἔστιν ὅτε καὶ αὐτῆς ἀπέχεσθαι πρέπον ἐστίν· ἐν γὰρ τῷ εἰπεῖν ὅτι Εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ οἱ υἱοὶ αὐτοῦ, ἔδειξεν τοὺς υἱοὺς αὐτοῦ οἷόν τι

C διατείχισμα χωρίζον τὸν Νῶε ἀπὸ τῆς γυναικὸς

lium cum Eva concubuit, sed ob liberorum generationem, atque generavit liberos. Ante delictum autem in angelorum modum vixerant. Sed tamen etiamsi cum Eva Adamus concubuit, unica tamen femina erat, non multæ. Etenim nec unum marem et multas feminas, nec multos mares et unam feminam, sed unum marem Adamum, et unam feminam Evam Deus creavit. Aucto autem genere humano et ad facinora libidinosa et injusta declinante, indignabatur iisque irascebatur Deus, sicut divinus Moyses in libro Genesis scribit, Deum dixisse: « Ne maneto super eos Spiritus meus, quoniam caro sunt, » hoc est plane libidinosi et terrestres facti sunt, atque veri bonique immemores, lasciviæ se dederunt. Tum Deus Noe dicit: « Quoniam te justum hominem inveni in hoc genere, age, arcam lignea exstrue. » Exstruxit igitur Noe arcam e præcepto Domini, et intravit eam cum tribus filiis, Sem, Cham, Japheth: intravitque eamdem uxor Noæ cum tribus uxoribus filiorum Noæ. Vides, Deum Noæ ut justo homini testatum esse, quippe qui unam uxorem haberet. Nec vero ejusdem filii, qui et ipsi singuli singulas uxores haberent, ab ira Dei non servati sunt: cum omne genus humanum aquarum preluvie periret. Quæ res etiam stultissimum hominem docet, legitime unam uxorem virum, et unum maritum feminam habere. Sed hoc quoque post exsecrationem factum est, ob liberorum gene-

D rationem, ut diximus. At Mohametes aperte docet, a Deo justis pro præmio datum iri lavacra, et feminas singulis plures et mules pulcherrimas. Talia igitur qui lege sancit quomodo a Deo missus sit? Imo stultus est, qui ista probat, atque credit, quod libidinose fit, id tum, cum præmia bona et pulchra sanctis justisque dabuntur, peccanti multiplicatum iri. Attende vero, quæ porro facta sint. Dicit Moyses: « Atque ingressus est arcam Noe et filii ejus et uxor ejus et uxores filiorum ejus. » De ingressione igitur dicit: « Ingressus est Noe et filii ejus et uxores filiorum ejus; » de exitu autem non ita, sed: « Egressus est Noe et uxor ejus et filii ejus et uxores filiorum ejus cum eo. » Quibus verbis nihil aliud significatur, nisi hoc, etiamsi unam uxorem legitime vir habeat, nonnunquam tamen ea abstinendum ei esse. Nam cum dicit: « Ingressus est Noe in arcam et filii ejus, » filios ejus tanquam parietem Noam ab uxore ejus separantem posuit; cum autem dicit: « Egressus est Noe et uxor ejus, » ostendit, dehinc nihil jam obstare, quominus uxori jungatur. Idem dicendum est de filiis ejus eorumque uxoribus. Enimvero ipse Moyses in montem Sina ascendens edixit Judæis, ut sanctificarent se ad tertium diem usque et vestes lavarent, neve attingeret quisquam uxorem. Quin etiam ipse Adamus Evam conspicatus dixit: « Hæc est os e meis ossibus, et caro e mea carne: quare homo

Digitized by Google

θωσι Μουσουλμάνοι πρὸς πόλεμον καὶ ἐν τῷ πολεμῳ πέσῃ τις ἐξ αὐτῶν, οὐ λογίζονται ἑαυτοὺς ἀξίους μέμψεως ὡς αἰτίους τοῦ πολέμου, ἀλλ' ἐπὶ τὸ νεκρὸν σῶμα τοῦ πεπτωκότος σφάττουσι ζῶντας, ὅσους ἂν δυνηθῇ ἕκαστος· καὶ ὅσον πλείους κτείνει, τοσοῦτον λογίζονται ὠφέλειαν τῆς τοῦ τεθνεῶτος ψυχῆς. Εἰ δ' ἴσως οὐκ ἔχει ἀνθρώπους εἰς ἐξουσίαν αὐτοῦ ὁ βουλόμενος βοηθῆσαι τῇ τοῦ τεθνεῶτος ψυχῇ, ἐξωνεῖται Χριστιανούς, εἴπερ εὕροι, καὶ ἢ ἐπάνω τοῦ νεκροῦ σώματος σφάττει αὐτοὺς ἢ ἐπὶ τῷ τάφῳ αὐτοῦ. Καὶ ὁ ταῦτα νομοθετῶν πῶς ἀπὸ Θεοῦ; Ἔτι νομοθετεῖ ὅτι ὁ δοὺς τῇ πόρνῃ μίσθωμα καὶ κοιμηθεὶς μετ' αὐτῆς οὐχ ἁμαρτάνει· καὶ ὁ βιασάμενος παρθένον ἁμαρτάνει, ὁ δὲ μετὰ τῆς θελήσεως αὐτῆς κοιμηθεὶς μετ' αὐτῆς οὐχ ἁμαρτάνει· καὶ ἐὰν αἰχμαλωτίδας τις λάβῃ ἐν πολέμῳ, ἔξεστιν ἐπ' αὐταῖς ποιῆσαι ὃ βούλεται ἀκωλύτως. Ὁ γοῦν πορνείας καὶ παρθενοφθορίας νομοθετῶν πῶς ἀπὸ Θεοῦ;

Καὶ τὸ δὴ χείριστον ὅτι τοὺς κατὰ τὴν ἀποδοχὴν τοῦ Θεοῦ περιπατήσαντας ἐν τῷ παρόντι αἰῶνι μετὰ τὴν ἐνθάδε ἀποδίωσιν αὐτῶν λουτρὰ καὶ οἴκους περικαλλεῖς καὶ γυναῖκας παρθένους ὅτι πολλὰς ὑπισχνεῖται δοθήσεσθαι ἑκάστῳ **348** παρὰ Θεοῦ. Καὶ ὅπερ οἱ τῶν εἰδωλολατρῶν Ἑλλήνων ὀνομαζόμενοι θεολόγοι οὐκ εἶπον οὐδὲ ἐνόμισαν εἶναι, ταῦτα ὁ Μωάμεθ ἀνακεκαλυμμένῳ τῷ προσώπῳ νομοθετεῖ. Ἐκεῖνοι γὰρ οὕτως λέγουσιν, ὅτι οἱ μὲν καλῶς ἐνθάδε βιώσαντες, ἐπὰν ἀποθάνωσι καὶ καθαρῶς ἀποδημήσωσιν αἱ ψυχαὶ ἀπὸ τῶν σωμάτων, εἰς τοὺς θεοὺς ἀπέρχονται καὶ μετὰ τῶν θεῶν εὑρίσκονται εἰς τὰς τῶν μακαρίων νήσους καὶ μετ' αὐτῶν συναγάλλονται· τῶν δὲ κακῶς ἐνθάδε βιωσάντων καὶ ἀκαθάρτων καὶ μεμολυσμένων ἀπελθόντων αἱ τούτων ψυχαὶ εἰς ζοφώδεις καὶ σκοτεινοὺς ἀπέρχονται τόπους καὶ εἰς τὸν ποταμὸν τὸν Πυριφλεγέθοντα. Καὶ οἱ μὲν εἰδωλολάτραι Ἕλληνες ἔλεγον ταῦτα· ὁ δὲ Μωάμεθ, ὃς ὀνομάζει ἑαυτὸν ὀρθόδοξον καὶ πλησίον τοῦ Θεοῦ εὑρισκόμενον, λέγει καὶ νομοθετεῖ τοιαῦτα ἀποπήματα αἰσχρά, καὶ οὐκ ἔχει ἐνθύμησιν ὅλως ὅτι ταῦτα πάντα ὀργῆς καὶ ἀποστροφῆς ἔργα καὶ τῆς ἁμαρτίας ἀποτελέσματά εἰσι. Πρὸ γὰρ τῆς παραβάσεως καὶ ἁμαρτίας τοῦ Ἀδὰμ ποῦ λουτρά, ποῦ ὅλως οἰκήματα, ποῦ αἱ πολλαὶ γυναῖκες; Ἀλλὰ μετὰ τὴν ἁμαρτίαν καὶ τὴν κατάραν ἐπανέστη τὸ σῶμα ὥσπερ θηρίον κατὰ τῆς ψυχῆς τῆς μὴ ἐχούσης καθολικῶς τὴν τοῦ Θεοῦ ἐπίσκεψιν. Ἴσχυσε τὸ σῶμα, καὶ κατέσπασε τὴν ψυχὴν ἀπὸ τοῦ ὕψους καὶ τοῦ μεγαλείου αὐτῆς καὶ κατήγαγεν εἰς τὰς παραλόγους καὶ ματαίας σωματικὰς ἐπιθυμίας καὶ ἡδονάς· καὶ ὥσπερ ἀνδράποδον, οὕτως κατεδουλώθη ἡ ψυχὴ εἰς τὰς σωματικὰς ὀρέξεις· εἰ γοῦν μετὰ **349** τὴν ἐκ νεκρῶν ἀνάστασιν οὐδὲν μέλλουσιν εὑρεῖν οἱ κατὰ ἀποδοχὴν τοῦ Θεοῦ πολιτευσάμενοι ἄνθρωποι τὴν μακαρίαν ἐκείνην ζωὴν ἣν ὁ προπάτωρ εἶχεν Ἀδὰμ πρὸ τῆς παραβάσεως καὶ ἀπώλεσεν, ἀλλὰ πάλιν τὴν αὐτὴν ζωὴν μέλλουσι εὑρεῖν ἣν εἶχε μετὰ τὴν κατάραν, οὐαὶ τοῖς ἀνθρώποις ἐκείνοις. Καὶ τὸ δὴ χείριστον ὅτι οὐδὲ μέχρι τῆς ταλαιπώρου ἐκείνης καὶ ἐπαρά-

enim ista immanitate et sævitia cogitari crudelius potest, quam trucidare, qui nihil peccarunt? Quotiescunque enim ad pugnam procedunt Musulmani et eorum quis prælio occiditur, non se criminatione dignos putant, ut auctores belli, sed in occisi cadavere vivos trucidant, quot quisque potest, ac quanto quis plures necat, tanto majorem utilitatem fore putant ad animam occisi. Si non possidet homines, qui mortui animæ opitulari studet, Christianos, si quos reperit, coemit, eosque aut supra cadaver occisi, aut in sepulcro ejusdem jugulat. Talia qui præcipit quomodo a Deo missus sit? Docet idem, qui data pecunia cum meretrice concumbat, eum non peccare; qui per vim virginem stupret, eum peccare, qui autem cum consentiente concumbat, non peccare; quas quis bello ceperit, iis ei uti licere, quemadmodum velit. Atqui stupra et virginum vitiationes qui probat, quomodo a Deo missus sit?

Gravissimum autem est, quod qui ad voluntatem Dei in hac vita se composuerint, iis singulis post mortem balneas et ædes pulcherrimas virginesque plurimas a Deo datum iri pollicetur. Et quod Græcorum idololatrarum theologi non dixerunt nec crediderunt, id Mohametes revelata fronte statuit. Illi enim ita aiunt, qui pulchre hic vixerint, eos post mortem, cum animi e corporum vinculis puri excesserint, ad deos migrare et cum diis versari in beatorum insulis cum iisdemque lætari: contra qui male hic vixerint et impuri atque inquinati excesserint, horum animas in loca tenebrosa et obscura et Pyriphlegetontem fluvium abire. Hæc igitur Græci idololatræ dixerunt. Mohametes vero, qui se orthodoxum esse et coram Deo stetisse jactat, probat docetque fœdas istas nugas, nec ulle modo sentit, quam omnes hæ res libidinosæ et detestandæ sint et peccatum consecutæ. Ante Adami enim peccatum et delictum ubinam balneæ, ubinam omnino ædes, ubinam multæ feminæ? sed post peccatum et exsecrationem corpus tanquam bestia menti, perfecta notione Dei non sustentatæ, inhiabat, superabat eam, atque animam, ex altitudine et magnificentia dejectam, in vanas et insanas libidines voluptatesque corporis adduxit: ac mancipii instar anima cupiditatibus corporis obstricta est. Quodsi, qui ad voluntatem Dei vixerunt homines, post resurrectionem mortuorum non inventuri sint beatam illam vitam, quam Adamus pater ante peccatum egit atque amisit, sed eamdem rursus vitam, quam ille post exsecrationem toleravit, væ hominibus illis! Imo vero, quod miserrimum est, ne acquievit quidem in ærumnosa hac et exsecrata vita Mohametis insania, ut hanc scilicet Deus justis daturum se esse promiserit, sed invenit vitam malis longe insigniorem et vero turpem. Adamus enim post delictum et exsecrationem et e paradiso exsi-

Digitized by Google

του ζωῆς ἔστη ἡ τοῦ Μωάμεθ παραλογία, ἣν δῆθεν ἐκαγγέλλεται ὁ Θεὸς δώσειν τοῖς δικαίοις, ἀλλὰ πολλῷ τῷ χείρονι διαφέρουσαν καὶ αἰσχράν. Ὁ γὰρ Ἀδὰμ μετὰ τὴν παράβασιν καὶ τὴν κατάραν καὶ τὴν ἐξορίαν τὴν ἀπὸ τοῦ παραδείσου ἔγνω τὴν Εὔαν· ἀλλὰ καὶ τοῦτο διὰ τὴν τεκνογονίαν, καὶ ἐτεκνοποίησε· πρὸ δὲ τῆς παραβάσεως ἀγγελικῶς ἔζων. Ὅμως καὶ ὁ Ἀδὰμ εἷπερ ἔγνω τὴν Εὔαν, ἀλλὰ καὶ αὖθις μία καὶ μόνη εὑρίσκετο γυνὴ καὶ οὐ πολλαί. Οὔτε γὰρ ἓν ἄρσεν ἐποίησεν ὁ Θεὸς καὶ πολλὰ θήλεα, οὔτε πολλὰ ἄῤῥενα καὶ ἓν θῆλυ, ἀλλ' ἓν ἄρσεν τὸν Ἀδὰμ καὶ ἓν θῆλυ τὴν Εὔαν· πληθυνθέντος δὲ τοῦ γένους τῶν ἀνθρώπων καὶ πεσόντος εἰς ὀσελγείς καὶ ἀθεμίτους πράξεις ἐβαρύνθη ὁ Θεὸς καὶ ὠργίσθη κατ' αὐτῶν, ὡς ὁ μακάριος Μωϋσῆς γράφων εὑρίσκεται ἐν τῷ βιβλίῳ τῆς Γενέσεως ὅτι εἶπεν ὁ Θεός· « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐπ' αὐτοὺς διὰ τὸ εἶναι αὐτοὺς σάρκας, » ὡς δῆθεν ὅλως σαρκικοὺς γεγονότας καὶ παντελῶς γηΐνους, οὐκ ἔχοντας μνήμην τοῦ ἀγαθοῦ καὶ εἰς ἀσελγείας **350** ἐμπεσόντας. Τότε λέγει ὁ Θεὸς τῷ Νῶε, « Ὅτι σε εὗρηκα δίκαιον ἐν ταύτῃ τῇ γενεᾷ, ποίησον κιβωτὸν μετὰ ξύλων τοιάνδε καὶ τοιάνδε. » Καὶ ἐποίησε Νῶε τὴν κιβωτὸν κατὰ τὸ ῥῆμα Κυρίου. Καὶ εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν, καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ, Σὴμ Χὰμ Ἰάφεθ. Καὶ εἰσῆλθεν ἡ γυνὴ τοῦ Νῶε εἰς τὴν κιβωτὸν, καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν Νῶε. Ὁρᾷς πῶς ὁ Νῶε μὲν ἐμαρτυρήθη παρὰ τοῦ Θεοῦ δίκαιος ὁ ἔχων τὴν μίαν γυναῖκα. Ἀλλὰ δὴ καὶ οἱ υἱοὶ αὐτοῦ, ἀνὰ μίαν καὶ μόνην γυναῖκα ἔχων ἕκαστος, ἐσώθησαν ἀπὸ τῆς ὀργῆς τοῦ Θεοῦ· ἅπαν δὲ τὸ γένος τῶν ἀνθρώπων ἀπέθανεν ὑπὸ τοῦ κατακλυσμοῦ τῶν ὑδάτων. Πάντως καὶ τὸν πάντη ἀνόητον τοῦτο διδάσκει ὅτι μίαν καὶ μόνην γυναῖκά ἐστιν ἀπὸ τοῦ δικαίου ἔχειν τὸν ἄνθρωπον καὶ ἕνα μόνον ἄνδρα τὴν γυναῖκα. Ἀλλὰ καὶ τοῦτο μετὰ τὴν κατάραν ἐγένετο, διὰ τὴν τεκνογονίαν, ὡς εἴρηται. Ὁ δὲ Μωάμεθ διδάσκει ἀναφανδὸν ὅτι ἡ παρὰ τοῦ Θεοῦ τοῖς δικαίοις ἀνταπόδοσις λουτρὰ καὶ γυναῖκες πολλαὶ ἑνὶ ἑκάστῳ καὶ οἶκοι περικαλλεῖς. Ὁ γοῦν ταῦτα νομοθετῶν πῶς ἀπὸ Θεοῦ; Μάταιος δὲ ὁ ταῦτα παραδεχόμενος καὶ πιστεύων ὅτι τὸ γεγονὸς δι' ὀργὴν τῷ ἁμαρτήσαντι πολυπλασιάζεται ἐν τῷ καιρῷ τῆς μισθαποδοσίας τοῦ καλοῦ καὶ ἀγαθοῦ τοῖς ἁγίοις καὶ δικαίοις. Καὶ πρόσεξον τὰ γεγονότα. Λέγει ὁ Μωϋσῆς· « Καὶ εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ. » **351** Καὶ εἰς μὲν τὴν εἰσέλευσιν λέγει· « Εἰσῆλθε Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ· » εἰς δὲ τὴν ἔξέλευσιν οὐχ οὕτως ἀλλ'· « Ἐξῆλθε Νῶε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ, » πάντως οὐδὲν ἕτερον δηλοῦντος τοῦ λόγου ἢ ὅτι κἂν καὶ μίαν μόνην γυναῖκά ἐστιν ἀπὸ δικαίου ἔχειν τὸν ἄνθρωπον, ἀλλ' ἔστιν ὅτε καὶ αὐτῆς ἀπέχεσθαι πρέπον ἐστίν· ἐν γὰρ τῷ εἰπεῖν ὅτι Εἰσῆλθε Νῶε εἰς τὴν κιβωτὸν καὶ οἱ υἱοὶ αὐτοῦ, ἔδειξεν τοὺς υἱοὺς αὐτοῦ οἷόν τι διατείχισμα χωρίζον τὸν Νῶε ἀπὸ τῆς γυναικὸς

lium cum Eva concubuit, sed ob liberorum generationem, atque generavit liberos. Ante delictum autem in angelorum modum vixerant. Sed tamen etiamsi cum Eva Adamus concubuit, unica tamen femina erat, non multæ. Etenim nec unum marem et multas feminas, nec multos mares et unam feminam, sed unum marem Adamum, et unam feminam Evam Deus creavit. Aucto autem genere humano et ad facinora libidinosa et injusta declinante, indignabatur iisque irascebatur Deus, sicut divinus Moyses in libro Genesis scribit, Deum dixisse: « Ne maneto super eos Spiritus meus, quoniam caro sunt, » hoc est plane libidinosi et terrestres facti sunt, atque veri bonique immemores, lasciviæ se dederunt. Tum Deus Noe dicit: « Quoniam te justum hominem inveni in hoc genere, age, arcam lignea exstrue. » Exstruxit igitur Noe arcam e præcepto Domini, et intravit eam cum tribus filiis, Sem, Cham, Japheth: intravitque eamdem uxor Noæ cum tribus uxoribus filiorum Noæ. Vides, Deum Noæ ut justo homini testatum esse, quippe qui unam uxorem haberet. Nec vero ejusdem filii, qui et ipsi singuli singulas uxores haberent, ab ira Dei non servati sunt: cum omne genus humanum aquarum proluvie periret. Quæ res etiam stultissimum hominem docet, legitime unam uxorem virum, et unum maritum feminam habere. Sed hoc quoque post exsecrationem factum est, ob liberorum generationem, ut diximus. At Mohametes aperte docet, a Deo justis pro præmio datum iri lavacra, et feminas singulis plures et ædes pulcherrimas. Talia igitur qui lege sancit quomodo a Deo missus sit? Imo stultus est, qui ista probat, atque credit, quod libidinose fit, id tum, cum præmia bona et pulchra sanctis justisque dabuntur, peccanti multiplicatum iri. Attende vero, quæ porro facta sint. Dicit Moyses: « Atque ingressus est arcam Noe et filii ejus et uxor ejus et uxores filiorum ejus. » De ingressione igitur dicit: « Ingressus est Noe et filii ejus et uxores filiorum ejus; » de exitu autem non ita, sed: « Egressus est Noe et uxor ejus et filii ejus et uxores filiorum ejus cum eo. » Quibus verbis nihil aliud significatur, nisi hoc, etiamsi unam uxorem legitime vir habeat, nonnunquam tamen ea abstinendum ei esse. Nam cum dicit: « Ingressus est Noe in arcam et filii ejus, » filios ejus tanquam parietem Noam ab uxore ejus separantem posuit; cum autem dicit: « Egressus est Noe et uxor ejus, » ostendit, dehinc nihil jam obstare, quominus uxori jungatur. Idem dicendum est de filiis ejus eorumque uxoribus. Enimvero ipse Moyses in montem Sina ascendens edixit Judæis, ut sanctificarent se ad tertium diem usque et vestes lavarent, neve attingeret quisquam uxorem. Quin etiam ipse Adamus Evam conspicatus dixit: « Hæc est os e meis ossibus, et caro e mea carne: quare homo

Digitized by Google

αὐτοῦ· ἐν δὲ τῷ εἰπεῖν ὅτι Ἐξῆλθε Νῶε καὶ ἡ γυνὴ αὐτοῦ, ἔδειξεν ὅτι ἀπὸ τοῦ νῦν οὐδέν ἐστι τὸ κωλῦον ἑνοῦσθαι τῇ αὐτοῦ γυναικί. Ὁ δὲ αὐτὸς λόγος ἐστὶ καὶ περὶ τῶν υἱῶν αὐτοῦ καὶ τῶν γυναικῶν αὐτῶν. Ἀλλὰ καὶ αὐτὸς ὁ Μωῦσῆς ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ ἀνερχόμενος οὑτωσί φησι τοῖς Ἰουδαίοις· « Ἀγνίσατε ἑαυτοὺς ἕκαστος ἕως τρίτης ἡμέρας, πλύναντες τὰ ἱμάτια ὑμῶν, καὶ γυναικὸς μὴ ἅψησθε. » Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ Ἀδὰμ τὴν Εὔαν θεασάμενος οὕτως εἴρηκεν· « Αὕτη ἐστὶν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. » Καὶ πρόσσχες ὅπως μετὰ τὸ ἐφάμαρτον καὶ τὸ εὐθὺς κέκτηται ἡ πολυγαμία· ὁ γὰρ Ἀδὰμ οὐκ εἶπεν ὅτι ἔσονται πολλαὶ αἱ γυναῖκες μετὰ τοῦ ἀνδρὸς εἰς σάρκα μίαν, ἀλλὰ δύο, τοῦτ' **352** ἔστιν ὁ ἀνὴρ καὶ ἡ τούτου γυνή· μία δὲ καὶ πολλαὶ οὐ ταυτόν. Εἰ δ' ἴσως καὶ ὁ νομοθέτης Μωῦσῆς ἐνέδωκε τοῖς Ἰουδαίοις ἔχειν ἕνα ἕκαστον γυναῖκας, συγκαταβάσεως ἕνεκεν τοῦτο πεποίηκεν, ὥσπερ καὶ ἐπὶ τῆς τῶν ζώων θυσίας, ἵνα τῆς μιαρᾶς ἀπαλλάξῃ αὐτοὺς τῶν παίδων μιαιφονίας· ὁ δὲ Χριστὸς ἐλθών, ὥσπερ ἐκώλυσε τὴν τῶν ζώων θυσίαν, πληρῶν τὸν τοῦ νόμου σκοπὸν, οὕτως καὶ τὴν πολυγαμίαν ἐκώλυσεν. Ὁ δὲ Μωάμεθ οὑτοσὶ ἀντὶ σωφροσύνης ἀκολασίαν νενομοθέτηκε μὴ μόνον ἐν τῷ παρόντι αἰῶνι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ταῦτα παρὰ Θεοῦ πολλαπλασιασθῆναι διδάξας. Καὶ ἔστιν ἰδεῖν ἐν αὐτῷ τὸ τοῦ Δαβὶδ λόγιον τὸ φάσκον ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ καὶ ὁ ἀδίκων ἐνευλογεῖται, » τουτέστιν ἐπαινεῖται καὶ ἐγκωμιάζεται παρὰ τῶν κολακευόντων αὐτὸν καὶ ἐρεθιζόντων αὐτοῦ τὴν κακίαν καὶ μηδὲ αἴσθησιν τῆς νόσου γοῦν διὰ σιωπῆς ἐμποιῆσαι ἀνεχομένων. Διὸ καὶ ἀνίατος ὁ τοιοῦτος εὑρίσκεται· τὸ γὰρ μηδὲ αἴσθησιν τοῦ πάθους ἔχον θεραπείαν οὔτε ζητεῖ οὔτε προσίεται. Καὶ τοῦτό ἐστι τὸ πάντων δεινότατον, ὅταν ἡ κακία ἐπαινῆται καὶ μηδὲ κακία εἶναι νομίζηται· ὁ γὰρ δηλωθεὶς Μωάμεθ τὰ πρὸς χάριν καὶ τέρψιν τῶν ἀνθρώπων ἐσπούδασε καὶ ἐδίδαξεν, ἵνα διὰ τῆς ἡδονῆς ἐπισπάσηται τὸ πλῆθος τῶν ἀφρόνων.

Ἔτι περὶ τῶν ἀνδρῶν μόνον μέλει τῷ Θεῷ ὡς πλασμάτων **353** αὐτοῦ, περὶ δὲ τῶν γυναικῶν οὐδαμῶς, διὰ τὸ μὴ εἶναι αὐτὰς πλάσμα Θεοῦ; Καὶ διὰ τοῦτο οἱ μὲν ἄνδρες μέλλουσιν ἀπολαύειν τῶν παρὰ Θεοῦ τοιούτων ἀγαθῶν, αἱ δὲ γυναῖκες οὐδόλως; ἢ ἐπεὶ μία φύσις ἐστὶν ἀνδρὸς καὶ γυναικὸς καὶ εἷς ἄνθρωπός ἐστι πᾶς ἄνθρωπος, καὶ ὁμοίως μέλλουσι κριθῆναι οἱ πάντες καὶ ὁμοίως μέλλουσιν ἀπολαύειν, οἱ μὲν καλῶς πολιτευσάμενοι τὰ ἀγαθά, οἱ δὲ κακῶς τὴν ὀργὴν τοῦ Θεοῦ καὶ ἀποστροφὴν καὶ κόλασιν; Πάντως τοῦτο παντί που δῆλον ὅτι πάντες ἄνθρωποι ὁμοίως μέλλουσιν κριθῆναι, ἄνδρες τε καὶ γυναῖκες, ἐπεὶ καὶ μία καὶ ἡ αὐτὴ φύσις ἐστὶ, καὶ ὁμοίως μέλλουσιν ἀπολαύειν, ὡς ἕκαστος αὐτῶν ἔπραξε, κακά τε καὶ ἀγαθά. Καὶ λοιπὸν τὸ δίκαιόν ἐστι καὶ πρέπον ἵνα λάβωσι καὶ αἱ γυναῖκες ὅπερ οἱ ἄνδρες· καὶ ὥσπερ διδῶνται πρὸς τοὺς καλῶς πολιτευσαμένους ἐνὶ ἑκάστῳ πολλαὶ γυναῖκες ἀντιμισθία, καθὼς ὁ Μωάμεθ νομοθετεῖ, διδόσθωσαν καὶ πρὸς τὰς καλῶς πολιτευσαμένας γυναῖκας μιᾷ ἑκάστῃ πολλοὶ ἄνδρες. Εἰ δ' ὡς ἄτοπον παρεσιώπησεν αὐτὸ, τὴν αὐτὴν ἔννοιαν καὶ κρίσιν ἔπρεπεν ἵνα ἀναλογίσηται καὶ κρίνῃ καὶ περὶ τῶν ἀνδρῶν. Ἔτι οἱ πολλοὶ ἄνδρες οἱ δοθησόμενοι μιᾷ γυναικὶ ὡς ἀποδοχῆς ἄξιοι μέλλουσι δοθῆναι διὰ τὸ καλῶς αὐτοὺς πολιτευθῆναι ἢ ὡς καταδίκης; Καὶ

patrem et matrem relinquet et sociabit se uxori, eruntque ambo caro una. » Quo loco animadverte, quomodo ad pravitatem polygamiæ accedat, ut eadem inepta sit. Adamus enim non dixit, multas feminas cum viro in unam carnem conjunctas fore, sed duo, hoc est, virum et uxorem ejus. Atqui una at multæ non eadem res est. Quodsi Moyses legislator permisit Judæis, ut singuli plures uxores haberent, indulgentia ea erat, sicut in permittendo animalium sacrificio, quo eos prohibiturus erat, ne liberos occiderent. At Christus, sicut animalium sacrificia vetuit, finem legis secutus, ita etiam polygamiam vetuit. At Mohametes iste pro modestia licentiam non solum in hac vita lege sanxit, sed etiam in vita futura eadem a Deo multiplicatum iri docuit. Ac probatur in illo Davidis dictum : « Laudatur, qui cupiditatibus animi indulget, et benedicitur injuste agenti. » Hoc est, laudatur et prædicatur ab iis qui ei adulantur et pravitatem ejus stimulant ac ne sensum quidem morbi e silentio oriri patiuntur. Quare nec sanari talis homo potest. Qui enim malum ne sentit quidem, medicinam nec quærit, nec admittit. Atque hoc omnium pessimum est, si pravitas laudetur et ne creditur quidem pravitas esse. At enim Mohametes iste quæ grata et jucunda essent hominibus, jactavit et docuit, ut voluptatis capiendæ spe imperitam multitudinem in partes suas pertraheret.

Deinde utrum soli viri Deo curæ sunt ut creati ab eo, minime autem feminæ ut non creatæ a Deo, ac propterea viris bona illa a Deo proposita sunt, feminis nihil ejusmodi propositum ? An cum una sit viri et feminæ natura, et unus homo sit omnis homo, omnes etiam pariter judicabuntur et paria consequentur præmia, et quidem qui bene vixerunt, bona, qui male, iram, abominationem et pœnas ? Ac sane æquum et consentaneum est, feminas idem, quod viri, accipere, et sicut qui bene vixerunt viri, eorum singulis plures feminæ præmii loco dantur, e Mohametis quidem doctrina, ita singulis feminis quoque, quæ bene vixerunt, plures dandi sunt viri. Quodsi hoc ut ineptum prætermisit silentio, eamdem rationem ac sententiam in viris cum sequi decebat. Deinde multi viri uni dandi feminæ utrum ut præmio digni propter vitæ probitatem, an ut digni pœna dabuntur? Si dantur ut qui bene vixerint, quare non singulis fe-

Digitized by Google

εἰ μὲν ὡς καλῶς αὐτοὺς πολιτευσαμένους, διὰ τί A οὐκ ἐδόθησαν αὐτοῖς ἑνὶ ἑκάστῳ πολλαὶ γυναῖκες εὐεργεσίας χάριν καὶ ἀντιμισθίας, ὡς λέγετε, ἀλλὰ μᾶλλον τοῖς πολλοῖς ἀνδράσι γυνὴ μία; Εἰ δ' ὡς κατακρίτοις, καὶ μὴν αἱ τοιαῦται εὐεργεσίαι ἀποδοχῆς **354** καὶ ἀγαθῆς ἀντιμισθίας δόματά εἰσιν, ὡς ὁ Μωάμεθ διαγορεύει. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῶν πολλῶν γυναικῶν τῶν δοθησομένων ἑνὶ ἀνδρί· εἰ μὲν ὡς κατάδικης ἄξιαι, πῶς δίδονται πρὸς αὐτὰς εὐεργεσίαι; Εἰ δ' ἀποδοχῆς ἄξιαι, διὰ τί δίδονται αἱ πολλαὶ ἑνὶ ἀνδρί; Καὶ τί τῆς τοιαύτης συγχύσεως ἀτοπώτερόν τε καὶ ἀηδέστερον;

Βλέπεις πῶς ὁ παρατραπεὶς τῆς εὐθείας ὁδοῦ εἰς πόσα ἄτοπα παρεμπίπτει καὶ ἄκων. Ἀλλ' οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· οὐ γὰρ ἐστιν ἡ τοῦ Θεοῦ πρὸς τοὺς ἁγίους μισθαποδοσία τροφαὶ καὶ πόσεις καὶ λουτρὰ καὶ γυναῖκες, ἃ τινά εἰσιν ἁμαρτίας καὶ ὀργῆς ἀποτελέσματα, ὡς εἴρηται, ἀλλὰ ἀγιωσύνη καὶ καθαρότης καὶ ἀγγελικὴ πολιτεία, χαρά τε καὶ εὐφροσύνη καὶ ἀγαλλίασις, ἣν ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ποτέ.

Εἶδες τὸν καρπὸν τῆς νομοθεσίας τοῦ νομοθέτου. Γινώσκεται ἀπὸ τοῦ καρποῦ τῶν πράξεων ὁ τρόπος αὐτοῦ ἢ οὔ; Καὶ τίς οὕτω τυφλὸς καὶ ἀνόητος καὶ ἐσκοτισμένος ὁ μὴ συνιεὶς τὰ λεγόμενα; Ὁ δὲ ταῦτα νομοθετῶν πῶς ἀπὸ Θεοῦ;

Καὶ περὶ μὲν τούτου τίς χρεία λόγων πλειόνων; Περὶ δὲ τοῦ ἐγγεγραμμένου ὀνόματος τοῦ Μωάμεθ C ἐν τοῖς δεξιοῖς μέρεσι τοῦ θρόνου τοῦ Θεοῦ τίς χρεία ἀπαλογίας λόγων; Οἱ μὲν φρόνιμοι κρινέτωσαν φρονίμως, οἱ δέ γε ἀνόητοι καὶ μωροὶ ὡς βούλονται.

355 Οὐχ ὡς ἐπιλαθόμενος τοῦ ἡμετέρου λόγου ἔγραψα περὶ τοῦ Μωάμεθ ὅσον ἔγραψα· εἶπον γὰρ ὅτι οὐκ ἔστιν ὁ προκείμενος σκοπὸς τῆς νῦν πρὸς σέ μου ἀπολογίας, ἵνα ποιήσω καταδρομὴν κατὰ τῶν Μουσουλμάνων καὶ εἶπω ἅπερ λέγουσι καὶ πράττουσιν ἄτοπα, ὀλέθρια τε καὶ κακά, ἀλλ' ἵνα δείξω μόνον ὅτι παραλόγως καὶ ἀδίκως κατηγοροῦνται παρὰ τῶν Μουσουλμάνων οἱ Χριστιανοί, ὃ καὶ πεποίηκα. Εἰ δὲ καί τινα εἴπομεν περὶ τοῦ Μωάμεθ, ἡ τοῦ πράγματος ὑπόθεσις ἠνάγκασεν ἡμᾶς εἰς τοῦτο, ἐπεὶ εἴπερ εἴχομεν κατὰ σκοπὸν τοῦ γράψαι περὶ τῶν ἀτοπημάτων τῆς διδαχῆς αὐτοῦ, πολλὰ εἴχομεν εἰπεῖν.

Ὅτι δὲ οὐκ εἶπεν ὁ Χριστὸς περὶ τοῦ Μωάμεθ λόγον τὸν τυχόντα, οὐδὲ ἐν τῷ Εὐαγγελίῳ ἦν γεγραμμένον τὸ ὄνομα αὐτοῦ, εἴπομεν ἐν τοῖς ἔμπροσθεν ὅσον δῆτα καὶ εἴπομεν· ὁ δὲ λόγος δηλώσει τοῦτο καὶ ἔτι σαφέστερον. Ἅπερ εἶδον οἱ ἀπόστολοι καὶ μαθηταὶ τοῦ Χριστοῦ καὶ ἅπερ ἀκηκόασιν ἐξ αὐτοῦ τοῦ στόματος τοῦ Χριστοῦ, ταῦτα ἔγραψαν καὶ ἐδίδαξαν. Ἐξ αὐτῶν γοῦν τῶν μαθητῶν τοῦ Χριστοῦ τέσσαρες συνεγράψαντο τὸ Εὐαγγέλιον. Ὁ μὲν εἷς ὀνομαζόμενος Ματθαῖος Ἑβραϊκῶς ἐξέδωκε τοῦτο εἰς τὴν Παλαιστίνην ἤτοι τὰ Ἱεροσόλυμα καὶ τὰ μέρη τῆς Λιβύης· ὁ δὲ ἕτερος Μάρκος Λατινικῶς εἰς τὴν Ἀχαΐαν, καὶ ἐδόθη εἴς τε τὴν Ἰταλίαν καὶ τὴν Ῥώμην, ἀλλὰ δὴ καὶ κατὰ τὰ ἑσπέρια ἅπαντα ἔθνη. Ὁ δὲ ἕτερος Λουκᾶς, Ἑλληνικῶς δέ· καὶ ἐδόθη εἰς τὴν **356** Ἀσίαν καὶ Αἰθιοπίαν, Περσίαν τε καὶ Ἰνδίαν καὶ Ἀραβίαν. Ὁ δὲ ἕτερος Ἰωάννης καὶ αὐτὸς Ἑλληνικῶς, καὶ ἐδόθη εἰς τὰ μέρη τῆς Εὐρώπης καὶ τὰς νήσους καὶ ἔνθα εὑρίσκονται οἱ Ἕλληνες. Καὶ οὕτως διεδόθη τὸ Εὐαγγέ-

minæ multæ dantur pro præmio et remuneratione, ut dicitis, sed potius multis viris femina una? Sin vero ut qui damnati sint, illa quidem beneficia et gratiæ munera sunt, ut Mohametes quidem docet. Eadem res in pluribus feminis uni dandis viro. Si enim pœna dignæ sunt, quare beneficia iis contingunt? Sin remuneratione dignæ, quare multæ uni viro dantur? Tali quidem confusione quid inconcinnius et fastidiosius est?

Vides, qui a recta via deflexit in quot ineptias D etiam invitus incidat? At non est ita, non est. Neque enim sanctos Deus cibis, potionibus, lavacris, feminis remuneratur, quæ ex errore et ira orta sunt, sed sanctitate, integritate et vita angelica, gaudio porro, hilaritate et lætitia, qualem nec oculus vidit, nec auris audivit, cujusque in nullius hominis cor penetravit sensus.

Vidisti jam fructum legis legislatoris istius. Cognosciturne e fructu factorum mos ejus, necne? aut quis ita cæcus et imperitus et bebetatus, qui non intelligat quæ disputavimus? at talia qui sancit quomodo a Deo missus sit?

Ac de hac quidem re nihil attinet longius dicere. Nec attinet de nomine Mohametis in dextra parte throni Dei scripto dicere; prudentes enim prudenter ju-

dicanto, inscii et stulti autem quemadmodum volent.

Cæterum haud oblitus propositi mei de Mohamete scripsi, quidquid scripsi. Dixi enim, non esse hujus disputationis consilium, ut in Musulmanos invehar et quid inepte, perniciose et male dicant agantve, doceam, sed ut ostendam, male et immerito Christianos a Musulmanis accusari: id quod feci. Si de Mohamete autem nonnulla diximus, coegit nos, ita ut faceremus, rei natura, cum, si in animo fuisset, de ineptiis doctrinæ ejus scribere, multa nobis dicenda fuissent.

Non dixisse autem Christum de Mohamete verba ista, nec in Evangelio scriptum esse nomen ejus, de hac re tum ante diximus, quæ diximus, tum in sequenti disputatione dicetur luculentius. Quæ viderunt apostoli et discipuli Christi, et quæ audiverunt ex ore ejus, litteris mandarunt et docuerunt. Ex ipsis enim discipulis Christi quatuor Evangelium conscripserunt: quod unus, Matthæus nomine, Hebraice in Palæstina, vel Hierosolymis et circa Libyam edidit; alter, Marcus, Latine in Achaia, quod in Italiam et Romam et ad omnes occidentales gentes perlatum est; tertius, Lucas, Græce, quod divulgatum est in Asia, Æthiopia, Persis, Indis et Arabia; quartus, Joannes, item Græce, quod in

Digitized by Google

λιον εἰς τὸν κόσμον ἅπαντα οὐ μετὰ βίας οὐδὲ μετ' ἀνάγκης οὐδὲ μετὰ ξίφους καὶ σπάθης, ἀλλ' ἐν ἀγάπῃ καὶ ἱλαρότητι καὶ ἐν ταπεινώσει εὑρίσκοντο διδάσκοντες οἱ ἀπόστολοι τὸν λόγον τοῦ Θεοῦ. Καὶ ἀντέστραπται τὰ πράγματα. Τῶν γὰρ ἀποστόλων τυπτομένων, κυλαφιζομένων, λοιδορουμένων, διωκομένων, διδασκόντων οὐ κατέπιπτε τὸ κήρυγμα, ἀλλ' ἡμέρᾳ τῇ ἡμέρᾳ ἐμεγαλύνετο καὶ ηὐξάνετο τὸ τοῦ Χριστοῦ εὐαγγέλιον. Καὶ ἐκεῖνοι οἱ πολλὰ σπουδάζοντες καὶ πολλὰ κεκοπιακότες καλύψαι τὸ τοῦ Χριστοῦ ὄνομα, ἵνα μὴ ὁμολογήσῃ αὐτόν τις τῶν ἀνθρώπων Θεὸν, ὁ δὲ τοῦτο τολμήσων θανάτῳ ἀποθανεῖται, αὐτοὶ ἐκεῖνοι κατανοήσαντες τὴν ἀλήθειαν, προσέπεσον καὶ προσεκύνησαν, οἱ μὲν τοῖς ἀποστόλοις, οἱ δὲ τοῖς ἐκείνων διαδόχοις καὶ μαθηταῖς, καὶ ἐπίστευσαν ὅτι αὐτός ἐστιν ὁ ἀληθινὸς Θεὸς, ὁ Χριστὸς, αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἐλυποῦντο καὶ ἔκλαιον τὰς παρελθούσας ἡμέρας, ἃς περιεπάτησαν ἐν τῇ σκοτίᾳ καὶ τῇ πλάνῃ τοῦ Σατανᾶ. Ὁ δὲ πανάγαθος Θεὸς καὶ ἐλεήμων ἐδέξατο αὐτῶν τὴν μετάνοιαν, καὶ αὐτοὺς τοὺς διώκοντας τὸ τοῦ Χριστοῦ ὄνομα κατέστησε ποιμένας **357** καὶ διδασκάλους καὶ κήρυκας τοῦ Εὐαγγελίου καὶ τοῦ ὀνόματος αὐτοῦ. Καὶ λαβόντες οἱ πάντες τὸ εὐαγγέλιον μετέγραψαν καὶ εἶχον αὐτὸ εἷς ἕκαστος, καὶ ἀνεγίνωσκε καὶ ἐμάνθανε καὶ ἐδιδάσκετο καὶ προσεκύνει τὰ ἐν αὐτῷ γεγραμμένα. Καὶ οὕτως διεδόθη εἰς τὸν ἅπαντα κόσμον τὸ Εὐαγγέλιον, καὶ εἶχον αὐτὸ πάντες οἱ κατοικοῦντες τὴν γῆν. Ἀπὸ γοῦν τοῦ Χριστοῦ ἕως οὗ ἤρξατο διδάσκειν ὁ Μωάμεθ παρῆλθον χρόνοι ἐπέκεινα τῶν πεντακοσίων· μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ Εὐαγγελίου τῶν πεντακοσίων χρόνων τίς ἐμελλεν τολμήσειν ἐκβαλεῖν τὸ τοῦ Μωάμεθ ὄνομα ἀπὸ τοῦ Εὐαγγελίου, εἴπερ εὑρίσκετο ἐν αὐτῷ γεγραμμένον; Τὸ μὲν ὅτι μίαν καὶ μόνην λέξιν ὁ τολμήσας προσθήσειν ἢ ἐκβαλεῖν οὐ δύναται πλέον ἐκεῖνος ὀνομάζεσθαι Χριστιανός· τὸ δὲ ὅτι εἴπερ καί τις κακὸς, ὑποθώμεθα, ἐξέβαλέ τινα λέξιν ἀπὸ τοῦ Εὐαγγελίου, ὁ ἕτερος ἅπας κόσμος ἀκολουθήσειν ἐμελλε τῷ τοῦ ἑνὸς ἀτοπήματι; Πάντως οὐχί. Ἀπὸ γοῦν τούτου ἀναφαίνεται ὅτι οὐκ ἦν γεγραμμένον τὸ ὄνομα τοῦ Μωάμεθ ἐν τῷ Εὐαγγελίῳ. Ἦ ὡς καλὸν ἐμελλε μαρτυρήσειν ὁ Χριστὸς ἐκείνου ἢ ὡς κακόν· καὶ εἰ μὲν ὡς καλὸν, ἔμελλον ἐκδέχεσθαι πάντες οἱ βασιλεῖς τῆς γῆς, πάντες οἱ τοπάρχαι, πάντες οἱ Χριστιανοὶ τὸν παρὰ τοῦ Χριστοῦ μαρτυρηθέντα, ἵνα λάβωσι τὴν ἀπὸ τούτου ὠφέλειαν· εἰ δ' ὡς κακὸν, πάλιν ἔμελλον ἔχειν τὰ ἐκείνου **358** γνωρίσματα καὶ φυλάττεσθαι ἐξ αὐτοῦ, ἵνα μὴ βλαβῶσι· καὶ εἴτε ὡς ἐκδεχόμενοι τὸν καλὸν εἴτε ὡς ἀποστρεφόμενοι τὸν κακὸν, οὐδὲν ἐμελλεν ἐκβαλεῖν ἅπας ὁ κόσμος ἐκ τοῦ Εὐαγγελίου τὸ τοῦ Μωάμεθ ὄνομα. Καὶ ἀπὸ τούτου ἀναφαίνεται ὅτι οὐκ ἦν γεγραμμένον ἐν τῷ Εὐαγγελίῳ τὸ τούτου ὄνομα. Ἔτι οὐδείς ἐστιν ὁ φθονῶν ἑτέρῳ πρὶν τῆς γεννήσεως αὐτοῦ· τίς γοῦν ἐμελλε φθονήσειν τῷ Μωάμεθ πρὸ τῆς αὐτοῦ γεννήσεως; Πάντως οὐδείς. Εἰ δ' ἴσως ἐφθόνησεν αὐτῷ τις μετὰ τὴν αὐτοῦ γέννησιν, πῶς ἐμελλεν ἀκολουθήσειν ἅπας ὁ κόσμος τῷ πρὸς τὸ Μωάμεθ ἑνὸς φθόνῳ; Καὶ τίς παράφρων οὕτως ὥστε μὴ λογίσασθαι τοῦτο τὸ ἀδύνατον; Καὶ ἀπὸ τούτου ἀναφαίνεται ὅτι οὐκ ἦν καταγεγραμμέ-

parte Europæ et per insulas ac regiones a Græcis habitatas innotuit. Ita Evangelium per totum orbem terrarum non vi et violentia, nec ense et gladio, divulgatum est, sed pie et læte et modeste apostolis verbum Dei docentibus. Eratque rerum quasi repugnantia quædam. Nam cum apostoli pereuterentur, flagellarentur, conviciis afficerentur, exagitarentur inter docendum, non oppressa est eorum doctrina, sed in dies nova incrementa capiebat et lætius efflorescebat Evangelium Christi. Qui enim multum operæ impendebant multumque enitebantur, ut occultarent nomen Christi, ne quis eum Deum esse crederet (quod qui conabitur, morte periturus est), illi ipsi igitur, cognita veritate, adorarunt et venerati sunt apostolos vel successores et discipulos eorum, atque crediderunt, eum verum Deum et Christum et Filium Dei vivi esse, ac lugebant et lamentabantur de tempore præterito, quo tenebris et erroribus Satanæ obstricti fuerant. Deus autem optimus et misericors accipiebat mutationem mentis eorum, et hos ipsos, qui persequebantur nomen Christi, pastores et magistros et nuntios verbi et nominis sui faciebat: qui omnes Evangelium sibi compararunt et descripserunt, ac legebat, discebat, docebatur et adorabat quisque, quæ in eo scripta erant. Ita igitur per totum orbem terrarum Evangelium divulgatum est, eratque in manibus omnium, qui terram habitabant. A Christo autem ad id tempus, quo Mohametes docere cœperat, anni amplius quingenti præterierunt. Jam vero cum annos quingentos lectum esset Evangelium, quis Mohametis nomen inde ejicere ausus sit, si quidem in eo scriptum fuerit? Nam primum qui vel unum vocabulum addere aut demere voluerit, non jam poterit Christianus haberi; deinde fac, malum quempiam hominem vocabulum aliquod ejecisse ex Evangelio; num reliquus totus orbis terrarum hujus unius fraudem probaverit? Minime profecto. Hinc igitur patet, non scriptum fuisse in Evangelio nomen Mohametis. Deinde aut bonum aut malum eum appellaturus erat Christus: si bonum, omnes reges orbis terrarum, omnes principes, omnes Christiani a Christo probatum prophetam amplexuri erant, ut fructum ex eo perciperent; sin malum, servaturi erant indicia, unde eum cognoscerent, et cauturi, ne laberentur. Neutiquam autem, sive bonum probarunt, sive spreverunt malum, per totum orbem terrarum nomen Mohametis ex Evangelio ejecturi erant. Manifestum igitur est, nomen ejus non scriptum fuisse in Evangelio. Nec vero quisquam ulli homini nondum nato invidet. An quis Mohameti inviderit antequam natus esset? Profecto nemo. Si quis autem jam nato Mohameti inviderit, num totus orbis terrarum in unius hominis invidiam concessurus erat?

Digitized by Google

νον τὸ τοῦ Μωάμεθ ὄνομα ἐν τῷ Εὐαγγελίῳ. Ἔτι εἰ μὲν ἔλεγον οἱ Ἰσμαηλῖται ὅτι μόνον ἐν τῷ Εὐαγγελίῳ εὑρίσκετο γεγραμμένον τὸ τοῦ Μωάμεθ ὄνομα καὶ ἐξέβαλον αὐτὸ οἱ Χριστιανοί, καὶ οὕτως ἀρκεταί εἰσιν αἱ ἀποδείξεις ἃς λέγομεν, ἵνα φανῇ τὸ ἀληθὲς, ὅτι οὐδὲν αὐτοὶ λέγουσιν ἀληθές· ἐπεὶ δὲ λέγουσιν ὅτι ἐν τῇ γενέσει τῇ συγγραφείσῃ παρὰ τοῦ Μωϋσέως εὑρίσκετο γεγραμμένον, πῶς ἐξέβαλον αὐτὸ ἐκ τῆς παλαιᾶς οἱ Ἑβραῖοι; Οὐδὲ γὰρ εὑρίσκεται ἐκεῖσε ὅλως ἴχνος σημείου περὶ τοῦ Μωάμεθ. Καὶ ἰδοὺ ὡς οἱ Μουσουλμάνοι λέγουσι, φθονήσαντες οἱ Χριστιανοὶ ἐξέβαλον τὸ ὄνομα ἐκείνου· οἱ δὲ Ἑβραῖοι διὰ τί; Καίτοι γε εἰς τε τὴν περιτομὴν καὶ ἄλλα τινὰ, εἰς τροφὰς φημι καὶ ἕτερα ἔθιμα, συμφωνοῦσιν οἱ Μουσουλμάνοι **359** μετὰ τῶν Ἑβραίων. Ἰδοὺ γοῦν καὶ ἀπὸ τούτου ἀναφαίνεται ὅτι οὔτε ἐν τῇ παλαιᾷ Μωσαϊκῇ βίβλῳ εὑρίσκετο τὸ τοῦ Μωάμεθ ὄνομα οὔτε ἐν τῷ εὐαγγελίῳ.

Καὶ ταῦτα μὲν οὕτως, ἵνα καὶ τὸν πάντη ἀγνώμονα ἀγάγωμεν εἰς τὴν τῆς ἀληθείας γνῶσιν.

ε'. Ἀσεβὴς εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονεῖ, φησὶν ὁ θαυμάσιος Σολομών· καὶ τίς ἀσεβέστερος τοῦ Μωάμεθ; ποῖον δὲ βάθος κακῶν, μᾶλλον δὲ σκότος, εἰς ὃ οὐκ ἐνέπεσεν ὁ δύστηνος οὗτος; καὶ γὰρ μετὰ τῶν ἄλλων πλασμάτων καὶ τεράτων ψευδῶν ἐπλάσατο καὶ τὴν παροῦσαν ἄθεσμον θεωρίαν. Ἔχουσαν ἐπὶ λέξεως οὕτως, ἐν τῷ κεφαλαίῳ τῶν υἱῶν· Ἰσραὴλ « Αἶνος τῷ ποιήσαντι διελθεῖν τὸν βοῦλον αὐτοῦ ἐν μιᾷ νυκτὶ ἀπὸ τοῦ εὐκτηρίου τοῦ Ἐλαρὰμ, ὅ ἐστιν οἶκος Μεκκὲ, μέχρι τοῦ πορρωτάτου εὐκτηρίου, ὅ ἐστιν οἶκος ἅγιος Ἱερουσαλήμ, ἣν εὐλογήσαμεν. Ὁ Μαχούμετ ἐν μιᾷ τῶν ἡμερῶν, μετὰ τὸ ψάλαι αὐτὸν τὴν ὥραν αὐτοῦ, εἶπεν τοῖς ἀνθρώποις, Ὦ ὑμεῖς ἄνθρωποι, κατανοήσατε. Χθὲς μετὰ τὸ διαστῆναί με ὑμῶν, ἦλθε πρός με ὁ Γαβριὴλ μετὰ τὴν ἑσχάτην ἑσπερινὴν ψαλμῳδίαν, καὶ εἶπέ μοι, Ὦ Μωάμεθ, ἐντέλλεταί σοι ὁ Θεὸς ἐπισκέψασθαι αὐτόν. ὯΙ εἶπον, Καὶ ποῦ αὐτὸν ἐπισκέψομαι; Καὶ εἶπεν ὁ Γαβριὴλ, Ἐν τῷ τόπῳ ὅπου ἔστι. Καὶ ἤγαγέ μοι κτῆνος, μεῖζον μὲν ὄνου, ἔλαττον δὲ ἡμιόνου· καὶ τὸ ὄνομα **360** αὐτοῦ Μπεράκ. Καὶ εἶπέ μοι, Ἀνάβαινε τούτῳ, καὶ ἔλαυνε αὐτὸ μέχρι τοῦ οἴκου τοῦ ἁγίου. Καὶ ὡς ἐφρόντιζον ἀναβαίνειν, ἔφυγε τὸ κτῆνος. Καὶ εἶπεν αὐτῷ, Ἵστασο ἀσφαλῶς· ὁ Μαχούμετ γάρ ἐστιν ὃ σε βουλόμενος ἀναβῆναι. Καὶ ἀπεκρίθη τὸ κτῆνος, Μὴ ὑπὲρ αὐτοῦ ἀπεστάλην; Ἀπεκρίθη ὁ Γαβριὴλ, Ναί. Καὶ εἶπε τὸ κτῆνος, Οὐ συγχωρήσω αὐτῷ ἀναβῆναι, εἰ μὴ πρότερον ὑπὲρ ἐμοῦ τοῦ Θεοῦ δεηθείῃ. Ἐγὼ δὲ ἐδεήθην τοῦ Θεοῦ ὑπὲρ τοῦ κτήνους, ἐπέβην τε ἐπ' αὐτό. Καὶ περιεπάτει ἐπικαθημένου μου πορείᾳ λεπτῇ, ἐπεστήριζέ τε τὴν χηλὴν τοῦ ποδὸς ἐν τῷ ὁρίζοντι τῆς ὄψεως αὐτοῦ. Καὶ οὕτως ἦλθον εἰς τὸν οἶκον τὸν ἅγιον, ἐλάττονι διαστήματι ἢ ὅσον λίθου βολὴ τελεσθείη. Ἦν δὲ καὶ ὁ Γαβριὴλ μετ' ἐμοῦ, καὶ ἤγαγέ με εἰς ἀπορρῶγα ἐν τῷ οἴκῳ τῷ ἁγίῳ ἐν τῇ Ἱερουσαλήμ. Καὶ εἶπέ μοι ὁ Γαβριὴλ, Κατάβηθι, ὅτι ἀπὸ τῆς πέτρας ταύτης ἀναβήσῃ εἰς τὸν οὐρανόν. Καὶ κατέβην, καὶ ὁ Γαβριὴλ ἠσφαλίσατο μετὰ κύκλου πρὸς τὴν ἀπορρῶγα τὸ κτῆνος τὸ Μπεράκ, καὶ ἐβάστασέ με ἐν τοῖς ὤμοις αὐτοῦ μέχρι τοῦ οὐρανοῦ. Καὶ ὅτε ἤλθομεν πρὸς τὸν οὐρανὸν, ἔκρουσε τὴν θύραν ὁ Γαβριὴλ,

A

B

C

D

Quis adeo stultus sit, qui fieri hoc non potuisse non intelligat? Itaque hinc quoque manifestum est, Mohametis nomen scriptum non fuisse in Evangelio. Jam si Ismaelitæ nomen Mohametis dicerent in solo Evangelio scriptum fuisse, sed ejectum esse a Christianis, sufficeret ea, quam instituimus, disputatio, ut intelligeretur, quod res est, haud vere istos dicere; sed affirmant iidem, nomen illud in Genesi, a Moyse conscripta, fuisse. Quomodo igitur e Testamento Vetere ab Hebræis ejectum est? Nam ne illic quidem vestigium indicii Mohametis comparet, Ecce autem, Christianos invidia commotos illius nomen ejecisse Musulmani dicunt: qua re commoti Hebræi? Qui quidem circumcisione et aliis quibusdam rebus, velut usu ciborum et institutis aliis, cum Musulmanis concordant. Enimvero vides manifesto, nec in vetusto libro Moysis, nec in Evangelio nomen Mohametis fuisse.

Atque hæc quidem propterea disputavimus, ut etiam plane imperitos ad verum cognoscendum perduceremus.

5. Scelestus in extrema mala delabitur æquo animo, eximius Solomo dicit. Quis autem Mohamete magis scelestus? Et quæ mala sive potius malorum tenebræ, in quas non delapsus sit nequam iste? nam cum reliquis commentis et mendaciis portentosis etiam perversam hanc itineris fabulam, ad verbum translatam, in capite filiorum Israelis narravit. « Laus esto Domino, qui servum suum una nocte a sacello Elarami, quæ est ædes Meccæ, ad longissime distans sacellum duxit, quæ sancta ædes Hierosolymorum est. Mohametes quodam die, postquam psallit horam suam, homines ita allocutus est: Audite, homines. Heri, cum a vobis discessissem, adiit me Gabriel post extremam psalmodiam, et, Mohametes, inquit, jubet te Deus se videre. Cui respondi: Ubinam eum videbo? Tum Gabriel: In loco eo, in quo est, simulque adduxit mihi jumentum majus asino, sed minus mulo, cujus nomen Berac erat. Deinde dixit: Conscende hanc bestiam et vehere ad sanctam ædem. Sed bestia, cum eam conscendere vellem, aufugit. At ille clamavit: Consiste: Mohametes enim te conscensurus est. Respondit bestia: Propter illumne missus sum? Ad quæ Gabriel, Es, inquit. Rursus bestia: Non permittam ei, ut me conscendat, nisi prius pro me Deum precatus sit. Itaque ego Deum precatus pro bestia, conscendi eam. Asportavit me facili itinere, et ungulam pedis in orbe, quo finiebatur visus ejus, ligebat. Ita ego in sanctam ædem perveni breviori spatio, quam quo jactus lapidis conficitur. Comitabatur me etiam Gabriel et duxit me in præcipitium quoddam in æde Hierosolymorum, dixitque: Descende, ut ex hoc saxo ascendas in cœlum. Descendi igitur, atque ligavit Gabriel annulo in præcipi-

Digitized by Google

ἐρρήθη τε πρὸς αὐτὸν, Τίς εἶ; Ἀπεκρίθη δὲ, Ἐγώ εἰμι ὁ Γαβριήλ. Ἐρρήθη τε πάλιν αὐτῷ, Τίς ἐστι μετὰ σοῦ; Ἀπεκρίθη, Ὁ Μαχούμετ. Εἶπε δὲ ὁ θυρωρὸς, Μὴ ὑπὲρ τούτου ἦν ἡ ἀποστολή; Καὶ εἶπεν ὁ Γαβριήλ, Ναί. **361** Καὶ ἠνοιξεν ἡμῖν τὴν πύλην, καὶ εἶδον ἔθνος ἀγγέλων, καὶ ὃς κάμψας ὑπὲρ αὐτῶν τὰ γόνατα ἐξέχεον προσευχήν. Καὶ μετὰ ταῦτα ἔλαβέ με ὁ Γαβριὴλ καὶ ἤγαγέ με πρὸς τὸν δεύτερον οὐρανόν· ἦν δὲ τὸ διάστημα τῶν δύο μέσων οὐρανῶν ὁδὸς πεντακοσίων ἐτῶν. Καὶ ὥσπερ πρῶτον ἔκοψε τὴν θύραν καὶ ἀπόκρισις γέγονεν αὐτῷ. Οὕτως καὶ μέχρις ἑβδόμου οὐρανοῦ κατὰ πάντα γέγονεν ὁμοίως, ἐν ᾧ ἑβδόμῳ οὐρανῷ διαγράφει ἰδεῖν λαὸν ἀγγέλων, τὸ μῆκος ἑνὸς ἑκάστου πολλαχιλιοπλάσιον τοῦ κόσμου, ἀφ' ὧν τις εἶχεν ἑπτακοσίας χιλιάδας κεφαλὰς καὶ ἐν ἑκάστῃ κεφαλῇ ἑπτακοσίας μυριάδας στόματα καὶ ἐν ἑκάστῳ στόματι ἑπτακοσίας χιλιάδας γλώσσας, αἰνούσας τὸν Θεὸν ἑπτακοσίαις μυριάσιν ἰδιώμασι. Καὶ προσέβλεψεν ἕνα τῶν ἀγγέλων θρηνοῦντα, καὶ ἐζήτησε τὴν αἰτίαν τοῦ θρήνου αὐτοῦ, καὶ ἀπεκρίθη ἁμαρτίαν εἶναι· αὐτὸς δὲ ἐδεήθη ὑπὲρ αὐτοῦ. « Οὕτω τε, φησὶν, ὁ Γαβριὴλ παρέθετό με ἀγγέλῳ ἑτέρῳ καὶ ἄλλος ἄλλῳ, καὶ οὕτως ἐφεξῆς, μέχρις ἔστην ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ βήματος αὐτοῦ. Καὶ ἥψατό μου ὁ Θεὸς τῇ χειρὶ αὐτοῦ ἐν μέσῳ τῶν ὤμων, ἕως οὗ ἡ ψυχρότης τῆς χειρὸς αὐτοῦ διῆλθε μέχρι τοῦ μυελοῦ τῆς ῥάχεώς μου. Καὶ εἶπέ μοι ὁ Θεὸς, Ἐπέθηκα σοὶ καὶ τῷ λαῷ σου εὐχάς. » Καταβάντι δέ μοι πρὸς τὸν τέταρτον οὐρανὸν συνεβούλευσεν ὁ Μωϋσῆς ἐπανελθεῖν με πρὸς τὸ κουφίσαι τὸν λαὸν, μὴ ὄντα δυνατὸν ἐξαρκεῖν τοσαύτῃ εὐχῇ. Καὶ τῇ πρώτῃ ἐπανόδῳ ἔλαβον ἄνεσιν ἀπὸ τοῦ δέκα μέχρι καὶ **362** τῆς τετάρτης ἐπανόδου· καὶ τῇ πέμπτῃ ἐπανόδῳ τοσοῦτον ἦλθεν εἰς τὸ ἔλαττον τῶν εὐχῶν ὡς ὀλίγας ἐναπομεῖναι. Εἰπόντος δὲ τοῦ Μωϋσέως μηδὲ τοσοῦτον δυνήσεσθαι τὸν λαὸν, ἐγὼ αἰσχυνθεὶς ὡς τοσαυτάκις ἀναβὰς οὐκ ἀνέβην πλέον, ἀλλ' ἐλθὼν εἰς τὸ Μπεράκ ἤλαυνον ἐπανιὼν εἰς τὸν οἶκον τοῦ Μεκκέ. Τούτων δὲ πάντων χρόνος ἐλάττων ἢ τὸ δέκατον μέρος τῆς νυκτός. Καὶ διηγησαμένου πρὸς τὸν λαὸν τοῦ Μωάμεθ τὴν θεωρίαν ταύτην, ἀπέστησαν ἀπὸ τοῦ νόμου αὐτοῦ χιλιάδες ἀνθρώπων πολλαὶ, λέξαντες αὐτῷ, Ἀνάβηθι τῇ ἡμέρᾳ εἰς τὸν οὐρανὸν ὁρώντων ἡμῶν, ὡς ἂν ἴδωμεν τοὺς συναντήσαντάς σοι ἀγγέλους· οὐκ ἐπέγνως τὸ ἑαυτοῦ ψεῦδος. Καὶ εἶπεν ὁ Μωάμεθ, « Αἴνεσις τῷ Θεῷ μου, μὴ ἄλλ τί εἰμι ἐγὼ ἢ εἷς τῶν ἀνθρώπων καὶ ἀπόστολος. Οἱ πρὸ ὑμῶν οὐκ ἐπίστευον θαύμασιν, οὐδὲ ὑμεῖς αὐτοῖς πιστεύετε, οὔτε πιστεύετε ἄλλως εἰ μὴ διὰ ξίφους. »

Καὶ τί δ' ἂν τις εἴποι περὶ τῆς τοιαύτης ψευδοῦς καὶ ἀδοξοτάτης θεωρίας; ἐξ αὐτοῦ γὰρ τοῦ Μωάμεθ ἔχει τὸν ἔλεγχον· αὐτὸς γάρ ἐστιν ὁ εἰπὼν, ὅτε ἐχολίετο ἀφρίζων ὑπὸ τοῦ πάθους, ὅτι τοῦ Γαβριὴλ ἐρχομένου πρὸς αὐτὸν ἀπεσταλμένου παρὰ Θεοῦ δῆθεν οὐκ ἠδύνατο φέρειν τὴν τοῦ ἀγγέλου ὄρασιν [τοῦτον], καὶ διὰ τοῦτο πίπτειν ὡσεὶ νεκρὸν, τοὺς δὲ παρὰ τοῦ ἀγγέλου λόγους ἀκούειν ὥσπερ τινὰ κώδωνα **363** χαλκοῦν ἠχοῦντα. Ὁ τοίνυν μὴ δυνηθεὶς φέρειν ἑνὸς ἀγγέλου ὀπτασίαν πῶς τοσούτων ἀγγέλων αὐγὴν ἠδυνήθη θεάσασθαι, περιεργάσασθαί τε καὶ μετρῆσαι τὰς τοσαύτας κεφαλὰς τῶν ἀγγέλων τὰς ἐντός τε τῶν στομάτων αὐτῶν γλώσσας, ἀλλὰ δὴ

tio Berac bestiam, inque ipsius tergo deinde in cœlum perlatus sum. Cum ad cœlum venissemus, porta a Gabriele percussa, rogatum est : Quis adest? Respondit ille : Ego adsum Gabriel. Rursus rogatum est : Quis tecum est? Ille, Mohametes, respondit. Tum janitor : Nonne ob eum iter istud susceptum est? Est, Gabriel dixit. Illico aperta est janua ac vidi angelorum multitudinem, coram quibus, bis flexis genibus, preces fudi. Post hæc comprehendit me Gabriel et deduxit me in secundum cœlum. Erant autem duo hæc cœla quingentorum annorum itinere dissita. Sicut prius janua percussa et responsum datum est. » Ita ad septimum cœlum eodem ubivis modo factum est, in quo quidem cœlo vidisse se scribit angelos longitudine pluries millies longitudinem mundi æquantes, qui septingenties millena capita, in quovis capite decies septingenties millena ora, in quovis ore septingenties millenas linguas haberent, quibus Deum decies septingenties mille modis laudarent. Vidit unum angelum lacrymantem, qui causam quærenti, cur lacrymaret, peccatum quodpiam causam esse dixit. Pro hoc precatus est. « Ita me, ait, Gabriel alii angelo tradidit, hic rursus alii, et sic deinceps, donec coram Deo et throno ejus adstabam. Tetigit me Deus manu inter medios humeros, unde frigus me ad medullam spinæ penetravit; dixitque Deus : Imposui tibi et populo tuo preces. Descendenti mihi ad quartum cœlum suasit Moyses, ut redirem ad levandum populum, quippe faciendis istis precibus imparem. Atque obtinui a primo reditu remissionem ad quartum usque; et quinto reditu adeo imminutus erat precum numerus, ut paucæ superessent. Cum autem Moyses diceret, ne tot quidem precibus faciendis parem fore populum, pudore commotus, quod toties jam redissem, non redii amplius; sed ad Berac reversus et in ædem Meccæ revectus sum. His omnibus negotiis vix decima pars noctis consumpta est. Quod iter cum populo suo Mohametes narraret, defecerunt a lege ejus multa hominum millia, qui dicerent : « Ascende interdiu in cœlum, nobis spectantibus, ut videamus tibi obvios angelos. Ipse non sentis mendacium tuum. » Respondit Mohametes : « Laus Deo esto! equidem nihil aliud sum, quam unus ex hominibus et legatus. Nec majores vestri fidem habuerunt miraculis, nec vos habetis, nec creditis omnino nisi ense coacti. »

Quid dicas de tali mendacio et itinere maxime omnium incredibili? ex ipso Mohamete refutatur. Etenim ipse dixit, cum morbo correptus volveretur spumanti ore, Gabriele ad se accedente, utpote a Deo misso, non potuisse se ferre aspectum angeli, et propterea exanimem concidisse, sermonem angeli autem tanquam sonum campanæ æneæ exaudisse.

Digitized by Google

καὶ τὰς διαφόρους ἐναλλαγὰς καὶ ἰδιότητας τῶν ὕμνων τοῦ Θεοῦ; μὴ μόνον γὰρ τοῦ Γαβριὴλ μείζονα εἶναι λέγει ἑαυτὸν, ἀλλὰ καὶ πάντων ἐκείνων εἰς οὓς ὁ Γαβριὴλ οὐκ εἶχε παρεισδυσιν, ἀλλὰ τοσοῦτον ἦν ἀποδέων ἐκείνων ὥστε τὸν Μωάμεθ αὐτὸν ἑτέρῳ ἀγγέλῳ παραδοῦναι, ὁ δ' αὖ ἑτέρῳ καὶ ἐφεξῆς ἄλλῳ, καὶ οὕτως εἰσελθεῖν εἰς τὸν Θεὸν καὶ συντυχεῖν ἀλλήλοις, ἔτι μὴ μόνον μείζονα πάντων ἐκείνων δεικνύειν ἑαυτὸν, ἀλλὰ καὶ ὑπὲρ ἐκείνων εὐχόμενον. Ἐῶ λέγειν περὶ τοῦ μεγάλου ἐκείνου καὶ θεόπτου Μωϋσέως, ὃν, ὥς φησιν, εἶδεν ἐν τῷ τετάρτῳ οὐρανῷ. Αὐτὸν δὲ ὑπεραναβῆναι καὶ τοῦ ἑβδόμου, καὶ ἀπελθεῖν μέχρι καὶ τοῦ Θεοῦ, ὁμιλῆσαί τε αὐτῷ. Μετὰ δὲ ταῦτα ἐξελθεῖν καὶ κατελθεῖν ἐν τῷ τετάρτῳ οὐρανῷ, ὡς εἴρηται, καὶ συντυχεῖν τῷ Μωϋσεῖ, συμβουλεῦσαί τε αὐτὸν τούτῳ ἐπαναστραφέντα παρακαλέσαι τὸν Θεὸν ὑπὲρ τοῦ λαοῦ καὶ γενέσθαι κουφοτέραν τὴν εὐχὴν ὡς ἀδυνάτως ἔχοντος πρὸς αὐτήν· καὶ δεξαμένου τούτου τὴν βουλὴν ἐπαναστραφῆναι πρὸς τὸν Θεὸν καὶ ζητῆσαι τὸ περὶ τούτου, καὶ προσδεχθῆναι τὴν ζήτησιν αὐτοῦ καὶ γενέσθαι ἐλαφροτέραν τὴν εὐχήν. Καὶ αὖ τοῦ Μωϋσέως ἀναγκάσαντος αὐτὸν αὖθις ἐπαναστραφῆναι ἕως πεντάκις πρὸς **364** τὸν Θεὸν, καὶ πάλιν γενέσθαι πολλῷ ἐλάττω τὴν εὐχήν. Καὶ μὴ ἀρκεσθέντα τὸν Μωϋσῆν εἰπεῖν καὶ αὖθις ἵνα ἐπαναστραφῇ πρὸς τὸν Θεὸν καὶ αἰτήσῃ συγγνωμονεστέραν γενέσθαι τὴν εὐχήν. Οὐ κατένευσεν, ἀλλὰ καὶ κατελθεῖν εἰς τὸ Μπαράκ καὶ ἐλαύνειν, ἕως ἂν ἔλθῃ ἔνθα ἦν πρότερον. Σκόπει

A οὖν ψεῦδος πάσης ἀγνωσίας μεμεστωμένον. Τὸν Θεὸν ὄντινα ὁμολογεῖ αὐτὸς ὁ Μωάμεθ ποιητὴν οὐρανοῦ τε καὶ γῆς, ἐνσώματον δεικνύει καὶ οὐκ ἀσώματον· τὸ γὰρ Θεῖον ἀσώματον, ἄποσόν τε καὶ μὴ ἔχον μέγεθος, οὐδὲ ἐν εἴδει περιγραπτόν· τὸ δὲ οὕτως ἔχον τὰ ἐν τῇ ἰδίᾳ αὐτοῦ φύσει πῶς ἂν ἐκ μερῶν; εἰ γάρ τις δοίη τοῦτο ὑπάρχειν, πῶς νοηθήσεται ἀσώματον; τὸ γὰρ ἐν σχήματι ὂν πάντως καὶ ἐν ποσῷ καὶ ἐν τόπῳ, καὶ ἐξ ἀνάγκης περιγραπτόν. Ταῦτα δὲ σωματικά. Καὶ τὰ τοῦ σώματος ἴδια πῶς ἂν ἐπὶ τῆς μακαρίας ἐκείνης καὶ ἀσωμάτου φύσεως τοῦ Θεοῦ λογίσηταί τις διανοίας μέτοχος ὤν; καὶ ὁ μὲν πατριάρχης Ἀβραὰμ ἐν τῇ πάλαι θεοφανείᾳ γῆν καὶ σποδὸν ἑαυτὸν ἐλογίσατο καὶ ἐκάλεσε· τοῦ δὲ Δανιὴλ τοῦ τοιούτου καὶ τοσούτου, ἄγγελον ἰδόντος, ἐστράφη
B ἡ δόξα αὐτοῦ εἰς διαφθοράν, τοῦτ' ἔστι, παρὰ βραχὺ ἀπεβάλλετο τὴν ἑαυτοῦ ζωήν· ὁ μὲν Δαβὶδ φησιν « Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν. » Ὁ δὲ Μωάμεθ, τὰς ἀγγελικὰς πάσας ὑπεραναβὰς δυνάμεις, ἀμέσως τῷ Θεῷ προσωμίλησε **365** καὶ ὑπὲρ ἀγγέλων καὶ παντὸς τοῦ κόσμου δεήσεις ἐποίησε καὶ τῆς εὐχῆς οὐκ ἀπέτυχεν. Ἐγὼ δὲ ἀπορῶ πῶς οὐκ ἔφη τολμήσας ὁ αὐθάδης οὗτος καὶ ἀλαζὼν ὅτι κατέλαβε τὴν τοῦ Θεοῦ φύσιν ὥσπερ αὐτὸς ὁ Θεὸς οἶδεν αὐτήν. Ἀλλ' ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτὸν καὶ τοὺς μετ' αὐτοῦ, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς.

Ἔτι οὐκ ἠδύνατο ὁ Θεὸς γινώσκειν τὴν δύναμιν τοῦ λαοῦ, ἀλλ' ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτῶν

Qui igitur unius angeli conspectum non tulit, quomodo tot angelorum splendorem spectare potuerit, aut examinare et metiri tot eorum capita et quæ in oribus eorum inerant linguas, et vero varias vicissitudines proprietatesque hymnorum Dei? Atenim non solum Gabriele majorem se esse dicit, sed etiam omnibus illis, ad quos Gabrieli non patebat aditus, cum is tanto illis inferior esset, ut Mohametes ab eo alii, et ab hoc rursus tertio, et sic deinceps reliquis traderetur, et ita ad Deum intraret et cum eo colloqueretur: quin imo se non solum majorem esse angelis, sed etiam pro iisdem precatum esse affirmat. Omitto dicere de magno illo, qui Deum vidit, Moyse, quem se in quarto cœlo invenisse narrat; ipsum autem etiam ultra septimum ascendisse et processisse usque ad Deum cumque eo collocutum esse; deinde exiisse et descendisse ad quartum cœlum, ut commemoravimus, et convenisse ibi Moysem, qui sibi suaserit, ut reversus Deum super populo precaretur, ad levandum eum precibus, quippe ad quas faciendas non valeret populus; itaque, probato eo consilio, ad Deum redisse et, de ea re precatum, voti compotem factum esse, precesque imminutas esse; ac Moyse denuo cogente, redisse ad Deum quater deinceps, semperque multo faciliores factas esse preces. At ne sic quidem satis habuisse Moysem, sed rursus suasisse, ut ad Deum rediret, ad remissionem precum rogandam; ipsum autem non consensisse, sed ad Barac descendisse et avectum esse, donec re-

C disset in eum locum, in quo ante fuisset. En jam mendacium omni inscitia repletum. Quem ipse Mohametes fabricatorem cœli et terræ esse dicit Deum, eum corporeum esse ait, non incorporeum: cum tamen numen divinum non habeat corpus nec magnitudinem, nec figura describi possit. Ita autem natura sua comparatum. Numen quomodo partibus constet? Hoc enim qui statuat, quomodo idem esse incorporeum dicat? Nam quidcunque figuram habet, magnitudinem et ambitum habet et necessario describi potest. Hæc autem corporea sunt. Corporis proprietates autem quomodo qui rationis non expers est in divinam illam et incorpoream naturam Dei transferat? Abrahamus quidem patriarcha in vetusto illo adventu Dei terram et cinerem se
D existimavit appellavitque, et cum Daniel, talis ac tantus vir, angelum videret, mens ejus in perniciem versa est, hoc est non multum aberat, quin vitam amitteret; atque David dicit « qui terram prospicit et tremefacit. » Sed Mohametes, omnes angelicas vires superans, nemine intercedente, Deum convenit, et super angelis et universo mundo preces fecit, nec non compos factus est voti. Equidem miror, quod petulans iste nebulo non ausus est affirmare, perspexisse se Dei naturam, quemadmodum eam ipse Deus noverit. Verum qui in cœlis habitat, irridebit ipsum et asseclas ejus, atque ludibrio eos habebit Dominus.

Deinde Deus ignorabat vires populi, legemque imposuit cervici ejus, quam ferre non possent. At

Digitized by Google

νόμον δν οὐκ ἠδύναντο βαστάζειν. Καὶ πῶς Θεὸς, ᾧ οὐ γινώσκει τὰ ποιήματα αὐτοῦ μηδὲ τὴν δύναμιν τοῦ ποιήματος αὐτοῦ ; Εἰ δὲ Θεὸς ὢν ἀληθὴς καὶ τὰ πάντα γινώσκων πρὶν τῆς γενέσεως αὐτῶν ἔδωκε νόμον μὲν ἀτελῆ διὰ τοῦ Μωϋσέως διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν, τέλειον δὲ τὸν διὰ τοῦ Εὐαγγελίου, πῶς τὸ τέλειον ὥσπερ ἀγνοῶν ἢ μεταμεληθεὶς εἰς τὸ ἀτελὲς πάλιν κατήγαγε ; Τὸ γὰρ τέλειον οὕτως ἐστὶ τέλειον, εἴπερ οὔτε ἐλλιπές ἐστιν οὔτε περιττὸν καὶ παρέλκον, ὥσπερ τὸ Εὐαγγελιόν μαρτυρεῖ ἡ ἀλήθεια. Ἀλλὰ καὶ αὐτὸς ὁ Μωάμεθ τέλειον καὶ ἀληθὲς καὶ ἅγιον καὶ σωτηρίαν καὶ ὁδηγίαν ἀποκαλεῖ. Οἱ δὲ τοῦ τοιούτου Μωάμεθ ἀκόλουθοι, δικαιοῦντες τὸν ἀσεβῆ, λέγουσιν ὅτι ὁ μὲν Χριστὸς ἐδίδαξε μεγάλα καὶ ἀδύνατα· τίς γὰρ δύναται ἀγαπᾷν τὸν πλησίον ὡς ἑαυτὸν καὶ τὸν Θεὸν ἐξ ὅλης; αὐτοῦ τῆς καρδίας ; Τίς δύναται ὑπὲρ τῶν διωκόντων καὶ συκοφαντούντων εὔχεσθαι ; Τίς δύναται ἀγαπᾷν **366** τοὺς ἐχθροὺς αὐτοῦ ; καὶ τὰ ἕτερα. Καὶ διὰ τοῦτο ἐπέστειλεν ὁ Θεὸς τὸν Μωάμεθ καὶ τὸ κορὰν συγκαταβάσεως ἕνεκεν, ἵνα ῥᾳδίως πληρῶσιν οἱ ἄνθρωποι τὸν νόμον πρὸς τὴν αὐτῶν σωτηρίαν. Εἴπερ γοῦν οὐκ ἀνεφαίνετο ὁ Χριστὸς Θεὸς καὶ Θεοῦ Υἱὸς, ἀλλ' οὕτως ἁπλῶς ἄνθρωπος ὡς ὁ Μωϋσῆς, ἐδεόμεθα ἂν τινων ἀποδείξεων εἰς τὴν τῆς ἀληθείας φανέρωσιν· ἐπεὶ δὲ Θεὸς ἀληθὴς τρανῶς ἀναφαίνεται, περισσὸν ἦγημαι δοῦναι ὅλως ἀπολογίαν περὶ τούτου· ὡς γὰρ Θεὸς καὶ ποιητὴς, οἶδε τὴν τοῦ ποιήματος αὐτοῦ δύναμιν. Ἀλλ' ὅμως ἴδωμεν καὶ ἐκ τῶν τοῦ Μωάμεθ λόγων τὸ ἄτοπον. Αὐτός ἐστιν ὁ μαρτυρῶν καὶ λέγων ὅτι ὁ Χριστὸς Λόγος Θεοῦ ἐστὶ καὶ ψυχὴ Θεοῦ ἐστὶ καὶ Πνεῦμα Θεοῦ. Καὶ εἰ Λόγος Θεοῦ ἐστὶ, πῶς παραλόγως ὁ τὰ πάντα εἰδὼς ἐποίησεν, Ὁ γὰρ τοῦ Θεοῦ Λόγος οὐκ ἂν ποτε ἀγνοῶν εὑρίσκεται· οὔτε γὰρ ὡς Υἱὸς τοῦ Θεοῦ ἐστιν ἐλάττων αὐτοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, οὔτε ὡς Λόγος αὐτοῦ. Καὶ εἰ ψυχὴ καὶ Πνεῦμα Θεοῦ ἐστι, πῶς εἰς τε τὰς ψυχὰς τῶν ἀνθρώπων καὶ τὰ πνεύματα βάρος ἐνέθηκε μὴ δυνάμενα φέρειν αὐτό ; Ἔτι ὁ αὐτός φησι πρὸς τοὺς αὐτῷ ἀκολουθοῦντας ὅτι οὐδέν εἰσιν εἰ μὴ πληρώσαιεν τόν τε Μωσαϊκὸν νόμον καὶ τὸ Εὐαγγέλιον καὶ τὸ κοράν. Καὶ εἰ μὲν βαρέα καὶ δυσβάστακτα διδάσκει τὸ Εὐαγγέλιον, πῶς ὁ διδάσκαλος ὑμῶν οὕτω παραγγέλλει ὑμῖν, ὡς εἰ μὴ πληρώσητε τόν τε παλαιὸν νόμον καὶ τὸ Εὐαγγέλιον, οὐδέν ἐστε, τοῦτ' ἔστιν οὐδεμία ὠφέλειά ἐστιν ἐν ὑμῖν ; Εἰ δὲ **367** τέλειόν ἐστι τὸ Εὐαγγέλιον, ὥσπερ καὶ ἔστι, ματαίως ἄρα δικαιοῦτε τὸ κορὰν ὅτι συγκαταβάσεως χάριν ἐξεδόθη, καὶ ἀληθῶς καταψεύδεσθε τοῦ Χριστοῦ καὶ τοῦ Εὐαγγελίου, τέλειον εἶναι δεόμενον διορθώσεως.

Ἔτι δὲ εἰ ὁ Γαβριὴλ ἀνελάβετο αὐτὸν ἐπὶ τοῦ ὤμου αὐτοῦ, τίς χρεία ζώου, ἵνα ἀπὸ τοῦ Μεκκὶ διακομίσῃ αὐτὸν ἕως Ἱερουσαλήμ ; Ἔτι τίς μετρήσας τὸ τῆς ὁδοῦ μῆκος τὸ ἀπὸ τοῦ πρώτου οὐρανοῦ μέχρι τοῦ δευτέρου καὶ εὑρὼν αὐτὸ πεντακοσίων ἐτῶν διάστημα ἀνήγγειλε τῷ Μαχούμετ ; Ἔτι εἰ μὲν διὰ βημάτων τοῦδε ἐμετρήθη τοῦτο τὸ διάστημα, πῶς περιεπάτησε σῶμα πάχος ἔχον τὰ ὑπεράνω τῶν οὐρανῶν, ὡς αὐτὸς τερατεύεται ; Εἰ δὲ τοῦτο μὲν ἀδύνατον, ἄγγελοι δὲ καὶ ψυχαὶ ἀνέρχονται, πῶς τὰ ἀσώματα σωματικῷ βήματι μετροῦσι

quomodo Deus sit, qui haud noverit opus suum nec operis sui vires ? Si Deus verus et qui omnia nosset, antequam fierent, legem imperfectam per Moysem propter imbecillitatem hominum, perfectam autem per Evangelium edidit, quomodo perfectam hanc quasi oblitus et negligens rursus in imperfectam converterit? Perfectum enim est, quidquid nec mancum, nec nimium est, quale sane Evangelium esse constat. Adeo ipse Mohametes Evangelium perfectum, verum, sanctum, et salutem et viam vitæ appellat. Mohametis asseclæ autem, quo impium hunc hominem defendant, aiunt, Christum magna et majora, quam præstari possint, præcepisse. Quis enim alium ut seipsum, et Deum ex omni animo diligat? Quis pro iis qui nos insectantur et calumniantur, precetur ? Quis inimicos amet ? et quæ alia hujus generis sunt. Itaque Deum Mohametem et Coranem ob indulgentiam misisse, quo facilius homines legi ad salutem suam satisfaciant. Si Christus non esset manifesto Deus et Dei Filius, sed simpliciter homo, sicut Moyses ille, forsan argumentis opus foret ad verum demonstrandum; sed cum eum revera Deum esse sit in confesso, omnino ejus causam agere supervacaneum esse arbitror. Nam ut Deus et creator vim operis sui novit. Sed videamus tamen in Mohametis verbis quid insit ineptiarum. Ipse testatur ac dicit, Christum rationem Dei, et animam Dei, et Spiritum Dei esse. Quodsi ratio Dei est, quomodo, qui cuncta novit, sine ratione egerit? in ratione Dei enim nulla omnino inscitia inest. Neque enim ut Filius Dei minor est Deo ipso et Patre, neque ut ratio ejus. Atque si anima et Spiritus Dei est, quomodo animis et spiritibus hominum onus imposuerit, quod ferre non possint? Idem asseclis suis dicit, nihil eos esse, nisi legi Mosaicæ, Evangelio et Corani satisfaciant. Quodsi gravia et difficilia ad ferendum injungit Evangelium, quid magister vester ita vobis præcepit, nisi veteri legi et Evangelio satisfaciatis, vos nihil esse, hoc est nihil frugis habere? Deinde si perfectum est Evangelium, ut est sane, nequidquam Coranem ita tueri conamini, ut eum indulgentiæ causa editum esse dicatis, et omnino inepte de Christo Evangelio affirmatis, perfectum illud esse, cum correctione egeat.

Præterea, si Gabriel eum humeris imposuit, quid bestia opus erat ad ferendum eum Mecca Hierosolyma? aut quis longitudinem viæ a primo cœlo ad secundum emensus, eam distantiam itineri quingentorum annorum parem esse reperit et Mohameti prodidit? Nam si gradibus mensurata est ea distantia, quomodo corpus crassum ultra cœla processit, ut ille hallucinatur? Quodsi hoc fieri non potuit, sed angeli et animæ ascendunt, quomodo regiones super cœlum sitas corporeis gradibus metiantur

Digitized by Google

τὰ ὑπὲρ τὸν οὐρανὸν, ἅτινα ἐν ἐλαχίστῳ χρόνῳ δύ- A
ναντα διελθεῖν τὰ ὑπὸ τὸν οὐρανὸν, ἀέρα λέγω καὶ
αἰθέρα καὶ τὰ τούτοις ὅμοια ; Ἔτι μὲν πῶς εἰς τὴν
ἀνάβασιν ἐδεήθη ἀγγέλων ἀναβιβάσαι αὐτὸν εἰς τοὺς
οὐρανοὺς, ἐν δὲ τῇ καταβάσει οὐδαμῶς, ἀλλὰ μόνον
τοῦ ζώου Μπαράκ, ἵνα καὶ πάλιν αὐτὸν εἰς τὸ
Μεκκὲ διασώσηται ; Καὶ τίς οὕτω παράφρων ὁ μὴ
τῶν τοιούτων κατεγνωκώς ;

Διά τοι τοῦτο παντελῶς κωλύουσιν οἱ ἐκείνου
ἀκόλουθοι μετά τινων διαλέγεσθαι, τὸν ἔλεγχον δει-
λιῶντες· οὐδὲ γὰρ **368** ἀγνοοῦντές εἰσι τὴν τοῦ
διδασκάλου αὐτῶν ματαιότητα. Ἀλλ' ὅμως κἀκεῖ-
νοι ἀσύμφωνοι πρὸς ἀλλήλους ὑπάρχουσιν. Οἱ μὲν
γὰρ τῷ τοῦ θανάτου φόβῳ καὶ ἄκοντες ἔπονται, εἰ
δ' ἴσως ἀφόβως καὶ ἐν ἐξουσίᾳ ἰδίᾳ ἐγένοντο, εὐθὺς
Χριστιανοὶ ἐγένοντο ἄν· οἱ δὲ τῇ πλάνῃ συναπαχθέν- B
τες ὡς βέβαια καὶ ἀληθῆ καὶ ὡς ὁμολογημένα ἔχουσι
τὰ τοῦ Μωάμεθ ψεύδη καὶ τερατεύματα· οἱ δὲ οὐ
βούλονται ἀποστῆναι τῆς πατροπαραδότου πλάνης
αὐτῶν αἰδοῖ τῶν γονέων, ἀλλ' ἐπ' ἐκείνοις τιθέασι
τὴν αἰτίαν τῆς πρὸς Θεὸν ἀπολογίας· οἱ δὲ διὰ τὸ
ἄνετον καὶ ἐλεύθερον καὶ περὶ τὰς ἡδονὰς ἐνδό-
σιμον οὐ βούλονται ἀποστῆναι τῆς πλάνης, ἀλλὰ τὴν
ἀκαθαρσίαν καὶ ματαίαν δίαιταν προαιροῦνται, γι-
νώσκοντες μὲν ὅτι οὐκ εἰσιν ἀπὸ Θεοῦ τὰ λεγό-
μενα, λέγουσι δ' ὅμως ἀντικρυς, ὡς προείρηται,
ὅτι Ὁδὸν ἐντολῶν σου γνῶναι οὐ βούλομαι. Καὶ διὰ
τοῦτο οὐδὲ παραχωροῦσιν ἀναγινώσκεσθαι τὴν θείαν
Γραφὴν παρ' ἐκείνοις, ἵνα μὴ τὸ τοῦ διδασκάλου
αὐτῶν ψεῦδος εἰς ἔλεγχον ἔλθῃ. Ἐν γὰρ τῷ κεφα-
λαίῳ τῷ Ἰωνᾶ οὕτω φησὶν, ὅτι κἂν ὁποῖός ποτε C

φωραθείη ἀντιλέγων τῷ κορὰν, θάνατος ἔστω ἡ τι-
μωρία, μηδὲ πιστεύειν ἕτερον πλὴν αὐτοῦ· ἐν δὲ
τῷ κεφαλαίῳ τῷ Ἀμράμ φησι, « Μὴ πιστεύσητε
ἕτερον πλὴν τοῦ ἑπομένου τῷ ἡμετέρῳ νόμῳ. » Καίτοι γε τὸ Εὐαγγέλιον σωτηρίαν εἶναι λέγων καὶ
ὁδηγίαν, καὶ μηδὲν εἶναι τοῖς Σαρακηνοῖς μὴ πλη-
ρώσασι τὸ Εὐαγγέλιον καὶ τὸν νόμον. Πάλιν δὲ ὁ
αὐτὸς **369** ὥσπερ ἐπιλαθόμενος τῶν ἑαυτοῦ λόγων
ἐν τῷ αὐτῷ κεφαλαίῳ φησὶν ὅτι Ἐμοὶ μὲν ὁ ἐμὸς
νόμος καὶ ὑμῖν ὁ ὑμέτερος· ὑμεῖς ἐλεύθεροί ἐστε
ὧν ἐγὼ πράττω, κἀγὼ ὧν ὑμεῖς. Τοῦτο γοῦν ἴδιόν
ἐστι τοῦ παρατετραμμένου νοὸς, τὸ μὴ μόνον μετὰ
τοῦ καλοῦ τε καὶ ἀγαθοῦ ἀσύμφωνον τοῦτον εὑρί-
σκεσθαι, ἀλλὰ καὶ πρὸς ἑαυτὸν μηδέποτε συμφω-
νεῖν, ὥσπερ καὶ ὁ παρὼν οὑτοσὶ Μωάμεθ ἐν ἄλῳ τῷ
αὐτοῦ συγγράμματι. Τὰ δὲ τῶν Χριστιανῶν οὐχ
οὕτως, ἀλλὰ πᾶσα ἡ θεία Γραφὴ, ἥ τε παλαιὰ ἥ τε
νέα, μία ἑκάστη πρὸς ἑαυτὴν κατὰ πᾶσαν ἀκρίβειαν
συμφωνεῖ, καὶ αὖθις αἱ δύο ὁμοῦ κατὰ πάντα εὑ-
ρίσκονται τὰ αὐτὰ καὶ φρονοῦσαι καὶ λέγουσαι.
Καὶ εἰκότως· ὁ γὰρ αὐτὸς Θεός ἐστιν ὁ ποιητὴς καὶ
νομοδότης τῆς τε νέας καὶ παλαιᾶς. Ἐγὼ δὲ τάχα
ἂν μετά τε Ἡσαΐου καὶ Δαβὶδ τῶν προφητῶν εἶπον·
« Ἵνα τί, Κύριε, ὁδὸς ἀσεβῶν εὐοδοῦται ; » Καὶ ὅτι
ἐμοῦ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες, παρ' ὀλί-
γον ἐξεχύθη τὰ διαβήματά σου· ὅτι ἐζήλωσα ἐπὶ
τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν· ὅτι οὐκ
ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν καὶ στερέωμα
ἐν τῇ μάστιγι αὐτῶν, ἐν κόποις ἀνθρώπων οὐκ εἰσὶ
καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. Διὰ τοῦτο
ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφάνεια εἰς τέλος· περιε-

incorporea, quæ quidem tempore brevissimo ea, quæ infra cœlum sunt, aera et æthera et his similia, transire possunt? Aut quid Mohametes angelis in ascensu egebat, ut in cœla ab iis eveheretur, in descensu non egebat, sed sola bestia Barac usus est ut Meccam rediret? Quis adeo stultus sit, qui hæc improbanda esse non sentiat?

Cavent omnino hanc ob causam illius asseclæ, ne cum quoquam disputent, refutationem metuentes. Neque enim ignorant magistri sui vanitatem. Nihilo tamen minus ipsi inter se dissentiunt. Alii enim inviti metu mortis eum sequuntur, qui, si timore vacui et sui juris essent, statim D Christiani fierent; alii, errore obstricti, ut certa et vera et probata venerantur mendacia et prodigia Mohametis; alii a majoribus sibi traditos errores propter verecundiam parentum relinquere non audent, sed hos sibi ad Deum excusationi fore confidunt; alii denique propter indulgentiam et libertatem et veniam explendæ libidinis errorem deserere recusant, atque impuram et vanam vitam præoptant, qui quæ docentur, divina non esse probe sciunt, sed, ut dixi, liquido profitentur, viam mandatorum Dei nosse se nolle. Eadem de causa nec sacras Litteras legi permittunt, ne magistri sui mendacia agnoscantur. In capite Jona enim dicit, quicunque Coranem impugnans deprehendatur, eum morte mulctandum esse, nec oportere cuiquam, nisi sibi, credi; idem in capite Amram dicit: « Nemini credite, nisi qui legi nostræ obtemperat. » Et tamen Evangelium salutem et viam appellat, et Saracenos, nisi legi et Evangelio satisfaciant, nihil agere dicit. Rursus quasi oblitus, quæ ante dixisset, in eodem capite, « Mihi, inquit, mea lex, vobis vestra est; vos eorum, quæ ego facio, expertes estis, ego eorum quæ vos facitis. » Nimirum insanæ mentis est, non solum cum bonis sapientibusque non consentire, sed etiam secum pugnare, ut Mohametes hic in toto libro suo facit. Haud eadem ratio Christianorum librorum est, sed omnis sacra Scriptura, tum vetus tum nova, non solum pro se utraque accuratissime secum concordat, sed etiam ambas partes prorsus inter se consentientes et congruentes habet. Nimirum idem Deus auctor et legislator novæ et veteris Scripturæ est. Enimvero cum Isaiæ et Davide prophetis rogare, « Quare, Domine, via impiorum sternitur? » atque dicere possim, non multum abfuisse, quin labarent pedes mei et fallerer vestigio; invidisse me impiis, cum viderem peccantium pacem; nullam cerni improbationem in morte eorum nec firmitatem in eorum flagellatione, eos ærumnis hominum non obnoxios esse, nec cum hominibus castigari. Quapropter invasit eos postremum superbia atque

Digitized by Google

βάλλοτο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν. Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν· διήλθοσαν εἰς διάθεσιν καρδίας· διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ· ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. Ἔθεντο εἰς οὐρανοὺς τὸ στόμα **370** αὐτῶν, καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς. Ἀλλὰ σὺν τῷ θεοπάτορι Δαβὶδ καὶ αὐτὸς κεκράξομαι ὅτι Διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά, Κύριε· κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; Ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν, ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου. Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις.

Ἔτι ἐν τῷ αὐτῷ κεφαλαίῳ λέγει ὁ Μωάμεθ ὅτι οἱ δαίμονες σωθῆναι μέλλουσιν, Ὠριγένει αἱρετικῷ ἀκολουθῶν. Καὶ ὅτι μὲν ἐν ἑτέρῳ τόπῳ φησὶν ὅτι πολλοὶ τῶν δαιμόνων ἀκούσαντες τὸ τοῦ Μωάμεθ κοράν ἀναγινωσκόμενον ἐπῄνεσαν καὶ ἐθαύμασαν καὶ πιστεύσαντες αὐτῷ ἐσώθησαν· ἀλλὰ νῦν οὐχ οὕτως, ἀλλὰ καθολικῶς λέγει καὶ ἀποφαίνεται ὅτι σωθῆναι μέλλουσιν οἱ δαίμονες. Εἴπερ γοῦν δύναται σωθῆναι εἷς καὶ μόνος ἐκ τοῦ τάγματος αὐτῶν, δύνανται σωθῆναι καὶ πάντες. Ἀλλ' ὥσπερ πάντοτε αὐτὸς ἑαυτῷ ἀντιλέγει καὶ ἐναντιοῦται, οὕτως καὶ κατὰ τὸ παρὸν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ κατὰ πάντα λέγουσι τὸ Εὐαγγέλιον τέλειον καὶ ἅγιον καὶ σωτήριον ὡς τοῦ Χριστοῦ λόγους, νῦν δ' ὡς καὶ πολλάκις ἐναντία τούτῳ καθόλου λέγουσιν. Ὁ γὰρ Χριστὸς οὕτως εἴρηκε πρὸς τοὺς τῆς γεέννης ἀξίους· « Πορεύεσθε ἀπ' ἐμοῦ, οἱ κατηραμένοι, εἰς τὸ πῦρ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις **371** αὐτοῦ. » Τοῦτο τοίνυν εἰπὼν οὐδένα τῶν δαιμόνων ἀφῆκεν ἐκτὸς τῆς κολάσεως. Καὶ εἰκότως· ὁ γὰρ σεσωσμένος σὺν μετανοίᾳ τὸ κατὰ δύναμιν καὶ αὐτὸς συμβάλλει διὰ πράξεως εἰς τὴν τῆς σωτηρίας ὁδόν. Ἐπὶ γὰρ τοῦ σώματος οὐ δύναται ἄνθρωπος ποιῆσαι τὸ κατὰ βούλησιν ἤτοι τὸ μὴ ἐμπεσεῖν εἰς νόσον, ἢ ἐμπεσὼν οὐκ ἔχει ἐπ' ἐξουσίας ἐπανελθεῖν εἰς τὴν προτέραν ὑγίειαν· ἐπὶ δὲ τῆς ψυχῆς οὐχ οὕτως, ἀλλὰ πᾶς τις ἄνθρωπος ἐπ' ἐξουσίας ἔχει ἵνα μὴ ἁμάρτῃ, ὅπερ ἐστὶν ἀσθένεια ψυχῆς· ἁμαρτὼν δὲ εἰς τὴν αὐτοῦ θέλησίν ἐσειν ἵνα καὶ αὖθις ἀνακαλέσηται ἑαυτὸν, καὶ μὴ μόνον εἰς τὴν προτέραν ὑγίειαν τῆς ψυχῆς ἐπανέλθοι, ἀλλὰ καὶ πολλῷ τῷ μέτρῳ ὑπερβῇ, καὶ ἡ σὺν τῇ μετανοίᾳ, ὡς εἴρηται, ποιήσῃ καὶ ἔργα ἀξιόχρεα, ἢ κατὰ δεύτερον, ὡς φασι, πλοῦν μόνον μετανοῶν εὑρίσκηται. Καὶ ὁ πανάγαθος Θεὸς, ὁ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων κλίνας τοὺς οὐρανοὺς καὶ κατελθὼν καὶ γεγονὼς ἄνθρωπος, ἐχχέει τὸ ἔλεος αὐτοῦ, ὅπερ ἐστὶ μεῖζον πάσης πράξεως ἀγγέλων, τε καὶ ἀνθρώπων, καὶ ἀντὶ πασῶν ἀρετῶν τοῦτο λογίζεται, καὶ πρὸς ἑαυτὸν προσκαλεῖται αὐτοὺς καὶ φίλους αὐτοῦ καθίστησιν. Ἐπὶ δὲ τοῦ διαβόλου ποῦ μετάνοια; ποῦ ταπείνωσις; Ἡ γὰρ μετάνοια ἐκ ταπεινώσεως γίνεται· πρότερον γὰρ καταγινώσκει τις ἑαυτοῦ ὡς κακῶς πράξαντος, ἔπειτα μετανοεῖ ἐφ' οἷς ἥμαρτεν. Ὁ δὲ διάβολος τοὐναντίον στέργει μὲν τὴν ἁμαρτίαν ἣν ἥμαρτε καὶ τὸ κατὰ δύναμιν πρόξενος καὶ συνεργὸς τῆς τῶν ἀνθρώπων ἀπωλείας εὑρίσκεται. Τίς γοῦν κοινωνία Θεῷ καὶ διαβόλῳ; **372** Ἆρα ματαίως ἐλάλησεν ὁ Μωάμεθ, εἰπὼν ὅτι δύνανται σωθῆναι οἱ δαίμονες.

cinxerunt se injustitia et impietate. Emanabit tanquam ex adipe injustitia eorum; processerunt ad componendos animos, meditati et locuti sunt in pravitate, iniquitatem verbis extulerunt; collocarunt in cœlis os suum, et lingua eorum ad terram penetravit. At idem cum patre Dei Davide dicam: « Propter fraudes eorum immisisti iis mala, Domine: dejecisti eos dum se efferunt. Quam præcipites dati sunt in miseriam! Defecerunt, perierunt injustitia sua, tanquam somnium expergiscentis. Delebis, Domine, in urbe tua imaginem eorum. »

Eodem capite Mohametes dæmones salvatum iri dicit, Origenem hæreticum secutus. Quod enim alio loco narrat, multos dæmones, qui Mohametis Coranem prælegi audirent, eum librum laudasse et admiratos esse, et fide ei habenda esse salvatos: nunc quidem non idem dicit, sed in universum docet, dæmones salvos fore. Si enim unus ex eorum ordine salvari potest, omnes salvari possunt. Sed sicut ubivis secum pugnat et dissentit, ita hic quoque. Nam cum ipse et asseclæ ejus Evangelium omnino perfectum, sanctum et salutare esse dicant ut doctrinam Christi, nunc, ut sæpe, huic generali sententiæ contraria proferunt. Christus enim gehenna dignis ita edixit: « Abite hinc, exsecrandi, in ignem æternum paratum diabolo et angelis ejus. » Quod cum diceret, nullum dæmonum exemit de pœna. Nec immerito. Nam qui propter pœnitentiam salvatur, factis suis pro viribus confert ad salutem obtinendam. Corpore enim homo facere, quod vult, non potest, velut a morbo sibi cavere, aut, postquam incidit in morbum, pristinam valetudinem ad arbitrium recuperare; contra animo omni homini licet ac concessum est peccatum vitare, qui morbus animi est, aut, si peccavit, revocare se et non solum recuperare pristinam animi valetudinem, sed etiam longe firmiorem sibi parare, atque aut cum pœnitentia, ut dixi, opera salutaria edere, aut solam viam, ut aiunt, pœnitentiæ tenere. Deus optimus enim, qui ob salutem hominum, relicto cœlo, in terram descendit et homo factus est, misericordiam suam, quæ omnibus angelorum hominumque factis major est et par habetur (unctis virtutibus, effundit, eos ad se invitat et amicos sibi facit. At ubinam in diabolo pœnitentia? Ubinam submissus animus? Pœnitentia enim animi non nisi submissi est. Nam prius aliquis quod male fecerit, se accusat, deinde eum pœnitet eorum quæ fecit. Sed diabolus amat potius peccatum, quod commisit, et pro viribus adjuvat perniciem hominum. Quæ igitur diabolo cum Deo communio? Ergo temere Mohametes loquitur, cum dæmones salvari posse dicit.

Digitized by Google

Ἔτι ὁ αὐτὸς Μωάμεθ φησὶ περὶ τοῦ κοράν ὅτι οὐδεὶς τῶν ἀνθρώπων οὐδ' αὐτὸς ὁ Μωάμεθ γινώσκει τὴν τούτου ἐξήγησιν, ἀλλ' ἢ μόνος ὁ Θεός. Καὶ εἰ τοῦτό ἐστιν ἀλήθεια, ποία ἐστὶν ἡ τοῦ κοράν ὠφέλεια; Ἴσως γὰρ οὕτως ἠδύνατο ὠφελῆσαι, εἴπερ ἐγίνωσκον τὰ παρὰ Θεοῦ λεγόμενα· ἐπεὶ δ' αὐτὸς ὁ Μωάμεθ εὑρίσκεται μαρτυρῶν ὅτι οὐδεὶς τῶν ἀνθρώπων γινώσκει τὰ ἐν τῷ κοράν λεγόμενα, τίς ἡ τούτου ὠφέλεια; Πάντως οὐδεμία. Καὶ τίς μείζων ἄλλη ἀπόδειξις ὅτι οὐκ ἔστιν ἀπὸ Θεοῦ ὁ παρὰ τοῦ Μωάμεθ δοθεὶς νόμος; Οὐ γὰρ δὴ ματαίως νομοθετεῖ ὁ Θεός. Ἰδοὺ τοίνυν καταφανές ἐστι τὸ κοράν, ὅτι οὐκ ἔστιν παρὰ Θεοῦ, ἀλλὰ καὶ ἀνάπλασμά ἐστι διανοίας αὐτοῦ τοῦ κακοδαίμονος. Καὶ πρόδηλον ἐξ αὐτοῦ τοῦ κοράν, ὅτι οὔτε τῇ παλαιᾷ Γραφῇ συμφωνεῖ οὔτε τῇ νέᾳ Διαθήκῃ, καίτοι γε ὁμολογοῦντος τοῦ Μωάμεθ ὅτι ἅγιαι καὶ καλαί εἰσιν αἱ Γραφαί, καὶ ὅτι οὐδέν εἰσιν οἱ ἐκείνου ἀκόλουθοι εἰ μὴ πληρώσαιεν τόν τε νόμον καὶ τὸ Εὐαγγέλιον. Ἔτι σχεδὸν δι' ὅλου αὐτὸς ἑαυτῷ ἐστιν ἀντιλέγων. Ἔτι οὐδὲν θαῦμα ἐποίησεν εἰς πίστωσιν τῶν λεγομένων. Ἔτι ὁμολογούμενα ψεύδη περιέχει, ὅπερ ἐστὶ τοῦ Θεοῦ ἀλλότριον πάντη. Ἔτι βίαιόν ἐστι καὶ καταλύει τὸ αὐτεξούσιον, ὅπερ οὐδέ ποτε ὁ Θεὸς ἀνέτρεψεν. Ἔτι παντελῶς ἐστιν ἄτακτον, καὶ τὸ ἄτακτον μακρὰν ἐστι τοῦ Θεοῦ· οὐ γάρ ἐστιν ὁ Θεὸς ἀταξίας Θεός. Ἔτι πονηρὸν **373** ἀναφαίνεται· καὶ πῶς ἀπὸ τοῦ Θεοῦ τοῦ πάσης ἐπέκεινα εὐθύτητος καὶ ἁπλότητος; Ἔτι πεπλασμένας καὶ τερατώδεις θεωρίας περιέχει· καὶ πῶς τοῦτο ἀπὸ Θεοῦ τοῦ ποιητοῦ καὶ δοτῆρος τῆς ἀληθείας; Τὸ δὲ πάν-

Idem Mohametes affirmat, Coranem nullum hominem interpretari posse, ne ipsum Mohametem quidem, sed solum Deum. Quod si verum est, quæ tandem est utilitas Coranis? Fortasse utilis esse posset, si intelligerent homines a Deo tradita; sed cum Mohametes ipse testetur, nullum hominem intelligere, quæ in Corane doceantur, quænam possit istius utilitas esse? Profecto nulla omnino. Quod autem gravius documentum est, quo probetur, Deum non esse legis a Mohamete constitutæ auctorem? Neque enim nequidquam Deus leges sancit. Manifestum est igitur, Coranem non esse a Deo repetendum, sed potius opus sapientiæ ipsius Satanæ esse; atque ex ipso corane perspicuum est, eum nec cum vetere Scriptura, nec cum Novo Testamento congruere, cum tamen consentiat Mohametes, eas Litteras sacras et pulchras esse, nec quidquam agere asseclas suos, nisi legi et Evangelio satisfaciant. Accedit, ut pene ubivis sibi repugnet; ut nullum miraculum ediderit ad fidem dictis parandam; ut liber iste manifesta mendacia contineat, id quod a Deo prorsus alienum est; ut violentus sit et libertatem tollat, quam Deus nunquam evertit; ut perturbationis plenus sit, quæ a Deo longe abest, quandoquidem Deus non est perturbationis Deus: ut pravus sit, cum Deus omni sit æquitate et justitia superior; ut itinera fictitia et prodigiosa

A των τῶν κακῶν ἔσχατόν καὶ πρῶτον, ὅτι παρὰ δαίμονος ἐξεδόθη τὸ τοιοῦτον κοράν, κἂν καὶ τὸν Θεὸν διαβάλλοντες λέγωσιν ὅτι ἀπὸ Θεοῦ ἐδόθη.

Θαυμάζω γὰρ ἔγωγε καὶ λίαν ἐκπλήττομαι πῶς τὸν Χριστὸν ἀφέντες οἱ τάλανες ἠκολούθησαν τῷ Μωάμεθ. Αὐτὸς καὶ γὰρ ὁ τοῦ Μωάμεθ νόμος, τοῦτ' ἔστι τὸ κοράν, αὐτὸ τοῦτό φησιν ὅτι δι' ἀγγέλου εὐηγγελίσθη τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ διὰ Πνεύματος ἁγίου ἡγιάσθη καὶ τῇ δυνάμει τοῦ Θεοῦ συνελήφθη, ἀλλ' οὐ φύσεως ἐνεργείᾳ, καὶ ἐκ παρθένου ἁγιωτάτης καὶ ὑπὲρ πάσας τὰς ἄλλας γυναῖκας καθαρᾶς γεννηθῆναι· ἐν γὰρ τῷ κεφαλαίῳ τῷ Αἰνεσὰν φησιν· « Ὦ ἑταῖροι τῆς βίβλου (τοῦτ' ἔστιν οἱ πιστοί), μὴ λέγετε περὶ τοῦ Θεοῦ πλὴν τῆς ἀληθείας, ὅτι ὁ Χριστὸς Ἰησοῦς υἱός ἐστι τῆς Μαρίας B καὶ ἀπόστολος Θεοῦ καὶ Λόγος Θεοῦ, ὃν ἐν αὐτῇ ἔθηκε διὰ Πνεύματος τοῦ ἁγίου. » Ἰδοὺ γοῦν Θεὸν ὀνομάσας καὶ Λόγον Θεοῦ καὶ Πνεῦμα ἅγιον τὴν τρισυπόστατον Τριάδα ὁ ἄθλιος οὐκ ἤνοιξε τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἰδεῖν τὸ φῶς τῆς Τριάδος. Καὶ εἰκότως· ὥσπερ γὰρ τὰ ἐν τῇ κοιλίᾳ τῆς μητρὸς εὑρισκόμενα **374** ἔμβρυα πρὸ τῆς γεννήσεως αὐτῶν ζωὴν μὲν ἔχουσιν, ἀνωφελῆ δὲ καὶ ἀνόητον, καὶ ψυχὴν μὴ δυναμένην διακρῖναι τὸ κρεῖττον τοῦ χείρονος, ἢ παρὰ καιρὸν γεννηθέντα οὐκ εἰσιν ἄνθρωποι, ἀλλ' ἐκτρώματα καὶ ἀμβλώματα, οὕτω καὶ πᾶς ἀσεβὴς ὁ μὴ ἀναγεννηθεὶς δι' ὕδατος καὶ πνεύματος, τοῦτ' ἔστι διὰ τοῦ ἁγίου βαπτίσματος, οὐ δύναται ἰδεῖν τὸ οὐράνιον φῶς καὶ τὴν τῆς ἀληθείας ἐπίγνωσιν, καὶ διὰ τοῦτο μύσας τοὺς τῆς ψυχῆς C αὐτοῦ ὀφθαλμοὺς ὁ μάταιος σκοτεινὸς ἐναπελείφθη

contineat, cum Deus sit omnis veritatis auctor. Quorum malorum omnium primum et postremum est, quod a dæmone editus est coran iste, quamvis eum a Deo editum esse dicant Deum calumniantes.

Miror equidem et admodum stupeo, quod, Christo relicto, miseri isti Mohametem secuti sint. In ipsa enim Mohametis lege, hoc est Corane docetur, Christum per angelum Matri Jesu prænuntiatum, per Spiritum sanctum sanctificatum, vi divina, non naturali, conceptum, et e virgine sanctissima et præ omnibus feminis pura natum esse. Capite Æneasan enim dicit: « Socii Scripturæ (hoc est, fideles), D ne dicatis nisi verum de Deo, Jesum Christum Filium Mariæ et legatum et Verbum Dei esse, quem in ea collocavit per Spiritum sanctum. » Itaque miser iste, cum Deum appellaret et Verbum Dei et Spiritum sanctum, hoc est sanctam Trinitatem, non aperuit tamen oculos mentis ad videndum lumen Trinitatis. Nimirum sicut in ventre matris fetus immaturi vitam quidem, sed inutilem et sui nesciam, atque mentem, utrum melius, utrum pejus sit, non discernentem habent, aut, ante tempus editi, non homines, sed partus præsposteri vel abortus sunt, ita quisquis impius per aquam et spiritum, hoc est sanctum baptisma, non regeneratus, cœleste lumen et veritatem aspicere nequit; et propterea, clausis oculis mentis, nebulo iste occa-

Digitized by Google

ὡς ὁ πατὴρ αὐτοῦ ὁ διάβολος. Περὶ γὰρ τοῦ ἁγίου Πνεύματος συνεχῶς ἐν τῷ κορὰν μέμνηται. Φησὶ γὰρ ἐν τῷ κεφαλαίῳ τῷ Ἐμπιᾷ ὡς· ἐκ προσώπου τοῦ Θεοῦ ὅτι περὶ τῆς Μαρίας ἐνεφυσήσαμεν αὐτῇ ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου. Καὶ πάντως οὐ δύναται εἰπεῖν ὅτι περὶ ἀγγέλου εἶπε τοῦτο ὁ Θεός. Καὶ περὶ μὲν τοῦ Χριστοῦ τοιαῦτα· περὶ δὲ τοῦ Μωάμεθ οὐδὲν τοιοῦτόν φησιν, ἀλλ' ὅτι ἦν ὀρφανὸς καὶ πλανήτης ὑπὸ Θεοῦ συναχθείς. Ἔτι τὸν Χριστὸν Λόγον Θεοῦ ὀνομάζει, ὡς εἴρηται, καὶ ψυχὴν Θεοῦ καὶ προφήτην πάντων τῶν προφητῶν μέγιστον, τὸν δὲ Μωάμεθ οὕτως μόνον προφήτην ἁπλῶς. Ἔτι τὸν Χριστὸν ἐκ τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὁμολογοῦσιν εἶναι τοῦ ἔχοντος τὰς ἐπαγγελίας· ὁ δὲ Μωάμεθ ἐκ τοῦ Ἰσμαὴλ ἐστιν, ὅστις ἐξεβλήθη μετὰ τῆς μητρὸς αὐτοῦ τῆς παιδίσκης Ἄγαρ ἐκ τοῦ οἴκου τοῦ Ἀβραάμ. Ἔτι ὁ Χριστὸς οὐδέ ποτε ἐποίησεν ἁμαρτίαν (Λόγος γὰρ Θεοῦ καὶ Πνεῦμα **375** Θεοῦ οὐ δύναται πλανηθῆναι), ὁ δὲ Μωάμεθ εἰδωλολάτρης ἐγένετο καὶ φονεὺς καὶ ἅρπαξ καὶ ἀσελγής, καὶ πολλοῖς ἑτέροις ἁμαρτήμασιν ἔνοχος ἐγένετο, ἐφ' οἷς ὁ Θεὸς, ὥς φασιν, αὐτὸν συνεπάθησεν. Ἔτι ὁ Χριστὸς φρικτὰ καὶ ἐξαίσια πεποίηκε θαύματα, ὡς ἐν τῷ κεφαλαίῳ τῷ Ἑλμαΐδᾳ μεμαρτύρηται ὅτι ὁ Χριστὸς τυφλοὺς ἐφώτισε, λεπροὺς ἐκαθάρισε, νεκροὺς ἀνέστησε καὶ ἄλλα πολλὰ εἰργάσατο· ὁ δὲ Μωάμεθ οὐδὲν θαῦμα πεποίηκε κατὰ τὸ κορὰν, ἀλλ' ἢ μόνον τὸ τῆς σελήνης, ὅπερ ἐστὶ ψεῦδος ἄντικρυς, καὶ ἕτερά τινα αἰσχρὰ, ἅπερ καὶ παρεσιωπήθησαν καὶ τῇ σιγῇ παρεδόθησαν διὰ τὸ λίαν δύσφημον. Ἔτι κατὰ μὲν τὸ Εὐαγγέλιον καὶ αὐτὴν τὴν ἀλήθειαν ὁ Χριστὸς ἐσταύρωται καὶ τέθνηκε καὶ ἐτάφη καὶ ἀνέστη καὶ ἀνελήφθη καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς κάθηται· κατὰ δὲ τὸ κορὰν, ὡς δῆθεν τιμῶντες αὐτὸν, λέγουσιν ὅτι οὐκ ἀπέθανεν, ἀνελήφθη δ' ὅμως. Καὶ ἰδοὺ ὅσον ἀπὸ τῆς τοῦ Εὐαγγελίου ἀληθείας καὶ ἀπὸ τῆς τοῦ Μωάμεθ ψευδολογίας ὁ Χριστὸς ζῶν ἀναφαίνεται καὶ ὁμολογεῖται, ὁ δὲ Μαχούμεθ οὐτοσὶν, ὡς πάντες οἱ τὰ ἐκείνου φρονοῦντες ὁμολογοῦσιν, ἀπέθανε καὶ οὐκ ἀνέστη. Καὶ τοίνυν διὰ ταῦτα πάντα τὸν Χριστὸν ἔδει προσκυνεῖν καὶ μὴ τῷ Μωάμεθ ἀκολουθεῖν. Πῶς γὰρ ἔδει πιστευθῆναι τὰ τοῦ Θεοῦ λόγια ἀνθρώπῳ ὁμοίῳ κατὰ πάντα τῷ δαίμονι; Καὶ εἰ βούλει, παραβάλλωμεν ἀμφοτέρους, καὶ γνωσόμεθα τὰ τούτων ἰδιώματα. Ὁ διάβολος ἐπηρμένος καὶ ἀλαζὼν, ὁ Μωάμεθ **376** ἐπηρμένος καὶ ἀλαζών· τίς γὰρ μείζων τοῦ Μωάμεθ, ὃς ὑπεραναβὰς τοὺς οὐρανοὺς, ὡς αὐτὸς περὶ αὐτοῦ εἴρηκε, καὶ αὐτὰς πάσας τὰς ἀγγελικὰς δυνάμεις τῷ Θεῷ προσωμίλει, καὶ μεσίτης τῶν ἐπταικότων ἀγγέλων ἐγένετο, ἀλλὰ καὶ τοῦ κόσμου παντὸς προστάτης; Ὁ διάβολος ἀνθρωποκτόνος ἐστὶ, καὶ ὁ Μωάμεθ τοὺς μὴ πειθομένους τοῖς δόγμασιν αὐτοῦ θανάτῳ κατεδίκασεν. Ὁ διάβολος ἀπατεών ἐστι, καὶ ὁ Μωάμεθ τὰς ἡδονὰς ἐνδοὺς καὶ ὥσπερ τι δέλεαρ ἐν ἀγκίστρῳ ἐνθεὶς τοὺς ἀνοήτους πρὸς ἑαυτὸν ἑφελκύσατο. Ὁ διάβολος ψεύστης ἐστὶν, ἀλλ' οὐ τοσοῦτον ὡς ὁ Μωάμεθ, καθώς καὶ ἐν ὅλῳ τῷ κορὰν τρανῶς ἀναφαίνεται. Ὁ διάβολος ὕπουλός ἐστι· καὶ τίς ἄλλος ὡς Μωάμεθ τῇ ταπεινώσει ὑποκριθεὶς τὴν ὑψηλοφροσύνην ἠσπάσατο; Ὁ διάβολος σύμβουλός ἐστι τῶν ἀπηγορευμένων, καὶ ὑπὲρ πάν-

Καὶ ὁ ἀμηρᾶς μετὰ τοῦ δεσπότου ὁμιλήσας τὰ παντοῖα **396** διώρθωσεν ὡς ἐβούλετο, καὶ ἐξαπέστειλεν ἄρχοντάς τινας Τούρκους καὶ Χριστιανοὺς ἐν τῇ Μονεμβασίᾳ, ἵνα τὴν σύζυγον καὶ βασίλισσαν καὶ τὴν τούτου θυγατέρα καὶ ἀμήρισσαν λάβωσιν (ἐκεῖσε γὰρ αὐταὶ ὑπῆρχον διὰ τὸ ἰσχυρὸν καὶ ἀδιάσειστον εἶναι τὸ φρούριον), ἀλλὰ δὴ καὶ τὸ φρούριον παραδώσωσιν. Ὧν τὸ μὲν ἐγένετο, ἦσαν διὰ τὰς γυναῖκας· ἐξῆλθον γὰρ καὶ παρεγένοντο ἀκουσίως ἔνθα ἦσαν ὅ τε ἀμηρᾶς καὶ ὁ δεσπότης· τὸ δὲ λαβεῖν τὸ ἄστυ οὐδαμῶς, ὅτι οἱ Μονεμβασιῶται, ὡς πάντοτε ἔκπαλαι ἦσαν τὰ αὐτῶν κατορθώματα ἄξια διηγήσεως, οὕτω καὶ τότε ἐκ νέου ἐποίησαν καὶ οὐκ ἠνέσχοντο παραδῶσαι αὐτό. Ὁμοίως καὶ ὃς ἡγεμονεύειν ἐκεῖσε εὑρίσκετο Μανουὴλ ὁ Παλαιολόγος συναινῶν τὰς καλὰς γνώμας τῶν πολιτῶν, οὐκ ἤθελον λοιπὸν ἀκοῦσαί ὡς τὴν πατρίδα εἰς χεῖρας τῶν ἀσεβῶν παραδώσωσιν, ἀλλὰ τοὺς ἀποσταλέντας ἄρχοντας τοῦ δεσπότου καὶ τοῦ ἀμηρᾶ καὶ τοὺς συνελθόντας αὐτοῖς ἑτέρους στρατιώτας τοῦ λαβεῖν τὸ φρούριον κακῶς ἀπεδίωξαν. Καὶ ταύτην τὴν ἀπολογίαν αὐτοῖς ἔδωσαν· « Εἴπατε ταῦτα τῷ ἀμηρᾷ, ὅτι πᾶν ἄστυ καὶ φρούριον κτισθὲν μετὰ μηχανῆς καὶ τέχνης ἀνθρωπίνης καὶ διορθωθὲν καὶ ἀσφαλισθέν, πάλιν μὲν οἱ ἄνθρωποι οἱ ἐντὸς αὐτοῦ ἐξουσίαν ἔχουσιν. Ἡ δὲ ἡμετέρα πατρὶς καὶ χώρα οὐχ οὕτως ὑπάρχει, ἀλλ' ἡ φύσις αὐτῇ ἐφιλοδώρησε, καὶ ἐκ τοῦ Θεοῦ καὶ τῆς τοῦ τόπου ἐρυμνότητος τὴν ἰσχὺν καὶ ἀσφάλειαν ἔχει. Καὶ ὅταν θέλησις καὶ **397** βουλὴ ἐστὶ τῷ Κυρίῳ ἄνωθεν, τὸ Θέλημα αὐτοῦ γίνεται, καὶ οὐ δυνάμεθα ἀντιλέγειν τι, καὶ οἷς βούλεται χαρίσηται· ἡμεῖς δὲ οὐδεμίαν ἐξουσίαν ἔχομεν τὰ παρὰ Θεοῦ κτισθέντα ὁρίζειν καὶ χαρίζειν. » Ἀπαγγελομένης οὖν τῆς τοιαύτης ἀπολογίας τῷ ἀμηρᾷ, καὶ ἀκούσας ἐκεῖνος ἐθαύμασε, καὶ τοὺς Μονεμβασιώτας πλεῖστα ὡς φρονίμους ἐπῄνεσε. Κρατήσαντες οὖν τὸ ἄστυ δεδώκασιν αὐτὸ τῷ δεσπότῃ κὺρ Θωμᾷ, μετὰ ταῦτα καὶ αὐτὸς τάχα τῷ πάππα.

Διὸ οὐκ ἐγκαταλείψομεν τοῦ εἰπεῖν, ἐπεὶ ἔδοξέ μοι διηγηθῆναι τὰ, ὅσας τιμάς τε καὶ προνόμια

tetendit, quoniam ibi Demetrius despota commorabatur propter Thomam fratrem et hostem suum, qui Calamatæ erat, et Mantineam et loca reliqua obsidebat, in circuitu sinus Messeniaci a Nicolao Melisseno, qui Demetrio despotæ subjectus erat, administrata: unde illorum locorum magna erat calamitas. Cum autem ameras Spartam venisset, Demetrius despota, ultro obviam profectus, ei se tradidit. Ita ameras tum ipso tum Sparta potitus est, et despotæ in custodiam dato dixit: « Mi despota, quoniam res tuæ huc redactæ sunt, hic locus abs te gubernari non potest; sed cum patrem te habere et filiam tuam uxorem ducere constituerimus, hunc locum nobis trade, ipse et filia nobiscum abite, donabimusque vobis locum alium ad victum et vitæ commoditatem. » Demetrius non nisi invitus et metu compulsus nuptias et reliquas conditiones non abnuit.

Itaque ameras, despota sibi sociato, omnia pro voluntate administrabat, et nobiles quosdam Turcas et Christianos Monembasiam misit, qui conjugem suam et amerissam, illius filiam, reciperent (ibi enim cum mulieribus suis versabatur, quoniam castrum firmum et difficile ad expugnandum erat) et castrum sibi tradi juberent. Quorum alterum factum est, a feminis scilicet: quæ exierunt e castro et prompto animo venerunt, ubi ameras et despota erant: minime autem castrum occupari poterat, quia Monembasiotæ, ut jam pridem omni tempore facinora memoratu digna ediderant, ita tum denuo generosos se præstiterunt, nec a se impetrare poterant, ut urbem traderent. Nec non probavit ea civium consilia, qui urbi præerat, Manuel Palæologus. Denique de urbe in manus impiorum tradenda vix audire sustinabant, et a despota et amera ablegatos primores et, qui cum iis venerant milites ad occupandam arcem, acerbe repulerunt, hoc iis responso dato: « Renuntiate ita ameræ, omnem urbem et castellum humana opera et arte exstructum et munitum in potestate eorum esse, a quibus teneatur; sed nostræ patriæ diversa ratio est, quæ naturæ donum est et a Deo et regione munitionem et firmitatem suam habet. Quodsi Domini, qui in cœlis est, voluntas et consilium ita fert, fit utique, quod illi placet, nec nostrum est refragari, sed donet eam ipse, cui velit. At nos nullam potestatem habemus tradendi et largiendi ea, quæ a Deo condita sunt. » Quod responsum ubi ad ameram perlatum est, Monembasiotarum prudentiam admiratus est et magnopere laudavit. Servatam igitur urbem Thomæ despotæ tradiderunt, ille mox eamdem papæ donavit.

Hic jam non omittemus dicere et exponere,

Digitized by Google

μεγάλα διὰ τὴν τοῦ ἄστεως καλλονὴν καὶ τὰς τῶν πολιτῶν ἀρετὰς οἱ βασιλεῖς κατὰ διαδοχὴν τὴν ἁγίαν ἐκκλησίαν αὐτῶν καὶ αὐτοὺς τοὺς πολίτας τοὺς τοῦ περιωνύμου φρουρίου ἐτίμησαν καὶ δωρεὰς μεγίστας ἐδωρήσαντο αὐτοῖς. Καὶ τοῦ μὲν ἄστεως τὸ ὄνομα ὄντως τὴν κλῆσιν εἶχεν, ὅτι τοῖς βουλομένοις εἰσελθεῖν ἀληθῶς μίαν παρέχει τὴν εἴσοδον, καὶ οὐ μετὰ μηχανῆς καὶ τέχνης ἀνθρωπίνης, ὡς εἴπομεν, ἀλλ' αὐτὴ ἡ φύσις τὸ ἄστυ ἐστόλισε· καὶ ὀδύνατον ἦν εὑρεθῆναι κατὰ πᾶσαν τὴν ὑφ' ἥλιον ἕτερον φρούριον τοιούτως ἀδιάσειστον καὶ ἀπολέμητον καὶ ἀνενόχλητον ἐκ πάσης μηχανῆς πολεμικῆς, ὡς τοῦτο εὑρεθῆναι ἀδύνατον. Καὶ τὰ μὲν τοῦ ἄστεως βραχεολόγως εἰρήκαμεν, τῶν δὲ ἀρχόντων καὶ πολιτῶν καὶ τοῦ δήμου τὰς ἀρετὰς καὶ ἀνδρίας διηγησώμεθα. Τὰ ἐν γῇ καὶ **393** ἐν θαλάσσῃ εἰς πάντα ἀγαθοί εἰσι καὶ ἐπιτηδειότατοι, ἐν τῇ θαλάσσῃ μὲν ἱκανόπλοιοί τε καὶ θαλαττουργοί, καὶ νῆας ἐμπορικὰς πλείστας ἔχοντες, καὶ κυβερνῆται καὶ ναύκληροι ἄριστοι οὐ μόνον ἐν ταῖς ναυσὶν αὐτῶν, ἀλλὰ καὶ ἐπὶ τὸν στόλον τὸν βασιλικὸν κυβερνῆται οὐκ ὀλίγοι ἐξ αὐτῶν εἰσιν· ἐν δὲ τῇ χέρσῳ ὁμοίως ἐν τῷ ἱππεύειν καὶ ἀκοντίζειν στρατιῶται ἀγαθώτατοι καὶ πεζοὶ ἀνδρικώτατοι καὶ δοκιμώτατοι. Οἱ δὲ ὄρχοντες αὐτῶν πάλιν συνετοὶ καὶ σοφοὶ καὶ ἔντιμοι, ξενίζοντες τοὺς τυχόντας καὶ παραμυθοῦντες. Καὶ πρὸ πάντων τὴν πίστιν καὶ εὔνοιαν ἦν ἐφύλαττον ἐκ παλαιοῦ καὶ ἕως τοῦ νῦν εἰς Θεὸν καὶ εἰς τὴν ἀρχὴν Ῥωμαίων. Διὰ ταύτας μὲν τὰς τοιαύτας χάριτας καὶ ἀρετὰς καὶ εἰς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἐν διασόροις καιροῖς διαφόρως οἱ κρατοῦντες ἄνακτες ἐτίμησαν, καὶ εἰς μεγάλα προνόμια τὴν ἁγίαν ἐκκλησίαν αὐτῶν ἀνεβίβασαν. Καὶ πρῶτον μὲν τοῦτο τὸ περιώνυμον καὶ ὑπερνεφελὲς φρούριον ἐπισκοπὴν οὖσαν τῆς Κορίνθου μητροπόλεως, δι' ἃ εἴπομεν ἀρετὰς τῶν πολιτῶν καὶ χάριτας τοῦ ἄστεως, ὁ ἀείμνηστος βασιλεὺς καὶ μάρτυρ Μαυρίκιος ὁ καὶ Τιβέριος εἰς μητρόπολιν ἀνεβίβασεν καὶ τριακοστὸν τέταρτον Θρόνον ἔταξεν, καὶ ἕτερα προνόμια περὶ ἐλευθερίας τῆς πόλεως ἐδωρήσατο. Ἐπακολουθῶν δὲ καὶ ὁ βασιλεὺς κὺρ Ἀλέξιος ὁ Κομνηνὸς **399** καὶ ἕτερα ταῦτα ἀνεβίβασαν καὶ ἐβεβαίωσαν. Ἔπειτα καὶ ὁ ἀείμνηστος βασιλεὺς Ἀνδρόνικος ὁ γέρων ὁ Παλαιολόγος ὕστερον, ἐπὶ ἔτους ,ϛω', ἰνδικτιῶνος ζ', ἐβεβαίωσε, διά τε τὴν ἀρετὴν καὶ σοφίαν τοῦ τῆς αὐτῆς ἐκκλησίας; τότε προεδρεύοντος κυροῦ Νικολάου ζήλῳ θείῳ κινηθείς· ὁ δὲ βασιλεὺς ἕνεκεν τοῦ προεδρεύοντος καὶ τῆς τῶν πολιτῶν πίστεως καὶ εὐνοίας ἣν εἶχον πρὸς αὐτὸν, ἐκ τριακοστοῦ τετάρτου θρόνου εἰς δέκατον ἀνεβίβασεν οἰκείῳ αὐτοκρατορικῷ κελεύσματι καὶ ψήφῳ συνοδικῇ, καὶ ἕτερα πολλὰ προνόμια τῇ αὐτῇ ἁγίᾳ ἐκκλησίᾳ ἐχαρίσατο. Καὶ ταῦτα πάντα τὰ ἴχνη τοῦ πάππου ἐπακολουθῶν καὶ βεβαιώνων ὁ βασιλεὺς καὶ αὐτοκράτωρ Ἀνδρόνικος ὁ νέος, τὸ κάτωθεν χρυσόβουλλον τῇ αὐτῇ πολιτείᾳ ἐχαρίσατο, ἀνανεώνων καὶ βεβαιώνων τὰ παλαιὰ, καὶ ἐκ νέου καὶτὸς τούτοις καὶ τῇ ἁγίᾳ ἐκκλησίᾳ αὐτῶν ἐφιλοδώρησε. Καὶ ταῦτα πάντα μὲν ἐγὼ ἐν σεκρέτῳ τῷ βασιλικῷ εἶδον καὶ πολλάκις ἀνέγνωκον· τὸ δὲ παρὸν χρυσόβουλλον εἰς χεῖράς μοι μετὰ τὴν αἰχμαλωσίαν ἔτυχον ἔχειν. Τὰ νῦν δὲ, ὡς προεῖ-

quantis honoribus et beneficiis propter urbis commoda et virtutes civium imperatores ordine tum sanctam eorum ecclesiam, tum ipsos cives nobilissimi hujus castelli auxerint et ornarint. Et sane urbs hæc nomen suum proprie et vere gerit, si eam ingredi volentibus revera unum præbet introitum, nec opera aut arte humana, sed ipsa natura, ut diximus, munita est. Nec alia sub sole urbs inveniri potest æque firma, inexpugnabilis et ab omni machinarum bellicarum vi tuta. Et ad oppidum quidem quod attinet, strictim ista monuimus; magistratuum autem et civium populique virtutes et fortitudinem jam commémoremus. Terra marique ad omnia fortes et quam maxime idonei sunt; ac mare quidem scienter navigant, navesque onerarias permultas habent cum gubernatoribus et naucleris præstantissimis, qui non solum ipsorum naves regunt, sed etiam magno numero classem imperatoriam gubernant. Similiter in terra qua equitando, qua jaculando milites optimi, et pedites fortissimi et probatissimi sunt. Item eorum magistratus sapientes, periti et spectati sunt, peregrinos hospitio excipiunt et fovent. Ante omnia fidem et benevolentiam erga Deum et imperium Romanum, ab omni inde tempore integram servatam, hodieque conservant. Propter hæc tanta ornamenta et virtutes et insignem erga imperatores fidem et studium diversis temporibus diverse ab imperatoribus honorati sunt et ecclesiam magnis beneficiis auctam habuerunt. Ac primum quidem, cum nobile illud et super nubes elatum oppidum episcopatum haberet Corintho metropoli subjectum, propter eas, quas commemoravimus civium virtutes urbisque commoda, æternæ memoriæ imperator et martyr Mauricius, cognomento Tiberius, urbem metropolis dignitate illustravit et tricesimum quartum thronum ei constituit, aliaque beneficia et immunitatis dona eidem impertivit. Deinde imperator Alexius Comnenus et alii donationes illas approbarunt et confirmarunt. Eadem post perpetua dignus memoria imperator Andronicus Palæologus major, anno 6800, indictione 7, confirmavit, propter virtutem et sapientiam Nicolai domini, qui ecclesiæ tum præerat, divino ardore incitatus: qui idem urbem propter ipsum episcopum et civium erga se fidem et studia a throno tricesimo quarto ad decimum evexit imperatoria sua auctoritate et suffragio synodico, et alia multa jura præcipua sanctæ ecclesiæ impertivit. Quæ omnia, avi vestigia secutus, imperator Andronicus Palæologus minor rata habuit, et civitati infra perscriptam bullam auream dedit, qua vetera beneficia approbat confirmatque, et nova tum civibus tum ecclesiæ impertit. Hanc in secretario imperatorio vidi et frequenter legi,

Digitized by Google

των, καλῶς μοι ἐφάνη ἐν τῷ ἡμετέρῳ βιβλίῳ καὶ ἔργῳ καὶ ταῦτα εὑρίσκεσθαι, ἵνα τὰς εὐεργεσίας γινώσκωμεν ἃς οἱ Μονεμβασιῶται εἶχον παρὰ τῶν βασιλέων διὰ τὰς καλοκαγαθίας καὶ ἀρετὰς αὐτῶν, ἵνα οὐκ εἰς λήθην διὰ τὸν χρόνον γενήσωνται, ὅπως καὶ οἱ ἀκροαταὶ καὶ ἕτεροι μιμηταὶ καὶ ζηλωταὶ καλῶν ἔργων ἔσωνται.

400 ιζ'. Ἐπεὶ οἱ Μονεμβασιῶται οἵ τε ἀπὸ τῆς Θεοσώστου πόλεως Μονεμβασίας καὶ ἀπὸ τῶν Πηγῶν εὑρισκόμενοι καὶ κατοικοῦντες ἀρτίως εἰς τε τὴν θεοδόξαστον καὶ Θεοφύλακτον καὶ Θεομεγάλυντον Κωνσταντινούπολιν, ἀλλὰ δὴ καὶ εἰς ἄλλας πόλεις καὶ χώρας τῆς βασιλείας μου, εἰσὶν ἀποτεταγμένοι διὰ χρυσοβούλλων καὶ προσταγμάτων τῶν ἁγίων ἀοιδίμων καὶ μακαρίων μου αὐθεντῶν καὶ βασιλέων, τοῦ τε πατρὸς καὶ πάππου καὶ προπάππου τῆς βασιλείας μου, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείας εἰς τὴν Θεοδόξαστον Κωνσταντινούπολιν, τὴν Σηλυμβρίαν, τὴν Ἡράκλειαν, τὸ Ῥαιδεστὸν, τὴν Καλλιούπολιν καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις, καὶ δίδωσι χάριν κομερκίου εἰς ποσότητα νουμισμάτων ἑκατὸν νουμίσματα δύο, εἰς δὲ τοὺς λοιποὺς πάντας τόπους καὶ χώρας καὶ σκάλας τῆς βασιλείας μου διαμένωσιν ἀνώτεροι ἀπαιτήσεως κομερκίου παντελῶς, διατηροῦνται δὲ καὶ ἔνθα ἂν εὑρίσκωνται καὶ κατοικῶσιν ἀνενόχλητοι καὶ ἀπὸ πασῶν ἄλλων δόσεων καὶ ἀπαιτήσεων, παρεκάλεσαν δὲ ἵνα τύχωσι καὶ ἐκ νέου εὐεργεσίας ἰδίας παρὰ τῆς βασιλείας μου, δι' ἣν ἔχει αὐτὴ τῇ χάριτι ἔφεσιν καὶ ὄρεξιν τοῦ εὐεργετεῖν πάντας τοὺς εἰς αὐτὴν ἀναφερομένους πιστοὺς καὶ εὐπολήπτους, προστάσσει καὶ διορίζεται ἤδη ἡ βασιλεία μου, ἀπολύουσα τὸν παρόντα χρυσόβουλλον λόγον αὐτοῖς, ἵνα πάντες οἱ Μονεμβασιῶται **401** οἵ τε ἐν τῇ Θεοσώστῳ πόλει Μονεμβασίας κατοικοῦντες, ἀλλὰ δὴ καὶ οἱ ἐκ τῶν Πηγῶν καὶ ὅπου ἄρα εὑρίσκωνται καὶ κατοικῶσιν εἴς τε τὴν Θεοδόξαστον Κωνσταντινούπολιν εἴ τε καὶ ἀλλαχοῦ, ἀπολαύωσι μὲν τῆς ἣν εἶχον πρότερον ἐξουσίας καὶ δεφενδεύσεως διὰ τῶν ῥηθέντων χρυσοβούλλων καὶ προσταγμάτων ὧν εἶχον οἱ ἀπὸ τῶν Πηγῶν καὶ οἱ ῥηθέντες Μονεμβασιῶται· κατεπέκεινα δὲ τῆς τοιαύτης ἐξουσίας εὐεργετεῖ ἡ βασιλεία μου αὐτοὺς κοινῶς ὅλους τοὺς Μονεμβασιώτας, τούς τε ἐκ τῶν Πηγῶν καὶ τοὺς ἐκ Μονεμβασίας, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείας δίδωσιν εἰς τὸ κομέρκιον τῆς Θεοδοξάστου Κωνσταντινουπόλεως ὑπὲρ ἐκβολῆς ποσότητος νουμισμάτων ἑκατὸν νόμισμα ἕν, καὶ ὑπὲρ ἐκβολῆς ἀγορᾶς καὶ ἑτέρας πραγματείας ποσότητος νουμισμάτων ἑκατὸν νούμισμα ἕν, εἴτε δηλονότι διὰ σίτου ἐν τῷ προφορίῳ καὶ ἀλλαχοῦ ἔνθα βούλωνται, εἴτε διὰ οἴνου, ἐὰν ἐξ οἱασδήποτε χώρας διακομίσωσι τούτοις, ἢ διὰ προσφαγίων παστῶν ἢ τομαρίων ἢ πετζίων ἢ πανίου ἢ λινοκόκκου ἢ τζοχαρικῆς ἢ τετραπόδων ἢ ἑτέρων εἰδῶν ὧν ἂν βούλωνται, μηδ' ὅλως παρὰ μηδενὸς κωλυόμενοι ἐπὶ ταῖς διαπράσεσι τῶν τοιούτων πραγματειῶν αὐτῶν ἢ καθολικόμενοι εἰς ἀπαιτήσεις καμπανιστικοῦ, μεσιτικοῦ, ζυγαστικοῦ, μετρητικοῦ, παχιατικοῦ, γομαριατικοῦ, ὀψωνίου, σκαλιατικοῦ, βιγλιατικοῦ, δεκατίας, ἁλιευτικῆς τετρημορίας, **402** ξυλαχύρου, ὁρειμῆς τῆς ἐνιάδος· ὡς τὰς εἰς αὐτοὺς περὶ αὐτὴν ἁπάσας

auream bullam vero ipse forte nactus sum post captam urbem. Itaque, ut ante dixit, pulchrum mihi visum est, talia libro et opere nostro contineri, unde beneficia cognoscantur, quibus Monembasiotæ, propter res præclare gestas virtutesque, ab imperatoribus ornati sunt, ut temporis injuria in oblivionem ne abeant et lectores alii que præclara illa facinora imitentur et æmulentur.

17. «Cum Monembasiotæ tum ii, qui Deo charam Monembasiam habitant, tum qui Pegis vel in urbe gloria, custodia et magnificentia divina insigni, Cpoli, vel aliis in oppidis locisve imperii nostri commorantur, bullis aureis et mandatis sanctorum et beatorum principum et imperatorum, patris, avi et atavi majestatis nostræ, jure hoc præcipuo dona i sint, ut in negotiis, quæ Cpoli, urbe gloria Dei illustri, Selymbriæ, Heracleæ, Rhædesti, Calliopoli et reliquis oppidis Macedoniæ faciant, vectigal pendant centesimas duntaxat binas, in cæteris vero locis, regionibus et navalibus imperii nostri immunes sint omnis omnino tributi, neve vexentur, ubicunque vivant, ulla ullius stipendii exactione: nostra majestas, ab iisdem rogata, ut et ipsa denuo se ornaret beneficiis, pro gratia et benevolentia, qua cunctos sibi subjectos fideles et sui studiosos amplectitur fovetque, imperat atque edicit bulla hac aurea, ut omnes Monembasiotæ: tum qui urbem Deo charam Monembasiam habitant, tum qui Pegis vel quovis alio loco, sive Cpoli, urbe gloria Dei illustri, sive alibi, vivunt commorantur que, etiam posthac fruantur ea, quam pridem habuerunt per supra nominatas bullas aureas et edicta, libertate et immunitate; et vero Monembasiotas universos, tum eos qui Pegis, tum qui Monembasiæ habitant, novo hoc beneficio ornamus, ut in æratium urbis gloria Dei illustrissimæ Cpolis in mercatu, nundinis aliisve negotiis centesimas non amplius singulas pendant, si in foro vel alibi proponant aut e regione quacunque advehant sive frumentum, sive vinum, sive carnes salsas, sive coria, sive pelles, sive pannos laneos, lineos sericosve, sive equos, sive denique aliud quodcunque mercium genus, neve in peragendis his negotiis a nemine impediantur aut cogantur tributa pendere pro mercibus ponderandis, librandis vel metiendis, pro adipe, opsonio, statione navium, excubiis, aut dare decumas, vel quadrantem piscatorium, vel aliud quodcunque stipendii genus, imo nec collationem faciant ad castra munienda vel exstruendas triremes, aut tributa pendant, nautis, vel iis qui merces apud exteros divendunt, vel cauponibus opificibusque imposita, vel pro serico, pannis in foro vendendis, navigiis frumentariis solvenda, denique nulla omnino vel inventa jam, vel post invenienda vectigalia pendant,

Digitized by Google

σκάλας, ἀλλὰ δὴ καστροκτισίας, κατεργοκτισίας, μαγειρίας, ἀντιναύλου, ἐξωπρασίας, κοσμιατικοῦ, καπηλιατικοῦ, μηνιατικοῦ, ἐργαστηριακοῦ, μεταξιατικοῦ, τῆς ἀπαιτήσεως τοῦ πανίου τοῦ ἐν τῷ φόρῳ πωλουμένου, ἔτι δὲ καὶ τοῦ κεφαλαίου τοῦ σιταρίου τοῦ εἰσαποταχθέντος ἀπαιτεῖσθαι ἀπὸ τῶν καραβίων ἢ ἑτέρου τινὸς κεφαλαίου τῶν νῦν ἐνεργουμένων, ἢ καὶ εἰς τὸ ἑξῆς μελλόντων ἐπινοηθήσεσθαι, ἀλλὰ διατηρῶνται ἁπάντων τούτων ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς. Ὡσαύτως οὐδὲ οἱ πωλοῦντες πρὸς αὐτοὺς ἢ ἐξωνούμενοι ἀπὸ τῶν πραγματειῶν αὐτῶν, εἴτε ζῶά εἰσιν εἴτε γεννηματικὰ εἴδη ἢ καὶ ἄλλο τι, ἢ ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει ἢ ἐν ἑτέροις τόποις τῆς βασιλείας μου, ἀπαιτοῦντες χάριν κομερκίου ἕνεκεν δηλονότι τῆς δεφενδεύσεως τῶν τοιούτων Μονεμβασιωτῶν. Ἔσται δὲ καὶ ὅταν διακομίζωσι διὰ καραβίων τὰς τούτων πραγματείας, εἴτε ἀπὸ τῆς ἄνω θαλάσσης, εἴτε ἀπὸ τῶν τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως κόλπων, εἴτε σῖτος ἕνι εἴτε οἶνος εἴτε ἕτερόν τι εἰδος, ἰσάζωνται μὲν οἱ δηλωθέντες Μονεμβασιῶται ἐν τῷ κομερκίῳ τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως, καὶ ἵνα διδῶσιν ὅσον ἀνωτέρω διορίζεται ἡ βασιλεία μου, οἱ δὲ ἔχοντες τὰ καράβια διαμένωσιν ἀνενόχλητοι χάριν τῶν τοιούτων πραγματειῶν αὐτῶν, μήτε τετραμοιρίαν ἢ ἄλλην ἀπαίτησίν τινα χάριν τῆς τούτων ἐξουσίας παρά τινος ἀπαιτούμενοι. Ἐὰν δὲ **403** διέρχωνται μετὰ πραγματειῶν αὐτῶν ἢ ἀπὸ Δύσεως εἰς Ἀνατολὴν, ἢ ἀπὸ Ἀνατολῆς εἰς Δύσιν, ἢ ἀπὸ μέρους τῆς Ζαγορᾶς διαβιβάζοντες ζῶα ἢ ἄλλο τι, εἴτε εἰς τὴν Σωζόπολιν ἢ εἰς τὴν Ἀγαθόπολιν ἢ εἰς τὴν Μηδίαν καὶ τὰς λοιπὰς χώρας τῆς βασιλείας μου, ὀφείλωσι διατηρεῖσθαι ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς ἀπό τε τῆς ἀπαιτήσεως τοῦ κομερκίου, τοῦ διαβατικοῦ καὶ τοῦ πορτατικοῦ, παρά τε τῶν κατὰ καιροὺς εὑρισκομένων εἰς κεφαλὴν τῶν εἰρημένων κάστρων καὶ παρὰ τῶν ἐκεῖσε τὰ δημόσια διενεργούντων, ἐφ' αἷς δὴ ποιῶσι πραγματείαις ἐν ἑτέροις τόποις τῆς βασιλείας μου γεννηματικάς τε καὶ λοιπὰς, εἴτε κατὰ Ἀνατολὴν εἴτε κατὰ Δύσιν, εἴτε ἐν νήσοις εἴτε κατ' ἤπειρον, ἔν τε κάστροις καὶ πανηγύρεσιν εἴτε ἐν ἄλλοις τόποις. Ἔτι δὲ καὶ εἰς τὰς τῆς Πελοποννήσου ἁπάσας χώρας καὶ κάστρα τῆς βασιλείας μου γινωσκομένας πανηγύρεις ὀφείλουσι διατηρεῖσθαι μὲν καὶ ἀπὸ τῶν κεφαλαίων πάντων ἀνώτεροι, διατηρεῖσθαι δὲ καὶ παντελῶς ἀνενόχλητοι καὶ χάριν δόσεως κομερκίου, μηδὲ ἕνεκεν πορτατικοῦ διδόντες τὸ τυχόν. Ὅθεν ὀφείλουσι διατηρεῖν αὐτοὺς εἰς τὴν τοιαύτην ἀνενόχλησιν καὶ δεφένδευσιν οἱ εἰς τε τὸ κομέρκιον τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως καὶ οἱ εἰς τὰς ἄλλας πάσας σκάλας καὶ χώρας καὶ κάστρα τῆς βασιλείας μου ἐνοχοποιούμενοι κατὰ καιροὺς, ἀλλὰ δὴ καὶ πάντες ὅσοι ἐπικρατῶσι κτήματα ἢ ζευγαλάτια ἢ κάστρα ὁρισμῷ τῆς βασιλείας μου, εἴτε τῆς περιποθήτου μοι Αὐγούστης εἰσὶν οὗτοι, εἴτε τοῦ ἐρασμιωτάτου μοι υἱοῦ **404** τῆς βασιλείας μου βασιλέως, εἴτε τῶν προσμενῶν ἀρχόντων τῆς βασιλείας μου καὶ τῶν λοιπῶν ἀρχόντων καὶ ἀρχοντοπούλων αὐτῆς, οὐδὲ αὐτοὶ ὀφείλουσι χάριν μαγειρίας ἢ ὀψωνίου ἢ ἄλλου τινὸς ζητήματος ἀπαιτεῖν τι ἐξ αὐτῶν ἢ ἄλλο τι ἐπάγειν αὐτοῖς ἐπιτίμιον καὶ ἐπιβλαβές. Ἀλλὰ καὶ αὐτοὶ οἱ κατὰ καιρὸν μέλλοντες ἔχειν τὴν ἐνοχὴν τῆς θεοδοξάστου Κωνσταντινουπόλεως ἀφέξωνται τελείως τοῦ ἐπάγειν ἐπήρειαν αὐτοῖς καὶ ἀπαίτησιν τὴν τυχοῦσαν ἢ ὀψωνίου ἢ μαγειρίας, ἢ συγκαταλέγειν αὐτοὺς τοῖς λοιποῖς ἐποίκοις ταύτης ἐπὶ τὰς κατὰ καιροὺς γινομένας κοινωφελεῖς ἴσως χρείας συγχροτήσεσιν, ἢ ἰδίως ὅλως ἀπαιτεῖν τούτους τῆς τοιαύτης συγχροτήσεως ἕνεκα. Ἀλλ' οὐδὲ εἰς ἃ ἔχωσιν οὗτοι ὑποθέ-

sed horum omnium plane sint immunes. Item ii qui merces, sive ex animalibus sive e plantis sive alia quacunque ratione partas, aut vendunt Monembasiotis, aut ab iis emunt, sive Cpoli gloria Dei illustrissima, sive in aliis imperii nostri locis, nihil pendunto tributi propter gratiam Monembasiotis impertitam. Deinde si qui navigiis horum merces vel a mari supero vel ab urbis magnificæ Cpolis oris avehant, sive frumentum, sive vinum, sive aliud quodcunque mercium genus, pendunto ii quos diximus, Monembasiotæ ærario urbis tributi id, quod supra constituit majestas nostra, domini navium immunes sunto, neve postulantor quadrantem vel aliud quidquam vectigalis, propter immunitatem illis concessam. Si vero eorumdum merces, sive animal a sive aliud quid, aut ex occidente in orientem, aut ex oriente in occidentem, aut e finibus Zagoræ advehuntur, sive Sozopolim, sive Agathopolin, sive in Mediam et reliqua loca imperii nostri, nihil omnino vexantor exigendo tributo, vectigali vel portorio, abiis qui castris illis vel civitatibus præsunt in negotiis quibuscunque, quæ in aliis locis imperii nostri faciunt, sive in oriente sive in occidente, sive in insulis sive in continenti, in castris, mercatibus et reliquis locis. Item in mercatibus, qui in Peloponnesi oppidis et castris imperio nostro subjectis habentur, eosdem liberos esse volo omni tributi genere, nec ulla vectigalis vel portorii exactione vexari. Quare præstent iis necesse est has immunitates tum qui Cpoli tributorum exactioni, tum qui aliis portibus, locis et castris imperii nostri præfecti sunt; nec vero quicunque fundos, prædia vel castra intra fines imperii nostri sita habent, sive majestatis nostræ, sive filii nostri dilectissimi, sive cognatorum nobis vel aliorum primorum procerumque ministri sunt, ullum ullius generis tributum ab iis exigunto, neve omnino quidquam iis imponunto mulctæ noxiive. Ipsi item Cpolis, urbis clarissimæ, præfecti prorsus abstinento a tributis illis imponendis, neve eosdem cum reliquis advenis in censum referunto ad collationes ob rei publicæ salutem faciendas, aut separatim eos in tali re stipendia postulanto. Nec vero lites, quas vel cum aliis, vel inter se habent, ab illis, sed in sanctuario majestatis nostræ dijudicantor. Atque, hujus quidem bullæ aureæ auctoritate et

Digitized by Google

σεις ἢ μετ' ἀλλήλων ἢ μεθ' ἑτέρων τινῶν, κριθήσωνται παρ' αὐτῶν, ἀλλ' ἐν τῷ σεκρέτῳ τῆς βασιλείας μου. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου τὰ κατὰ μέρος περὶ αὐτῆς διορίζεται, ἀπολαύσωσι ταύτης κατὰ τὸ ἴσον καὶ ὅμοιον τρόπον καὶ οἱ ἐξ ὀσφύος παῖδες καὶ ἀπόγονοι τούτων, μέχρι ἂν ἡ τοῦ γένους αὐτῶν διαρκῇ σειρά· εἰς γὰρ τὴν περὶ τούτων ἁπάντων βεβαίωσιν ἀσφαλείας ἐγένετο καὶ ἐπεβραβεύθη καὶ ἐπιχορηγήθη αὐτοῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα Νοέμβριον τῆς ἑνισταμένης ἰνδικτιῶνος ιε' ἔτους ,ϛωκε'. Ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

405 Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος.

Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἰσάζον τῷ πρωτοτύπῳ, καὶ ἐγράφη δι' ἀσφάλειαν.

ιη'. Λοιπὸν κρατοῦντος τοῦ δεσπότου κὺρ Θωμᾶ τὴν Μονεμβασίαν παρὰ τῶν Μονεμβασιωτῶν αὐτῷ δεξομένην, ὁ ἀμηρᾶς τὴν μὲν βασίλισσαν καὶ τὴν αὐτῆς θυγατέρα τὴν ἑαυτοῦ γυναῖκα οἰκονομήσας ἔστειλεν εἰς Κωνσταντινούπολιν μετά τινων τῶν αὐτοῦ καὶ τῶν αὐτῆς, τὸν δὲ δεσπότην εἶχε μεθ' ἑαυτοῦ. Ἐλθόντος οὖν τοῦ ἀμηρᾶ ἐν τῇ Βορδονίᾳ οἱ ἐκεῖσε γενναῖοι ἄρχοντες φοβηθέντες ἔφυγον ἀφέντες αὐτήν. Οἱ δὲ ἐν τῷ Καστρίζῃ τάχα μέχρι τινὸς ἀντισταθέντες καὶ πολεμήσαντες τέλος προσεκύνησαν μετὰ συμβάσεως, ἵνα μὴ ἀθετήσῃ τὰ αὐτῶν ἤθη καὶ νόμιμα. Ὃς ὑπὲρ ταῦτα καὶ ἄλλα πλείστας χάριτας αὐτοῖς ἐπηγγείλατο· καὶ κατελθόντες στεφθῆναι ὑπὲρ τῶν ἀνδραγαθημάτων αὐτῶν κατ' ἔθος

lege quæ constituta sunt a majestate nostra, iis fruantur æquali et pari modo eorum filii et posteri, quatenus pertinebit generis eorum series. Nam ad omnia hæc firmanda et sancienda donata et data iis est bulla hæc aurea majestatis nostræ, edita mense Novembri indictionis 15, anni 6825 : cui subscripsit pia nostra et Deo obedientissima potestas.

Andronicus in Christo Deo fidelis rex et imperator Romanorum.

Angelus Ducas Comnenus Palæologus.

Exemplar hoc archetypo collatum et prorsus simile repertum et accurate scriptum est.

18. Cum igitur Thomas despota Monembasiam a Monembasiotis sibi traditam teneret, ameras imperatricem et filiam ejus sibi matrimonio junctam cum quibusdam de suis et ipsius comitibus Cpolim misit, despotam apud se retinuit. Amera deinde Bordoniam profecto, generosi scilicet optimates timore perculsi fugerunt urbemque deseruerunt. Castrizenses ubi aliquandiu restiterunt pugnarunt-que, postremo eum receperunt, conditione dicta, ut ipsorum mores et instituta ne turbaret. Quod ille cum aliis plurimis beneficiis se iis præstiturum promisit. Itaque cum egrederentur, ut pro more virtutis suæ præmia acciperent, aliis eorum capita præ-

οὓς μὲν αὐτῶν ἐκαρατόμησεν, οὓς δὲ ὀβελοῖς ἀπέκτεινε, τὸν δὲ Προινοκοκκᾶν λεπίσας ἐτελείωσεν· ἄξιον τέλος τῶν ἐργασιῶν καὶ πράξεων ἀπέλαυσεν. Ἐλθόντος δ' αὐτοῦ δὴ τοῦ ἀμηρᾶ καὶ εἰς τὰ περὶ τὸ Λεοντάριν, καὶ εὑρὼν αὐτὸ ἔρημον ἀνθρώπων, παρέλαβεν αὐτὸ διὰ τὸ τοὺς ἀνθρώπους φυγεῖν. Ἐν δὲ τῷ Γαρδίκῃ ὡς ἰσχυρότερον αὐτοῦ εἰσῆλθον φυλαχθῆναι, ἔνθα πάλιν ὁ ἀμηρᾶς παρεγένετο πολιορκῶν καὶ αὐτὸ μέχρι τινός· τέλος δὲ ἐδουλώθησαν, μετὰ συνθήκης καὶ **406** ὅρκου ἐπαγγειλάμενος αὐτοῖς ἵνα μηδένα αὐτῶν ἐνοχλήσῃ ἢ θανατώσῃ ἢ αἰχμαλωτίσῃ. Αὐτὸς δὲ τοὺς ὅρκους ἀθετήσας καὶ τῇ μνησικακίᾳ καὶ ὀργῇ κινούμενος, ἔν τινι πεδίῳ μικρῷ συνάξας αὐτοὺς πάντας καὶ δεσμεύσας, παρανάλωμα μαχαίρας σὺν γυναιξὶ καὶ παισὶ πεποίηκε. Τοιουτοτρόπως καὶ οἱ ποτε προεστοὶ αὐτῶν οἱ Μπουχάλεοι ἔπαθον, εἰ μὴ ἔφθασεν ὁ μπεγλέρμπεης Μαχουμούτης· ἐξεζήτησεν αὐτοὺς διὰ τὸ τὴν γυναῖκα Μανουὴλ τοῦ Μπουχάλη διτεξαδελφὴν εἶναι αὐτοῦ. Οἳ καὶ κακὰ ἀνταπέδωκαν αὐτῷ ἀντὶ τούτων. Δοὺς γὰρ αὐτοῖς ἀνθρώπους ἵνα μετὰ ἀνέσεως καὶ ἀναπαύσεως ἀπέρχωνται τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν ἔξω τόπον, διερχόμενοι περὶ τὸ Ποντικὸν εὑρόντες πλεύσιμον καὶ δολίως ἀποκτείναντες τοὺς ἀπάγοντας ἀνθρώπους τοῦ μπεγλέρμπεῖ καὶ ἐμβάντες εἰς τὸ πλεύσιμον ἔφυγον εἰς Κέρκυραν, κἀκεῖθεν πάλιν εἰς Νεάπολιν. Καὶ αὐτοὶ μὲν ἠλευθερώθησαν τῆς δουλείας ὁπωσδήποτε· ὁ δὲ πενθερὸς μὲν Μανουὴλ τοῦ Μπουχάλη Γεώργιος ὁ Παλαιολόγος, πρωτεξάδελφος δέ, ὡς προεδηλώσαμεν, τῆς μητρὸς τοῦ μπεγλέρμπεν, βληθεὶς εἰς σίδηρα ἤγετο. Αὐτὸς γὰρ, ὡς προείπομεν, φυγὼν ἐκ τοῦ Λεοναρίου μετὰ καὶ τοῦ γαμβροῦ αὐτοῦ ἀπῆλθεν εἰς τὴν Σπάρτην εἰς δουλοσύνην τοῦ δε-

cidit, alios palo suffixit, Prænococcam vero excoriavit, mortem factis suis dignam nactum. Deinde ameras Leontarium profectus, eam urbem a civibus desertam invenit et nullo labore occupavit. Cum Gardicam, oppidum munitius, securitatis causa confugissent, illuc rursus ameras profectus, urbem aliquandiu obsessam, postremo in ditionem accepit, ex pacto et jurejurando pollicitus, se neminem eorum aut turbaturum, aut occisurum, aut in servitium abducturum esse. Sed, sacramenti immemor et ulciscendi cupidate atque ira incitatus, cunctos in parvo quodam campo coactos et vinctos cum uxoribus et liberis gladio trucidari jussit. Quo supplicio etiam præfecti iis Buchalei affecti fuissent, nisi Mahometes beglerbegus vitam iis impetrasset, quod uxor Manuelis Buchalei ipsius soror sobrina esset. Qui male gratias retulerunt. Nam cum homines iis dedisset, ut tuto et citra laborem via e finibus ameræ ducente procederent, Ponticum profecti ibique navigandi occasionem nacti, dolose homines a beglerbego sibi adjunctos interemerunt, et conscensa navi Corcyram, et inde rursus Neapolim profugerunt. Itaque ipsi quidem servituti se modo quacunque eripuerunt; sed Manuelis Buchalei socer, Georgius Palæologus, matris beglerbegi, ut ante significavi, frater consobrinus, ferro vinctus duce-

Digitized by Google

σπότου κὺρ Δημητρίου, πολέμου δὲ γεγονότος περὶ τὴν Βορδονίαν καὶ τὴν Τρύπαν κακῶς τρωθεὶς ἑάλω, καὶ ἀπήγαγον αὐτὸν δέσμιον πρὸς τόν ποτε αὐθέντην αὐτοῦ **407** τὸν δεσπότην κὺρ Θωμᾶν. Ὡς δὲ ἰάθη ἀπὸ τοῦ τραύματος, περιωρισμένου δὲ ὄντος καὶ φυλαττομένου ὁπωσδήποτε περὶ τὸ Δυρράχιον, ἀπατήσας τοὺς φυλάσσοντας ἔφυγε, καὶ πάλιν προσέρχεται τῷ δεσπότῃ κὺρ Δημητρίῳ, καὶ ἐν τῷ Ναυπλίῳ τὸν πλείονα καιρὸν διέτριβε διὰ τὸ τὴν γυναῖκα καὶ τὰ παιδία αὐτοῦ ὑπάρχειν ἐν τοῖς τῶν Ἐνετῶν.

ιθ'. Τοῦ οὖν ἀμηρᾶ δουλώσαντος, ὡς δεδηλώκαμεν, τὸ Λεοντάριον καὶ τὰ περὶ αὐτό, ἔτι δὲ καὶ τὸν ἅγιον Γεώργιον· ταῦτα γὰρ ἰδὼν ὁ Κροκόντηλος, ἢ μᾶλλον εἰπεῖν Κροκόδειλος οἰκειότερον, προσεκύνησεν καὶ αὐτὸς τὸν ἀμηρᾶν, τὸ δὲ κάστρον τοῦ ἁγίου Γεωργίου καὶ τοὺς δύο υἱοὺς αὐτοῦ δέδωκεν αὐτῷ· αὐτὸς δὲ ἔλαβε χάριν τούτων τ', *Ἐλοΐ* ἢ μᾶλλον εἰπεῖν τὸ *Ἠλί*, καὶ τὰ ἑξῆς, τοῦτ' ἔστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες, ὡς εἰπεῖν μᾶλλον, Ἵνα τί μὴ καὶ αὐτὸν ἐγκατέλιπες, τῶν προλεχθέντων κακῶν πρωτεργάτην. Τούτων οὖν ἐκεῖσε γινομένων, ὁ δεσπότης κὺρ Θωμᾶς ἀφεὶς τὴν Καλαμάταν καὶ περάσας εἰς τὰ περὶ τὴν Κόσμαιναν καὶ τὸ Πετελίδι, εἰσελθὼν εἰς τὸν Ἀβαρῖνον κἀκεῖθεν εἰς τὸ Μαράθιν, προγενέστερον τῆς βασιλίσσης καταλειψάσης τὴν Ἀρκαδίαν κἀκεῖσε ἀπελθούσης μετὰ τῶν παίδων αὐτῆς καὶ τῶν εὑρισκομένων ἐν τῇ Ἀρκαδίᾳ ἀρχόντων. Ὁ δὲ ἀμηρᾶς παρέλαβεν αὐτὰ, ἀλλὰ δὴ καὶ τὴν Καριτάιναν, παρὰ τοῦ Σγουρομάλλη Παλαιολόγου καὶ γυναικαδέλφου τοῦ μεγάλου Λουκάνη, ὃς προαπέθανεν **408** εἰς ἀπόπτυστον διαβιβάσας τὴν ψυχήν, ὡς ποτε ὁ Ἄρειος

batur. Is enim, Leontario profugus, cum genero Spartam discesserat, ut Demetrio despotæ operam navaret, sed in obsidione Bordoniæ et Trypes, accepto vulnere, captus et vinculis constrictus ad dominum quondam suum Thomam despotam adductus est. Sed, sanato vulnere, cum custodiretur ad Dyrrhachium, deceptis custodibus, effugit iterumque adjunxit se Demetrio despotæ, ac Nauplii aliquandiu commoratus est, quoniam ibi in Venetorum ditione uxor et liberi ejus vivebant.

19. Occupatis igitur, ut docuimus, Leontario locisque vicinis, et S. Georgio insuper, animadvertens id Crocontelus sive, ut aptius dicam, Crocodilus, ipse quoque ad eum defecit eique cum castro duos filios tradidit, habuitque ejus rei præmium *Eloi* sive *Eli*, et quæ sequuntur, hoc est, « Mi Deus, mi Deus, quare deseruisti me ?» sive, ut dicam melius, « Quare non et ipsum deseruisti commemoratorum malorum primum auctorem ?» Hæc dum illic fiunt, Thomas despota, relicta Calamata, Cosmænam et Petalidium trajectus, Abarinum et inde Marathium venit, cum jam ante regina ex Arcadia exiisset atque illuc cum liberis et primoribus Arcadiæ advenisset. Itaque occupavit ea ameras, recepitque ideo Caritænam a Sguromalle Palæologo et fratre uxoris magni Lucanis, qui, ut olim Arius, in sella familiarica, emissis visceribus, animam exspiravit, ac

ἔπαθεν, ἅμ' ἐγκάτοις, καὶ περάσας κατῆλθεν εἰς τὰ περὶ τὴν Ἀνδροῦσαν καὶ Ἰθώμην. Καὶ λαβὼν αὐτὴν καὶ τὰ περὶ αὐτὴν πάντα ἀπῆλθε θεάσασθαι καὶ τὴν Κορώνην, εἶτ' ἐκεῖθεν διέβη καὶ εἶδε τὴν Μοθώνην, εἶτα τὴν Πύλον τὴν καὶ Ἀβαρῖνον. Καθ' ἣν ἡμέραν καὶ ὁ δεσπότης κὺρ Θωμᾶς ἐξῆλθε τῆς Πελοποννήσου· προητοίμασε γάρ τινα πλοιάρια, καὶ ἐλθὼν ἐν τῷ λιμένι τῷ παρ' Ἰταλοῖς καλουμένῳ Πόρτῳ λόγγῳ, ἵνα ἐκεῖθεν εὐπλοΐμον καιρὸν εὑρὼν εἰς Κέρκυραν ἀπέλθῃ. Ὃ δὴ γέγονε, καὶ τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπεσώθη εἰς Κέρκυραν. Εὑρόντες δὲ καὶ ἡμεῖς πλεύσιμον ἀπαγόμενον ἐκεῖσε, ἐμβάντες τῇ ια' Ἰουλίου διὰ τὸ ἐπιγενέσθαι καὶ μετὰ τῶν ἄλλων κακῶν θανατικὸν ἐν τῇ Μοθώνῃ, τῇ β' τοῦ Αὐγούστου ἀπεσώθημεν εἰς Κέρκυραν, ἔχοντες τὸν σκοπὸν ἵνα ἀπέλθωμεν εἰς τὴν Κρήτην ἢ εἰς τὴν περὶ τὴν Θεσσαλονίκην Βέρροιαν, διὰ τὸ εἶναι κἀκεῖσε καλλίστην μονὴν εἰς ὄνομα τοῦ ἁγίου Νικολάου, ἥνπερ ὁ τῆς μητρός μου πατὴρ ἀνήγειρεν ἐκ βάθρων. Τοῦ δὲ Ῥαοὺλ Γεωργίου καὶ τοῦ γαμβροῦ αὐτοῦ καὶ θυγατρὸς προαπελθόντων, ἐπαρώτρυναν καὶ τὸν ἀνεψιὸν αὐτοῦ τόν ποτε μελλόγαμβρόν μου Νικόλαον τὸν Μελισσηνὸν, αὐτὸς δὲ πάλιν ἐμέ· ἔτι δὲ καὶ τοῦ δεσπότου μετὰ καὶ τῶν ἄλλων ἐκεῖσε παραγενομένου ἀπῆλθομεν χήμεῖς, προσμεῖναι ἐκεῖ ἕως οὗ ἴδωμεν τὸ μέλλον. Τοῦ δ' **409** ἀμηρᾶ λαβόντος τὴν Ἀρκαδίαν, κἀκεῖθεν διερχομένου εἰς τὰ κάτω μέρη τῆς Πελοποννήσου καὶ λαβόντος πάντα τὰ ἐκεῖσε, ἀλλὰ δὴ καὶ τὸ ἰσχυρότατον Χλομούτζην καὶ τὸ Σανταμαρῖν, ἃ ἐκέκτηντό τινες τὴ ἐπίκλην μπεγλερμπεῖδες, καὶ αὐτοὶ φοβούμενοι εἶασαν πάντα κω-

transiit in viciniam Andrusæ et Ithomes. His quoque oppidis cum omni regione finitima occupatis, Coronam visum abiit, atque inde rursus Mothonam trajecit ac Pylum sive Abarinum. Quo die etiam Thomas despota, exstructis ante navibus, e Peloponneso discessit et ad Portum Longum, quem Itali dicunt, profectus est, ut inde, idoneam nactus tempestatem, Corcyram navigaret. Ita factum est, pervenitque die mensis Julii 28 Corcyram. Nos quoque navigium eodem profecturum nacti, Julii die 11 solvimus, quod præter reliquas miserias pestifera lues Mothonen invaserat, et delati sumus Corcyram die 2 Augusti. Erat autem consilium inde in Cretam vel Berrhœam prope Thessalonicam proficisci, quoniam illic monasterium pulcherrimum erat, in honorem sancti Nicolai ab avo meo materno a fundamentis exstructum. Georgius Raulis autem et gener et filia ejus, ante illuc profecti, consobrinum suum, qui quondam meus erat futurus gener, Nicolaum Melissenum, ut eodem discederet, cohortati erant, atque hic rursus mihi idem suaserat. Itaque et despota et reliquis illic commorantibus, nos quoque abivimus exspectaturi, quid futurum esset. Interim ameras, occupata Arcadia, in partem inferiorem Peloponnesi profectus, cuncta ejus regionis loca cepit, ipsamque adeo firmissimam Chlomutzam et Santamarium, quæ a quibus-

Digitized by Google

φᾶ, καὶ ἀπῆλθον καὶ αὐτοὶ εἰς Κέρκυραν. Ὁ δὲ ἦλθε μέχρι καὶ Πάτρας κἀκεῖσε προσέμεινε. Καὶ τὰ Καλάβρυτα λαβὼν, ἔνθα ὁ ἡγερονεύων οὔτε τοῖς δεσπόταις οὔτε τῷ ἀμηρᾷ ἐφύλαττε πίστιν, ἀλλ' οὐδ' εἰς Θεὸν, ὡς νομίζω, αὐτὸς μὲν ὁ ἀμηρᾶς ἔδωκε δίκην ἀξίαν αὐτῷ· ἐλέπισε γὰρ αὐτὸν, οἱ δ' αὐτοῦ πάντες οἱ μὲν ἀπετμήθησαν τὰς κεφαλὰς, οἱ δὲ αἰχμάλωτοι ἀπήχθησαν. Τὸ δὲ ἄστυ ὁ ἀμηρᾶς καλῶς ἀσφαλισάμενος καὶ παντὶ τόπῳ ἀφεὶς στρατιώτας, ἐγερθεὶς ἀπὸ τῆς Πάτρας διέβη εἰς τὰ περὶ τὸ Σαλμενικὸν καὶ Λίστραιναν καὶ Βοστίτζαν· καὶ τὴν μὲν Βοστίτζαν καὶ Λίστραιναν ἔλαβε, τὸ δὲ Σαλμενικὸν ἐκράτησε μέχρι τινός τις Παλαιολόγος λεγόμενος τὸ ἐπίκλην Γραΐτζας.

Τοῦ δὲ δεσπότου, ὡς εἴπομεν, πανοικὶ ἐλθόντος εἰς Κέρκυραν, προσῆλθον αὐτῷ καὶ γράμματα ἀπὸ τοῦ πράκτορος τοῦ Ἀγγελοκάστρου διαλαμβάνοντα οὕτως, ὅτι τῷ ἀμηρᾷ δρῆξις ἦν ἵνα προσέλθῃ αὐτῷ τις τῶν τοῦ δεσπότου ἀρχόντων, καὶ γενήσηται συμβίβασις καὶ ἀγάπη ἀμφοτέροις, καὶ δοθῇ παρ' αὐτοῦ τόπος μετά τινων συμφωνιῶν τῷ δεσπότῃ πρὸς **410** τὸ ζῆν. Συνδιασκεψάμενος οὖν σὺν τοῖς αὐτοῦ ὁ δεσπότης, ἔδοξεν αὐτῷ καλὸν εἶναι ἵνα ὁ μὲν Ῥάλης Γεώργιος ἀπέλθῃ πρὸς τὸν ἀμηρᾶν, ὁ δὲ γαμβρὸς αὐτοῦ Ῥαοὺλ Γεώργιος ἀπέλθῃ πρὸς τὸν πάππαν. ἵνα ὁ μὲν καὶ ταῦτα καὶ τὴν εἰς Κέρκυραν τοῦ δεσπότου ἐπιδημίαν δηλώσῃ τῷ πάππᾳ, ὁ δὲ ἴδῃ καὶ μάθῃ τίς ὁ τοῦ ἀμηρᾶ σκοπός. Οἱ καὶ ἀπῆλθον, ὁ μὲν τῇ θ', ὁ δὲ τῇ ια' Αὐγούστου. Θανατικοῦ δ' ἐπιγενομένου καὶ εἰς τὴν Κέρκυραν πόλιν ὁ δεσπότης καὶ ἡμεῖς ἀπήλθομεν ἐν τοῖς περιχωρίοις, ἐκδεχόμενοι καὶ τὰ τῶν πρεσβυτῶν ἀποτελέσματα. Ὁ μὲν οὖν Ῥάλης Ἰωάννης διελθὼν διὰ τοῦ Ἀγγελοκάστρου ἔφθασε τὸν ἀμηρᾶν εἰς τὰ περὶ τὴν Βέρροιαν· καὶ εὐθὺς προστάξαντος αὐτοῦ ὅ τε Ῥάλης καὶ οἱ σὺν αὐτῷ πάντες ἐδεσμεύθησαν, καὶ οἱ πόδες αὐτῶν ἠσφαλίσθησαν σιδήροις. Διαβιβάσαντες οὖν οὕτως δέσμιοι, μετά τινας ὁδοὺς ἡμερῶν εἰς τοὺς περὶ τοῦ μαύρου ὄρους βουνοὺς ἠλευθέρωσεν αὐτοὺς, εἰπὼν ὅτι Ἐγὼ ἐκδεχόμην πλησίον τῆς Πελοποννήσου εὑρισκομένου μου ἐλθεῖν τὸν δεσπότην, ἢ στείλῃ τὸν υἱὸν αὐτοῦ μετὰ ἀρχόντων, καὶ γένηται χάρις πρὸς αὐτὸν, καὶ κάθηται, καὶ ζῇ. Ἐπεὶ οὖν οὐδὲν γέγονε, πάλιν λέγομεν, γενηθήτω, εἰ θέλει, καὶ ἀπελθόντος σοῦ ἐλθέτω ὁ δεσπότης, ἢ ἐξαποστειλάτω ἕνα τῶν παίδων αὐτοῦ, ᾧ καὶ ποιήσωμεν χρηστά. Ἐπιστρέψαντος δὲ τοῦ Ῥαοὺλ ἀπράκτου τῷ Ὀκτωβρίῳ τοῦ ,ςϡξθ' ἔτους, καὶ τῇ ις' Νοεμβρίου ἐμβὰς ἔν τινι τῶν **411** Κερκυραίων πλοίων ὁ δεσπότης κὺρ Θωμᾶς μετὰ τῶν πλειόνων ἀρχόντων αὐτοῦ διέβη εἰς τὸν Ἀγκῶνα, ἵνα ἐκεῖθεν πρός τε τὸν πάππαν καὶ τὸν δοῦκα Μεδιολάνων καὶ ἀλλαχοῦ ἀπέλθῃ, εἰς Κέρκυραν καταλείψας τὴν τε βασίλισσαν καὶ τὰ παιδία αὐτοῦ καί τινας τῶν ὑρχόντων αὐτοῦ οἰκειακοὺς καὶ οἰκέτας τῶν αὐτῷ ἑπομένων. Οὗ δὴ καμὲ πολλὰ διορισαμένου καὶ ζητήσαντος ἵνα ἢ σὺν αὐτῷ ἀπέλθω ἢ ἐν Κερκύρᾳ μετὰ τῆς βασιλίσσης μείνω, ἄρχων τοῦ ὁσπιτίου αὐτῆς· ἐγὼ δὲ διά τε τὸ ἔλεος τοῦ τὰ πάντα καλῶς οἰκονομοῦντος Θεοῦ, διά τε τὴν λύπην ὧν ἐγέννησα, διά τε τὴν ἀταξίαν πάντων τῶν τοῦ οἴκου αὐτῶν ἀνήκοος ἐγενόμην εἰς τὰ ἀμφότερα. Ἀλλ' ἐπιμείναντός

dam beglerbegis tenebantur, qui et ipsi, metu perculsi, omnia deseruerunt et Corcyram venerunt. Ille Patram usque processit, ibique mansit. Captis Calabrytis, ejus urbis præfectum, qui nec despotis, nec ameræ, nec vero Deo, opinor, fidem servarat, supplicio dignissimo punivit. Quippe pellem ei detrahi jussit, et cives aut jugulavit aut captivos abduxit. Urbe bene munita et ubivis relictis præsidiis, ameras Patra movit et Salmenicum, Listrænam et Bostitzam transiit, ac Bostitza et Listræna quidem potitus est, sed Salmenicum Palæologus quidam, cognomento Graitzas, aliquamdiu servavit.

Despota igitur cum tota familia Corcyram profecto, litteræ ei a procuratore Angelocastri allatæ sunt, quibus scriptum erat, ameram quempiam e proceribus despotæ ad se mitti cupere, ut amicitia et concordia inter ipsos conciliaretur, et locus aliquis despotæ cum conditionibus quibusdam a se daretur, in quo is vitam ageret. Re cum suis deliberata, despota e re fore existimavit, ut Georgius Rales ad ameram, Georgius Raulus autem, gener ejus, ad papam proficisceretur, ut alter hoc ipsum et despotæ in Corcyra commorationem papæ nuntiaret, alter videret et exploraret, quo spectaret consilium ameræ. Itaque illi discesserunt, alter nono, alter undecimo die Augusti. Mox autem quum pestis etiam Corcyram urbem invasisset, despota et reliqui in loca vicina concessimus, legatorum exspectantes reditum et quid allaturi essent nuntii. Ac Joannes Rales quidem, trans Angelocastrum profectus, ubi prope Berrhœam ad ameram venit, statim jussu ejus cum omnibus comitibus vinctus et compedibus ferreis astrictus est. Cum ita vincti processissent dies aliquot, ad colles montis nigri eos liberavit, et exspectasse se dixit, ut, cum esset prope Peloponnesum, aut veniret ipse despota, aut filium cum proceribus mitteret, ac se illi benefacturum sedemque stabilem, in qua viveret, donaturum fuisse. Quorum cum neutrum factum sit, inquit, iterum, ut fiat, suademus, et post reditum tuum aut veniat despota, aut unum e filiis mittat, cui benefaciamus. Itaque cum Raulus re infecta redisset mense Octobri anni 6969, Thomas despota, die 16 Novembris Corcyræorum navem ingressus, cum proceribus suis plerisque Anconam trajecit, inde ad papam et Mediolanensium ducem et alio profecturus, in Corcyra relictis regina et filiis et nonnullis procerum, qui eum sequebantur, familiaribus et domesticis. Equidem, multum ab eo invitatus et rogatus, ut aut comitarer se, aut Corcyræ manerem in ædibus reginæ, per misericordiam Dei cuncta bene moderantis et propter luctum eorum quos procreaveram, et rerum omnium in illius domo perturbationem, neu-

Digitized by Google

Μαντινείᾳ διαβιβάζων πανοικὶ, ἐλθὼν εἰς τὰ περὶ A
τὴν Τρύπην βουνὰ, ἔνθα δὴ καὶ ὁ ἀδελφὸς αὐτοῦ ἦν,
καὶ οἱ ῥηθέντες καταστάται τῶν τοιούτων ἀξιεπαί-
νων ἔργων ἦλθον· καὶ ἄνευ συμβουλῆς ἢ ἀντιῤῥή-
σεως, μὴ ποιήσας ἀναβολὴν οὐδεμίαν, ἀπέστειλε τὸν
αὐτοῦ μέγαν πριμικήριον τὸν Λάζαρον, καὶ πάντα
τὰ ῥηθέντα ἄστεα τῷ ἀμηρᾷ παρέδωκεν ὡς λάχανα
κήπου. Τῇ δ' αὐτῇ σχεδὸν ἡμέρᾳ ἐπεὶ ὁ ἀμηρᾶς ἦν
ἀναγκαζόμενος ἐξελθεῖν τῆς Πελοποννήσου διά τινα
αἰτίαν, καταλείψας Ἀμάρην τὸν τοῦ Τουραχάνη
υἱὸν, ἵνα αὐτὰ λάβῃ ἀντὶ τοῦ ἀμηρᾶ, ὁ δ' ἐκεῖθεν
διέβη.

ις'. Τῷ δ' Ὀκτωβρίῳ μηνὶ τοῦ ,ςϡξζ' ἔτους ὁ
ἀμηρᾶς ἀποστείλας πρέσβυν πρὸς τὸν δεσπότην κὺρ
Δημήτριον ᾔτει τὴν θυγατέρα αὐτοῦ εἰς γυναῖκα, B
ἣν ἔσχεν ἐκ τῆς αὐτοῦ συζύγου τῆς τοῦ Παύλου
τοῦ Ἀσάνη θυγατρὸς, τοῦ πατρὸς Ματθαίου· εἰ δ'
οὔ, μάχη ἀνὰ αὐτῶν ἔσεται. Ὁ δὲ περὶ τούτου τοῦ
συνοικεσίου πρέσβυς ἐλθὼν καὶ πρὸς τὸν δεσπότην
κὺρ Θωμᾶν εἰς τὴν Πόντικον εὑρισκόμενον τοὺς ὅρ-
κους τῆς ἀγάπης ἀπετέλεσε, καὶ τὰ μὴ φθάσαντα
ἄστεα δοθῆναι τῷ αὐθέντῃ αὐτοῦ ἔσχε κατὰ τὰς
συμφωνίας, ὡς εἰρήκαμεν, καὶ **389** ἀπῆλθε. Κατὰ
δὲ τὸν Ἰανουάριον μῆνα τοῦ αὐτοῦ ἔτους καὶ ὁ κα-
λοκαγαθὸς Λυκάνης Νικηφόρος ἢ μᾶλλον εἰπεῖν Πε-
λοποννησιοφθόρος, λογιζόμενος εἶναι τῶν πρώτων
καὶ πιστῶν ἀρχόντων τοῦ δεσπότου κὺρ Δημητρίου,
καί τινες ἄλλοι σὺν αὐτῷ τῶν Ἀλβανιτῶν καὶ Πε-
λοποννησιωτῶν, μὴ λογιζόμενοι ὅτι ἃ ἐπιμέλουνται
πρᾶξαι εἰς κακίαν αὐτῶν πρόχειρον ᾠκονόμουν, C
ἔπεισαν τὸν δεσπότην κὺρ Θωμᾶν ἵνα μάχην ἐγείρῃ
κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ καὶ κατὰ τοῦ ἀμηρᾶ ἐπα-

νάστασιν ποιήσῃ, καὶ φάγῃ τοὺς ὅρκους ὡς λάχανα,
οὓς πρὸ ὀλίγου μετ' αὐτῶν ἐποίησε. Καὶ ὁ ἄλλος
ἀγαθὸς ἀνὴρ Ἀσάνης ὁ Ματθαῖος διὰ τὸ πρὸς τὸν
ἀμηρᾶν εἶναι ἀπεσταλμένος περὶ τοῦ εἰρημένου συν-
οικεσίου τοῦ ἀνὰ τῆς τούτου ἀνεψιᾶς καὶ τοῦ ἀμηρᾶ
ταῦτα οὐκ ἐγίνωσκεν. Ἐξελθόντος οὖν τοῦ δεσπό-
του κὺρ Θωμᾶ εἰς τὰς ἀρχὰς τοῦ Φεβρουαρίου μη-
νὸς τοῦ αὐτοῦ ἔτους ἀπὸ τῆς Ἀρκαδίας, καὶ ἑνω-
θέντος μετὰ τῶν ἐργαζομένων κατ' αὐτοῦ ἢ καὶ
μᾶλλον εἰπεῖν τὰ κατ' αὐτῶν, ὡς ὁ λόγος προῖὼν
δηλώσει, παρέλαβεν ἀπὸ μὲν τῶν Τούρκων τὰ Κα-
λάβρυτα καὶ μόνον ἐκ τῶν ἀστέων ὧν ἤλπιζον λα-
βεῖν, ἃ οἱ Τοῦρκοι κέκτηντο, ἀπὸ δὲ τοῦ δεσπότου
κὺρ Δημητρίου ἅπερ αὐτοὶ οἱ ἐργάται τῶν κακῶν
ἡγεμόνευον, Καριτταναν λέγω καὶ ἅγιον Γεώργιν,
Βορδόνιαν, Καστρίτζαν καὶ ἕτερά τινα, ἵν' αὖθις
ἔχωσιν αὐτὰ οὐχ ὡς πρώην ἐκυβέρνουν, ἀλλ' ὡς
αὐθέναται ἴδιοι. Ἐκατώρθωσαν οὖν οὐδὲν ἄλλο οἱ
φρόνιμοι καὶ πρακτικοὶ καὶ γενναῖοι ἄρχοντες ἢ
μόνον ὅτι **390** ἔσχον κατ' αὐτῶν Θεὸν τὸν τοῦ παν-
τὸς ποιητὴν καὶ αὐθέντην τῶν ἐπὶ γῆς ἰσχυρότερον,
καὶ οὕτως τὸ σκάνδαλον ἐποίησαν ἀνὰ τῶν ἀδελφῶν
καὶ αὐθεντῶν αὐτῶν, οὐκ ἐνθυμηθέντες οἱ ἄθλιοι τοῦ
ἀψευδοῦς λογίου ὅτι πᾶσα βασιλεία διαμερισθεῖσα
καθ' ἑαυτὴν ἐρημοῦται, οὔτε τοῦ παροιμιώδους λό-
γου τοῦ πρὸς τοὺς δύο οὐδ' Ἡρακλῆς, ἀλλ' ἐπανέ-
στησαν καὶ πρὸς τοὺς τρεῖς. Καὶ τούτων οὕτως προ-
βάντων πρῶτον μὲν ὁ Θεὸς παρεῖδεν αὐτοὺς, καὶ τί
ἔπραττον οὐκ ἐγίνωσκον, ἀλλ' ὡς τοὺς ἰχθύας τοὺς
ἔσω τῆς σαγήνης ὄντας καὶ ἀγνοοῦντας ὅτι πάντες
μέλλουσιν ἁλκεσθαι εἰς γῆν, ἐν ὅσῳ ἕως τοῦτο γέ-
νηται ἀλλήλως διώκονται καὶ ἁλίσκονται καὶ φθεί-

sit, ac sine deliberatione vel reclamatione et mini-
me cunctanter Lazarum, magnum primicerium
suum, misit et loca, quæ dixi, omnia, tanquam
olera horti, Ameræ tradidit. Cum eodem ferme die
Ameras e Peloponneso discedere causa quadam co-
geretur, Amarem, Turachanis filium, qui illa pro
se occuparet, reliquit, ipse inde abiit.

16. Octobri mense anni 6967 Ameras, legato ad
Demetrium despotam misso, hujus filiam in matri-
monium sibi expetivit, quam is ex Pauli Asanis,
patris Matthæi, filia, uxore legitima, habebat: nisi
daret, pro hoste se eum habiturum. De hoc con-
jugio missus legatus etiam ad Thomam despotam D
Pontici versantem venit, et, pactione cum eo fac-
ta, oppida principi suo nondum donata secundum
conventa accepit ac discessit. Mense Januario ejus-
dem anni eximius ille vir, imo vero pestis Pelo-
ponnesi, Nicephorus Lucanes, qui in fidelibus et
primis Demetrii despotæ proceribus numerabatur,
et alii quidam Albanitæ et Peloponnesii, ignari,
quæ molirentur, in suam se perniciem moliri, Tho-
mæ despotæ suaserunt, ut fratrem bello adoriretur
et contra Ameram rebellaret, et quæ paulo ante fe-
cerat sacramenta, tanquam olera, comederet. Igno-
rabat hoc alter vir egregius. Matthæus Asanes, de
connubio illo inter illius consobrinam et Ameram
conciliando ad Ameram missus. Itaque Thomas
despota sub initium Februarii ejusdem anni ex
Arcadia profectus et conjunctus cum iis qui ipsius,
imo, ut docebunt eos, quæ sequuntur, sui studiosi
erant, Turcis eripuit Calabrita, solam ex urbibus,
quas a Turcis occupatas recuperaturos se esse spe-
rabant, Demetrio despotæ autem eas, quibus ipsi
malorum auctores præerant, Caritænam, sanctum
Georgium, Bordoniam, Castritzam, et alia nonnulla,
ut illi eas non tanquam administratores, ut ante,
sed ut domini reciperent. Nihil igitur aliud pru-
dentes isti, strenui et generosi primores assecuti
sunt, nisi ut Deum, rerum omnium auctorem et
principem iis, qui in terra sunt, potentiorem con-
tra se irritarent; atque inter fratres et dominos
suos severunt inimicitias, haud memores miseri
oraculi illius indubii: « Omne regnum secum dis-
cordans dilabetur; » nec proverbii illius: « Adver-
sus duos ne Hercules quidem: » quin imo etiam tri-
bus obnisi sunt. Quæ cum ita procederent, primum
eos Deus neglexit, nec sciebant, quid facerent, sed
erant velut pisces in verriculo, qui, se omnes in
terram protractum iri nescii, interim invicem se
persequuntur, ac minores capti consumuntur a ma-
joribus. Quippe Thomas despota incursabat obsi-
debatque fratris urbes et oppida, Zarnatam et alia

Digitized by Google

ροντες οἱ ἐλάττονες ὑπὸ τῶν μειζοτέρων, οὕτως καὶ οὗτοι. Ὁ μὲν γὰρ δεσπότης κὺρ Θωμᾶς παρῆπιπτε καὶ ἐπολιόρκει τὰ τοῦ αὐταδέλφου ἄστεα καὶ χώρας, Ζαρνάταν λέγω καὶ τὰ ἕτερα τῆς ἐπιτροπικῆς τοῦ Μελισσηνοῦ, τὴν Καλαμάταν καὶ ἄλλα ὅσα εἰς χεῖρας εἶχεν ὁ δεσπότης κὺρ Δημήτριος ἐν τῷ Μεσσηνιακῷ κόλπῳ· καὶ συνεργὸν εὗρε πρωτοστράτορα τὸν ὅριστον Φραγκόπουλον Νικόλαον, τὸν Εὐδαίμονα Ἰωάννην, Λέοντα τὸν μεσάζοντα καὶ τὸν σύγγαμβρον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸν περιπόθητον γυναικοθεῖον, τὸν μᾶλλον Κυδωνίδην ἢ Τζαμπλάκωνα ὀνομαζόμενον. Ὁ δὲ δεσπότης κὺρ Δημήτριος πάλιν τὸ Λεοντάρι καὶ τὰ πέριξ αὐτοῦ ἐπολιόρκει καὶ τὴν Ἀκωβαν, ὃς καὶ συνεργοὺς εὗρε καὶ αὐτὸς Γεώργιον τὸν Παλαιολόγον καί τινα **391** τούτου ἐξάδελφον, καὶ τὸν γαμβρὸν αὐτοῦ Μπούχαλην Μανουήλ, οἳ ἐμέσαζον κατὰ τοῦ δεσπότου κὺρ Θωμᾶ. Καὶ ὁ μὲν παρέλαβε τάχα τὴν Ζαρνάταν, ὁ δεσπότης κὺρ Θωμᾶς λέγω, καὶ τὸ Λεῦκτρον καὶ τὸ πολὺ τῆς Μανῆς ζυγόν. Ἔτι δὲ καὶ τὴν Καλαμάταν. Τοῦ δὲ δεσπότου κὺρ Δημητρίου ἐρχομένου ἐκβῆναι ἐν τῷ Λεοντάρει, καὶ μαθὼν τοῦτο ὁ ἀδελφὸς αὐτοῦ, δραμὼν ἐπρόλαβε καὶ εἰσῆλθεν ἐν τῷδε τῷ ἄστει· καὶ οὕτως ὁ δεσπότης κὺρ Δημήτριος ἀπέμεινεν ἄπρακτος. Τοῦ δὲ Παλαιολόγου κὺρ Γεωργίου καὶ τῶν Μπουχαλέων φυγόντων μόνων καὶ ἀπελθόντων σὺν αὐτῷ ἐπαναστρέφοντι εἰς Σπάρτην, ἔτι δὲ καὶ τὸ κάκιστον καὶ ἀνωφελέστατον τῶν Ἀλβανιτῶν γένος; εὐκαιρίαν εὑρόντες τῆς ὑπολήψεως καὶ ἁρπακτικῆς καὶ ἀδίκου αὐτῶν γνώμης ἁρμόδιον, τί οὐκ ἔπραξαν ἢ τί οὐκ εἰργάσαντο κακόν; Ἀπιστοῦντες γὰρ τρὶς τοῦ Σαββάτου ἐκ τοῦ ἑνὸς αὐθέντου πρὸς τὸν ἄλλον ἀπήρχοντο, καὶ ἀντὶ τοῦ εἰπεῖν κώμας ἢ ἄστεα, κάστρα ἔλεγον κατὰ τὴν αὐτῶν γλῶσσαν τὴν βαρβαρίζουσαν, καὶ ταῦτας εἰς κεφαλάτικα ἀπῄτουν, καὶ οὕτως ποτὲ μὲν πρὸς τὸν ἕνα τῶν δεσποτῶν ἀπήρχοντο, ποτὲ δὲ πρὸς τὸν ἕτερον. Διὰ μέσου οὖν αὐτῶν παντὶ ἄρα εὑρίσκετο τῶν ἀθλίων τάχα Ῥωμαίων τε καὶ ἑτέρων Ἀλβανιτῶν καὶ συγγενῶν καὶ οἰκείων αὐτῶν πολλάκις διήρπαζον καὶ ἠφάνιζον πάντα. Ἐγένοντο δὲ τοιαῦτα καὶ τοσαῦτα ὅτι τίς αὐτὰ οὐ θρηνήσειεν; Ἀλλὰ δὴ καὶ αὐτοὶ οἱ Τοῦρκοι οἱ ἐν Κορίνθῳ καὶ **392** ἐν Ἀμύκλῃ καὶ Πάτρᾳ εὑρισκόμενοι, λαβόντες καιρὸν ἐπιτήδειον, τοὺς μὲν ἠχμαλώτιζον, τοὺς δὲ ἀπέκτεινον, τοὺς δ' αὐθέντας καὶ τοὺς ἄρχοντας κατεγέλων, βλέποντες καθ' ἑαυτῶν τὰ ξίφη ὠθοῦντας.

Ταύτας δὴ τὰς ἐργασίας ἐνυοησάντων ἡμῶν ἐν τῇ Ἀρκαδίᾳ ὄντων, ἔνθα δὴ καὶ ἐπράττοντο τὰ ἑαυτῶν συμπεράσματα, σὺν ἡμῖν ἦν καὶ ὁ τῆς χρηστῆς ῥίζης καρπὸς Νικόλαος ὁ Μελισσηνὸς ὁ νέος καὶ ὀρφανός, ὃν ποτε ἔμελλον ὁ δυστυχὴς ἐγὼ γαμβρὸν ποιῆσαί μοι. Ὃς ἀναμέτον τῶν δύο αὐθεντῶν καὶ δεσποτῶν κακῶς καὶ αὐτὸς καὶ πικρῶς διέκειτο· ὁ μὲν γὰρ δεσπότης κὺρ Δημήτριος ἔπεμπεν αὐτὸν πρὸς τὸν δεσπότην κὺρ Θωμᾶν· ὁ δὲ πάλιν ὁμοίως ἐποίει, καὶ οὐκ ἔπαυον εἰς πρὸς τὸν ἕτερον πέμπειν αὐτὸν, καὶ οὐκ ἂν τὸ ζῆν αὐτῷ ἐδίδουν, ἀλλὰ συναλλήλως αὐτοῖς ἐκράτουν πάντα ἐκείνου πράγματα, ἃ ἡ ἱστορία προεδήλωσε, τὰ ἐν τῇ Πελοποννήσῳ· καὶ μᾶλλον ἡ ζωὴ αὐτοῦ ἀναμέσον τῶν τοιούτων σκανδάλων ἐκινδύνευεν. Ἡμῶν δὲ βλεπόντων τὰς τοιαύ-

loca provinciæ Melisseni, Calamatam et reliqua, quæ Demetrius in sinu Messeniaco possidebat. Adjutores habebat virum optimum Nicolaum Francopulum, protostratorem, Joannem Eudæmonem, Leonem vicarium et affinem fratris sui, et charissimum uxoris patruum, Cydoniden potius quam Tzamplaconem appellatum. Vicissim Demetrius despota Leontarium cum locis vicinis et Acobam obsidebat: qui et ipse administros invenit Georgium Palæologum et hujus patruelem quemdam ejusque generum Manuelem Buchalen, qui contra Thomam despotam ipsius negotium curabant. Atque ille quidem, Thomas, inquam, Zarnatam et Leuctrum et majorem partem regionis Manes, Calamatam insuper cepit; Demetrius despota autem, ad invadendum Leontarium profectus, spe frustratus est, quoniam rescisceus id frater ejus, præcipiti agmine urbem præoccupatam intravit. Georgio Palæologo et Buchalis solis profugis et cum ipso Spartam redeunte profectis, genus hominum nequissimum et perditissimum, Albanitæ, occasionem nacti cogitationi suæ et rapaci atque injustæ naturæ commodam, quid non fecerunt aut quid non designarunt mali? Infidi enim ter intra Sabbatum ab uno domino ad alterum transibant, atque pro eo, ut vicos aut oppida appellarent, lingua sua barbare castras dicentes, petebant earum principatus, et ita nunc ad illum, nunc ad alterum se adjungebant despotam. Inter hos igitur omne genus miseriarum reperiebatur, inter Romanos, inquam, et Albanitas eorumque cognatos et domesticos, quorum bona omnia diripiebantur et vastabantur. Denique talia ac tanta commissa sunt, quæ nemo videatur non deploraturus fuisse. Quin etiam Turcæ, qui Corinthi vel Amyclæ vel Patræ erant, arrepta opportunitate, alios in servitium abstrahebant, alios occidebant, principes vero et primores irridebant, quorum enses in se strictos videbant.

Hæc facinora nos in Arcadia commorantes prospiciebamus, eratque nobiscum bonæ radicis soboles Nicolaus Melissenus junior idemque orbus, quem quondam miser ego generum habiturus eram. Is quoque ab utroque principe et despota male acerbeque habebatur. Etenim Demetrius despota ad Thomam eum mittebat, hic contra; nec cessabant eum invicem missitare, et ne victum quidem ei præbebant cum omnia, quæ in Peloponneso eum habuisse supra docuimus, sibi vindicarent: in quibus turbis, in haud mediocri periculo ipsa vita ejus versabatur. Tantos tumultus cum cerneremus, quorum eventa præsagiveramus, antequam Thomas despota exiret ex Arcadia, ipsi quoque, causis quibusdam prætextis, egressi, Pidasum, quæ nunc Mothone appellatur, venimus. Quin etiam

Digitized by Google

τας μεγάλας ἀκαταστασίας, καὶ τὰ αὐτῶν συμπερά- A
σματα σκοπησάντων πρὸ τοῦ ἐξελθεῖν κὺρ Θωμᾶν
τὸν δεσπότην ἐκ τῆς Ἀρκαδίας, ἐξήλθομεν καὶ ἡμεῖς
πλάσαντες αἰτίας τινάς, καὶ παρεγενόμεθα εἰς Πί-
δασον, ἣ νῦν Μοθώνη καλεῖται. Ἀλλὰ δὴ καὶ ὁ χρή-
σιμος ἄρχων γνώσει τε καὶ πράξει καὶ γένει Γεώρ-
γιος ὁ Ῥαοὺλ, ὁ ἐπὶ μητρὸς θεῖος τοῦ, ὃν ἡ ἱστορία
ἐδήλωσεν, Νικολάου **393** τοῦ Μελισσηνοῦ τοῦ καὶ
μελλογάμβρου μου, καὶ αὐτὸς ἀφεὶς τὴν αὐθεντίαν
καὶ πᾶσαν τὴν αὐτοῦ κτῆσίν τε καὶ περιουσίαν,
παρεγένετο καὶ αὐτὸς μεθ' ἡμῶν ἐν τῇ Μοθώνῃ,
περὶ τὸ τέλος τοῦ Δεκεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους.
Καὶ καθήμενοι ἀμφότεροι ἐν τῷ λιμένι ἐκαραδοκοῦμεν
καθορῶντες τὸ τῆς τοιαύτης τρικυμίας τέλος, εἰ καὶ
ὁ Θεὸς μακροθυμήσῃ, ἵνα οἱ ἀσύνετοί ποτε συνήσω-
σιν, καὶ οἱ μωροί ποτε φρονήσωσι, καὶ ὁμόνοια καὶ B
εἰρήνη γενήσηται ἀναμέσον αὐτῶν, καὶ τοῦ Θεοῦ
δεηθῶσι, καὶ ἐλεήσῃ μὲν αὐτοὺς ὡς ἐλεήμων Θεὸς,
προστάξῃ δὲ καὶ τὸν δήμιον αὐτοῦ ἀμηρᾶν καὶ ἐάσῃ
αὐτοὺς ζῆσαι πλείονα χρόνον· τόπον γὰρ καὶ τάξιν
ἔχει καὶ αὐτὸς πρὸς Θεὸν, οἷαν οἱ αὐτοῦ δήμιοι πρὸς
αὐτὸν, οἵτινες πληροῦσι μὲν τὰ προστάγματα αὐ-
τοῦ, εἰσὶ δὲ καὶ μισητοὶ καὶ ἀποτρόπαιοι.

Καὶ τούτων δὴ τῶν προρρηθέντων κακῶν κατὰ
τῆς Πελοποννήσου περισσοτέρως παντὸς ἀθλίου τόπου
γενομένων, ἐλθόντος δὲ καὶ μέρους τῶν Τούρκων
στρατοῦ ξῶθεν, κατέδραμον τὸν τόπον ἅπαντα,
καὶ ἵνα ἅπερ κακὰ παρέλειπον οἱ οἰκήτορες καὶ
κύριοι καὶ αὐθένται καὶ ἄρχοντες, οὐ προαιρέσει
ἀλλ' ἀνδρίᾳ, πράξωσιν αὐτοὶ, καὶ τοῦ μὲν ἑνὸς τῶν C
δεσποτῶν ἐχθροὶ ὄντες, τοῦ δ' ἄλλου τάχα φίλοι· ὃν
ὁ δεσπότης, τὸν καὶ ἐχθρὸν αὐτῶν κὺρ Θωμᾶν,

prudentia, peritia et genere eximius vir Georgius Raul, avunculus ejus, de quo dixi, Nicolai Melisseni, qui gener meus futurus erat, relicta provincia cum bonis et facultatibus omnibus, eodem mecum venit, extremo Decembri anni ejusdem; sedentesque ambo in portu, tantorum fluctuum finem opperiebamur, si forte Deus pro patientia sua exspectaturus esset, dum insipientes saperent, stulti ad sanitatem reverterentur, pacem concordiamque colerent et Deum precarentur, atque commiseratus eos pro misericordia sua Deus imperaturus esset carnifici suo ameræ, ut eos diutius spirare D
pateretur. Hic enim locum et ordinem apud Deum tenet, qualem apud ipsum carnifices ejus, qui jussa ejus faciunt, et tamen exosi et contempti sunt.

Cum iis quæ ante commemoravi, malis Peloponnesus gravius, quam ulla alia misera regio, affligeretur, etiam manus Turcarum externa advenit et cuncta incursavit, ut quas clades incolæ, domini, principes, primores non consulto, sed resistentium virtute impediti, omiserant, illi ederent, alterius despotæ hostes, alterius amici: e quibus illum, inimicum sibi Thomam, prope Leontarium repertum, acriter insectati, in urbem compulerunt, multis de militibus ejus aut captis aut occisis. Deinde castra prope eam urbem collo-

εἰς τὰ περὶ τὸ **394** Λεοντάριον ἐλθόντες εὗρον
αὐτὸν, καὶ κακῶς ἐδίωξαν, καὶ ἀπέκλεισαν αὐτὸν
ἐν τῷ ἄστει, καὶ πολλοὺς τῶν αὐτοῦ ἀπέκτειναν
καὶ ἠχμαλώτισαν. Ἔπειτα ἔστησαν τὰς σκηνὰς
αὐτῶν πλησίον τοῦ Λεονταρίου, καὶ μετ' ὀλίγον
ἐξελθόντες ἀπῆλθον εἰς τὰ περὶ τὴν Σπάρτην πρὸς
τὸν ἑαυτῶν φίλον δεσπότην κὺρ Δημήτριον μετὰ
νίκης καὶ πολλοῦ κέρδους ζώων τε καὶ ἀνθρώπων.
Μόλις οὖν ποτὲ ἐννοήσαντες οἱ αὐθένται καὶ ἀδελφοὶ
τὸ κακὸν τῆς ἑαυτῶν μάχης καὶ συνασχθέντες εἰς τὸ
Καστρίτζι ἐποίησαν τάχα ὅρκους εἰρήνης, τοῦ τῆς
Λακεδαιμονίας μητροπολίτου ἤτοι τῆς Σπάρ ης
μετὰ τοῦ σάκκου αὐτοῦ ἱερουργήσαντος· καὶ ὅτε ἐν
τῇ θείᾳ ἱερουργίᾳ ἐδείκνυε τὰ ἅγια τῷ λαῷ λέ-
γων· « Μετὰ φόβου Θεοῦ καὶ πίστεως προσέλθετε, »
ἐν ἐκείνῳ τῷ καιρῷ προσῆλθον οἱ αὐθένται καὶ
ἀδελφοὶ, καὶ ὤμοσαν ἵνα τὴν εἰρήνην φυλάξωσιν.
Ἔμεινεν μὲν, ὡς ἠκούσαμεν, ὁ δεσπότης κὺρ Δη-
μήτριος ἐν τοῖς συμφωνημένοις μέχρι τινὸς, καὶ
πάλιν, ὁ αὐτὸς εἰς οὐδὲν τοὺς ὅρκους ἐλογίσατο καὶ
καινὰς μάχας καὶ σκάνδαλα ἐποίησε. Ὦ τῆς ἀνοχῆς
καὶ μακροθυμίας σου, Χριστὲ βασιλεῦ, καὶ εἰς αὐ-
τὸν καὶ τοὺς αἰτίους! Καὶ ἤρξαντο ἔτι τὰ κακὰ
πάλιν τὸν χθὲς τοιοῦτον φρικτὸν ὅρκον ἀθετησάν-
των· καὶ ἔπραττεν ἕκαστος αὐτῶν κατὰ τοῦ ἑτέρου
ὅση δύναμις, ἐλπίζοντες ὁ μὲν εἰς τὴν φιλίαν τοῦ
ἀμηρᾶ καὶ βοήθειαν, καὶ τὴν ἀδικίαν ἐνθυμού-
μενος ἣν ἠδικήθη ὑπὸ τῶν ὑποχειρίων αὐτοῦ, ὁ δὲ
εἰς **395** τὴν ἐπιορκίαν τοῦ ἄλλου, καὶ εἰς τὸ κατὰ
ἀσεβῶν τάχα μάχεσθαι.

Τούτων οὖν οὕτως κακῶς πραττομένων, παρῆλθεν
ὁ χειμὼν τοῦ ,ςᾠξη' ἔτους, καὶ ἰδοὺ τοῦ αὐτοῦ ἔτους

carunt, sed mox Spartam ad despotam sibi amicum, Demetrium, victoria et magna hominum animaliumque præda elati, profecti sunt. Tandem aliquando fratres principes, quam perniciosum sibi esset mutuum bellum, intelligentes, Castritzæ convenerunt et sacramentis se ad pacem servandam obstrinxerunt, metropolita Lacedæmonis sive Spartæ cum sacco sacris operante. Itaque cum is in sacrificio sacrosancta populo monstrasset, cum his verbis: « Cum verecundia et fide accedite, » accesserunt principes fratres et pacem se servaturos esse juraverunt. At Demetrius despota aliquantisper quidem, ut audivimus, stetit pactis conventis, sed mox, nulla sacramenti ratione habita, pugnas et turbas novas molitus est. O patientiam et lenitatem tuam, Christe rex, adversus ipsum et talis consilii auctores! rediorunt pristinæ calamitates, sacramentis horrendis, quæ vixdum facta erant contemptis. Affligebant se mutuo, quantum poterant, confisi alter amicitia et auxilio ameræ et injuriis, quas a subjectis passus erat, alter illius perjurio et eo, quod adversus impios sibi pugnandum esset.

Hæc dum ita calamitosa gerebantur, hiems anni 6968 præteriit. Mense Maio autem ameras, adversus utrumque expeditione suscepta, recta Spartam

Digitized by Google

Μαΐῳ μηνὶ ὁ ἀμηρᾶς ἐξῆλθεν κατ' ἀμφοτέρων. Καὶ παραγενομένου αὐτοῦ ἐξ ὀρθοῦ εἰς τὴν Σπάρτην, ἐπεὶ ἐκεῖ εὑρίσκετο ὁ δεσπότης κὺρ Δημήτριος διὰ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἐχθρὸν εἶναι ἐν Καλαμάτᾳ, καὶ ἐπολιόρκει τὴν Μαντίνειαν καὶ εἴ τι ἕτερον τῆς ἐπιτροπικῆς τοῦ Μελισσηνοῦ Νικολάου, ὃς ἦρχετο παρὰ τοῦ δεσπότου κὺρ Δημητρίου, ἐν τῇ περιοχῇ τοῦ Μεσσηνιακοῦ κόλπου· καὶ μέγα κακὸν ἦν. Τοῦ δὲ ἀμηρᾶ φθάσαντος ἐν τῇ Σπάρτῃ κατῆλθεν αὐτοθελῶς ὁ δεσπότης κὺρ Δημήτριος καὶ ἐδουλώθη αὐτῷ· καὶ οὕτως ὁ ἀμηρᾶς παρέλαβε καὶ αὐτὸν καὶ τὴν Σπάρτην, καὶ τῷ δεσπότῃ φυλακὴν περιθεὶς εἶπεν αὐτῷ· « Ὦ δέσποτα, ἐπεὶ οὕτως συνέβη σοι τὰ πράγματα, τὸν τόπον τοῦτον ἄρχεσθαι ὑπὸ σοῦ ἀδύνατον. Ὅμως ἐπεὶ πατέρα σε ἐστήσαμεν ἔχειν, καὶ τὸ κοράσιόν σου λαβεῖν ἡμᾶς εἰς γυναῖκα, τὸν τόπον τοῦτον δὸς ἡμῖν· σὺ δὲ καὶ τὸ κοράσιόν σου ἔλθετε σὺν ἡμῖν, καὶ χαρίσομεν ὑμῖν ἕτερον τόπον πρὸς σιτηρέσιον ὑμῶν, καὶ ζωάρκειαν. » Ὅς γε στέρξας καὶ ἀκουσίως ἐτελείωσε τὰ τοῦ γάμου καὶ τῶν ἑτέρων πραγμάτων.

Καὶ ὁ ἀμηρᾶς μετὰ τοῦ δεσπότου ὁμιλήσας τὰ παντοῖα **396** διώρθωσεν ὡς ἐβούλετο, καὶ ἐξαπέστειλεν ἄρχοντάς τινας Τούρκους καὶ Χριστιανοὺς ἐν τῇ Μονεμβασίᾳ, ἵνα τὴν σύζυγον καὶ βασίλισσαν καὶ τὴν τούτου θυγατέρα καὶ ἀμήριτσαν λάβωσιν (ἐκεῖσε γὰρ αὐταὶ ὑπῆρχον διὰ τὸ ἰσχυρὸν καὶ ἀδιάσειστον εἶναι τὸ φρούριον), ἀλλὰ δὴ καὶ τὸ φρούριον παραδώσωσιν. Ἃ μὲν ἐγένετο, ἤγουν διὰ τὰς γυναῖκας· ἐξῆλθον γὰρ καὶ παρεγένοντο ἐκουσίως ἔνθα ἦσαν ὅ τε ἀμηρᾶς καὶ ὁ δεσπότης· τὸ δὲ λαβεῖν τὸ ἄστυ οὐδαμῶς, ὅτι οἱ Μονεμβασιῶται, ὡς πάντοτε ἐκπαλαι ἦσαν τὰ αὐτῶν κατορθώματα ἄξια διηγήσεως, οὕτω καὶ τότε ἐκ νέου ἐποίησαν καὶ οὐκ ἠνέσχοντο παραδῶσαι αὐτό. Ὁμοίως καὶ ὃ; ἡγεμονεύειν ἐκεῖσε εὑρίσκετο Μανουὴλ ὁ Παλαιολόγος συναινῶν τὰς καλὰς γνώμας τῶν πολιτῶν, οὐκ ἤθελον λοιπὸν ἀκοῦσαι ὡς τὴν πατρίδα εἰς χεῖρας τῶν ἀσεβῶν παραδώσωσιν, ἀλλὰ τοὺς ἀποσταλέντας ἄρχοντας τοῦ δεσπότου καὶ τοῦ ἀμηρᾶ καὶ τοὺς συνελθόντας αὐτοῖς ἑτέρους στρατιώτας τοῦ λαβεῖν τὸ φρούριον κακῶς ἀπεδίωξαν. Καὶ ταύτην τὴν ἀπολογίαν αὐτοῖς ἔδωσαν· « Εἴπατε ταῦτα τῷ ἀμηρᾷ, ὅτι πᾶν ἄστυ καὶ φρούριον κτισθὲν μετὰ μηχανῆς καὶ τέχνης ἀνθρωπίνης καὶ διορθωθὲν καὶ ἀσφαλισθέν, πάλιν μὲν οἱ ἄνθρωποι οἱ ἐντὸς αὐτοῦ ἐξουσίαν ἔχουσιν. Ἡ δὲ ἡμετέρα πατρὶς καὶ χώρα οὐχ οὕτως ὑπάρχει, ἀλλ' ἡ φύσις αὐτῇ ἐφιλοδώρησε, καὶ ἐκ τοῦ Θεοῦ καὶ τῆς τοῦ τόπου ἐρυμνότητος τὴν ἰσχὺν καὶ ἀσφάλειαν ἔχει. Καὶ ὅταν θέλησις καὶ **397** βουλὴ ἐστι τῷ Κυρίῳ ἄνωθεν, τὸ Θέλημα αὐτοῦ γίνεται, καὶ οὐ δυνάμεθα ἀντιλέγειν τι, καὶ οἷς βούλεται χαρίσηται· ἡμεῖς δὲ οὐδεμίαν ἐξουσίαν ἔχομεν τὰ παρὰ Θεοῦ κτισθέντα ὁρίζειν καὶ χαρίζειν. » Ἀπαγγελομένης οὖν τῆς τοιαύτης ἀπολογίας τῷ ἀμηρᾷ, καὶ ἀκούσας ἐκεῖνος ἐθαύμασε, καὶ τοὺς Μονεμβασιώτας πλεῖστα ὡς φρονίμους ἐπῄνεσε. Κρατήσαντες οὖν τὸ ἄστυ δεδώκασιν αὐτὸ τῷ δεσπότῃ κὺρ Θωμᾷ, μετὰ ταῦτα καὶ αὐτὸς τάχα τῷ πάππᾳ.

Διὸ οὐκ ἐγκαταλείψομεν τοῦ εἰπεῖν, ἐπεὶ ἔδοξέ μοι διηγηθῆναι τὰ, ὅσας τιμάς τε καὶ προνόμια

tetendit, quoniam ibi Demetrius despota commorabatur propter Thomam fratrem et hostem suum, qui Calamatæ erat, et Mantineam et loca reliqua obsidebat, in circuitu sinus Messeniaci a Nicolao Melisseno, qui Demetrio despotæ subjectus erat, administrata: unde illorum locorum magna erat calamitas. Cum autem ameras Spartam venisset, Demetrius despota, ultro obviam profectus, ei se tradidit. Ita ameras tum ipso tum Sparta potitus est, et despotæ in custodiam dato dixit: « Mi despota, quoniam res tuæ huc redactæ sunt, hic locus abs te gubernari non potest; sed cum patrem te habere et filiam tuam uxorem ducere constituerimus, hunc locum nobis trade, ipse et filia nobiscum abite, donabimusque vobis locum alium ad victum et vitæ commoditatem. » Demetrius non nisi invitus et metu compulsus nuptias et reliquas conditiones non abnuit.

Itaque ameras, despota sibi sociato, omnia pro voluntate administrabat, et nobiles quosdam Turcas et Christianos Monembasiam misit, qui conjugem suam et amerissam, illius filiam, reciperent (ibi enim cum mulieribus suis versabatur, quoniam castrum firmum et difficile ad expugnandum erat) et castrum sibi tradi juberent. Quorum alterum factum est, a feminis scilicet: quæ exierunt e castro et prompto animo venerunt, ubi ameras et despota erant: minime autem castrum occupari poterat, quia Monembasiotæ, ut jam pridem omni tempore facinora memoratu digna ediderant, ita tum denuo generosos se præstiterunt, nec a se impetrare poterant, ut urbem traderent. Nec non probavit ea civium consilia, qui urbi præerat, Manuel Palæologus. Denique de urbe in manus impiorum tradenda vix audire sustinabant, et a despota et amera ablegatos primores et, qui cum iis venerant milites ad occupandam arcem, acerbe repulerunt, hoc iis responso dato: « Renuntiate ita ameræ, omnem urbem et castellum humana opera et arte exstructum et munitum in potestate eorum esse, a quibus teneatur; sed nostræ patriæ diversa ratio est, quæ naturæ donum est et a Deo et regione munitionem et firmitatem suam habet. Quodsi Domini, qui in cœlis est, voluntas et consilium ita fert, fit utique, quod illi placet, nec nostrum est refragari, sed donet eam ipse, cui velit. At nos nullam potestatem habemus tradendi et largiendi ea, quæ a Deo condita sunt. » Quod responsum ubi ad ameram perlatum est, Monembasiotarum prudentiam admiratus est et magnopere laudavit. Servatam igitur urbem Thomæ despotæ tradiderunt, ille mox eamdem papæ donavit.

Hic jam non omittemus dicere et exponere,

Digitized by Google

μεγάλα διὰ τὴν τοῦ ἄστεως καλλονὴν καὶ τὰς τῶν πολιτῶν ἀρετὰς οἱ βασιλεῖς κατὰ διαδοχὴν τὴν ἁγίαν ἐκκλησίαν αὐτῶν καὶ αὐτοὺς τοὺς πολίτας τοὺς τοῦ περιωνύμου φρουρίου ἐτίμησαν καὶ δωρεὰς μεγίστας ἐδωρήσαντο αὐτοῖς. Καὶ τοῦ μὲν ἄστεως τὸ ὄνομα ὄντως τὴν κλῆσιν εἶχεν, ὅτι τοῖς βουλομένοις εἰσελθεῖν ἀληθῶς μίαν παρέχει τὴν εἴσοδον, καὶ οὐ μετὰ μηχανῆς καὶ τέχνης ἀνθρωπίνης, ὡς εἴπομεν, ἀλλ' αὐτὴ ἡ φύσις τὸ ἄστυ ἐτόλισε· καὶ ἀδύνατον ἦν εὑρεθῆναι κατὰ πᾶσαν τὴν ὑφ' ἥλιον ἕτερον φρούριον τοιοῦτως ἀδιάσειστον καὶ ἀπολέμητον καὶ ἀνενόχλητον ἐκ πάσης μηχανῆς πολεμικῆς, ὡς τοῦτο εὑρεθῆναι ἀδύνατον. Καὶ τὰ μὲν τοῦ ἄστεως βραχεολόγως εἰρήκαμεν, τῶν δὲ ἀρχόντων καὶ πολιτῶν καὶ τοῦ δήμου τὰς ἀρετὰς καὶ ἀνδρίας διηγησώμεθα. Τὰ ἐν γῇ καὶ **398** ἐν θαλάσσῃ εἰς πάντα ἀγαθοί εἰσι καὶ ἐπιτηδειότατοι, ἐν τῇ θαλάσσῃ μὲν ἱκανόπλοιοί τε καὶ θαλαττουργοί, καὶ νῆας ἐμπορικὰς πλείστας ἔχοντες, καὶ κυβερνῆται καὶ ναύκληροι ἄριστοι οὐ μόνον ἐν ταῖς ναυσὶν αὐτῶν, ἀλλὰ καὶ ἐπὶ τὸν στόλον τὸν βασιλικὸν κυβερνῆται· οὐκ ὀλίγοι ἐξ αὐτῶν εἰσιν· ἐν δὲ τῇ χέρσῳ ὁμοίως ἐν τῷ ἱππεύειν καὶ ἀκοντίζειν στρατιῶται ἀγαθώτατοι καὶ πεζοὶ ἀνδρικώτατοι καὶ δοκιμώτατοι. Οἱ δὲ ἄρχοντες αὐτῶν πάλιν συνετοὶ καὶ σοφοὶ καὶ ἔντιμοι, ξενίζοντες τοὺς τυχόντας καὶ παραμυθοῦντες. Καὶ πρὸ πάντων τὴν πίστιν καὶ εὔνοιαν ἣν ἐφύλαττον ἐκ παλαι καὶ ἕως τοῦ νῦν εἰς Θεὸν καὶ εἰς τὴν ἀρχὴν Ῥωμαίων. Διὰ ταύτας μὲν τὰς τοιαύτας χάριτας καὶ ἀρετὰς καὶ εἰς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἐν διαφόροις καιροῖς διαφόρως οἱ κραταιοὶ ἄνακτες ἐτίμησαν, καὶ εἰς μεγάλα προνόμια τὴν ἁγίαν ἐκκλησίαν αὐτῶν ἀνεβίβασαν. Καὶ πρῶτον μὲν τοῦτο τὸ περιώνυμον καὶ ὑπερνεφελὲς φρούριον ἐπισκοπὴν οὖσαν τῆς Κορίνθου μητροπόλεως, δι' ἃς εἴπομεν ἀρετὰς τῶν πολιτῶν καὶ χάριτας τοῦ ἄστεως, ὁ ἀείμνηστος βασιλεὺς καὶ μάρτυρ Μαυρίκιος ὁ καὶ Τιβέριος εἰς μητρόπολιν ἀνεβίβασεν καὶ τριακοστὸν τέταρτον θρόνον ἔταξεν, καὶ ἕτερα προνόμια περὶ ἐλευθερίας τῆς πόλεως ἐδωρήσατο. Ἐπακολουθῶν δὲ καὶ ὁ βασιλεὺς κὺρ Ἀλέξιος ὁ Κομνηνὸς **399** καὶ ἕτεροι ταῦτα ἀνεβίβασαν καὶ ἐβεβαίωσαν. Ἔπειτα καὶ ὁ ἀείμνηστος βασιλεὺς Ἀνδρόνικος ὁ γέρων ὁ Παλαιολόγος ὕστερον, ἐπὶ ἔτους ,ςω', ἰνδικτιῶνος ζ', ἐβεβαίωσε, διά τε τὴν ἀρετὴν καὶ σοφίαν τοῦ τῆς αὐτῆς ἐκκλησίας· τότε προεδρεύοντος κυροῦ Νικολάου ζήλῳ θείῳ κινηθείς· ὁ δὲ βασιλεὺς ἕνεκεν τοῦ προεδρεύοντος καὶ τῆς τῶν πολιτῶν πίστεως καὶ εὐνοίας ἣν εἶχεν πρὸς αὐτὸν, ἐκ τριακοστοῦ τετάρτου θρόνου εἰς δέκατον ἀνεβίβασεν οἰκείῳ αὐτοκρατορικῷ κελεύσματι καὶ ψήφῳ συνοδικῇ, καὶ ἕτερα πολλὰ προνόμια τῇ αὐτῇ ἁγίᾳ ἐκκλησίᾳ ἐχαρίσατο. Καὶ ταῦτα πάντα τὰ ἴχνη τοῦ πάππου ἐπακολουθῶν καὶ βεβαιώνων ὁ βασιλεὺς καὶ αὐτοκράτωρ Ἀνδρόνικος ὁ νέος, τὸ κάτωθεν χρυσόβουλλον τῇ αὐτῇ πολιτείᾳ ἐχαρίσατο, ἀνανεώνων καὶ βεβαιώνων τὰ παλαιὰ, καὶ ἐκ νέου καὶ τοῦτο τούτοις καὶ τῇ ἁγίᾳ ἐκκλησίᾳ αὐτῶν ἐφιλοδώρησε. Καὶ ταῦτα πάντα μὲν ἐγὼ ἐν σεκρέτῳ τῷ βασιλικῷ εἶδον καὶ πολλάκις ἀνέγνωκα· τὸ δὲ παρὸν χρυσόβουλλον εἰς χεῖράς μοι μετὰ τὴν αἰχμαλωσίαν ἔτυχον ἔχειν. Τὰ νῦν δὲ, ὡς προεῖ-

quantis honoribus et beneficiis propter urbis commoda et virtutes civium imperatores ordine tum sanctam eorum ecclesiam, tum ipsos cives nobilissimi hujus castelli auxerint et ornarint. Et sane urbs hæc nomen suum proprie et vere gerit, si eam ingredi volentibus revera unum præbet introitum, nec opera aut arte humana, sed ipsa natura, ut diximus, munita est. Nec alia sub sole urbs inveniri potest æque firma, inexpugnabilis et ab omni machinarum bellicarum vi tuta. Et ad oppidum quidem quod attinet, strictim ista monuimus; magistratuum autem et civium populique virtutes et fortitudinem jam commemoremus. Terra marique ad omnia fortes et quam maxime idonei sunt; ac mare quidem scienter navigant, navesque onerarias permultas habent cum gubernatoribus et naucleris præstantissimis, qui non solum ipsorum naves regunt, sed etiam magno numero classem imperatoriam gubernant. Similiter in terra qua equitando, qua jaculando milites optimi, et pedites fortissimi et probatissimi sunt. Item eorum magistratus sapientes, periti et spectati sunt, peregrinos hospitio excipiunt et fovent. Ante omnia fidem et benevolentiam erga Deum et imperium Romanum, ab omni inde tempore integram servatam, hodieque conservant. Propter hæc tanta ornamenta et virtutes et insignem erga imperatores fidem et studium diversis temporibus diverse ab imperatoribus honorati sunt et ecclesiam magnis beneficiis auctam habuerunt. Ac primum quidem, cum nobile illud et super nubes elatum oppidum episcopatum haberet Corintho metropoli subjectum, propter eas, quas commemoravimus civium virtutes urbisque commoda, æternæ memoriæ imperator et martyr Mauricius, cognomento Tiberius, urbem metropolis dignitate illustravit et tricesimum quartum thronum ei constituit, aliaque beneficia et immunitatis dona eidem impertivit. Deinde imperator Alexius Comnenus et alii donationes illas approbarunt et confirmarunt. Eadem post perpetua dignus memoria imperator Andronicus Palæologus major, anno 6800, indictione 7, confirmavit, propter virtutem et sapientiam Nicolai domini, qui ecclesiæ tum præerat, divino ardore incitatus: qui idem urbem propter ipsum episcopum et civium erga se fidem et studia a throno tricesimo quarto ad decimum evexit imperatoria sua auctoritate et suffragio synodico, et alia multa jura præcipua sanctæ ecclesiæ impertivit. Quæ omnia, avi vestigia secutus, imperator Andronicus Palæologus minor rata habuit, et civitati infra perscriptam bullam auream dedit, qua vetera beneficia approbat confirmatque, et nova tum civibus tum ecclesiæ impertit. Hæc in secretario imperatorio vidi et frequenter legi,

Digitized by Google

τον, καλῶς μοι ἐφάνη ἐν τῷ ἡμετέρῳ βιβλίῳ καὶ ἔργῳ καὶ ταῦτα εὑρίσκεσθαι, ἵνα τὰς εὐεργεσίας γινώσκωμεν ἃς οἱ Μονεμβασιῶται εἶχον παρὰ τῶν βασιλέων διὰ τὰς καλοκαγαθίας καὶ ἀρετὰς αὐτῶν, ἵνα οὐκ εἰς λήθην διὰ τὸν χρόνον γενήσωνται, ὅπως καὶ οἱ ἀκροαταὶ καὶ ἕτεροι μιμηταὶ καὶ ζηλωταὶ καλῶν ἔργων ἔσωνται.

400 ιζ'. Ἐπεὶ οἱ Μονεμβασιῶται οἵ τε ἀπὸ τῆς Θεσσώστου πόλεως Μονεμβασίας καὶ ἀπὸ τῶν Πηγῶν εὑρισκόμενοι καὶ κατοικοῦντες ἀρτίως εἰς τε τὴν Θεοδόξαστον καὶ Θεοφύλακτον καὶ Θεομεγάλυντον Κωνσταντινούπολιν, ἀλλὰ δὴ καὶ εἰς ἄλλας πόλεις καὶ χώρας τῆς βασιλείας μου, εἰσὶν ἀποτεταγμένοι διὰ χρυσοβούλλων καὶ προσταγμάτων τῶν ἁγίων ἀοιδίμων καὶ μακαρίων μου αὐθεντῶν καὶ βασιλέων, τοῦ τε πατρὸς καὶ πάππου καὶ προπάππου τῆς βασιλείας μου, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείαις εἰς τὴν Θεοδόξαστον Κωνσταντινούπολιν, τὴν Σηλυμβρίαν, τὴν Ἡράκλειαν, τὸ Ῥαιδεστὸν, τὴν Καλλιούπολιν καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις, καὶ δίδωσι χάριν κομερκίου εἰς ποτότητα νουμισμάτων ἑκατὸν νουμίσματα δύο, εἰς δὲ τοὺς λοιποὺς πάντας τόπους καὶ χώρας καὶ σκάλας τῆς βασιλείας μου διαμένωσιν ἀνώτεροι ἀπαιτήσεως κομερκίου παντελῶς, διατηροῦνται δὲ καὶ ἔνθα ἂν εὑρίσκωνται καὶ κατοικῶσιν ἀνενόχλητοι καὶ ἀπὸ πασῶν ἄλλων δόσεων καὶ ἀπαιτήσεων, παρεκάλεσαν δὲ ἵνα τύχωσι καὶ ἐκ νέου εὐεργεσίας ἰδίας παρὰ τῆς βασιλείας μου, δι' ἣν ἔχει αὐτὴ τῇ χάριτι ἔφεσιν καὶ δρεξιν τοῦ εὐεργετεῖν πάντας τοὺς εἰς αὐτὴν ἀναφερομένους πιστοὺς καὶ εὐῶ πολήπτους,

προστάσσει καὶ διορίζεται ἤδη ἡ βασιλεία μου, ἀπολύουσα τὸν παρόντα χρυσόβουλλον λόγον αὐτοῖς, ἵνα πάντες οἱ Μονεμβασιῶται **401** οἵ τε ἐν τῇ Θεσσώστῳ πόλει Μονεμβασίας κατοικοῦντες, ἀλλὰ δὴ καὶ οἱ ἐκ τῶν Πηγῶν καὶ ὅπου ἄρα εὑρίσκωνται καὶ κατοικῶσιν εἴς τε τὴν Θεοδόξαστον Κωνσταντινούπολιν εἴ τε καὶ ἀλλαχοῦ, ἀπολαύωσι μὲν τῆς ἣν εἶχον πρότερον ἐξουσίας καὶ δεφενδεύσεως διὰ τῶν ῥηθέντων χρυσοβούλλων καὶ προσταγμάτων ὧν εἶχον οἱ ἀπὸ τῶν Πηγῶν καὶ οἱ ῥηθέντες Μονεμβασιῶται· καταπέκτινα δὲ τῆς τοιαύτης ἐξουσίας εὐεργετεῖ ἡ βασιλεία μου αὐτοὺς κοινῶς ὅλους τοὺς Μονεμβασιώτας, τούς τε ἐκ τῶν Πηγῶν καὶ τοὺς ἐκ Μονεμβασίας, ἵνα ἐφ' αἷς ἂν ποιῶσι πραγματείαις δίδωσιν εἰς τὸ κομέρκιον τῆς Θεοδοξάστου Κωνσταντινουπόλεως ὑπὲρ ἐκβολῆς ποσότητος νουμισμάτων ἑκατὸν νούμισμα ἕν, καὶ ὑπὲρ ἐκβολῆς ἀγορᾶς καὶ ἑτέρας πραγματείας ποσότητος νουμισμάτων ἑκατὸν νούμισμα ἕν, εἴτε δηλονότι διὰ σίτου ἐν τῷ προφορίῳ καὶ ἀλλαχοῦ ἔνθα βούλωνται, εἴτε διὰ οἴνου, ἐὰν ἐξ οἱασδήποτε χώρας διακομίσωσι τούτοις, ἢ διὰ προσφαγίων παστῶν ἢ τομαρίων ἢ πετζίων ἢ πανίου ἢ λινοκόκκου ἢ τζοχαρικῆς ἢ τετραπόδων ἢ ἑτέρων εἰδῶν ὧν ἂν βούλωνται, μηδ' ὅλως παρὰ μηδενὸς κωλυόμενοι ἐπὶ ταῖς διαπράσεσι τῶν τοιούτων πραγματειῶν αὐτῶν ἢ καθελκόμενοι εἰς ἀπαιτήσεις καμπανιστικοῦ, μεσιτικοῦ, ζυγαστικοῦ, μετρητικοῦ, παχιατικοῦ, γομαριατικοῦ, ὀφωνίου, σκαλιατικοῦ, βιγλιατικοῦ, δεκατίας, ἁλιευτικῆς τετρημοιρίας, **402** ξυλαχύρου, ὁρειμῆς τῆς ἐνιάδος· ὡς τὰς εἰς αὐτοὺς περὶ αὐτὴν ἁπάσας

aureum bullam vero ipse forte nactus sum post captam urbem. Itaque, ut ante dixi, pulchrum mihi visum est, talia libro et opere nostro contineri, unde beneficia cognoscantur, quibus Monembasiotæ, propter res præclare gestas virtutesque, ab imperatoribus ornati sunt, ut temporis injuria in oblivionem ne abeant et lectores aliique præclara illa facinora imitentur et æmulentur.

17. «Cum Monembasiotæ tum ii, qui Deo charam Monembasiam habitant, tum qui Pegis vel in urbe gloria, custodia et magnificentia divina insigni, Cpoli, vel aliis in oppidis locisve imperii nostri commorantur, bullis aureis et mandatis sanctorum et beatorum principum et imperatorum, patris, avi et abavi majestatis nostræ, jure hoc præcipuo donati sint, ut in negotiis, quæ Cpoli, urbe gloria Dei illustri, Selymbriæ, Heracleæ, Rhædesti, Calliopoli et reliquis oppidis Macedoniæ faciant, vectigal pendant centesimas duntaxat binas, in cæteris vero locis, regionibus et navalibus imperii nostri immunes sint omnis omnino tributi, neve vexentur, ubicunque vivant, ulla ullius stipendii exactione: nostra majestas, ab iisdem rogata, ut et ipsa denuo se ornaret beneficiis, pro gratia et benevolentia, qua cunctos sibi subjectos fideles et sui studiosos amplectitur fovetque, imperat atque edicit bulla hac aurea, ut omnes Monembasiotæ tum qui urbem Deo charam Monembasiam habitant, tum qui Pegis vel quovis alio loco, sive Cpoli, urbe gloria Dei illustri, sive alibi, vivunt commorantur, etiam posthac fruantur ea, quam pridem habuerunt per supra nominatas bullas aureas et edicta, libertate et immunitate; et vero Monembasiotas universos, tum eos qui Pegis, tum qui Monembasiæ habitant, novo hoc beneficio ornamus, ut in ærarium urbis gloria Dei illustrissimæ Cpolis in mercata, nundinis aliisve negotiis centesimas non amplius singulas pendant, si in foro vel alibi proponant aut e regione quacunque advehant sive frumentum, sive vinum, sive carnes salsas, sive coria, sive pelles, sive pannos laneos, lineos sericosve, sive equos, sive denique aliud quodcunque mercium genus, neve in peragendis his negotiis a nemine impediantur aut cogantur tributa pendere pro mercibus ponderandis, librandis vel metiendis, pro adipe, opsonio, statione navium, excubiis, aut dare decumas, vel quadrantem piscatorium, vel aliud quodcunque stipendii genus, imo nec collationem faciant ad castra munienda vel exstruendas triremes, aut tributa pendant, nautis, vel iis qui merces apud exteros divendunt, vel cauponibus opificibusque imposita, vel pro serico, pannis in foro vendendis, navigiis frumentariis solvenda, denique nulla omnino vel inventa jam, vel post invenienda vectigalia pendant,

Digitized by Google

σκάλας, ἀλλὰ δὴ καστροκτισίας, κατεργοκτισίας, μαγειρίας, ἀντιναύλου, ἐξωπρασίας, κοσμιατικοῦ, καπηλιατικοῦ, μηνιατικοῦ, ἐργαστηριακοῦ, μεταξιατικοῦ, τῆς ἀπαιτήσεως τοῦ πανίου τοῦ ἐν τῷ φόρῳ πωλουμένου, ἔτι δὲ καὶ τοῦ κεφαλαίου τοῦ σιταρίου τοῦ εἰσαποταχθέντος ἀπαιτεῖσθαι ἀπὸ τῶν καραβίων ἢ ἑτέρου τινὸς κεφαλαίου τῶν νῦν ἐνεργουμένων, ἢ καὶ εἰς τὸ ἑξῆς μελλόντων ἐπινοηθήσεσθαι, ἀλλὰ διατηρῶνται ἁπάντων τούτων ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς. Ὡσαύτως οὐδὲ οἱ πωλοῦντες πρὸς αὐτοὺς ἢ ἐξωνούμενοι ἀπὸ τῶν πραγματειῶν αὐτῶν, εἴτε ζῶά εἰσιν εἴτε γεννηματικὰ εἴδη ἢ καὶ ἄλλο τι, ἢ ἐν τῇ θεοδοξάστῳ Κωνσταντινουπόλει ἢ ἐν ἑτέροις τόποις τῆς βασιλείας μου, ἀπαιτοῦντες χάριν κομερκίου ἕνεκεν δηλονότι τῆς δεφενδεύσεως τῶν τοιούτων Μονεμβασιωτῶν. Ἔσται δὲ καὶ ὅταν διακομίζωσι διὰ καραβίων τὰς τούτων πραγματείας, εἴτε ἀπὸ τῆς ἄνω θαλάσσης, εἴτε ἀπὸ τῶν τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως κόλπων, εἴτε σῖτος ἔνι εἴτε οἶνος εἴτε ἕτερόν τι εἶδος, ἰσάζωνται μὲν οἱ δηλωθέντες Μονεμβασιῶται ἐν τῷ κομερκίῳ τῆς θεοφυλάκτου Κωνσταντινουπόλεως, καὶ ἵνα διδῶσιν ὅσον ἀνωτέρω διορίζεται ἡ βασιλεία μου, οἱ δὲ ἔχοντες τὰ καράβια διαμένωσιν ἀνενόχλητοι χάριν τῶν τοιούτων πραγματειῶν αὐτῶν, μήτε τετραμοιρίαν ἢ ἄλλην ἀπαίτησίν τινα χάριν τῆς τούτων ἐξουσίας παρά τινος ἀπαιτούμενοι. Ἐὰν δὲ **403** διέρχωνται μετὰ πραγματειῶν αὐτῶν ἢ ἀπὸ Δύσεως εἰς Ἀνατολήν, ἢ ἀπὸ Ἀνατολῆς εἰς Δύσιν, ἢ ἀπὸ μέρους τῆς Ζαγορᾶς διαβιβάζοντες ζῶα ἢ ἄλλο τι, εἴτε εἰς τὴν Σωζόπολιν ἢ εἰς τὴν Ἀγαθόπολιν ἢ εἰς τὴν Μηδίαν καὶ τὰς λοιπὰς χώρας τῆς βασιλείας μου, ὀφείλωσι διατηρεῖσθαι ἀνενόχλητοι καὶ ἀδιάσειστοι παντελῶς ἀπό τε τῆς ἀπαιτήσεως τοῦ κομερκίου, τοῦ διαβατικοῦ καὶ τοῦ πορτικοῦ, παρά τε τῶν κατὰ καιροὺς εὑρισκομένων εἰς κεφαλὴν τῶν εἰρημένων κάστρων καὶ παρὰ τῶν ἐκεῖσε τὰ δημόσια διενεργούντων, ἐφ' αἷς δὴ ποιῶσι πραγματείαις ἐν ἑτέροις τόποις τῆς βασιλείας μου γεννηματικάς τε καὶ λοιπάς, εἴτε κατὰ Ἀνατολὴν εἴτε κατὰ Δύσιν, εἴτε ἐν νήσοις εἴτε κατ' ἤπειρον, ἔν τε κάστροις καὶ πανηγύρεσιν εἴτε ἐν ἄλλοις τόποις. Ἔτι δὲ καὶ εἰς τὰς τῆς Πελοποννήσου ἁπάσας χώρας καὶ κάστρα τῆς βασιλείας μου γινωσκομένας πανηγύρεις ὀφείλουσι διατηρεῖσθαι μὲν καὶ ἀπὸ τῶν κεφαλαίων πάντων ἀνώτεροι, διατηρεῖσθαι δὲ καὶ παντελῶς ἀνενόχλητοι καὶ χάριν δόσεως κομερκίου, μηδὲ ἕνεκεν πορτικοῦ διδόντες τὸ τυχόν. Ὅθεν ὀφείλουσι διατηρεῖν αὐτοὺς εἰς τὴν τοιαύτην ἀνενόχλησιν καὶ δεφένδευσιν οἱ εἴς τε τὸ κομέρκιον τῆς θεομεγαλύντου Κωνσταντινουπόλεως καὶ οἱ εἰς τὰς ἄλλας πάσας σκάλας καὶ χώρας καὶ κάστρα τῆς βασιλείας μου ἐνοχοποιούμενοι κατὰ καιροὺς, ἀλλὰ δὴ καὶ πάντες ὅσοι ἐπικρατῶσι κτήματα ἢ ζευγαλάτια ἢ κάστρα ὁρισμῷ τῆς βασιλείας μου, εἴτε τῆς περιποθήτου μοι Αὐγούστης εἰσὶν οὗτοι, εἴτε τοῦ ἐρασμιωτάτου μοι υἱοῦ **404** τῆς βασιλείας μου βασιλέως, εἴτε τῶν προσμενῶν ἀρχόντων τῆς βασιλείας μου καὶ τῶν λοιπῶν ἀρχόντων καὶ ἀρχοντοπούλων αὐτῆς, οὐδὲ αὐτοὶ ὀφείλουσι χάριν μαγειρίας ἢ ὀψωνίου ἢ ἄλλου τινὸς ζητήματος ἀπαιτεῖν τι ἐξ αὐτῶν ἢ ἄλλο τι ἐπάγειν αὐτοῖς ἐπιτίμιον καὶ ἐπιβλαβές. Ἀλλὰ καὶ αὐτοὶ οἱ κατὰ καιρὸν μέλλοντες ἔχειν τὴν ἐνοχὴν τῆς θεοδοξάστου Κωνσταντινουπόλεως ἀφέζωνται τελείως τοῦ ἐπάγειν ἐπήρειαν αὐτοῖς καὶ ἀπαιτησιν τὴν τυχοῦσαν ἢ ὀψωνίου ἢ μαγειρίας, ἢ συγκαταλέγειν αὐτοὺς τοῖς λοιποῖς ἐποίκοις ταύτης ἐπὶ τὰς κατὰ καιροὺς γινομένας κοινωφελεῖς ἴσως χρείας συγκροτήσεσιν, ἢ ἰδίως ὅλως ἀπαιτεῖν τούτους τῆς τοιαύτης συγκροτήσεως ἕνεκα. Ἀλλ' οὐδὲ εἰς ἃ ἔχωσιν οὗτοι ὑποδέ-

sed horum omnium plane sint immunes. Item ii qui merces, sive ex animalibus sive e plantis sive alia quacunque ratione partas, aut vendunt Monembasiotis, aut ab ils emunt, sive Cpoli gloria Dei illustrissima, sive in aliis imperii nostri locis, nihil pendunto tributi propter gratiam Monembasiotis impertitam. Deinde si qui navigiis horum merces vel a mari supero vel ab urbis magnificæ Cpolis oris avehant, sive frumentum, sive vinum, sive aliud quodcunque mercium genus, pendunto ii quos diximus, Monembasiotæ ærario urbis tributi id, quod supra constituit majestas nostra, domini navium immunes sunto, neve postulantor quadrantem vel aliud quidquam vectigalis, propter immunitatem illis concessam. Si vero eorumdum merces, sive animal a sive aliud quid, aut ex occidente in orientem, aut ex oriente in occidentem, aut e finibus Zagoræ advehuntur, sive Sozopolim, sive Agathopolin, sive in Mediam et reliqua loca imperii nostri, nihil omnino vexantor exigendo tributo, vectigali vel portorio, ab iis qui castris illis vel civitatibus præsunt in negotiis quibuscunque, quæ in aliis locis imperii nostri faciunt, sive in oriente sive in occidente, sive in insulis sive in continenti, in castris, mercatibus et reliquis locis. Item in mercatibus, qui in Peloponnesi oppidis et castris imperio nostro subjectis habentur, eosdem liberos esse volo omni tributi genere, nec ulla vectigalis vel portorii exactione vexari. Quare præstent iis necesse est has immunitates tum qui Cpoli tributorum exactioni, tum qui aliis portibus, locis et castris imperii nostri præfecti sunt; nec vero quicunque fundos, prædia vel castra intra fines imperii nostri sita habent, sive majestatis nostræ, sive filii nostri dilectissimi, sive cognatorum nobis vel aliorum primorum procerumque ministri sunt, ullum ullius generis tributum ab iis exigunto, neve omnino quidquam iis imponunto mulctæ noxiive. Ipsi item Cpolis, urbis clarissimæ, præfecti prorsus abstinento a tributis illis imponendis, neve eosdem cum reliquis advenis in censum referunto ad collationes ob rei publicæ salutem faciendas, aut separatim eos in tali re stipendia postulanto. Nec vero lites, quas vel cum aliis, vel inter se habent, ab illis, sed in sanctuario majestatis nostræ dijudicantor. Atque, hujus quidem bullæ aureæ auctoritate et

Digitized by Google

σεις ἢ μετ' ἀλλήλων ἢ μεθ' ἑτέρων τινῶν, κριθήσωνται παρ' αὐτῶν, ἀλλ' ἐν τῷ σεκρέτῳ τῆς βασιλείας μου. Τῇ γοῦν ἰσχύϊ καὶ δυνάμει τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου τὰ κατὰ μέρος περὶ αὐτῆς διορίζεται, ἀπολαύτωσι ταύτης κατὰ τὸ ἴσον καὶ ὅμοιον τρόπον καὶ οἱ ἐξ ὀσφύος παῖδες καὶ ἀπόγονοι τούτων, μέχρι ἂν ἡ τῶν γένους αὐτῶν διαρκῇ σειρά· εἰς γὰρ τὴν περὶ τούτων ἁπάντων βεβαίωσιν ἀσφαλείας ἐγένετο καὶ ἐπεβραβεύθη καὶ ἐπιχορηγήθη αὐτοῖς καὶ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου, ἀπολυθεὶς κατὰ μῆνα Νοέμβριον τῆς ἐνισταμένης ἰνδικτιῶνος ιε' ἔτους ,ϛωκε'. Ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος.

Ἀνδρόνικος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων.

405 Δούκας Ἄγγελος Κομνηνὸς ὁ Παλαιολόγος.

Τὸ παρὸν ἴσον ἀντιβληθὲν καὶ εὑρεθὲν κατὰ πάντα ἰσάζον τῷ πρωτοτύπῳ, καὶ ἐγράφη δι' ἀσφάλειαν.

ιη'. Λοιπὸν κρατοῦντος τοῦ δεσπότου κὺρ Θωμᾶ τὴν Μονεμβασίαν παρὰ τῶν Μονεμβασιωτῶν αὐτῷ δεδομένην, ὁ ἀμηρᾶς τὴν μὲν βασίλισσαν καὶ τὴν αὐτῆς θυγατέρα τὴν ἑαυτοῦ γυναῖκα οἰκονομήσας ἔστειλεν εἰς Κωνσταντινούπολιν μετά τινων τῶν αὐτοῦ καὶ τῶν αὐτῆς, τὸν δὲ δεσπότην εἶχε μεθ' ἑαυτοῦ. Ἐλθόντος οὖν τοῦ ἀμηρᾶ ἐν τῇ Βορδονίᾳ οἱ ἐκεῖσε γενναῖοι ἄρχοντες φοβηθέντες ἔφυγον ἀφέντες αὐτήν. Οἱ δὲ ἐν τῷ Καστρίζῃ τάχα μέχρι τινὸς ἀντισταθέντες καὶ πολεμήσαντες τέλος προσεκύνησαν μετὰ συμβάσεως, ἵνα μὴ ἀθετήσῃ τὰ αὐτῶν ἤθη καὶ νόμιμα. Ὃς ὑπὲρ ταῦτα καὶ ἄλλας πλείστας χάριτας αὐτοῖς ἐπηγγείλατο· καὶ κατελθόντες στεφθῆναι ὑπὲρ τῶν ἀνδραγαθημάτων αὐτῶν κατ' ἔθος

lege quæ constituta sunt a majestate nostra, iis fruantor æquali et pari modo eorum filii et posteri, quatenus pertinebit generis eorum series. Nam ad omnia hæc firmanda et sancienda donata et data iis est bulla hæc aurea majestatis nostræ, edita mense Novembri indictionis 15, anni 6825: cui subscripsit pia nostra et Deo obedientissima potestas.

Andronicus in Christo Deo fidelis rex et imperator Romanorum.

Angelus Ducas Comnenus Palæologus.

Exemplar hoc archetypo collatum et prorsus simile repertum et accurate scriptum est.

18. Cum igitur Thomas despota Monembasiam a Monembasiotis sibi traditam teneret, ameras imperatricem et filiam ejus sibi matrimonio junctam cum quibusdam de suis et ipsius comitibus Cpolim misit, despotam apud se retinuit. Amera deinde Bordoniam profecto, generosi scilicet optimates timore perculsi fugerunt urbemque deseruerunt. Castrizenses ubi aliquandiu restiterunt pugnarunt-que, postremo eum receperunt, conditione dicta, ut ipsorum mores et instituta ne turbaret. Quod ille cum aliis plurimis beneficiis se iis præstiturum promisit. Itaque cum egrederentur, ut pro more virtutis suæ præmia acciperent, aliis eorum capita præ-

οὓς μὲν αὐτῶν ἐκαρατόμησεν, οὓς δὲ ὀβελοῖς ἀπέκτεινε, τὸν δὲ Προινοκοκκᾶν λεπίσας ἐτελείωσεν· ἄξιον τέλος τῶν ἐργασιῶν καὶ πράξεων ἀπέλαυσεν. Ἐλθόντος δ' αὐτοῦ δὴ τοῦ ἀμηρᾶ καὶ εἰς τὰ περὶ τὸ Λεοντάριν, καὶ εὑρὼν αὐτὸ ἔρημον ἀνθρώπων, παρέλαβεν αὐτὸ διὰ τὸ τοὺς ἀνθρώπους φυγεῖν. Ἐν δὲ τῷ Γαρδίκῃ ὡς ἰσχυρότερον αὐτοῦ εἰσῆλθον φυλαχθῆναι, ἔνθα πάλιν ὁ ἀμηρᾶς παρεγένετο πολιορκῶν καὶ αὐτὸ μέχρι τινός· τέλος δὲ ἐδουλώθησαν, μετὰ συνθήκης καὶ **406** ὅρκου ἐπαγγειλάμενος αὐτοῖς ἵνα μηδένα αὐτῶν ἐνοχλήσῃ ἢ θανατώσῃ ἢ αἰχμαλωτίσῃ. Αὐτὸς δὲ τοὺς ὅρκους ἀθετήσας καὶ τῇ μνησικακίᾳ καὶ ὀργῇ κινούμενος, ἔν τινι πεδίῳ μικρῷ συνάξας αὐτοὺς πάντας καὶ δεσμεύσας, παρανάλωμα μαχαίρας σὺν γυναιξὶ καὶ παισὶ πεποίηκε. Τοιουτοτρόπως καὶ οἱ ποτε προεστοὶ αὐτῶν οἱ Μπουχάλεοι ἔπαθον, εἰ μὴ ἔφθασεν ὁ μπεγλέρμπεης Μαχουμούτης· ἐξεζήτησεν αὐτούς, διὰ τὸ τὴν γυναῖκα Μανουὴλ τοῦ Μπουχάλη διτεξαδελφὴν εἶναι αὐτοῦ. Οἳ καὶ κακὰ ἀνταπέδωκαν αὐτῷ ἀντὶ τούτων. Δοὺς γὰρ αὐτοῖς ἀνθρώπους ἵνα μετὰ ἀνέσεως καὶ ἀναπαύσεως ἀπέρχωνται τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν ἕξω τόπον, διερχόμενοι περὶ τὸ Ποντικὸν εὑρόντες πλεύσιμον καὶ δολίως ἀποκτείναντες τοὺς ἀπάγοντας ἀνθρώπους τοῦ μπεγλέρμπεϊ καὶ ἐμβάντες εἰς τὸ πλεύσιμον ἔφυγον εἰς Κέρκυραν, κἀκεῖθεν πάλιν εἰς Νεάπολιν. Καὶ αὐτοὶ μὲν ἠλευθερώθησαν τῆς δουλείας ὁπωσδήποτε· ὁ δὲ πενθερὸς μὲν Μανουὴλ τοῦ Μπουχάλη Γεώργιος ὁ Παλαιολόγος, πρωτεξάδελφος δέ, ὡς προεδηλώσαμεν, τῆς μητρὸς τοῦ μπεγλέρμπεν, βληθεὶς εἰς σίδηρα ἤγετο. Αὐτὸς γάρ, ὡς προείπομεν, φυγὼν ἐκ τοῦ Λεοναρίου μετὰ καὶ τοῦ γαμβροῦ αὐτοῦ ἀπῆλθεν εἰς τὴν Σπάρτην εἰς δουλοσύνην τοῦ δε-

cidit, alios palo suffixit, Prœnococcam vero excoriavit, mortem factis suis dignam nactum. Deinde ameras Leontarium profectus, eam urbem a civibus desertam invenit et nullo labore occupavit. Cum Gardicam, oppidum munitius, securitatis causa confugissent, illuc rursus ameras profectus, urbem aliquandiu obsessam, postremo in ditionem accepit, ex pacto et jurejurando pollicitus, se neminem eorum aut turbaturum, aut occisurum, aut in servitium abducturum esse. Sed, sacramenti immemor et ulciscendi cupidate atque ira incitatus, cunctos in parvo quodam campo coactos et vinctos cum uxoribus et liberis gladio trucidari jussit. Quo supplicio etiam præfecti iis Buchalei affecti fuissent, nisi Mahometes beglerbegus vitam iis impetrasset, quod uxor Manuelis Buchalei ipsius soror sobrina esset. Qui male gratias retulerunt. Nam cum homines iis dedisset, ut tuto et citra laborem via e finibus amerææ ducente procederent, Ponticum profecti ibique navigandi occasionem nacti, dolose homines a beglerbego sibi adjunctos interemerunt, et conscensa navi Corcyram, et inde rursus Neapolim profugerunt. Itaque ipsi quidem servituti se modo qualicunque eripuerunt; sed Manuelis Buchalei socer, Georgius Palæologus, matris beglerbegi, ut ante significavi, frater consobrinus, ferro vinctus duce-

Digitized by Google

σπότου κὺρ Δημητρίου, πολέμου δὲ γεγονότος περὶ τὴν Βορδονίαν καὶ τὴν Τρύπαν κακῶς τρωθεὶς ἐάλω, καὶ ἀπήγαγον αὐτὸν δέσμιον πρὸς τόν ποτε αὐθέντην αὐτοῦ **407** τὸν δεσπότην κὺρ Θωμᾶν. Ὡς δὲ ἰάθη ἀπὸ τοῦ τραύματος, περιωρισμένου δὲ ὄντος καὶ φυλαττομένου ὁπωσδήποτε περὶ τὸ Δυῤῥάχιον, ἀπατήσας τοὺς φυλάσσοντας ἔφυγε, καὶ πάλιν προσέρχεται τῷ δεσπότῃ κὺρ Δημητρίῳ, καὶ ἐν τῷ Ναυπλίῳ τὸν πλείονα καιρὸν διέτριβε διὰ τὸ τὴν γυναῖκα καὶ τὰ παιδία αὐτοῦ ὑπάρχειν ἐν τοῖς τῶν Ἐνετῶν.

ιθ'. Τοῦ οὖν ἀμηρᾶ δουλώσαντος, ὡς δεδηλώκαμεν, τὸ Λεοντάριον καὶ τὰ περὶ αὐτὸ, ἔτι δὲ καὶ τὸν ἅγιον Γεώργιον· ταῦτα γὰρ ἰδὼν ὁ Κροκόντηλος, ἢ μᾶλλον εἰπεῖν Κροκόδειλος οἰκειότερον, προσεκύνησεν καὶ αὐτὸς τὸν ἀμηρᾶν, τὸ δὲ κάστρον τοῦ ἁγίου Γεωργίου καὶ τοὺς δύο υἱοὺς αὐτοῦ δέδωκεν αὐτῷ· αὐτὸς δὲ ἔλαβε χάριν τούτων τ', Ἐλοΐ ἢ μᾶλλον εἰπεῖν τὸ Ἠλὶ, καὶ τὰ ἑξῆς, τοῦτ' ἔστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες, ὡς εἰπεῖν μᾶλλον, Ἵνα τί μὴ καὶ αὐτὸν ἐγκατέλιπες, τῶν προλεχθέντων κακῶν πρωτεργάτην. Τούτων οὖν ἐκεῖσε γινομένων, ὁ δεσπότης κὺρ Θωμᾶς ἀφεὶς τὴν Καλαμάταν καὶ περάσας εἰς τὰ περὶ τὴν Κόσμαιναν καὶ τὸ Πεταλίδι, εἰσελθὼν εἰς τὸν Ἀβαρῖνον κἀκεῖθεν εἰς τὸ Μαράθιν, προγενέστερον τῆς βασιλίσσης καταλειψάσης τὴν Ἀρκαδίαν κἀκεῖσε ἀπελθούσης μετὰ τῶν παίδων αὐτῆς καὶ τῶν εὑρισκομένων ἐν τῇ Ἀρκαδίᾳ ἀρχόντων. Ὁ δὲ ἀμηρᾶς παρέλαβεν αὐτὰ, ἀλλὰ δὴ καὶ τὴν Καρίταιναν, παρὰ τοῦ Σγουρομάλλη Παλαιολόγου καὶ γυναικαδελφοῦ τοῦ μεγάλου Λουκάνη, ὃς προαπέθανεν **408** εἰς ἀπόπατον διαβιβάσας τὴν ψυχὴν, ὥς ποτε ὁ Ἄρειος

A ἔπαθεν, ἅμ' ἐγκάτοις, καὶ περάσας κατῆλθεν εἰς τὰ περὶ τὴν Ἀνδροῦσαν καὶ Ἰθώμην. Καὶ λαβὼν αὐτὴν καὶ τὰ περὶ αὐτὴν πάντα ἀπῆλθε θεάσασθαι καὶ τὴν Κορώνην, εἶτ' ἐκεῖθεν διέβη καὶ εἶδε τὴν Μοθώνην, εἶτα τὴν Πύλον τὴν καὶ Ἀβαρῖνον. Καθ' ἣν ἡμέραν καὶ ὁ δεσπότης κὺρ Θωμᾶς ἐξῆλθε τῆς Πελοποννήσου· προητοίμασε γάρ τινα πλοιάρια, καὶ ἐλθὼν ἐν τῷ λιμένι τῷ παρ' Ἰταλοῖς καλουμένῳ Πόρτῳ λόγγῳ, ἵνα ἐκεῖθεν εὐπλώϊμον καιρὸν εὑρὼν εἰς Κέρκυραν ἀπέλθῃ. Ὃ δὴ γέγονε, καὶ τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπεσώθη εἰς Κέρκυραν. Εὑρόντες δὲ καὶ ἡμεῖς πλεύσιμον ἀπαγόμενον ἐκεῖσε, ἐμβάντες τῇ ια' Ἰουλίου διὰ τὸ ἐπιγενέσθαι καὶ μετὰ τῶν ἄλλων κακῶν θανατικὸν ἐν τῇ Μοθώνῃ, τῇ β' τοῦ Αὐγούστου ἀπεσώθημεν εἰς Κέρκυραν, ἔχοντες τὸν σκοπὸν B ἵνα ἀπέλθωμεν εἰς τὴν Κρήτην ἢ εἰς τὴν περὶ τὴν Θεσσαλονίκην Βέῤῥοιαν, διὰ τὸ εἶναι κἀκεῖσε καλλίστην μονὴν εἰς ὄνομα τοῦ ἁγίου Νικολάου, ἥνπερ ὁ τῆς μητρός μου πατὴρ ἀνήγειρεν ἐκ βάθρων. Τοῦ δὲ Ῥαοὺλ Γεωργίου καὶ τοῦ γαμβροῦ αὐτοῦ καὶ θυγατρὸς προαπελθόντων, ἐπαρώτρυναν καὶ τὸν ἀνεψιὸν αὐτοῦ τόν ποτε μελλόγαμβρόν μου Νικόλαον τὸν Μελισσηνὸν, αὐτὸς δὲ πάλιν ἐμέ· ἔτι δὲ καὶ τοῦ δεσπότου μετὰ καὶ τῶν ἄλλων ἐκεῖσε παραγενομένου ἀπήλθομεν χἠμεῖς, προσμεῖναι ἐκεῖ ἕως οὗ ἴδωμεν τὸ μέλλον. Τοῦ δ' **409** ἀμηρᾶ λαβόντος τὴν Ἀρκαδίαν, κἀκεῖθεν διερχομένου εἰς τὰ κάτω μέρη τῆς Πελοποννήσου καὶ λαβόντος πάντα τὰ ἐκεῖσε, ἀλλὰ δὴ καὶ τὸ ἰσχυρότατον Χλομούτζην καὶ τὸ Σανταμαρὶν, ἃ ἐκέκτηντό τινες τὸ ἐπίκλην μπεγ- C λερμπεῖδες, καὶ αὐτοὶ φοβούμενοι εἴασαν πάντα κω-

batur. Is enim, Leontario profugus, cum genero Spartam discesserat, ut Demetrio despotæ operam navaret, sed in obsidione Bordoniæ et Trypes, accepto vulnere, captus et vinculis constrictus ad dominum quondam suum Thomam despotam adductus est. Sed, sanato vulnere, cum custodiretur ad Dyrrhachium, deceptis custodibus, effugit iterumque adjunxit se Demetrio despotæ, ac Nauplii aliquandiu commoratus est, quoniam ibi in Venetorum ditione uxor et liberi ejus vivebant.

19. Occupatis igitur, ut docuimus, Leontario locisque vicinis, et S. Georgio insuper, animadvertens id Crocontelus sive, ut aptius dicam, Crocodilus, ipse quoque ad eum defecit eique cum castro duos filios tradidit, habuitque ejus rei præmium *Eloi* sive *Eli*, et quæ sequuntur, hoc est, « Mi Deus, mi Deus, quare deseruisti me ?» sive, ut dicam melius, « Quare non et ipsum deseruisti commemoratorum malorum primum auctorem ?» Hæc dum illic fiunt, Thomas despota, relicta Calamata, Cosmænam et Petalidium trajectus, Abarinum et inde Marathium venit, cum jam ante regina ex Arcadia exiisset atque illuc cum liberis et primoribus Arcadiæ advenisset. Itaque occupavit ea ameras, recepitque idem Caritænam a Sguromalle Palæologo et fratre uxoris magni Lucanis, qui, ut olim Arius, in sella familiarica, emissis visceribus, animam exspiravit, ac transiit in viciniam Andrusæ et Ithomes. His quoque oppidis cum omni regione finitima occupatis, Coronam visum abiit, atque inde rursus Mothonam trajecit ac Pylum sive Abarinum. Quo die etiam Thomas despota, exstructis ante navibus, e Peloponneso discessit et ad Portum Longum, quem Itali dicunt, profectus est, ut inde, idoneam nactus tempestatem, Corcyram navigaret. Ita factum est, pervenitque die mensis Julii 28 Corcyram. Nos quoque navigium eodem profecturum nacti, Julii die 11 solvimus, quod præter reliquas miserias pestifera lues Mothonen invaserat, et delati sumus D Corcyram die 2 Augusti. Erat autem consilium inde in Cretam vel Berrhœam prope Thessalonicam proficisci, quoniam illic monasterium pulcherrimum erat, in honorem sancti Nicolai ab avo meo materno a fundamentis exstructum. Georgius Raulus autem et gener et filia ejus, ante illuc profecti, consobrinum suum, qui quondam meus erat futurus gener, Nicolaum Melissenum, ut eodem discederet, cohortati erant, atque hic rursus mihi idem suaserat. Itaque et despota et reliquis illic commorantibus, nos quoque abivimus exspectaturi, quid futurum esset. Interim ameras, occupata Arcadia, in partem inferiorem Peloponnesi profectus, cuncta ejus regionis loca cepit, ipsamque adeo firmissimam Chlomutzam et Santamarium, quæ a quibus-

Digitized by Google

φᾶ, καὶ ἀπῆλθον καὶ αὐτοὶ εἰς Κέρκυραν. Ὁ δὲ ἦλθε μέχρι καὶ Πάτρας κἀκεῖσε προσέμεινε. Καὶ τὰ Καλάβρυτα λαβὼν, ἔνθα ὁ ἡγεμονεύων οὔτε τοῖς δεσπόταις οὔτε τῷ ἀμηρᾷ ἐφύλαττε πίστιν, ἀλλ' οὐδ' εἰς Θεὸν, ὡς νομίζω, αὐτὸς μὲν ὁ ἀμηρᾶς ἔδωκε δίκην ἀξίαν αὐτῷ· ἐλέπισε γὰρ αὐτὸν, οἱ δ' αὐτοῦ πάντες οἱ μὲν ἀπετμήθησαν τὰς κεφαλὰς, οἱ δὲ αἰχμάλωτοι ἀπήχθησαν. Τὸ δὲ ἄστυ ὁ ἀμηρᾶς καλῶς ἀσφαλισάμενος καὶ παντὶ τόπῳ ἀφεὶς στρατιώτας, ἐγερθεὶς ἀπὸ τῆς Πάτρας διέβη εἰς τὰ περὶ τὸ Σαλμενικὸν καὶ Λίστραιναν καὶ Βοστίτζαν· καὶ τὴν μὲν Βοστίτζαν καὶ Λίστραιναν ἔλαβε, τὸ δὲ Σαλμενικὸν ἐκράτησε μέχρι τινός τις Παλαιολόγος λεγόμενος τὸ ἐπίκλην Γραΐτζας.

Τοῦ δὲ δεσπότου, ὡς εἴπομεν, πανοικὶ ἐλθόντος εἰς Κέρκυραν, προσῆλθον αὐτῷ καὶ γράμματα ἀπὸ τοῦ πράκτορος τοῦ Ἀγγελοκάστρου διαλαμβάνοντα οὕτως, ὅτι τῷ ἀμηρᾷ δρῆξις ἦν ἵνα προσέλθῃ αὐτῷ τις τῶν τοῦ δεσπότου ἀρχόντων, καὶ γενήσηται συμβίβασις καὶ ἀγάπη ἀμφοτέροις, καὶ δοθῇ παρ' αὐτοῦ τόπος μετά τινων συμφωνιῶν τῷ δεσπότῃ πρὸς **410** τὸ ζῆν. Συνδιασκεψάμενος οὖν σὺν τοῖς αὐτοῦ ὁ δεσπότης, ἔδοξεν αὐτῷ καλὸν εἶναι ἵνα ὁ μὲν Ῥάλης Γεώργιος ἀπέλθῃ πρὸς τὸν ἀμηρᾶν, ὁ δὲ γαμβρὸς αὐτοῦ Ῥαοὺλ Γεώργιος ἀπέλθῃ πρὸς τὸν πάππαν. ἵνα ὁ μὲν καὶ ταῦτα καὶ τὴν εἰς Κέρκυραν τοῦ δεσπότου ἐπιδημίαν δηλώσῃ τῷ πάππᾳ, ὁ δὲ ἴδῃ καὶ μάθῃ τίς ὁ τοῦ ἀμηρᾶ σκοπός. Οἳ καὶ ἀπῆλθον, ὁ μὲν τῇ θ', ὁ δὲ τῇ ια' Αὐγούστου. Θανατικοῦ δ' ἐπιγενομένου καὶ εἰς τὴν Κέρκυραν πόλιν ὁ δεσπότης καὶ ἡμεῖς ἀπήλθομεν ἐν τοῖς περιχωρίοις, ἐκδεχόμενοι καὶ τὰ τῶν πρεσβυτῶν ἀποτελέσματα. Ὁ μὲν οὖν Ῥάλης Ἰωάννης διελθὼν διὰ τοῦ Ἀγγελοκάστρου ἔφθασε τὸν ἀμηρᾶν εἰς τὰ περὶ τὴν Βέρροιαν· καὶ εὐθὺς προστάξαντος αὐτοῦ ὅ τε Ῥάλης καὶ οἱ σὺν αὐτῷ πάντες ἐδεσμεύθησαν, καὶ οἱ πόδες αὐτῶν ἠσφαλίσθησαν σιδήροις. Διαβεβάσαντες οὖν οὕτως δέσμιοι, μετά τινας ὁδοὺς ἡμερῶν εἰς τοὺς περὶ τοῦ μαύρου ὄρους βουνοὺς ἠλευθέρωσεν αὐτοὺς, εἰπὼν ὅτι Ἐγὼ ἐκδεχόμην πλησίον τῆς Πελοποννήσου εὑρισκομένου μου ἐλθεῖν τὸν δεσπότην, ἢ στείλῃ τὸν υἱὸν αὐτοῦ μετὰ ἀρχόντων, καὶ γένηται χάρις πρὸς αὐτὸν, καὶ κάθηται, καὶ ζῇ. Ἐπεὶ οὖν οὐδὲν γέγονε, πάλιν λέγομεν, γενηθήτω, εἰ θέλει, καὶ ἀπελθόντος σοῦ ἐλθέτω ὁ δεσπότης, ἢ ἐξαποστειλάτω ἕνα τῶν παίδων αὐτοῦ, ᾧ καὶ ποιήσωμεν χρηστά. Ἐπιστρέψαντος δὲ τοῦ Ῥαοὺλ ἀπράκτου τῷ Ὀκτωβρίῳ τοῦ ,ςϡξθ' ἔτους, καὶ τῇ ις' Νοεμβρίου ἐμβὰς ἔν τινι τῶν **411** Κερκυραίων πλοίων ὁ δεσπότης κὺρ Θωμᾶς μετὰ τῶν πλειόνων ἀρχόντων αὐτοῦ διέβη εἰς τὸν Ἀγκῶνα, ἵνα ἐκεῖθεν πρός τε τὸν πάππαν καὶ τὸν δοῦκα Μεδιολάνων καὶ ἀλλαχοῦ ἀπέλθῃ, εἰς Κέρκυραν καταλείψας τήν τε βασίλισσαν καὶ τὰ παιδία αὐτοῦ καί τινας τῶν ὁρμόντων αὐτοῦ οἰκειακοὺς καὶ οἰκέτας τῶν αὐτῷ ἑπομένων. Οὗ δὴ κἀμὲ πολλὰ διορισαμένου καὶ ζητήσαντος ἵνα ἢ σὺν αὐτῷ ἀπέλθω ἢ ἐν Κερκύρᾳ μετὰ τῆς βασιλίσσης μείνω, ἄρχων τοῦ ὁσπιτίου αὐτῆς· ἐγὼ δὲ διά τε τὸ ἔλεος τοῦ τὰ πάντα καλῶς οἰκονομοῦντος Θεοῦ, διά τε τὴν λύπην ὧν ἐγέννησα, διά τε τὴν ἀταξίαν πάντων τῶν τοῦ οἴκου αὐτῶν ἀνήκοος ἐγενόμην εἰς τὰ ἀμφότερα. Ἀλλ' ἐπιμείναντός

dam beglerbegis tenebantur, qui et ipsi, metu perculsi, omnia deseruerunt et Corcyram venerunt. Ille Patram usque processit, ibique mansit. Captis Calabrytis, ejus urbis præfectum, qui nec despotis, nec a neræ, nec vero Deo, opinor, fidem servarat, supplicio dignissimo punivit. Quippe pellem ei detrahi jussit, et cives aut jugulavit aut captivos abduxit. Urbe bene munita et ubivis relictis præsidiis, ameras Patra movit et Salmenicum, Listrænam et Bostitzam transiit, ac Bostitza et Listræna quidem potitus est, sed Salmenicum Palæologus quidam, cognomento Graitzas, aliquamdiu servavit.

Despota igitur cum tota familia Corcyram profecto, litteræ ei a procuratore Angelocastri allatæ sunt, quibus scriptum erat, ameram quempiam e proceribus despotæ ad se mitti cupere, ut amicitia et concordia inter ipsos conciliaretur, et locus aliquis despotæ cum conditionibus quibusdam a se daretur, in quo is vitam ageret. Re cum suis deliberata, despota e re fore existimavit, ut Georgius Rales ad ameram, Georgius Raulus autem, gener ejus, ad papam proficisceretur, ut alter hoc ipsum et despotæ in Corcyra commorationem papæ nuntiaret, alter videret et exploraret, quo spectaret consilium ameræ. Itaque illi discesserunt, alter nono, alter undecimo die Augusti. Mox autem quum pestis etiam Corcyram urbem invasisset, despota et reliqui in loca vicina concessimus, legatorum exspectantes reditum et quid allaturi essent nuntii. Ac Joannes Rales quidem, trans Angelocastrum profectus, ubi prope Berrhœam ad ameram venit, statim jussu ejus cum omnibus comitibus vinctus et compedibus ferreis astrictus est. Cum ita vincti processissent dies aliquot, ad colles montis nigri eos liberavit, et exspectasse se dixit, ut, cum esset prope Peloponnesum, aut veniret ipse despota, aut filium cum proceribus mitteret, ac se illi benefacturum sedemque stabilem, in qua viveret, donaturum fuisse. Quorum cum neutrum factum sit, inquit, iterum, ut fiat, suademus, et post reditum tuum aut veniat despota, aut unum e filiis mittat, cui benefaciamus. Itaque cum Raulus re infecta redisset mense Octobri anni 6969, Thomas despota, die 16 Novembris Corcyræorum navem ingressus, cum proceribus suis plerisque Anconam trajecit, inde ad papam et Mediolanensium ducem et alio profecturus, in Corcyra relictis regina et filiis et nonnullis procerum, qui eum sequebantur, familiaribus et domesticis. Equidem, multum ab eo invitatus et rogatus, ut aut comitarer se, aut Corcyræ manerem in ædibus reginæ, per misericordiam Dei cuncta bene moderantis et propter luctum eorum quos procreaveram, et rerum omnium in illius domo perturbationem, neu-

Digitized by Google

μου καὶ ἑτέρῳ καιρῷ ἐν τῷδε τῷ χωρίῳ ὀνόματι Μολυβατινὰ ἐν ᾧ ἤμεν, ὅτε καὶ ὁ δεσπότης ἦν ἐν τῷ Χλομῷ διὰ τὸν φόβον τοῦ θανατικοῦ ὡς δεδήλωται. Καὶ μετὰ καιρὸν δὲ κάθισμα εὑρὼν τὸ εἰς ὄνομα τοῦ ἁγίου Ἠλίου πλησίον τοῦ ἄστεως, ἀπελθόντος μου ἐκεῖσε κατῴκησα Σεπτεμβρίου ἕκτῃ τοῦ ,ςϡο' ἔτους. Κατέμενον μετὰ τῶν ἐμῶν, καὶ μόνον ἐδεόμην τοῦ Θεοῦ ἵνα ἡμᾶς ἐλεήσῃ καὶ ἐξοικονομήσῃ ὑπὸ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀγαθότητος. Διαβιβάσαντός μου οὖν ἐκεῖσε μῆνας πέντε, καὶ πρός τινα καιρὸν οὐδὲν ἐνοήσαμεν ἀναπαυθῆναι μετὰ τῶν ἐχόντων τὸ τοιοῦτον κάθισμα. Καὶ διὰ τὸ ἔξειν ἡμᾶς πλείονα τὸν πολυπλασιασμὸν τοῦ καλοκαγαθοῦ φίλου καὶ πνευματικοῦ Πατρὸς Δωροθέου **412** εὑρισκομένου αὐτοῦ εἰς τὴν μονὴν τῶν ἁγίων ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου, εὑρόντες καὶ ἡμεῖς ἀπὸ τῆς τάξεως τῶν τριάκοντα δύο ἱερέων τοῦ ἁγίου Νικολάου κάθισμα τὸ ἐπονομαζόμενον τοῦ Ταρχανιώτου, παρελάβομεν αὐτὸ Μαρτίου ιε' τοῦ ,ςϡο' ἔτους, καὶ κατέμενον μετὰ τῶν ἐμῶν. Ὁ δὲ δεσπότης κὺρ Θωμᾶς φθάσας εἰς τὸν Ἀγκῶνα κἀκεῖθεν εἰς τὴν Ῥώμην οὐδὲν ἄλλο κατώρθωσεν εἰ μὴ ὅτι ἔδωκε τῷ πάππᾳ Πίῳ δευτέρῳ ἐν τῷ β' ἔτει τῆς ἀρχιερωσύνης αὐτοῦ τὴν κεφαλὴν τοῦ λειψάνου τοῦ ἁγίου ἀποστόλου καὶ πρωτοκλήτου Ἀνδρέου, κἀκεῖνος αὐτῷ μόλις πρὸς τὸ ζῆν μετὰ τῶν αὐτοῦ ἐδωρήσατο τὴν μόνην καὶ ἀναγκαίαν τροφήν. Ὡς οὖν εἶδον οἱ ὄντες μετ' αὐτοῦ ἄρχοντες καὶ οἱ ἄλλοι οἱ ἐν Κερκύρᾳ ἀπομείναντες ἤκουσαν μὴ εἶναι οὐδεμίαν ἐλπίδα βοηθείας, διεσκορπίσθησαν, οἱ μὲν ἔνθεν οἱ δὲ κἀκεῖθεν, κλαίοντες τὴν δυστυχίαν αὐτῶν. Τότε δὲ καὶ ὁ ἠγαπημένος μοι ὑπὲρ υἱὸν, ὃ ποτε μελλόγαμβρός μου Νικόλαος ὁ Μελισσηνὸς, ὁ τοῦ μεγάλου πρωτοστράτορος υἱὸς τοῦ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, εὑρὼν ναῦν ἐμπορικὴν Κρῆτα τοῦ Σοφολέου ὀνομαζομένου, ἐρχομένην ἐκ τῆς Ἐνετίας, ἐμβὰς ἐν αὐτῇ διέβη εἰς πόλιν Κυδωνίας ἐν τῇ Κρήτῃ τοῦ Ἀπριλλίου ια' τοῦ ,ςϡο' ἔτους, κλαύσαντες καὶ θρηνήσαντες πρότερον ἡμεῖς περὶ τῆς στερήσεως αὐτοῦ διὰ τὸ εἶναι αὐτὸν λίαν καλὸν πρός με. Ἐκεῖ δὲ γυναικὶ συζευχθεὶς πρεσβύτερος ἐγένετο, **413** καθὼς ὕστερον ἐμάθα καὶ ἐκ τῶν χειρῶν αὐτοῦ γράμματι ἔλαβον. Τοῦ δὲ δεσπότου κὺρ Θωμᾶ διαβιβάσαντος καιρόν τινα ἐν τῇ Ῥώμῃ, ἔδοξεν αὐτῷ ἐπαναστραφῆναι πρὸς τὴν αὐθεντίαν τῶν Ἐνετῶν, καὶ πάλιν ἐκεῖθεν εἰς τὸν Ἀγκῶνα, τῆς θυγατρὸς αὐτοῦ βασιλίσσης τῆς Σερβίας ἐκεῖθεν ἀπελθούσης· καὶ διατρίψασα ἡμέρας τινὰς εἰς ἐπίσκεψιν αὐτοῦ, ἐκεῖνος μὲν ἐδιέβη πάλιν εἰς Ῥώμην, ἡ δὲ βασίλισσα διελθοῦσα ἀπῆλθεν εἰς Ἐπίδαυρον τοῦ Ἰλλυρικοῦ. Ἡ δὲ μήτηρ αὐτῆς ἡ βασίλισσα κακῶς διάγουσα ἐν Κερκύρᾳ, ἐλεηθεῖσα ὑπὸ τοῦ Θεοῦ, τῷ αὐτῷ ἑβδομηκοστῷ ἔτει Αὐγούστου ις' ἀπέθανε καὶ ἐτάφη ἐν τῇ τῶν ἁγίων ἀποστόλων μονῇ, Ἰάσωνος λέγω καὶ Σωσιπάτρου.

Ὁ δὲ τῶν ἀσεβῶν ἔξαρχος τῷ αὐτῷ δὴ ἔτει ἀπελθὼν κατὰ τοῦ Σφεντιάρη παρέλαβε τὴν ἐκείνου περιβόητον πόλιν Σινώπιον ὀνομαζομένην, ὃ δὴ κἀγὼ ἐθεασάμην. Οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸν ἄλλον ἅπαντα αὐτοῦ τόπον παρέλαβεν, ἔτι δὲ καὶ τὴν Κερασοῦντα καὶ τὴν Τραπεζοῦντα ἀπὸ τῶν χειρῶν τοῦ Δαβὶδ τοῦ Κομνηνοῦ, τοῦ ἐκεῖσε τότε

[114] Καὶ ἐν μηνὶ Σεπτεβρίῳ τοῦ κθ' ἔτους μετὰ κατέργων ἀπελθόντος εἰς τὴν Καλλίπολιν τοῦ βασιλέως κὺρ Ἰωάννου Ἀμηρᾶν τὸν Μουσταφᾶν φέρων ἀπὸ τοῦ Μορέως αὐθέντην ἐξέβαλεν εἰς δύσιν, καὶ ἡ Καλλίπολις αὐτὸν προσεκύνησε· καὶ μετά τινας ἡμέρας ζητηθεῖσα παρὰ τοῦ βασιλέως, τάχα κατὰ τὰς ὑποσχέσεις ἀπεκρίνατο, Πάντες οἱ Τοῦρκοι λέγουσιν ὅτι ἡ πίστις ἡμῶν ἡ Καλλίπολις ἔνι, καὶ οὐδὲν ἐμπορεῖ νὰ τὴν δώσωμεν, πολλὰ τοῦ Μουράτη ἀπὸ τὴν ἀνατολὴν δι' ἀποκρισιαρίων δεομένου καὶ τάσσοντος. Περὶ δὲ τὰς ἀρχὰς τοῦ χειμῶνος τοῦ αὐτοῦ ἔτους περάσαντος τοῦ Παϊαζήτου ἀπὸ τὸ ἐπάνω στενὸν εἰς τὴν δύσιν, ἀνδρὸς χρησίμου Μπελαρμπεῖ καὶ βιζίρου ὄντος τοῦ πατρὸς τοῦ Μουράτη, καὶ τὴν Ἄγκυραν ἔχοντος κεφαλατίκιον, εἰς τὸ, ἂν δυνηθῇ, νὰ κρατήσῃ εἰς τὴν ἐξουσίαν τοῦ Μουράτη τὴν δύσιν δηλονότι· καὶ τοῦ Μουσταφᾶ πάλιν ἀπελθόντος ἀπὸ τὴν Καλλίπολιν, ἐπίασεν αὐτὸν δὴ τὸν Παϊαζήτην καὶ τὸν ἐσκότωσε, καὶ τὴν εἰς τὴν δύσιν πᾶσαν ἀρχὴν τῶν ἀσεβῶν ἐκυρίευσεν· καὶ πάλιν ἐπιστρέψας [116] ὁ Μουσταφᾶς εἰς τὴν Καλλίπολιν τῷ αὐτῷ ἔτει ἐπέρασεν εἰς τὴν ἀνατολὴν κατὰ τοῦ ἀνεψιοῦ αὐτοῦ Μουράτη εἰς τὴν Προῦσαν εὑρισκομένου, καὶ ἡττηθεὶς ἐπανέστρεψεν εἰς τὴν δύσιν. Καὶ τὸ θέρος τοῦ αὐτοῦ ἔτους ἐπέρασεν, καὶ αὐτὸς δὴ ὁ Μουράτης μετὰ Γενουΐτικῶν καραβίων, καὶ διώξας τὸν θεῖον αὐτοῦ ἔφθασε καὶ ἐσκότωσε περὶ τὰς ἀρχὰς τοῦ λ' ἔτους.

υκβ'.

Καὶ τῇ η' τοῦ Ἰουνίου τοῦ αὐτοῦ ἔτους ἔστειλε καὶ ἀπέκλεισε τὴν πόλιν διὰ τοῦ Μιχάλμπεϊ· καὶ τῇ ιε' τοῦ αὐτοῦ ἦλθε καὶ ὁ Μουράτης καὶ αὐθέντης αὐτοῦ, καὶ ἐπολιόρκουν τὴν πόλιν, φέρων μετ' αὐτοῦ καὶ δεσμίους καὶ τοὺς ἀποκρισιαρίους, οὓς προαπέστειλαν εἰς ἐκεῖνον διὰ κατάστασιν ἀγάπης, Δημήτριον τὸν Καντακουζηνὸν καὶ Ματθαῖον τὸν Λάσκαριν καὶ τὸν γραμματικὸν Ἄγγελον τὸν Φιλομμάτην· καὶ τῇ κβ' τοῦ Αὐγούστου μηνὸς ἐπολέμησεν αὐτὴν δὴ τὴν πόλιν καθολικὸν πόλεμον.

υκγ'.

[117] Καὶ τῇ ς' τοῦ Σεπτεβρίου μηνὸς τοῦ λα' ἔτους ἀπῆλθεν ἄπρακτος ἀπὸ τῆς πόλεως βοηθείᾳ Θεοῦ· καὶ τῇ λ' τοῦ αὐτοῦ μηνὸς ἦλθεν ὁ Μουσταφόπουλος καὶ ἀδελφὸς αὐτοῦ δὴ τοῦ Μουράτη καὶ ἐπέρασεν εἰς τὴν πόλιν καὶ ἔπεσεν ἔξω εἰς τὸν αὐθεντικὸν περίβολον· καὶ ἐπὶ τὴν αὔριον τῇ α' Ὀκτωβρίου ἦλθεν εἰς προσκύνησιν τῶν βασιλέων· καὶ τῇ αὐτῇ ἡμέρᾳ μετὰ τὸ ἄριστον ἐγένετο τὸ τῆς ἡμιπληξίας νόσημα τῷ ἁγίῳ βασιλεῖ κὺρ Μανουὴλ, ὃν ἰδόντες οἱ ἀπὸ τῆς ἀνατολῆς μετὰ τοῦ Μουσταφοπούλου Τοῦρκοι καὶ θαυμάσαντες καὶ ἀπ' αὐτῆς μόνης τῆς θεωρίας αὐτοῦ μετὰ θαύματος ἔλεγον ὅτι τὸν τῆς πίστεως αὐτῶν ἀρχηγὸν Μαχούμετ ὁμοιάζει· ὡς καὶ ὁ ποτὲ Παϊαζήτης καὶ ἐχθρὸς αὐτοῦ εἴρηκεν, ὅτι τὸν βασιλέα καὶ ὁποῦ οὐδὲν γνωρίζει αὐτὸν καὶ ἀπὸ μόνης τῆς αὐτοῦ θεωρίας θέλει εἰπεῖν ὅτι « Αὐτὸς τυχένει νὰ ἔνι βασιλεύς » · ὁ δὲ Μουσταφόπουλος πλημμελήσας καὶ πλείους ἡμέρας εἰς τὴν πόλιν ἀπὸ τὸ συμβὰν εἰς τὸν βασιλέα τὸν ἅγιον τέλος ἀπῆλθεν μέχρι καὶ τῆς Σηλυμβρίας καὶ μικρὸν διατρίψας ἐπανέστρεψεν εἰς τὴν πόλιν καὶ περάσας ἀπῆλθεν εἰς τὴν Προῦσαν· τὸ δὲ ἔαρ πάλιν τοῦ αὐτοῦ ἔτους ἐπέρασε καὶ ὁ ἀδελφὸς αὐτοῦ κατ' αὐτοῦ εἰς τὴν ἀνατολὴν καὶ ἐσκότωσεν αὐτὸν προδοσίᾳ τῶν ἰδίων αὐτοῦ· [118] καὶ τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους ἐχάλασε καὶ ὁ Τουραχάνης τὸ Ἐξαμίλιον εἰς τὸν Μορέαν καὶ πολλοὺς τῶν Ἀλβανιτῶν ἐσκότωσεν· καὶ τὸ θέρος τοῦ αὐτοῦ ἔτους ἔφυγεν ὁ αὐθεντόπουλος κὺρ Δημήτριος μετὰ Ἱλαρίωνος Ντώρια καὶ Γιούργη Ἰσαούλ καὶ γαμβροῦ αὐτοῦ τοῦ Ντώρια, καὶ ἀπῆλθον εἰς τὸν Γαλατᾶν ἵνα ὑπάγωσιν εἰς τοὺς Τούρκους, εἰ καὶ οὐκ ἀπῆλθον, ἀλλ' εἰς τὴν Οὐγγαρίαν.

υκδ'.

Καὶ τῇ ιε' τοῦ Νοεμβρίου τοῦ λβ' ἔτους διέβη ὁ βασιλεὺς κὺρ Ἰωάννης εἰς τὴν Ἰταλίαν καὶ Οὐγγαρίαν, ποιήσας δεσπότην τὸν ἀδελφὸν αὐτοῦ τὸν αὐθεντόπουλον κὺρ Κωνσταντῖνον, καὶ καταλείψας αὐτὸν εἰς τὴν πόλιν ἀντ' αὐτοῦ· τῇ δὲ κβ' τοῦ Φευρουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐποιήσαμεν ὁρκωμοτικὰ ἀγάπην μετὰ τοῦ Ἀμηρᾶ τοῦ Μουράτη, ἀποκρισιαρίων ἀπελθόντων Λουκᾶ τοῦ Νοταρᾶ τοῦ γεγονότος ὕστερον καὶ μεγάλου δουκὸς, τοῦ Μελαχρηνοῦ Μανουὴλ καὶ ἐμοῦ δι' αἰτίας ταύτας· ὅτι ὁ μὲν Μελαχρηνὸς προαπῆλθεν εἰς τὸν Ἀμηρᾶν, καὶ ἐγνώρισεν ὅτι θέλει γενέσθαι τὴν ἀγάπην· ὁ δὲ Νοταρᾶς ἵνα τελέσῃ αὐτὸς καλῶς κατὰ τὸ δυνατὸν ὡς χρήσιμος καὶ καλός· ἐγὼ δὲ ὡς ἀπὸ τὴν ἁγίαν δέσποιναν συγγενίδα αὐτοῦ δὴ τοῦ Ἀμηρᾶ ἀπὸ τὴν μητέραν του, καὶ ὅτι, ἂν δεήσῃ, νὰ γράψω καὶ δι' ὑφιλτῶν εἰς τε τὸν ἅγιον βασιλέα καὶ εἰς τὸν υἱὸν αὐτοῦ τὸν βασιλέα εἰς τὴν Οὐγγαρίαν εὑρισκόμενον.

υκε'.

[119] Καὶ εἰς τὸ τέλος τοῦ Ὀκτωβρίου μηνὸς τοῦ λγ' ἔτους ἐπανῆλθεν καὶ εἰς τὴν πόλιν ἀπὸ τοῦ μέρους τοῦ εἰς τὸν Δανούβιον ποταμὸν Κελλίου ὀνομαζομένου ὁ βασιλεὺς κὺρ Ἰωάννης, ἀπελθόντων κα-

Digitized by Google

τεργων ἀπὸ τῆς πόλεως ἐκεῖσε. Προέπεμψε γὰρ ἀπὸ A
τὴν Οὐγγαρίαν ἄνθρωπον ἀλλόγλωσσον καὶ ἀλλογενῆ,
τοῦ ἐλθεῖν διὰ τῆς στερεᾶς μετὰ πιττακίου ὑφιλτοῦ,
οὗπερ ἐλθόντος ἐζήτει νὰ ἴδῃ τὸν βασιλέα ὅτι ἔχει
τι τῶν ἀναγκαίων. Τοῦτο πῶς ἤθελε γενῆν, ἄνθρω-
πος τοιοῦτος νὰ ἴδῃ βασιλέα ἀσθενῆ; Κατάκοιτος
γὰρ ἦν· καὶ μόνος πρὸς μόνον. Πολλῶν οὖν λόγων
δαπανηθέντων, τέλος ἐστάλησαν πρὸς τὸν ἄνθρωπον
δύο τῶν Κελλιωτῶν καὶ συντρόφων μου, καὶ εἶπον
τῷ ἀνθρώπῳ· Ἢ τῷ παρόντι εἰπὲ τὸ θέλον (δείξαν-
τες ἐμὲ), ἢ ἄπελθε ἔνθα θέλεις. Τότε παραλαβὼν με
ἰδίως; δίδωκέ μοι χαρτίν τι ὑφιλτὸν, καὶ ἐδήλωσέ
μοι καὶ ὅθεν καὶ ὁπότε ἐξῆλθεν. Ὡς δὲ διώρθωσα
τὸ ὑφιλτὸν καὶ ἀπῆλθον ἀναγνῶναι τοῦτο, ἀνέφερον
ὅτι ζητῶ εὐεργεσίαν· [120] ἐπεὶ χαρίεντα μέλλει
ἀναφέρειν ἐκεῖσε τῆς ἁγίας; δεσποίνης καθεζομένης B
καὶ τῆς νύμφης αὐτῆς τοῦ δεσπότου λιπόντες εἰς
τὸ κυνήγιον· καὶ ἀναγνοὺς τὸν χάρτην ὅτι καὶ
ὑγιαίνει καὶ ἀπέρχεται καλῶς καὶ εἰς τὰ περὶ τὴν
μεγάλην Βλαχίαν, καὶ νὰ ἀπέλθωσιν εἰς τὸ Κελλὶν
ὀνομαζόμενον λιμιῶνα κάτεργα ἵνα ἐπάρωσι καὶ
φέρωσιν αὐτὸν, ἐχάρησαν μεγάλως καὶ μετὰ μικρὸν
ὁρίζει ὁ ἅγιος βασιλεὺς πρὸς τὸν ῥουχάριν αὐτοῦ,
Δὸς πρὸς τὸν Φραντζῆ τὸ καβάδι, τὸν μολιβδὸν χα-
μουχᾶν, τὸν μετὰ βαρεγκοιλίας ἐνδεδυμένον, καὶ
ἀμέλει καὶ τὸ σεντούκιν ὅπερ μοι ἐζήτησεν· ἦν γὰρ
εἰς τὰς χεῖράς μου σεντούκιν κάλλιστον καὶ μέγα,
ἔχον πολλὰ καὶ καλὰ εἴδη· ἅπερ διεδόθησαν τὰ μὲν
τοῖς υἱοῖς αὐτοῦ, τὰ δὲ ὑπὲρ τῆς ἁγίας ψυχῆς αὐ-
τοῦ. Καὶ τέλος ἐζήτησα ἐγὼ τὸ σεντούκιν, καὶ ὥρισέ C
μοι ὅτι αὐτὸ ἦτον τοῦ αὐθεντός μου τοῦ βασιλέως
τοῦ πατρός μου, καὶ εἶχα ἐν αὐτῷ μετὰ τῆς ψυχῆς
ἐκείνου πολλὰ καὶ καλὰ καὶ πολλῷ πλείω τῶν ὧν
εἶδες· καὶ θέλω πάλιν νὰ τὸ δώσω καὶ ἐγὼ πρὸς τὸν
βασιλέα τὸν υἱόν μου ἵνα ἐν αὐτῷ ἔχῃ καὶ ἐκεῖνος
μετὰ τῆς εὐχῆς μου τὰ ἑαυτοῦ· τότε δὲ πάλιν ὥρι-
σεν ἵνα τὸ ἔχω· καὶ εἶλον αὐτὸ μετὰ τῆς ἁγίας εὐ-
χῆς ἐκείνου γεμάτον ἀπὸ πάντων τῶν χρησίμων καὶ
τιμίων τοῦ βίου τούτου τοῦ ματαίου· ἡ δὲ ἁγία δέ-
σποινα ὁρίζει καὶ φέρουσί με χαμουχᾶν καλὸν πράσι-
νον. Ἡ δὲ νέα δέσποινα μηνύει με ὅτι Τὸ δεῖνά
μου ῥοῦχον, ὅταν μέλλῃς λαβεῖν γυναῖκα, [121] θέ-
λει ἦσθεν ἐκείνης. Τῇ δὲ κα' τοῦ Ἰουλίου μηνὸς
τοῦ αὐτοῦ ἔτους τέθνηκεν ὁ ἐν μακαρίᾳ τῇ λήξει
γενόμενος; ἀοίδιμος καὶ εὐσεβὴς βασιλεὺς κὺρ Μα- D
νουὴλ, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετο-
νομασθεὶς πρὸ ἡμερῶν β' Ματθαῖος μοναχὸς, καὶ
ἐτάφη τῇ αὐτῇ ἡμέρᾳ ἐν τῇ σεβασμίᾳ βασιλικῇ καὶ
περικαλλεῖ μονῇ τοῦ Παντοκράτορος μετὰ πένθους
καὶ συνδρομῆς οἵας οὐ γέγονε πώποτε εἰς τινα τῶν
ἄλλων· ἦσαν δὲ πᾶσαι αἱ τῆς ζωῆς αὐτοῦ ἡμέραι ἔτη
οζ' καὶ ἡμέραι κε'.

[122] Καὶ τῷ (λδ') ἔτει μηνὶ Αὐγούστῳ διέβη φυ-
γοῦσα εἰς τὴν αὐτῆς πατρίδα ἡ δέσποινα κυρία Σο-
φία.

[123] Καὶ τῷ (λε') ἔτει τοῦ Αὐγούστου κθ' ἔφερον
μετὰ κατέργων ἀπὸ τὴν Τραπεζοῦνταν κυρίαν Μα-
ρίαν τὴν Κομνηνὴν, θυγατέραν κὺρ Ἀλ ξίου βασιλέως
Τραπεζοῦντος τοῦ Κομνηνοῦ.

Καὶ τῷ (λς') ἔτει μηνὶ Σεπτεβρίῳ εὐλογήθη αὐτὴν
ὁ βασιλεὺς κὺρ Ἰωάννης· καὶ τῷ αὐτῷ ἔτει μηνὶ
Νοεμβρίῳ ἐξῆλθεν αὐτὸς δὴ ὁ βασιλεὺς ἀπὸ τῆς
πόλεως καὶ ἀπῆλθεν εἰς τὸν Μορέαν τῇ κς' Δεκεμ-
βρίου μετὰ καὶ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ δεσπότου
κὺρ Κωνσταντίνου διὰ τὸ βούλεσθαι γενέσθαι τὸν
ἀδελφὸν αὐτῶν τὸν δεσπότην κὺρ Θεόδωρον καλόγε-
ρον, καὶ ὁ κὺρ Κωνσταντῖνος ἐναπομείνῃ αὐθέντης
τοῦ Μορέου, εἰ καὶ μετεμελήθη καὶ οὐκ ἐγένετο·
μεθ' ὧν [γὰρ] ἐγὼ ἀρχῇ εἰς τὸν Μορέαν ἦλθον, εἰς
τὴν τοῦ βασιλέως μου δουλοσύνην ὑπάρχων, εἰς δὲ
τὴν τοῦ δεσπότου κὺρ Κωνσταντίνου ἀποβλέπων ἐξ
αἰτίας τοιαύτης· τοῦ γὰρ ἀοιδίμου καὶ μακαρίτου
πατρὸς αὐτῶν ἐγγίζοντος πρὸς τὸ ἀποθανεῖν ὥρισέ
μοι καὶ ἔγραφα ἰδίως, οὐχὶ διαθήκην αὐτοῦ· οὐ γὰρ
διατίθενται οἱ βασιλεῖς, ἀλλὰ προστάττουσιν· ὅτι νὰ
ἔχῃ εἷς ἕκαστος τὸ καὶ τὸ, ὁ δὲ τόδε ἀπὸ τῶν ἰδίων
αὐτοῦ ἀξιολόγων εἰδῶν· καὶ τὸ λοιπὸν τοῦ βίου αὐ-
τοῦ ἵνα μερισθῇ εἰς τέσσαρα μερδικὰ, εἰς παραστά-
σιμα καὶ λειτουργίας ὑπὲρ αὐτοῦ κατεπέκεινα τῶν
συνήθων, ὧν πολυτελῶς καὶ καλῶς ἐτελέσθησαν παρὰ
τῶν αὐτοῦ καὶ τῶν εἰσοδημάτων τῆς βασιλείας, εἰς
πτωχοὺς, εἰς τοὺς ἰατροὺς καὶ εἰς τοὺς αὐτοῦ κελ-
λιώτας· ἐπίτροποι δὲ νὰ ὦσιν ὁ πνευματικὸς αὐτοῦ
ὁ εἷς τῶν Ξανθοπούλων Μακάριος ὁ ἐξ Ἰουδαίων,
ὁ διδάσκαλος Ἰωσὴφ ὁ εἷς τοῦ Χαρσιανίτου, καὶ ἐγὼ·
καὶ ἀναγνωσθείσης ταύτης δὴ τῆς προστάξεως παρ'
ἐμοῦ ἔμπροσθεν αὐτοῦ καὶ τῆς ἁγίας δεσποίνης καὶ
τοῦ βασιλέως καὶ υἱοῦ αὐτῶν καὶ μόνον τέλος ὥρισε
πρὸς τὸν υἱὸν αὐτοῦ· Γιέ μου, ἤκουσας τὸ σᾶς προ-
στάττω διὰ τοὺς ἰδίους μου ὁποῦ λατρεύουσιν· ἔγρα-
φον γάρ· οἱ δὲ κελλιῶταί μου, οἵτινες ἐδούλευσάν
μοι καλῶς καὶ εὐνοϊκῶς διάκεινται καὶ δουλικῶς
ὡς ἕνι εἰκὸς εἰς ἐμὲ, ἂς ἔχωσι παρὰ πάντων ὑμῶν
τῶν υἱῶν μου ἀγάπην τε καὶ ἀνεκδοχὴν καὶ προμή-
θειαν κατὰ τὸ ἀναλογοῦν ἑνὶ ἑκάστῳ αὐτῶν. Ἰδίως
δὲ πάλιν λέγω σοι διὰ τοῦτον δὴ τὸν Φραντζῆν ὅτι
ἐδούλευσέ μοι καλῶς καὶ ἐθεράπευσέ μοι εἰς τὰ τῆς
ψυχῆς μου καὶ τοῦ σώματος, καὶ νῦν εἰς τὰ τῆς
ἀσθενείας μου πλέον τῶν ἄλλων μοι θεραπεύει, καὶ
θαῤῥῶ ὅτι καὶ τὰ ὑπὲρ τῆς ψυχῆς μου μετὰ θάνατον
καλῶς τὰ θέλει ἐξοικονομήσειν· ἡ νεότης οὖν αὐτοῦ
καὶ τὸ γῆρας τὸ ἐμὸν οὐδὲν ἀφῆκαν ἵνα γένηται
πρὸς αὐτὸν ἀντάξιον τῆς ἀγάπης καὶ δουλοσύν-
τοῦ. Ἀφίημι δὲ αὐτὸν εἰς σὲ, καὶ νὰ ἔχῃ τὴν εὐ-
χήν μου, τὸ ἐτύχενεν ἵνα γένηται παρ' ἐμοῦ πρὸς
αὐτὸν, καὶ οὐδὲν ἐγένετο δι' ἃς αἰτίας εἶπον, ἃς γέ-
νηται παρὰ σοῦ· ἐπειδὴ μετὰ τοῦ δεσπότου κυροῦ
Κωνσταντίνου εἶχον ἀγάπην καὶ πληροφορίαν ἣν ὁ
Θεὸς ἀπεδέξετον, ὅτι ὁ τοῦ πατρός μου ἀδελφὸς ἦν
αὐτοῦ τατᾶς, [126] καὶ οἱ υἱοὶ αὐτοῦ συνανάτροφοι
καὶ φίλοι καὶ δοῦλοι αὐτοῦ καὶ ἐγὼ μετ' αὐτῶν·
εἶτα ἔφερεν ὁ καιρὸς καὶ οἰκείωσιν ἐμοῦ εἰς τὸν
μακαρίτην καὶ ἀοίδιμον πατέραν αὐτοῦ· καὶ τὰ
ἔχρηζεν ἀπ' ἐκεῖνον πολλὰ καὶ ἀναγκαῖα, εὕρισκεν
αὐτὰ δι' ἐμοῦ· ἠγάπα καὶ τὸν ἐμὲ εἶχε καὶ ἰδίως
εἰς τὴν δουλοσύνην του. Καὶ συνηθείας καὶ τάξεως
οὔσης εἰς τὰ τῶν βασιλέων ὁσπήτια ὅτι τοῦ πατρὸς
οἱ κελλιῶται νὰ χωρῶσι καὶ εἰς τὰ κελλία τῶν υἱῶν

Digitized by Google

αὐτοῦ, οὐχὶ δὲ τῶν υἱῶν εἰς τὸ τοῦ πατρός· τοῦτο δὲ ἕως ἂν ἐν τοῖς ζῶσιν ὁ πατὴρ εὑρίσκηται, οὐχὶ δὲ καὶ μετὰ θάνατον· ὡς ἀπέθανεν ὁ μακαρίτης καὶ ἀοίδιμος πατὴρ αὐτοῦ μετὰ τὸ ἐκείνου πρῶτον μνημόσυνον ἐπιστρέψαντες πάντες ἡμεῖς οἱ ἐκείνου κελλιῶται εἰς τὸ παλάτιν· ἔθος γὰρ ἔνι καὶ τοῦτο ὅτι οἱ κελλιῶται αὐτοῦ δὴ τοῦ βασιλέως νὰ καταμένωσι περὶ τὸν τάφον αὐτοῦ μέχρι καὶ τοῦ πρώτου μνημοσύνου· ἀπῆλθον καὶ εἰς τὸ ὀσπήτιον ὅπερ κατέμενεν ὁ ῥηθεὶς δεσπότης κὺρ Κωνσταντῖνος· καὶ ἐκάθισα ἔξω ὡς οἱ πολλοί. Μαθὼν δὲ τοῦτο ἔστειλε τὸν θεῖόν μου καὶ ὥρισέ μοι, ὅτι Οὐ μὲν ἐτήρησας τὴν τάξιν καὶ οὐδὲν ἦλθες εἰς τὸ κελλίον μου ἐξ ὀρθοῦ, ὡς ἐποίεις ζῶντος τοῦ αὐθεντός μου βασιλέως τοῦ πατρός μου· ἀμὴ πάλιν ἡμεῖς διὰ τὸ χρέος τῆς εἰς ἐκεῖνον ἀγάπης σου καὶ δουλοσύνης καὶ τῆς εἰς ἡμᾶς εὐεργετοῦμέν σοι, καὶ οὕτως ὡς ἂν ᾖ εἰς τὴν δουλοσύνην τοῦ βασιλέως τοῦ ἀδελφοῦ μου νὰ ἔρχεται [127] ἐξ ὀρθοῦ εἰς τὸ κελλίν μου, ὡς καὶ πρότερον. Ἀπὸ τούτων οὖν τῶν αἰτιῶν ὡς ὡρίσθη παρὰ τοῦ βασιλέως καὶ ἀδελφοῦ αὐτοῦ ὅτι νὰ ἀκολουθήσῃ αὐτῷ ἀπερχομένῳ εἰς τὸν Μορέαν δι' ἣν αἰτίαν προεδηλώσαμεν, ὥρισέ μοι ἰδίως τὸ δὴ μέλλει γενέσθαι· καὶ ἀγαπῶ νὰ ἠμπορῇ νά σε εἶχον μετ' ἐμοῦ· καὶ ἀνέφερον αὐτῷ καὶ ἐγὼ τοῦτο πολλῷ πλέον, σωζομένου μόνον ὅτι νὰ ἔνι μετὰ ἀποδοχῆς καὶ ὁρισμοῦ τοῦ αὐθεντὸς τοῦ βασιλέως τοῦ ἀδελφοῦ σου· ἐζήτησεν οὖν τοῦτο τὸν ἀδελφὸν αὐτοῦ δι' ἑαυτοῦ μετὰ λόγων παρακλητικῶν καὶ αἰτίων ἀναγκαίων ὁποῦ τὸν ἠνάγκαζον ἵνα ἔχῃ τὸ ἐμὸν χρεία. Ἐκεῖνος δὲ ἀπελογήσατο, ὡς ζητοῦντα ἀδύνατόν τι οὐ δι' ἄλλο τι ἀλλ' ἢ διὰ τὸν ὁρισμὸν τοῦ πατρὸς αὐτῶν, καὶ τὴν πρὸς ἐκεῖνον ἐμὴν διὰ στόματος παράδοσιν. Ὁ δὲ πάλιν ἐζήτησε τοῦτο διὰ τῆς ἁγίας δεσποίνης καὶ μητρὸς αὐτῶν, καὶ ἔτι μετὰ τῶν μεσαζόντων αὐτοῦ· καὶ μόλις ποτὲ ὥρισε τοῦτο, ὅτι Ἂς ἔλθῃ μεθ' ἡμῶν ὁ Φραντζῆς· καὶ εἰ μὲν ἀπομείνῃ ὁ ἀδελφός μου ἐκεῖ, νὰ τὸν ἀφήσω νὰ ἔχῃ αὐτόν· ἐπεὶ καὶ ἡ κυρά μου ἡ δέσποινα ὥρισέ μοι περὶ τούτου καὶ συγχωρεῖ τό· εἰ δὲ ἐπαναστρέψῃ ἐδὼ ὁ ἀδελφός μου μετ' ἐμοῦ, οὐδὲν τυχαίνει εἰ μὴ νὰ ἔνι εἰς ἐμὲ καθὼς ὥρισεν ὁ αὐθέντης μου ὁ βασιλεὺς ὁ πατήρ μου νὰ ἔχωμεν δίκαιον νὰ ποιήσωμεν εἰς αὐτόν. Ἐρχόμενοι δὲ εἰς τὸν Μορέαν τοῦ μὲν ὑπῆρχον τελείως ὑποχείριος ὡς προεῖπον, πρὸς δὲ τὸν ἀγάπῃ καὶ ἐλπίδι προσαπέβλεπον· ἀποσωθέντες οὖν εἰς τὸν Μορέαν καὶ κατ' ἐξοχὴν τοῦ τόπου παντὸς οὗ ἐντὸς τοῦ Μορέως ἐκράτει δεσπότης ὁ Κάρουλλος, ἀπελθόντες πάντες οἱ αὐθέντες καὶ ἀδελφοί, τέλος ἐπεὶ [128] οὔτε οὗτοι ἦσαν τεθαρρηκότες ὅτι θέλουν δουλώσειν εἰς ἑαυτοὺς ὅλον τὸν τόπον ὃν ἦρχεν ὁ Κάρουλλος, οὔτε πάλιν ἐκεῖνος ὅτι νὰ δυνηθῇ νὰ φυλάξῃ τὸν ἐπίλοιπον τόπον ὁποῦ ἀπέμεινεν αὐτῷ· ἀπῆραν γὰρ οἱ αὐθέντες ἡμῶν τινὰ τῶν αὐτοῦ· ἐφάνη καλὸν ἵνα ὁ δεσπότης κὺρ Κωνσταντῖνος ἐπάρῃ τὴν ἀνεψιὰν αὐτοῦ δὴ τοῦ Καρούλλου δεσπότου εἰς νόμιμον γυναῖκα καὶ τὰ κάστρα, ὅσα δὴ καὶ εἶχεν εἰς τὸν Μορέαν, λάβῃ εἰς προῖκαν αὐτῆς· οὗ δὴ γενομένου τελείου τῇ πρώτῃ Μαΐου τοῦ αὐτοῦ ἔτους, σταλεὶς ἐγὼ παρέλαβον τὴν Γλαρέν-

A τζαν, καὶ ἄλλοι τὰ ἄλλα· καὶ ἐπαναστρέψαντες εἰς τὸν Μυζηθρᾶν ἐνεργεῖτο τὸ τῆς καλογερικῆς τοῦ δεσπότου κυρίου Θεοδώρου. [129] Διὰ δὲ τὸ νὰ ἐπάρουν, ἂν ἐμπορέσουν, τὴν Πάτραν, ἀναγκαῖον καὶ χρήσιμον τόπον, καὶ διὰ τὸ νὰ μηδὲν εὑρίσκονται εἰς τὸν Μυζηθρᾶν οἱ ἀδελφοὶ τοῦ ἀδελφοῦ αὐτῶν βουλομένου γενέσθαι καλογέρου, ἐξελθόντες τῇ πρώτῃ Ἰουλίου τοῦ αὐτοῦ ἔτους, ἦλθον κατὰ τῆς Πάτρας οἱ τρεῖς τῶν ἀδελφῶν· καὶ περὶ τοὺς μύλους αὐτῆς σκηνώσαντες ἐκεῖσε καὶ τὴν ἀνεψιὰν τοῦ δεσπότου Καρόλλου ἔφερον κυρίαν Θεοδώραν· καὶ ἐκεῖσε αὐτὸς καὶ ὁ δεσπότης κὺρ Κωνσταντῖνος τὴν εὐλογήθη. Εἰς δὲ τὴν Πάτραν οὐδὲν ἐκατορθώθη τι πρὸς ἄλωσιν· ἀλλ' ἦν μᾶλλον καὶ αἴτιον ὅτι καὶ ὅπερ ὁ ἀδελφὸς αὐτῶν κὺρ Θεόδωρος ὁ δεσπότης εἰς τὸν Μυζηθρᾶν ἔστησεν

B ἵνα ποιήσῃ, ἀθετήσῃ, ὅπερ αἴτιον πολλῶν κακῶν· ὡς οὖν τὰ τῆς Πάτρας τι συμπέρασμα χρηστὸν οὐδὲν ἐκατορθοῦτο, ἀλλ' ἢ μόνον τρία καστελόπουλα ὁποῦ ἀπῆραν ποιήσαντες εἰρήνην μετὰ τῶν ἐν τῷ κάστρῳ· καὶ ὅτι νὰ δίδουν καὶ κατ' ἔτος πρὸς τὸν δεσπότην κὺρ Κωνσταντῖνον φλωρία φ', ἐγερθέντες ἀπῆλθον, ὁ μὲν βασιλεὺς δι' ἄλλης ὁδοῦ εἰς τὸν Μυζηθρᾶν, [130] ὁ δὲ δεσπότης κὺρ Κωνσταντῖνος δι' ἄλλης εἰς τὸ Χλουμούτζιν μετὰ καὶ τῆς γυναικὸς αὐτοῦ καὶ βασιλίσσης. Μετὰ δέ τινα καιρὸν ὀλίγον, ἐπεὶ ὁ βασιλεὺς ἤθελεν ἵνα ἀπέλθῃ ὄπισθεν εἰς τὸ ὀσπήτιον αὐτοῦ, μηνυθεὶς καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπῆλθεν εἰς τὸν Μυζηθρᾶν ἀπὸ τὸ Χλουμούτζιν· κἀκεῖσε διαβιβάσαντες ἀμφότεροι οἱ δύο ἀδελφοὶ

C ἡμέρας ὀλίγας, τῷ Ὀκτωβρίῳ μηνὶ τοῦ (λ') ἔτους ἐκαβαλίκευσαν ὁμοῦ καὶ ἀπῆλθον μέχρι καὶ τῆς Κορίνθου· καὶ ὁ μὲν βασιλεὺς ἐμβὰς εἰς τὰ κάτεργα ἀπέπλευσεν εἰς τὴν Κωνσταντινούπολιν· ὁ δὲ δεσπότης κὺρ Θεόδωρος ἀπῆλθεν ὄπισθεν τὴν αὐτὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν Μυζηθρᾶν· καὶ ὁ κὺρ Θωμᾶς ὁ αὐθεντόπουλος μετ' αὐτοῦ μέχρι τινὸς ἀπῆλθεν εἰς τὰ Καλάβρυτα· ἡμεῖς δὲ μετὰ τοῦ αὐθεντὸς ἡμῶν κυρίου Κωνσταντίνου τοῦ δεσπότου διὰ τῆς ἄλλης ὁδοῦ ἤλθομεν εἰς τὴν Βοστίτζαν· καὶ γὰρ εἰ καὶ καλόγερος οὐκ ἐγένετο ὁ δεσπότης κὺρ Θεόδωρος, ἵνα ἀπομείνῃ ἅπας ὁ τόπος αὐτοῦ εἰς τὸν κὺρ Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ, ἀλλ' οὖν καὶ οὕτως δέδωκε πρὸς αὐτὸν τὴν Βοστίτζαν, καὶ εἰς τὸ ἄλλο μέρος ὅσα δὴ ἦρχεν ὁ Φραγκόπουλος πρωτο-

D στράτωρ. [133] Ἀνδρούσαν λέγω καὶ Καλομμάταν, καὶ Πίδημα καὶ Μάνην καὶ Νησὶν καὶ Σπητάλιν καὶ Γραμπένην, καὶ Ἀετὸν καὶ Λωΐ, καὶ Νεόκαστρον καὶ ἕτερα πολλά· ἃ καὶ σταλεὶς ἐγὼ παρέλαβον ταῦτα παρὰ τοῦ ῥηθέντος πρωτοστράτορος.

[134] Καὶ τῷ αὐτῷ ἔτι ἐν μηνὶ Μαρτίῳ δ' τέθνηκεν ὁ δεσπότης κὺρ Ἀνδρόνικος, ὁ διὰ τοῦ θείου σχήματος μετονομασθεὶς Ἀκάκιος· καὶ ἐτάφη ἐν τῇ τοῦ Παντοκράτορος μονῇ, ἐν ᾗ καὶ κατέμενε· βουλῆς δὲ ἀποκρύφου μόνον εἰς ἐμὲ οὔσης παρὰ τοῦ αὐθεντός μου καὶ δεσπότου, ὅτι νὰ ἀπέλθωμεν κατὰ τῆς Πάτρας, καὶ εἰ μὲν ἐπάρωμεν αὐτήν, ἴδοὺ νὰ εὑρισκώμεθα εἰς τὸν Μορέαν, καὶ ὁ τόπος αὐτοῦ ὁ τῆς Μαύρης δηλονότι θαλάσσης δοθῇ πρὸς τὸν ἀδελφὸν αὐτοῦ τὸν βασιλέα· εἰ δὲ οὐδὲν ἐπάρωμεν τὴν

Digitized by Google

Πάτραν, νὰ ὑπάγωμεν ὄπισθεν εἰς τὴν πόλιν, καὶ A
νὰ ἔχῃ ἐνταῦθα εἰς τὸν Μορέαν τὰ τῆς προικὸς αὐτοῦ
κάστρα, [135] καὶ ἐκεῖσε τὸν τόπον του, τὴν Μαύ-
ρην δηλονότι θάλασσαν· τὰ δὲ δοθέντα παρὰ τοῦ
δεσπότου κάστρα πάλιν νὰ δοθῶσιν, ἔνθα ὁ βασιλεὺς
διακρίνει, παρηκολούθησε καὶ τοῦτο, ὅπερ ἦτον
ἀπὸ μέρους βεβαίωσις τῆς ἀποκρύφου μελέτης.
Ἀπὸ τῆς Βοστίτζης διερχόμενοι διὰ τῆς ὁδοῦ τῆς
Πάτρας, ἵνα εἰς τὴν Γλαρέντζαν καὶ τὸ Χλομούτζιν
ἀπέλθωμεν, ἔνθα καὶ ἡ βασίλισσα, ἐστάλη Ἀνδρό-
νικος Λάσκαρις ὁ Παδιάτης εἰς τοὺς ἐν τῇ Πάτρᾳ
ἄρχοντας διά τινας δουλείας· κἀκεῖσε προσμείναν-
τος συνέτυχον αὐτῷ ἰδίως καὶ ἱερεῖς καὶ λαϊκοὶ
περὶ τοῦ, ἂν θέλει ὁ αὐθέντης αὐτοῦ, ἔχουσι τρόπον
ὅτι νὰ ποιήσουν νὰ ἐπάρῃ τὴν Πάτραν. Ἐλθόντος
δὲ τοῦ Λάσκαρι καὶ εἰπόντος μετὰ τῶν ἄλλων καὶ B
τὰ τῶν Πατρηνῶν ἀπόκρυφα, ἀπεπέμφθη ὡς ἀδύ-
νατα καὶ περισσὰ καὶ ἀκούσαντος καὶ λέγοντος· στα-
λεὶς οὖν εἰς κεφαλὴν εἰς τὴν Ἀνδροῦσαν ὁ αὐτὸς
Λάσκαρις, ἔτι δὲ καὶ οἱ ἄλλοι ἄρχοντες εἰς τὰ ἐκεῖσε
κάστρα Κεφαλάδες, (ἀλλὰ δὴ καὶ ὁ πρῶτος τῶν
ἀρχόντων τοῦ ὁσπητίου αὐτοῦ ὁ Λάσκαρις Ἀλέξιος
εἶχε λάβην εἰς κεφαλατικὸν τὴν Βοστίτζαν καὶ ἐνα-
πέμεινεν ἐκεῖσε) διερχόμενοι, [136] ὡς δεδήλωκα,
τοῦ δεσπότου καὶ αὐθεντός μου μετ' ἐμοῦ καὶ μόνου
ἐνεργοῦντος τὸ περὶ τῆς Πάτρας, εὑρισκόμεθα εἰς
τὴν Γλαρέντζαν· ἐγράψαμεν πολλάκις, πάλιν ἔκριναν
τὰ παρ' ἡμῶν ἀδύνατα, ὡς καὶ ὁ καιρὸς ἔδειξε.
Τέλος ἐστήσαμεν ἵνα ἀπέλθωμεν καὶ νυκτὸς οὔσης
εὑρεθῶμεν εἰς τόπον πλησίον τοῦ τέλους τῶν ἀμπε-
λίων αὐτῶν δὴ τῶν Πατρηνῶν εἰς τρεῖς ἐκκλησίας
ὀνομαζόμενον, ἐπεὶ καὶ ἦσαν παλαιόθεν, ἐκεῖσε δὲ
εὑρεθῶσι καὶ οἱ ἄνθρωποι καὶ δηλώσωσιν εἰς πλά-
τος τὰ διὰ γραφῆς, καὶ, εἰ μὲν δυνατά εἰσι, νὰ
ἐνεργηθῶσιν, εἰ δ' οὖν, νὰ ἀπέλθωμεν, φανερῶς νὰ
ἀποκλείσωμεν τὸ κάστρον καὶ ὡς φέρει τὸ φέρον.
Καὶ ἰδοὺ ἐγράψαμεν ὁρισμοὺς εἰς πάντας τοὺς ἐν τῇ
περιοχῇ τῆς Ἀνδρούσης, ὅτι τῇ ιε' τοῦ Μαρτίου
μηνὸς τοῦ αὐτοῦ ἔτους ἵνα ἔλθωσι μετ' ἁρμάτων
καὶ τῶν πλειόνων ἀνθρώπων τῆς ἀρχῆς ἑνὸς ἑκάστου
αὐτῶν, ἵνα μετὰ τοῦ πρέποντος διέλθῃ τὸν τόπον
τοῦ πριγκίπου καὶ ἀπέλθῃ εἰς τὰ περὶ τὴν Ἀν-
δροῦσαν ὁ νέος αὐθέντης τοῦ τόπου ἐκείνου· ὁμοίως
ἐμηνύθη καὶ Λάσκαρις Ἀλέξιος ἀπὸ τὴν Βοστίτζαν·
ἐλθόντος δὲ ὡς ἐκαβαλικεύσαμεν καὶ οὐδὲν ἐπιάσα-
μεν τὴν περὶ τὸν Ἁλφιὸν ὁδόν, ἀλλὰ τὴν ἀριστερὰν,
ἐθαύμαζον καὶ πρὸς ἀλλήλους ἔλεγον ἐρωτῶντες,
Ποῦ ἀπερχόμεθα; Ἐλθόντες δὲ περὶ τὸν συμφωνη-
θέντα τόπον περὶ ὥραν ἀλεκτοροφωνίας καὶ εὑρόν-
τες καὶ τοὺς ἀνθρώπους, [137] καὶ ἰδόντες αὐτοὺς
καὶ ἀπράκτους καὶ ἄπρακτα λέγοντας ἀπεπέμψα-
μεν· ἐξημερωθέντες δ' ἐκεῖσε βουλευόμενοι τί ἄρα
νὰ πραχθῇ, τὸ φωσσάτον νὰ πηλαλήσῃ νὰ αἰχμαλω-
τήσῃ τοὺς εὑρισκομένους ἔξωθεν ἀνθρώπους καὶ
πᾶσαν τὴν τῶν Ἑβραίων οἰκησιν, ὡς ἐφάνη ἄπρα-
κτον διὰ πολλὰ αἴτια, ἰδοὺ καὶ ἀπὸ τὸ κάστρον
ἰδόντες, ἡμᾶς καὶ ἀπορήσαντες τί ἄρα καὶ ἔνι, (οὐδὲ
γὰρ προενόησαν τὸ τυχὸν) ἀπέστειλαν ἕνα τῶν ἀρ-
χόντων, καὶ ἕνα κανονικὸν Μάρκον ὀνομαζόμενον
μετὰ καὶ δραγουμάνου καὶ ἀνθρώπων, ἵνα μάθωσι
τί; ἔνι καὶ διὰ τί; Ὡς δὲ εἶδον τίς ἔνι καὶ ἤκουσαν
ὅτι Ἤλθομεν ἢ νὰ μᾶς δώσητε τὸ κάστρον, ἢ νὰ τὸ
ἐπάρωμεν μεθ' οἱουδήποτε τρόπου ἐμπορέσωμεν, ἐπιστρέ-
ψαντες καὶ μετὰ σπουδῆς καὶ κρούσαντες λάρμα
συνήχθησαν βίᾳ πάντες οἱ ἐκτὸς ἐντός. Ἡμεῖς δ' ἐκ
τὴν αὔριον, ἦ τῶν Βαΐων καὶ ἡ ἑορτὴ τυχοῦσα, τεμόν-
τες πάντες βάΐα μυρσίνης, τοῦ τόπου πλῆθος ἔχον-
τος, καὶ φέροντες ἀνὰ χεῖρας, ἐλθόντες ἐπέσαμεν
περὶ τὰς πόρτας τοῦ κάστρου· [138] ὡς δ' ἐκείμεθα
τῇ κς' τοῦ αὐτοῦ μηνὸς Μαρτίου μετὰ τὴν τοῦ
μεγάλου Σαββάτου ἀκολουθίαν, ὡς ἐφάγομεν, ἐκα-
θήμεθα εἰς τὴν τοῦ αὐθεντὸς ἡμῶν τένδαν, ὁμιλοῦν-
τες περισσά. Ἄφνω δὲ ἐξεκρότησαν ἀπὸ τῆς πόρ-
τας τῆς Ἑβραϊκῆς ἢ τοῦ Ζευγαλατίου (καὶ οὕτως
γὰρ ὠνομάζετο) καβαλλάριοι ὀλίγοι, καὶ διωχθέν-
τες ὡς ἐφάνησαν, ἀπῆλθον καὶ ἐσέδησαν εἰς τὴν
τοῦ αἰγιαλοῦ πόρταν, ἐκεῖσε κατασκευαστικῶς πάν-
τες οἱ τοῦ κάστρου ὑπάρχοντες μετὰ τζαγγρῶν καὶ
τοξαρίων καὶ σκλόπων. Τοῦ δὲ δεσπότου κάμοῦ
(προβιβιζόντων πρὸ τοῦ διωγμοῦ διὰ τὸ) εὑρεθῆναι
κατὰ τύχην τὰ ἅλογα ἡμῶν ἕτοιμα πλησίον τοῦ
γεφυρίου τῆς ὁδοῦ τῆς ἀπερχομένης εἰς τὸν ἅγιον
Ἀνδρέαν, τις τῶν Πατρηνῶν ἐτόξευσεν οὕτως τὸ
τοῦ δεσπότου ἅλογον, ὅτι εὐθὺς ἔπεσε· καὶ ὁρμή-
σαντες ἵνα ἢ σκοτώσωσιν ἢ πιάσωσιν αὐτὸν, εὑρέ-
θην ἐγὼ ὑπέρμαχος, καὶ ἐκεῖνος μὲν Θεοῦ βοηθείᾳ
ἀποπλακεὶς ἀπὸ τὸ ἅλογον ἔφυγε πεζὸς, ἐγὼ δὲ
καὶ δέδωκα, καὶ ἵνα καὶ ἐπίασα υἱὸν Σταματέλλη,
ἀλλὰ καὶ δεδώκασί με καὶ ἐμὲ, καὶ τὸ ἅλογόν μου C
τοσοῦτα ὅτι ὅτι ἀδυνατῆσαν ἔπεσε καὶ ἐπλάκωσέ με,
ἅλογον ἄριστον, ὅπερ ὁ ἀμηρᾶς δέδωκε τῷ Ἀσάνῃ
Ἰσαακίῳ, ὅτεν ἐσυνήντησεν ἐκείνῳ· ὁ δ' Ἀσάνης
τῷ γαμβρῷ αὐτοῦ τῷ Φιλανθρωπίνῳ Γεωργίῳ, [139]
κἀκεῖνος τῷ ἀνεψιῷ αὐτοῦ τῷ Κομνηνῷ, τῷ τοῦ
πρωτοστράτορος Καντακουζηνοῦ γαμβρῷ, καὶ φεύ-
γοντος μετ' αὐτοῦ ἵνα εἰς τὸν Γαλατᾶν ἀπέλθῃ,
φθάσας ὁ ἀδελφός μου ἐπίασεν αὐτὸν, καὶ εὐεργε-
τήθη ὁ ἀδελφός μου τὸ ἅλογον αὐτοῦ παρὰ τοῦ βα-
σιλέως· ἐγὼ δὲ πάλιν ἀπῆρα τοῦτο παρ' ἐκείνου,
ἐρχόμενος εἰς τὸν Μορέαν. Πιάσαντές με οὖν μετὰ
πολλῶν λαβωμάτων, ἀπαγαγόντες με, ἔβαλόν με εἰς
τὸν Κουλᾶν εἰς ὁσπήτιον σκοτεινὸν, ἔχον μύριγκας
καὶ σιταροψήρας καὶ ποντικούς, διὰ τὸ εἶναι ἐν
αὐτῷ πρὸ τοῦ σιτάριον, ἔβαλόν με καὶ σιδηρᾶ μο- D
νοκάνονα καὶ εἰς τὸν ἀριστερὸν πόδα ἅλυσιν στε-
ρεὰν εἰς τζόκον μέγαν καρφωμένην· καὶ ἐκοιτόμην
ἐν τῇ τοιαύτῃ φυλακῇ πικρῶς διαβιβάζων ἀπό τε
τῶν λαβωμάτων καὶ τῶν σιδηρῶν καὶ τοῦ ξηροῦ
κοιτασμοῦ καὶ τῶν ἄλλων ὁποῦ εἶχεν, ὡς ἐδηλώσα-
μεν, τὸ ὁσπήτιον κακῶν.

Ἐνταῦθα δ' ἔστι προσῆκον διηγήσασθαι καὶ περὶ
τῆς ὁσιωτάτης Θωμαΐδος. Αὕτη γένους χρησίμου
ὑπάρχουσα ἐν τῇ ἀνατολῇ, ἀπορφανισθεῖσα, φέ-
ροντες εἰς τὴν Κωνσταντινούπολιν οἱ συγγενεῖς
αὐτῆς, δεδώκασι τῇ ἀδελφῇ τῶν τριῶν ἀρχιερέων
καὶ ἀδελφῶν, τῶν καὶ βασιλέων, καὶ μητρὶ τοῦ
σοφωτάτου Καβασίλα Νικολάου· ἡ δὲ ταύτην ἔχουσα
καὶ παιδεύουσα μετὰ καιρόν τινα ἀπῆλθεν εἰς τὴν

Digitized by Google

Θεσσαλονίκην, Νικολάου τοῦ Καβασίλα καὶ ἀδελφοῦ αὐτῆς ἀρχιερέως ἐκεῖσε ὄντος, [140] καὶ εἰς τὴν μονὴν τῆς ἁγίας Θεοδώρας ὥρκησαν μετὰ Παλαιολογίνας γυναικὸς ἐναρέτου καὶ λογίου, περὶ ἧς πολλοὺς καὶ πολλάκις ἤκουσα παρὰ τοῦ ἀοιδίμου βασιλέως κυροῦ Μανουὴλ ἐπαίνους, καὶ πολλοὺς κανόνας εἰς τε τὸν ἅγιον Δημήτριον καὶ τὴν ἁγίαν Θεοδώραν καὶ ἄλλους ἁγίους ἀνέγνωσα ἐκείνης ποιήματα, ἔχουσαι σὺν αὐταῖς καὶ τὴν ὁσίαν Θωμαΐδαν, καὶ παιδεύουσαι εἰς τε ἀρετὴν καὶ λόγον. Ὡς δὲ ἦλθε τὸ τέλος αὐτῶν κατέλιπον αὐτὴν πάντα τὰ αὐτῶν, ἀλλὰ δὴ καὶ τὴν τοῦ Κυπριανοῦ γυνήν, ἥτις ἀγαναχτήσασα τὸ σκληρὸν τοῦ ἀνδρὸς αὐτῆς ἀπελθοῦσα εἰς τὰς ῥηθείσας μοναχὰς καλογραία γέγονεν· ἐπεὶ δὲ περὶ τὸ τέλος αὐτῶν ἐγένετο, πάλιν εἰς τὴν κληρονόμον ἐκείνων καὶ τοῦ βίου, ὅπως δή ποτε καὶ τῆς ἀρετῆς, ὑπετάγη· καὶ καλῶς διήνυσε τὸν τῆς ὑποταγῆς δρόμον μέχρι θανάτου. Κυπριανοῦ δὲ γυνὴν λέγω τοῦ ἐλθόντος εἰς τὴν Κωνσταντινούπολιν καὶ τὴν μονὴν κτίσαντος τὴν εἰς ὄνομα τῶν ἁγίων Θεοδώρων, ἐπονομαζομένην δὲ τοῦ Κυπριανοῦ. Τῶν δὲ ἀσεβῶν τὴν Θεσσαλονίκην παραλαβόντων, ἐξελθοῦσα ἡ ὁσία Θωμαΐς μετὰ καὶ τῆς ὑποτακτικῆς αὐτῆς τῆς Κυπριανῆς ἦλθεν εἰς τὴν Λῆμνον, ἵνα ἀπ' ἐκεῖσε πάλιν (ἀπέλθῃ) εἰς τὴν Κωνσταντινούπολιν· [141] ἐν ᾗ Λήμνῳ ὁ πάππος μου εὑρισκόμενος μετὰ τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων, ἰδοῦσα αὐτὴν καὶ τὴν αὐτῆς ἀρετὴν καὶ τὸν λόγον ἡ πρώτη τῶν τριῶν θυγατέρων αὐτοῦ, τῆς κυρίως πρώτης θυγατρὸς αὐτοῦ εἰς τὴν Θεσσαλονίκην ἀπομεινάσης μετὰ καὶ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν παίδων, καταλείψασα γονεῖς καὶ ἀδελφὰς καὶ ἀδελφούς, καὶ τὸν ὃν ἐμνηστεύσατο εἰς ἄνδρα, ἀπελθοῦσα γέγονε καλογραία καὶ ἐν ὑποταγῇ αὐτῆς δὴ τῆς ὁσίας· ἐκεῖθεν δὲ ἐξελθοῦσαι καὶ ἐλθοῦσαι αἱ τρεῖς καὶ μόνον ἐν Κωνσταντινουπόλει κατήντησαν ἀρχὴν ἐν τῇ μονῇ τῇ ἐπονομαζομένῃ τῆς Κλεραίνας. Διαδοθεῖσα δὲ ἡ ἀρετὴ αὐτῆς δὴ τῆς ὁσίας καὶ ἡ εἰς τὴν θείαν Γραφὴν ἐμπειρία εἴς τε τὸν βασιλέα καὶ τὸν πατριάρχην καὶ πάντας τοὺς τῆς πόλεως, ὁ μὲν βασιλεὺς ἐγύρευσεν ἵνα καὶ λάβῃ μονιστήριον, οἷον ἂν ἕνι τὸ μεγαλώτερον καὶ πολυειστοδώτερον, ὁ δὲ πατριάρχης τὸ δοῦναι αὐτὸν ἔνταλμα πνευματικῆς ἐξουσίας εἰς τὰς βουλομένας τῆς πόλεως γυναῖκας· οἱ δὲ τῆς πόλεως ὅτι καὶ νὰ προσέρχονται καὶ νὰ βλέπουν καὶ νὰ θεραπεύουν εἰς τὰ πρὸς χρείαν αὐτῶν· οὐδὲ γὰρ ἦν ἐν ἐκείναις οὔτε ἀργύριον, οὐκ ἄλλο τι, εἰ μὴ τὸ ἐργόχειρον καὶ ἡ τοῦ Θεοῦ διὰ τῶν ἀρχόντων προμήθεια. Λαβοῦσαι δὲ μικρόν τι κάθισμα συνέδραμον εἰς ὑποταγὴν τοσαῦται, ὅσαι οὐκ ἂν ἐχώρησαν εἰς τε τὴν τοῦ Λιβὸς μονὴν καὶ τῆς κυρᾶς Μάρθας, ἡ δὲ οὐ πλείους ἢ δύο καὶ δέκα προσελάβετο· καὶ ἦσαν τοιαῦται εἴς τε ἀκτημοσύνην καὶ ὑπακοὴν καὶ σωφροσύνην, [142] καὶ πᾶν ὅ τι εἰς Θεὸν εὐαπόδεκτον, ὅ τι κατέλειπον οἱ τῆς πόλεως λέγειν, ἡ ἁγία, ἀλλ' αἱ ἅγιαι, καὶ αὐτὸ δὴ τὸ ὄνομα εἶχον εἰς αὐτὰς ἁγίας. Καὶ τὸ μὲν τῶν καλογραιῶν, τὸ κοινὸν τῆς τροφῆς καὶ φορεμάτων καὶ τὸ μὴ ἔχειν τι ἴδιον, καὶ τὸ μὴ ποιῆσαι τὸ μικρότερον ἢ πρὸς κοινὴν ἢ πρὸς ἰδίαν χρείαν, εἰ μὴ μετὰ συγχωρήσεως, καὶ τὸ ἀνυπόδητον καὶ ὀλιγότροφον καὶ τὸ χαμαὶ κεῖσθαι καὶ ἐν εὐτελεῖ, καὶ τἄλλα ὅσα τῆς ἀρετῆς εἰσιν ἐκμαρτύρια, τῶν περισσῶν ἐστι διηγεῖσθαι· ὁμοίως δὲ πάλιν καὶ τῆς αὐτῶν ὁσίας καὶ πνευματικῆς μητρὸς, τῆς εἰς ἐκείνην συνδρομῆς καὶ θεωρίας βασιλέως καὶ δεσποινῶν καὶ ἀρχόντων καὶ ἀρχοντισσῶν, αἱ μὲν δι' ἐξομολόγησιν, αἱ δὲ δι' εὐχὴν καὶ θεωρίαν, τίς ἂν ἀκριβῶς καὶ ταῦτα καὶ τὴν ἐκείνης ἀρετὴν δυνηθείη ἀκριβῶς διηγήσασθαι; Ἓν δὲ καὶ μόνον διηγησάμενοι δείξομεν πάντα ἀληθῆ· Τῷ ῥηθέντι μεγάλῳ Σαββάτῳ ὤφειρ μοι συμβέβηκεν ἅπερ διηγησάμην, καθημένης μετὰ τὴν τελετὴν τῆς λειτουργίας ἐν τῇ ἐκκλησίᾳ, καὶ σὺν αὐτῇ πᾶσαι αἱ καλογραΐκι αὐτῆς καὶ προσμένουσαι ἵνα μικρόν τι καὶ ἀπογεύσωνται διὰ τὴν τοῦ ἀντιδώρου μετάληψιν, εἶτα εἰς τὰς Πράξεις τῶν ἀποστόλων τεθῆναι (τὴν) ἀνάγνωσιν, λέγει ἡ ὁσία, Καλογραΐκαι, ἐγείρεσθε. Αἱ δὲ, Τί ἐστί σοι χρεία; κυρία ἡμῶν ἁγία! Ἡ δὲ, Τῷ κυρίῳ Γεωργίῳ προσῆλθε πειρασμὸς, [143] καὶ ἵνα δεηθῶμεν τῆς Θεοτόκου ὑπὲρ ἐκείνου. Τὸ δὲ ἀκούσασαι πᾶσαι, ἐξαιρέτως δὲ αἱ τῆς μητρός μου ἀδελφαὶ (καὶ γὰρ ἑτέρα ἀδελφὴ καὶ ὑστέρα γέγονε κἀκείνη καλογραία καὶ ὑποτακτικὴ αὐτῆς καλὴ), προσέδραμον μετὰ δακρύων, Τί ἐστι τοῦτο; κυρία ἡμῶν ἁγία! Ἡ δὲ πρὸς αὐτὰς, Μὴ θροεῖσθε! ὁ Θεὸς ὁ συγχωρήσας τὸν πειρασμὸν θέλει χορηγήσειν καὶ τὴν βοήθειαν καὶ διάλυσιν αὐτοῦ δὴ τοῦ πειρασμοῦ· καὶ σταθεῖσαι ἔψαλλον τὴν εἰς τὴν Θεοτόκον παράκλησιν μετὰ δακρύων. Τούτου τί κρεῖττον ἐκμαρτύριον τῆς εἰς Θεὸν ἐκείνης ἀρετῆς καὶ οἰκειώσεως; Ζήσασα οὖν οὕτω καλῶς καὶ πολλὰ ἐκμαρτύρια τῆς ἀρετῆς αὐτῆς ἐνδείξας ὁ Θεὸς, τέλος καὶ ὁ θάνατος αὐτῆς τίμιος ἐναντίον Κυρίου καὶ τῶν ἀνθρώπων προέβη· ἡμέρας γάρ τινας ἀσθενήσασα μικρὸν, καὶ πάσας κοινῶς νουθετήσασα, καὶ καταλείψασα εἰς τὴν ὑποταγὴν τῆς μητρός μου τῆς ἀδελφῆς, ἣ καὶ πρώτη εἰς ἀρετὴν καὶ ὑποταγὴν αὐτῆς ἦν, καὶ πάντα τὰ τοῦ κελλίου αὐτῶν ἐκείνη; διοικούσης, εἶτα ὡς ἔνθου; γενομένη ἐκάθητο, τοὺς μὲν ὀφθαλμοὺς ἔχουσα κεκλεισμένους, τὸ δὲ στόμα ἀεὶ κινοῦσα πρὸς ὕμνους καὶ εὐχαριστίας [144] πρὸς Θεὸν, μηκέτι προσλαμβάνουσα τροφίμου ἢ ποτίμου, μήτε ὀφείλοῦσα τὸ τυχὸν ἄνευ τοῦ καθ' ἡμέραν, ἐρχομένου τοῦ ἱερέως εἰς τὸ μεταλαβεῖν αὐτὴν τῶν θείων μυστηρίων, τότε καὶ τὰς χεῖρας καὶ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν αἴρουσα καὶ συγχώρησιν αἰτοῦσα μετελάμβανεν· ἀλλὰ καὶ τοῦ βασιλέως κυροῦ Ἰωάννου καὶ τῶν δεσποινῶν καὶ ἄλλοτε πολλάκις εἰς ἐκείνην ἀπελθόντων, ἀλλ' αὐτῇ καὶ τότε διὰ τελευταίαν εὐχὴν καὶ ἀρχόντων καὶ ἀρχοντισσῶν, καὶ ἐγκρίτων ἱερομονάχων καὶ μοναχῶν, ἀνένευε καὶ συγχώρησιν καὶ εὐχὴν ἐχορήγει καὶ οὕτως διαρκέσασα ἡμέρας ζ' πρὸς Κύριον ἐξεδήμησεν· καὶ ἐτάφη φιλοτίμως συνδραμόντων σχεδὸν πάντων (τῶν) ἱερέων ἱερομονάχων (κλητῶν καὶ) ἀκλήτων καὶ ἀρχόντων καὶ ἀρχοντισσῶν. Καὶ ταῦτα μὲν οὕτως καὶ ἀληθῶς.

Digitized by Google

Ἐμοῦ δὲ κειμένου ἐν φυλακῇ ἡμέρας μ', ὡς ἦλθεν ἡ μνήμη τοῦ ἐλευθερωτοῦ τῶν αἰχμαλώτων, τοῦ μεγαλομάρτυρος· δηλονότι Γεωργίου, ἐδεήθην αὐτοῦ, ὡς κἀγὼ Γεώργιος, καὶ παιδιόθεν δοῦλος αὐτοῦ, ἵνα λυτρώσῃ με τῶν δεσμῶν· καὶ ἀφυπνισθεὶς ἔδοξέ μοι ὅτι εὑρέθην εἰς τὸν περικαλλῆ ναὸν τὸν εἰς τὸ ὄνομα αὐτοῦ τῶν Μαγγάνων [145] ἐπονομαζόμενον, εἰς τὴν φιάλην ἱστάμενος καὶ φορῶν καὶ τὰ σιδηρᾶ· διερχομένου δὲ τοῦ βασιλέως τάχα ἵνα εἰς τὴν ἀκολουθίαν τῆς ἐκκλησίας ἀπέλθῃ, ἐδεήθην αὐτοῦ, ἵνα με ἐλευθερώσουν ἀπὸ τὰ σιδηρᾶ· καὶ ὁ μὲν βασιλεὺς διέβη ἐντὸς τῆς ἐκκλησίας, ἄρχων δέ τις νέος ἐπιστρέψας πρὸς ἐμὲ λέγει μοι· Ὥρισεν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεύς, ἵνα σε ἐκβάλουν ἀπὸ τὰ σιδηρᾶ· ἐζήτησέν το γὰρ καὶ ἡ κυρία ἡμῶν δέσποινα. Καὶ περὶ τὴν αὐγὴν αὐτὴν τῆς νυκτὸς ἐν ὥρᾳ ἀσυνήθει, ἰδοὺ οἱ τοῦ κουλᾶ ἄρχοντες, καὶ ἕτεροι μετὰ σιδηρικῶν, καὶ ἐκβάλλουσί με ἅπαντα τὰ σιδηρᾶ· καὶ ἐξαιτιῶνται καὶ λέγουσιν, οὐχ ὅτι ἐχθρωδῶς ἔχουσι, καλῶς· οὐδέν με τρέφουσιν, ἀλλ' ὅτι οὐκ ἔχουσι· καὶ μετὰ δύο ἡμέρας ἐλθόντες πάλιν ζητοῦσί με, καὶ δέομαι τοῦ αὐθεντός μου διὰ γραφῆς, ὅτι νὰ ἐνδώσῃ νὰ ἐξέλθουν ἄρχοντες νὰ συντύχουν πρὸς συμβίβασιν, ὅπερ καὶ γέγονε· καὶ συμβιβασθέντες δεδώκασιν αὐτῷ τὸ Σαραβάλε, οὕτως ὅτι νὰ σηκωθῇ εἰς τὸ ὀσπήτιον αὐτοῦ τὴν Γλαρέντζαν· καὶ μέχρις ὅλου Μαΐου εἰ μὲν ἔλθῃ ὁ μητροπολίτης καὶ αὐθέντης αὐτῶν, ποιήσῃ ἐκεῖνος ὡς θέλει· εἰ δ' οὖν, νὰ δώσωσιν αὐτῷ τὸ κάστρον· καὶ γεγονότων ὅρκων καὶ παραλαβόντος καὶ τὸ Σαραβάλε τῇ ε' Μαΐου ἐκαβαλίκευσεν καὶ ἀπῆλθε μέχρι [146] τῆς Σκλαβίτζας καὶ τοῦ Ῥιόλου τὰ ὄρια· δι' ἐμὲ δὲ ἐπαφῆκεν Ἰωάννην τὸν Ῥωσατᾶν ἵνα με ἐπάρῃ· σωζομένου γὰρ τοῦ ἐλευρωθῆναί με ἔξουσι τὸ βέβαιον τὰ πραχθέντα· καὶ ἐλευθερωθεὶς ἡμιθνὴς δὴ μόλις ἀπέσωσα, ἔνθα καὶ ὁ αὐθέντης μου, ὃς ἰδών με μετὰ χαρᾶς ὅτι πολλῆς καὶ λύπης, τὸ μὲν ὅτι ἤμην οὕτως ἡμιθνής, τὸ δὲ ὅτι ἠλευθερώθην, καὶ ὁρίσας πολλοὺς λόγους πρὸς ἔπαινον καὶ παραμυθίαν μου, ὡς ἀπῆλθον εἰς τὴν κατούναν μου, ἐφερόν με εὐεργεσίαν αὐτοῦ, ταμπάρον διπλοῦν χαμουχᾶν πράσινον ἀπὸ τὴν Λούκαν ἀξιόλογον, μετὰ καὶ πρασίνης τζόχας καὶ καλῆς ἐνδεδυμένον, σκούφιαν Θεσσαλονικαίαν μετὰ χρυσοκοκκίνου χασδίου ἐνδεδυμένην, καβδάδιον χρεμεζῆν χαμουχᾶν μετὰ βαρέου καταράχου ἐνδεδυμένον, κουρτζουβράκιν χαμουχᾶν χρυσὸν πράσινον, καὶ φωτὰν πράσινον καὶ σπαθὶν ἐγκεκοσμημένον. Ἐπὶ τὴν αὔριον οὖν ἀπελθόντες εἰς τὴν Γλαρέντζαν ἰδοὺ καὶ ἄρχων τοῦ ἀμηρᾶ μετά τινας ὀλίγας ἡμέρας λέγων, ὅτι ἡ Πάτρα δίδει με χαράτζι καὶ διαβαίνει ἰδική μου· σηκώθητι οὖν ἀπ' αὐτῆς καὶ μηδὲν πολιόρκει αὐτήν· εἰ δ' οὖν, θέλομεν πέμψειν φωσάτον κατὰ σοῦ. Ὁ δ' αὐθέντης μου πάλιν εἶπεν πρὸς αὐτὸν, [147] Ἡμεῖς ἠκούσαμεν ὅτι θέλει νὰ δώσουν αὐτὴν τοὺς Καταλάνους· οὐδὲν οὖν ἐφάνη πρέπον ἐχθροὺς καὶ τοῦ ἀδελφοῦ μου τοῦ μεγάλου ἀμηρᾶ καὶ ἡμῶν νὰ τοὺς ἀφήσωμεν νὰ ἐπάρωσι τοιοῦτον κάστρον εἰς τὴν μέσην τοῦ τόπου μας· διὰ τοῦτο ἀπήλθομεν ἐκεῖ· καὶ ἐξετάσαντες τὸ πρᾶγμα ἐστήσαμεν νὰ μηδὲν γένηται· καὶ ἰδοὺ ὡς βλέπεις, ἐσηκώθημεν καὶ ἤλθομεν εἰς τὸ ὀσπήτιον ἡμῶν· εἰς ὀλίγας οὖν ἡμέρας ἔχω σκοπὸν νὰ στέλλω τοῦτον δὴ τὸν ἄρχονταν εἰς τὸν ἀδελφόν μου τὸν μέγαν ἀμηρᾶν (δεικνὺς ἐμὲ), καὶ θέλει δηλώσειν καὶ τοὺς πλείονας ἡμῶν λόγους· ὁ δὲ Τοῦρκος ἀκούσας τούτους τοὺς λόγους, ἔτι δὲ καὶ φιλοφρονηθεὶς καλῶς ἀπῆλθε χαίρων· ἐκείνου δὲ ἀπελθόντος, ὥρισεν ἐμὲ, ἰδοὺ προετοίμαζε τὰ πρὸς χρείαν τῆς ὁδοῦ, μὴ εἰδότος μου πρότερον τὸ τυχόν· ἐγὼ δ' ἀνέφερον αὐτῷ, ὅτι μόνον νὰ δώσῃ ὁ Θεὸς νὰ μηδὲν ἔλθῃ ὁ μητροπολίτης, καὶ νὰ δώσουν ἡμᾶς τὸ κάστρον, καὶ ἐγὼ νὰ ἀναῤῥωσθῶ τί ποτε πλέον· ἀμὴ πάντα θέλω τὰ ἔξειν ἕτοιμα εἰς ἐκπλήρωσιν τῆς ἀποδοχῆς σου. Τῆς δὲ προθεσμίας ἐλθούσης καὶ τοῦ μητροπολίτου οὐκ ἐλθόντος, τῇ αὐτοῦ Ἰουνίου μηνὸς τοῦ αὐτοῦ ἔτους, καβαλικεύσαντες ἀπερχόμεθα εἰς τὴν Πάτραν. [148] Ἐν ταύταις οὖν ταῖς ἡμέραις καὶ ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς τὸ τοῦ πριγκίπου Τζεντουρίου κάστρον τὴν Χαλαντρίτζαν τοῦ καὶ μετέπειτα γεγονότος πενθεροῦ αὐτοῦ ἐπολιόρκει· ὡς δὲ διήρχετο ὁ αὐθέντης μου καὶ οἱ ἀδελφοὶ αὐτοῦ τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὴν Πάτραν, κατελθὼν καὶ οὗτος δὴ ὁ ἀδελφὸς αὐτοῦ, ἔμειναν ὁμοῦ εἰς τὴν Καμενίτζαν· ὡς δὲ ἔμαθε τοῦτο καὶ ὁ εἰς τὴν Χαλαντρίτζαν τοῦ πριγκίπου εὑρισκόμενος ἄρχων, ὁ Ἰωαννούτζις Παλότας, αἰτήσας ἀφιέρωσιν, ἵνα ἔλθῃ καὶ προσκυνήσῃ ἀμφοτέρους τοὺς αὐθέντας, ἦλθε, καὶ ἐξελθόντος εὐθὺς ἐκβαλὼν τὰς τοῦ κάστρου κλεῖς δίδωκε ταύτας τῷ αὐθέντῃ μου τῷ δεσπότῃ, εἰπών· Τοῦτο ἔνι κάστρον ἰδίως τοῦ αὐθέντη μου καὶ συγγάμβρου τῆς βασιλείας σου· καὶ γὰρ ὁ τοῦ πριγκίπου υἱὸς προαπῆρεν εἰς νόμιμον γυναῖκα τὴν ἀδελφὴν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας· καὶ ὥρισέ μοι, ἵνα παραδώσω τοῦτο αὐτῷ. Ὁ δὲ ἀπεκρίθη αὐτῷ· Οὕτως ἔχει, ὅτι συγγενοῦς μού ἐστιν ὁ τόπος, ἀλλ' οὐ γνησιωτέρου τοῦ ἀδελφοῦ μου· λοιπὸν προγενέστερον ἂν εἶχε ποιήσειν τοῦτο, καὶ ὁ ἀδελφός μου ὡς εἰς ἐμὸν οὐδὲν ἤθελεν ἐπιχειρήσειν τι καὶ ἐγὼ εἰρηνικῶς ἤθελα ἔχειν αὐτὸ καὶ ὁ αὐθέντης σου ἀλλοτρόπως· ἀμὴ νῦν (εἰ) αὐτὸ ἐπάρω, ἀναγκαῖον νὰ διαφερώμεθα μετὰ τοῦ ἀδελφοῦ μου, καὶ οὐδὲν τυχίνει διὰ πολύ τι, πολλῷ μᾶλλον διὰ τοσοῦτον· ἀλλ' ἀπελθε ἐν αὐτῷ καὶ ὡς δύνασαι ποίει. Ὡς δὲ ταῦτα ἤκουσεν, ἐζήτησεν, ἵνα καλῶς ἐκβῇ εἰς τὸ κάστρον αὐτοῦ. Ὡρίσθην δ' ἐγὼ καὶ ἀπῆρα αὐτὸν μετὰ στρατιωτῶν καὶ ἀπηρχόμην· καὶ περὶ τὸ κάστρον εὑρεθεὶς [149] Ῥαοὺλ ὁ Θωμᾶς ἐνόμισεν εὔκολον εἶναι ἵνα ἐπάρῃ αὐτὸν ἀπ' ἐμοῦ καὶ εἰς κίνδυνον ἦλθε τοῦ γενέσθσι μέσον τῶν ἀδελφῶν μέγα τι μάχιμον καὶ λυπηρόν· ὅμως οὖν Θεοῦ εὐδοκήσαντος, ἐκεῖνον μὲν καλῶς ἀπεκατέστησα εἰς τὸ κάστρον αὐτοῦ, καὶ ἐγὼ δὲ καλῶς ἐπιστρέψας εὗρον τὸν αὐθέντην μου ἐν τῷ τοῦ ἁγίου Ἀνδρέου τοῦ πρωτοκλήτου ναῷ καὶ τάφῳ ἀποσωθέντα τῇ δ' τοῦ Ἰαννουαρίου ἀργά· τῇ δὲ ε' πρωῒ τοῦ αὐτοῦ, ἡμέρᾳ τῆς ἑβδομάδος α', ἐξελθόντες οἱ τοῦ κάστρου ἔγχριτοι καὶ πᾶς ὁ λαὸς καὶ ἐλθόντες μέχρι καὶ τοῦ ῥηθέντος ναοῦ τοῦ ἁγίου, τῷ δεσπότῃ καὶ αὐθέντῃ μου προσεκύνησαν καὶ τὰς κλεῖς τοῦ κάστρου δεδώκασι

Digitized by Google

καὶ καβαλικεύσαντες μετὰ πλείστης ὅτι χαρᾶς καὶ τοῦ ἑνὸς μέρους· καὶ τοῦ ἄλλου ἐσέβημεν εἰς τὸ κάστρον καὶ μέχρι τῶν εἰς τὸν ναὸν τοῦ ἁγίου Νικολάου ὁσπητίων ἀπήλθομεν, τῆς μὲν ὁδοῦ πάτης κατεστρωμένης πάντων ἀνθέων καὶ εὐκοσμίας καὶ ἀπὸ τὰ ἐκ δεξιῶν καὶ ἀριστερῶν ὁσπήτια πάντων ῥεομένων διὰ ῥοδοσταμμάτων καὶ ῥόδων καὶ τριακονταφύλλων· [150] ἀπὸ δ' ἄνωθεν τοῦ Κουλᾶ διὰ σκευῶν καὶ τζαγγρῶν κακῶς δεξιουμένων ἡμᾶς, εἰ καὶ οὐδέν τι ἔβλαψαν· οἱ γὰρ τοῦ μητροπολίτου κρατήσαντες τὸν Κουλᾶν, ἔτι δὲ καὶ τὰ αὐθεντικὰ πλησίον αὐτοῦ ὁσπήτια καὶ σιταρχήσαντες καὶ ἀφιερώσαντες κατέσχον, ἐλπίζοντες ὅτι ἐλθόντος τοῦ μητροπολίτου, διὰ τούτου ἕξειν πάλιν ἅπερ καὶ πρότερον εἶχον· ἡμῶν δὲ ἐπὶ τὴν αὔριον συναχθέντων ἐν τῷ τοῦ ἁγίου Νικολάου ναῷ καὶ παντὸς τοῦ τῆς χώρας λαοῦ δεδώκασιν ὅρκον ὅτι νὰ ὦσι πιστοὶ δοῦλοι τοῦ αὐθεντὸς ἡμῶν τοῦ δεσπότου· καὶ ἐμὲ εἰς κεφαλὴν αὐτῶν ἐζήτησαν· ἤκουσαν δὲ, ὅτι καὶ δύο καὶ πλέον τούτων τὸν χρεωστοῦμεν, καὶ διὰ τὴν ὑμῶν αἴτησιν θέλω ἦσθεν αὐτὸς εἰς κεφαλὴν ὑμῶν. Καὶ τῇ η' τοῦ Ἰουνίου μηνὸς περάσαντός μου εἰς τὸν Ναύπακτον, ἵνα εἰς τὸν βασιλέα πρῶτον ἀπέλθω, ἵνα κἀκεῖνος τὰ εἰς τὴν Πάτραν παρακολουθήσαντα μάθῃ· εἶτ' ἀπ' ἐκεῖσε μετὰ καὶ ἄρχοντος αὐτοῦ εἰς τὸν ἀμηρᾶν· καὶ γὰρ κατὰ τὴν δ' τοῦ αὐτοῦ μηνὸς, ἐν ᾗ φθάσαντες ἐμείναμεν ἐν τῷ τοῦ ἁγίου Ἀνδρέου ναῷ, ἰδοὺ καὶ ἀπὸ τὸν Ναύπακτον ἐπέρασαν δύο Τοῦρκοι, ὁ μὲν τοῦ ἀμηρᾶ, ὁ δὲ τοῦ Τουραχάνη, λέγοντες ὁρισμὸν ὅτι τὴν Πάτραν ἵνα μὴ ἐπάρωμεν αὐτήν· οἱ δὴ πάλιν ὑπέστρεψαν μετ' ἐμοῦ ἀπολογίαν λαβόντες, ὅτι, ἐπεὶ ὁ παρὼν ἄρχων ἐμοῦ ὑπάγει εἰς τὸν ἀδελφόν μου τὸν μέγαν ἀμηρᾶν, [151] ὡς ἂν ὁρίσῃ, θέλομεν ποιήσειν. Ὡς οὖν περάσαντες ἐν τῷ Ναυπάκτῳ ἐμείναμεν, πρωῒ σκοτίας οὔσης, ἰδοὺ ἐκεῖσε καὶ ὁ παλαιῶν Πατρῶν μητροπολίτης, Παντοῦλφος Μαλατέστας, μετὰ κατέργου Καταλανικοῦ ἦλθεν· διερχόμενος γὰρ ὡς ἔμαθε περὶ τὰ νησύδρια τὰ μέσον τῆς ὁδοῦ, ὅτι ἐδόθη τὸ κάστρον πρὸς τὸν δεσπότην, ἐπίασε τὴν λιβέραν τοῦ μέρους τοῦ Ναυπάκτου, ἵνα πρῶτον τοῦτο καλῶς μάθῃ ὡς ἐγένετο· ἐδέησεν οὖν ἐπιμεῖναι κάμοὶ ἐκεῖσε καὶ τὴν αὔριον, ἵνα πρῶτον μηνύσω τοῦτο τῷ αὐθέντῃ μου, ὅπερ καὶ γέγονε· καὶ παρ' ἐμοῦ τοῦτο πρῶτον ἔμαθεν· καὶ δεύτερον ἵνα καὶ, τίς ὁ ἐπίσκοπος αὐτοῦ δὴ τοῦ μητροπολίτου, τὸ δυνατὸν μάθω· μέσον δὲ γενομένου καὶ τοῦ Μπερνάρδου Μαρτζέλλου ἐκείνου καπετάνου Ναυπάκτου, εἴδομεν καὶ ἀλλήλους· ὃν ἰδὼν ἐθαύμασα ὅτι διέφερε πάντων ἀνθρώπων εἰς τὸ δυσειδὴς εἶναι· ἐξετάζων οὖν ἐκεῖνος τί βούλομαι ποιῆσαι εἰς τὸν ἀμηρᾶν, κἀγὼ ἐκεῖνον, τί κατὰ τῆς Πάτρας, ἀπῆρα ἐγὼ παρ' ἐκείνου, τὸ δὴ λεγόμενον, κουκουζέλα, ἐκεῖνος δὲ παρ' ἐμοῦ βρύα. Ὅμως δεδωκὼς ὁ μητροπολίτης τοῖς σκλάβοις χαρτία πρός τε τὸν ἀμηρᾶν καὶ τὸν Τουραχάνην πολὺν λογισμὸν ἐνέβαλεν εἰς ἐμὲ, μή ποτε ὑπισχνεῖται δοῦναι καστέλλιά τινα τῆς Πάτρας, [152] εἴπερ αὐτὸν βοηθήσῃ, ἵνα ἐπάρῃ αὐτὴν, ἢ πολλά τινα χρήματα· καὶ οὐκ ἔπαυσεν ὁ ἐμὸς λογισμὸς ἕως οὗ πολλὰ κοπιάσας καὶ μεθύσας (πολλάκις καὶ ἀκουσίως ἐμέθυσα), κἀκείνους τοσοῦτον ὅτι ἀπῆρά τους τὰ χαρτία, καὶ ἀνέγνωσα καὶ μετέγραψα, κἀκεῖνα πάλιν ἐβούλωσα καὶ ἀφῆκα· ὡς δὲ ἔφθασα εἰς τὴν πόλιν, ἐδόθη μοι συναποκρισιάρης, [153] Μάρκος Παλαιολόγος, ὁ Ἴαγρος, ὁ ὕστερον πρωτοστράτωρ, τότε δὲ πρωτοβεστιαρίτης, πλέον ἀνατεθεὶς εἶναι κατὰ τῆς δουλείας μου, ἢ ὑπὲρ αὐτῆς· οὐκ οἶδα δὲ ἄλλο τι αἴτιον, ἀλλ' ἢ τὸ φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον· ἀπελθόντες δ' ὁμοῦ εἰς τὸν ἀμηρᾶν, ἀπήραμεν ἀπολογίαν, ἵνα δώσωμεν αὐτὴν οἷς εἶχον· ἀπελογησάμην οὖν τῷ τότε πρώτῳ βιζίρῃ καὶ ἄρχοντι, τῷ Μπραΐμ Πασίᾳ, ὅτι τοῦτο ἐγὼ τὸν αὐθέντην μου οὐδὲν τολμῶ ἵνα εἴπω, ἀλλ' ἐπεὶ ἐκεῖνος ὁπωσδήποτε ἄρχονταν αὐτοῦ ἀπέστειλε πρὸς τὸν μέγαν αὐθέντην, ἰδοὺ ἃς ὁρίσῃ καὶ ὁ αὐθέντης σκλάβον του καὶ ἃς ἔλθῃ μετ' ἐμοῦ, καὶ ἃς εἴπῃ τοὺς ὁρισμοὺς τοῦ μεγάλου αὐθεντός· καὶ ἔστερξε τοῦτο καὶ εἶπε· Φρόνιμα καὶ καλὰ λέγετε· τοῦ Ἰάγρου ἰδίως σκώπτοντος τοῦτο εἰς ἐμὲ ὡς ἄπρακτον καὶ μόνον ἐπιζήμιον· ἐγὼ Θεοῦ εὐδοκοῦντος, ἔπραξα τοῦτο καὶ ἀπῆρα Ἀρχοντόσκλαβον, καὶ ἦν τοῦτο πρῶτον αἴτιον τοῦ λαβεῖν τὴν διόρθωσιν τὸ περὶ τῆς Πάτρας.

υλ'.

[154] Καὶ τῷ λη' ἔτει ἐν μηνὶ Σεπτεβρίῳ εἰς τοὺς κρατικούς, ἔπραξαν τὸ συνοικέσιον τοῦ αὐθεντοπούλου Θωμᾶ, οἱ αὐτάδελφοι αὐτοῦ οἱ δεσπόται, μετὰ τῆς θυγατρὸς τοῦ πρίγκιπος Ἀσάνη Ζαχαρία τοῦ Κεντηρίωνος· ᾧ δὴ μηνὶ κἀγὼ πάλιν ἐπανέστρεψα εἰς τὰ Τρίκκαλα πρὸς τὸν Τουραχάνην καὶ τὴν περὶ τῆς Πάτρας δουλείαν τελείως διώρθωσα· καὶ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Νοεμβρίῳ ἡ βασίλισσα κυρὰ Θεοδώρα εἰς τὸ Στάμοιρον εὑρισκομένη ἀπέθανε, καταλείψασα λύπην πολλὴν καὶ εἰς τὸν ἄνδρα αὐτῆς καὶ εἰς ἡμᾶς τοὺς οἰκείους αὐτοῦ διὰ τὸ εἶναι αὐτὴν καλλίστην. Ἐτάφη δὲ μέχρι τινὸς εἰς μίαν τῶν ἐκκλησιῶν τῆς Γλαρέντζας· καὶ μετὰ ταῦτα ἀπῆγαν αὐτὴν εἰς τὴν ἐν τῷ Μυζηθρᾷ τοῦ Ζωοδότου μονήν. Καὶ τῷ Ἰαννουαρίῳ μηνὶ τοῦ αὐτοῦ ἔτους εὐλογήθη καὶ ὁ αὐθεντόπουλος κὺρ Θωμᾶς εἰς τὸν Μυζηθρᾶν κυρὰν Αἰκατερήναν τὴν θυγατέρα τοῦ ῥηθέντος πρίγκιπος. Τῇ δὲ κς' Μαρτίου τοῦ αὐτοῦ ἔτους ἡμέρᾳ καὶ ὥρᾳ ὁποῦ μὲ ἐπίασαν οἱ Πατρηνοὶ ἀπερχομένου μου εἰς τὸ δεσποτάτον ὡς ἀποκρισιαρίου ζητήσει αὐτῶν ἕνεκα εἰρήνης μέσον τοῦ ἀνεψιοῦ δεσπότου τοῦ Καρόλλου καὶ γυναικαδέλφου τοῦ αὐθεντός μου, καὶ τῶν φυσικῶν υἱῶν αὐτοῦ δὴ τοῦ Καρόλλου, [155] Ἐρκούλα καὶ Μενώνου· ἐποίησαν γὰρ ἐνόρκους συμφωνίας, ὅτι, εἴ τι ἄρα καὶ διακρίνει ὁ ζητήσει ἡμῶν σταλεὶς ἄρχων τοῦ δεσπότου κὺρ Κωνσταντίνου εἰς τὰ μέσον ἡμῶν διαφερόμενα, ἀτέρξομεν καὶ ἀμφότερα τὰ μέρη κατὰ τὰ πλησίον νησύδρια τῆς ἁγίας Μαύρας· ἀπήρασί με οἱ Καταλάνοι μετὰ πολλῶν καὶ ἀνθρώπων καὶ σκευῶν πολυτίμων ὄντα με, καὶ κρατήσαντες μέχρι τινὸς καὶ ἀπαγαγόντες μέχρι καὶ τῆς Κεφαλωνίας ὡς δῆθεν περάσοντες εἰς τὰ περὶ τὴν Νέαν πόλιν, τέλος ἐγυρίσαμεν εἰς τὴν Γλαρέντζαν· καὶ ἐπούλησαν καὶ

Digitized by Google

ἐμὲ καὶ τοὺς σὺν ἐμοί· ἐν ᾧ δὴ Μαρτίῳ μηνὶ καὶ ἀμηρᾶς ὁ Μουράτμπεϊς τὴν Θεσσαλονίκην ἀπῆρεν ἀπὸ τοὺς Βενετικοὺς πολέμῳ· ὁ δὲ δεσπότης καὶ αὐθέντης μου κὺρ Κωνσταντῖνος, τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους, τὸν κουλᾶν τῆς Πάτρας ἀπῆρεν ἀπὸ λιμοῦ καὶ τῆς ἄλλης κακοπαθείας τῶν εὑρισκομένων ἐντὸς αὐτοῦ· καὶ τῇ ιζ' Ἰουλίου τοῦ αὐτοῦ ἔτους, [156] ἀπῆραν οἱ Καταλάνοι τὴν Γλαρέντζαν, ἣν καὶ κρατήσαντες μέχρι τινὸς πάλιν ἐπούλησαν αὐτήν· καὶ τῷ Αὐγούστῳ μηνὶ τοῦ αὐτοῦ ἔτους ἐπαναστρέψαντες οἱ ἀπὸ τοῦ βασιλέως κὺρ Ἰωάννου πρὸς τὸν πάπαν Μαρτῖνον πρέσβεις, ὅ τε Μάρκο; ὁ Ἴαγρος καὶ μέγας στρατοπεδάρχης, καὶ ὁ μέγας πρωτοσύγγελος καὶ ἡγούμενος τῆς σεβασμίας βασιλικῆς μονῆς τοῦ Παντοκράτορος ἱερομόναχο; καὶ πνευματικὸς, Μακάριος ὁ Μακρὸς ὀνομαζόμενος, ἀνὴρ ἄριστος κατά τε λόγον καὶ ἀρετὴν καὶ σύνεσιν, ἐποίησαν ὁρισμῷ τοῦ βασιλέως δεσπότην τὸν αὐθεντόπουλον κὺρ Θωμᾶν.

υλα'.

Καὶ τῷ λθ' ἔτει μηνὶ Σεπτεβρίῳ εὐεργετήθην ἐγὼ τὸ κεφαλατίκιον τῆς Πάτρας· [157] καὶ τῷ αὐτῷ ἔτει ἐν μηνὶ Ὀκτωβρίῳ ἀπῆρεν ὁ Μπελαρμπεῖς τῶν Τούρκων ὁ Συνάνις τὰ Ἰωάννινα καὶ τὴν αὐτῶν περιοχὴν, καὶ τῇ κς' Μαρτίου τοῦ αὐτοῦ ἔτους ἐν ἡμέρᾳ καὶ ὥρᾳ τῇ αὐτῇ, ἐν ᾗ καὶ τὰ προγεγονότα μοι συνέβησαν, ἐδεξάμην καὶ τὸ ἀπευκταῖον ἐμοὶ μήνυμα δι' ὁρισμοῦ τοῦ αὐθεντός μου ἀπὸ τὴν Βοστίτζαν, ὅτι τῇ τοῦ παρελθόντος Ἰαννουαρίου ζ' τέθνηκε λοιμώδει νόσῳ ὁ ἄριστος κύμοῦ φίλος, ὁ Μακάριος καὶ ὢν καὶ καλούμενος ὁ Μακρὸς, ὁ παρ' ὀφθαλμῷ μὲν πατριαρχικῷ ὑπερηφάνῳ καὶ ἀπλήστῳ τῇ ἀγροικῇ καρδίᾳ αἱρετικὸς, παρὰ δὲ ὀφθαλμῷ παντοκρατορικῷ ἀκοιμήτῳ καὶ ἀληθείᾳ δικαζούσῃ ὀρθόδοξος, ὃς καὶ εἰς τὴν Κωνσταντινούπολιν ἐπαντῆλθεν ἀπὸ τοῦ ἁγίου ὄρους, καὶ τὴν μονὴν τοῦ Παντοκράτορος ἔλαβε παρακινήσει καὶ συνεργείᾳ ἰδικῇ μου, ὡς οἱ πάντες ἠπίσταντο, καὶ συνάρσει μὲν πρῶτον τοῦ παντοκράτορος Θεοῦ, ἔπειτα δὲ σπουδῇ καὶ ἐπιμελείᾳ ἐμοῦ τε κἀκείνου, πᾶν εἴ τι καλὸν καὶ πρὸς σύστασιν καὶ εὐκοσμίαν εἰς τὴν αὐτὴν μονὴν προεχώρησε· καὶ τῷ τέλει τοῦ ἔαρος αὐτοῦ δὴ τοῦ ἔτους ἦλθεν ὁ Τουραχάνης, καὶ κατεχάλασε καὶ ἔτι τὸ Ἐξαμίλιον καὶ θανατικὸν ὅτι πολὺ εἰς τὴν Πάτραν ἐγένετο.

υλβ'.

Καὶ τῇ λα' Ἰαννουαρίου τοῦ μ' ἔτους ὁρισθεὶς ἀπῆλθον ἀποκρισιάριος εἴς τε τὸν βασιλέα (καὶ) ἀφ' οὗ καὶ τὸ τοῦ πρωτοδεστιαρίου τότε ὀφφίκιον [158] εὐεργετηθῶ, εἰς τὸν ἀμηρᾶν· ἐν ᾧ ἔτει κατὰ τὸν Μάρτιον μῆνα καὶ ἡ ἐναλλαγὴ τῶν τόπων ἀμφοτέρων τῶν ἀδελφῶν καὶ δεσποτῶν κὺρ Κωνσταντίνου καὶ κυροῦ Θωμᾶ ἐγένετο, καὶ ὁ μὲν ἀπῆρε τὰ Καλάβρυτα καὶ πάντα τὰ ἐκεῖσε τοῦ κὺρ Θωμᾶ· ὁ δὲ πάλιν τὴν Γλαρέντζαν καὶ τὰ περὶ τὴν Ἀνδροῦσαν πάντα.

υλγ'.

Καὶ τῷ μα' ἔτει τέθνηκεν ἡ τοῦ Μαλατέστα μὲν θυγάτηρ, γυνὴ δὲ τοῦ δεσπότου κυρίου Θεοδώρου τοῦ πορφυρογεννήτου, κυρὰ Κλεώπη· καὶ ἐτάφη ἐν τῇ τοῦ Ζωοδότου μονῇ.

υλδ'.

Καὶ τῷ μβ' ἔτει Ἰαννουαρίου ζ' πάλιν ὀπῆλθον ἀποκρισιάριος εἴς τε τὸν ἀντώνιον καὶ αὐθέντην τῶν Ἀθηνῶν, καὶ εἰς τὸν ἀμηρᾶν, καὶ εἰς τὸν βασιλέα· ἐν ᾧ δὴ Ἰαννουαρίῳ, τῇ κθ' αὐτοῦ, νυκτὸς ὥρᾳ γ' ἐπυρπόλησε τὸν ἐν Βλαχέρναις εἰς ὄνομα τῆς Θεομήτορος περικαλλῆ καὶ θεῖον ναὸν εἰς τὴν Κωνσταντινούπολιν· ὅπερ ἀκηκόαμεν ἐκεῖσε ἀπερχόμενοι εἰς τὸν ποταμὸν τὸν Μέστον ὀνομαζόμενον τῇ α' Φευρουαρίου, ὥρᾳ μετὰ τὸν ἑσπερινὸν τῆς δεσποτικῆς ἑορτῆς τῆς Ὑπαπαντῆς· καὶ ἐλογισάμεθα αὐτὸ ψεῦδος, ἐπεὶ ὁ εἰρηκὼς οὐκ ἐγνώσθη. καὶ διελθόντες εἰς τὸ ἔμπροσθεν μονὰς ε' καὶ οὐδὲν περὶ τούτου ἀκούσαντες, τῇ εἰς τὸν Ῥεδεστὸν ς' μονῇ ἡμῶν ἐμάθομεν [159] τοῦτο ἀκριβῶς, ὅπως; καὶ ὁπότε ἐγένετο· ὅπερ παράδοξον.

υλε'.

Καὶ εἰς τὰς ἀρχὰς τοῦ θέρους τοῦ μγ' ἔτους ἀπέθανε καὶ ὁ τῶν Ἀθηνῶν καὶ Θηβῶν αὐθέντης κύριος Ἀντώνιος Ντελανζιόλης, καὶ ζητήσει τῆς ἐκείνου γυναικὸς ἐστάλην ἐγὼ μετὰ ἐνόρκου ἀργυροβούλλου καὶ πολλῶν στρατιωτῶν, ἵνα παραλάβω τὴν Ἀθήναν, καὶ ἄλλον εἰς τὸν Μορέαν αὐτῇ δώσω τόπον ὁπόσον καὶ ὁποῖον φαίνηταί μοι· προλαβόντος δὲ τοῦ Τουραχάνη καὶ τὴν Θήβαν ἀποκλείσαντος, ἣν καὶ ἀπῆρε μετά τινας ἡμέρας, ἄπρακτος ἐγύρισα ἀπὸ τὸ Ἐξαμίλιον τούτου παραγγελίαν ἔχοντός μου. Εἰς δὲ τὰ Στυλάρια εὑρισκομένου τοῦ δεσπότου καὶ αὐθεντός μου, καὶ τὰ τῆς πραγματείας κάτεργα [160] Βενετικὰ ἐκδεχομένου, ἵνα ἐμβὰς εἰς τὴν πόλιν ἀπέλθῃ, ἰδοὺ κἀγὼ ἄπρακτος ἔφθασα. Καὶ ἐμβὰς κἀγὼ ἀπερχόμεθα, καὶ εἰς τὴν Εὔριπον φθάσαντες, ἐφάνη καλὸν, καὶ ἐστάλην εἰς τὸν Τουραχάνην εἰς τὴν Θήβαν εὑρισκόμενον, καὶ τὴν δουλείαν τὴν περὶ τῆς Ἀθήνας ἐδηλοποίησα αὐτῷ· καὶ ἐπληροφόρησέ μοι μεθ' ὅρκου, ὅτι Διὰ τὴν πρὸς τὸν δεσπότην καὶ σὲ ἐγνωριμίαν καὶ ἀγάπην, καλῶς καὶ προθύμως ἤθελα παραχωρήσῃ ἵνα πραχθῇ τοῦτο, ἂν εἶχα ἐξεύρειν τι πρὸ τοῦ ἐξελθεῖν με ἀπὸ τὸ ὁσπήτιόν μου καὶ ἐλθεῖν ἐνταῦθα· ἐπεὶ ὁρισμῷ τοῦ μεγάλου αὐθεντὸς οὐδὲν ἐποίησα τοῦτο· καὶ εὑρισκομένου μου (ἐν τῇ οἰκίᾳ) εἶχον πολλὰ σκεπάσματα, νῦν δὲ πλέον σκέπασμά τι οὐκ ἔχω· φιλοφρονηθεὶς δὲ φιλοτίμως παρ' ἐκείνου καὶ τοὺς υἱοὺς αὐτοῦ φέροντος εἰς προσκύνησίν μου καὶ παραδόντος αὐτοὺς πρὸς ἐμὲ καὶ τὸν αὐθέντην μου, ἐξ ὧν ἦν καὶ ὁ νῦν πολὺς καὶ μέγας Ἀμάρης, ἐπανέστρεψα κἀκεῖθεν ἄπρακτος· καὶ ἐπεὶ προλαβόντες οἱ ἐν τῷ Εὐρίπῳ ἐσήκωσαν τὸ γεφύριν, καὶ ἀκουσίως ἐμείναμεν εἰς τὰς ἔξω τοῦ γεφύρου πέτρας, διεβιβάσαμεν οὖν τοιαύτην νύκταν ἀπό τε κρύους, κθ' ἣν τοῦ Αὐγούστου, ἀπό τε πείνας ἀπό τε ξηρότητος τῶν πετρῶν, ἀπό τε φόβου καὶ κλεπτῶν τῶν ἀπὸ τοῦ φωσάτου τοῦ Τουραχάνη, διὰ τὰ ξένα ἅλογα, [161] ἃ ἀπὸ τοὺς ἐν τῷ κάστρῳ ἐδανεισάμεθα, ὅτι παροιμία ἐγένετο ἐπὶ κακῷ τοί; μετ' ἐμοῦ τότε οὖσιν εἰς τὸν μετέπειτα χρόνον. Ἀναβάντες οὖν εἰς τὰ κάτεργα ἐπὶ τὴν αὔριον,

Digitized by Google

τῇ κγ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ μδ' ἔτους εἰς τὴν Κωνσταντινούπολιν ἐφθάσαμεν.

υλς'.

Καὶ τῇ κα' Μαρτίου τοῦ σὺτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν καὶ ἡ τοῦ Παρασπονδήλου μεγάλου δουκὸς θυγατέρα Ζωὴ, μετὰ κατέργου βασιλικοῦ, ὁποῦ ἐστάλη μετὰ Παλαιολόγου τοῦ Μανουὴλ, ἵνα φέρωσιν αὐτὴν· ἣν δὴ καὶ μετά τινας ἡμέρας εὐλογήθη αὐτὴν ὁ δεσπότης κὺρ Δημήτριος· μεθ' οὗ δὴ κατέργου ἦλθεν εἰς τὴν πόλιν καὶ ὁ δεσπότης κὺρ Θεόδωρος, ἵνα ἐκεῖνος εἰς τὴν πόλιν εὑρίσκηται καὶ διάδοχος ὡς δεύτερος ἀδελφὸς τῇ βασιλείας· ὃ καὶ ὁ βασιλεὺς ἔστεργε μὲν καὶ ἐκουσίως, ἐπεὶ τὸν κὺρ Κωνσταντῖνον τὸν αὐθέντην μου πολλάκις με ἐπληροφόρησε καὶ ἐνόρκως ὡς ἐν μυστηρίῳ ἠγάπα καὶ ἤθελεν, ὡς καὶ ὁ λόγος προϊὼν δηλώσει. Ἐπεὶ δὲ οὕτως παρηκολούθησεν, ἐσπούδαζεν ἵνα εἰς τὸν Μορέαν καὶ τοὺς τρεῖς ἄλλους ἀδελφοὺς ἐγκατοικίσῃ· ὁ γοῦν αὐθέντης μου πάλιν ὁ δεσπότης κὺρ Κωνσταντῖνος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ κυροῦ Θωμᾶ τοῦ δεσπότου (ἦν γὰρ εἰς τὴν πόλιν μεθ' ἡμῶν ὁ πρῶτος ἄρχων τοῦ ὁσπητίου ἐκείνου Ῥαοὺλ Μιχαὴλ ὁ Ἰσῆς), ἐσπούδαζον, ἵνα οἱ δύο μὲν σὺν τῷ βασιλεῖ εὑρίσκωνται εἰς τὴν πόλιν, [162] οὗτοι δὲ οἱ δύο αὐθέντες εἰς τὸν Μορέαν· διὰ ταύτην δὴ τὴν αἰτίαν καὶ τὸν Ἰούνιον τοῦ αὐτοῦ ἔτους διέβη ἀπὸ τῆς πόλεως εἰς τὸν Μορέαν ὁ δεσπότης κὺρ Κωνσταντῖνος ὡς φυγὰς μετὰ Λαλιώτου καὶ ἐγὼ ἐστάλην παρ' αὐτοῦ εἰς τὸν ἀμηρᾶν διὰ ταύτην δὴ τὴν δουλείαν, ἵνα αὐτὸν ὑπὲρ ἑαυτῶν ἔχωσι· καὶ ἀπῆλθον καὶ καλῶς ᾠκονόμησα τὰ ἀνατεθειμένα, καὶ διὰ τῆς στερεᾶς εἰς τὸν Μορέαν ἐφθασα· εὗρον δὲ τοὺς ἀδελφοὺς καὶ αὐθέντας ἔχοντας ὀχλησιν μάχης μεγάλης· καὶ γὰρ ὀπισθεν τοῦ Κυρίου Κωνσταντίνου καὶ αὐθεντός μου σταλεὶς μετὰ κατέργου καὶ ὁ κὺρ Θεόδωρος ἐμάχετο τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ, ὡς καὶ φωσάτων συναχθέντων ἐπ' ἀμφοτέροις τοῖς μέρεσι, καὶ πολέμου μερικοῦ μέσον αὐτῶν γεγονότος.

υλζ'.

Τῷ με' ἔτει καὶ ἀποκρισιαρίων ἀποσταλέντων παρὰ τοῦ βασιλέως, ἦσαν δὲ ὁ καλὸς κἀγαθὸς Διονύσιος ἱερομόναχος, ὁ χρηματίσας καὶ μητροπολίτης Σάρδεων, καὶ Δυσύπατος Γεώργιος, τὴν μάχην ἀπὸ μέρους κατεπράϋναν· τέλος δὲ πάλιν ἄλλων ἐλθόντων ἀποκρισιαρίων τοῦ βασιλέως Γρηγορίου ἱερομονάχου καὶ πνευματικοῦ τοῦ χρηματίσαντος ὕστερον καὶ πατριάρχου Κωνσταντινουπόλεως, καὶ αὐτοῦ δὴ πάλιν Γεωργίου τοῦ Δυσυπάτου συνεβίβασαν, ἵνα ὁ μὲν αὐθέντης μου δεσπότης κὺρ Κωνσταντῖνος ἀπέλθῃ καὶ ἔνι εἰς τὸν πόλιν, ὁ δὲ κὺρ Θεόδωρος καὶ κὺρ Θωμᾶς οἱ δεσπόται εἰς τὸν Μορέαν.

υλη'.

[163] Καὶ τῇ ε' Σεπτεβρίου τοῦ μς ἔτους διέβημεν ἀπὸ τῆς Πάτρας διὰ τῆς στερεᾶς εἰς τὸν Εὔριπον, μετὰ τοῦ αὐθεντός μου λέγω, καὶ ἐσέβημεν εἰς κάτεργον Βενετικὸν ἀπὸ τὸ καστέλλον τῆς Εὐρίπου, τὴν Κάρυστον· ἐν ᾧ δὴ κατέργῳ ἦν καὶ ὁ ποτὲ μὲν ἐν τῇ Πάτρᾳ Κανονικὸς Μέρκος, ὅταν ἀπήλθομεν κατ' αὐτῆς, γεγονὼς δὲ λεγάτος παρὰ τοῦ πάππα Εὐγενίου τοῦ συγγενοῦς αὐτοῦ, καὶ παρ' ἐκείνου καὶ ἀπυκρισιάριος εἰς τὸν βασιλέα. Καὶ τῇ κδ' τοῦ αὐτοῦ μηνὸς Σεπτεβρίου ἀπεσώθημεν εἰς τὴν πόλιν· [176] καὶ τῇ κζ' Νοεμβρίου τοῦ αὐτοῦ ἔτους διέβη ὁ βασιλεὺς κὺρ Ἰωάννης μετὰ τοῦ πατριάρχου καὶ τοῦ δεσπότου κὺρ Δημητρίου, καὶ πολλῶν ἀρχόντων τῆς [177] συγκλήτου καὶ τῆς ἐκκλησίας καὶ πάντων σχεδὸν τῶν μητροπολιτῶν καὶ ἐπισκόπων διὰ τὴν μελετηθεῖσαν, ὡς μὴ ὤφελε, σύνοδον. Καὶ οὐ λέγω τοῦτο διὰ τὰ τῆς Ἐκκλησίας δόγματα· ταῦτα γὰρ παρ' ἄλλοις ἐδόθησαν κρίνεσθαι· ἐμοὶ δ' ἀρκεῖ ἡ πατρική μου διαδοχὴ τῆς πίστεως, καὶ ὅτι οὐδέποτε παρά τινος τῶν τοῦ μέρους ἐκείνου ἤκουσα ὅτι τὸ ἡμῶν κακὸν, ἀλλὰ καλὸν καὶ ἀρχαῖον, καὶ τὸ ἐκείνων οὐ κακὸν, ἀλλὰ καλόν· καὶ νὰ εἴπω, ὡς ἐν παραδείγματι, ὅτι τὴν μέσην ὁδὸν τῆς πόλεως, τὴν πλατεῖαν καὶ εὐρύχωρον, διερχόμεθα πολλοὺς χρόνους μετά τινων, δι' ἧς ἐκαταντῶμεν εἰς τὴν ἁγίαν Σοφίαν, εἶτα μετά τινας καιροὺς εὑρέθη παρά τινων καὶ ἄλλη ὁδὸς καταντῶσα, ὡς λέγουσι, καὶ αὐτὴ ἐκεῖ, καὶ νὰ μὲ παροτρύνωσιν, ὅτι Ἐλθὲ καὶ διὰ τῆς ὁδοῦ ταύτης, ἧς εὑρομεν· καὶ γὰρ, εἰ καὶ ἔστιν αὕτη, ὁποῦ ἀπέρχη, καλὴ καὶ ἀρχαία, καὶ ἡμῖν ἀρχῆθεν σὺν ὑμῖν γνωστὴ καὶ διερχομένη, ἀλλὰ καὶ αὕτη, ἣν εὑρομεν νῦν, καλή ἐστιν. Ἐγὼ δὲ νὰ ἀκούω παρὰ μὲν τῶν, ὅτι καλὴ ἐστι, παρὰ δὲ τῶν, ὅτι οὐ καλὴ, διὰ τί νὰ μηδὲν εἴπω, Μετ' εἰρήνης καὶ ἀγάπης ἀπέρχεσθε καλῶς εἰς τὴν ἁγίαν Σοφίαν, ὁπόθεν βούλεσθε· ἐγὼ δὲ πάλιν θέλω διέρχεσθαι διὰ τῆς ὁδοῦ, ἣν καὶ μεθ' ὑμῶν πολύν τινα χρόνον διηρχόμην, [178] καὶ καλὴν αὐτὴν καὶ παρ' ὑμῶν καὶ τῶν προγόνων μου μαρτυρουμένην. Οὐ διὰ ταύτην οὖν τὴν αἰτίαν εἶπεν ὡς μὴ ὤφελεν· ἤθελα γὰρ νὰ εἶχε γενῆν καλῶς ἑνώσει τῶν ἐκκλησιῶν καὶ νὰ μὲ ἔλιπεν ὁ εἷς τῶν ὀφθαλμῶν μου· ἀλλὰ διὰ τί; Ὅτι ἦν καὶ αὕτη ἡ σύνοδος δουλεία αἰτία μία καὶ πρώτη καὶ μεγάλη εἰς τὸ νὰ γένηται ἡ κατὰ τῆς πόλεως τῶν ἀσεβῶν ἔφοδος καὶ ἀπὸ ταύτην πάλιν ἡ πολιορκία καὶ ἡ αἰχμαλωσία καὶ τοιαύτη καὶ τοσαύτη συμφορὰ ἡμῶν· καὶ ἀκούσατε λόγους ἀληθεῖς τὴν αὐτοαλήθειαν προβαλομένου μου μαρτυρίαν. Εἶπεν ὁ ἀοίδιμος βασιλεὺς πρὸς τὸν υἱὸν αὐτοῦ τὸν βασιλέα κὺρ Ἰωάννην μόνος πρὸς μόνον, ἰσταμένου καὶ ἐμοῦ μόνου ἔμπροσθεν αὐτῶν, ἐμπεσόντος λόγου περὶ τῆς συνόδου· Υἱέ μου, βεβαίως καὶ ἀληθῶς ἐπιστάμεθα ἐν μέσῃ τῇ καρδίᾳ δὴ τῶν ἀσεβῶν, ὅτι πολλὰ τοὺς φοβεῖ, μὴ συμφωνήσωμεν καὶ ἑνωθῶμεν μὲ τοὺς Φράγκους· ἠγοῦντο γὰρ ὅτι, ἂν τοῦτο γένηται, θέλει γενῆν μέγα τι κακὸν εἰς αὐτοὺς παρὰ τῶν τῆς Δύσεως Χριστιανῶν· δι' ἡμᾶς λοιπὸν τὸ περὶ τῆς συνόδου μελέτα μὲν αὐτὸ καὶ ἀνακάτονε, καὶ μάλισθ' ὅταν ἔχῃς χρείαν τινὰ φοβῆσαι τοὺς ἀσεβεῖς· τὸ δὲ νὰ ποιήσῃς αὐτὴν, μηδὲν ἐπιχειρισθῇς αὐτὸ, διότι οὐδὲν βλέπω τοὺς ἡμετέρους, ὅτι εἰσὶν ἁρμόδιοι πρὸς τὸ εὑρεῖν τινα τρόπον ἑνώσεως καὶ εἰρήνης καὶ ὁμονοίας, [179] ἀλλ' ὅτι νὰ τοὺς ἐπιστρέψουν εἰς τὸ νὰ ἐσμὲν ὡς ἀρχῆθεν· τούτου δὲ

Digitized by Google

ἀδυνάτου ὄντος σχεδὸν, φοβοῦμαι μὴ καὶ χεῖρον σχίσμα γένηται· καὶ ἰδοὺ ἀπεσκεπάσθημεν εἰς τοὺς ἀσεβεῖς. Τοῦ δὲ βασιλέως, ὡς ἔδοξε, μὴ δεξαμένου τὸν λόγον τοῦ πατρὸς αὐτοῦ, μηδὲν εἰπὼν ἀναστὰς ἀπῆλθε· καὶ μικρὸν σύννους γεγονὼς ὁ μακαρίτης καὶ ἀοίδιμος πατὴρ αὐτοῦ ἐμβλέψας πρός με ὁρίζει· Ὁ βασιλεὺς, ὁ υἱός μου, ἕνι μὲν ἁρμοδίως βασιλεῖ, οὐ τοῦ παρόντος δὲ καιροῦ. Βλέπει γὰρ καὶ φρονεῖ μεγάλα, καὶ τοιαῦτα οἷα οἱ καιροὶ ἔχρῃζον (ἐπὶ) τῆς εὐημερίας τῶν προγόνων ἡμῶν· ἀμὴ σήμερον, ὡσὰν παρακολουθοῦσιν εἰς ἡμᾶς τὰ πράγματα, οὐ βασιλέα θέλει ἡ ἡμῶν ἀρχὴ, ἀλλ' οἰκονόμον· καὶ φοβοῦμαι, μήποτε ἐκ τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων αὐτοῦ γένηται χαλασμὸς τοῦ ὁσπητίου τούτου· προεῖδον γὰρ καὶ τὰς ἐνθυμήσεις αὐτοῦ, καὶ τὰ ἐδόξαζε κατορθῶσαι μὲ τὸν Μουσταφᾶν, καὶ εἶδον καὶ τὰ τέλη τῶν κατορθωμάτων, εἰς τί κίνδυνον μᾶς ἔφερον, ἕτερον βεβαιοῦν τὴν ποτὲ βουλὴν τοῦ ἀοιδίμου πατρὸς αὐτοῦ. Ὡς ἐστάθη, ἵνα ἀπέλθῃ εἰς τὴν σύνοδον, ἐστάλη εἰς τὸν ἀμηρᾶν ἀποκρισιάρης Ἀνδρόνικος ὁ Ἴαγρος, δηλῶσαι τοῦτο πρὸς ἐκεῖνον ὡς τάχα φίλον καὶ ἀδελφόν· κἀκεῖνος ἀπελογήσατο, [180] ὅτι Οὐδέν μοι φαίνεται καλὸν νὰ ὑπάγῃ νὰ κοπιάσῃ τοσοῦτον καὶ νὰ ἐξοδιάσῃ· καὶ τί νὰ κερδίσῃ; Ἰδοὺ ἐγὼ, καὶ ἐὰν ἔχῃ χρείαν καὶ ἄσπρων δι' ἔξοδον καὶ εἰσόδημα καὶ ἄλλο τι πρὸς θεραπείαν αὐτοῦ, ἕτοιμός εἰμι νὰ τὸν θεραπεύσω. Καὶ ἐγένετο πολὺς λόγος καὶ βουλὴ, πότερον νὰ γένηται τὸ τοῦ ἀμηρᾶ, ἢ νὰ ἀπέλθωσιν εἰς τὴν σύνοδον· καὶ ἐγένετο, ὅπερ ἤθελεν ὁ βασιλεὺς, ἢ μᾶλλον ἡ κακὴ τύχη. Ἐξελθόντος οὖν τοῦ βασιλέως ἀπὸ τῆς πόλεως καὶ ἀπερχομένου ἐβουλεύσατο ὁ ἀμηρᾶς ὅτι νὰ ποιήσῃ μάχην εἰς τὴν πόλιν καὶ νὰ πέμψῃ φωσάτον κατ' αὐτῆς· οὐ τοσοῦτον, ὅτι νὰ ἐπάρῃ αὐτὴν, ὅσον ἵνα ποιήσῃ τὸν βασιλέα νὰ ἐπιτρέψῃ. Καὶ τοῦτο ἐβεβαιώθη καὶ ἐστάθη παρὰ πάντων τῶν αὐτοῦ ἄνευ μόνου τοῦ Χαλὶ πασία, ὅστις ἀντέστη λέγων, ὅτι Μᾶλλον μὲν οὖν αἴτιον θέλει ἦσθεν, ἐὰν ποιήσῃς μάχην τὴν πόλιν, ἵνα ὁ βασιλεὺς εἴπῃ τοὺς Φράγκους ἀπὸ ἀνάγκης, ὅτι, Ἅπερ λέγετε, στέργω τα· καὶ ἰδοὺ ἐγένετο ὅπερ ἐφοβούμεθα· ἀμὴ ἄφες τὸ καὶ ἰδὲ τὸ τί θέλει πράξειν· καὶ εἰ μὲν ὁμονοήσουν, σὺ ἀγάπην ἔχεις μετ' ἐκείνων καὶ ὅρκους εἰς τὸ ἔμπροσθεν πάλιν, ὡς ἂν βλέπῃς, θέλεις πράττειν· εἰ δὲ μᾶλλον οὐδὲν ὁμονοήσουν, τότε μᾶλλον ἐξέβη ὁ λογισμὸς, καὶ μὲ πλέον θάρρος ποίησον τὸ θέλεις. Καὶ αὕτη ἡ βουλὴ τὸν μὲν ἀμηρᾶν τοῦ σκοποῦ ἐκώλυσεν· πρὸς δὲ τοῦ Χαλὶ πασία τὴν βουλὴν λέγοντος τοῦ καιροῦ μαθεῖν ἡμᾶς ἄλλα τῶν ἄλλων, [181] ὁ αὐθέντης μου δεσπότης καὶ οἱ ἄρχοντες ἐξώρθωσαν τὸν Παλαιολόγον Θωμᾶν καὶ (πρὸς) τὸν βασιλέα ἀπέστειλαν· καὶ λογισμὸς καὶ τρικυμία τοῖς ἐν τῇ πόλει περιέπεσεν ὅτι πλείστη, ἕως οὗ πάλιν ἐμάθομεν τὴν ἰσχύσασαν βουλὴν τοῦ Χαλὶ πασία· καὶ ἰδοὺ ἐκμαρτυρία τοῦ ὡς μὴ ὤφελε γενέσθαι τὴν σύνοδον· ἀφίημι γὰρ τὰ ἄλλα ἃ παρηκολούθησαν ἀπὸ τούτου. [191] Τοῦ δὲ αὐτοῦ μς' ἔτους τῇ κς' τοῦ Ἰαννουαρίου μηνὸς εὐλογηθην ἐγὼ Ἑλένην, τὴν θυγατέραν τοῦ ἐπὶ Κανικλείου Ἀλεξίου Παλαιολόγου τοῦ Τζαμπλάκωνος. A

υλθ'.

Καὶ Μαΐου α' τοῦ μζ' ἔτους ἐγεννήθη μοι υἱὸς Ἰωάννης, ὃν καὶ βασιλεὺς ὁ αὐθέντης μου κὺρ Κωνσταντῖνος ἀνεγέννησε διὰ τοῦ θείου βαπτίσματος, ὁ καὶ πρὸ τοῦ ἡμᾶς στεφανώσας.

υμ'.

Καὶ Δεκεμβρίου ιζ' τοῦ μ' ἔτους ἀπέθανεν ἡ δέσποινα κυρὰ Μαρία, ἡ ἀπὸ τῆς Τραπεζοῦντος· καὶ τῇ α' Ἰαννουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ἡ δέσποινα κυρὰ Εὐγένεια ἡ τοῦ Γατελιούτζη θυγάτηρ, αἳ καὶ ἐτάφησαν ἐν τῇ τοῦ Παντοκράτορος μονῇ, καὶ σφοδρῶς, εἴπερ ποτὲ, χειμῶνος τότε γενομένου· καὶ τῇ ιζ' τοῦ αὐτοῦ Ἰαννουαρίου μηνὸς ἀπέθανεν ἡ βασίλισσα κυρὰ (Ζωὴ) καὶ ἐτάφη ἐν τῇ τῆς κυρᾶς Μάρθας μονῇ· [192] καὶ τὸν Φευρουάριον τοῦ αὐτοῦ ἔτους ἐπανέστρεψαν εἰς τὴν πόλιν ἀπὸ τῆς συνόδου ὅ τε βασιλεὺς καὶ ὁ δεσπότης καὶ οἱ ἀπελθόντες ἄλλοι, τοῦ πατριάρχου καὶ μόνον καὶ τοῦ καλοῦ Σαρδέων (μητροπολίτου) κάμοι πλεῖστα φίλων ἐκεῖσεν τελευτησάντων, τούτου μὲν εἰς τὴν Φερράριαν, τοῦ δὲ πατριάρχου ἐν Φλωρεντίᾳ ὕστερον. Καὶ τῇ κζ' Μαρτίου τοῦ αὐτοῦ ἔτους τῇ λαμπρᾷ Κυριακῇ ἐγεννήθη μοι ὁ δεύτερος υἱὸς Ἀλέξιος, ὃς καὶ ἐπέζησεν ἡμέρας καὶ μόνον λ'· καὶ τὸ ἔαρ τοῦ αὐτοῦ χρόνου ἐγεγόνει καὶ πατριάρχης ὁ πρότερον Κυζίκου κὺρ Μητροφάνης. B

υμα'.

Καὶ τῇ ς' Δεκεμβρίου τοῦ μθ' ἔτους ὁρισθεὶς ἀπῆλθον εἰς τὴν νῆσον Λέσβον, καὶ κατέστησα τὸ συμπενθέριον, καὶ ἐποίησα καὶ μνηστείαν γάμου μετὰ κυρᾶς Αἰκατερήνης τῆς θυγατρὸς [193] αὐθεντὶς τῆς Μιτυλήνης καὶ τῶν ἐξῆς κὺρ Νοταρᾶ Παλαιολόγου τοῦ Γατελιούτζη. Καὶ τῇ ις' Ἀπριλλίου τοῦ αὐτοῦ ἔτους τῇ λαμπρᾷ πάλιν Κυριακῇ ἐγεννήθη μοι θυγάτηρ ἡ Θάμαρ· καὶ τῇ αὐτῇ ἡμέρᾳ λαβὼν τὴν αὐτοῦ θυγατέραν Ἀσανίναν τὴν Θεοδώραν Παῦλος ὁ Ἀσάνης, ἔφυγεν ἀπὸ τῆς πόλεως, καὶ ἦλθεν εἰς τὴν Μεσημβρίαν· καὶ δέδωκεν αὐτὴν εἰς νόμιμον γυναῖκα τῷ δεσπότῃ κὺρ Δημητρίῳ· καὶ τῇ κζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν εἰς τὴν Μιτυλήνην μετὰ κατέργων βασιλικῶν, καὶ εὐλογήθη ὁ αὐθέντης μου δηλονότι τὴν ῥηθεῖσαν κυρὰν Αἰκατερήνην, τὴν Γατελιουτζέναν, καπεταναίου ὄντος εἰς τὰ κάτεργα τοῦ μετὰ ταῦτα γεγονότος μεγάλου δουκὸς Λουκᾶ τοῦ Νοταρᾶ. C

υμβ'.

Καὶ τὸν Σεπτέμβριον μῆνα τοῦ ν' ἔτους καταλείψας ἐκεῖσε εἰς τὸν αὐτῆς πατέρα τὴν βασίλισσαν καὶ γυναῖκα αὐτοῦ, ὁ αὐθέντης μου δηλονότι, ἦλθομεν εἰς τὸν Μορέαν μετὰ τῶν αὐτῶν κατέργων καὶ τῆς Μιτυλήνης ἑτέρου ἑνός· [194] καὶ τῇ κ' Ὀκτωβρίου τοῦ αὐτοῦ ἔτους, ὁρισθεὶς διέβην ἐγὼ εἰς τὸν ἀμηρᾶν καὶ τὸν βασιλέα ἀποκρισιάριος, ἔχοντος μου καὶ ἀπόκρυφον μυστήριον, ὅτι, ἐὰν ἐνδιώσῃ τοῦτο καὶ ὁ βασιλεὺς, νὰ ἀπέλθω εἰς τὸν δεσπότην κὺρ Δημήτριον ἄνω εἰς τὴν Μεσημβρίαν καὶ δώσω πρὸς ἐκεῖνον ἅπαντα τὸν τόπον, ὃν ὁ αὐθέντης μου εἰς τὸν Μορέαν εἶχεν· αὐτὸς δὲ πάλιν ἐλθὼν εἰς τὴν πόλιν D

Digitized by Google

ἔχῃ τὴν Σηλυμβρίαν καὶ τὸν πρώην τόπον αὐτοῦ τὴν Μεσημβρίαν καὶ τὰ ἄλλα ἕως τῶν Δέρκων (διὰ τὸ) καὶ εἰς ἐλπίδαν εἶναι τῆς βασιλείας, ὡς ἠγάπα ὁ βασιλεὺς, ἐκεῖσε εὑρισκόμενον· ὃ δὴ καλῶς ἀποδεξάμενος ὁ βασιλεὺς, τὸν Ἰαννουάριον μῆνα εἰς τὴν Μεσημβρίαν πρὸς τὸν δεσπότην κὺρ Δημήτριον ἀπῆλθον· ἐκεῖνος δὲ ἐνεργῶν τὰ κατὰ τῆς πόλεως μᾶλλον τὰ κατ' ἐκείνου ἀπέπεμψέ με ἄπρακτον· ἐν ᾧ μηνὶ καὶ ἐν ἀποπληξίᾳ δεινῇ περιπεσὼν Παῦλος ὁ Ἀσάντης ἐναπέψυξεν· ἐμοῦ δὲ ἐπιστρέψαντος εἰς τὴν πόλιν, καὶ προσμένοντος ὁρισμῷ τοῦ βασιλέως πρὸς τὸ ἐπιστρέψαι εἰς τὸν αὐθέντην μου, τῇ κγ' τοῦ Ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους, ἐπηλάλησε μετὰ Τούρκων καὶ ἀπέκλεισε καὶ ἔφθειρε τὰ τῆς πόλεως ὁ δεσπότης κὺρ Δημήτριος, ἐν ᾧ δὴ μηνὶ καὶ ἡμέρᾳ ἐγεννήθη αὐτῷ καὶ ἡ θυγάτηρ αὐτοῦ· καὶ τὸν Ἰούλιον μῆνα τοῦ αὐτοῦ ἔτους [195], ἐρχομένου τοῦ αὐθεντός μου καὶ δεσπότου κὺρ Κωνσταντίνου εἰς βοήθειαν τῆς πόλεως, καὶ διὰ τῆς Μιτυλήνης διελθόντος καὶ λαβόντος καὶ τὴν αὐτοῦ γυναῖκα τὴν βασίλισσαν, εἰς τὴν Λῆμνον ἦλθε· καὶ εὑρεθέντος ἐκεῖσε ἐπολεμήθη εἰς τὸν Κότζηνον ἡμέρας πολλὰς ὑπὸ τοῦ στόλου παντὸς τῶν Τούρκων· ἀπελθόντος δ' ἀπράκτου τοῦ στόλου βοηθείᾳ Θεοῦ ἡ βασίλισσα ἀπὸ τῆς περιστάσεως, ἀσθενήσασα καὶ ἐκτρωθεῖσα, τὸν Αὔγουστον τοῦ αὐτοῦ ἔτους εἰς τὸ Παλαιόκαστρον τοῦ αὐτοῦ νησίου τῆς Λήμνου ἀπέθανε καὶ ἐτάφη.

υμγ'.

Καὶ τῇ ιδ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ να' ἔτους ἐγεννήθη μοι ὁ ἕτερος υἱὸς Ἀλέξιος· καὶ τὸν Νοέμβριον τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν ὁ δεσπότης καὶ αὐθέντης μου κὺρ Κωνσταντῖνος· καὶ τῇ α' Μαρτίου ἔλαβεν ἀπὸ τὸν βασιλέα τὴν Σηλυμβρίαν, καὶ ἀπέστειλεν ἐμὲ ἐκεῖσεν εἰς κεφαλήν, ἵνα καὶ ἀπὸ τὸν ἀμηρᾶν καὶ τὸν δεσπότην κὺρ Δημήτριον καὶ αὐτὸν δὴ τὸν δεδωκότα βασιλέα προστάξας φυλάττω. Καὶ τὸν Ἰούλιον τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν Φραγκόπουλος ὁ πρωτοστράτωρ· καὶ ὁρισθεὶς κἀγὼ ἀπὸ τὴν Σηλυμβρίαν εἰς τὴν πόλιν ἦλθον· καὶ συμφωνίαι γεγόνασιν, ὅτι ὁ μὲν δεσπότης καὶ αὐθέντης μου εἰς τὸν Μορέαν ἀπέλθῃ καὶ τὸν τόπον πάντα τοῦ δεσπότου κὺρ Θεοδώρου λάβῃ, ἐκεῖνος δὲ εἰς τὴν πόλιν ἔλθῃ, καὶ τὴν Σηλυμβρίαν λάβῃ, ἃ δὴ καὶ ἐγένετο.

υμδ'.

[196] Καὶ τῇ ι' Ὀκτωβρίου τοῦ νβ' ἔτους μετὰ καραβίου ἐξελθόντος ἀπὸ τῆς πόλεως τοῦ αὐθεντός μου καὶ δεσπότου, καὶ ἀπελθόντος εἰς τὸν Μορέαν, καὶ πάλιν μετὰ αὐτοῦ δὴ τοῦ καραβίου ὁ δεσπότης κὺρ Θεόδωρος τὸν Δεκέμβριον μῆνα τοῦ αὐτοῦ ἔτους εἰς τὴν πόλιν ἀπέσωσε. Καὶ τὸν Μάρτιον παρέδωκα ἐγὼ πρὸς αὐτὸν τὴν Σηλυμβρίαν, καὶ ἐμβάντος μου εἰς καράβιον τοῦ ἀπὸ τὴν Κρήτην Ὑαλινᾶ Ἀντωνίου εἰς τὴν τοῦ Εὐρίπου Κάρυστον ἐπαφῆκέ με· καὶ τῇ γ' τοῦ Ἰουνίου διὰ τῆς στερεᾶς ὁδοῦ εἰς τὸν Μυζηθρᾶν ἔφθασα, πολλὰ τοῦ δεσπότου κυροῦ Θεοδώρου ζητοῦντός με καὶ παροτρύνοντος, ἵνα καὶ τὴν Σηλυμβρίαν ἔχω καὶ τῶν πρώτων αὐτοῦ ὑποχειρίων εὑρίσκωμαι. Διερχόμενος δὲ εὗρον καὶ τὸ Ἑξαμίλιον κτισθὲν παρὰ τοῦ αὐθεντός μου καὶ δεσπότου τῷ παρελθόντι καιρῷ τοῦ ἔαρος. Φθάσαντός μου οὖν εἰς τὸν Μυζηθρᾶν, μετά τινας ἡμέρας ὀλίγας, τοῦ καρδηναλίου καὶ βιζεκαγκελλαρίου καὶ λεγάτου καθολικοῦ τοῦ πάπα ἀπερχομένου μετὰ πολλῶν κατέργων εἰς τὴν πόλιν διὰ τὴν κατὰ τῶν ἀσεβῶν τοῦ ῥηγὸς τῆς Οὐγγαρίας ἐξέλευσιν, [197] ἐστάλην καὶ ἐγὼ πάλιν ἀποκρισιάριος πρός τε τὸν βασιλέα καὶ πρὸς τὸν ἀμηρᾶν καὶ αὐτὸν δὴ τὸν ῥῆγαν. ἀλλὰ δὴ καὶ πρὸς τὸν λεγάτον καὶ πρὸς τὸν καπετάνιον Ἀλωΐσιον Λορδᾶν δι' ἀναγκαίας δουλείας πρὸς οὗ προβῶσι τὰ πράγματα· καὶ διερχομένου μου τὴν Κόρινθον τῇ λ' τοῦ Αὐγούστου, ἵνα εἰς τὸν Εὔριπον τὰ κάτεργα τῆς ἁρμάτας φθάσω, εὗρον θαπτόμενον τὸν καλὸν κἀγαθὸν Κορίνθου Μάρκον, ὃς καὶ ἐν τῇ αὐλῇ ἡμῶν ἐγεννήθη καὶ μεθ' ἡμῶν ἀνετράφη καὶ ὑπὸ τοῦ κακοῦ τῆς μητρυιᾶς αὐτοῦ πολλὰ πιεζόμενος μεγάλας θεραπείας παρὰ τῶν γεννητόρων μου εὗρισκεν· ἐκεῖ ἀναγκασθεὶς ἀπὸ τοῦ πολλοῦ κακοῦ ἔφυγεν ἀπὸ τὸν πατέρα αὐτοῦ καὶ εἰς τὴν τῶν Ξανθοπούλων μονὴν ἀπῆλθε· καὶ τοιοῦτος χρήσιμος ἀπεκατεστάθη.

υμε'.

Φθάσας οὖν ἐγὼ εἰς τὸν Εὔριπον, τὰ δὲ κάτεργα οὐ φθάσας, δι' ἄλλου πλευσίμου εἰς τὴν Λῆμνον ἀπεσώθην, εἰς τὰς ἀρχὰς τοῦ Νοεμβρίου τοῦ ιγ' ἔτους· τῷ δὲ αὐτῷ μηνὶ ια' ὁ ῥὴξ τῆς Οὐγγαρίας ἐσκοτώθη παρὰ τοῦ ἀμηρᾶ εἰς τὴν Βάρναν [200] καὶ τῇ ιζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεγόνει παγκόσμιος καύσων καὶ ἄξιος μνήμης, ἐν ᾧ δὴ θέρει καὶ ὁ πνευματικὸς κὺρ Γρηγόριος πατριάρχης ἐγεγόνει· καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεννήθη μοι υἱὸς Ἀνδρόνικος, ὃς ἔζησεν ἡμέρας καὶ μόνον ὀκτώ.

υμς'.

Καὶ τῷ νδ' ἔτει, Δεκεμβρίῳ μηνὶ πρὸς τέλει, ἐλθόντος μου εἰς τὸν Μορέαν μετὰ τῆς πραγματείας Βενετικῶν κατέργων.

υμζ'.

Σεπτεβρίου αὐτοῦ νε' ἔτους εὐεργετήθην τὸ κεφαλατίκιον τοῦ Μυζηθρᾶ, μετὰ καὶ πάντων τῶν περὶ αὐτὸ, ἤγουν Κυλᾶ, Ἑβραϊκῆς Τρύπης, Τζεραμίου, Παγκότων καὶ Σκλαβοχωρίου, καὶ μετὰ πάντων τῶν εἰσοδημάτων αὐτῶν, ὡς οὐκ εἶχεν ἄλλος τις οὕτως πώποτε τὸ τοῦ Μυζηθρᾶ κεφαλατίκιον· ὥρισέ μοι δὲ καὶ τοῦτο, ὅτι Ἐγὼ δέδωκά σοι τὸν Μυζηθρᾶν εἰς κεφαλατίκιον καὶ διὰ τὴν σὴν καλὴν δουλοσύνην καὶ τὴν ἐμὴν πρὸς σὲ ἀναδοχὴν καὶ ἀγάπην, καὶ ὅτι θέλω νὰ ἔνι καὶ τοῦτο ἓν, ὡς ἡ Κόρινθος καὶ ἡ Πάτρα· ὧν τὴν μὲν ἔχει ὁ Καντακουζηνὸς Ἰωάννης, τὴν δὲ Ἀλέξιος ὁ Λάσκαρις· καὶ γίνωσκε ὅτι ἕτερον μεσάζοντα οὐδὲν θέλω ποιήσειν πάρεξ αὐτὸν δὴ τὸν Εὐδαιμονοϊωάννην ὃν ἔχω· ἀλλ' οὐδὲ ἐνταῦθα θέλω εὑρίσκεσθεν ἀεί· [201] ἀμὴ θέλω διέρχεσθεν τὸν τόπον μου διὰ πολλὰ ὠφέλιμα· καὶ ὅταν εὑρίσκωμαι εἰς τὴν Κόρινθον, θέλω πράττειν τὰς ἐμὰς δουλείας καὶ τὰς τοῦ τόπου ἐκείνου μετὰ τοῦ Καντακουζηνοῦ καὶ τοῦ Εὐδαιμονοϊωάννου· ὅταν δὲ εἰς τὴν Πάτραν ἀπέλθω πάλιν μὲ τὸν Λάσ-

Digitized by Google

κυρίν καὶ τὸν Εὐδαιμονοϊωάννην καταλιμπάνων τὸν Καντακουζηνὸν εἰς τὴν ἀρχὴν αὐτοῦ, ὅταν δέ εἰμι ἐνταῦθα μετὰ σοῦ καὶ τοῦ Εὐδαιμονοϊωάννου καὶ ἄλλων, ὅτι, ὅταν σὺν Θεῷ ἔχω καὶ γυναῖκαν, διὰ σοῦ θέλω ἔξειν αὐτὴν, ἐνταῦθα τὸν πλείονα χρόνον θέλω διατριβάσειν, καὶ θέλεις ἤσθεν καὶ σὺ ὁ πλέον γνώριμος αὐτῆς εἰς τὰ τῆς θεραπείας αὐτῆς. Νῦν δ' ἐγὼ μὲν ἀπέρχομαι πρὸς οἰκοδομὴν καλλίονα τοῦ Ἐξαμιλίου· σὺ δὲ ἐνταῦθα εὑρισκόμενος ἄρχε καλῶς τὴν ἀρχήν μου, καὶ παῦσον τὰς ἀδικίας καὶ τὰς πολλὰς ἀρχὰς τῶν ἐνταῦθα εὑρισκομένων, καὶ ποίησον πάντας τοὺς ἐνταῦθα ἵνα σὲ μόνον ἔχωσιν ἀρχὴν, ὡς ἐμὲ μόνον αὐθέντην. Προσκυνήσαντός μου οὖν αὐτῷ καὶ εὐχαριστήσαντος ἀπῆλθεν εἰς τὸ Ἐξαμίλιον τῇ η' τοῦ αὐτοῦ Σεπτεβρίου μηνὸς [202]. Τὸν δὲ Ὀκτώβριον τοῦ αὐτοῦ ἔτους ἐξῆλθεν ἀπὸ τῆς Γλαρέντζας ἡ θυγάτηρ κυροῦ Θωμᾶ τοῦ δεσπότου κυρὰ Ἑλένη, ἵνα ἀπέλθῃ εἰς τὴν Σερβίαν καὶ Λάζαρον τὸν υἱὸν κυροῦ Γεωργίου ἄνδρα λάβῃ, ὅπερ καὶ ἐγένετο· καὶ διὰ τοῦτο καὶ δεσπότην καὶ αὐτὸν δὴ τὸν Λάζαρον ὁ βασιλεὺς κὺρ Ἰωάννης διὰ τοῦ Φιλανθρωπίνου Γεωργίου τετίμηκε. Τῇ δὲ κζ' τοῦ Νοεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθεν ὁ ἀμηρᾶς κατὰ τοῦ Ἐξαμιλίου, καὶ τῇ ι' τοῦ Δεκεμβρίου ἀπῆρεν αὐτὸ καὶ τὸ ἐχάλασε· [203] καὶ ἀπελθόντος αὐτοῦ καὶ ἔως τὴν Πάτραν, τὴν χώραν καὶ μονὴν ἀπῆρε καὶ κατέκαυσε καὶ ἠφάνισε. Καὶ τὸν Αὔγουστον τοῦ αὐτοῦ ἔτους ἐστάλην πάλιν ἐγὼ εἰς τὴν πόλιν, καὶ δι' ἄλλας μὲν δουλείας καὶ διὰ τὴν Τραπεζοῦνταν καὶ τὴν Γοτθίαν συνοικεσίου διὰ τοῦ αὐθεντός μου δουλείαν· ἐπεὶ προσυνέτυχον ἀπ' ἐκεῖθεν εἰς ἃ μέρη καὶ ἱερομόναχον τὸν ὕστερον χρηματίσαντα καὶ μητροπολίτην Ἀθηνῶν καὶ ἀνθρώπους μου ἔστειλα καὶ ἔγραψα.

υμη'.

Καὶ προσμένοντός μου ἐκεῖ τὸν Ἰούνιον τοῦ νς' ἔτους, ἀπέθανεν ὑπὸ λοιμώδους νοσήματος εἰς τὴν Σηλυμβρίαν ὁ δεσπότης κὺρ Θεόδωρος, καὶ φέροντες αὐτὸν εἰς τὴν πόλιν ἔθαψαν ἐν τῇ τοῦ Παντοκράτορος μονῇ· καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ἐμοὶ ὁ υἱὸς Ἀλέξιος, ζήσας χρόνους ε' καὶ μῆνας ια'· οὗ ὁ θάνατος καὶ σφόδρα μου καθήψατο, οὐκ εἰδότος μου τοῦ ἀθλίου τὰ μέλλοντά μοι συμβήσεσθαι λυπηρότερα.

υμθ'.

Καὶ τῇ λα' τοῦ Ὀκτωβρίου μηνὸς τοῦ νζ' ἔτους ἀπέθανε καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης χρόνων ὑπάρχων νς' καὶ μηνῶν ι' καὶ ἡμερῶν ιε'· καὶ ἐτάφη τῇ α' Νοεμβρίου εἰς τὴν μονὴν τοῦ Παντοκράτορος, αὐτοκρατορήσας χρόνους κγ', καὶ μῆνας γ', καὶ ἡμέρας ι'· [204] καὶ τῇ ιγ' τοῦ αὐτοῦ Νοεμβρίου μηνὸς ἦλθεν εἰς τὴν πόλιν μετὰ καραβίου ὁ δεσπότης κὺρ Θωμᾶς, οὐκ εἰδὼς τὸν θάνατον τοῦ βασιλέως, ἀλλὰ περὶ τὴν Καλλίπολιν διερχόμενος· ἀκούσας αὐτόν· ἐκείνου δὲ ἐλθόντος ἔπαυσαν πολλῷ πλέον, ἅπερ ὁ δεσπότης κὺρ Δημήτριος ἢ μᾶλλον οἱ αὐτοῦ σφετεριζόμενοι ἐνεργοῦσαν, ἵνα βασιλεύσῃ, τὸν οὐχὶ καὶ δεσπότην καὶ πορφυρογέννητον παρὰ τῶν Κωνσταντινοπολιτῶν ἄξιον ὄντα κρίνεσθαι, ζῶντος τοῦ πρώτου καὶ τοιούτου ἀδελφοῦ καὶ τοῦ ἐπὶ πᾶσιν ἀγαθοῖς πρωτεύοντος· ἄνευ τοῦ δυστυχῆς εἶναι, ὅμως τὸ πρέπον καὶ δίκαιον ἰσχῦσαν ὁρισμῷ τῆς ἁγίας δεσποίνης καὶ τῶν υἱῶν αὐτῆς τῶν δεσποτῶν καὶ ἀρχόντων βουλῇ καὶ γνώμῃ, [205] τῇ ς' τοῦ Δεκεμβρίου, ἀπῆλθον ἐγὼ ἀποκρισιάριος εἰς τὸν ἀμηρᾶν, ὅτι καὶ αὐτὴ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ καὶ τὸ πρωτεῖον τοῦ χρόνου καὶ ἡ ἀρετὴ καὶ ἡ ἀγάπη τῶν ἐν τῇ πόλει σχεδὸν πάντων τὸν κύριον Κωνσταντῖνον εἰς βασιλέα κρίνουσι, καὶ νὰ ἐπίσταται τοῦτο κἀκεῖνος δὴ ὁ ἀμηρᾶς, ὅπερ καὶ ἔστερξε καὶ ἀπεδέξατο, καὶ μετὰ τιμῆς καὶ δώρων κἀμὲ ἀπέπεμψε. Τὰς αὐτὰς δὲ ἡμέρας καὶ ἄρχοντες ἀπὸ τῆς πόλεως εἰς τὸν Μορέαν ἐστάλησαν Ἀλέξιος Φιλανθρώπινος ὁ Λάσκαρις, ὃς ἐστάλη εἰς τὴν πόλιν παρὰ τοῦ αὐθεντὸς ἡμῶν μετὰ τοῦ δεσπότου κυροῦ Θωμᾶ ὑπὲρ τῶν δουλειῶν αὐτοῦ δὴ τοῦ δεσπότου εἰς τὸν βασιλέα καὶ αὐτὸς ἐπιμεληθῆναι, καὶ Μανουὴλ Παλαιολόγος ὁ Ἴαγρος, καὶ βασιλέα πεποιήκασιν εἰς τὸν Μυζηθρᾶν τῇ ς' Ἰαννουαρίου τὸν δεσπότην κὺρ Κωνσταντῖνον. Καὶ τῇ ιβ' τοῦ Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθε καὶ εἰς τὴν πόλιν μετὰ καραβίου Καταλανικοῦ καὶ παρὰ πάντων ἀσπασίως ἐδέχθη· καὶ τῷ αὐτῷ ἔτει, ἐν μηνὶ Αὐγούστῳ [206] ἐξῆλθεν ὁ δεσπότης ὁ πορφυρογέννητος τιμηθεὶς κὺρ Θωμᾶς καὶ ἀπῆλθεν εἰς τὸν Μορέαν.

υν'.

Καὶ τῇ α' Σεπτεβρίου τοῦ νη' ἔτους ἐξῆλθε καὶ ὁ δεσπότης καὶ πορφυρογέννητος κὺρ Δημήτριος, καὶ ἀπῆλθε κἀκεῖνος εἰς τὴν πόλιν συμβιβασθέντων ἔμπροσθεν τῆς κυρίας καὶ ἁγίας μητρὸς αὐτῶν καὶ τοῦ βασιλέως καὶ ἀδελφοῦ καὶ ἡμῶν τῶν ἐγκρίτων ἀρχόντων καὶ ὅρκους πεποιηκότων, οὓς καὶ κακῶς ἔστερξαν καὶ κακῶς ἀπέλαβον, ὡς εἶδον ὕστερον κἀγώ, εἰ καὶ, πῶς πρὸς ἀλλήλους διετέθησαν, οὔτε τῶν ἀναγκαίων διηγεῖσθαι, οὔτε ἐν τῇ πόλει εὑρισκόμην, ἵνα καλῶς αὐτὰ ἐπίσταμαι· τῇ γὰρ ιδ' τοῦ Ὀκτωβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐστάλην ἐγὼ εἰς τε τὸν τῆς Ἰβηρίας Μέπεν, ἦγουν βασιλέα κὺρ Γεώργιον, καὶ τὸν βασιλέα Τραπεζοῦντος κὺρ Ἰωάννην τὸν Κομνηνὸν μετὰ χαρίτων ἀξιολόγων καὶ παρασκευῆς ὅτι πολλῆς καὶ καλῆς ἀρχοντοπούλων καὶ στρατιωτῶν καὶ ἱερομονάχων καὶ ψαλτῶν καὶ ἰατρῶν καὶ τεχνιτῶν κροτούντων καὶ ὀργανον· οἳ καὶ ἤκουον ὄνομα μὲν αὐτὸ, τί δέ ἐστιν, οὐκ εἶδον, καὶ ἐπεθυμοῦσαν ἰδεῖν καὶ ἀκοῦσαι οἱ Ἴβηρες· καὶ διὰ τοῦτο καὶ συνέτρεχον ἐκ τῶν περάτων αὐτῆς δὴ τῆς Ἰβηρίας, ἵνα ἀκούσωσιν αὐτοῦ· ἀπῆλθον δὲ διὰ συμπενθερίαν, ὅπου ἄρα με φανῇ ἐκ τῶν δύο γενῶν· ἐδέησεν οὖν, ἵνα διὰ τὸ ἀναίτιόν μου πλέον δηλώσω τῷ αὐθέντῃ μου τῷ βασιλεῖ τὰ καλὰ ἀμφοτέρων τῶν μερῶν καὶ τὰ ἐναντία, καὶ πάλιν ὡς ἂν ὁρίσῃ, καὶ ἔστειλα γραφὰς μετὰ ἀνθρώπων, καὶ πάλιν ἄλλους ὁ αὐθέντης μου ἀπολογησάμενος· καὶ ἐρχόμενοι περὶ τὴν Ἀμισὸν ἐναυάγησαν. Καὶ ἕως οὗ νὰ μάθῃ τοῦτο ὁ αὐθέντης μου ὁ βασιλεὺς νὰ στείλῃ ἄλλους, διεβίβασα εἰς τὰ μέρη ἐκεῖνα χρόνους β' παρὰ ἡμέρας λ'. Εὑρισκομένου μου οὖν ἐκεῖσε τῇ κγ' τοῦ Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους

Digitized by Google

[210] τέθνηκεν ἡ ἐν μακαρίᾳ τῇ λήξει γενομένη ἀοίδιμος καὶ ἁγία δέσποινα, ἡ διὰ τοῦ Θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεῖσα Ὑπομονὴ μοναχὴ, καὶ ἐτάφη εἰς τὴν μονὴν τοῦ Παντοκράτορος πλησίον τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως καὶ ἀνδρὸς αὐτῆς.

υνα'.

Καὶ τὸν Φευρουάριον τοῦ νθ' ἔτους ἀπέθανεν ὁ ἀμηρᾶς ὁ Μουράτης· καὶ τοῦτο οὐκ ἀκούσαντός μου εἰς τὴν Ἰβηρίαν, ὡς ἦλθον εἰς τὴν Τραπεζοῦντα, λέγει μοι ὁ βασιλεύς· Ἄρχον ἀποκρισιάρι, [211] νὰ σὲ εἶπω μὲν καλὰ μαντάτα, μόνον νὰ μᾶς δώσῃς τὰ συγχαρίκια· καὶ ἀναστὰς προσεκύνησα αὐτὸν εἰπών· Νὰ ποιήσῃ ὁ Θεὸς πολυχρόνιον τὴν βασιλείαν σου, ὁποῦ πᾶσι τρόποις εὐεργετεῖς ἡμῖν, καὶ θέλεις εὐεργετήσειν καὶ νῦν τὰ καλὰ μαντάτα. Ἀμὴ ἡμεῖς τί ἄξιον ἔχομεν νὰ ἀποδώσωμεν τῇ βασιλείᾳ σου; Καὶ λέγει μοι τὸν θάνατον τοῦ ἀμηρᾶ, καὶ ὅτι ἐγένετο καὶ ὁ υἱὸς αὐτοῦ αὐθέντης, καὶ δέδωκε πολλὰ τὸν βασιλέα καὶ ἐστερξεν, ἵνα ἔχῃ καὶ τὴν ἀγάπην, ἣν μετὰ τοῦ πατρός του εἶχε τὸ ὁσπήτιον ἐκεῖνο. Καὶ ἀκούσας τοῦτο ἐγενόμην ἄφωνος καὶ οὕτως ὀδυνηθείς, ὥσπερ νὰ μὲ ἔλεγεν Θάνατον τῶν ἐμῶν φιλτάτων· καὶ μέχρι τινὸς κατηφιάσας λέγω· Δέσποτά μου, τοῦτο οὐ χαρίεν μαντάτον, ἀλλὰ καὶ ὀδυνηρὸν λίαν. Καὶ λέγει· Πῶς, καλέ; Καὶ εἶπον· Διότι ἐκεῖνος ἦν γέρων καὶ τὸ κατὰ τῆς πόλεως ἀπεπειράσθη αὐτῷ, καὶ πλέον οὐδὲν ἤθελεν, μόνον τὴν ἀγάπην καὶ εἰρήνην· ἀμὴ οὗτος, ὁποῦ ἐγένετο νῦν αὐθέντης, ἕνι νέος καὶ παιδιόθεν ἐχθρὸς τῶν Χριστιανῶν, νὰ ὑβρίζῃ καὶ νὰ ἐπαπειλῆται, ὅτι θέλει ποιήσειν τὰ καὶ τὰ κατὰ τῶν Χριστιανῶν· καὶ ἡ πόλις, εἴπερ ἄλλοτε, ἕνι ἀπὸ τὴν ἀσθένειαν τοῦ αὐθεντός μου τοῦ βασιλέως τοῦ γαμβροῦ ἠπορημένη, [212] καὶ χρέος εἰς τὰ εἰσοδήματα ἐκείνης πολὺ, καὶ ἀπορία εἰς πάντα· καὶ ὁ αὐθέντης μου ὁ βασιλεὺς νέος αὐθέντης καὶ θέλει καιρὸν εἰρηνικὸν νὰ ἐξοικονομήσῃ τὰ ἐκείνης, καὶ ἂν παραχωρήσῃ ὁ Θεὸς, νὰ νικηθῇ ἀπὸ τῆς νεότητος αὐτοῦ καὶ κακίας καὶ νὰ ὁρμήσῃ κατὰ τῆς πόλεως, οὐκ οἶδα, τί νὰ γένηται. Ναὶ, ἂν εἶχεν εὐδοκήσειν ὁ Θεὸς, νὰ ἀπέθνησκεν οὗτος ὁ υἱὸς αὐτοῦ, ἰδοὺ εὐφρόσυνος· κατὰ ἀλήθειαν ἀγγελία! ἐπεὶ ἄλλον οὐκ εἶχε, καὶ ἀπὸ τῆς λύπης ἤθελε γενῆν καὶ ἀσθενέστερος καὶ ὀλιγοχρονιώτερος, καὶ μέσον τούτου ἤθελεν ἀναῤῥωσθῆναι καὶ τὸ ὁσπήτιον ἐκεῖνο· καὶ ἀποθανόντος ἐκείνου ἤθελεν ὑπάγειν εἰς προτίμησιν μεγάλην· καὶ λέγει μοι· Σὺ ἦσαι καὶ τῶν φρονίμων καὶ τῶν πρώτων ἀρχόντων τοῦ ὁσπητίου ἐκείνου, καὶ θέλεις γινώσκειν [213] καὶ εἰς τὰ τοιαῦτα καλλίω· ὅμως ὁ Θεὸς δυνατὸς ἕνι, νὰ τὸ ποιήσῃ διὰ καλόν. Καὶ εἶπον· Οὕτως ἕνι ὡς ὁρίζεις· καὶ ἀπέμεινεν εἰς ἐκεῖνον. Ἐγὼ δὲ ὡς ἤκουσα τοῦτο, καὶ ὅτι ἡ γυνὴ τοῦ ἀμηρᾶ, ἡ θυγάτηρ δεσπότου Σερβίας, ἐντίμως καὶ καλῶς ἐπανέστρεψεν εἰς τοὺς γονεῖς αὐτῆς· ἐπεὶ ἐγὼ ἔμελλον μεῖναι εἰς τὴν Τραπεζοῦντα διὰ αἰτια πολλά· πλεύσιμον δὲ (εὑρὼν) ἀπερχόμενον εἰς τὴν πόλιν, ἔστελλον καὶ ἄλογα καὶ παιδία δύο, ἄτινα ὁ βασιλεὺς Ἰβηρίας ἀπελθὼν περὶ τὸ Σαμαχὶν ἐκρούσευσε καὶ ἔστειλέ μοι χάριν, καὶ ἄλλα τινὰ, ἃ καὶ ἐχαρίσθημεν καὶ ἐκτησάμεθα ἀλλοτρόπως· καθίσας ἔγραψα πρὸς τὸν αὐθέντην μου τὸν βασιλέα, ὅσα καὶ εἰς τὴν Ἰβηρίαν ἔπραξα, καὶ ὅσα εἰς τὴν Τραπεζοῦνταν ὑποπτεύω ὅτι μέλλω πράξειν, καὶ τὴν αἰτίαν τῆς ἐκεῖσε προσμονῆς· ἔγραψα δὲ καὶ ἑτέραν ἀναφοράν, περὶ ὧν μέλλω δηλώσειν· καὶ δοὺς τὰς γραφὰς ἑνὶ τῶν σὺν ἐμοὶ ἀρχοντοπούλων ἔστειλα αὐτὸν παραγγείλας, ὅτι Τὴν μὲν μίαν δὸς τῷ αὐθέντῃ ἡμῶν βασιλεῖ, ὡσὰν προσκυνήσῃς αὐτῷ, καὶ διὰ στόματος πάντα καθ' ἡμᾶς ἀνάφερε· ἔπειτα τὴν αὖριον δὸς τὴν ἑτέραν. Ἔγραψα δὲ οὕτως· Ἐγὼ ἔμαθον τὸν θάνατον τοῦ ἀμηρᾶ φθάσας ἐνταῦθα εἰς τὴν Τραπεζοῦντα [214] παρὰ τοῦ βασιλέως· ἔμαθον οὖν καὶ τῆς ἐξαδέλφης αὐτοῦ τῆς ἀμηρίσσης ἐπαναστροφὴν εἰς τὴν πατρίδα καὶ τοὺς γονεῖς αὐτῆς· λοιπὸν συλλογισάμενος, φαίνεταί μοι κάλλιον καὶ ὠφέλιμον εἰς πολλὰ τὸ ἐκεῖσε αὐτὸ νὰ εὕρῃς τὰ τὴ πράξῃς παρὸ ἀπὸ τὰ ἐνταῦθα· τέσσαρα γὰρ καὶ μόνον εὑρίσκω τὰ προσιστάμενα· τὸ ἔλαττον τοῦ γένους, τὸ τῆς Ἐκκλησίας διὰ τὴν συγγένειαν, τὸ ὅτι εἶχεν ἄνδρα (Τοῦρκον) καὶ τέταρτον ὅτι ἕνι χρόνου πλείονος καὶ ἕνι λογισμὸς, μήποτε ἐλθόντος καιροῦ τοῦ τεκεῖν παιδίον κινδυνεύσῃ, ὡς οἱ φυσικοὶ γράφρουσιν, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐπισυμβαίνει Λοιπὸν περὶ τοῦ πρώτου λέγω, ὅτι οὐδὲν ἕνι παράδοξον· ἐπεὶ οὐδὲν ἕνι ἐλάττονος γένους τῆς κυρίας μου καὶ ἀοιδίμου μητρός σου· περὶ τοῦ δευτέρου καὶ ἂν ὅλως ἐλπίζωμεν ὅτι, τὸ τῆς Τραπεζοῦντος ἂν γένηται, [215] θέλει συγχωρήσειν αὐτὸ ἡ Ἐκκλησία, δοθέντων χρημάτων εἴς τε τὰς ἐκκλησίας καὶ εἰς τοὺς πτωχοὺς, πολλῷ μᾶλλον θέλει συγχωρήσειν τὸ τοῦ δεσπότου Σερβίας, ὁποῦ τὸν ἐντρέπονται καὶ χρεωστοῦσι τοσαύτας χάριτας καὶ ἡ Ἐκκλησία καὶ ἱερομόναχοι καὶ μοναχοὶ καὶ μοναχαὶ καὶ πτωχοί. Περὶ δὲ τοῦ τρίτου καὶ οὐδὲν ἕνι παράδοξον· ἐπεὶ καὶ ἡ δέσποινα κυρὰ Εὐδοκία ἄνδρα προεῖχε Τοῦρκον, καὶ μικροῦ καὶ ὀλίγου τόπου αὐθέντην, καὶ παιδία μετ' ἐκείνου ἐποίησεν· ἀπῆρεν δὲ αὐτὴν εἰς γυναῖκαν ὁ πάππος σου· αὕτη δὲ ἦν τοιούτου μεγάλου αὐθεντὸς γυνὴ, καὶ οὐδὲ κἂν μετ' ἐκείνου, ὡς ἠκούομεν, ἔμεινε· περὶ δὲ τοῦ τετάρτου, καὶ τοῦτο ἂς ἕνι εἰς Θεὸν, καὶ ὡς ἂν τοῦτο εὐδοκήσῃ· ἐπεὶ δὲ καὶ εἰς τὰ ἄλλα πάντα θέλει ἦσθεν συμφορώτερον, καὶ οἱ γονεῖς περιχαρῶς θέλουν δέξεσθαι τοῦτο, στεῖλέ τινα ἢ τῶν τοῦ ὁσπητίου σου ἢ τῶν μοναχῶν, καὶ ἴδε τὸ περὶ τούτου, καὶ μηδὲν γένηται ἀναβολὴ, ἀλλὰ πρᾶξε αὐτά. Ἀποσωθέντων οὖν τῶν γραμματοκομιστῶν ἐν τῇ πόλει τῇ κη' Μαΐου, τοῦ δὲ βασιλέως [216] ὄντος εἰς χοιροκυνήγιον, ὡς ἐλαλήθη, ὅτι ἦλθον οἱ εἰς τὴν Ἰβηρίαν, σχολάσας ἦλθεν οἴκοθεν, χαίρων διὰ τὴν τῆς Σερβίας δουλείαν, ὡς παρακατιὼν ὁ λόγος δηλώσει· ἔτυχε δὲ ὅτι τὴν αὐτὴν δὴ τῆς κη' ἐσπέραν φαίνεταί μοι καθ' ὕπνους, ὅτι ἔφθασα εἰς τὴν πόλιν καὶ πεσόντος μου ἀσπάσασθαι τοὺς βασιλέως πόδας, οὐκ ἀφῆκέ μοι, ἀλλ' ἐπιλαβὼν ἐφίλησέ μοι εἰς τοὺς ὀφθαλμούς· καὶ ἔξυπνος γενόμενος λέγω τοὺς

Digitized by Google

ἀδυνάτου ὄντος σχεδόν, φοβοῦμαι μὴ καὶ χεῖρον σχίσμα γένηται· καὶ ἰδοὺ ἀπεσχεπάσθημεν εἰς τοὺς ἀτεβεῖς. Τοῦ δὲ βασιλέως, ὡς ἔδοξε, μὴ δεξαμένου τὸν λόγον τοῦ πατρὸς αὐτοῦ, μηδὲν εἰπὼν ἀναστὰς ἀπῆλθε· καὶ μικρὸν σύννους γεγονὼς ὁ μακαρίτης καὶ ἀοίδιμος πατὴρ αὐτοῦ ἐμβλέψας πρός με ὁρίζει· Ὁ βασιλεύς, ὁ υἱός μου, ἔνι μὲν ἁρμοδίως βασιλεῖ, οὐ τοῦ παρόντος δὲ καιροῦ. Βλέπει γὰρ καὶ φρονεῖ μεγάλα, καὶ τοιαῦτα οἷα οἱ καιροὶ ἔχρηζον (ἐπὶ) τῆς εὐημερίας τῶν προγόνων ἡμῶν· ἀμὴ σήμερον, ὡσὰν παρακολουθοῦσιν εἰς ἡμᾶς τὰ πράγματα, οὐ βασιλέα θέλει ἡ ἡμῶν ἀρχή, ἀλλ' οἰκονόμον· καὶ φοβοῦμαι, μήποτε ἐκ τῶν ἐνθυμημάτων καὶ ἐπιχειρημάτων αὐτοῦ γένηται χαλασμὸς τοῦ ὁσπητίου τούτου· προεῖδον γὰρ καὶ τὰς ἐνθυμήσεις αὐτοῦ, καὶ τὰ ἐδόξαζε κατορθῶσαι μὲ τὸν Μουσταφᾶν, καὶ εἶδον καὶ τὰ τέλη τῶν κατορθωμάτων, εἰς τί κίνδυνον μᾶς ἔφερον, ἕτερον βεβαιοῦν τὴν ποτὲ βουλὴν τοῦ ἀοιδίμου πατρὸς αὐτοῦ. Ὡς ἐστάθη, ἵνα ἀπέλθῃ εἰς τὴν σύνοδον, ἐστάλη εἰς τὸν ἀμηρᾶν ἀποκρισιάρης Ἀνδρόνικος ὁ Ἴαγρος, δηλῶσαι τοῦτο πρὸς ἐκεῖνον ὡς τάχα φίλον καὶ ἀδελφόν· κἀκεῖνος ἀπελογήσατο, [180] ὅτι Οὐδέν μοι φαίνεται καλὸν νὰ ὑπάγῃ νὰ κοπιάσῃ τοσοῦτον καὶ νὰ ἐξοδιάσῃ· καὶ τί νὰ κερδίσῃ; Ἰδοὺ ἐγὼ, καὶ ἂν ἔχῃ χρείαν καὶ ἄσπρων δι' ἔξοδον καὶ εἰσόδημα καὶ ἄλλο τι πρὸς θεραπείαν αὐτοῦ, ἕτοιμός εἰμι νὰ τὸν θεραπεύσω. Καὶ ἐγένετο πολὺς λόγος καὶ βουλή, πότερον νὰ γένηται τὸ τοῦ ἀμηρᾶ, ἢ νὰ ἀπέλθωσιν εἰς τὴν σύνοδον· καὶ ἐγένετο, ὅπερ ἤθελεν ὁ βασιλεὺς, ἢ μᾶλλον ἡ κακὴ τύχη. Ἐξελθόντος οὖν τοῦ βασιλέως ἀπὸ τῆς πόλεως καὶ ἀπερχομένου ἐβουλεύσατο ὁ ἀμηρᾶς ὅτι νὰ ποιήσῃ μάχην εἰς τὴν πόλιν καὶ νὰ πέμψῃ φωσάτον κατ' αὐτῆς· οὐ τοσοῦτον, ὅτι νὰ ἐπάρῃ αὐτὴν, ὅσον ἵνα ποιήσῃ τὸν βασιλέα νὰ ἐπιτρέψῃ. Καὶ τοῦτο ἐβεβαιώθη καὶ ἐστάθη παρὰ πάντων τῶν αὐτοῦ ἄνευ μόνου τοῦ Χαλὶ πασία, ὅστις ἀντέστη λέγων, ὅτι Μᾶλλον μὲν οὖν αἴτιον θέλει ἦσθεν, ἐὰν ποιήσῃς μάχην τὴν πόλιν, ἵνα ὁ βασιλεὺς εἴπῃ τοὺς Φράγκους ἀπὸ ἀνάγκης, ὅτι, Ἅπερ λέγετε, στέργω τα· καὶ ἰδοὺ ἐγένετο ὅπερ ἐφοβούμεθα· ἀμὴ ἄφες τὸ καὶ ἰδὲ τὸ τί θέλει πράξειν· καὶ εἰ μὲν ὁμονοήσουν, σὺ ἀγάπην ἔχεις μετ' ἐκείνων καὶ ὅρκους εἰς τὸ ἔμπροσθεν πάλιν, ὡς ἂν βλέπῃς, θέλεις πράττειν· εἰ δὲ μᾶλλον οὐδὲν ὁμονοήσουν, τότε μᾶλλον ἐξέβη ὁ λογισμὸς, καὶ μὲ πλέον θάρρος ποίησον τὸ θέλεις. Καὶ αὕτη ἡ βουλὴ τὸν μὲν ἀμηρᾶν τοῦ σκοποῦ ἐκώλυσεν· πρὸς δὲ τοῦ Χαλὶ πασία τὴν βουλὴν λέγοντος τοῦ καιροῦ μαθεῖν ἡμᾶς ἄλλα τῶν ἄλλων, [181] ὁ αὐθέντης μου δεσπότης καὶ οἱ ἄρχοντες ἐξώρθωσαν τὸν Παλαιολόγον Θωμᾶν καὶ (πρὸς) τὸν βασιλέα ἀπέστειλαν· καὶ λογισμὸς καὶ τρικυμία τοῖς ἐν τῇ πόλει περιέπεσεν ὅτι πλείστη, ἕως οὗ πάλιν ἐμάθομεν τὴν ἰσχύσασαν βουλὴν τοῦ Χαλὶ πασία· καὶ ἰδοὺ ἐκμαρτυρία τοῦ ὡς μὴ ὤφελε γενέσθαι τὴν σύνοδον· ἀφίημι γὰρ τὰ ἄλλα ἃ παρηκολούθησαν ἀπὸ τούτου. [191] Τοῦ δὲ αὐτοῦ μς' ἔτους τῇ κς' τοῦ Ἰαννουαρίου μηνὸς εὐλογήθην ἐγὼ Ἑλένην, τὴν θυγατέραν τοῦ ἐπὶ Κανικλείου Ἀλεξίου Παλαιολόγου τοῦ Τζαμπλάκωνος. A

υλθ'.

Καὶ Μαΐου α' τοῦ μζ' ἔτους ἐγεννήθη μοι υἱὸς Ἰωάννης, ὃν καὶ βασιλεὺς ὁ αὐθέντης μου κὺρ Κωνσταντῖνος ἀνεγέννησε διὰ τοῦ θείου βαπτίσματος, ὁ καὶ πρὸ τοῦ ἡμᾶς στεφανώσας.

υμ'.

Καὶ Δεκεμβρίου ιζ' τοῦ μ' ἔτους ἀπέθανεν ἡ δέσποινα κυρὰ Μαρία, ἡ ἀπὸ τῆς Τραπεζοῦντος καὶ τῇ α' Ἰαννουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ἡ δέσποινα κυρὰ Εὐγένεια ἡ τοῦ Γατελιούζη θυγάτηρ, αἱ καὶ ἐτάφησαν ἐν τῇ τοῦ Παντοκράτορος μονῇ, καὶ σφοδροῦ, εἴπερ ποτὲ, χειμῶνος τότε γενομένου· καὶ τῇ ιζ' τοῦ αὐτοῦ Ἰαννουαρίου μηνὸς ἀπέθανεν ἡ βασίλισσα κυρὰ (Ζωὴ) καὶ ἐτάφη ἐν τῇ τῆς κυρᾶς Μάρθας μονῇ· [192] καὶ τὸν Φευρουάριον τοῦ αὐτοῦ ἔτους ἐπανέστρεψαν εἰς τὴν πόλιν ἀπὸ τῆς συνόδου ὅ τε βασιλεὺς καὶ ὁ δεσπότης καὶ οἱ ἀπελθόντες ἄλλοι, τοῦ πατριάρχου καὶ μόνον καὶ τοῦ καλοῦ Σαρδέων (μητροπολίτου) κἀμοὶ πλείστα φίλων ἐκεῖσεν τελευτησάντων, τούτου μὲν εἰς τὴν Φερράριαν, τοῦ δὲ πατριάρχου ἐν Φλωρεντίᾳ ὕστερον. Καὶ τῇ κζ' Μαρτίου τοῦ αὐτοῦ ἔτους τῇ λαμπρᾷ Κυριακῇ ἐγεννήθη μοι ὁ δεύτερος υἱὸς Ἀλέξιος, ὃς καὶ ἐπέζησεν ἡμέρας καὶ μόνον λ'· καὶ τὸ ἔαρ τοῦ αὐτοῦ χρόνου ἐγεγόνει καὶ πατριάρχης ὁ πρότερον Κυζίκου κὺρ Μητροφάνης.

υμα'.

Καὶ τῇ ς' Δεκεμβρίου τοῦ μθ' ἔτους ὁρισθεὶς ἀπῆλθον εἰς τὴν νῆσον Λέσβον, καὶ κατέστησα τὸ συμπενθέριον, καὶ ἐποίησα καὶ μνηστείαν γάμου μετὰ κυρᾶς Αἰκατερήνης τῆς θυγατρὸς [193] αὐθεντὸς τῆς Μιτυλήνης καὶ τῶν ἑξῆς κὺρ Νοταρᾶ Παλαιολόγου τοῦ Γατελιούτζη. Καὶ τῇ ις' Ἀπριλλίου τοῦ αὐτοῦ ἔτους τῇ λαμπρᾷ πάλιν Κυριακῇ ἐγεννήθη μοι θυγάτηρ ἡ Θάμαρ· καὶ τῇ αὐτῇ ἡμέρᾳ λαβὼν τὴν αὐτοῦ θυγατέραν Ἀσανίναν τὴν Θεοδώραν Παῦλος ὁ Ἀσάνης, ἔφυγεν ἀπὸ τῆς πόλεως, καὶ ἦλθεν εἰς τὴν Μεσημβρίαν· καὶ δέδωκεν αὐτὴν εἰς νόμιμον γυναῖκα τῷ δεσπότῃ κὺρ Δημητρίῳ· καὶ τῇ κζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν εἰς τὴν Μιτυλήνην μετὰ κατέργων βασιλικῶν, καὶ εὐλογήθη ὁ αὐθέντης μου δηλονότι τὴν ῥηθεῖσαν κυρὰν Αἰκατερήνην, τὴν Γατελιουτζέναν, καπετανίου ὄντος εἰς τὰ κάτεργα τοῦ μετὰ ταῦτα γεγονότος μεγάλου δουκὸς Λουκᾶ τοῦ Νοταρᾶ.

υμβ'.

Καὶ τὸν Σεπτέμβριον μῆνα τοῦ ν' ἔτους καταλείψας ἐκεῖσε εἰς τὸν αὐτῆς πατέρα τὴν βασίλισσαν καὶ γυναῖκα αὐτοῦ, ὁ αὐθέντης μου δηλονότι, ἤλθομεν εἰς τὸν Μορέαν μετὰ τῶν αὐτῶν κατέργων καὶ τῆς Μιτυλήνης ἑτέρου ἑνός· [194] καὶ τῇ κ' Ὀκτωβρίου τοῦ αὐτοῦ ἔτους, ὁρισθεὶς διέβην ἐγὼ εἰς τὸν ἀμηρᾶν καὶ τὸν βασιλέα ἀποκρισιάριος, ἔχοντος μου καὶ ἀπόκρυφον μυστήριον, ὅτι, ἐὰν ἐνδώσῃ τοῦτο καὶ ὁ βασιλεὺς, νὰ ἀπέλθω εἰς τὸν δεσπότην κὺρ Δημήτριον ἄνω εἰς τὴν Μεσημβρίαν καὶ δώσω πρὸς ἐκεῖνον ἅπαντα τὸν τόπον, ὃν ὁ αὐθέντης μου εἰς τὸν Μορέαν εἶχεν· αὐτὸς δὲ πάλιν ἐλθὼν εἰς τὴν πόλιν

Digitized by Google

ἔχῃ τὴν Σηλυμβρίαν καὶ τὸν πρώην τόπον αὐτοῦ τὴν Μεσημβρίαν καὶ τὰ ἄλλα ἕως τῶν Δέρκων (διὰ τὸ) καὶ εἰς ἐλπίδαν εἶναι τῆς βασιλείας, ὡς ἠγάπα ὁ βασιλεὺς, ἐκεῖσε εὑρισκόμενον· ὁ δὴ καλῶς ἀποδεξάμενος ὁ βασιλεὺς, τὸν Ἰαννουάριον μῆνα εἰς τὴν Μεσημβρίαν πρὸς τὸν δεσπότην κὺρ Δημήτριον ἀπῆλθον· ἐκεῖνος δὲ ἐνεργῶν τὰ κατὰ τῆς πόλεως μᾶλλον τὰ κατ' ἐκείνου ἀπέπεμψέ με ἄπρακτον· ἐν ᾧ μηνὶ καὶ ἐν ἀποπληξίᾳ δεινῇ περιπεσὼν Παῦλος ὁ Ἀσάνης ἐναπέψυξεν· ἐμοῦ δὲ ἐπιστρέψαντος εἰς τὴν πόλιν, καὶ προσμένοντος ὁρισμῷ τοῦ βασιλέως πρὸς τὸ ἐπιστρέψαι εἰς τὸν αὐθέντην μου, τῇ κγ' τοῦ Ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους, ἐπηλάλησε μετὰ Τούρκων καὶ ἀπέκλεισε καὶ ἔφθειρε τὰ τῆς πόλεως ὁ δεσπότης κὺρ Δημήτριος, ἐν ᾧ δὴ μηνὶ καὶ ἡμέρᾳ ἐγεννήθη αὐτῷ καὶ ἡ θυγάτηρ αὐτοῦ· καὶ τὸν Ἰούλιον μῆνα τοῦ αὐτοῦ ἔτους [195], ἐρχομένου τοῦ αὐθεντός μου καὶ δεσπότου κὺρ Κωνσταντίνου εἰς βοήθειαν τῆς πόλεως, καὶ διὰ τῆς Μιτυλήνης διελθόντος καὶ λαβόντος καὶ τὴν αὐτοῦ γυναῖκα τὴν βασίλισσαν, εἰς τὴν Λῆμνον ἦλθε· καὶ εὑρεθέντος ἐκεῖσε ἐπολεμήθη εἰς τὸν Κότζηνον ἡμέρας πολλὰς ὑπὸ τοῦ στόλου παντὸς τῶν Τούρκων· ἀπελθόντος δ' ἀπράκτου τοῦ στόλου βοηθεία Θεοῦ ἡ βασίλισσα ἀπὸ τῆς περιστάσεως, ἀσθενήσασα καὶ ἐκτρωθεῖσα, τὸν Αὔγουστον τοῦ αὐτοῦ ἔτους εἰς τὸ Παλαιόκαστρον τοῦ αὐτοῦ νησίου τῆς Λήμνου ἀπέθανε καὶ ἐτάφη.

υμγ'.

Καὶ τῇ ιδ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ να' ἔτους ἐγεννήθη μοι ὁ ἕτερος υἱὸς Ἀλέξιος· καὶ τὸν Νοέμβριον τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν ὁ δεσπότης καὶ αὐθέντης μου κὺρ Κωνσταντῖνος· καὶ τῇ α' Μαρτίου ἔλαβεν ἀπὸ τὸν βασιλέα τὴν Σηλυμβρίαν, καὶ ἀπέστειλεν ἐμὲ ἐκεῖσεν εἰς κεφαλήν, ἵνα καὶ ἀπὸ τὸν ἀμηρᾶν καὶ τὸν δεσπότην κὺρ Δημήτριον καὶ αὐτὸν δὴ τὸν δεδωκότα βασιλέα προστάξας φυλάττω. Καὶ τὸν Ἰούλιον τοῦ αὐτοῦ ἔτους ἦλθεν εἰς τὴν πόλιν Φραγκόπουλος ὁ πρωτοστράτωρ· καὶ ὁρισθεὶς κἀγὼ ἀπὸ τὴν Σηλυμβρίαν εἰς τὴν πόλιν ἦλθον· καὶ συμφωνίαι γεγόνασιν, ὅτι ὁ μὲν δεσπότης καὶ αὐθέντης μου εἰς τὸν Μορέαν ἀπέλθῃ καὶ τὸν τόπον πάντα τοῦ δεσπότου κὺρ Θεοδώρου λάβῃ, ἐκεῖνος δὲ εἰς τὴν πόλιν ἔλθῃ, καὶ τὴν Σηλυμβρίαν λάβῃ, ἃ δὴ καὶ ἐγένετο.

υμδ'.

[196] Καὶ τῇ ι' Ὀκτωβρίου τοῦ νβ' ἔτους μετὰ καραβίου ἐξελθόντος ἀπὸ τῆς πόλεως τοῦ αὐθεντός μου καὶ δεσπότου, καὶ ἀπελθόντος εἰς τὸν Μορέαν, καὶ πάλιν μετὰ αὐτοῦ δὴ τοῦ καραβίου ὁ δεσπότης κὺρ Θεόδωρος τὸν Δεκέμβριον μῆνα τοῦ αὐτοῦ ἔτους εἰς τὴν πόλιν ἀπέσωσε. Καὶ τὸν Μάρτιον παρέδυκα ἐγὼ πρὸς αὐτὸν τὴν Σηλυμβρίαν, καὶ ἐμβάντος μου εἰς καράβιον τοῦ ἀπὸ τὴν Κρήτην Γαλινᾶ Ἀντωνίου εἰς τὴν τοῦ Εὐρίπου Κάρυστον ἐπαφῆκέ με· καὶ τῇ γ' τοῦ Ἰουνίου διὰ τῆς στερεᾶς ὁδοῦ εἰς τὸν Μυζηθρᾶν ἔφθασα, πολλὰ τοῦ δεσπότου κυροῦ Θεοδώρου ζητοῦντός με καὶ παροτρύνοντος, ἵνα καὶ τὴν Σηλυμβρίαν ἔχω καὶ τῶν πρώτων αὐτοῦ ὑποχειρίων εὑρίσκωμαι. Διερχόμενος δὲ εὗρον καὶ τὸ Ἑξαμίλιον κτισθὲν παρὰ τοῦ αὐθεντός μου καὶ δεσπότου τῷ παρελθόντι καιρῷ τοῦ ἔαρος. Φθάσαντός μου οὖν εἰς τὸν Μυζηθρᾶν, μετά τινας ἡμέρας ὀλίγας, τοῦ καρδηναλίου καὶ βιζεκαγκελλαρίου καὶ λεγάτου καθολικοῦ τοῦ πάπα ἀπερχομένου μετὰ πολλῶν κατέργων εἰς τὴν πόλιν διὰ τὴν κατὰ τῶν ἀσεβῶν τοῦ ῥηγὸς τῆς Οὐγγαρίας ἐξέλευσιν, [197] ἐστάλην καὶ ἐγὼ πάλιν ἀποκρισιάριος πρός τε τὸν βασιλέα καὶ πρὸς τὸν ἀμηρᾶν καὶ αὐτὸν δὴ τὸν ῥῆγαν. ἀλλὰ δὴ καὶ πρὸς τὸν λεγάτον καὶ πρὸς τὸν καπετάνιον Ἀλωΐσιον Λορδᾶν δι' ἀναγκαίας δουλείας πρὸς οὗ προβῶσι τὰ πράγματα· καὶ διερχομένου μου τὴν Κόρινθον τῇ λ' τοῦ Αὐγούστου, ἵνα εἰς τὸν Εὔριπον τὰ κάτεργα τῆς ἁρμάτας φθάσω, εὗρον θαπτόμενον τὸν καλὸν κἀγαθὸν Κορίνθου Μάρκον, ὃς καὶ ἐν τῇ αὐλῇ ἡμῶν ἐγεννήθη καὶ μεθ' ἡμῶν ἀνετράφη καὶ ὑπὸ τοῦ κακοῦ τῆς μητρυιᾶς αὐτοῦ πολλὰ πιεζόμενος μεγάλας θεραπείας παρὰ τῶν γεννητόρων μου εὕρισκεν· ἐκεῖ ἀναγκασθεὶς ἀπὸ τοῦ πολλοῦ κακοῦ ἔφυγεν ἀπὸ τὸν πατέρα αὐτοῦ καὶ εἰς τὴν τῶν Ξανθοπούλων μονὴν ἀπῆλθε· καὶ τοιοῦτος χρήσιμος ἀπεκατεστάθη.

υμε'.

Φθάσας οὖν ἐγὼ εἰς τὸν Εὔριπον, τὰ δὲ κάτεργα οὐ φθάσας, δι' ἄλλου πλευσίμου εἰς τὴν Λῆμνον ἀπεσώθην, εἰς τὰς ἀρχὰς τοῦ Νοεμβρίου τοῦ ιγ' ἔτους· τῷ δὲ αὐτῷ μηνὶ ια' ὁ ῥὴξ τῆς Οὐγγαρίας ἐσκοτώθη παρὰ τοῦ ἀμηρᾶ εἰς τὴν Βάρναν [200] καὶ τῇ ιζ' τοῦ Ἰουλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεγόνει παγκόσμιος καύσων καὶ ἄξιος μνήμης, ἐν ᾧ δὴ θέρει καὶ ὁ πνευματικὸς κὺρ Γρηγόριος πατριάρχης ἐγεγόνει· καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεννήθη μοι υἱὸς Ἀνδρόνικος, ὃς ἔζησεν ἡμέρας καὶ μόνον ὀκτώ.

υμς'.

Καὶ τῷ νδ' ἔτει, Δεκεμβρίῳ μηνὶ πρὸς τέλει, ἐλθόντος μου εἰς τὸν Μορέαν μετὰ τῆς πραγματείας Βενετικῶν κατέργων.

υμζ'.

Σεπτεβρίου αὐτοῦ νε' ἔτους εὐεργετήθην τὸ κεφαλατίκιον τοῦ Μυζηθρᾶ, μετὰ καὶ πάντων τῶν περὶ αὐτὸ, ἤγουν Κυλᾶ, Ἑβραϊκῆς Τρύπης, Τζεραμίου, Παγκότων καὶ Σκλαβοχωρίου, καὶ μετὰ πάντων τῶν εἰσοδημάτων αὐτῶν, ὡς οὐκ εἶχεν ἄλλος τις οὕτως πώποτε τὸ τοῦ Μυζηθρᾶ κεφαλατίκιον· ὥρισέ μοι δὲ καὶ τοῦτο, ὅτι Ἐγὼ δέδωκά σοι τὸν Μυζηθρᾶν εἰς κεφαλατίκιον καὶ διὰ τὴν σὴν καλὴν δουλοσύνην καὶ τὴν ἐμὴν πρὸς σὲ ἀναδοχὴν καὶ ἀγάπην, καὶ ὅτι θέλω νὰ ἔνι καὶ τοῦτο ἕν, ὡς ἡ Κόρινθος καὶ ἡ Πάτρα· ὧν τὴν μὲν ἔχει ὁ Καντακουζηνὸς Ἰωάννης, τὴν δὲ Ἀλέξιος ὁ Λάσκαρις· καὶ γίνωσκε ὅτι ἕτερον μεσάζοντα οὐδὲν θέλω ποιήσειν πάρεξ αὐτὸν δὴ τὸν Εὐδαιμονοϊωάννην ὃν ἔχω· ἀλλ' οὐδὲ ἐνταῦθα θέλω εὑρίσκεσθαι ἀεί· [201] ἀμὴ θέλω διέρχεσθαι τὸν τόπον μου διὰ πολλὰ ὠφέλιμα· καὶ ὅταν εὑρίσκωμαι εἰς τὴν Κόρινθον, θέλω πράττειν τὰς ἐμὰς δουλείας καὶ τὰς τοῦ τόπου ἐκείνου· μετὰ τοῦ Καντακουζηνοῦ καὶ τοῦ Εὐδαιμονοϊωάννου· ὅταν δὲ εἰς τὴν Πάτραν ἀπέλθω πάλιν μὲ τὸν Λάσ-

Digitized by Google

κυρὶν καὶ τὸν Εὐδαιμονοϊωάννην καταλιμπάνων τὸν Καντακουζηνὸν εἰς τὴν ἀρχὴν αὐτοῦ, ὅταν δέ εἰμι ἐνταῦθα μετὰ σοῦ καὶ τοῦ Εὐδαιμονοϊωάννου καὶ ἄλλων, ὅτι, ὅταν σὺν Θεῷ ἔχω καὶ γυναῖκαν, διὰ σοῦ θέλω ἔξειν αὐτὴν, ἐνταῦθα τὸν πλείονα χρόνον θέλω διαβιβάσειν, καὶ θέλεις ἦσθεν καὶ σὺ ὁ πλέον γνώριμος αὐτῆς εἰς τὰ τῆς θεραπείας αὐτῆς. Νῦν δ' ἐγὼ μὲν ἀπέρχομαι πρὸς οἰκοδομὴν καλλίονα τοῦ Ἐξαμιλίου· σὺ δὲ ἐνταῦθα εὑρισκόμενος ἄρχε καλῶς τὴν ἀρχήν μου, καὶ παῦσον τὰς ἀδικίας καὶ τὰς πολλὰς ἀρχὰς τῶν ἐνταῦθα εὑρισκομένων, καὶ ποίησον πάντας τοὺς ἐνταῦθα ἵνα σὲ μόνον ἔχωσιν ἀρχὴν, ὡς ἐμὲ μόνον αὐθέντην. Προσκυνήσαντός μου οὖν αὐτῷ καὶ εὐχαριστήσαντος ἀπῆλθεν εἰς τὸ Ἑξαμίλιον τῇ η' τοῦ αὐτοῦ Σεπτεβρίου μηνὸς [202]. Τὸν δὲ Ὀκτώβριον τοῦ αὐτοῦ ἔτους ἐξῆλθεν ἀπὸ τῆς Γλαρέντζας ἡ θυγάτηρ κυροῦ Θωμᾶ τοῦ δεσπότου κυρὰ Ἑλένη, ἵνα ἀπέλθῃ εἰς τὴν Σερβίαν καὶ Λάζαρον τὸν υἱὸν κυροῦ Γεωργίου ἄνδρα λάβῃ, ὅπερ καὶ ἐγένετο· καὶ διὰ τοῦτο καὶ δεσπότην καὶ αὐτὸν δὴ τὸν Λάζαρον ὁ βασιλεὺς κὺρ Ἰωάννης διὰ τοῦ Φιλανθρωπίνου Γεωργίου τετίμηκε. Τῇ δὲ κζ' τοῦ Νοεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθεν ὁ ἀμηρᾶς κατὰ τοῦ Ἐξαμιλίου, καὶ τῇ ι' τοῦ Δεκεμβρίου ἀπῆρεν αὐτὸ καὶ τὸ ἐχάλασε· [203] καὶ ἀπελθόντος αὐτοῦ καὶ ἔως τὴν Πάτραν, τὴν χώραν καὶ μονὴν ἀπῆρε καὶ κατέκαυσε καὶ ἠφάνισε. Καὶ τὸν Αὔγουστον τοῦ αὐτοῦ ἔτους ἐστάλην πάλιν ἐγὼ εἰς τὴν πόλιν, καὶ δι' ἄλλας μὲν δουλείας καὶ διὰ τὴν Τραπεζοῦνταν καὶ τὴν Γοτθίαν συνοικεσίου διὰ τοῦ αὐθεντός μου δουλείαν· ἐπεὶ προσυνέτυχον ἀπ' ἐκείθεν εἰς ἃ μέρη καὶ ἱερομόναχον τὸν ὕστερον χρηματίσαντα καὶ μητροπολίτην Ἀθηνῶν καὶ ἀνθρώπους μου ἔστειλα καὶ ἔγραψα.

υμη'.

Καὶ προσμένοντός μου ἐκεῖ τὸν Ἰούνιον τοῦ νς' ἔτους, ἀπέθανεν ὑπὸ λοιμώδους νοσήματος εἰς τὴν Σηλυμβρίαν ὁ δεσπότης κὺρ Θεόδωρος, καὶ φέροντες αὐτὸν εἰς τὴν πόλιν ἔθαψαν ἐν τῇ τοῦ Παντοκράτορος μονῇ· καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπέθανεν ἐμοὶ ὁ υἱὸς Ἀλέξιος, ζήσας χρόνους ε' καὶ μῆνας ια'· οὗ ὁ θάνατος καὶ σφόδρα μου καθήψατο, οὐκ εἰδότος μου τοῦ ἀθλίου τὰ μέλλοντά μοι συμβήσεσθαι λυπηρότερα.

υμθ'.

Καὶ τῇ λα' τοῦ Ὀκτωβρίου μηνὸς τοῦ νζ' ἔτους ἀπέθανε καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης χρόνων ὑπάρχων νς' καὶ μηνῶν ι' καὶ ἡμερῶν ιε'· καὶ ἐτάφη τῇ α' Νοεμβρίου εἰς τὴν μονὴν τοῦ Παντοκράτορος, αὐτοκρατορήσας χρόνους κγ', καὶ μῆνας γ', καὶ ἡμέρας ι'· [204] καὶ τῇ ιγ' τοῦ αὐτοῦ Νοεμβρίου μηνὸς ἦλθεν εἰς τὴν πόλιν μετὰ καραβίου ὁ δεσπότης κὺρ Θωμᾶς, οὐκ εἰδὼς τὸν θάνατον τοῦ βασιλέως, ἀλλὰ περὶ τὴν Καλλίπολιν διερχόμενος ἀκούσας αὐτόν· ἐκείνου δὲ ἐλθόντος ἔπαυσαν πολλῷ πλέον, ἅπερ ὁ δεσπότης κὺρ Δημήτριος ἢ μᾶλλον οἱ αὐτοῦ σφετεριζόμενοι ἐνεργοῦσαν, ἵνα βασιλεύσῃ, τὸν οὐχὶ καὶ δεσπότην καὶ πορφυρογέννητον παρὰ τῶν Κωνσταντινοπολιτῶν ἄξιον ὄντα κρίνεσθαι, ζῶντος τοῦ πρωτου καὶ τοιούτου ἀδελφοῦ καὶ τοῦ ἐπὶ πᾶσιν ἀγαθοῖς πρωτεύοντος· ἄνευ τοῦ δυστυχῆς εἶναι, ὅμως τὸ πρέπον καὶ δίκαιον ἰσχῦσαν ὁρισμῷ τῆς ἁγίας δεσποίνης καὶ τῶν υἱῶν αὐτῆς τῶν δεσποτῶν καὶ ἀρχόντων βουλῇ καὶ γνώμῃ, [205] τῇ ς' τοῦ Δεκεμβρίου, ἀπῆλθον ἐγὼ ἀποκρισιάριος εἰς τὸν ἀμηρᾶν, ὅτι καὶ αὐτὴ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ καὶ τὸ πρωτεῖον τοῦ χρόνου καὶ ἡ ἀρετὴ καὶ ἡ ἀγάπη τῶν ἐν τῇ πόλει σχεδὸν πάντων τὸν κύριον Κωνσταντῖνον εἰς βασιλέα κρίνουσι, καὶ νὰ ἐπίσταται τοῦτο κἀκεῖνος δὴ ὁ ἀμηρᾶς, ὅπερ καὶ ἔστερξε καὶ ἀπεδέξατο, καὶ μετὰ τιμῆς καὶ δώρων κἀμὲ ἀπέπεμψε. Τὰς αὐτὰς δὲ ἡμέρας καὶ ἄρχοντες ἀπὸ τῆς πόλεως εἰς τὸν Μορέαν ἐστάλησαν Ἀλέξιος Φιλανθρώπινος ὁ Λάσκαρις, ὃς ἐστάλη εἰς τὴν πόλιν παρὰ τοῦ αὐθεντὸς ἡμῶν μετὰ τοῦ δεσπότου κυροῦ Θωμᾶ ὑπὲρ τῶν δουλειῶν αὐτοῦ δὴ τοῦ δεσπότου εἰς τὸν βασιλέα καὶ αὐτὸς ἐπιμεληθῆναι, καὶ Μανουὴλ Παλαιολόγος ὁ Ἴαγρος, καὶ βασιλέα πεποιήκασιν εἰς τὸν Μυζηθρᾶν τῇ ς' Ἰαννουαρίου τὸν δεσπότην κὺρ Κωνσταντῖνον. Καὶ τῇ ιβ' τοῦ Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθε καὶ εἰς τὴν πόλιν μετὰ καραβίου Καταλανικοῦ καὶ παρὰ πάντων ἀσπασίως ἐδέχθη· καὶ τῷ αὐτῷ ἔτει, ἐν μηνὶ Αὐγούστῳ [206] ἐξῆλθεν ὁ δεσπότης ὁ πορφυρογέννητος τιμηθεὶς κὺρ Θωμᾶς καὶ ἀπῆλθεν εἰς τὸν Μορέαν.

υν'.

Καὶ τῇ α' Σεπτεβρίου τοῦ νη' ἔτους ἐξῆλθε καὶ ὁ δεσπότης καὶ πορφυρογέννητος κὺρ Δημήτριος, καὶ ἀπῆλθε κἀκεῖνος εἰς τὴν πόλιν συμβιβασθέντων ἔμπροσθεν τῆς κυρίας καὶ ἁγίας μητρὸς αὐτῶν καὶ τοῦ βασιλέως καὶ ἀδελφοῦ καὶ ἡμῶν τῶν ἐγκρίτων ἀρχόντων καὶ ὅρκους πεποιηκότων, οὓς καὶ κακῶς ἔστερξαν καὶ κακῶς ἀπέλαβον, ὡς εἶδον ὕστερον κἀγώ, εἰ καὶ, πῶς πρὸς ἀλλήλους διετέθησαν, οὔτε τῶν ἀναγκαίων διηγεῖσθαι, οὔτε ἐν τῇ πόλει εὑρισκόμην, ἵνα καλῶς αὐτὰ ἐπίσταμαι· τῇ γὰρ ιδ' τοῦ Ὀκτωβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐστάλην ἐγὼ εἴς τε τὸν τῆς Ἰβηρίας Μέπεν, ἤγουν βασιλέα κὺρ Γεώργιον, καὶ τὸν βασιλέα Τραπεζοῦντος κὺρ Ἰωάννην τὸν Κομνηνὸν μετὰ χαρίτων ἀξιολόγων καὶ παρασκευῆς ὅτι πολλῆς καὶ καλῆς ἀρχοντοπούλων καὶ στρατιωτῶν καὶ ἱερομονάχων καὶ ψαλτῶν καὶ ἰατρῶν καὶ τεχνιτῶν κροτούντων καὶ ὀργανον· οἳ καὶ ἤκουον ὄνομα μὲν αὐτὸ, τί δέ ἐστιν, οὐκ εἶδον, καὶ ἐπεθυμοῦσαν ἰδεῖν καὶ ἀκοῦσαι οἱ Ἴβηρες· καὶ διὰ τοῦτο καὶ συνέτρεχον ἐκ τῶν περάτων αὐτῆς δὴ τῆς Ἰβηρίας, ἵνα ἀκούσωσιν αὐτοῦ· ἀπῆλθον δὲ διὰ συμπενθερίαν, ὅπου ἄρα με φανῇ ἐκ τῶν δύο γενῶν· ἐδέησεν οὖν, ἵνα διὰ τὸ ἀναίτιόν μου πλέον δηλώσω τῷ αὐθέντῃ μου τῷ βασιλεῖ τὰ καλὰ ἀμφοτέρων τῶν μερῶν καὶ τὰ ἐναντία, καὶ πάλιν ὡς ἂν ὁρίσῃ, καὶ ἔστειλα γραφὰς μετὰ ἀνθρώπων, καὶ πάλιν ἄλλους ὁ αὐθέντης μου ἀπολογησάμενος· καὶ ἐρχόμενοι περὶ τὴν Ἀμισὸν ἐναυάγησαν. Καὶ ἕως οὗ νὰ μάθῃ τοῦτο ὁ αὐθέντης μου ὁ βασιλεὺς νὰ στείλῃ ἄλλους, διεβίβασα εἰς τὰ μέρη ἐκεῖνα χρόνους β' παρὰ ἡμέρας λ'. Εὑρισκομένου μου οὖν ἐκεῖσε τῇ κγ' τοῦ Μαρτίου μηνὸς τοῦ αὐτοῦ ἔτους

Digitized by Google

[210] τέθνηκεν ἡ ἐν μακαρίᾳ τῇ λήξει γενομένη ἀοίδιμος καὶ ἁγία δέσποινα, ἡ διὰ τοῦ Θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεῖσα Ὑπομονὴ μοναχὴ, καὶ ἐτάφη εἰς τὴν μονὴν τοῦ Παντοκράτορος πλησίον τοῦ μακαρίτου καὶ ἀοιδίμου βασιλέως καὶ ἀνδρὸς αὐτῆς.

υνα'.

Καὶ τὸν Φευρουάριον τοῦ νθ' ἔτους ἀπέθανεν ὁ ἀμηρᾶς ὁ Μουράτης· καὶ τοῦτο οὐκ ἀκούσαντός μου εἰς τὴν Ἰδηρίαν, ὡς ἦλθον εἰς τὴν Τραπεζοῦντα, λέγει μοι ὁ βασιλεύς· Ἄρχον ἀποκρισιάρι, [211] νὰ σὲ εἴπω μὲν καλὰ μαντάτα, μόνον νὰ μᾶς δώσῃς τὰ συγχαρίκια· καὶ ἀναστὰς προσεκύνησα αὐτὸν εἰπών· Νὰ ποιήσῃ ὁ Θεὸς πολυχρόνιον τὴν βασιλείαν σου, ὁποῦ πᾶσι τρόποις εὐεργετεῖς ἡμῖν, καὶ θέλεις εὐεργετήσειν καὶ νῦν τὰ καλὰ μαντάτα. Ἀμὴ ἡμεῖς τί ἄξιον ἔχομεν νὰ ἀποδώσωμεν τῇ βασιλείᾳ σου; Καὶ λέγει μοι τὸν θάνατον τοῦ ἀμηρᾶ, καὶ ὅτι ἐγένετο καὶ ὁ υἱὸς αὐτοῦ αὐθέντης, καὶ δέδωκε πολλὰ τὸν βασιλέα καὶ ἔστερξεν, ἵνα ἔχῃ καὶ τὴν ἀγάπην, ἣν μετὰ τοῦ πατρός του εἶχε τὸ ὁσπήτιον ἐκεῖνο. Καὶ ἀκούσας τοῦτο ἐγενόμην ἄφωνος καὶ οὕτως ὀδυνηθείς, ὥσπερ νὰ μὲ ἔλεγεν Θάνατον τῶν ἐμῶν φιλτάτων· καὶ μέχρι τινὸς κατηφιάσας λέγω· Δέσποτά μου, τοῦτο οὐ χαρίεν μαντάτον, ἀλλὰ καὶ ὀδυνηρὸν λίαν. Καὶ λέγει· Πῶς, καλέ; Καὶ εἶπον· Διότι ἐκεῖνος ἦν γέρων καὶ τὸ κατὰ τῆς πόλεως ἀπεπειράσθη αὐτῷ, καὶ πλέον οὐδὲν ἤθελεν, μόνον τὴν ἀγάπην καὶ εἰρήνην· ἀμὴ οὗτος, ὁποῦ ἐγένετο νῦν αὐθέντης, ἕνι νέος καὶ παιδιόθεν ἐχθρὸς τῶν Χριστιανῶν, νὰ ὑβρίζῃ καὶ νὰ ἐπαπειλῆται, ὅτι θέλει ποιήσειν τὰ καὶ τὰ κατὰ τῶν Χριστιανῶν· καὶ ἡ πόλις, εἴπερ ἄλλοτε, ἕνι ἀπὸ τὴν ἀσθένειαν τοῦ αὐθεντός μου τοῦ βασιλέως τοῦ γαμβροῦ ἠπορημένη, [212] καὶ χρέος εἰς τὰ εἰσοδήματα ἐκείνης πολὺ, καὶ ἀπορία εἰς πάντα· καὶ ὁ αὐθέντης μου ὁ βασιλεὺς νέος αὐθέντης καὶ θέλει καιρὸν εἰρηνικὸν νὰ ἐξοικονομήσῃ τὰ ἐκείνης, καὶ ἂν παραχωρήσῃ ὁ Θεὸς, νὰ νικηθῇ ἀπὸ τῆς νεότητος αὐτοῦ καὶ κακίας καὶ νὰ ὁρμήσῃ κατὰ τῆς πόλεως, οὐκ οἶδα, τί νὰ γένηται. Ναὶ, ἂν εἶχεν εὐδοκήσειν ὁ Θεὸς, νὰ ἀπέθνησκεν οὗτος ὁ υἱὸς αὐτοῦ, ἰδοὺ εὐφρόσυνος κατὰ ἀλήθειαν ἀγγελία! ἐπεὶ ἄλλον οὐκ εἶχε, καὶ ἀπὸ τῆς λύπης ἤθελε γενῆν καὶ ἀσθενέστερος καὶ ὀλιγοχρονιώτερος, καὶ μέσον τούτου ἤθελεν ἀναῤῥωσθῆναι καὶ τὸ ὁσπήτιον ἐκεῖνο· καὶ ἀποθανόντος ἐκείνου ἤθελεν ὑπάγειν εἰς προτίμησιν μεγάλην· καὶ λέγει μοι· Σὺ ἦσαι καὶ τῶν φρονίμων καὶ τῶν πρώτων ἀρχόντων τοῦ ὁσπητίου ἐκείνου, καὶ θέλεις γινώσκειν [213] καὶ εἰς τὰ τοιαῦτα καλλίω· ὅμως ὁ Θεὸς δυνατὸς ἕνι, νὰ τὸ ποιήσῃ διὰ καλόν. Καὶ εἶπον· Οὕτως ἕνι ὡς ὁρίζεις· καὶ ἀπέμεινεν εἰς ἐκεῖνον. Ἐγὼ δὲ ὡς ἤκουσα τοῦτο, καὶ ὅτι ἡ γυνὴ τοῦ ἀμηρᾶ, ἡ θυγάτηρ δεσπότου Σερβίας, ἐντίμως καὶ καλῶς ἐπανέστρεψεν εἰς τοὺς γονεῖς αὐτῆς· ἐπεὶ ἐγὼ ἔμελλον μεῖναι εἰς τὴν Τραπεζοῦντα διὰ αἰτια πολλά· πλεύσιμον δὲ (εὑρὼν) ἀπερχόμενον εἰς τὴν πόλιν, ἔστελλον καὶ ἄλογα καὶ παιδία δύο, ἅτινα ὁ βασιλεὺς Ἰδηρίας ἀπελθὼν περὶ τὸ Σαμαχὶν ἐκρούσευσε καὶ ἔστειλέ μοι χάριν, καὶ ἄλλα τινά, ἃ καὶ ἐχαρίσθημεν καὶ ἐκτησάμεθα ἀλλοτρόπως· καθίσας ἔγραψα πρὸς τὸν αὐθέντην μου τὸν βασιλέα, ὅσα καὶ εἰς τὴν Ἰδηρίαν ἔπραξα, καὶ ὅσα εἰς τὴν Τραπεζοῦνταν ὑποπτεύω ὅτι μέλλω πράξειν, καὶ τὴν αἰτίαν τῆς ἐκεῖσε προσμονῆς· ἔγραψα δὲ καὶ ἑτέραν ἀναφοράν, περὶ ὧν μέλλω δηλώσειν· καὶ δοὺς τὰς γραφὰς ἑνὶ τῶν σὺν ἐμοὶ ἀρχοντοπούλων ἔστειλα αὐτὸν παραγγείλας, ὅτι Τὴν μὲν μίαν δὸς τῷ αὐθέντῃ ἡμῶν βασιλεῖ, ὡσὰν προσκυνήσῃς αὐτῷ, καὶ διὰ στόματος πάντα καθ' ἡμᾶς ἀνάφερε· ἔπειτα τὴν αὖριον δὸς τὴν ἑτέραν. Ἔγραψα δὲ οὕτως· Ἐγὼ ἔμαθον τὸν θάνατον τοῦ ἀμηρᾶ φθάσας ἐνταῦθα εἰς τὴν Τραπεζοῦντα [214] παρὰ τοῦ βασιλέως· ἔμαθον οὖν καὶ τῆς ἐξαδέλφης αὐτοῦ τῆς ἀμηρίσσης ἐπαναστροφὴν εἰς τὴν πατρίδα καὶ τοὺς γονεῖς αὐτῆς· λοιπὸν συλλογισάμενος, φαίνεταί μοι κάλλιον καὶ ὠφέλιμον εἰς πολλὰ τὸ ἐκεῖσε αὐτὸ νὰ εὕρῃς τὰ τὸ πράξῃς παρὸ ἀπὸ τὰ ἐνταῦθα· τέσσαρα γὰρ καὶ μόνον εὑρίσκω τὰ προσιστάμενα· τὸ ἔλαττον τοῦ γένους, τὸ τῆς Ἐκκλησίας διὰ τὴν συγγένειαν, τὸ ὅτι εἶχεν ἄνδρα (Τοῦρκον) καὶ τέταρτον ὅτι ἕνι χρόνου πλείονος καὶ ἕνι λογισμὸς, μήποτε ἐλθόντος καιροῦ τοῦ τεκεῖν παιδίον κινδυνεύσῃ, ὡς οἱ φυσικοὶ γράφρουσιν, ὅτι ὡς ἐπὶ τὸ πλεῖστον ἐπισυμβαίνει Λοιπὸν περὶ τοῦ πρώτου λέγω, ὅτι οὐδὲν ἕνι παράδοξον· ἐπεὶ οὐδὲν ἕνι ἐλάττονος γένους τῆς κυρίας μου καὶ ἀοιδίμου μητρός σου· περὶ τοῦ δευτέρου καὶ ἂν ὅλως ἐλπίζωμεν ὅτι, τὸ τῆς Τραπεζοῦντος ἂν γένηται, [215] θέλει συγχωρήσειν αὐτὸ ἡ Ἐκκλησία, δοθέντων χρημάτων εἴς τε τὰς ἐκκλησίας καὶ εἰς τοὺς πτωχοὺς, πολλῷ μᾶλλον θέλει συγχωρήσειν τὸ τοῦ δεσπότου Σερβίας, ὁποῦ τὸν ἐντρέπονται καὶ χρεωστοῦσι τοσαύτας χάριτας καὶ ἡ Ἐκκλησία καὶ ἱερομόναχοι καὶ μοναχοὶ καὶ μοναχαὶ καὶ πτωχοί. Περὶ δὲ τοῦ τρίτου καὶ οὐδὲν ἕνι παράδοξον· ἐπεὶ καὶ ἡ δέσποινα κυρὰ Εὐδοκία ἄνδρα προεῖχε Τοῦρκον, καὶ μικροῦ καὶ ὀλίγου τόπου αὐθέντην, καὶ παιδία μετ' ἐκείνου ἐποίησεν· ἀπῆρεν δὲ αὐτὴν εἰς γυναῖκαν ὁ πάππος σου· αὕτη δὲ ἦν τοιούτου μεγάλου αὐθεντὸς γυνὴ, καὶ οὐδὲ κἂν μετ' ἐκείνου, ὡς ἠκούομεν, ἔμεινε· περὶ δὲ τοῦ τετάρτου, καὶ τοῦτο ἂς ἕνι εἰς Θεὸν, καὶ ὡς ἂν τοῦτο εὐδοκήσῃ· ἐπεὶ δὲ καὶ εἰς τὰ ἄλλα πάντα θέλει ἦσθεν συμφορώτερον, καὶ οἱ γονεῖς περιχαρῶς θέλουν δέξεσθαι τοῦτο, στεῖλέ τινα ἢ τῶν τοῦ ὁσπητίου σου ἢ τῶν μοναχῶν, καὶ ἴδε τὸ περὶ τούτου, καὶ μηδὲν γένηται ἀναβολὴ, ἀλλὰ πρᾶξε αὐτά. Ἀποσωθέντων οὖν τῶν γραμματοκομιστῶν ἐν τῇ πόλει τῇ κη' Μαΐου, τοῦ δὲ βασιλέως [216] ὄντος εἰς χοιροκυνήγιον, ὡς ἐλαλήθη, ὅτι ἦλθον οἱ εἰς τὴν Ἰδηρίαν, σχολάσας ἦλθεν οἴκοθεν, χαίρων διὰ τὴν τῆς Σερβίας δουλείαν, ὡς παρακατιὼν ὁ λόγος δηλώσει· ἔτυχε δὲ ὅτι τὴν αὐτὴν δὴ τῆς κη' ἐσπέραν φαίνεταί μοι καθ' ὕπνους, ὅτι ἔφθασα εἰς τὴν πόλιν καὶ πεσόντος μου ἀσπάσασθαι τοὺς βασιλέως πόδας, οὐκ ἀφῆκέ μοι, ἀλλ' ἐπιλαβὼν ἐφίλησέ μοι εἰς τοὺς ὀφθαλμούς· καὶ ἐξυπνος γενόμενος λέγω τοὺς

Digitized by Google

περὶ ἐμὲ ὑπνοῦντας, Τὸ καὶ τὸ νῦν ἔδοξέ μοι καθ' ὕπνους, καὶ ἐνθυμεῖσθε τὴν ἡμέραν· ὁ γοῦν αὐθέντης μου καὶ βασιλεὺς ἰδὼν ὅτι οὐκ ἦλθον ἐγώ, ἀλλ' ἀπὸ τῶν σὺν ἐμοί, (ὡς) καὶ τὴν πρώτην γραφὴν ἀνέγνωσε, περίλυπος ἐγένετο καὶ ἐδυσφόρει, καὶ τὴν ἐμὴν κατηγόρει βραδυτῆταν. Ὡς δ' ἐπὶ τὴν αὔριον τὴν ἄλλην γραφὴν ἀνέγνω, ἰδοὺ ἀπέμεινεν ἀρκετὸς, ὡς εἰ ἤρχόμην κἀγώ. Καὶ εὐθὺς οἰκονομήσας Μανουὴλ τὸν Παλαιολόγον τὸν ἀνεψιὸν Καντακουζηνῆς τῆς πρωτοστρατορίσσης ἔστειλεν εἰς τὴν Σερβίαν καὶ ἐδοκιμάσθη τὸ περὶ τούτου, καὶ ἤκουσαν οἱ γονεῖς αὐτῆς ἤδέως τὸν λόγον, καὶ ἑτοίμως εἶχον καὶ πρὸς τὸ ἔργον· ἀλλ' εὑρέθη ὅτι ἡ ἀμήριστα ἐδεήθη τοῦ Θεοῦ καὶ ἔταξεν, ἵνα, εἰ διά τινος τρόπου ἐλευθερώσῃ αὐτὴν ἀπὸ τὸ ὀσπήτιον τοῦ τάχα ἀνδρὸς αὐτῆς, [217] ἄνδρα ἕτερον εἰς ὅλην αὐτῆς τὴν ζωὴν νὰ μηδὲν ἐπάρῃ, ἀλλὰ νὰ μένῃ ἐλευθέρα καὶ κατὰ τὸ δυνατὸν θεραπεύουσα τὸν τὴν ἐλευθερίαν αὐτῇ δεδωκότα. Ἐναπέμεινεν οὖν διὰ ταύτην τὴν αἰτίαν τὸ περὶ τούτου ἀργόν. Τὸν δ' αὐτοῦ τοῦ ἔτους Αὔγουστον διέβη ἀπὸ τῆς πόλεως ὡς φυγὰς καὶ ὁ πατριάρχης κὺρ Γρηγόριος.

υνβ'.

Καὶ ἐγὼ τῇ ιδ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ ξ' ἔτους εἰς τὴν πόλιν ἀπέστειλα μετὰ τοῦ καραβίου τοῦ καλοῦ Ἀντωνίου Ῥίτζου, τοῦ καὶ ὕστερον μαρτυρήσαντος ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως αὐτοῦ, τελέσας ἢ μᾶλλον πλέον βεβαιώσας τὸ τῆς Ἰβηρίας συνοίκέσιον, εἰδὼς τὰ τῆς Τραπεζοῦντος ἐλάττονα πολλῷ πλέον ἐκείνων· εἶπέ μοι γὰρ ὁ βασιλεὺς τῆς Ἰβηρίας ὅτι Ἐφ' ἡμῖν τοῦτο οὐκ ἔστι σύνηθες, ὅτι νὰ δίδωσιν αἱ γυναῖκες χρήματα τοὺς μέλλοντας λαβεῖν ἄνδρας, ἀλλ' οἱ ἄνδρες τὰς γυναῖκας, ὡς καὶ σὺ μαθεῖν ἤθελες ἐνταῦθα· διὰ τοῦτο ποιοῦμέν το μετ' αἰδοῦς καὶ (οὐκ) ἀσυμβουλεύσεως ἀπὸ τοὺς εὐνους καὶ δίδω τὴν θυγατέραν μου ἄνευ [219] τῶν φορεμάτων καὶ σκευῶν τῶν εἰς ὑπηρεσίαν αὐτῆς φλωρία χιλιάδες λς' καὶ νὰ ἔχῃ καὶ κατ' ἔτος χιλιάδες γ' διὰ τὸ νὰ δίδῃ εἰς τὰς ἐκκλησίας καὶ πτωχούς, καὶ ὅπου ἂν φανεῖται αὐτῇ· σὲ δὲ ἀκούω ὅτι ἔχεις παιδία δύο, καὶ τὸ ἀρσενικὸν ἐβάπτισέν το ὁ βασιλεὺς καὶ ἕνι ἐκείνου, τὸ δὲ θηλυκὸν νὰ ἕνι ἀπὸ τὴν σήμερον τῆς θυγατρός μου καὶ νὰ ὀφείλῃ νὰ τὸ ὑπανδρεύσῃ, ὁποῦ ἂν σὺ κρίνῃς ἄξιον καὶ εὕρῃς μετὰ βίου ἰδικωτέρου. Ὅταν δὲ ἔλθῃς σὺν Θεῷ νὰ τὴν ἐπάρῃς, νὰ ἔχῃς παρ' ἐμοῦ γομάρια τέσσαρα μεταξίου· ἕνι δὲ ψιλὸν (καὶ), ὡς ἠκούσαμεν, [220] ἔχει τὸ γομάριον φλωρίων φ'. Ὡς οὖν πάντα τὰ τοῦ ἀποχρισταρίου ὁπὸ μέρους ἀνέφερα, ἦλθον καὶ εἰς τὸ τῆς Σερβίας, καὶ ἠρώτησα μαθεῖν· καὶ ὥρισέ μοι οὕτως· Ἐγὼ ὀφείλω σοι πολλὰ διὰ τὴν εἰς ἐμέ σου ἀγάπην παιδιόθεν καὶ πίστιν καὶ δουλοσύνην· ἀλλὰ τοῦτο δὴ τὸ σὸν σήμερον τὸ περὶ τῆς Σερβίας ἦν βεβαίωσις καὶ ἐκσφράγισμα τῆς εἰς ἐμέ σου ἀγάπης καὶ δουλοσύνης, ὁποῦ λέγω καὶ εἰς ἐμὲ τοῦ νὰ χρεωστῶ νὰ ἀνταμείβωμαι· νὰ κοπιάσῃς γὰρ τοσαῦτα καὶ νὰ πασχίσῃς καὶ νὰ λίπῃς ἀπὸ τὸ ὀσπήτιόν σου τοσοῦτον δὴ καιρὸν, καὶ νὰ εὕρῃς ὅσα εὗρες καὶ τοσαύτας καὶ τοιαύτας ἐπαγγελίας εὐεργεσιῶν καὶ τιμῶν, ἐὰν μόνον τὸ ἐκείνων τελέσῃς· σὺ δὲ νὰ προκρίνῃς τὸ ἐνόησας διὰ συμφέρον πλέον ἐμὸν, καὶ νὰ μὲ γράφῃς καὶ νὰ μὲ βουλεύσαι ἅπερ μοι ἔγραψας, τοῦτο ἦν μέγα τι ἐκμαρτύριον τῆς ἀληθοῦς σου ἀγάπης εἰς ἐμὲ καὶ δουλοσύνης καὶ πίστεως. Καὶ πληροφορήθητι ἀληθῶς, ὅτι θέλεις ἔξειν καὶ παρ' ἐμοῦ ἀξίαν τὴν ἀντάμειψιν, εἴπερ ἐν τοῖς ζῶσιν εὑρίσκομαι. Τὸ περὶ τούτου οὖν παρηκολουθησεν οὕτως, ὡς ἀπέθανεν ὁ ἀμηρᾶς· καὶ τὸ τῆς θυγατρὸς δεσπότου Σερβίας οὕτως παρηκολούθησεν· Ἐλθοῦσα ἡ πρωτοστρατόρισσα συνέτυχέ μοι περὶ τούτου, καὶ πολλὰς δόσεις καὶ ἐπαγγελίας εἰς τὸ μέλλον ὠφελίμους ἔταξεν, ἅπερ καὶ ἐγὼ ἀπὸ πολλῶν αἰτιῶν ἐνόμισα αὐτὰ, καὶ πολλὰ καὶ καλὰ, ἀληθῆ καὶ συμφέροντα· ὅμως δὲ ἤθελεν εἰς τοῦτο καὶ ἄλλων βουλὴν καὶ σκέψιν, πῶς ἂν τυχένῃ νὰ γένηται, ἵνα καὶ γένηται· τίνα οὖν νὰ ἐβουλευόμην; Ἡ κυρά μου ἡ δέσποινα καὶ ἀπέθανεν· ὁ Καντακουζηνὸς, ὁποῦ, ὡς ἀπὸ πολλῶν τῶν ἄλλων, ἀπροσπαθῶς ἐβουλεύετο, καὶ ὁμοίως ἀπέθανεν· ὁ Νοταρᾶς καὶ πάντα τὰ ἄλλα φανερῶς καὶ ἀφανῶς λέγει ὅτι οὐδὲν ὠφελοῦσιν, εἰ μὴ μόνον τὸ ἐκείνου, καὶ πάντα λίθον κινεῖ, ὡς ὁ λόγος, ὡς καὶ σὺ κάλλιον τῶν ἄλλων ἐπίστασαι, ὁ μέγας δομέστικος καὶ διάκειται ἐχθρωδῶς εἰς τὰ τῆς Σερβίας· καὶ ἰδοὺ μετὰ Καντακουζηνοῦ Ἰωάννου ὁμονοήσαντες ἀεὶ παροτρύνουσί με εἰς τὸ τῆς Τραπεζοῦντος. Ποῦ νὰ ἐκούμβιζον; εἰς καλογέρους; Καὶ εἰσὶ τῶν τοιούτων ἀπράγμονες· εἰς ἄρχοντας; Καὶ τίνα νὰ εὕρισκον ἀπροσπαθῆ καὶ νὰ μηδὲν πρόσκειται εἴς τι, [222] ἢ νὰ μηδὲν τὸ ἐξείπῃ πρὸς τοὺς ἄλλους; Λοιπὸν ἐδεινοπάθουν εἰς τὴν σὴν βραδυτῆταν. Ἐλθούσης δὲ τῆς γραφῆς σου, ἰδοὺ καὶ σὲ καὶ τὴν γνώμην σου ἔγνωκα· καὶ τὰ εἴχομεν καὶ ἡμεῖς προσιστάμενα, φρονίμως καὶ καλῶς ἔλυσας. καὶ εὐθὺς τὸν Παλαιολόγον ἔστειλα δι' ἄλλα μὲν τὸ φαινόμενον, ὡς ἀπὸ τῆς θείας του δὲ τῆς πρωτοστρατορίσσης εἶπε τοῦτο, καὶ ἰδοὺ ἠκούσαμεν τὸ αἴτιον τοῦ κωλύματος καὶ ἐπαύσαμεν. Λοιπὸν σὺν Θεῷ ἂς τελέσωμεν τὸ τοῦ βασιλέως τῆς Ἰβηρίας· καὶ γεγονότος χρυσοβούλλου καὶ ὑπογραφέντος, ὅτι ἐκείνου μὲν ἡ θυγάτηρ νὰ ἕνι γυνὴ αὐτοῦ καὶ δεσπότις τῆς Κωνσταντινουπόλεως, οὗτος δὲ νὰ ἕνι ἀνὴρ ἐκείνης εἰς τὰς συμφωνίας, ἃς μετ' ἐμοῦ ἔστειλεν ὁ βασιλεὺς Ἰβηρίας· καὶ κληθεὶς ὁ αὐτὸς σταλεὶς μεθ' ἡμῶν ἐκείνου ἄρχων ἀπὸ τοὺς δευτέρους, ἔμπροσθεν αὐτοῦ ἐποίησεν ὁ βασιλεὺς καὶ αὐθέντης μου οἰκειοχείρως σταυροὺς τρεῖς μετὰ κινναβάρεως εἰς τὸ ἄνωθεν μέτωπον τοῦ χρυσοβούλλου εἰς βεβαίωσιν, ὡς ἡ ἐκείνων συνήθεια· καὶ λαβὼν τὸ χρυσόβουλλον ἀπὸ τὰς χεῖρας αὐτοῦ, καὶ ἀκούσας· Ἰδοὺ οὗτος (δείξας ἐμὲ), ὃς σὺν Θεῷ τὸ ἐρχόμενον ἔαρ ἔρχεται μετὰ κατέργων, ἵνα ἐπάρῃ αὐτὴν, προσκυνήσας ἀπῆλθεν. Ἐπεὶ δὲ ἀπὸ τῆς ἀρχῆς τοῦ αὐτοῦ ἔτους ἐψιθυρίζετο, ὅτι βούλεται ὁ ἀμηρᾶς [223] καὶ εἰς τὸ στενὸν περὶ τὸν Ἀσώματον κτίσαι κάστρον, ἐβουλεύσατο ὁ βασιλεὺς, ἵνα εἰς τὸν Μορέαν ἀποστείλας φέρῃ ἕνα τῶν ἀδελφῶν αὐτοῦ, ὃς ἂν κατα-

Digitized by Google

δέξηται τοῦτο, καὶ τὸ συμπεφωνημένα στέρξῃ, ἵνα χρεία; τυχούσης πρὸς τὰ ἴδωσιν εἰς τὸν ἀμηρᾶν, εἷς ἐκ τῶν δύο ἀπέλθῃ εἰς τοὺς τῆς Δύσεως αὐθέντας· καὶ τούτου σταθέντος, ὁρίζει πρός με μίαν τῶν ἡμερῶν· Πρωτοβεστιαρίτα, εἰς τὸ ἐβουλευσάμεθα, σὺ λέγεις νὰ ἀπέλθῃς εἰς τὸν Μορέαν, καὶ ὡς ἂν κατορθώσῃς τὸ ἐκεῖσε· ἐκεῖνος μὲν νὰ ἔρχηται ἐνταῦθα, οἷος ἂν ᾖ τῶν ἀδελφῶν μου ὁποῦ θελήσῃ τοῦτο, σὺ δὲ νὰ ἀπέλθῃς εἰς τὴν Κύπρον, εἰς τὴν ἀνεψιάν μου τὴν ῥηγίναν· καὶ ἡμεῖς ἐδῶ θέλομεν ἑτοιμάσειν τὰ εἰσὶν χρείας, ὡσὰν ἔλθῃς ἀπὸ τὴν Κύπρον, νὰ ὑπάγῃς εἰς τὴν Ἰβηρίαν, ἵνα ἐπάρῃς τὴν μελλοχυράν σου. Ἀνέφερον δ' αὐτῷ· ἡ ἀγάπη καὶ τὸ χρέος τῆς δουλοσύνης μου ἀπαιτεῖ, ὅτι νὰ εἴπω εἰς τὸν ὁρισμόν σου· ἀμὴ πάλιν φοβοῦμαι διὰ τὴν δούλην καὶ συντέκνισσάν σου, μή ποτε ἀγανακτήσῃ, καὶ ἡ ἀπέλθῃ καὶ γένηται καλογραία ἢ ἀφήσῃ με [224] καὶ ἐπάρῃ ἄλλον· χθὲς γὰρ ἦλθον, ποιήσας εἰς τὴν Ἰβηρίαν χρόνον καὶ μῆνας ια'· καὶ πάλιν νὰ ἀπέλθω νῦν, δίκαιον θέλει ἔχειν νὰ ποιήσῃ οἷον ἐκ τῶν δύο ποιήσῃ. Καὶ γελάσας ὁρίζει· ἀλλὰ εἰπὲ αὐτῇ, ὅτι ταῦτα καὶ μόνον τὰ ταξείδια νὰ σὲ συγχωρήσῃ νὰ ποιήσῃς, καὶ νὰ τὴν ποιήσω ἔνορκον πρόσταγμα, ὅτι πλέον νὰ μηδέν σε ἐνοχλήσω διὰ τοιοῦτόν τι· καὶ μᾶλλον καὶ σὺ ἐπίστασαι, τί ἐνθυμούμεθα καὶ ἀμφότεροι συντυχένομεν καὶ βουλευόμεθα ποιῆσαι· καὶ τοῦτο βεβαιοῦ καὶ χωρὶς ἐνόρκου προστάγματος, ὅτι τὰ διὰ σοῦ ἀποκρισιαρίκια νὰ παύσουν. Ἦν δ' ὅπερ συνετυχένομεν καὶ ἐβουλευόμεθα, ὅτι νὰ μηνύσῃ τὸν μέγαν δοῦκαν τὸν Νοταρᾶν, ὅτι τὸ μεσαστίκιον οὐδὲν ἠμπορεῖ νὰ ἔχῃ· καὶ οὐδὲν τυχένει νὰ [τῆς] τὸ ἐπάρωμεν διὰ τὴν τιμήν του· ἀμὴ νὰ τὸ ἀφήσῃ ἐκεῖνος, νὰ ἔχῃ δὲ καὶ τὸ πριωτεῖον τῆς στάσεως καὶ τῆς βουλῆς, καὶ πρόσοδόν τινα δι' ἄλλου τρόπου· ἐπεὶ ἔχω χρείαν νὰ ποιήσω ἄρχοντας δύο, ὡς ὁ βασιλεὺς ὁ ἀδελφός μου, οὐχὶ μεσάζοντας, ἵνα ἀπὸ τὴν ἀρχὴν τῆς ἡμέρας ὥστι μετ' ἐμοῦ μέχρι πολλῆς ὥρας τῆς νυκτὸς καὶ τὰς δουλείας μου πράττω, ὅπερ καὶ ἐγένετο· [225] καὶ ἐμηνύθη ὁ μέγας δοὺξ διὰ τοῦ συντέκνου αὐτοῦ κάμοῦ ἱερομονάχου καὶ πνευματικοῦ Νεοφύτου τοῦ εἰς τὸν Χαρσιανίτην· ὃ δὴ καὶ ἔστερξεν, ἀκουτίως; ἢ ἀκουτίως, οὐκ οἶδα· καὶ μᾶλλον ἔδειξεν ὅτι κἀκεῖνος ἐβούλετο τοῦτο ποιῆσαι, καὶ ὅτι μόνον νὰ ποιήσῃ τοὺς υἱοὺς αὐτοῦ εἰς τιμήν· καὶ ἐστάθην, εἰ καὶ οὐδὲν ἐτελέσθη, ἐπελθοῦσαι αἱ συμφοραὶ εἰς πάντας ὁμοῦ· καὶ ὥρισεν, ὅτι ἐγὼ μὲν θέλω ἦσθεν ὁ εἷς, καὶ ὅτι στοχάζεται πρὸς τὸν Γουδέλην Νικόλαον, καὶ ἂν ἀρεστὴ ἕνι ἡ συντροφία, νὰ γένηται καὶ μέσον ἡμῶν συμπενθέριον, ὁ υἱός μου τὴν ἐκείνου θυγατέραν. Καὶ αὕτη μὲν ἦν ἡ δουλεία, ὁποῦ ὥρισεν ὅτι ἤθελαν παύσειν εἰς ἐμὲ τὰ ἀποκρισιαρίκια· ὥρισέ μοι δὲ ὅτι πέμψειν ἤθελα εἰς τὸν Μορέαν καὶ ἀπὸ τούτους τάχα τοὺς γεραιτέρους, ἀλλὰ θέλω νὰ δώσω οἰκειόχειρόν μου ἀνάθεσιν ἔχουσαν κεφάλαια ε'· ἵνα [226] εἴπῃ τὸ πρῶτον εἰς συμβίβασιν, εἰ δ' οὖν, τὸ δεύτερον ἢ τὸ τρίτον ἢ τὸ τέταρτον ἢ ἐξ ἀνάγκης τὸ πέμπτον· καὶ δοξάζω ὅτι, οἷον ἀποστείλω ἄνευ σοῦ, θέλει ὑπάγειν, καὶ νὰ

A τὸν τάξουν κανένα χωρίον ἀργυροβούλλῳ ἢ ὅτι θέλει ἔχειν ἐκεῖνος καὶ τὰ παιδία αὐτοῦ οὕτως καὶ οὕτως, εὐθὺς θέλει δώσειν τὸ πέμπτον, ὅπερ θέλει ἦσθεν εἰς ἐμὲ βαρύ. Εἰς τὸ τῆς Κύπρου καὶ ἐπίστασαι τὸν καλόγερον, ὅς μοι συνετύχενε τὴν δεῖνα ἡμέραν; Εἰπέ μοι ἀπὸ τὴν ἀνεψιάν μου, ὅτι Τί ποτε ἔχει τῶν ἀναγκαίων, ὁποῦ ἤθελεν, ἢ ἂν ἦν τῶν δυνατῶν, νὰ μὲ τὸ ἔλεγεν διὰ στόματος αὐτῆς ἢ, κἂν νὰ τὸ ἐμήνυε διὰ πιστοῦ καὶ φρονίμου ἀνθρώπου αὐτῆς, ἂν εἶχεν· ἐπεὶ δὲ τὸ μὲν οὐκ ἔχει, τὸ δὲ ἕνι ἀδύνατον, νὰ στείλω ἐγὼ τὸν ὄν με θέλει φανῆν ἁρμόδιον νὰ τὸ ἀκούσῃ. Τίς οὖν πρὸς τοῦτο ἁρμοδιώτερος· εἰς τὸ τρίτον, καὶ τοῦτο λόγου οὐ δεῖται· σὺ γὰρ ὁποῦ καὶ ἔπραξας καὶ ἔστησας καὶ εἶδες τὸ πρόσωπον καὶ συνέτυχες καὶ ἐκληροφορήθης, πῶς ἠμπορεῖ τὸ τέλος τῆς δουλείας

B νὰ γένηται παρ' ἄλλου; [227] Ἀνέφερον αὐτῷ· Τοῦτο ὁμολογουμένως οὕτως ἔχει, ὡς ὁρίζεις, καὶ συγκατατίθεταί το καὶ ἡ δούλη σου, ἡ σύντροφός μου, ἐπεὶ καὶ τὸ πρᾶγμα τοῦτο ἀπαιτεῖ, καὶ ὅτι διὰ τούτου θέλει ἔχειν καὶ ἄπερ μοι ἔταξας, καὶ τόπον καὶ τιμὴν καὶ ἀναδοχὴν πλείω τῶν ἄλλων ἀρχοντισσῶν· ἀμὴν εἰς τὰ ἄλλα οὐδὲν ἠξεύρω τί νὰ σὲ ἀναφέρω. Καιροῦ δὴ ὄντος τοῦ ἀρίστου ἀπῆλθον ἐγὼ οἴκαδε. Ἀπὸ δὲ τοῦ γεύματος ἐλθόντος τοῦ μεγάλου δουκὸς ὥρισε πρὸς αὐτὸν, ὅσα μετ' ἐμοῦ περὶ τῶν ἀποκρισιαρικίων ὥρισε, πρὸς τὸ νὰ ἀπέλθω, οὐ μὴν τὰ αἴτια, καὶ προσέθηκε καὶ τοῦτο, ὅτι ἕνι καὶ χρεία καὶ ἡμεῖς νὰ τὸν τιμήσωμεν. Εἰς γὰρ τὸ ὀφφίκιον, ὁποῦ ἔχει, χάριν ἡμᾶς οὐδὲν ἔχει, εἰ μὴ τὸν βασι-

C λέα τὸν ἀδελφόν μου· λοιπὸν ἰδὲ αὐτὸν πρὸς τοῦτο καὶ ἐγρήκησον, ποῖον τῶν ὀφφικίων νὰ ὁρίζεται, καὶ πρὸς οὗ ἀκούσωμεν. Συνέτυχέ μοι οὖν, καὶ εἶπον πρὸς αὐτὸν, ὅτι ἐγὼ ἐν νῷ εἶχον ὅτι νὰ τὸν ζητήσω νὰ μὲ εὐεργετήσῃ ὀφφίκιον μεγαλώτερον, πλὴν ὅπερ ἄλλος οὔτε ἔχει ἀλλ' οὐδὲ νὰ τὸ εὐεργετήσῃ ζῶντός μου, διότι καὶ οὕτως μοι φαίνεται πρέπον καὶ ἡγάπουν, καὶ ἀφ' οὗ μάλιστα εἰς τὴν Τραπεζοῦνταν ἀπῆλθον καὶ τοσοῦτα ὀνείδη καὶ κατηγορίας ἤκουσα, πῶς εἰς τὸ αὐτὸ καὶ ἐν ὀφφίκιον εἰσὶν ἄρχοντες [228] τρεῖς ἐνταῦθα· καὶ ἔτι ἑβδομάδα ὁ λογισμός μου εἰς τὴν ὄρεξιν ἣν εἶχον· λοιπὸν ἂς μὲ εὐεργετήσῃ τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου. Ἀπῆλθε καὶ ἀνέφερε ταῦτα τῷ βασιλεῖ, καὶ ὁρίζει πρὸς αὐτόν· Τοῦτο, Νοταρᾶ, τινὰ οὐδὲν τὸ θέλω δώσειν, διότι ὁ

D πρῶτός μου πενθερὸς ἦν μέγας κοντόσταυλος, γεγονὼς παρὰ τοῦ αὐθεντός μου τοῦ βασιλέως τοῦ πατρός μου εἰς τὸ Ἐξαμίλιον· ἀμὴ νὰ τὸν δώσω μεγαλώτερον τούτου, ἵνα τὸν ποιήσω μέγαν λογοθέτην, ὅπερ ἕνι ὀφφίκιον τέταρτον καὶ τὸ τοῦ μεγάλου κοντοσταύλου ἕνι ἕβδομον. Λέγει αὐτῷ ὁ μέγας δοὺξ, Καὶ τί νὰ γένηται μετὰ Παλαιολόγου τὸν Μετοχίταν, ὁποῦ ἐποίησεν (ἡ βασιλεία σου) τὸν υἱὸν τοῦ Καντακουζηνοῦ ζητήσει τοῦ δεσπότου τοῦ ἀδελφοῦ σου διὰ τὴν συγγένειαν τῆς συγγαμβρίας καὶ διὰ τὸν αὐτοῦ πατέρα πρωτοστράτορα, καὶ ἐκεῖνος ὑπάγει νὰ δώσῃ τὴν ψυχὴν του τὸν διάβολον, ἂν καὶ νῦν ποιήσῃς; καὶ τὸν Φραντζῆν μέγαν λογοθέτην, ὁποῦ ἕνι καὶ αὐτὸ πρῶτον ἀπὸ τὸ τοῦ μεγάλου στρατοπεδάρχη· τί θέλει γενῆν; Ἀμὴ δὸς αὐτῷ τὸ μέγα-

Digitized by Google

λου πριμικυρίου, ὁποῦ ἔνι μετὰ τὸν μέγαν στρατοπεδάρχην. Καὶ ὁρίζει πρὸς αὐτόν· Ἐκεῖνος προεῖπέ μοι, ὅτι οὐδὲν θέλει κἀνένα, ἂν ἔνι τὸ μεγαλώτερον [229] ἂν ἔχῃ αὐτὸ ἄλλος· πῶς θέλει καταδέξεσθεν αὐτό; Ὅμως εἰπὲ τοῦτο πρὸς αὐτὸν, καὶ ἂς ἀκούσωμεν. Ἔρχεται καὶ λέγει πρὸς ἐμὲ, ὅτι Περὶ τοῦ μεγάλου κοντοσταύλου τὸ ὀφφίκιον ὁρίζει, ὅτι διὰ τὸ εἶναι τὸν πενθερὸν αὐτοῦ μέγαν κοντόσταυλον οὔτε σὲ οὔτε ἄλλον θέλει εὐεργετήσειν τοῦτο· ἀμὴ νὰ σὲ εὐεργετήσῃ τὸ τοῦ μεγάλου πριμικυρίου, ὅπερ ἔνι καὶ πρὸ τούτου. Εἶπον δ' ἐγὼ πρὸς αὐτὸν, ὅτι, Ἐὰν ἦν καὶ πρῶτον τοῦ μεγάλου δουκὸς, οὐδὲν τὸ θέλω· ἐπεὶ τὸ ἔχει καὶ ἄλλος. Διελύθη ὁ σύλλογος. Βουλευθέντος δέ μου μετὰ τῶν συγγενῶν καὶ φίλων καὶ οἰκείων ἐφάνη καλὸν ὅτι τὸ περὶ τῶν ὀφφικίων νὰ γένηται ὡς γένηται, νὰ ἀπέλθω δὲ εἰς τὸν Μορέαν καὶ τὴν Κύπρον, καὶ ὅτι νὰ ἐπάρω καὶ μετ' ἐμοῦ καὶ τὸν ἄριστόν μου υἱὸν καὶ κρείττονα σχεδὸν πάντων τῶν συνηλικιωτῶν αὐτοῦ καὶ ἀπὸ τοῦ κινητοῦ μου βίου τὸ πλέον μερδικὸν, καὶ νὰ ἀπέλθωμεν τῆς στερεᾶς καὶ νὰ ἴδῃ καὶ τοὺς τόπους· καὶ νὰ παιδευθῇ εἰς πᾶν εἴ τι χήσιμον ἐν τῷ βίῳ, καὶ πρὸς οὗ ἀναδιδάξωσιν ἡμῖν τὰ τοῦ ἀμηρᾶ, καὶ ἂν τυχένῃ, νὰ ἀφήσω τὸν υἱόν μου εἰς τὸν Μορέαν μὲ τὸν βίον μου εἰς τοὺς ἀπὸ μητρὸς γνησίους αὐτοῦ συγγενεῖς, [230] ἢ πάλιν μετ' ἐμοῦ νὰ ἐπαναστρέψῃ· ὅπερ αἴτιον καὶ τὴν μητέρα αὐτοῦ ἐδυσώπησεν, ὁ λογισμὸς δηλονότι τῆς μάχης, καὶ συνεχώρησεν τὴν πάλιν ἐξέλευσίν μου. Ὡς δὲ πάντα τὰ χρειώδη τῆς ὁδοῦ ᾠκονόμησα, καὶ ἔλιπον μόνον αἱ γραφαὶ, μίαν τῶν ἡμερῶν ἀπελθόντος μου εἰς τὸ παλάτιον, ἐσέβηκα εἰς τὸ τοῦ βασιλέως κελλίον ὡς σύνηθές μοι· καὶ ὡς οὐχ εὗρον ἐκεῖσε τὸν βασιλέα, ἐρωτήσας, εἶπόν μοι ὅτι εἰς τὸ τετράσαρον, ἕτερον τοῦ κελλίου αὐτοῦ πλησίον ὀσπήτιον, συντυχένει μετὰ τοῦ παπᾶ Ἀντωνίου τοῦ Ῥοδαίου· καὶ προσμείνας μικρὸν, ἰδοὺ καὶ ὁ βασιλεὺς, θυμοῦ πνέων, καὶ ὁρίζει πρός με· Εἶδές τον, καὶ παραλείπων τὴν ὕβριν, τὸν μεσάζοντά σου· σὺ ἐζήτησας τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου· καὶ ἐγὼ εἶπον πρὸς αὐτόν· Οὔτε ἄλλον τινὰ τὸ θέλω δώσειν, δι' ἃς αἰτίας εἶπον· εἶπον δὲ ἐγὼ τὸ τοῦ μεγάλου λογοθέτου· καὶ εἶπεν ἐκεῖνος, ὅτι θέλει ὑπάγειν ἵνα κρημνίσῃ ὁ Παλαιολόγος [231] ὁ μέγας στρατοπεδάρχης, ὅτι ποιῶ καὶ σὲ πρὸ ἐκείνου, καὶ σήμερον ἔστειλε τὴν προβατείαν, τὸν παπᾶν Ἀντώνιον, ὅτι ἐζήτησεν ἵνα τιμήσωμεν τὰ μουσχαράκιά του, ζητῶν ἵνα ποιήσωμεν τὸν πρῶτον μέγαν λογοθέτην, καὶ τὸν δεύτερον μέγαν κοντόσταυλον, ἐπεὶ καὶ τοὺς λογατόρους (ἔχει) τοῦ αὐτοῦ ὀφφικίου. Λοιπὸν λέγω σοι, ὅτι ἐκείνους, ἂν θέλῃ, θέλουν τοὺς δώσειν ἄλλα μικρότερα ὀφφίκια, ἃ ἀκόμη θέλει ἦσθεν καὶ παρὰ τὴν ἀξίαν τους· σὺ δὲ ἔχε τὸ τοῦ μεγάλου λογοθέτου· τοῦτο δὲ καὶ μόνον σε ζητῶ, ὅτι διὰ πολλὰ τοῦ καιροῦ καὶ τῶν ἀρχόντων αὐτῶν αἴτια, νὰ μηδέν με προσκυνήσῃς εἰς παράστασιν ἑορτῆς ὑπὲρ αὐτοῦ· ἀμὴ νὰ σὲ τὸ γράψῃ ὁ γραμματικὸς ἐν τοῖς πρὸς τοὺς ἀδελφούς μου καὶ τὴν ῥηγίναν, καὶ ἁπλῶς πρὸς πάντας, οὓς μέλλει γράψειν, ὅτι ἔρχεται αὐτοῦ ὁ μέγας λογοθέτης. Καὶ σὺ πάλιν θέλεις τὸ γράψειν ἐδῶ πρὸς ἐμὲ καὶ τοὺς σούς· καὶ θέλεις τὸ βάλλειν εἰς τὸ στόμα τους καὶ ἂν οὐς φανῇ δριμὺ ἢ πικρὸν, τέλος θέλουν τὸ καταπιεῖν. Ἐγὼ δὲ ἀπελογησάμην· Πολλὰ τὰ ἔτη τῆς ἁγίας βασιλείας· ἀμὴ δέομαί σου καὶ παρακαλῶ, ὅτι δι' ἐμὲ μηδὲν ἔνι τίποτε, ὁποῦ νὰ προξενήσῃ λύπην, [232] ἀλλὰ μᾶλλον καὶ τὸ δέρμα μου ἀφαίρεσε, ἂν ἠμπορεῖ νὰ ἔνι πρὸς εἰρήνην καὶ εὐφροσύνην τῆς ἁγίας βασιλείας σου. Κἀκεῖνος ὁρίζει· Ὡς καλὸς ὑποχείριος λέγεις, πλὴν μηδὲν τὸ ἔχεις τίποτε· πρὸς γὰρ τὰς ὑπολήψεις αὐτῶν τῆς πρὸς σὲ τάχα φιλίας καὶ τοὺς τρόπους των ἀπιδὼν ἐλυπήθηκα. Ἀμὴ κάλεσόν μοι ἐδῶ τὸν γραμματικὸν, τίς ἔνι αὐτοῦ; Καὶ ἀποκριθείς τις ἀπῆλθεν αὐτόν· καὶ ὡς ἦλθεν, ὁρίζει πρὸς αὐτόν· Εἴπομεν πρὸς σὲ, πρὸς τίνα καὶ τίνα νὰ γράψῃς πίστωσιν ὅτι θέλει μάθειν· καὶ γράψε ὅτι θέλει μάθειν παρὰ τοῦ μεγάλου λογοθέτου τοῦ δεῖνος· καὶ ἐὰν ζῶμεν καὶ παρέμπροσθεν, θέλω τὸν γράψειν καὶ συγγενῆν εἰς τὴν πομπὴν ἐκείνων, ὁποῦ νὰ τὸ καχίσουν μόνον· καὶ σὺ ἔχε τοῦτο, γραμματικὲ, ὡσὰν ἀπόκρυφον μέχρι τινός· καὶ ἐξοικονομήσας τοὺς ὁρισμοὺς ἔλαβον αὐτοὺς καὶ σήμερον νὰ προσκυνήσω καὶ αὔριον ὁμοίως, καὶ ὅτι ὁ ἀμηρᾶς ἐξῆλθε τῆς Ἀνδριανουπόλεως καὶ ἔρχεται, καὶ ἂς ἴδωμεν, μή ποτε καὶ καθ' ὁδὸν συναντήσῃ σοί τι ἀπευκταῖον.

Ἰδοὺ τῇ κς' Μαρτίου τοῦ αὐτοῦ ἐξηκοστοῦ ἔτους ἦλθεν ὁ ἀμηρᾶς, καὶ ἔπεσεν εἰς τὸ στενὸν, ἵνα ἐκεῖσε κτίσῃ τὸ κάστρον· καὶ σήμερον νὰ ἴδωμεν καὶ [233] αὔριον καὶ ὅτι διὰ τῆς στερεᾶς οὐδὲ τυχένει, ἐπεὶ ἐπὶ κίνδυνον θέλει ἦσθεν· ἰδοὺ εὑρεῖν θέλομεν πλεύσιμον. [234] Τὸν Ἰούνιον τοῦ αὐτοῦ ἔτους ἀπεσκεπάσθη ἡ μάχη· καὶ πηλαλήσαντος φωσάτου, οὓς ἔξωθεν εὗρεν, ἀπῆρε, καὶ τὴν πόλιν ἀπέκλεισε, καὶ τελέσας τὸ κάστρον τῇ λα' τοῦ Αὐγούστου, ἐγερθεὶς ἀπ' ἐκεῖ ἐλθὼν ἔπεσεν εἰς τὰς σούδας τῆς πόλεως.

υνγ'.

Καὶ τῇ γ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ ξα' ἔτους διέβη εἰς τὴν Ἀνδριανούπολιν, ὡς φαίνεται, ὅτι τὰς δύο ἡμέρας αὐτὰς ἵνα κρυφίως ἴδῃ τὸ κάστρον καλῶς καὶ τὰ τοῦ κάστρου· [235] καὶ τῷ αὐτῷ χρόνῳ φθινοπώρῳ ἦλθεν ὁ Τουραχάνης μετὰ καὶ τῶν υἱῶν αὐτοῦ καὶ πολλοῦ φωσάτου εἰς τὸν Μορέαν, ἐν ᾧ καιρῷ καὶ ὁ υἱὸς αὐτοῦ ἐάλω ὑπὸ τῶν Μωραϊτῶν. [236] Καὶ τῇ ιζ' τοῦ Ἰαννουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεννήθη καὶ ὁ τῶν Παλαιολόγων γένους διάδοχος καὶ κληρονόμος, ὁ κὺρ Ἀνδρέας ὁ Παλαιολόγος· [237] καὶ τῇ δ' τοῦ ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθεν πάλιν ὁ ἀμηρᾶς καὶ παρέπεσε τὴν πόλιν πολιορκῶν αὐτὴν πᾶσι τρόποις καὶ πάσαις μηχαναῖς, διά τε γῆς καὶ θαλάσσης περικυκλώσας καὶ τὰ ιη' μίλια τῆς πόλεως, τετρακοσίων πλευσίμων ὄντων ἀπὸ τὴν θάλασσαν μικρῶν καὶ μεγάλων, διακοσίων δὲ χιλιάδων ἀνδρῶν ἀπὸ τῆς στερεᾶς, ἐχούσης τῆς πόλεως, τῆς τοσαύτης εἰς μέγεθος, ἄνδρας πρὸς ἀντιπαράταξιν δῷ ὡς ἄνευ τῶν ξένων μόλις ὄντων σ' ἢ μικρόν τι πρός. [240] Ἔγνων οὖν ἐγὼ τοῦτο οὕτως ἔχον, ἀπὸ αἰτίας τοιαύτης· τοῦ γὰρ βασιλέως προστάξαν-

Digitized by Google

τος τοῖς δημάρχοις ἔγραψεν εἰς ἕκαστος [241] τὴν δημαρχίαν αὐτοῦ ἀκριβῶς, τοὺς δυναμένους σταθῆναι ἐν τῷ κάστρῳ κοσμικοὺς καὶ καλογέρους, καὶ τί καὶ τί ἅρμα πρὸς ἅμυναν νὰ ἔχῃ εἷς ἕκαστος αὐτῶν, καὶ φέροντες εἷς ἕκαστος τῶν δημάρχων δέδωκε τὸ κατάστιχον τῆς αὐτοῦ δημαρχίας τῷ βασιλεῖ· εἶτα ὁρίζει πρὸς ἐμέ· Αὕτη ἡ δουλεία πρὸς σὲ ἀφορᾷ καὶ οὐ πρὸς ἄλλον τινὰ διὰ τὸ ἐπίστασθαί σε καὶ καλῶς ἀριθμεῖν καὶ καλῶς φυλάσσειν τὰ φυλακῆς δεόμενα καὶ ἀπόκρυφα· καὶ λάβε τὰ κατάστιχα καὶ καθίσας εἰς τὸ ὀσπήτιόν σου λογάριασε ἐκριβῶς, πόσοι εἰσὶν ἄνθρωποι, καὶ πόσα ἅρματα, καὶ πόσα κοντάρια, καὶ πόσα σκουτάρια, καὶ πόσα τοξάρια. καὶ ἐκτελέσας τὸν ὁρισμὸν αὐτοῦ φέρων δέδωκα τῷ αὐθέντῃ μου καὶ βασιλεῖ τὸ κατάστιχον μετὰ λύπης καὶ σκυθρωπότητος ὅτι πολλῆς καὶ ἔμεινε μόνον ἐν ἀποκρύφῳ ἡ ποσότης εἰς ἐκεῖνον καὶ ἐμέ. [288] Καὶ τῇ κθ' Μαΐου ἡμέρᾳ, γ' ὥρᾳ τῆς ἡμέρας ἀρχῇ, ἀπῆρε τὴν πόλιν ὁ ἀμηρᾶς, ἐν ᾗ ὥρᾳ καὶ ἀλώσει τῆς πόλεως καὶ ὁ μακαρίτης αὐθέντης μου καὶ βασιλεὺς κὺρ Κωνσταντῖνος σκοτωθεὶς ἀπέθανεν ἐμοῦ πλησίον αὐτοῦ οὐχ εὑρεθέντος τῇ ὥρᾳ ἐκείνῃ, ἀλλὰ προστάξει ἐκείνου εἰς ἐπίσκεψιν δῆθεν ἄλλου μέρους τῆς πόλεως· ἰοὺ ἰοὺ κάμοι, τῆς προνοίας οὐκ οἶδ' εἰς τίνα με καιρὸν φυλαττούσης! Ἦν δὲ ἡ πᾶσα ζωὴ αὐτοῦ δὴ τοῦ μακαρίτου βασιλέως καὶ μάρτυρος χρόνοι μθ' καὶ μῆνες γ' καὶ ἡμέραι η', ἀφ' ὧν ἦν βασιλεὺς χρόνους δ', μῆνας δ' καὶ ἡμέρας κδ', ὄγδοος βασιλεὺς τοῦ γένους αὐτοῦ τῶν Παλαιολόγων ὑπάρχων· ὁ γὰρ πρῶτος ἦν Μιχαὴλ· ὁ δεύτερος Ἀνδρόνικος· ὁ τρίτος Μιχαὴλ· ὁ τέταρτος Ἀνδρόνικος· ὁ πέμπτος Ἰωάννης· ὁ ἕκτος Μανουὴλ· ὁ ἕβδομος Ἰωάννης, καὶ ὁ ὄγδοος Κωνσταντῖνος. Ἦρχον δὲ καὶ βασίλειον ταύτην δὴ τὴν Κωνσταντινούπολιν τὸ τούτων γένος τῶν Παλαιολόγων χρόνους ἑκατὸν ἐνενήκοντα τέσσαρας καὶ μῆνας δέκα καὶ ἡμέρας δ'· ἀλοὺς οὖν ἐγὼ καὶ πάντα τὰ δυχερῆ καὶ κακὰ τῆς αἰχμαλωσίας ὑπενεγκὼν ὁ ἄθλιος, τέλος ἐξαγορασθείς.

υνδ'.

[309] Τῇ α' Σεπτεβρίου τοῦ ξβ' ἔτους εἰς τὸν Μυζηθρᾶν ἀπέσωσα, τῆς γυναικός μου καὶ τῶν παιδίων μου ὑπὸ γερόντων καὶ καλῶν Τούρκων ἁλωθέντων, καὶ παρ' αὐτῶν πάλιν πραθέντων εἰς τὸν τοῦ Ἀμηρᾶ μελαχούρην, ἤγουν κόμητα τῶν αὐτοῦ ἀλόγων, ὃς καὶ πολλὰς καὶ καλὰς τῶν ἀρχοντισσῶν ἠγόρασε, καὶ πολλὰ ἐκέρδησεν ἐπ' αὐταῖς· τοῦ δὲ κάλλους καὶ τῶν ἄλλων ἀγαθῶν τῶν παιδίων μου οὐ δυναμένου κρυβῆναι, [310] μαθόντος περὶ αὐτῶν τοῦ ἀμηρᾶ, ἁπῆρεν αὐτὰ δοὺς πρὸς τὸν μελαχούρην ἄσπρα χιλιάδας πολλάς. Ἐναπέμεινε δὲ ἡ ἀθλία μήτηρ μόνη μετὰ μιᾶς καὶ μόνης ἀνατροφῆς αὐτῆς, αἱ δὲ ἄλλαι διεμερίσθησαν.

Ἐρωτήσειε δ' ἄν τις, καὶ τί ἐγεγόνει παρὰ τοῦ βασιλέως τὸν διὰ μέσου καιρὸν τῆς μάχης, ἐν ᾧ δὴ χρόνῳ καὶ καιρῷ ὁ ἀμηρᾶς παρεσκευάζετο, καὶ τί πρὸς βοήθειαν ἐποίησαν οἱ ἔξωθεν Χριστιανοί. Καὶ τῶν μὲν ἔξωθεν Χριστιανῶν δῆλόν ἐστιν ὅτι οὐδέ τί ποτε· ἀλλὰ μᾶλλον καὶ εἰς τὸν τῆς Σερβίας δε-

A σπότην Γεώργιον ἀποσταλεὶς ἄρχων τοῦ ἀμηρᾶ ἵνα γένηται μέσος εἰς ἀγάπην μετὰ τῶν Οὐγγαρῶν, ἦν ἀνατεθειμένος ὁ μετὰ τοῦ ἀποκρισαρίου τοῦ ἀπερχομένου γραμματικοῦ Χριστιανὸς παρά τινων Τούρκων τῶν τῆς βουλῆς, ἵνα εἴπῃ τῷ δεσπότῃ καὶ ποιήσῃ τρόπον ἀναβολῆς εἰς τὴν ἀγάπην, ὅτι, ἂν γένηται ἡ μετὰ τῶν Οὐγγαρῶν ἀγάπη, εὐθὺς ὑπάγει ὁ ἀμηρᾶς κατὰ τῆς Κωνσταντινουπόλεως· καὶ ἐκεῖνος λόγον οὐκ ἐποιήσατο, οὐκ εἰδότος τοῦ ἀθλίου, ὅτι, ἂν τυχὸν ἀφαιρεθῇ κεφαλὴ σώματος, τὰ μέλη εἰσὶ νεκρά

Εἰς τὴν Βενετίαν καὶ βουλῆς γενομένης μεγάλης ἀντέστη ὁ δοὺξ Φραντζέσκος Φούσκαρις οὐ κατ' ἄγνοιαν· καὶ γὰρ καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης ὡρισέ μας· ἀλλὰ καὶ [324] ἄλλοι οἱ ἰδόντες καὶ B ὁμιλήσαντες αὐτὸν (εἶπον) ὅτι φρονιμώτερον ἄνθρωπον εἰς τὴν Ἰταλίαν οὐκ εἶδον· ἀλλὰ διὰ κακίαν καὶ φθόνον· οὐκ οἶδε γὰρ ὁ φθόνος προτιμᾶν τὸ συμφέρον· ἦν δὲ τὸ αἴτιον τοῦτο τοῦ Ἀλοΐσου Διέδου ἐκείνου μέσου γεγονότος, ἵνα ὁ μακαρίτης αὐθέντης μου κὺρ Κωνσταντῖνος δεσπότης ὢν καὶ εἰς τὸν Μορέαν αὐθέντης εὑρισκόμενος, ἐπάρῃ εἰς γυναῖκαν αὐτοῦ δὴ τοῦ δουκὸς τὴν θυγατέραν καὶ μετὰ πολλῆς προικός. Ὁ αὐθέντης μου οὖν οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ γενέσθαι οἱονεὶ καὶ αὐτὸς καὶ ὁ τόπος αὐτοῦ μετὰ τῆς Βενετίας ἕν, συνεκατέβαινε τὸ τοιοῦτον συμπενθέριον, ἐμοῦ πλέον τῶν ἄλλων συναινοῦντος τοῦτο καὶ ἀναγκάζοντος· καὶ ἰδοὺ ἦν ἵνα γένηται. Ὡς δὲ βασιλεὺς ἐγεγόνει καὶ εἰς τὴν πόλιν ἀπῆλθε, C τοῦτο ἦν πάλιν ἀνοίκειον· τίς γὰρ τῶν τῆς πόλεως ἀρχόντων ἢ ἀρχοντισσῶν κυρίαν καὶ δέσποιναν κατεδέξατο Βενετικοῦ θυγατέραν, ἐνδόξου μὲν ἴσως καὶ δουκὸς, ἀλλὰ προσκαίρως; ἢ τοὺς γαμβροὺς τοὺς ἄλλους αὐτοῦ ὡς συγγάμβρους ἢ τοὺς υἱοὺς ὡς γυναικαδέλφους τοῦ βασιλέως; Λοιπὸν τούτου γυρεύσαντος ἀπεπέμφθη καὶ ἐγένετο ὁ ἄνθρωπος ἐχθρὸς, καὶ πολλὰ εἰπόντων τῶν ἀρχόντων τοῦ Ἀλοΐσου Χουρδᾶ καὶ τοῦ Ἀντωνίου Διέδου καὶ ἄλλων πολλῶν καὶ ἀποδειξάντων ὅτι, ἂν ἁλωθῇ ἡ Κωνσταντινούπολις, εἰς πολλὴν ζημίαν θέλει ἦσθεν καὶ τῆς αὐθεντίας αὐτῶν, οὐκ ἴσχυσαν. [325] Ἡ Ἐκκλησία τῆς Ῥώμης καὶ τί περὶ τούτου ἐφρόντισεν; Εὑρεθέντος καὶ γὰρ τοῦ Καρδηναλίου Ῥωσσίας εἰς τὴν πόλιν, μέσος ἐγὼ παρ' αὐτοῦ γέγονα D εἰς τὸν ἀοίδιμον καὶ μακαρίτην αὐθέντην μου τὸν βασιλέα ἵνα γένηται πατριάρχης· καὶ (πάντα) νὰ γένωνται παρ' αὐτοῦ καὶ τοῦ τότε πάπα, ἢ κἂν ἐκ δευτέρου νὰ μνημονευθῇ ὁ πάπας· καὶ πολλῶν λόγων καὶ βουλῆς καὶ μελέτης γενομένης ἔδοξε τῷ ἀοιδίμῳ βασιλεῖ, ὅτι τὸ ἓν νὰ λείψῃ παντελῶς, διότι πατριάρχου γενομένου ἐνι χρεία παντελῶς ἢ νὰ πείθωνται αὐτῷ ἢ ἐχθρα νὰ γένηται καὶ πόλεμος μέσον αὐτοῦ καὶ τῶν μὴ πειθομένων αὐτῷ· καὶ εἰς τοιοῦτον καιρὸν ὁποῦ μᾶς ἐπεμβαίνει ἔξωθεν πόλεμος, καὶ ἔχωμεν καὶ ἔσωθεν πόλεμον, πόσον κακόν! τοῦ δὲ μνημοσύνου, ἃς γένηται διὰ τὴν ἐλπίδα τῆς βοηθείας ἡμῶν εἰς τὴν ἀνάγκην· καὶ ὅσοι ποιήσουν τοῦτο εἰς τὴν ἁγίαν Σοφίαν, οἱ ἄλλοι θέλουσιν ἦσθεν ἀναίτιοι καὶ εἰρηνικοί.

Digitized by Google

λου πριμικυρίου, ὁποῦ ἔνι μετὰ τὸν μέγαν στρατοπεδάρχην. Καὶ ὁρίζει πρὸς αὐτόν· Ἐκεῖνος προεῖπέ μοι, ὅτι οὐδὲν θέλει κανένα, ἂν ἔνι τὸ μεγαλώτερον [229] ἂν ἔχῃ αὐτὸ ἄλλος· πῶς θέλει καταδέξεσθαι αὐτό; Ὅμως εἰπὲ τοῦτο πρὸς αὐτὸν, καὶ ἂς ἀκούσωμεν. Ἔρχεται καὶ λέγει πρὸς ἐμὲ, ὅτι Περὶ τοῦ μεγάλου κοντοσταύλου τὸ ὀφφίκιον ὁρίζει, ὅτι διὰ τὸ εἶναι τὸν πενθερὸν αὐτοῦ μέγαν κοντόσταυλον οὔτε σὲ οὔτε ἄλλον θέλει εὐεργετήσειν τοῦτο· ἀμὴ νὰ σὲ εὐεργετήσῃ τὸ τοῦ μεγάλου πριμικυρίου, ὅπερ ἔνι καὶ πρὸ τούτου. Εἶπον δ' ἐγὼ πρὸς αὐτὸν, ὅτι, Ἐὰν ἦν καὶ πρῶτον τοῦ μεγάλου δουκὸς, οὐδὲν τὸ θέλω· ἐπειδὴ ἔχει καὶ ἄλλος. Διελύθη ὁ σύλλογος. Βουλευθέντος δέ μου μετὰ τῶν συγγενῶν καὶ φίλων καὶ οἰκείων ἐφάνη καλὸν ὅτι τὸ περὶ τῶν ὀφφικίων νὰ γένηται ὡς γένηται, νὰ ἀπέλθω δὲ εἰς τὸν Μορέαν καὶ τὴν Κύπρον, καὶ ὅτι νὰ ἐπάρω καὶ μετ' ἐμοῦ καὶ τὸν ἄριστόν μου υἱὸν καὶ κρείττονα σχεδὸν πάντων τῶν συνηλικιωτῶν αὐτοῦ καὶ ἀπὸ τοῦ κινητοῦ μου βίου τὸ πλέον μερδικὸν, καὶ νὰ ἀπέλθωμεν τῆς στερεᾶς καὶ νὰ ἴδῃ καὶ τοὺς τόπους· καὶ νὰ παιδευθῇ εἰς πᾶν εἴ τι χήσιμον ἐν τῷ βίῳ, καὶ πρὸς οὗ ἀναδιδάξωσιν ἡμῖν τὰ τοῦ ἀμηρᾶ, καὶ ἂν τυχένῃ, νὰ ἀφήσω τὸν υἱόν μου εἰς τὸν Μορέαν μὲ τὸν βίον μου εἰς τοὺς ἀπὸ μητρὸς γνησίους αὐτοῦ συγγενεῖς, [230] ἢ πάλιν μετ' ἐμοῦ νὰ ἐπαναστρέψῃ· ὅπερ αἴτιον καὶ τὴν μητέρα αὐτοῦ ἐδυσώπησεν, ὁ λογισμὸς δηλονότι τῆς μάχης, καὶ συνεχώρησεν τὴν πάλιν ἐξέλευσίν μου. Ὡς δὲ πάντα τὰ χρειώδη τῆς ὁδοῦ ᾠκονόμησα, καὶ ἔλιπον μόνον αἱ γραφαὶ, μίαν τῶν ἡμερῶν ἀπελθόντος μου εἰς τὸ παλάτιον, ἐσέβηκα εἰς τὸ τοῦ βασιλέως κελλίον ὡς σύνηθές μοι· καὶ ὡς οὐχ εὗρον ἐκεῖσε τὸν βασιλέα, ἐρωτήσας, εἶπόν μοι ὅτι εἰς τὸ τετράσαρον, ἕτερον τοῦ κελλίου αὐτοῦ πλησίον ὀσπήτιον, συντυχένει μετὰ τοῦ παπᾶ Ἀντωνίου τοῦ Ῥοδαίου· καὶ προσμείνας μικρὸν, ἰδοὺ καὶ ὁ βασιλεὺς, θυμοῦ πνέων, καὶ ὁρίζει πρός με· Εἶδές τον, καὶ παραλείπων τὴν ὕβριν, τὸν μεσάζοντά σου· σὺ ἐζήτησας τὸ ὀφφίκιον τοῦ μεγάλου κοντοσταύλου· καὶ ἐγὼ εἶπον πρὸς αὐτόν· Οὔτε ἄλλον τινὰ τὸ θέλω δώσειν, δι' ἃς αἰτίας εἶπον· εἶπον δὲ ἐγὼ τὸ τοῦ μεγάλου λογοθέτου· καὶ εἶπεν ἐκεῖνος, ὅτι θέλει ὑπάγειν ἵνα κρημνίσῃ ὁ Παλαιολόγος [331] ὁ μέγας στρατοπεδάρχης, ὅτι ποιῶ καὶ σὲ πρὸ ἐκείνου, καὶ σήμερον ἔστειλε τὴν προβατείαν, τὸν παπᾶν Ἀντώνιον, ὅτι ἐζήτησεν ἵνα τιμήσωμεν τὰ μουσχαράκιά του, ζητῶν ἵνα ποιήσωμεν τὸν πρῶτον μέγαν λογοθέτην, καὶ τὸν δεύτερον μέγαν κοντόσταυλον, ἐπεὶ καὶ τοὺς λογατόρους (ἔχει) τοῦ αὐτοῦ ὀφφικίου. Λοιπὸν λέγω σοι, ὅτι ἐκείνους, ἂν θέλῃ, θέλουν τοὺς δώσειν ἄλλα μικρότερα ὀφφίκια, ἃ ἀκόμη θέλει ἤσθεν καὶ παρὰ τὴν ἀξίαν τους· σὺ δὲ ἔχε τὸ τοῦ μεγάλου λογοθέτου· τοῦτο δὲ καὶ μόνον σε ζητῶ, ὅτι διὰ πολλὰ τοῦ καιροῦ καὶ τῶν ἀρχόντων αὐτῶν αἴτια, νὰ μηδέν με προσκυνήσῃς εἰς παράστασιν ἑορτῆς ὑπὲρ αὐτοῦ· ἀμὴ νὰ σὲ τὸ γράψῃ ὁ γραμματικὸς ἐν τοῖς πρὸς τοὺς ἀδελφούς μου καὶ τὴν ῥηγίναν, καὶ ἁπλῶς πρὸς πάντας, οὓς μέλλει γράφειν, ὅτι ἔρχεται αὐτοῦ ὁ μέγας λογοθέτης. Καὶ σὺ πάλιν θέλεις τὸ γράφειν ἐδῶ πρὸς ἐμὲ καὶ τοὺς σούς· καὶ θέλεις τὸ βάλλειν εἰς τὸ στόμα τους καὶ ἂν οὐς φανῇ δριμὺ ἢ πικρὸν, τέλος θέλουν τὸ καταπιεῖν. Ἐγὼ δὲ ἀπελογησάμην· Πολλὰ τὰ ἔτη τῆς ἁγίας βασιλείας· ἀμὴ δέομαί σου καὶ παρακαλῶ, ὅτι δι' ἐμὲ μηδὲν ἔνι τίποτε, ὁποῦ νὰ προξενήσῃ λύπην, [232] ἀλλὰ μᾶλλον καὶ τὸ δέρμα μου ἀφαίρεσε, ἂν ἠμπορεῖ νὰ ἔνι πρὸς εἰρήνην καὶ εὐφροσύνην τῆς ἁγίας βασιλείας σου. Κἀκεῖνος ὁρίζει· Ὡς καλὸς ὑποχείριος λέγεις, πλὴν μηδὲν τὸ ἔχεις τίποτε· πρὸς γὰρ τὰς ὑπολήψεις αὐτῶν τῆς πρὸς σὲ τάχα φιλίας καὶ τοὺς τρόπους τῶν ἀπιδῶν ἐλυπήθηκα. Ἀμὴ κάλεσόν μα ἐδῶ τὸν γραμματικὸν, τίς ἔνι αὐτοῦ; Καὶ ἀποκριθείς τις ἀπῆλθεν αὐτόν· καὶ ὡς ἦλθεν, ὁρίζει πρὸς αὐτόν· Εἴπομεν πρὸς σὲ, πρὸς τίνα καὶ τίνα νὰ γράψῃς πίστωσιν ὅτι θέλει μάθειν· καὶ γράψε ὅτι θέλει μάθειν παρὰ τοῦ μεγάλου λογοθέτου τοῦ δεῖνος· καὶ ἐὰν ζῶμεν καὶ παρέμπροσθεν, θέλω τὸν γράψειν καὶ συγγενῆν εἰς τὴν πομπὴν ἐκείνων, ὁποῦ νὰ τὸ κακίσουν μόνον· καὶ σὺ ἔχε τοῦτο, γραμματικὲ, ὡσὰν ἀπόκρυφον μέχρι τινός· καὶ ἐξοικονομήσας τοὺς ὁρισμοὺς ἔλαβον αὐτοὺς καὶ σήμερον νὰ προσκυνήσω καὶ αὔριον ὁμοίως, καὶ ὅτι ὁ ἀμηρᾶς ἐξῆλθε τῆς Ἀνδριανουπόλεως καὶ ἔρχεται, καὶ ἂς ἴδωμεν, μή ποτε καὶ καθ' ὁδὸν συναντήσῃ σοί τι ἀπευκταῖον.

Ἰδοὺ τῇ κς' Μαρτίου τοῦ αὐτοῦ ἑξηκοστοῦ ἔτους ἦλθεν ὁ ἀμηρᾶς, καὶ ἔπεσεν εἰς τὸ στενὸν, ἵνα ἐκείσε κτίσῃ τὸ κάστρον· καὶ σήμερον νὰ ἴδωμεν καὶ [233] αὔριον καὶ ὅτι διὰ τῆς στερεᾶς οὐδὲ τυχένει, ἐπεὶ ἐπὶ κίνδυνον θέλει ἤσθεν· ἰδοὺ εὑρεῖν θέλομεν πλεύσιμον. [234] Τὸν Ἰούνιον τοῦ αὐτοῦ ἔτους ἀπεσκεπάσθη ἡ μάχη· καὶ πηλαλήσαντος φωσάτου, οὗ ἐξωθεν εὗρεν, ἀπῆρε, καὶ τὴν πόλιν ἀπέκλεισε, καὶ τελέσας τὸ κάστρον τῇ λα' τοῦ Αὐγούστου, ἐγερθεὶς ἀπ' ἐκεῖ ἐλθὼν ἔπεσεν εἰς τὰς σούδας τῆς πόλεως.

υνγ'.

Καὶ τῇ γ' τοῦ Σεπτεβρίου μηνὸς τοῦ ξα' ἔτους διέβη εἰς τὴν Ἀνδριανούπολιν, ὡς φαίνεται, ὅτι τὰς δύο ἡμέρας αὐτὰς ἵνα κρυφίως ἴδῃ τὸ κάστρον καλῶς καὶ τὰ τοῦ κάστρου· [235] καὶ τῷ αὐτῷ χρόνῳ φθινοπώρῳ ἦλθεν ὁ Τουραχάνης μετὰ καὶ τῶν υἱῶν αὐτοῦ καὶ πολλοῦ φωσάτου εἰς τὸν Μορέαν, ἐν ᾧ καιρῷ καὶ ὁ υἱὸς αὐτοῦ ἐάλω ὑπὸ τῶν Μοραϊτῶν. [236] Καὶ τῇ ιζ' τοῦ Ἰαννουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἐγεννήθη καὶ ὁ τῶν Παλαιολόγων γένους διάδοχος καὶ κληρονόμος, ὁ κὺρ Ἀνδρέας ὁ Παλαιολόγος· [237] καὶ τῇ δ' τοῦ ἀπριλλίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἦλθεν πάλιν ὁ ἀμηρᾶς καὶ παρέπεσε τὴν πόλιν πολιορκῶν αὐτὴν πᾶσι τρόποις καὶ πάσαις μηχαναῖς, διά τε γῆς καὶ θαλάσσης περικυκλώσας καὶ τὰ ιη' μίλια τῆς πόλεως, τετρακοσίων πλευσίμων ὄντων ἀπὸ τὴν θάλασσαν μικρῶν καὶ μεγάλων, διακοσίων δὲ χιλιάδων ἀνδρῶν ἀπὸ τῆς στερεᾶς, ἐχούσης τῆς πόλεως, τῆς τοσαύτης εἰς μέγεθος, ἄνδρας πρὸς ἀντιπαράταξιν ὂψ ὡς ἄνευ τῶν ξένων μόλις ὄντων σ' ἢ μικρόν τι πρός. [240] Ἔγνων οὖν ἐγὼ τοῦτο οὕτως ἔχον, ἀπὸ αἰτίας τοιαύτης· τοῦ γὰρ βασιλέως προστάξαν-

Digitized by Google

τος τοῖς δημάρχοις ἔγραψεν εἰς ἕκαστος [241] τὴν δημαρχίαν αὐτοῦ ἀκριβῶς, τοὺς δυναμένους σταθῆναι ἐν τῷ κάστρῳ κοσμικοὺς καὶ καλογέρους, καὶ τί καὶ τί ἅρμα πρὸς ἅμυναν νὰ ἔχῃ εἷς ἕκαστος αὐτῶν, καὶ φέροντες εἷς ἕκαστος τῶν δημάρχων δέδωκε τὸ κατάστιχον τῆς αὐτοῦ δημαρχίας τῷ βασιλεῖ· εἶτα ὁρίζει πρὸς ἐμέ· Αὕτη ἡ δουλεία πρὸς σὲ ἀφορᾷ καὶ οὐ πρὸς ἄλλον τινὰ διὰ τὸ ἐπίστασθαί σε καὶ καλῶς ἀριθμεῖν καὶ καλῶς φυλάσσειν τὰ φυλακῆς δεόμενα καὶ ἀπόκρυφα· καὶ λάβε τὰ κατάστιχα καὶ καθίσας εἰς τὸ ὀσπήτιόν σου λογάριασε ἐκριβῶς, πόσοι εἰσὶν ἄνθρωποι, καὶ πόσα ἅρματα, καὶ πόσα κοντάρια, καὶ πόσα σκουτάρια, καὶ πόσα τοξάρια, καὶ ἐκτελέσας τὸν ὁρισμὸν αὐτοῦ φέρων δέδωκα τῷ αὐθέντῃ μου καὶ βασιλεῖ τὸ κατάστιχον μετὰ λύπης καὶ σκυθρωπότητος ὅτι πολλῆς καὶ ἔμεινε μόνον ἐν ἀποκρύφῳ ἡ ποσότης εἰς ἐκεῖνον καὶ ἐμέ. [288] Καὶ τῇ κθ' Μαΐου ἡμέρᾳ, γ' ὥρᾳ τῆς ἡμέρας ἀρχῇ, ἀπῆρε τὴν πόλιν ὁ ἀμηρᾶς, ἐν ᾗ ὥρᾳ καὶ ἀλώσει τῆς πόλεως καὶ ὁ μακαρίτης αὐθέντης μου καὶ βασιλεὺς κὺρ Κωνσταντῖνος σκοτωθεὶς ἀπέθανεν ἐμοῦ πλησίον αὐτοῦ οὐχ εὑρεθέντος τῇ ὥρᾳ ἐκείνῃ, ἀλλὰ προστάξει ἐκείνου εἰς ἐπίσκεψιν δῆθεν ἄλλου μέρους τῆς πόλεως· ἰοὺ ἰοὺ κάμοι, τῆς προνοίας οὐκ οἶδ' εἰς τίνα με καιρὸν φυλαττούσης! Ἦν δὲ ἡ πᾶσα ζωὴ αὐτοῦ δὴ τοῦ μακαρίτου βασιλέως καὶ μάρτυρος χρόνοι μθ' καὶ μῆνες γ' καὶ ἡμέραι η', ἀφ' ὧν ἦν βασιλεὺς χρόνους δ', μῆνας δ' καὶ ἡμέρας κδ', ὄγδοος βασιλεὺς τοῦ γένους αὐτοῦ τῶν Παλαιολόγων ὑπάρχων· ὁ γὰρ πρῶτος ἦν Μιχαήλ· ὁ δεύτερος Ἀνδρόνικος· ὁ τρίτος Μιχαήλ· ὁ τέταρτος Ἀνδρόνικος· ὁ πέμπτος Ἰωάννης· ὁ ἕκτος Μανουήλ· ὁ ἕβδομος Ἰωάννης, καὶ ὁ ὄγδοος Κωνσταντῖνος. Ἦρχον δὲ καὶ βασίλειον ταύτην δὴ τὴν Κωνσταντινούπολιν τὸ τούτων γένος τῶν Παλαιολόγων χρόνους ἑκατὸν ἐνενήκοντα τέσσαρας καὶ μῆνας δέκα καὶ ἡμέρας δ'· ἀλοὺς οὖν ἐγὼ καὶ πάντα τὰ δυχερῆ καὶ κακὰ τῆς αἰχμαλωσίας ὑπενεγκὼν ὁ ἄθλιος, τέλος ἐξαγορασθείς.

υνδ'.

[309] Τῇ α' Σεπτεβρίου τοῦ ξβ' ἔτους εἰς τὸν Μυζηθρᾶν ἀπέσωσα, τῆς γυναικός μου καὶ τῶν παιδίων μου ὑπὸ γερόντων καὶ καλῶν Τούρκων ἀλωθέντων, καὶ παρ' αὐτῶν πάλιν πραθέντων εἰς τὸν τοῦ Ἀμηρᾶ μελαχούρην, ἦγουν κόμητα τῶν αὐτοῦ ἀλόγων, ὃς καὶ πολλὰς καὶ καλὰς τῶν ἀρχοντισσῶν ἠγόρασε, καὶ πολλὰ ἐκέρδησεν ἐπ' αὐταῖς· τοῦ δὲ κάλλους καὶ τῶν ἄλλων ἀγαθῶν τῶν παιδίων μου οὐ δυναμένου κρυβῆναι, [310] μαθόντος περὶ αὐτῶν τοῦ ἀμηρᾶ, ἀπῆρεν αὐτὰ δοὺς πρὸς τὸν μελαχούρην ἄσπρα χιλιάδας πολλάς. Ἐναπέμεινε δὲ ἡ ἀθλία μήτηρ μόνη μετὰ μιᾶς καὶ μόνης ἀνατροφῆς αὐτῆς, αἱ δὲ ἄλλαι διεμερίσθησαν.

Ἐρωτήσειε δ' ἄν τις, καὶ τί ἐγεγόνει παρὰ τοῦ βασιλέως τὸν διὰ μέσου καιρὸν τῆς μάχης, ἐν ᾧ δὴ χρόνῳ καὶ καιρῷ ὁ ἀμηρᾶς παρεσκευάζετο, καὶ τὰ πρὸς βοήθειαν ἐποίησαν οἱ ἔξωθεν Χριστιανοί. Καὶ τῶν μὲν ἔξωθεν Χριστιανῶν δῆλόν ἐστιν ὅτι οὐδέ τί ποτε· ἀλλὰ μᾶλλον καὶ εἰς τὸν τῆς Σερβίας δεσπότην Γεώργιον ἀποσταλεὶς ἄρχων τοῦ ἀμηρᾶ ἵνα γένηται μέσος εἰς ἀγάπην μετὰ τῶν Οὐγγαρῶν, ἦν ἀνατεθειμένος ὁ μετὰ τοῦ ἀποκρισαρίου τοῦ ἀπερχομένου γραμματικοῦ Χριστιανὸς παρά τινων Τούρκων τῶν τῆς βουλῆς, ἵνα εἴπῃ τῷ δεσπότῃ καὶ ποιήσῃ τρόπον ἀναβολῆς εἰς τὴν ἀγάπην, ὅτι, ἂν γένηται ἡ μετὰ τῶν Οὐγγαρῶν ἀγάπη, εὐθὺς ὑπάγει ὁ ἀμηρᾶς κατὰ τῆς Κωνσταντινουπόλεως· καὶ ἐκεῖνος λόγον οὐκ ἐποιήσατο, οὐκ εἰδότος τοῦ ἀθλίου, ὅτι, ἂν τυχὸν ἀφαιρεθῇ κεφαλὴ σώματος, τὰ μέλη εἰσὶ νεκρά

Εἰς τὴν Βενετίαν καὶ βουλῆς γενομένης μεγάλης ἀντέστη ὁ δοὺξ Φραντζέσκος Φούσκαρις οὐ κατ' ἄγνοιαν· καὶ γὰρ καὶ ὁ βασιλεὺς κὺρ Ἰωάννης ὡρισέ μας· ἀλλὰ καὶ [324] ἄλλοι οἱ ἰδόντες καὶ ὁμιλήσαντες αὐτὸν (εἶπον) ὅτι φρονιμώτερον ἄνθρωπον εἰς τὴν Ἰταλίαν οὐκ εἶδον· ἀλλὰ διὰ κακίαν καὶ φθόνον· οὐκ οἶδε γὰρ ὁ φθόνος προτιμᾶν τὸ συμφέρον· ἦν δὲ τὸ αἴτιον τοῦτο τοῦ Ἀλοΐσου Διέδου ἐκείνου μέσου γεγονότος, ἵνα ὁ μακαρίτης αὐθέντης μου κὺρ Κωνσταντῖνος δεσπότης ὢν καὶ εἰς τὸν Μορέαν αὐθέντης εὑρισκόμενος, ἐπάρῃ εἰς γυναῖκαν αὐτοῦ δὴ τοῦ δουκὸς τὴν θυγατέραν καὶ μετὰ πολλῆς προικός. Ὁ αὐθέντης μου οὖν οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ γενέσθαι οἱονεὶ καὶ αὐτὸς καὶ ὁ τόπος αὐτοῦ μετὰ τῆς Βενετίας ἕν, συνεκατέβαινε τὸ τοιοῦτον συμπενθέριον, ἐμοῦ πλέον τῶν ἄλλων συναινοῦντος τοῦτο καὶ ἀναγκάζοντος· καὶ ἰδοὺ ἦν ἵνα γένηται. Ὡς δὲ βασιλεὺς ἐγεγόνει καὶ εἰς τὴν πόλιν ἀπῆλθε, τοῦτο ἦν πάλιν ἀνοίκειον· τίς γὰρ τῶν τῆς πόλεως ἀρχόντων ἢ ἀρχοντισσῶν κυρίαν καὶ δέσποιναν κατεδέξατο Βενετικοῦ θυγατέραν, ἐνδόξου μὲν ἴσως καὶ δουκὸς, ἀλλὰ προσκαίρως; ἢ τοὺς γαμβροὺς τοὺς ἄλλους αὐτοῦ ὡς συγγάμβρους ἢ τοὺς υἱοὺς ὡς γυναικαδέλφους τοῦ βασιλέως; Λοιπὸν τούτου γυρεύσαντος ἀπεπέμφθη καὶ ἐγένετο ὁ ἄνθρωπος ἐχθρὸς, καὶ πολλὰ εἰπόντων τῶν ἀρχόντων τοῦ Ἀλοΐσου Χουρδᾶ καὶ τοῦ Ἀντωνίου Διέδου καὶ ἄλλων πολλῶν καὶ ἀποδειξάντων ὅτι, ἂν ἁλωθῇ ἡ Κωνσταντινούπολις, εἰς πολλὴν ζημίαν θέλει ἦσθεν καὶ τῆς αὐθεντίας αὐτῶν, οὐκ ἴσχυσαν. [325] Ἡ Ἐκκλησία τῆς Ῥώμης καὶ τί περὶ τούτου ἐφρόντισεν; Εὑρεθέντος καὶ γὰρ τοῦ Καρδιναλίου Ῥωσσίας εἰς τὴν πόλιν, μέσος ἐγὼ παρ' αὐτοῦ γέγονα εἰς τὸν ἀοίδιμον καὶ μακαρίτην αὐθέντην μου τὸν βασιλέα ἵνα γένηται πατριάρχης· καὶ (πάντα) νὰ γένωνται παρ' αὐτοῦ καὶ τοῦ τότε πάπα, ἢ κἂν ἐκ δευτέρου νὰ μνημονευθῇ ὁ πάπας· καὶ πολλῶν λόγων καὶ βουλῆς καὶ μελέτης γενομένης ἔδοξε τῷ ἀοιδίμῳ βασιλεῖ, ὅτι τὸ ἓν νὰ λείψῃ παντελῶς, διότι πατριάρχου γενομένου ἕνι χρεία παντελῶς ἢ νὰ πείθωνται αὐτῷ ἢ ἔχθρα νὰ γένηται καὶ πόλεμος μέσον αὐτοῦ καὶ τῶν μὴ πειθομένων αὐτῷ· καὶ εἰς τοιοῦτον καιρὸν ὁποῦ μᾶς ἐπεμβαίνει ἔξωθεν πόλεμος, καὶ ἔχωμεν καὶ ἔσωθεν πόλεμον, πόσον κακόν! τοῦ δὲ μνημοσύνου, ἃς γένηται διὰ τὴν ἐλπίδα τῆς βοηθείας ἡμῶν εἰς τὴν ἀνάγκην· καὶ ὅσοι ποιήσουν τοῦτο εἰς τὴν ἁγίαν Σοφίαν, οἱ ἄλλοι θέλουσιν ἦσθεν ἀναίτιοι καὶ εἰρηνικοί.

Digitized by Google

Καὶ γενομένου τῇ ιβ' τοῦ Δεκεμβρίου μηνὸς, διέβησαν Ἰδοὺ μῆνες ἓξ καὶ τοσοῦτον λόγον ἐποιήσαντο ὑπὲρ βοηθείας, ὅσον ἐποιήσατο ὁ σουλτάνος τοῦ Κάρες· ἀπὸ δὲ τῆς Σερβίας, [326] δυνατοῦ ὄντος; νὰ ἀποστείλῃ χρήματα καὶ κρυφίως ἀπὸ πολλὰ μέρη καὶ ἀνθρώπους ὁμοίως δι' ἄλλου τρόπου, εἰδέ τις ἕνα ὀβολόν; Ναὶ ἀληθῶς ἔστειλαν πολλὰ καὶ χρήματα καὶ ἀνθρώπους εἰς τὸν Ἀμηρᾶν πολιορκοῦντα τὴν πόλιν· καὶ ἐβριάμβευσαν αὐτοὺς οἱ Τοῦρκοι καὶ ἔδειξαν, ὅτι Ἰδοὺ καὶ οἱ Σέρβοι καθ' ὑμῶν εἰσι. Τίς τῶν Χριστιανῶν ἢ τάχα τοῦ βασιλέως τῆς Τραπεζοῦντος ἢ τῶν Βλαχῶν ἢ τῶν Ἰβήρων ἀπέστειλαν ἕνα ὀβολόν, ἢ ἕνα ἄνθρωπον εἰς βοήθειαν ἢ φανερῶς ἢ κρυφίως; Οἱ Οὔγγαροι ἔστειλαν ἴσως ἀποκρισιαρίους λέγοντες, ὅτι Σωζομένου τοῦ νὰ ἔχητε καὶ μετὰ τῆς πόλεως ἀγάπην, ἐποιήσαμεν καὶ ἡμεῖς μεθ' ὑμῶν τὴν ἀγάπην· εἰ δ' οὖν, θέλομεν τὴν χαλάσειν. Ἦλθε τὸ ἀποκρισιαρίκιον σχεδὸν κατὰ τὴν ἑβδομάδαν, ἐν ᾗ ἔμελλον ἵνα πολεμήσουν, καὶ εἰ μὲν ἐπάρουν αὐτὴν, ἵνα εἴπωσι πρὸς αὐτούς· Ἰδοὺ ἀπήραμεν αὐτὴν, καὶ ὑμεῖς ἀπέλθετε καὶ, ὡς ἂν θέλητε, ἔχετε ἡμᾶς ἢ ἀγάπην ἢ μάχην· ὃ δὴ καὶ ἐγένετο· καὶ τοῦτο πρὸς ἐκείνους ἐρρέθη· εἰ δὲ καὶ οὐδὲν τὴν ἔπερνον, [327] νὰ σηκωθῶσι καὶ νὰ εἴπωσιν ὅτι καὶ διὰ τὴν ἡμῶν ἀγάπην καὶ τὸν λόγον τῆς συμφωνίας ἐσηκώθημεν, ἢ καὶ νὰ ἐποίει καὶ ἀγάπην, ὡς ἠκούομεν, ὅτι ἔλεγεν, ὅτι, ἂν οὐδὲν ἐπάρω αὐτὴν, εὐθὺς νὰ ποιήσω ἀγάπην, ὅτι εἰς πᾶσάν μου τὴν ζωὴν νὰ ἵσταται.

Ὁ δὲ μακαρίτης καὶ αὐθέντης μου ὁ βασιλεὺς, τί οὐκ ἔπραξεν κρυφίως καὶ φανερῶς πρὸς βοήθειαν τοῦ ὁσπητίου αὐτοῦ καὶ τῶν Χριστιανῶν ἢ τῆς ζωῆς αὐτοῦ; Ἡ ἐνεθυμεῖτο, ὅτι, ἐὰν ἐπισυμβῇ τί ποτε, νὰ φύγῃ, δυνατοῦ καὶ εὐκόλου ὄντος; Τίς γὰρ ἐπίστατο τῶν ἄλλων πάντων πάρεξ τοῦ Καντακουζηνοῦ Ἰωάννου, ὅτι ὁ Ἰάγκος προεζήτησεν νὰ τὸν δώσῃ ἢ τὴν Σηλυμβρίαν, ἢ τὴν Μεσημβρίαν, καὶ νὰ ἕνι εἷς τῶν ὑποχειρίων αὐτοῦ, καὶ πολλοὺς τῶν ἀνθρώπων αὐτοῦ ἐκεῖσε ἔχει, καὶ εἰς καιρὸν μάχης τῶν Τούρκων νὰ ἕνι ἐχθρὸς ἐκείνων καὶ βοηθὸς τῆς πόλεως· καὶ ὡς ἐγένετο ἡ μάχη, ἐδόθη αὐτῷ ἡ Μεσημβρία, καὶ τὸ χρυσόβουλον δι' ἐμοῦ ἐγράφη· καὶ ὁ γαμβρὸς Θεοδοσίου τοῦ Κυπρίου ὁ τοῦ Μιχαὴλ υἱὸς ἐκόμισεν εἰς ἐκεῖνον· τίς ἠπίστατο τὴν τοῦ ῥηγὸς ζήτησιν τῶν Κατελάνων, ὅτι νὰ δοθῇ πρὸς ἐκείνην ἡ Λῆμνος καὶ νὰ ἕνι κατὰ τῶν Τούρκων ἐν τῇ θαλάσσῃ ἀεὶ καὶ ὑπὲρ τῆς πόλεως ἐν ἀνάγκῃ βοηθὸς, καὶ ἐπράττετο; Τίς [328] ἠπίστατο, ὅσα δὴ καὶ χρήματα καὶ ἐπαγγελίας δέδωκε καὶ ἔστειλεν εἰς τὴν Χίον διὰ τοῦ Γαλατᾶ, ἵνα στείλωσιν ἀνθρώπους καὶ οὐκ ἔστειλαν; Τίς καὶ νηστείας καὶ δεήσεις ἐποιεῖτο καὶ δι' ἑαυτοῦ καὶ διὰ τῶν ἱερέων διδοὺς αὐτοῖς χρήματα, ἢ τοῖς πτωχοῖς πλείω ἐθεράπευσεν ἢ ἐπαγγελίας ἐποιήσατο πλείους εἰς Θεὸν εἰς τὸ ἐλευθερωθῆναι τοὺς Χριστιανοὺς ἀπὸ τῆς αἰχμαλωσίας τῶν Τούρκων· ἀλλ' ὅμως πάντα ταῦτα μὲν παρεῖδε Θεὸς, τίσι κρίμασιν, οὐκ οἶδα· τὰ δὲ ἠγνοοῦσαν οἱ ἄνθρωποι, καὶ ἕκαστος ἔλεγε κατ' ἐκείνου τὸ ἤθελεν. Ἀλλ' ἐπὶ τὸ προκείμενον τοῦ λόγου ἐπανέλθωμεν.

[385] Τῷ αὐτῷ δὴ φθινοπώρῳ τοῦ ξβ' ἔτους δηλονότι τελείως ἐπανέστησαν οἱ τοῦ Μορέως Ἀλβανῖται κατὰ τῶν δεσποτῶν καὶ αὐθεντῶν αὐτῶν· καὶ τὸν, οὐκ οἶδα τί εἰπεῖν, Καντακουζηνὸν Μανουὴλ δεσπότην τάχα πεποιήκασι. Τὸν δὲ Δεκέμβριον τοῦ αὐτοῦ χρόνου, ἐλθόντος πάλιν τοῦ υἱοῦ τοῦ Τουραχάνη μετὰ φωσάτου ὑπὲρ βοηθείας τῶν δεσποτῶν, καὶ κακώσαντος μικρὸν τοὺς Ἀλβανίτας καὶ τὸν αἰχμάλωτον αὐτοῦ ἀδελφὸν Χάρητα λαβὼν ἐπανέστρεψεν· ἐν ᾧ δὴ χρόνῳ καὶ μηνὶ ἀνεῖλεν αὐτοχειρίᾳ τὸν φίλτατόν μου υἱὸν Ἰωάννην ὁ ἀσεβέστατος καὶ ἀπηνέστατος ἀμηρᾶς, ὡς δῆθεν βουληθέντος τοῦ παιδὸς τοῦτο ποιῆσαι κατ' αὐτοῦ, οἴμοι οἴμοι τῷ δυστυχεῖ καὶ ἀθλίῳ γενέσθαι! — χρόνων ὄντος ιδ' καὶ μηνῶν τ' παρὰ ἡμέραν, φρόνημα καὶ κορμὶν ἔχων πολλῷ πλειόνων χρόνων. Τῷ αὐτῷ δὴ Δεκεμβρίῳ καὶ εἰς τὸ Λεοντάριν ἀπῆλθον κἀγώ· καὶ τὸν δεσπότην κὺρ Θωμᾶν τὸν πορφυρογέννητον προσεκύνησα. καὶ εἰς τὴν δουλοσύνην αὐτοῦ με προσεδέξατο. [384] καὶ τὸ χωρίον τὴν Κέρτασιν εὐεργέτησεν ἀργυροβούλλῳ, καὶ πρὸς τοὺς δεσπότας Σερβίας, τὸν συμπένθερον καὶ γαμβρὸν αὐτοῦ, ἡτοίμασεν ἀπελθεῖν με τῷ ἔχρι τοῦ αὐτοῦ ἔτους διὰ πολλὰς καὶ ἀναγκαίας δουλείας καὶ ὠφελίμους ὁμοτέρων, τούτου λέγω κἀκείνων· καὶ ὀρθωθεὶς ἀπῆλθον καὶ εἰς τὴν Μεθώνην, ἵνα διὰ πλευσίμου ἀπέλθω εἰς τὸ Ῥαγούζη, καὶ ἀπ' ἐκεῖ εἰς τὴν Σερβίαν, εἰ καὶ ἐσκόπει, εἰς τὸν Μορέαν μὲν τοῦ γυναικαδέλφου αὐτοῦ Κεντηρίωνος υἱοῦ τοῦ πριγκίπου ἀπὸ τὴν φυλακὴν τοῦ Χλουμουτζίου φυγόντος, καὶ σύγχυσιν ποιήσαντος εἰς τὸν τόπον. τοῦ δὲ ἀμηρᾶ κατὰ τῆς Σερβίας ἀπελθόντος, ἐν ᾧ δὴ καιρῷ καὶ τὸ Ὁμόμβρυδον ἀπῆρεν· ὡς δὲ πλέον τὸ τῆς Σερβίας οὐκ εἶχε καιρὸν πραχθῆναι, ἀπῆλθον διὰ θαλάσσης εἰς τὴν Πάτραν, καὶ ἀπ' ἐκεῖ περάσας ἀπὸ τὴν Βοστίτζαν πέρα.

υνε'.

Τῇ α' Σεπτεβρίου τοῦ ξγ' ἔτους ἀπῆλθον εἰς τὴν Ἀνδριανούπολιν καὶ ἀπ' ἐκεῖ εἰς τὴν Λῖνον, ἵνα ἀποκρύφως διαβιβάσω καιρὸν, ἕως οὗ ἀπὸ τοῦ τῆς Σοφίας μέρους ἐπαναστρέψῃ ὁ ἀμηρᾶς, καὶ ὁ τὴν ἀθλίαν τῶν παίδων μου μητέραν ἔχων εἰς χωρίον μελαχούρης αὐτοῦ εἰς τὴν Ἀνδριανούπολιν ἔλθῃ, ἣν καὶ ἐξαγοράσας, ἐπιστρέψαντός μου τὴν Ἀνδριανούπολιν, ἀλλὰ δὴ καὶ τὴν μετ' αὐτῆς Χρυσοβεργίναν, ἐν τῇ Πάτρᾳ τὸν Φευρουάριον ἐπανέστρεψα μετ' αὐτῶν, πολλὰ κακοπαθήσας καὶ ἐξοδιάσας· τὸν δ' Ὀκτώβριον, ἐν ᾧ δὴ ἐγὼ εἰς τὰ περὶ τὴν Ἀνδριανούπολιν [385] διέτριβον, ἐλθόντος τοῦ Τουραχάνη μετὰ καὶ τῶν υἱῶν αὐτοῦ καὶ πολλοῦ φωσάτου, ὑπὲρ βοηθείας τῶν αὐθεντῶν καὶ δεσποτῶν τοὺς Ἀλβανίτας ἐδούλωσαν ὅπως δή ποτε κακώσαντες καὶ τὸν ψευδοδεσπότην ἐδίωξαν· ἐν ᾧ δὴ χρόνῳ, καὶ τῇ β' Ἰαννουαρίου ἐγεννήθη καὶ τῷ δεσπότῃ κυρίῳ Θωμᾷ καὶ ὁ κὺρ Μανουὴλ ὁ Παλαιολόγος.

υνς'.

Καὶ τὸν Σεπτέβριον τοῦ ξζ' ἔτους ἀπέθανεν Θάμαρ

Digitized by Google

ἡ καλή μου θυγάτηρ ἐν τῷ τοῦ Ἀμηρᾶ σαρραγίῳ λοιμώδει νόσῳ (ἰοὺ ἰοὺ μοι τῷ ἀθλίῳ γενέτῃ!) οὕτα χρόνων ιδ' καὶ μηνῶν ε'· ἐμοῦ δὲ τοῦ ἀθλίου οὐκ εἰδότος τοῦτο τῇ κε' τοῦ Ὀκτωβρίου ἀπεστάλην ἀποκρισιάριος εἰς τὴν αὐθεντίαν τῶν Βενετικῶν, δουκὸς ὄντος αὐτοῦ δῆ τοῦ Φραντζέσκου Φούσκαρι· ὑφ' ὧν καὶ ἐτιμήθηκα καὶ εὐεργετήθηκα καὶ διὰ χρημάτων καὶ γραμμάτων. Καὶ τῇ ς' Ἀπριλλίου ἐπανέστρεψα εἰς τὴν Πάτραν Θεοῦ καὶ μόνον βοηθείᾳ ἀπὸ τοῦ ὑπερβάλλοντος τῆς θάλασσης κακοῦ, οὗπερ καθ' ἑδὸν ἡμᾶς συνήντησε· καὶ τὸν Ἰούνιον τοῦ αὐτοῦ χρόνου ἀπῆρεν ὁ ἀμηρᾶς τὴν πόλιν τῶν Ἀθηναίων. Τὸν δὲ Ἰούλιον τοῦ αὐτοῦ ἔτους ἀπελθόντος τοῦ ἀμηρᾶ εἰς τὸ Μπελοσγράδον τὸ πλέον μερικὸν ἀλώσαντος, αὐτὸς τέλος κακῶς [385] ἐδιώχθη παρὰ τῶν εἰς αὐτὸ ἐλθόντων εἰς βοήθειαν, τοῦ Ἰάγκου δηλονότι καὶ τοῦ Καπιστριανοῦ, καὶ ἑτέρων ἀξιολόγων ἀνδρῶν· καὶ ἡττηθεὶς καὶ τοῦ χρησίμου Μπεϊλερμπεῖ αὐτοῦ ἀποθανόντος, ὡς φυγὰς ᾤχετο.

υνζ'.

Καὶ τῷ ξε' ἔτει ὁ τοῦ τῆς Οὐγγαρίας φωσσάτου ἄρχων καὶ κουβερνάριος ὁ Ἴαγκος ἐτελεύτησεν· ἀλλὰ δὴ καὶ αὐτὸς ὁ Καπιστριανὸς, ἔτι δὲ καὶ ὁ τῆς Σερβίας ἄρχων καὶ δεσπότης κὺρ Γεώργιος ὁ Βοῦλκος ἐτελεύτησε. Καὶ Μαΐῳ β' τοῦ αὐτοῦ ἔτους καὶ βασίλισσα ἡ γυνὴ αὐτοῦ ἀπέθανεν· ἐν ᾗ σχεδὸν ἡμέρᾳ καὶ ὥρᾳ διέβη εἰς τὸν ἀμηρᾶν ἡ θυγάτηρ αὐτῆς ἀμήρισσα μετὰ τοῦ πρώτου ἀδελφοῦ αὐτῆς καὶ τυφλοῦ καὶ τοῦ θείου αὐτῆς Θωμᾶ τοῦ Καντακουζηνοῦ καὶ παντὸς τοῦ βίου αὐτῶν, φοβηθέντες διὰ τὸν βίον τῆς μητρὸς, τὸν ἀδελφὸν καὶ τὴν νύμφην αὐτοῦ.

υνη'.

Καὶ τῷ ξς' ἔτει μηνὶ Νοεμβρίῳ καὶ αὐτὸς ὁ δεσπότης Λάζαρος ἀπέθανε, καὶ ὁ ἀμηρᾶς τὸν Μπεϊλερμπεῖ αὐτοῦ Μεχεμέτην ἀπέστειλεν, ἵνα, εἰ δυνατὸν, τὸ Σμεντώροβον καὶ πᾶσαν δὴ τὴν Σερβίαν μετ' εἰρήνης λάβῃ καὶ ἄλλον ἀντ' αὐτῶν τόπον δώσῃ τῇ γυναικὶ καὶ τοῖς τεκνοις αὐτοῦ δὴ τοῦ Λαζάρου· ὅπερ τότε μὲν οὐ κατωρθώθη, ἀλλὰ μόνον τὸ Περιστέριν ἀπῆρε προδοσίᾳ, μετά τινα δὲ καιρὸν καὶ τὸ Σμεντώροβον καὶ τὸν ἄλλον τόπον, καὶ ἔδωκε τὴν βασίλισσαν [387] τάχα κάστρα τινὰ, ἅπερ ὁ ἀμηρᾶς εἰς τὴν Μπόσθαν εἶλε. Μαΐῳ ιε' τοῦ αὐτοῦ ἔτους ὁ ἀμηρᾶς εἰς τὸν Μορέαν ἦλθε, καὶ εἰς τὴν Κόρινθον καταλύσας φωσσάτον εἶχε ταύτην ἀποκλεισμένην, αὐτὸς δὲ ἐλθὼν ἔπεσεν εἰς τὴν μέσην τοῦ τόπου· καὶ πάντα τὰ ἐκεῖσε τὰ μὲν ᾐχμαλώτευσε, τὰ δὲ κατέκαυσε καὶ ἠφάνισεν, ἐξαιρέτως δὲ τὴν Ἄκοβαν, τὸν Ἀετὸν, καὶ τὰ Πέντε χωρία· καὶ ἐξελθὼν ἐκεῖσε ἦλθε καὶ ἔπεσεν εἰς τὸ Μουχλὶν, ὃ δὴ καὶ δέδωκε πρὸς αὐτὸν ὁ καλὸς κἀγαθὸς Ἀσάνης Δημήτριος. Τὸν Ἰούλιον τοῦ αὐτοῦ ἔτους καὶ ἀπ' ἐκεῖ πάλιν ἐπιστρέψας ὁ ἀμηρᾶς ἦλθε καὶ ἔπεσεν εἰς τὴν Κόρινθον ἣν δὴ καὶ δεδώκασι πρὸς αὐτὸν οἱ γενναῖοι ἄρχοντες, ὁ Ἀσάνης Ματθαῖος καὶ ὁ Λουκάνης Νικηφόρος, ἐν μηνὶ Αὐγούστῳ ς'· ὧν ὁ μὲν εἷς ἦν κεφαλὴ εἰς αὐτὴν, ὡς μὴ ὤφελεν, ὁ δὲ Ἀσάνης δραμὼν ἦλθεν εἰς αὐτὴν, πότερον ἵνα ἢ κάλλιον φυλαχθῇ ἢ συντομωτέρως δοθῇ, οὐκ οἶδα, εἰ καὶ δῆλον ἐκ τῶν πραγμάτων· δεδωκότες οὖν τὴν κεφαλὴν τοῦ σώματος τοῦ Μορέως τὴν Κόρινθον, τάχα καὶ ὁρκωμοτικὰ ἀγάπην πεποιήκασιν, οὕτως ὅτι καὶ ὁ δεσπότης [388] κὺρ Θωμᾶς τὴν Πάτραν δώσῃ μετὰ τῆς περιοχῆς αὐτῆς, ἔτι δὲ καὶ τὰ Καλάβρυτα καὶ τὸ Γρεβενὸν, καὶ ἁπλῶς πάντα ὅσα ὁ μακαρίτης βασιλεὺς κὺρ Κωνσταντῖνος δεσπότης ὢν καὶ εἰς τὸν Μορέαν εὑρισκόμενος εἶχεν· ἅπερ δὴ ἀκούσας ὁ αὐθέντης μου καὶ κύριος αὐτῶν (ἦν γὰρ εὑρισκόμενος εἰς τὴν Μαντίνειαν πανοικεί, δραμὼν εἰς τὰ περὶ τῆς Τρύπης βουνὰ, ἔνθα δὴ καὶ ὁ ἀδελφὸς αὐτοῦ ἦν καὶ οἱ ῥηθέντες καταστάται τῶν τοιούτων ἀξιεπαίνων ἔργων ἦλθον), οὐ βουλευσάμενος οὐδ' ἀναβολήν τιν' οἱανοῦν ποιήσας, ἀλλὰ πέμψας τὸν αὐτοῦ ὄντως μέγαν Πριμικύριον τὸν Λάζαρον πάντα τῷ ἀμηρᾷ παραδέδωκεν ὡς λάχανα κήπου· τὴν αὐτὴν σχεδὸν ἡμέραν καὶ ὁ ἀμηρᾶς, ἐπεὶ ἦν ἀναγκαζόμενος ἐξελθεῖν διά τινα αἰτια, καταλείψας Ἀμάρην τὸν τοῦ Τουραχάνη υἱὸν, ἵνα αὐτὰ λάβῃ, ἐξῆλθε τοῦ Μορέως.

υνθ'.

Τὸν δ' Ὀκτώβριον τοῦ ξζ' ἔτους ἀποκρισιάριον ὁ ἀμηρᾶς ἔστειλεν εἰς τὸν δεσπότην κὺρ Δημήτριον, ἵνα τὴν θυγατέραν αὐτοῦ εἰς γυναῖκα πέμψῃ αὐτῷ δὴ τῷ ἀμηρᾷ· εἰ δ' οὖν, μάχη μέσον αὐτῶν ἔσται, ὡς δὴ ἀποκρισιάριος καὶ εἰς τὸν δεσπότην κὺρ Θωμᾶν ἐλθὼν, εἰς τὸν Ποντικὸν εὑρισκόμενον, ὅρκους αὐτοῦ ἀπῆρεν ἀγάπης καὶ τὰ μὴ φθάσαντα δοθῆναι κάστρα εἰς τὸν αὐθέντην αὐτοῦ, [389] καὶ ἀπῆλθε· τὸν δὲ Ἰαννουάριον μῆνα τοῦ αὐτοῦ ἔτους καὶ ὁ καλὸς κἀγαθὸς Λουκάνης Νικηφόρος ἢ μᾶλλον Μορεοφθόρος, καὶ τῶν πρώτων καὶ πιστῶν ἀρχόντων τοῦ δεσπότου κὺρ Δημητρίου λογιζόμενος, καί τινες ἄλλοι Ἀλβανιτῶν καὶ Μοραϊτῶν, οὓς καὶ αὐτοὺς πολλῷ πλέον τὸ εἰς κακίαν ἐκείνων πρόχειρον ᾠκονόμησεν, ἔπεισαν τὸν δεσπότην κὺρ Θωμᾶν, ἵνα καὶ κατὰ τοῦ ἀμηρᾶ καὶ κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ ἐπανάστασιν ποιήσῃ, καὶ φάγῃ τοὺς ὅρκους ὡς λάχανα, οὓς πρὸ ὀλίγου μετ' αὐτῶν ἐποίησεν, καὶ ταῦτα τοῦ ἄλλου ἀγαθοῦ ἀνδρὸς Ἀσάνη Ματθαίου πρὸ ὀλίγου ἀπελθόντος καὶ ὄντος εἰς τὸν ἀμηρᾶν ἀποκρισιαρίου διὰ τὴν δουλείαν δῆθεν τοῦ συνοικεσίου τῆς ἀνεψιᾶς αὐτοῦ. Ἐξελθόντος οὖν τοῦ δεσπότου κὺρ Θωμᾶ εἰς τὰς ἀρχὰς τοῦ Φευρουαρίου μηνὸς τοῦ αὐτοῦ ἔτους ἀπὸ τὴν Ἀρκαδίαν, καὶ ἀνωθέντος μετὰ τῶν ἐργαζομένων τὰ κατ' αὐτοῦ ἢ καὶ τὰ κατ' αὐτῶν, ὡς ὁ λόγος προῖὼν δηλώσει, ἀπῆραν ἀπὸ μὲν τοὺς Τούρκους τὰ Καλάβρυτα καὶ μόνον ἐκ τῶν κάστρων, ὧν ἐθαῤῥοῦσαν λαβεῖν, ἐξ ὧν ἐκρατοῦσαν οἱ Τοῦρκοι, ἀπὸ δὲ τοῦ τόπου τοῦ δεσπότου κὺρ Δημητρίου, ἅπερ αὐτοὶ οἱ ἐργάται τῶν κακῶν ἐκρατοῦσαν ὡς κεφαλατίκια, ἤγουν Καρύταιναν, Βορδονίαν, Καστρίτζαν, καὶ ἕτερά τινα καὶ οὗτος, ἵνα πάλιν ἔχωσιν αὐτοὶ ταῦτα, ὡς αὐθένται αὐτῶν, οὐχ ὡς κεφαλάδες· ἐκατόρθωσαν δὲ οὐδὲν ἄλλο οἱ φρόνιμοι καὶ πρακτικοὶ καὶ γενναῖοι ἄρχοντες, ἢ μόνον ὅτι [390] ἐπῆραν κατ' αὐτῶν θεὸν τὸν τοῦ παντὸς ποιητὴν καὶ αὐθέντην τῶν ἐπὶ γῆς ἰσχυρό-

Digitized by Google

τερον, καὶ ἀδελφὸν καὶ αὐθέντην ἐντὸς τοῦ τόπου, οὐκ ἐνθυμηθέντες οἱ ἄθλιοι, οὔτε τῷ ἀψευδεῖ τὸ λόγιον, ὅτι πᾶσα οἰκία μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται, οὔτε τὸν προειμιώδη λόγον τὸν, « Πρὸς τοὺς δύο οὐδ' Ἡρακλῆς, » ἀλλ' ἐπανέστησαν καὶ πρὸς τρεῖς καὶ τοιούτους. Καὶ τούτων οὕτως προβάντων πρῶτον μὲν Θεὸς παρεῖδεν αὐτοὺς, καὶ τί ἔπραττον, οὐκ ἐγίνωσκον· ἀλλ' ὡς τοὺς ἰχθύας τοὺς μέσον σαγήνης ὄντας, οἳ ἀγνοοῦσιν ὅτι πάντες ὁμοῦ ἕλκονται εἰς γῆν, ἐκεῖνοι δὲ, ἕως τοῦτο γένηται, δυύκουν καὶ διώκονται καὶ ἁλίσκονται καὶ ψθείρονται οἱ ἐλάττονες ὑπὸ τῶν μεγαλωτέρων, οὕτω καὶ οὗτοι· ὁ μὲν γὰρ δεσπότης κὺρ Θωμᾶς παρέπιπτε καὶ ἐπολιόρκει τὰ τοῦ ἀδελφοῦ αὐτοῦ, Καλομμάταν καὶ Μαντίνειαν, καὶ συνεργοὺς εὗρε πρωτοστράτορα τὸν ἄριστον πρωτοστράτορα τὸν Σεβαστόπουλον Νικόλαον (τὸν Εὐδαίμονα Ἰωάννην Λέοντα) μεσάζοντα σύγγαμβρον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸν περιπόθητον γυναικοθεῖον, τὸν πλέον Κυδωνίδην ἢ Τζαμπλάκωνα. Ὁ δὲ δεσπότης κὺρ Δημήτριος πάλιν τὸ Λεοντάριν καὶ τὰ αὐτοῦ καὶ τὸ Πίδημα διὰ τοῦ Παλαιολόγου Γεωργίου, [391] περιποθήτου ἐξαδέλφου, καὶ μεσάζοντος τοῦ δεσπότου κὺρ Θωμᾶ καὶ τοῦ γαμβροῦ αὐτοῦ Μποχάλη Μανουήλ, εἰ καὶ ὁ μὲν τάχα ἀπῆρε τὴν Καλομμάταν καὶ τὸ Λεῦτρον καὶ πολὺ τοῦ τῆς Μάνης ζυγοῦ· τοῦ δὲ δεσπότου κὺρ Δημητρίου ἐρχομένου ἐμβῆναι ἐν τῷ Λεονταρίῳ, ὡς ἔμαθε τοῦτο ὁ ἀδελφὸς αὐτοῦ, ἔδραμε καὶ προλαβὼν ἐπέβη ἐν αὐτῷ, καὶ ἀπέμεινεν ἄπρακτος ὁ δεσπότης κὺρ Δημήτριος τοῦ Παλαιολόγου καὶ τῶν Μποχαλέων φυγόντων μόνων καὶ ἀπελθόντων εἰς αὐτὸν, εἰς τὸν Μυζηθρᾶν ἀπαναστρέψαντα, ἔτι δὲ καὶ τὸ κάκιστον καὶ ἀνωφελέστατον γένος τῶν Ἀλβανιτῶν, καιροῦ λαβόμενον τῆς ὑπολήψεως καὶ πλεονεκτικῆς καὶ ἁρπακτικῆς αὐτῶν γνώμης ἁρμοδίου, τί οὐκ ἔπραξαν, ἢ τί οὐκ εἰργάσαντο κακόν; Ἀπιστοῦντες γὰρ ὅλῃ τοῦ Σαββάτου ἀπὸ τὸν ἕνα τῶν αὐθεντῶν εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ κάστρα, ὡς ἡ ἐκείνων γλῶσσα, εἰς κεφαλατίκια ἀπῄτουν, εἰ δ' οὖν, εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ οἱ ἄλλοι πρὸς τὸν ἕτερον τῶν δεσποτῶν ὁμοίως. Διὰ μέσου οὖν, εἴ τι ἄρα καὶ εὕρισκον τῶν ἀθλίων τάχα Ῥωμαίων, ἀλλὰ δὴ καὶ Ἀλβανιτῶν καὶ συγγενῶν πολλάκις καὶ οἰκείων αὐτῶν πάντα διήρπαζον καὶ ἠφάνιζον· ἐγένοντο δὲ τοιαῦτα καὶ τοσαῦτα, ὅτι τίς ἄξιος αὐτὰ θρηνῆσειεν; Ἀλλὰ δὴ καὶ αὐτοὶ οἱ Τοῦρκοι, οἱ εἰς τὴν Κόρινθον [392] καὶ τὴν Ἀτραν εὑρισκόμενοι, καιροῦ λαβόμενοι δικαίου τοὺς μὲν ἠχμαλώτιζον, τοὺς δὲ ἀπέκτεινον, τοὺς δ' αὐθέντας καὶ τοὺς ἄρχοντας κατεγέλων, βλέποντες καθ' ἑαυτῶν τὰ ξίφη ὠθοῦντας. Ταύτας δὴ τὰς ἐργασίας κἀμοῦ ἐννοήσαντος, εὑρισκομένου μοῦ εἰς τὴν Ἀρκαδίαν, ἔνθα δὴ καὶ ἐπράττοντο, καὶ τὰ αὐτῶν συμπεράσματα σκοπήσαντος, πρὸ τοῦ ἐξελθεῖν τὸν δεσπότην ἀπὸ τῆς Ἀρκαδίας, ἐξῆλθον κἀγὼ πλάσας αἰτίας τινὰς, καὶ ἀπῆλθον εἰς τὴν Ὑδασον, ἣ νῦν Μεθώνη καλεῖται, περὶ τὸ τέλος τοῦ Δεκεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους. Ἀλλὰ δὴ καὶ ὁ χρήσιμος ἄρχων ἀπό τε γνώσεως καὶ πράξεως Γεώργιος ὁ Ῥαοὺλ, [393] καὶ αὐτὸς ἀφεὶς καὶ αὐθέντην καὶ τὰ πλείω τῶν αὐτοῦ ἦλθε καὶ αὐτὸς ἐν τῇ Μεθώνῃ· καὶ καθήμενοι ἀμφότεροι ἐν λιμένι ἐκαραβοκοῦμεν καθ' ὥραν τὸ τῆς τοιαύτης τρικυμίας τέλος, εἰ καὶ τοῦ Θεοῦ μακροθυμήσαντος ἐμάκρυνεν, ἵνα οἱ ἀσύνετοι ποτὲ συνήσωσι καὶ οἱ μωροὶ ποτὲ φρονήσωσι, καὶ ὁμόνοια καὶ εἰρήνη γένηται μέσον αὐτῶν, καὶ τοῦ Θεοῦ δεηθῶσιν, ἔτι δὲ καὶ τοῦ ἀμηρᾶ, καὶ ἐλεήσῃ μὲν αὐτοὺς ὡς ἐλεήμων Θεὸς, προστάξῃ δὲ καὶ τὸν δήμιον αὐτοῦ Ἀμηρᾶν, καὶ ἀφήσῃ αὐτοὺς ζῆσαι πλείονα χρόνον· τόπον γὰρ καὶ τάξιν ἔχει καὶ αὐτὸς εἰς Θεὸν, οἷαν οἱ αὐτοῦ δήμιοι πρὸς αὐτὸν, οἵτινες πληροῦσι μὲν τῷ θελήματι καὶ τῇ προστάξει αὐτοῦ, εἰσὶ δὲ μισητοὶ καὶ ἀποτρόπαιοι.

Καὶ τούτων δὴ τῶν προρρηθέντων κακῶν εἰς τὴν ἅπασαν τοῦ Μωρέως ἀθλίου τόπον γενομένων, ἐλεεινότατος καὶ φοβερώτατος μερικοῦ ἔξωθεν, κατέβραμεν τὸν τόπον ἅπαντα, ἵνα, ἅπερ κακὰ παρέλιπον οἱ οἰκήτορες καὶ κύριοι αὐθέντες καὶ ἄρχοντες, οὐκ ἀπὸ προαιρέσεως ἀλλ' ἀπὸ ἀδυναμίας πράξωσιν αὐτοί, τοῦ μὲν ἑνὸς τῶν δεσποτῶν ἐχθροὶ ὄντες, τοῦ δ' ἄλλου τάχα φίλοι· ὃν δὴ δεσπότην καὶ ἐχθρὸν αὐτῶν κὺρ Θωμᾶν εἰς τὰ περὶ τὸ [394] Λεοντάριν εὑρόντες καὶ διώξαντες καὶ αἰχμαλωτίσαντες, ἔπειτα φέροντες τὸ κατσουνοσόπιον ἤτοι τὰς τίνδας αὐτῶν πλησίον τῶν ὁσπητίων τοῦ Λεωταρίου ἔθηκαν, εἶτ' ἐξελθόντες ἀπῆλθον εἰς τὰ περὶ τὸν Μυζηθρᾶν καὶ τὸν φίλον αὐτῶν δεσπότην, καὶ ἀπ' ἐκεῖ διέβησαν νικηταὶ καὶ μετὰ πολλοῦ κέρδους ζώων τε καὶ ἀνθρώπων. Μόλις οὖν ποτὲ ἐννοήσαντες οἱ αὐθένται καὶ ἀδελφοὶ τὸ κακὸν τῆς ἑαυτῶν μάχης, καὶ συναχθέντες εἰς τὸ Καστρίτζιν ἐποίησαν τάχα ὅρκους εἰρήνης καὶ τοῦ τῆς Λακεδαιμονίας (μητροπολίτου) μετὰ τοῦ σάκκου αὐτοῦ λειτουργήσαντος, ὁπόταν τοὺς Χριστιανοὺς μετὰ φόβου Θεοῦ καὶ πίστεως προσελθεῖν ἐπιβοῶσιν οἱ ἱερεῖς, προσελθόντες οἱ αὐθένται καὶ ἀδελφοὶ καὶ ὁμόσαντες, ἔμειναν, ὡς ἠκούσαμεν, ὁ δεσπότης κὺρ Δημήτριος ἐν τοῖς συμπεφωνημένοις μέχρι τινός· καὶ πάλιν ἦν ὁ αὐτὸς, ὡς οὐδενὸς καινοῦ γεγονότος· ὦ τῆς ἀνοχῆς καὶ μακροθυμίας σου, Χριστὲ βασιλεῦ, καὶ εἰς αὐτὸν καὶ τοὺς αἰεί ους! καὶ ἤρξαντο πάλιν τὰ κακὰ καὶ ἔτι, τῶν χθὲς τοιούτων φρικτῶν ὅρκων λυθέντων, καὶ ἔπραττεν ὁ καθεὶς κατὰ τοῦ ἑτέρου τὸ ἠδύνατο τὰς ἐλπίδας, ὁ μὲν εἰς τὴν φιλίαν τοῦ ἀμηρᾶ καὶ βοήθειαν, καὶ τὴν ἀδικίαν, ὁποῦ ἠδικήθη εἴς τε τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὰ κάστρα, [395] ὁ δὲ εἰς τὴν ἐπιορκίαν τοῦ ἄλλου καὶ εἰς τὸ κατὰ τῶν ἀπίστων τάχα μάχεσθαι.

υξ'.

Τούτων οὖν οὕτω κακῶς πραττομένων διέβη καὶ ὁ χειμὼν τοῦ ξη' ἔτους, καὶ τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους ἰδοὺ καὶ ὁ ἀμηρᾶς ἦλθεν κατ' ἀμφοτέρων. Ἀπελθόντος δ' αὐτοῦ ἐξ ὀρθοῦ εἰς τὸν Μυζηθρᾶν, ἐπεὶ ἐκεῖ εὑρίσκετο ὁ δεσπότης, διὰ τὸ εὑρίσκεσθαι τὸν ἀδελφὸν καὶ ἐχθρὸν αὐτοῦ εἰς τὴν Καλομμάταν καὶ πολεμίζοντος τὴν Μαντίνειαν, κατῆλθε καὶ ἀκουσίως ἑκουσίως, καὶ ἐδουλώθη εἰς αὐτόν· λαβὼν δὲ

Digitized by Google

ὁ μηρᾶς καὶ αὐτὸν καὶ τὸν Μυζηθρᾶν καὶ φυλακὴν περιθεὶς εἶπε πρὸς τὸν δεσπότην· Σὺ μέν, ὦ δέσποτα, ἐπεὶ οὕτως ἦλθον εἰς σὲ τὰ πράγματα, τὸν τόπον τοῦτον πλέον οὐδὲ ἠμπορεῖς νὰ τὸν ἄρχῃς· ἀλλ' ἐπεὶ πατέραν σε ἐστήσαμεν ἔχειν, καὶ τὸ κορίτζιν σου ἐστήσαμεν λαβεῖν εἰς γυναῖκά μας, τὸν τόπον τοῦτον δὸς ἡμῖν. Σὺ δὲ καὶ τὸ κορίτζιν σου ἔλθετε μαθ' ἡμῶν, καὶ θέλομεν σᾶς δώσειν ἕτερον κόσμον εἰς τὸ νὰ ἔχητε νὰ ζῆτε· ἅπερ στέρξας καὶ ἀκουσίως ἐπεμψε καὶ ἄρχοντας αὐτοῦ καὶ Τούρκους, [396] ἵνα καὶ τὴν γυναῖκαν αὐτοῦ τὴν βασίλισσαν καὶ τὴν θυγατέραν λάβωσι καὶ φέρωσιν, ἀλλὰ δὴ καὶ τὴν Μονεμβασίαν παραδώσωσιν· ἐκεῖσε γὰρ αὗται εὑρίσκοντο, ὧν τὸ μὲν ἐγένετο (ἐξῆλθον γὰρ καὶ ἦλθον ἑκουσίως, ἔνθα ἦσαν ὅ τε ἀμηρᾶς καὶ ὁ δεσπότης·) · οἱ δὲ Μονεμβασιῶται καὶ ὁ εἰς κεφαλὴν εὑρισκόμενος Μανουὴλ ὁ Παλαιολόγος κρατήσαντες [397] τὸ κάστρον δεδώκασιν αὐτὸ τῷ δεσπότῃ κυρίῳ Θωμᾷ, μετὰ ταῦτα καὶ αὐτὸς τάχα τῷ πάπᾳ.

[405] Ὁ δ' ἀμηρᾶς τὴν μὲν βασίλισσαν καὶ τὴν θυγατέραν οἰκονομήσας ἔστειλεν ἔξω μετά τινων τῶν αὐτοῦ καὶ αὐτῆς, τὸν δὲ δεσπότην ἦγε καὶ ἔφερε μεθ' ἑαυτοῦ. Ἐλθόντες οὖν εἰς τὴν Βορδονίαν καὶ τὸ Καστρίτζιν, οἱ μὲν εἰς τὴν Βορδονίαν γενναῖοι ἄρχοντες αὐτῆς φοβηθέντες ἔφυγον ἀφέντες αὐτὴν, οἱ δὲ εἰς τὸ Καστρίτζιν τάχα μέχρι τινὸς ἀντισταθέντες καὶ πολεμήσαντες, τέλος προσεκύνησαν, καὶ κατελθόντες στέφανωθῆναι ὑπὲρ τῶν ἀνδραγαθημάτων αὐτῶν, οὓς μὲν αὐτῶν ἐκαρατόμησεν, οὓς δὲ εἰς πάλους ἐκάθισε, τὸν δὲ Προτονοκοκᾶν ἐκδείρας ἐτελείωσεν, ἄξιον τέλος τῶν ἐργασιῶν καὶ πράξεων ἀπολαύσαντος. Ἐλθόντος δ' αὐτοῦ δὴ τοῦ ἀμηρᾶ καὶ εἰς τὰ περὶ τὸ Λεοντάριν καὶ αὐτὸ τὸ Λεοντάριν, καὶ εὑρὼν αὐτὸ ἔρημον ἀνθρώπων, αὐτὸ μὲν ἀπῆρεν· εἰς δὲ τὸ Γαρδίκιν, ἔνθα οἱ ἄνθρωποι ὡς ἰσχυρότερον ἀπῆλθον φυλαχθησόμενοι, ἀπελθὼν ἐπολεμήθη μέχρι τινὸς παρὰ τῶν Λεονταριτῶν· τέλος δὲ ἐδουλώθησαν· [406] καὶ ἐγένοντο πάντες παρανάλωμα μαχαίρας σὺν γυναιξὶ καὶ παισί. Τοῦτο ἂν καὶ οἱ ποτὲ ἀρχηγοὶ αὐτῶν Μποχαλέοι ἔπαθον, εἰ μὴ φθάσας ὁ Μπεϊλαρμπεῖς Μαχουμούτης ἐξεζήτησεν αὐτοὺς τῆς γυναικὸς Μανουὴλ τοῦ Μποχάλη ἐξαδέλφης οὔσης αὐτοῦ, εἰ καὶ κακὰ ἀνταπέδωκαν αὐτῷ ἀντὶ τούτου· διδόντος γὰρ αὐτοῖς ἀνθρώπους ἵνα μετὰ ἀνέσεως καὶ ἀναπαύσεως ἀπέρχωνται τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν ἔξω τόπον, διερχόμενοι περὶ τὸν Ποντικὸν εὑρόντες πλεύσιμον καὶ δολίως ἀποκτείναντες τοὺς ἀπάγοντας ἀνθρώπους τοῦ Μπεϊλαρμπεῖ, ἐμβάντες ἔφυγον εἰς Κέρκυραν· καὶ αὐτοὶ μὲν ἠλευθερώθησαν τῆς δουλείας ὅπως δήποτε· ὁ δὲ πενθερὸς μὲν Μανουὴλ τοῦ Μποχάλη Γεώργιος ὁ Παλαιολόγος, πρωτεξάδελφος δὲ, ὡς προειδηλώσαμεν, τῆς μητρὸς τοῦ Μπεϊλαρμπεῖ, βλῃθεὶς εἰς σιδηρᾶ ἦγετο· αὐτὸς γὰρ, ὡς προεῖπομεν, φυγὼν ἀπὸ τὸ Λεοντάριν μετὰ καὶ τοῦ γαμβροῦ αὐτοῦ ἀπῆλθεν εἰς τὸν Μυζηθρᾶν, καὶ τὴν δουλοσύνην τοῦ δεσπότου κὺρ Δημητρίου· πολέμου δὲ γεγονότος περὶ τὴν Βορδονίαν καὶ τὴν Τρύπην κακῶς λαβωθεὶς ἐάλω, καὶ ἀπήγαγον αὐτὸν δέσμιον εἰς τὸν ποτὲ αὐθέντην αὐτοῦ δεσπότην [407] κὺρ Θωμᾶν. Ὡς δὲ ἰάθη ἀπὸ τοῦ λαβώματος, περιωρισμένου δὲ ὄντος καὶ φυλαττομένου ὁπωσδήποτε περὶ τὸ Δυβράχιον, ἀπατήσας τοὺς φυλάσσοντας ἔφυγε· καὶ πάλιν εὑρίσκετο εἴς τε τὸν δεσπότην κὺρ Δημήτριον καὶ εἰς τὸ Ἀνάπλιν, τὸν πλείονα καιρὸν τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων εὑρισκομένων εἰς τὰ Βενετικά. Τοῦ οὖν ἀμηρᾶ, ὡς δεδηλώκαμεν, δουλώσαντος τὸ Λεοντάριν καὶ τὰ περὶ αὐτὸ ἐδούλωσεν, ἔτι δὲ καὶ τὸν ἅγιον Γεώργιον. Ταῦτα γὰρ ἰδόντος τοῦ Κροκοντύλου ἢ μᾶλλον Κροκοδείλου εἰπεῖν οἰκειότερον, προσεκύνησεν καὶ αὐτὸς τὸν ἀμηρᾶν, καὶ τὸ κάστρον καὶ τοὺς δύο υἱοὺς αὐτοῦ αὐτῷ δέδωκεν· αὐτὸς δὲ ἔλαβε χάριν τούτων τὸ Λωΐ ἢ μᾶλλον τὸ Ἐλωΐ Ἐλωΐ, τουτέστι, Θεέ μου! ἵνα τί μὴ καὶ αὐτὸν προσεγκατέλιπες, τῶν προλεχθέντων κακῶν πρωτεργάτην; Τούτων οὖν ἐκεῖσε γενομένων ἢ μᾶλλον γινομένων, ὁ δεσπότης κὺρ Θωμᾶς ἀφεὶς τὴν Καλομμάταν, καὶ περάσας εἰς τὰ περὶ τὴν Κοσμέναν καὶ τὸ Πεταλίδιν ἦλθε καὶ ἐσέβη εἰς τὸν Ἀβαρῖνον, κἀκεῖθεν εἰς τὸ Μαράθιν προγενέστερον τῆς βασιλίσσης καταλειψάσης τὴν Ἀρκαδίαν, κἀκεῖσε ἀπελθούσης μετὰ καὶ τῶν παίδων αὐτῆς καὶ τῶν εὑρισκομένων ἐκεῖσε εἰς τὴν Ἀρκαδίαν ἀρχόντων. Ὡς δὲ ὁ ἀμηρᾶς ἀπῆρεν αὐτὰ, ἀλλὰ δὴ καὶ τὴν Καρύταιναν παρὰ τοῦ Σγουρομάλη Παλαιολόγου καὶ γυναικαδέλφου τοῦ μεγάλου Λουκάνη, ὃς προαπέθανεν [408] εἰς ἀπόπατον διαβιβάσας τὴν ψυχὴν ἅμ' ἐγκάτοις, κατῆλθεν εἰς τὰ περὶ τὴν Ἀδρουῦσαν, καὶ λαβὼν αὐτὴν καὶ τὰ περὶ αὐτὴν πάντα ἀπῆλθε θεάσασθαι τὴν Κορώνην, εἶτ' ἀπ' ἐκεῖσε δι:έβη καὶ εἶδε καὶ τὴν Μεθώνην, εἶτα εἰς τὸν Πύλον τὸν καὶ Ἀβαρῖνον, καθ' ἣν ἡμέραν καὶ ὁ δεσπότης κὺρ Θωμᾶς ἐξῆλθε· προητοίμασε γάρ τινα πλοιάρια, καὶ ἦλθεν ἐν τῷ Πόρτῳ λόγγῳ ὀνομαζομένῳ, ἵν' ἀπ' ἐκεῖσε καιροῦ λαβόμενος εἰς τὴν Κέρκυραν ἀπέλθῃ, ὃ δὴ καὶ γέγονε. Καὶ τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπέσωσεν ἐκεῖσε, ἤγουν τοὺς Κορφοὺς, ὡς νῦν ὀνομάζεται ἡ Κέρκυρα· εὑρόντος δὲ κἀμοῦ πλεύσιμον ἀπαγόμενον ἐκεῖσε, ἐμβὰς τῇ ια' Ἰουλίου διὰ τὸ ἐπιγενέσθαι μετὰ τῶν ἄλλων κακῶν θανατικὸν ἐν τῇ Μεθώνῃ, τῇ β' τοῦ Αὐγούστου ἀπεσώθημεν ἔχοντός μου σκοπὸν, ἵνα εἰς τὴν Κρήτην ἀπέλθω, ἢ εἰς τὴν περὶ τὴν Θεσσαλονίκην Βερροίαν, διὰ τὸ ἔχειν με ἐκεῖ καλλίστην μονὴν εἰς ὄνομα τοῦ ἁγίου Νικολάου, ἥνπερ τῆς μητρός μου ὁ πατὴρ ἀνήγειρεν ἐκ βάθρων. Τοῦ δὲ Ῥαοὺλ Γεωργίου καὶ τοῦ γαμβροῦ καὶ τῆς θυγατρὸς αὐτοῦ ἀπελθόντων, ἔτι δὲ καὶ τοῦ δεσπότου μετὰ καὶ τῶν ἄλλων πάντων μετέπειτα, καὶ ἐμὲ παρώτρυνον καὶ ἐβουλεύοντο ἐκεῖσε ἀπελθεῖν, ἀπῆλθον κἀγώ. Τοῦ δὲ [409] ἀμηρᾶ λαβόντος τὴν Ἀρκαδίαν, καὶ ἀπ' ἐκεῖσε διερχομένου εἰς τὰ κάτω μέρη τοῦ Μορέως, καὶ λαμβάνοντος πάντα τὰ ἐκεῖσε, ἀλλὰ δὴ καὶ τὸ ἰσχυρότατον Χλομούτζιν καὶ Σανταμέρι τῶν Μπεϊλαρμπεΐδων, ὅπου εἶχον αὐτὰ, ταῦτα ἀφέντων κούφων, καὶ ἀπελθόντων καὶ αὐτῶν εἰς Κορφοὺς, ἦλθε μέχρι καὶ τῆς Πάτρας κἀκεῖσε προσέμεινε, καὶ τὰ Καλάβρυτα λαβόντος παρὰ τοῦ οὔτ' εἰς δεσπότας οὔτ' εἰς ἀμηρᾶν πιστοῦ Δοξᾶ, ἀλλ' οὐδ' εἰς Θεὸν

Digitized by Google

τερον, καὶ ἀδελφὸν καὶ αὐθέντην ἐντὸς τοῦ τόπου, οὐκ ἐνθυμηθέντες οἱ ἄθλιοι, οὔτε τοῦ ἀψευδοῦς τὸ λόγιον, ὅτι πᾶσα οἰκία μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται, οὔτε τὸν προειμώδη λόγον τὸν, « Πρὸς τοὺς δύο οὐδ' Ἡρακλῆς, » ἀλλ' ἐπανέστησαν καὶ πρὸς τρεῖς καὶ τοιούτους. Καὶ τούτων οὕτως προδάντων πρῶτον μὲν Θεὸς παρεῖδεν αὐτοὺς, καὶ τί ἔπραττον, οὐκ ἐγίνωσκον· ἀλλ' ὡς τοὺς ἐχθρὰς τοὺς μέσον σαγήνης ὄντας, οἱ ἀγνοοῦσιν ὅτι πάντες ὁμοῦ ἑλκονται εἰς γῆν, ἐκεῖνοι δὲ, ἕως τοῦτο γένηται, διώκουν καὶ διώκονται καὶ ἁλίσκονται καὶ φθείρονται οἱ ἐλάττονες ὑπὸ τῶν μεγαλωτέρων, οὕτω καὶ οὗτοι· ὁ μὲν γὰρ δεσπότης κὺρ Θωμᾶς παρίππτε καὶ ἐπολιόρκει τὰ τοῦ ἀδελφοῦ αὐτοῦ, Καλομμάταν καὶ Μαντίνειαν, καὶ συνεργοὺς εὗρε πρωτοστράτορα τὸν ἄριστον πρωτοστράτορα τὸν Σαβαστόπουλον Νικόλαον (τὸν Εὐδαίμονα Ἰωάννην Λέοντα) μεσάζοντα σύγγαμβρον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸν περιπόθητον γυναικοθεῖον, τὸν πλέον Κυδωνίδην ἢ Τζαμπλάκωνα. Ὁ δὲ δεσπότης κὺρ Δημήτριος πάλιν τὸ Λεοντάριν καὶ τὰ αὐτοῦ καὶ τὸ Πίδημα διὰ τοῦ Παλαιολόγου Γεωργίου, [391] περιποθήτου ἐξαδέλφου, καὶ μεσάζοντος τοῦ δεσπότου κὺρ Θωμᾶ καὶ τοῦ γαμβροῦ αὐτοῦ Μπογάλη Μανουὴλ, εἰ καὶ ὁ μὲν τάχα ἁπῆρε τὴν Καλομμάταν καὶ τὸ Λεῦτρον καὶ πολὺ τοῦ τῆς Μάνης ζυγοῦ· τοῦ δὲ δεσπότου κὺρ Δημητρίου ἐρχομένου ἐμεῖναι ἐν τῷ Λεονταρίῳ, ὡς ἔμαθε τοῦτο ὁ ἀδελφὸς αὐτοῦ, ἔδραμε καὶ προλαβὼν ἐπίβη ἐν αὐτῷ, καὶ ἀπέμεινεν ἄπρακτος ὁ δεσπότης κὺρ Δημήτριος τοῦ Παλαιολόγου καὶ τῶν Μπογαλέων φυγόντων μόνων καὶ ἀπελθόντων εἰς αὐτὸν, εἰς τὸν Μυζηθρᾶν ἀπαναστρέψαντα, ἔτι δὲ καὶ τὸ κάκιστον καὶ ἀνωφελέστατον γένος τῶν Ἀλβανιτῶν, καιροῦ λαβόμενον τῆς ὑπολήψεως καὶ πλεονεκτικῆς καὶ ἁρπακτικῆς αὐτῶν γνώμης ἁρμοδίου, τί οὐκ ἔπραξαν, ἢ τί οὐκ εἰργάσαντο κακόν; Ἀπιστοῦντες γὰρ ὅς τοῦ Σαββάτου ἀπὸ τὸν ἕνα τῶν αὐθεντῶν εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ κάστρα, ὡς ἡ ἐκείνων γλῶσσα, εἰς κεφαλατίκια ἀπῆτουν, εἰ δ' οὖν, εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ οἱ ἄλλοι πρὸς τὸν ἕτερον τῶν δεσποτῶν ὁμοίως. Διὰ μέσου οὖν, εἴ τι ἄρα καὶ εὕρισκον τῶν ἀθλίων τάχα Ῥωμαίων, ἀλλὰ δὴ καὶ Ἀλβανιτῶν καὶ συγγενῶν πολλάκις καὶ οἰκείων αὐτῶν πάντα διήρπαζον καὶ ἠφάνιζον· ἐγένοντο δὲ τοιαῦτα καὶ τοσαῦτα, ὅτι τίς ἀξίως αὐτὰ θρηνήσειεν; Ἀλλὰ δὴ καὶ αὐτοὶ οἱ Τοῦρκοι, οἱ εἰς τὴν Κόρινθον [392] καὶ τὴν Πάτραν εὑρισκόμενοι, καιροῦ λαβόμενοι δικαίου τοὺς μὲν ἠχμαλώτιζον, τοὺς δὲ ἀπέκτεινον, τοὺς δ' αὐθέντας καὶ τοὺς ἄρχοντας κατεγέλων, βλέποντες καθ' ἑαυτῶν τὰ ξίφη ὠθοῦντας. Ταύτας δὴ τὰς ἐργασίας κἀμοῦ ἐννοήσαντος, εὑρισκομένου μοῦ εἰς τὴν Ἀρκαδίαν, ἔνθα δὴ καὶ ἐπράττοντο, καὶ τὰ αὐτῶν συμπεράσματα σκοπήσαντος, πρὸ τοῦ ἐξελθεῖν τὸν δεσπότην ἀπὸ τῆς Ἀρκαδίας, ἐξῆλθον κἀγὼ πλάσας αἰτίας τινὰς, καὶ ἀπῆλθον εἰς τὴν Πίδασον, ἣ νῦν Μεθώνη καλεῖται, περὶ τὸ τέλος τοῦ Δεκεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους. Ἀλλὰ δὴ καὶ ὁ χρήσιμος ἄρχων ἀπό τε γνώσεως καὶ πράξεως Γεώργιος ὁ Ῥαοὺλ, [393] καὶ αὐτὸς ἀφεὶς καὶ αὐθέντην καὶ τὰ πλείω τῶν αὐτοῦ ἦλθε καὶ αὐτὸς ἐν τῇ Μεθώνῃ· καὶ καθήμενοι ἀμφότεροι ἐν λιμένι ἐκαραδοκοῦμεν καθ' ὥραν τὸ τῆς τοιαύτης τρικυμίας τέλος, εἰ καὶ τοῦ Θεοῦ μακροθυμήσαντος ἐμάκρυνεν, ἵνα οἱ ἀσύνετοι ποτὲ συνήσωσι καὶ οἱ μωροὶ ποτὲ φρονήσωσι, καὶ ὁμόνοια καὶ εἰρήνη γένηται μέσον αὐτῶν, καὶ τοῦ Θεοῦ δεηθῶσιν, ἔτι δὲ καὶ τοῦ ἀμηρᾶ, καὶ ἐλεήσῃ μὲν αὐτοὺς ὡς ἐλεήμων Θεὸς, προστάξῃ δὲ καὶ τὸν δήμιον αὐτοῦ Ἀμηρᾶν, καὶ ἀφήσῃ αὐτοὺς ζῆσαι πλείονα χρόνον· τόπον γὰρ καὶ τάξιν ἔχει καὶ αὐτὸς εἰς Θεὸν, οἷαν οἱ αὐτοῦ δήμιοι πρὸς αὐτὸν, οἵτινες πληροῦσι μὲν τῷ θελήματι καὶ τῇ πραστάξει αὐτοῦ, εἰσὶ δὲ μισητοὶ καὶ ἀποτρόπαιοι.

Καὶ τούτων δὴ τῶν προρρηθέντων κακῶν εἰς τὸν ἅπαντα τοῦ Μορέως ἀθλίου τόπον γινομένων, ἐλθόντος καὶ φωσφόρου μεριτοῦ ἔξωθεν, κατέδραμεν τὸν τόπον ἅπαντα, ἵνα, ἅπερ κακὰ παρέλιπον οἱ ἐκτορες καὶ κύριοι αὐθέντες καὶ ἄρχοντες, οὐκ ἀπὸ προαιρέσεως ἀλλ' ἀπὸ ἀδυναμίας πράξωσιν αὐτοί, τοῦ μὲν ἑνὸς τῶν δεσποτῶν ἐχθροὶ ὄντες, τοῦ δ' ἄλλου τάχα φίλοι· ὃν δὴ δεσπότην καὶ ἐχθρὸν αὐτῶν κὺρ Θωμᾶν εἰς τὰ περὶ τὸ [394] Λεοντάριν εὑρόντες καὶ διώξαντες καὶ πιχμαλωτίσαντες, ἔπειτα φέροντες τὸ κατευνοστόπιον ἤτοι τὰς πένδας αὐτῶν πλησίον τῶν ὀσπητίων τοῦ Λεοντορίου ἔθηκαν, εἶτ' ἐξελθόντες ἀπῆλθον εἰς τὰ περὶ τὸν Μυζηθρᾶν καὶ τὸν φίλον αὐτῶν δεσπότην, καὶ ἀπ' ἐκεῖ διέβησαν νικηταὶ καὶ μετὰ πολλοῦ κέρδους ζώων τε καὶ ἀνθρώπων. Μόλις οὖν ποτὲ ἐννοήσαντες οἱ αὐθένται καὶ ἀδελφοὶ τὸ κακὸν τῆς ἑαυτῶν μάχης, καὶ συναχθέντες εἰς τὸ Καστρίτζιν ἐποίησαν τάχα ὅρκους εἰρήνης καὶ τοῦ τῆς Λακεδαιμονίας (μητροπολίτου) μετὰ τοῦ σάκκου αὐτοῦ λειτουργήσαντος, ὑπὲρ τοὺς Χριστιανοὺς μετὰ φόβου Θεοῦ καὶ πίστεως προσελθεῖν ἐπιβῶσιν οἱ ἱερεῖς, προσελθόντες οἱ αὐθένται καὶ ἀδελφοὶ καὶ ὁμόσαντες, ἔμειναν, ὡς ἠκούσαμεν, ὁ δεσπότης κὺρ Δημήτριος ἐν τοῖς συμπεφωνημένοις μέχρι τινός· καὶ πάλιν ἦν ὁ αὐτὸς, ὡς οὐδενὸς καινοῦ γεγονότος· ὦ τῆς ἀνοχῆς καὶ μακροθυμίας σου, Χριστὲ βασιλεῦ, καὶ εἰς αὐτὸν καὶ τοὺς αἰεί! καὶ ἤρξαντο πάλιν τὰ κακὰ καὶ ἔτι, τῶν χθὲς τοιούτων φρικτῶν ὅρκων λυθέντων, καὶ ἔπραττεν ὁ καθεὶς κατὰ τοῦ ἑτέρου τὸ ἠδύνατο τὰς ἐλπίδας, ὁ μὲν εἰς τὴν φιλίαν τοῦ ἀμηρᾶ καὶ βοήθειαν, καὶ τὴν ἀδικίαν, ὅπου ἠδικήθη εἰς τε τοὺς ὁποχειρίους αὐτοῦ καὶ τὰ κάστρα, [395] ὁ δὲ εἰς τὴν ἐπιορκίαν τοῦ ἄλλου καὶ εἰς τὸ κατὰ τῶν ἀπίστων τάχα μάχεσθαι.

υξ'.

Τούτων οὖν οὕτω κακῶς πραττομένων διέβη καὶ ὁ χειμὼν τοῦ ξη' ἔτους, καὶ τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους ἰδοὺ καὶ ὁ ἀμηρᾶς ἦλθεν κατ' ἀμφοτέρων. Ἀπελθόντος δ' αὐτοῦ ἐξ ὀρθοῦ εἰς τὸν Μυζηθρᾶν, ἐπεὶ ἐκεῖ εὑρίσκετο ὁ δεσπότης, διὰ τὸ εὑρίσκεσθαι τὸν ἀδελφὸν καὶ ἐχθρὸν αὐτοῦ εἰς τὴν Καλομμάταν καὶ πολεμίζοντος τὴν Μαντίνειαν, κατῆλθε καὶ ἀκουσίως ἑκουσίως, καὶ ἐδουλώθη εἰς αὐτόν· λαβὼν δὲ

Digitized by Google

ὁ μηρᾶς καὶ αὐτὸν καὶ τὸν Μυζηθρᾶν καὶ φυλακὴν περιθεὶς εἶπε πρὸς τὸν δεσπότην· Σὺ μέν, ὦ δέσποτα, ἐπεὶ οὕτως ἦλθον εἰς σὲ τὰ πράγματα, τὸν τόπον τοῦτον πλέον οὐδὲ ἡμπορεῖς νὰ τὸν ἄρχῃς· ἀλλ' ἐπεὶ πατέραν σε ἐστήσαμεν ἔχειν, καὶ τὸ κορίτζιν σου ἐστήσαμεν λαβεῖν εἰς γυναῖκά μας, τὸν τόπον τοῦτον δὸς ἡμῖν. Σὺ δὲ καὶ τὸ κορίτζιν σου ἔλθετε μαθ' ἡμῶν, καὶ θέλομεν σᾶς δώσειν ἕτερον κόσμον εἰς τὸ νὰ ἔχητε νὰ ζῆτε· ἅπερ στέρξας καὶ ἀκουσίως ἐπεμψε καὶ ἄρχοντας αὐτοῦ καὶ Τούρκους, [396] ἵνα καὶ τὴν γυναῖκαν αὐτοῦ τὴν βασίλισσαν καὶ τὴν θυγατέραν λάβωσι καὶ φέρωσιν, ἀλλὰ δὴ καὶ τὴν Μονεμβασίαν παραδώσωσιν· ἐκεῖσε γὰρ αὗται εὑρίσκοντο, ὧν τὸ μὲν ἐγένετο (ἐξῆλθον γὰρ καὶ ἦλθον ἐκουσίως, ἔνθα ἦσαν ὅ τε ἀμηρᾶς καὶ ὁ δεσπότης)· οἱ δὲ Μονεμβασιῶται καὶ ὁ εἰς κεφαλὴν εὑρισκόμενος Μανουὴλ ὁ Παλαιολόγος κρατήσαντες [397] τὸ κάστρον δεδώκασιν αὐτὸ τῷ δεσπότῃ κυρίῳ Θωμᾷ, μετὰ ταῦτα καὶ αὐτὸς τάχα τῷ πάπᾳ.

[405] Ὁ δ' ἀμηρᾶς τὴν μὲν βασίλισσαν καὶ τὴν θυγατέραν οἰκονομήσας ἐστειλεν ἔξω μετά τινων τῶν αὐτοῦ καὶ αὐτῆς, τὸν δὲ δεσπότην ἦγε καὶ ἔφερε μεθ' ἑαυτοῦ. Ἐλθόντες οὖν εἰς τὴν Βορδονίαν καὶ τὸ Καστρίτζιν, οἱ μὲν εἰς τὴν Βορδονίαν γενναῖοι ἄρχοντες αὐτῆς φοβηθέντες ἔφυγον ἀφέντες αὐτὴν, οἱ δὲ εἰς τὸ Καστρίτζιν τάχα μέχρι τινὸς ἀντισταθέντες καὶ πολεμήσαντες τέλος προσεκύνησαν, καὶ κατελθόντες στέφανωθῆναι ὑπὲρ τῶν ἀνδραγαθημάτων αὐτῶν, οὓς μὲν αὐτῶν ἐκαρατόμησεν, οὓς δὲ εἰς πάλους ἐκάθισε, τὸν δὲ Προτονοκοκᾶν ἐκδείρας ἐτελείωσεν, ἄξιον τέλος τῶν ἐργασιῶν καὶ πράξεων ἀπολαύσαντος. Ἐλθόντος δ' αὐτοῦ δὴ τοῦ ἀμηρᾶ καὶ εἰς τὰ περὶ τὸ Λεοντάριν καὶ αὐτὸ τὸ Λεοντάριν, καὶ εὑρὼν αὐτὸ ἔρημον ἀνθρώπων, αὐτὸ μὲν ἀπῆρεν· εἰς δὲ τὸ Γαρδίκιν, ἔνθα οἱ ἄνθρωποι ὡς ἰσχυρότερον ἀπῆλθον φυλαχθησόμενοι, ἀπελθὼν ἐπολεμήθη μέχρι τινὸς παρὰ τῶν Λεονταριτῶν· τέλος δὲ ἐδουλώθησαν· [406] καὶ ἐγένοντο πάντες παρανάλωμα μαχαίρας σὺν γυναιξὶ καὶ παισί. Τοῦτο ἂν καὶ οἱ ποτὲ ἀρχηγοὶ αὐτῶν Μποχαλέοι ἔπαθον, εἰ μὴ φθάσας ὁ Μπεϊλαρμπεῖς Μαχουμούτης ἐξεζήτησεν αὐτοὺς τῆς γυναικὸς Μανουὴλ τοῦ Μποχάλη ἐξαδέλφης οὔσης αὐτοῦ, εἰ καὶ κακὰ ἀνταπέδωκαν αὐτῷ ἀντὶ τούτου· διδόντος γὰρ αὐτοῖς ἀνθρώπους ἵνα μετὰ ἀνέσεως καὶ ἀναπαύσεως ἀπέρχωνται τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν ἔξω τόπον, διερχόμενοι περὶ τὸν Ποντικὸν εὑρόντες πλεύσιμον καὶ δολίως ἀποκτείναντες τοὺς ἀπάγοντας ἀνθρώπους τοῦ Μπεϊλαρμπεῖ, ἐμβάντες ἔφυγον εἰς Κέρκυραν· καὶ αὐτοὶ μὲν ἠλευθερώθησαν τῆς δουλείας ὅπως δήποτε· ὁ δὲ πενθερὸς μὲν Μανουὴλ τοῦ Μποχάλη Γεώργιος ὁ Παλαιολόγος, πρωτεξάδελφος δέ, ὡς προειδηλώσαμεν, τῆς μητρὸς τοῦ Μπεϊλαρμπεῖ, βληθεὶς εἰς σιδηρᾶ ἦγετο· αὐτὸς γάρ, ὡς προείπομεν, φυγὼν ἀπὸ τὸ Λεοντάριν μετὰ καὶ τοῦ γαμβροῦ αὐτοῦ ἀπῆλθεν εἰς τὸν Μυζηθρᾶν, καὶ τὴν δουλοσύνην τοῦ δεσπότου κὺρ Δημητρίου· πολέμου δὲ γεγονότος περὶ τὴν Βορδονίαν καὶ τὴν Τρύπην κακῶς λαβωθεὶς ἐάλω, καὶ ἀπήγαγον αὐτὸν δέσμιον εἰς τὸν ποτὲ αὐθέντην αὐτοῦ δεσπότην [407] κὺρ Θωμᾶν. Ὡς δὲ ἰάθη ἀπὸ τοῦ λαβώματος, περιωρισμένου δὲ ὄντος καὶ φυλαττομένου ὁπωσδήποτε περὶ τὸ Δυρράχιον, ἀπατήσας τοὺς φυλάσσοντας ἔφυγε· καὶ πάλιν εὑρίσκετο εἴς τε τὸν δεσπότην κὺρ Δημήτριον καὶ εἰς τὸ Ἀνάπλιν, τὸν πλείονα καιρὸν τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων εὑρισκομένων εἰς τὰ Βενετικά. Τοῦ οὖν ἀμηρᾶ, ὡς δεδηλώκαμεν, δουλώσαντος τὸ Λεοντάριν καὶ τὰ περὶ αὐτὸ ἐδούλωσεν, ἔτι δὲ καὶ τὸν ἅγιον Γεώργιον. Ταῦτα γὰρ ἰδόντος τοῦ Κροκοντύλου ἢ μᾶλλον Κροκοδείλου εἰπεῖν οἰκειότερον, προσεκύνησεν καὶ αὐτὸς τὸν ἀμηρᾶν, καὶ τὸ κάστρον καὶ τοὺς δύο υἱοὺς αὐτοῦ αὐτῷ δέδωκεν· αὐτὸς δὲ ἔλαβε χάριν τούτων τὸ Λωΐ ἢ μᾶλλον τὸ Ἐλωΐ Ἐλωΐ, τουτέστι, Θεέ μου! ἵνα τί μὴ καὶ αὐτὸν προσεγκατέλιπες, τῶν προλεχθέντων κακῶν πρωτεργάτην; Τούτων οὖν ἐκεῖσεν γενομένων ἢ μᾶλλον γινομένων, ὁ δεσπότης κὺρ Θωμᾶς ἀφεὶς τὴν Καλομμάταν, καὶ περάσας εἰς τὰ περὶ τὴν Κοσμέναν καὶ τὸ Παταλίδιν ἦλθε καὶ ἐσέβη εἰς τὸν Ἀβαρῖνον, κἀκεῖθεν εἰς τὸ Μαράθιν προγενέστερον τῆς βασιλίσσης καταλειψάσης τὴν Ἀρκαδίαν, κἀκεῖσε ἀπελθούσης μετὰ καὶ τῶν παίδων αὐτῆς καὶ τῶν εὑρισκομένων ἐκεῖσε εἰς τὴν Ἀρκαδίαν ἀρχόντων. Ὡς δὲ ὁ ἀμηρᾶς ἀπῆρεν αὐτὰ, ἀλλὰ δὴ καὶ τὴν Καρύταιναν παρὰ τοῦ Σγουρομάλη Παλαιολόγου καὶ γυναικαδέλφου τοῦ μεγάλου Λουκάνη, ὃς προαπέθανεν [408] εἰς ἀπόπατον διαβιβάσας τὴν ψυχὴν ἅμ' ἐγκάτοις, κατῆλθεν εἰς τὰ περὶ τὴν Ἀδρούσαν, καὶ λαβὼν αὐτὴν καὶ τὰ περὶ αὐτὴν πάντα ἀπῆλθε θεάσασθαι τὴν Κορώνην, εἶτ' ἀπ' ἐκεῖσε διέβη καὶ εἶδε καὶ τὴν Μεθώνην, εἶτα εἰς τὸν Πύλον τὸν καὶ Ἀβαρῖνον, καθ' ἣν ἡμέραν καὶ ὁ δεσπότης κὺρ Θωμᾶς ἐξῆλθε· προητοίμασε γάρ τινα πλοιάρια, καὶ ἦλθεν ἐν τῷ Πόρτῳ λόγῳ ὀνομαζομένῳ, ἵν' ἀπ' ἐκεῖσε καιροῦ λαβόμενος εἰς τὴν Κέρκυραν ἀπέλθῃ, ὃ δὴ καὶ γέγονε. Καὶ τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπέσωσεν ἐκεῖσε, ἤγουν τοὺς Κορφιώτας, ὡς νῦν ὀνομάζεται ἡ Κέρκυρα· εὐρόντος δὲ κάμοῦ πλεύσιμον ἀπαγόμενον ἐκεῖσε, ἐμβὰς τῇ ια' Ἰουλίου διὰ τὸ ἐπιγενέσθαι μετὰ τῶν ἄλλων κακῶν θανατικὸν ἐν τῇ Μεθώνῃ, τῇ β' τοῦ Αὐγούστου ἀπεσώθημεν ἔχοντός μου σκοπὸν, ἵνα εἰς τὴν Κρήτην ἀπέλθω, ἢ εἰς τὴν περὶ τὴν Θεσσαλονίκην Βερροίαν, διὰ τὸ ἔχειν με ἐκεῖ καλλίστην μονὴν εἰς ὄνομα τοῦ ἁγίου Νικολάου, ἥνπερ τῆς μητρός μου ὁ πατὴρ ἀνήγειρεν ἐκ βάθρων. Τοῦ δὲ Ῥαοὺλ Γεωργίου καὶ τοῦ γαμβροῦ καὶ τῆς θυγατρὸς αὐτοῦ ἀπελθόντων, ἔτι δὲ καὶ τοῦ δεσπότου μετὰ καὶ τῶν ἄλλων πάντων μετέπειτα, καὶ ἐμὲ παρώτρυνον καὶ ἐβουλεύοντο ἐκεῖσε ἀπελθεῖν, ἀπῆλθον κἀγώ. Τοῦ δὲ [409] ἀμηρᾶ λαβόντος τὴν Ἀρκαδίαν, καὶ ἀπ' ἐκεῖσε διερχομένου εἰς τὰ κάτω μέρη τοῦ Μωρέως, καὶ λαμβάνοντος πάντα τὰ ἐκεῖσε, ἀλλὰ δὴ καὶ τὸ ἰσχυρότατον Χλομούτζιν καὶ Σανταμέρι τῶν Μπεϊλαρμπεΐδων, ὅπου εἶχον αὐτὰ, ταῦτα ἀφέντων κούφων, καὶ ἀπελθόντων καὶ αὐτῶν εἰς Κορφοὺς, ἦλθε μέχρι καὶ τῆς Πάτρας κἀκεῖσε προσέμεινε, καὶ τὰ Καλάβρυτα λαβόντος παρὰ τοῦ οὔτ' εἰς δεσπότας οὔτ' εἰς ἀμηρᾶν πιστοῦ Δοξᾶ, ἀλλ' οὐδ' εἰς Θεὸν

Digitized by Google

τερον, καὶ ἀδελφὸν καὶ αὐθέντην ἐντὸς τοῦ τόπου, οὐκ ἐνθυμηθέντες οἱ ἄθλιοι, οὔτε τοῦ ἀψευδοῦς τὸ λόγιον, ὅτι πᾶσα οἰκία μερισθεῖσα καθ' ἑαυτὴν ἐρημοῦται, οὔτε τὸν προοιμιώδη λόγον τὸν, « Πρὸς τοὺς δύο οὐδ' Ἡρακλῆς, » ἀλλ' ἐπανέστησαν καὶ πρὸς τρεῖς καὶ τοιούτους. Καὶ τούτων οὕτως προβάντων πρῶτον μὲν Θεὸς παρεῖδεν αὐτοὺς, καὶ τί ἔπραττον, οὐκ ἐγίνωσκον· ἀλλ' ὡς τοὺς ἰχθύας τοὺς μέσον σαγήνης ὄντας, οἱ ἀγνοοῦσιν ὅτι πάντες ὁμοῦ ἕλκονται εἰς γῆν, ἐκεῖνοι δὲ, ἕως τοῦτο γένηται, διώκουν καὶ διώκονται καὶ ἁλίσκονται καὶ φθείρονται οἱ ἐλάττονες ὑπὸ τῶν μεγαλωτέρων, οὕτω καὶ οὗτοι· ὁ μὲν γὰρ δεσπότης κὺρ Θωμᾶς παρίπιπτε καὶ ἐπολιόρκει τὰ τοῦ ἀδελφοῦ αὐτοῦ, Καλομμάταν καὶ Μαντίνειαν, καὶ συνεργοὺς εὗρε πρωτοστράτορα τὸν ἄριστον πρωτοστράτορα τὸν Σαβαστόπουλον Νικόλαον (τὸν Εὐδαίμονα Ἰωάννην Λέοντα) μεσάζοντα σύγγαμβρον τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τὸν περιπόθητον γυναικοθεῖον, τὸν πλέον Κυδωνίδην ἢ Τζαμπλάκωνα. Ὁ δὲ δεσπότης κὺρ Δημήτριος πάλιν τὸ Λεοντάριν καὶ τὰ αὐτοῦ καὶ τὸ Πίδημα διὰ τοῦ Παλαιολόγου Γεωργίου, [391] περιποθήτου ἐξαδέλφου, καὶ μεσάζοντος τοῦ δεσπότου κὺρ Θωμᾶ καὶ τοῦ γαμβροῦ αὐτοῦ Μποχάλη Μανουὴλ, εἰ καὶ ὁ μὲν τάχα ἀπῆρε τὴν Καλομμάταν καὶ τὸ Λεῦτρον καὶ πολὺ τοῦ τῆς Μάνης ζυγοῦ· τοῦ δὲ δεσπότου κὺρ Δημητρίου ἐρχομένου ἐμβῆναι ἐν τῷ Λεονταρίῳ, ὡς ἔμαθε τοῦτο ὁ ἀδελφὸς αὐτοῦ, ἔδραμε καὶ προλαβὼν ἐπίβη ἐν αὐτῷ, καὶ ἀπέμεινεν ἄπρακτος ὁ δεσπότης κὺρ Δημήτριος τοῦ Παλαιολόγου καὶ τῶν Μποχαλέων φυγόντων μόνων καὶ ἀπελθόντων εἰς αὐτὸν, εἰς τὸν Μυζηθρᾶν ἀπαναστρίψαντα, ἔτι δὲ καὶ τὸ κάκιστον καὶ ἀνωφελέστατον γένος τῶν Ἀλβανιτῶν, καιροῦ λαβόμενον τῆς ὑπολήψεως καὶ πλεονεκτικῆς καὶ ἁρπακτικῆς αὐτῶν γνώμης ἁρμοδίου, τί οὐκ ἔπραξαν, ἢ τί οὐκ εἰργάσαντο κακόν; Ἀπιστοῦντες γὰρ ὅς τοῦ Σαββάτου ἀπὸ τὸν ἕνα τῶν αὐθεντῶν εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ κάστρα, ὡς ἡ ἐκείνων γλῶσσα, εἰς κεφαλατίκια ἀπῆτουν, εἰ δ' οὖν, εἰς τὸν ἄλλον ἀπήρχοντο· καὶ οἱ ἄλλοι πρὸς τὸν ἕτερον τῶν δεσποτῶν ὁμοίως. Διὰ μέσου οὖν, εἴ τι ἄρα καὶ εὕρισκον τῶν ἀθλίων τάχα Ῥωμαίων, ἀλλὰ δὴ καὶ Ἀλβανιτῶν καὶ συγγενῶν πολλάκις καὶ οἰκείων αὐτῶν πάντα διήρπαζον καὶ ἠφάνιζον· ἐγένοντο δὲ τοιαῦτα καὶ τοσαῦτα, ὅτι τίς ἀξίως αὐτὰ θρηνήσειεν; Ἀλλὰ δὴ καὶ αὐτοὶ οἱ Τοῦρκοι, οἱ εἰς τὴν Κόρινθον [392] καὶ τὴν Πάτραν εὑρισκόμενοι, καιροῦ λαβόμενοι δικαίου τοὺς μὲν ἠχμαλώτιζον, τοὺς δὲ ἀπέκτεινον, τοὺς δ' αὐθέντας καὶ τοὺς ἄρχοντας κατεγέλων, βλέποντες καθ' ἑαυτῶν τὰ ξίφη ὠθοῦντας. Ταύτας δὴ τὰς ἐργασίας κἀμοῦ ἐννοήσαντος, εὑρισκομένου μοῦ εἰς τὴν Ἀρκαδίαν, ἔνθα δὴ καὶ ἐπράττοντο, καὶ τὰ αὐτῶν συμπεράσματα σκοπήσαντος, πρὸ τοῦ ἐξελθεῖν τὸν δεσπότην ἀπὸ τῆς Ἀρκαδίας, ἐξῆλθον κἀγὼ πλάσας αἰτίας τινὰς, καὶ ἀπῆλθον εἰς τὴν Ἰθάσσον, ἣ νῦν Μεθώνη καλεῖται, περὶ τὸ τέλος τοῦ Δεκεμβρίου μηνὸς τοῦ αὐτοῦ ἔτους. Ἀλλὰ δὴ καὶ ὁ χρήσιμος ἄρχων ἀπό τε γνώσεως καὶ πράξεως Γεώργιος ὁ Ῥαοὺλ, [393] καὶ αὐτὸς ἀφεὶς καὶ αὐθέντην καὶ τὰ πλείω τῶν αὐτοῦ ἦλθε καὶ αὐτὸς ἐν τῇ Μεθώνῃ· καὶ καθήμενοι ἀμφότεροι ἐν λιμένι ἐκαραδοκοῦμεν καθ' ὥραν τὸ τῆς τοιαύτης τρικυμίας τέλος, εἰ καὶ τοῦ Θεοῦ μακροθυμήσαντος ἐμάκρυνεν, ἵνα οἱ ἀσύνετοι ποτὲ συνήσωσι καὶ οἱ μωροὶ ποτὲ φρονήσωσι, καὶ ὁμόνοια καὶ εἰρήνη γένηται μέσον αὐτῶν, καὶ τοῦ Θεοῦ δεηθῶσιν, ἵτι δὲ καὶ τοῦ ἀμηρᾶ, καὶ ἐλεήσῃ μὲν αὐτοὺς ὡς ἐλεήμων Θεὸς, προστάξῃ δὲ καὶ τὸν δήμιον αὐτοῦ Ἀμηρᾶν, καὶ ἀφήσῃ αὐτοὺς ζῆσαι πλείονα χρόνον· τόπον γὰρ καὶ τάξιν ἔχει καὶ αὐτὸς εἰς Θεὸν, οἷαν οἱ αὐτοῦ δήμιοι πρὸς αὐτὸν, οἵτινες πληροῦσι μὲν τῷ θελήματι καὶ τῇ προστάξει αὐτοῦ, εἰσὶ δὲ μισητοὶ καὶ ἀποτρόπαιοι.

Καὶ τούτων δὴ τῶν προρρηθέντων κακῶν εἰς τὸν ἅπαντα τοῦ Μορέως ἀθλίου τόπον γενομένων, ἐλεεινοῦ καὶ φοβερωτάτου μερικοῦ ἔξωθεν, κατέβραμεν τὸν τόπον ἅπαντα, ἵνα, ἅπερ καὶ παρέλειπον οἱ οἰκήτορες καὶ κύριοι αὐθένται καὶ ἄρχοντες, οὐκ ἀπὸ προαιρέσεως ἀλλ' ἀπὸ ἀδυναμίας πράξωσιν αὐτοί, τοῦ μὲν ἑνὸς τῶν δεσποτῶν ἐχθροί ὄντες, τοῦ δ' ἄλλου τάχα φίλοι· ὃν δὴ δεσπότην καὶ ἐχθρὸν αὐτῶν κὺρ Θωμᾶν εἰς τὰ περὶ τὸ [394] Λεοντάριν εὑρόντες καὶ διώξαντες καὶ αἰχμαλωτίσαντες, ἔπειτα φέροντες τὸ κατσουνοσόπιον ἤτοι τὰς τένδας αὐτῶν πλησίον τῶν ὀσπητίων τοῦ Λεοταρίου ἔθηκαν, εἶτ' ἐξελθόντες ἀπῆλθον εἰς τὰ περὶ τὸν Μυζηθρᾶν καὶ τὸν φίλον αὐτῶν δεσπότην, καὶ ἀπ' ἐκεῖ διέβησαν νικηταὶ καὶ μετὰ πολλοῦ κέρδους ζώων τε καὶ ἀνθρώπων. Μόλις οὖν ποτὲ ἐννοήσαντες οἱ αὐθένται καὶ ἀδελφοὶ τὸ κακὸν τῆς ἑαυτῶν μάχης, καὶ συναχθέντες εἰς τὸ Καστρίτζιν ἐποίησαν τάχα ὅρκους εἰρήνης καὶ τοῦ τῆς Λακεδαιμονίας (μητροπολίτου) μετὰ τοῦ σάκκου αὐτοῦ λειτουργήσαντος, ὑπὲρ τοὺς Χριστιανοὺς μετὰ φόβου Θεοῦ καὶ πίστεως προσελθεῖν ἐπιβοῶσιν οἱ ἱερεῖς, προσελθόντες οἱ αὐθένται καὶ ἀδελφοὶ καὶ ὁμόσαντες, ἔμειναν, ὡς ἠκούσαμεν, ὁ δεσπότης κὺρ Δημήτριος ἐν τισὶ συμπεφωνημένοις μέχρι τινός· καὶ πάλιν ἦν ὁ αὐτὸς, ὡς οὐδενὸς καινοῦ γεγονότος· ὦ τῆς ἀνοχῆς καὶ μακροθυμίας σου, Χριστὲ βασιλεῦ, καὶ εἰς αὐτὸν καὶ τοὺς αἰκείους! καὶ ἤρξαντο πάλιν τὰ κακὰ καὶ ἔτι, τῶν χθὲς τοιούτων φρικτῶν ὅρκων λυθέντων, καὶ ἔπραττεν ὁ καθεὶς κατὰ τοῦ ἑτέρου τὸ ἠδύνατο τὰς ἐλπίδας, ὁ μὲν εἰς τὴν φιλίαν τοῦ ἀμηρᾶ καὶ βοήθειαν, καὶ τὴν ἀδικίαν, ὅπου ἠδικήθη εἴς τε τοὺς ὑποχειρίους αὐτοῦ καὶ τὰ κάστρα, [395] ὁ δὲ εἰς τὴν ἐπιορκίαν τοῦ ἄλλου καὶ εἰς τὸ κατὰ τῶν ἀπίστων τάχα μάχεσθαι.

υξ'.

Τούτων οὖν οὕτω κακῶς πραττομένων διέβη καὶ ὁ χειμὼν τοῦ ξη' ἔτους, καὶ τὸν Μάϊον τοῦ αὐτοῦ ἔτους ἰδοὺ καὶ ὁ ἀμηρᾶς ἦλθεν κατ' ἀμφοτέρων. Ἀπελθόντος δ' αὐτοῦ ἐξ ὀρθοῦ εἰς τὸν Μυζηθρᾶν, ἐκεῖ ἐκεῖ εὑρίσκετο ὁ δεσπότης, διὰ τὸ εὑρίσκεσθαι τὸν ἀδελφὸν καὶ ἐχθρὸν αὐτοῦ εἰς τὴν Καλομμάταν καὶ πολεμίζοντος τὴν Μαντίνειαν, κατῆλθε καὶ ἀκουσίως ἑκουσίως, καὶ ἐδουλώθη εἰς αὐτόν· λαβὼν δὲ

Digitized by Google

ὁ μηρᾶς καὶ αὐτὸν καὶ τὸν Μυζηθρᾶν καὶ φυλακὴν περιθεὶς εἶπε πρὸς τὸν δεσπότην· Σὺ μέν, ὦ δέσποτα, ἐπεὶ οὕτως ἦλθον εἰς σὲ τὰ πράγματα, τὸν τόπον τοῦτον πλέον οὐδὲ ἡμπορεῖς νὰ τὸν ἄρχῃς· ἀλλ' ἐπεὶ πατέραν σε ἐστήσαμεν ἔχειν, καὶ τὸ κορίτζιν σου ἐστήσαμεν λαβεῖν εἰς γυναῖκά μας, τὸν τόπον τοῦτον δὸς ἡμῖν. Σὺ δὲ καὶ τὸ κορίτζιν σου ἔλθετε μεθ' ἡμῶν, καὶ θέλομεν σᾶς δώσειν ἕτερον κόσμον εἰς τὸ νὰ ἔχητε νὰ ζῆτε· ἅπερ στέρξας καὶ ἀκουσίως ἐπεμψε καὶ ἄρχοντας αὐτοῦ καὶ Τούρκους, [396] ἵνα καὶ τὴν γυναῖκαν αὐτοῦ τὴν βασίλισσαν καὶ τὴν θυγατέραν λάβωσι καὶ φέρωσιν, ἀλλὰ δὴ καὶ τὴν Μονεμβασίαν παραδώσωσιν· ἐκεῖσε γὰρ αὗται εὑρίσκοντο, ὧν τὸ μὲν ἐγένετο (ἐξῆλθον γὰρ καὶ ἦλθον ἑκουσίως, ἔνθα ἦσαν ὅ τε ἀμηρᾶς καὶ ὁ δεσπότης·) οἱ δὲ Μονεμβασιῶται καὶ ὁ εἰς κεφαλὴν εὑρισκόμενος Μανουὴλ ὁ Παλαιολόγος κρατήσαντες [397] τὸ κάστρον δεδώκασιν αὐτὸ τῷ δεσπότῃ κυρίῳ Θωμᾷ, μετὰ ταῦτα καὶ αὐτὸς τάχα τῷ πάπᾳ.

[405] Ὁ δ' ἀμηρᾶς τὴν μὲν βασίλισσαν καὶ τὴν θυγατέραν οἰκονομήσας ἐστειλεν ἔξω μετά τινων τῶν αὐτοῦ καὶ αὐτῆς, τὸν δὲ δεσπότην ἦγε καὶ ἔφερε μεθ' ἑαυτοῦ. Ἐλθόντες οὖν εἰς τὴν Βορδονίαν καὶ τὸ Καστρίτζιν, οἱ μὲν εἰς τὴν Βορδονίαν γενναῖοι ἄρχοντες αὐτῆς φοβηθέντες ἔφυγον ἀφέντες αὐτήν, οἱ δὲ εἰς τὸ Καστρίτζιν τάχα μέχρι τινὸς ἀντισταθέντες καὶ πολεμήσαντες τέλος προσεκύνησαν, καὶ κατελθόντες στεφανωθῆναι ὑπὲρ τῶν ἀνδραγαθημάτων αὐτῶν, οὓς μὲν αὐτῶν ἐκαρατόμησεν, οὓς δὲ εἰς πάλους ἐκάθισε, τὸν δὲ Προινοκοκᾶν ἐκδείρας ἐτελείωσεν, ἄξιον τέλος τῶν ἐργασιῶν καὶ πράξεων ἀπολαύσαντος. Ἐλθόντος δ' αὐτοῦ δὴ τοῦ ἀμηρᾶ καὶ εἰς τὰ περὶ τὸ Λεοντάριν καὶ αὐτὸ τὸ Λεοντάριν, καὶ εὑρὼν αὐτὸ ἔρημον ἀνθρώπων, αὐτὸ μὲν ἀπῆρεν· εἰς δὲ τὸ Γαρδίκιν, ἔνθα οἱ ἄνθρωποι ὡς ἰσχυρότερον ἀπῆλθον φυλαχθησόμενοι, ἀπελθὼν ἐπολεμήθη μέχρι τινὸς παρὰ τῶν Λεονταριτῶν· τέλος δὲ ἐδουλώθησαν· [406] καὶ ἐγένοντο πάντες παρανάλωμα μαχαίρας σὺν γυναιξὶ καὶ παισί. Τοῦτο ἂν καὶ οἱ ποτὲ ἀρχηγοὶ αὐτῶν Μποχαλέοι ἔπαθον, εἰ μὴ φθάσας ὁ Μπεΐλαρμπεῖς Μαχουμούτης ἐξεζήτησεν αὐτοὺς τῆς γυναικὸς Μανουὴλ τοῦ Μποχάλη ἐξαδέλφης οὔσης αὐτοῦ, εἰ καὶ κακὰ ἀνταπέδωκαν αὐτῷ ἀντὶ τούτου· διδόντος γὰρ αὐτοῖς ἀνθρώπους ἵνα μετὰ ἀνέσεως καὶ ἀναπαύσεως ἀπέρχωνται τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸν ἔξω τόπον, διερχόμενοι περὶ τὸν Ποντικὸν εὑρόντες πλεύσιμον καὶ δολίως ἀποκτείναντες τοὺς ἀπάγοντας ἀνθρώπους τοῦ Μπεΐλαρμπεῖ, ἐμβάντες ἔφυγον εἰς Κέρκυραν· καὶ αὐτοὶ μὲν ἠλευθερώθησαν τῆς δουλείας ὅπως δήποτε· ὁ δὲ πενθερὸς μὲν Μανουὴλ τοῦ Μποχάλη Γεώργιος ὁ Παλαιολόγος, πρωτεξάδελφος δέ, ὡς προειδηλώσαμεν, τῆς μητρὸς τοῦ Μπεΐλαρμπεῖ, βληθεὶς εἰς σιδηρᾶ ἦγετο· αὐτὸς γάρ, ὡς προείπομεν, φυγὼν ἀπὸ τὸ Λεοντάριν μετὰ καὶ τοῦ γαμβροῦ αὐτοῦ ἀπῆλθεν εἰς τὸν Μυζηθρᾶν, καὶ τὴν δουλοσύνην τοῦ δεσπότου κὺρ Δημητρίου· πολέμου δὲ γεγονότος περὶ τὴν Βορδονίαν καὶ τὴν Τρύπην κακῶς λαβωθεὶς ἐάλω, καὶ ἀπήγαγον αὐτὸν δέσμιον εἰς τὸν ποτὲ αὐθέντην αὐτοῦ δεσπότην [407] κὺρ Θωμᾶν. Ὡς δὲ ἰάθη ἀπὸ τοῦ λαβώματος, περιωρισμένου δὲ ὄντος καὶ φυλαττομένου ὁπωσδήποτε περὶ τὸ Δυβράχιον, ἀπατήσας τοὺς φυλάσσοντας ἔφυγε· καὶ πάλιν εὑρίσκετο εἴς τε τὸν δεσπότην κὺρ Δημήτριον καὶ εἰς τὸ Ἀνάπλιν, τὸν πλείονα καιρὸν τῆς γυναικὸς αὐτοῦ καὶ τῶν παίδων εὑρισκομένων εἰς τὰ Βενετικά. Τοῦ οὖν ἀμηρᾶ, ὡς δεδηλώκαμεν, δουλώσαντος τὸ Λεοντάριν καὶ τὰ περὶ αὐτὸ ἐδούλωσεν, ἔτι δὲ καὶ τὸν ἅγιον Γεώργιον. Ταῦτα γὰρ ἰδόντος τοῦ Κροκοντύλου ἢ μᾶλλον Κροκοδείλου εἰπεῖν οἰκειότερον, προτεκύνησεν καὶ αὐτὸς τὸν ἀμηρᾶν, καὶ τὸ κάστρον καὶ τοὺς δύο υἱοὺς αὐτοῦ αὐτῷ δέδωκεν· αὐτὸς δὲ ἔλαβε χάριν τούτων τὸ Λωΐ ἢ μᾶλλον τὸ Ἐλωΐ Ἐλωΐ, τουτέστι, Θεέ μου! ἵνα τί μὴ καὶ αὐτὸν προεγκατέλιπες, τῶν προλεχθέντων κακῶν πρωτεργάτην; Τούτων οὖν ἐκεῖσε γενομένων ἢ μᾶλλον γινομένων, ὁ δεσπότης κὺρ Θωμᾶς ἀφεὶς τὴν Καλομμάταν, καὶ περάσας εἰς τὰ περὶ τὴν Κοσμέναν καὶ τὸ Πεταλίδιν ἦλθε καὶ ἐσέβη εἰς τὸν Ἀβαρῖνον, κἀκεῖθεν εἰς τὸ Μαράθιν προγενέστερον τῆς βασιλίσσης καταλειψάσης τὴν Ἀρκαδίαν, κἀκεῖσε ἀπελθούσης μετὰ καὶ τῶν παίδων αὐτῆς καὶ τῶν εὑρισκομένων ἐκεῖσε εἰς τὴν Ἀρκαδίαν ἀρχόντων. Ὡς δὲ ὁ ἀμηρᾶς ἀπῆρεν αὐτὰ, ἀλλὰ δὴ καὶ τὴν Καρύταιναν παρὰ τοῦ Σγουρομάλη Παλαιολόγου καὶ γυναικαδέλφου τοῦ μεγάλου Λουκάνη, ὃς προαπέθανεν [408] εἰς ἀπόπατον διαβιβάσας τὴν ψυχὴν ἂμ' ἐγκάτοις, κατῆλθεν εἰς τὰ περὶ τὴν Ἀδροῦσαν, καὶ λαβὼν αὐτὴν καὶ τὰ περὶ αὐτὴν πάντα ἀπῆλθε θεάσασθαι τὴν Κορώνην, εἶτ' ἀπ' ἐκεῖσε διέβη καὶ εἶδε καὶ τὴν Μεθώνην, εἶτα εἰς τὸν Πύλον τὸν καὶ Ἀβαρῖνον, καθ' ἣν ἡμέραν καὶ ὁ δεσπότης κὺρ Θωμᾶς ἐξῆλθε· προηγτοίμασε γάρ τινα πλοιάρια, καὶ ἦλθεν ἐν τῷ Πόρτῳ λόγγῳ ὀνομαζομένῳ, ἵν' ἀπ' ἐκεῖσε καιροῦ λαβόμενος εἰς τὴν Κέρκυραν ἀπέλθῃ, ὃ δὴ καὶ γέγονε. Καὶ τῇ κη' τοῦ Ἰουλίου μηνὸς ἀπέσωσεν ἐκεῖσε, ἤγουν τοὺς Κορφοὺς, ὡς νῦν ὀνομάζεται ἡ Κέρκυρα· εὑρόντος δὲ κάμοῦ πλεύσιμον ἀπαγόμενον ἐκεῖσε, ἐμβὰς τῇ ια' Ἰουλίου διὰ τὸ ἐπιγενέσθαι μετὰ τῶν ἄλλων κακῶν θανατικὸν ἐν τῇ Μεθώνῃ, τῇ β' τοῦ Αὐγούστου ἀπεσώθημεν ἔχοντός μου σκοπὸν, ἵνα εἰς τὴν Κρήτην ἀπέλθω, ἢ εἰς τὴν περὶ τὴν Θεσσαλονίκην Βερροίαν, διὰ τὸ ἔχειν με ἐκεῖ καλλίστην μονὴν εἰς ὄνομα τοῦ ἁγίου Νικολάου, ἥπερ τῆς μητρός μου ὁ πατὴρ ἀνήγειρεν ἐκ βάθρων. Τοῦ δὲ Ῥαοὺλ Γεωργίου καὶ τοῦ γαμβροῦ καὶ τῆς θυγατρὸς αὐτοῦ ἀπελθόντων, ἔτι δὲ καὶ τοῦ δεσπότου μετὰ καὶ τῶν ἄλλων πάντων μετέπειτα, καὶ ἐμὲ παρώτρυνον καὶ ἐβουλεύοντο ἐκεῖσε ἀπελθεῖν, ἀπῆλθον κἀγώ. Τοῦ δὲ [409] ἀμηρᾶ λαβόντος τὴν Ἀρκαδίαν, καὶ ἀπ' ἐκεῖσε διερχομένου εἰς τὰ κάτω μέρη τοῦ Μωρέως, καὶ λαμβάνοντος πάντα τὰ ἐκεῖσε, ἀλλὰ δὴ καὶ τὸ ἰσχυρότατον Χλομοὺτζιν καὶ Σανταμέριν τῶν Μπεΐλαρμπεΐδων, ὅπου εἶχον αὐτὰ, ταῦτα ἀφέντων κούφων, καὶ ἀπελθόντων καὶ αὐτῶν εἰς Κορφοὺς, ἦλθε μέχρι καὶ τῆς Πάτρας κἀκεῖσε προσέμεινε, καὶ τὰ Καλάβρυτα λαβόντος παρὰ τοῦ οὔτ' εἰς δεσπότας οὔτ' εἰς ἀμηρᾶν πιστοῦ Δοξᾶ, ἀλλ' οὐδ' εἰς Θεὸν

Digitized by Google

νομίζω, αὐτὸς μὲν ἔδωκεν δίκην ἀξίαν ἐκδαρεὶς, οἱ δ' αὐτοῦ πάντες οἱ μὲν ἀπετμήθησαν τὰς κεφαλὰς, οἱ δὲ αἰχμάλωτοι ἀπήχθησαν. Τὸ δὲ κάστρον ὁ ἀμηρᾶς καλῶς ἀσφαλισάμενος καὶ παντὶ τρόπῳ ὀχυρώσας ἐγερθεὶς ἀπὸ τὴν Πάτραν, διέβη εἰς τὰ περὶ τὸ Σαλμενιακὸν καὶ Λήστραιναν καὶ Βοστίτζαν, ὧν τὴν μὲν Βοστίτζαν καὶ Λήστραιναν ἔλαβε, τὸ δὲ Σαλμενιακὸν ἐκράτησε μέχρι τινὸς Παλαιολόγος ὁ τὸ ἐπίκλην Γρέτζα.

Τοῦ δὲ δεσπότου, ὡς εἴπομεν, πανοικεὶ ἐλθόντος εἰς τοὺς Κορφοὺς, ἦλθον πρὸς αὐτὴν καὶ γράμματα ἀπὸ τὸν σούμπασιν Ἀγγελοκάστρου, διαλαμβάνοντα, ὡς ὁ ἀμηρᾶς ἔχει ὄρεξιν ἀπελθεῖν εἰς ἐκεῖνον· Τίς τῶν ἀρχόντων σου καὶ γενήσεται συμβίβασις μέσον ὑμῶν ἀγάπης, καὶ δοθῇ παρ' ἐκείνου καὶ τόπος μετά τινων συμφωνιῶν πρὸς σέ; [410] Συνδιασκεψάμενος οὖν μετὰ τῶν αὐτοῦ ὁ δεσπότης ἔδοξε καλὸν, ἵνα ὁ μὲν Ῥαοὺλ Γεώργιος ἀπέλθῃ εἰς τὸν ἀμηρᾶν, ὁ δὲ γαμβρὸς αὐτοῦ Ῥαοὺλ Ἰωάννης ἀπέλθῃ εἰς τὸν πάπαν, ἵνα ὁ μὲν καὶ ταῦτα καὶ τὴν εἰς τοὺς Κορφοὺς τοῦ δεσπότου πλημμέλειαν δηλώσῃ τῷ πάπᾳ, ὁ δὲ ἴδῃ, τίς ὁ τοῦ ἀμηρᾶ σκοπὸς τοῦ λόγου· οἳ καὶ ἀπῆλθον, ὁ μὲν τῇ θ', ὁ δὲ τῇ ια' Αὐγούστου. Θανατικοῦ δ' ἐπιγεγονότος καὶ εἰς τὸ κάστρον τῶν Κορυφῶν, ὁ δεσπότης καὶ ἡμεῖς ἀπήλθομεν εἰς χωρία, ἐκδεχόμενοι καὶ τὰ τῶν ἀποκρισιαρίων ἀποτελέσματα. Ὁ μὲν οὖν Ῥαοὺλ Γεώργιος διελθὼν διὰ τοῦ Ἀγγελοκάστρου ἔφθασε τὸν Ἀμηρᾶν εἰς τὰ περὶ τὴν Βέρροιαν· καὶ εὐθὺς προστάξαντος αὐτοῦ, ὅ τε Ῥάλης καὶ οἱ σὺν αὐτῷ πάντες ἐδεσμεύθησαν καὶ οἱ πόδες αὐτῶν ἠσφαλίσθησαν σιδηροῖς. Διαβιβάσαντες οὖν οὕτως ἡμέρας τινὰς, ὡς ἐξῆλθεν ὁ ἀμηρᾶς καὶ αὐτοὶ οὕτως δέσμιοι μετά τινας ὁδοὺς ἡμερῶν εἰς τὰ περὶ τοῦ μαύρου ὄρους βουνὰ ἠλευθέρωσεν αὐτοὺς, εἰπὼν, ὅτι Ἐγὼ ἐκδεχόμην ἵνα πλησίον τοῦ Μορέως εὑρισκομένου μου ἔλθῃ ὁ δεσπότης ἢ στείλῃ υἱὸν αὐτοῦ μετὰ ἀρχόντων, καὶ γένηται χάρις πρὸς αὐτὸν, καὶ κάθηται καὶ ζῇ· ἐπεὶ οὖν οὐδὲν ἐγένετο, πάλιν λέγομεν, ἂν θέλῃ, ἂς γενῇ, καὶ ἀπελθόντος σοῦ ἂς ἔλθῃ ὁ δεσπότης ἢ ἂς στείλῃ ἀπὸ τὰ παιδία αὐτοῦ καὶ θέλομεν ποιήσειν εἰς ἐκείνους καλά.

υξα'.

Ἐπιστρέψαντος δὲ τοῦ Ῥαοὺλ ἀπράκτου τὸν Ὀκτώβριον τοῦ ξθ' ἔτους, τῇ ις' τοῦ Νοεμβρίου τοῦ αὐτοῦ ἔτους ἐμβὰς εἰς ἓν τῶν [411] κορφιατικῶν καραβοπούλων ὁ δεσπότης κὺρ Θωμᾶς μετὰ καὶ τῶν πλειόνων ἀρχόντων αὐτοῦ διέβη εἰς τὸν Ἀγκῶνα, ἵνα ἀπ' ἐκεῖσε εἴς τε τὸν πάπαν καὶ τὸν δοῦκαν Μιλάνας καὶ ἀλλαχοῦ ἀπέλθῃ, εἰς τοὺς Κορφοὺς καταλείψας τήν τε βασίλισσαν καὶ τὰ παιδία αὐτοῦ καί τινας τῶν ἀρχόντων, ἀλλὰ δὴ καὶ τὰς φαμιλίας τῶν ἐκεῖνον ἀκολουθούντων· οὗ δὴ κἀμὲ πολλὰ διορισαμένου καὶ ζητήσαντος, ἵνα ἢ μετ' αὐτοῦ ἀπέλθω ἢ ἐνταῦθα μετὰ τῆς βασιλίσσης εὑρίσκωμαι, καὶ ὡς ἄρχων τοῦ ὁσπητίου αὐτῆς, ἐγὼ ἀπό τε τοῦ ἐλέους τοῦ τὰ πάντα καλῶς οἰκονομοῦντος Θεοῦ, ἀπό τε τῆς λύπης ὧν ἐγέννησα, ἀπό τε τῆς ἀταξίας πάντων τῶν τοῦ ὁσπητίου αὐτοῦ, ἀνήκοος ἐγενόμην καὶ εἰς ἀμφότερα· ἀλλ' ἐπιμείνας καὶ ἕτερον καιρὸν εἰς αὐτὸ δὴ τὸ χωρίον τὰ Μολυβοτινὰ, ὅπερ εὑρισκόμην, ὅταν καὶ ὁ δεσπότης (ἦν) εἰς τὸν Χλομὸν διὰ τὸν φόβον τοῦ θανατικοῦ, ὡς δεδήλωται, ὡς εὗρον μετὰ καιρὸν κάθισμα τὸ εἰς ὄνομα τοῦ ἁγίου Ἠλίου, πλησίον τοῦ κάστρου, ἀπελθόντος μοῦ ἐκεῖσε.

υξβ'.

Σεπτεβρίου ς' τοῦ ο' ἔτους, κατέμενον μετὰ τῶν ἐμῶν, καὶ μόνου τοῦ Θεοῦ δεόμενος, ἵνα ἡμᾶς ἐλεήσῃ καὶ ἐξοικονομήσῃ ἀπὸ τῆς αὐτοῦ φιλανθρωπίας καὶ ἀγαθότητος. Διαβιβάσαντός μου οὖν ἐκεῖσε μῆνας ε' καὶ μικρόν τι πρὸς, ὡς οὐδὲν ἐνοήσαμεν ἀναπαυθῆναι μὲ τοὺς ἔχοντας τὸ τοιοῦτον κάθισμα, καὶ διὰ τὸ νὰ ἔξομεν καὶ πλέον τὸν πλησιασμὸν τοῦ καλοῦ κἀγαθοῦ φίλου καὶ πνευματικοῦ πατρὸς Δωροθέου, [412] εὑρισκομένου αὐτοῦ εἰς τὴν μονὴν τῶν ἁγίων Ἀποστόλων, Ἰάσωνος καὶ Σωσιπάτρου· εὑρόντες καὶ ἡμεῖς ἀπὸ τῆς τάξεως τῶν λβ' ἱερέων τὸ τοῦ ἁγίου Νικολάου κάθισμα τὸ ἐπονομαζόμενον τοῦ Ταρχανιώτου ἀπήραμεν αὐτὸ Μαρτίῳ ιε' τοῦ αὐτοῦ ο' ἔτους δηλονότι. Ὁ δὲ δεσπότης κὺρ Θωμᾶς φθάσας εἰς τὸν Ἀγκῶνα καὶ ἀπ' ἐκεῖ εἰς τὴν Ῥώμην οὐδὲν ἄλλο κατώρθωσεν, εἰ μὴ ὅτι δέδωκε τῷ πάπᾳ Πίῳ τὴν τοῦ ἁγίου ἀποστόλου καὶ πρωτοκλήτου Ἀνδρέου κάραν, κἀκεῖνος πρὸς αὐτὸν πρὸς τὸ μόλις νὰ ζῇ μὲ τοὺς αὐτοῦ αὐτὴν καὶ μόνην τὴν ἀναγκαίαν τροφήν· διαβιβάσαντος [413] δὲ μερικὸν καιρὸν, ἔδοξεν αὐτῷ καὶ ἐπανέστρεψεν εἰς τὴν αὐθεντίαν τῶν Βενετιῶν καὶ πάλιν ἀπ' ἐκεῖσε εἰς τὸν Ἀγκῶνα, τῆς θυγατρὸς αὐτοῦ βασιλίσσης Σερβίας ἐκεῖσε ἀπελθούσης, καὶ διατρίψας ἡμέρας τινὰς εἰς θεωρίαν αὐτῆς, ἐκεῖνος μὲν διέβη πάλιν εἰς τὴν Ῥώμην, ἡ δὲ βασίλισσα εἰς τὸ Ῥαούζιν ἐπέρασεν· ἡ δὲ εἰς τοὺς Κορφοὺς βασίλισσα καὶ μήτηρ αὐτῆς, κακῶς διαβιβάζουσα, ἐλεηθεῖσα ὑπὸ τοῦ Θεοῦ, τῷ αὐτῷ σ' ἔτει Αὐγούστῳ κς' ἀπέθανε καὶ ἐτάφη ἐν τῇ τῶν ἁγίων Ἀποστόλων μονῇ Ἰάσωνος καὶ Σωσιπάτρου.

Ὁ δὲ τῶν ἀσεβῶν ἐξάρχων τὸν αὐτὸν δὴ χρόνον ἀπελθὼν κατὰ τοῦ Σφεντιάρη ἀπῆρε τὸ ἐκείνου περιβόητον κάστρον Σινῶπιν ὀνομαζόμενον, ὃ δὴ κἀγὼ ἐθεασάμην, ἀλλὰ δὴ καὶ τὸν ἄλλον αὐτοῦ ἅπαντα τόπον· ἔτι δὲ παρέμπροσθεν ἀπελθόντος αὐτοῦ ἀπῆρε καὶ τὴν Κερασοῦντα καὶ τὴν Τραπεζοῦντα, καὶ ἅπασαν τὴν περίχωρον αὐτῶν δὴ τῶν βασιλειῶν Τραπεζοῦντος, καὶ πάντας σχεδὸν τῶν ἐκεῖσε ἀτυχῶν αὐθεντῶν καὶ ἀρχόντων ἐκβαλὼν, εἰς τὴν Ἀνδριανούπολιν φέρων κατῴκησεν, ἔνθα δὴ καὶ ὁ τοῦ Μορέως αὐθέντης· ᾧ δὴ καὶ δέδωκεν ἔχειν εἰς ζωάρκειαν [414] αὐτοῦ καὶ τῶν αὐτοῦ τὴν μεγάλην Αἶνον, τὴν Λῆμνον, τὴν Ἴμβρον, καὶ τὸ Σαμοθράκιον, τὸν δὲ Τραπεζοῦντος βασιλέᾳ τὸν Κομνηνὸν κὺρ Δαυὶδ χωρία περὶ τὸ μαῦρον ὄρος, ὃν δὴ καὶ μετά τινος χρόνου μικροῦ παραδρομὴν εὑρὼν τάχα εἰς αὐτὸν ἀφορμὴν μικρὰν καὶ οὐκ ἀληθῆ, πάντα τὰ αὐτοῦ ἔλαβε, κἀκεῖνον πνιγμῷ ἐτελείωσε. Τὸ δὲ ἔαρ τοῦ αὐτοῦ σ' ἔτους διέβη ὁ ἀμηρᾶς εἰς τὴν μεγάλην Βλαχίαν, καὶ ἐδιόρθωσε τὰ κατ' αὐτοῦ ἐκεῖσε ἐνερ-

Digitized by Google

γούμενα καὶ ἐπιστρέψας ἐποίησεν ἁρμάτωμα, καὶ πέμψας αὐτὸ κατὰ τῆς Λέσβου ἀπῆρεν αὐτήν.

υξγ'.

Τὸν δὲ Νοέμβριον τοῦ οα' ἔτους ἐπιδραμόντος τοῦ υἱοῦ τοῦ Τουραχάνη Ἀμάρη, ἀπῆρε πάντας τοὺς περὶ τὸν Ναύπακτον καὶ τὴν αὐτοῦ περιοχὴν τὸν Γαλατᾶν οὕτω Βενετικοὺς, ὡς τάχα καὶ χαρατζαρίους τοῦ τῆς μικρᾶς Βλαχίας Φλαμπούλου αὐτοῦ· ὅπερ μαθὼν ὁ τῶν Βενετικῶν κατέργων καπετάνιος καὶ πρὸς βοήθειαν δρομῶν εἰς τὴν ἀντιπέραν πόλιν τοῦ ἀμηρᾶ Βοστίτζαν περάσας, ἔκαυσε καὶ ἠχμαλώτευσε πᾶσαν ἄνευ μόνου τοῦ Κουλᾶ· καὶ φέρων τοὺς Βοστιτζιανοὺς ἐν τῷ Ναυπάκτῳ μὲ τοὺς αὐτοῦ ἐναλλαγὴν ἐποιήσατο, καὶ δὴ προμελετωμένης οὔσης μάχης τοῦ γενέσθαι μετὰ τοῦ ἀμηρᾶ παρὰ τῆς αὐθεντίας τῶν Βενετιῶν, διὰ τὸ πᾶσι τρόποις χρήσασθαι τυχεῖν τῆς ἀρχῆς καὶ ἐξουσίας τοῦ Μορέως. Τοῦτο δὴ τὸ ἔργον ἀπεκάλυψεν αὐτὴν (καὶ) ἀρχὴ κατέστη· καὶ ἐλθόντος τοῦ τζενεράλη [415] καπετάνου Ἀλωΐσου Λορδᾶ ἐκείνου μετὰ πολλῆς ὅτι παρασκευῆς καὶ δυνάμεως, ἐπίασε τὸ Ἐξαμίλιον καὶ ἔκτισεν αὐτό· κακῶς δὲ ἀπὸ τῆς συντομίας· οὐ γὰρ ἐν συντόμῳ τὸ ἀσφαλὲς, ὡς ὁ λόγος, ἀλλ' ἐπεὶ ἐπολέμησε τὴν Κόρινθον καὶ οὐκ ἔτυχε τοῦ ἐλπιζομένου, ἀφεὶς καὶ τὸ Ἐξαμίλιον ἀπῆλθε.

υξδ'.

Τὸ δὲ αβ' ἔτος ἀπῆραν τὴν Μονεμβασίαν οἱ Βενετικοὶ, οὐ τοσοῦτον θελήσει καὶ χάριτι τῶν κυρίων αὐτῶν, ὅσον ἀνωφελείᾳ τοῦ κρατοῦντος αὐτὴν ἄρχοντος, ὥσπερ δὴ ὁμοίως ἀνωφελείᾳ καὶ ἀποτυχίᾳ καὶ τοῦ κεφαλεύοντος τὸ τῆς Λήμνου κάστρον, τὸ λεγόμενον Παλαιόκαστρον, ἐκλάπης καὶ μᾶλλον ὁ τοιοῦτος Κουλᾶς αὐτοῦ καὶ παρὰ ἐξωτερικοῦ τυχόντος καὶ ἐδόθη πρὸς τὴν αὐθεντίαν τῶν Βενετιῶν, καὶ ἐξ αὐτοῦ δηλονότι τοῦ κάστρου καὶ ἅπαν τὸ νησίν ἐκληρώσαντο· ἀλλὰ καὶ εἰς τὴν Λέσβον ἀπελθόντος αὐτοῦ δὴ τοῦ καπετάνου καὶ πολεμήσαντος αὐτὴν, οὐκ ἔπραξέ τι, ἀλλ' ἀπῆλθεν ἄπρακτος.

υξε'.

Τὸ δὲ ἔαρ τοῦ ογ' ἔτους ἀποστείλας ὁ δεσπότης κὺρ Θωμᾶς ἐμήνυσεν, ἵνα οἱ υἱοὶ αὐτοῦ καὶ ἡ θυγάτηρ ἐκεῖσε ἀπέλθωσιν, ὅπου κἀκεῖνος· καὶ γενομένου καὶ ἀποσωθέντων μετὰ καραβίου εἰς τὸν Ἀγκῶνα, καὶ μόνον ἀκούσαντος ὅτι ἀπεσώθησαν, οὐ φθάσαντος δὲ ἰδεῖν αὐτὰ Μαΐῳ ιβ', ἐν Ῥώμῃ εὑρισκόμενος τέθνηκεν, ὑπάρχοντος χρόνων νς' καὶ μικρόν τι πρός· αὐτὰ δὲ ὀλίγον καιρὸν διαβιβάσαντα εἰς τὸν Ἀγκῶνα, [424[πέμψας ὁ πάπας ἐπιμελείᾳ καὶ σπουδῇ καὶ βοηθείᾳ τοῦ αἰδεσιμωτάτου καρδηναλίου καὶ πατριάρχου Κωνσταντινουπόλεως Βησσαρίωνος, ἀπῆλθον εἰς τὴν Ῥώμην καὶ εἰς αὐτὴν ἐκείνην τὴν οἰκονομίαν πρὸς τὸ ζῆν, ἣν καὶ ὁ πατὴρ αὐτῶν εἶχε· καὶ τὸν πρῶτον υἱὸν τὸν κὺρ Ἀνδρέαν τὸν Παλαιολόγον δεσπότην ὁ πάπας τετίμηκε.

υξς'.

Τῷ δὲ οδ' ἔτει Ὀκτωβρίου ιε' καὶ ὁ πνευματικὸς πατὴρ ἡμῶν καὶ ἀδελφὸς καὶ φίλος ἄριστος ὁ Δωρόθεος, ἀπῆλθεν ἀποθανὼν εὐφραινόμενος ἐν οὐρανοῖς, ἡμᾶς δὲ καταλέλοιπε καὶ τὴν ἐκείνου λυπουμένους στέρησιν· κἀγὼ δ' ἀναγκασθεὶς ὑπὸ τῆς ἐνδείας Ἀπριλλίῳ ιη', ἐξῆλθον καὶ ἀπῆλθον εἰς τὸν Ἀγκῶνα τῇ ιζ' Μαΐου, καὶ τῇ α' πάλιν Ἰουλίου ἐξελθόντος μου, ἀπῆλθον διὰ τῆς ὁδοῦ Βιτέλμου, ἐπεὶ κἀκεῖσε εἰς τὰ θερμὰ εὐρίσκεσθαι τὸν καρδηνάλιον μεμαθήκαμεν· δι' ἡμέρας θ' εἰς τὴν Ῥώμην ἐφθάσαμεν, καὶ ποιήσας εἰς τὸ ὁσπήτιον τῶν αὐθεντῶν ἡμῶν, τοῦ δεσπότου κὺρ Ἀνδρέου καὶ αὐθεντοπούλου κὺρ Μανουὴλ τῶν Παλαιολόγων, ἡμέρας λς', [425] ἐν αἷς ἡμέραις καὶ τοὺς τάφους τῶν μακαρίων ἀποστόλων Πέτρου καὶ Παύλου προσεκύνησα· καὶ πολλῶν ἄλλων ἁγίων τῶν ἐκεῖσε τεθαμμένων, καὶ ἱστορήσας τὰ ἐν τῇ πόλει τῇ μεγάλῃ καὶ περιβοήτῳ (καὶ) παλαιᾷ, τῇ ις' Ἰουλίου ἐξῆλθον καὶ ἦλθον διὰ τῆς εὐθείας ὁδοῦ εἰς τὸν Ἀγκῶνα, καὶ μικρόν τι πρυσμείνας διὰ θαλάσσης εἰς τὴν Βενετίαν ἀπῆλθον τῇ κη' τοῦ αὐτοῦ, καὶ ἐποίησα ἐκεῖσε εἰς τὸ μοναστήριον τοῦ Σταυροῦ ἡμέρας κς', ἕως Αὐγούστου δηλονότι κγ'· ἐν ᾗ ἀργὰ σὺν Θεῷ ἐξελθόντες; ἀπεσώθημεν ἐνταῦθα εἰς τοὺς Κορφούς.

υξζ'.

Τῇ ε' τοῦ Σεπτεβρίου μηνὸς τοῦ οε' ἔτους· καθ' ὃν δὴ καιρὸν ἡμεῖς εἰς τὰ περὶ τὴν Ῥώμην διετρίβομεν, καὶ ὁ τῶν ἀσεβῶν ἐξάρχων ἀμηρᾶς, ἐλθὼν κατὰ τῆς Ἀλβανιτίας, καὶ διώξας τὸν αὐθέντην αὐτῆς τὸν Σκαντάρην, καὶ αἰχμαλωτεύσας καὶ ἀφανίσας τὸν τόπον, καὶ κτίσας κάστρον πλησίον τοῦ καθολικοῦ κάστρου αὐτῆς, Κρούας ὀνομαζομένου, πρὸς τὸ ἀντιμάχεσθαι αὐτῷ, ἐπανέστρεψεν εἰς τὰ περὶ τὴν Κωνσταντινούπολιν· καὶ τοῦ αὐτοῦ οε' ἔτους τὸ θέρος, γεγονὼς ὁ Βίκτωρ Καπέλος καπετάνιος τζενεράλης ἀπελθὼν εἰς τὴν νῆσον Ἴμβρον καὶ πολεμήσας, ἀπῆρεν αὐτήν· καὶ πάλιν ἀπελθόντος αὐτοῦ εἰς τὴν Ἀθήναν, πᾶσαν τὴν χώραν ἠχμαλώτευσεν· ἐλθόντος δ' αὐτοῦ εἰς τὴν παλαιὰν Πάτραν περὶ τὸν Αὔγουστον, ἀπῆρε τὴν χώραν. Ἐπιδραμόντος οὖν τοῦ Ἀμάρη [426] εἰς βοήθειαν αὐτῆς ὁ Πρεβεδοῦρος μετὰ τῆς ἁρμάτας καὶ Ῥαοὺλ Μιχαὴλ ὁ Ἰσὴς μετὰ στρατιωτῶν πολλῶν καὶ καλῶν ἔτρεψαν αὐτὸν κατὰ κράτος, καὶ πολλοὺς τῶν αὐτοῦ ἐσκότωσαν καὶ διώξαντες μέχρι πολλοῦ, οὐκ ἐστράφησαν περὶ τὸ προκείμενον τοῦ ἔργου, καὶ μᾶλλον τοῦτο συμβουλεύοντες οἱ Ῥωμαῖοι, οἱ καὶ τοῦ τόπου καὶ τῶν τοιούτων πλέον εἰδήμονες. Ἀλλ' ἐπαρθεὶς ὁ Πρεβεδοῦρος καὶ σκληρὸς μᾶλλον φανεὶς καὶ πρὸς αὐτοὺς, πῶς οὐ δώκουσιν, ἐξεξίωξαν καὶ μὴ γινώσκοντες τοῦτο καλὸν μέχρι καὶ τῶν μύλων καὶ τοῦ Σαραβαλλίου καὶ ἐπέκεινα πρὸς τὰ ἀνώφορον τοῦ Σιδηροκάστρου. Ὁ γοῦν Ἀμάρης ἰδὼν τὸν τούτων διωγμὸν ἄκαιρον καὶ ἄπρακτον καὶ ἄτακτον, καταλείψας εἴς τινας τόπους ἀνθρώπους, εἶτ' ἐπιστρέψας κατ' αὐτῶν, ἔτρεψε καὶ ἐδίωξεν αὐτοὺς, καὶ φθάσας ἀνεῖλε τὸν Πρεβεδοῦρον ἐπὶ μουλαρίου καθεζόμενον, καὶ δὶς ἀπ' ἐκείνου πεσόντα, καὶ ἄλλους ἀνεῖλεν πολλοὺς, καὶ αὐτὸν δὴ τὸν Ῥαοὺλ Μιχαὴλ ἀλώσαντες τοῦ ἀλόγου αὐτῷ συμπεσόντος, [427] καὶ ἐκάθισαν αὐτὸν εἰς τὸν πάλον. Καὶ τέλος ὡς νικηταὶ δραμόντες εἰς τὸν αἰγιαλὸν, ἔνθα τὰ κάτεργα, πολλοὺς εὑρόντες εἰ; τὴν γῆν ἀνεῖλον αὐτούς· ὑπο-

Digitized by Google

πτεύσαντες δὲ εἶναι αἴτιον, καὶ τὸν μητροπολίτην τῆς αὐτῆς παλαιᾶς Πάτρας τοῦ ἐλθεῖν κατ' αὐτῶν τὸ ἁρμάτωμα, λαβόντες εἰς τὸν πάλον ἐκάθισαν. Ταῦτα δὲ παθόντες ἄπρακτοι καὶ ζημιωμένοι οἱ τῆς ἁρμάτας, ἐπανέστρεψαν· ἀφ' οὗ δὴ συμβεβηκότος κακοῦ καὶ ὁ καπετάνιος λυπηθεὶς καὶ πολὺ ἀσθενήσας, εἰς τὸν Εὔριπον εὑρισκόμενος ἀπέθανε, καὶ γέγονε καπιτάνιος Ἰάνωβος Λορδᾶς ὁ τοῦ Πέτρου Λορδᾶ ἐκείνου υἱὸς καὶ τοῦ πρὸ αὐτοῦ Ἀλωΐσου Λορδᾶ καπετανίου πρωτεξάδελφος. Ἀλλὰ ταῦτα μὲν τῷ τοῦ ἐνεστῶτος χρόνου χειμῶνι παρηκολούθησαν· τὸ δὲ τῆς Πάτρας τῷ πρὸ τοῦ φθινοπώρου Αὐγούστῳ, τῇ κθ' τοῦ Μαρτίου μηνὸς τοῦ οε' ἔτους, ἐν ᾗ καὶ τὸ ἡμέτερον μέγα Πάσχα γέγονεν, ἐναπέψυξεν ὁ τῶν κακῶν πάντων τοῦ Μορέως αἴτιος Ματθαῖος ὁ Ἀσάνης· καὶ ἰδοὺ καὶ τὸ τοῦ Δαυῒδ μελῴδημα καὶ ἔτι πεπλήρωται, τὸ, *Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν*. Καὶ τούτου γενομένου ὡς ἠκούσαμεν παρά τινων, ἀπέπεμψε καὶ ὁ δεσπότης τὴν τοῦ Ἀμήρᾶ πρὸς αὐτὸν [428] πρόσοδον καὶ τὸ χρέος τῆς δουλείας εἰς τὰ φωσάτα, εἰπόντος αὐτοῦ· Ἐγώ εἰμι γέρων καὶ ἀσθενής· ὁ ἐκπληρῶν τὴν δουλοσύνην ἀπέθανε· λοιπὸν ἡ πολλὴ πρόσοδος ἂς δοθῇ ὅπου ὁρίσῃς· ἐμοὶ δὲ ἂς δοθῇ ὅσον νὰ ζῶ καθήμενος ἐνταῦθα μετά τινων ὀλίγων. Ἀπελογήσατο ὁ ἀμηρᾶς· Καλῶς λέγει, καὶ ἂς χωρίσῃ τοὺς θέλει, καὶ ἐχώρισε· καὶ δέδωκε πρὸς αὐτὸν ἄσπρα χ', ἵνα ἔχῃ αὐτὰς ἀπὸ τὸ κουμέρκι τοῦ ἀλεύρου, τοὺς δὲ πλείονας τῶν ὑποχειρίων αὐτοῦ περιορίσας ἀπῆρεν, ἵνα εὑρίσκωνται εἰς τὴν πόλιν· ἄλλοι δὲ εἶπον ἄλλως γεγονέναι καὶ μέλλομεν μαθεῖν καὶ διηγήσεσθαι. [429] Τοῦ δ' αὐτοῦ χρόνου τὸ θέρος ἐγεγόνει τοσαύτη λοιμώδης νόσος εἰς τε τὴν Κωνσταντινούπολιν καὶ τὴν Ἀνδριανούπολιν καὶ τὴν Καλλίπολιν καὶ τὰ πέριξ αὐτῶν κάστρα καὶ κωμοπόλεις καὶ χώρας, οἷα οὐ γέγονε παρόπισθε χρόνους πολλούς· τεθνήκασι γὰρ, ὡς λέγουσι, μυριάδες πολλαὶ ἀνθρώπων, οὐ χιλιάδες· σὺν αὐτοῖς δὲ καὶ ἡ τοῦ δεσπότου θυγάτηρ.

υξη'.

Τοῦ δὲ ος' ἔτους Νοεμβρίῳ μηνὶ ἀπῆλθον κάγὼ εἰς τὴν ἁγίαν Μαῦραν, παρακινήσει τῆς βασιλίσσης κυρᾶς Ἑλένης καὶ πενθερᾶς τοῦ αὐθεντὸς τοῦ τόπου ἐκείνου κὺρ Λεονάρδου, ἵνα καὶ τὸν τόπον καὶ τοὺς ἐκεῖσεν ἀναθεωρήσω, καὶ ὡς δῆθεν ἀνεψιοῦ τοῦ μακαρίτου αὐθεντός μου τοῦ βασιλέως κὺρ Κωνσταντίνου καὶ ὑπὲρ τοῦ πατρὸς αὐτοῦ παθόντος μου ζημίαν μεγίστην, ὡς προεδήλωσα ἐν τῷ λη' ἔτει, ἀπολαύσω τινὰς εὐεργεσίας ἐτησίους, ὡς γέρων καὶ ἀσθενὴς· καὶ πτωχὸς ἀπὸ τῆς αἰχμαλωσίας. Ἐπανέστρεψα δὲ τῇ κβ' τοῦ αὐτοῦ, εὐτελῆ πάντα καὶ ἰδὼν καὶ ἀπελαύσας· ἄνευ τοῦ ὑπερέχειν ἐν τῷ μασταρδικῷ γένει τὴν πᾶσαν ἀρχὴν αὐτοῦ· δεῖ γὰρ τοὺς ἀρχομένους ἐξομοιοῦσθαι τοῖς ἄρχουσι. Καὶ τὸν Ἰανουάριον [430] τοῦ αὐτοῦ ἔτους καὶ ὁ τῆς Ἀλβανιτίας φύσει Σκαντάρης τέθνηκεν φυσικῷ θανάτῳ· καὶ τὸ μὲν τοῦ τόπου καὶ τῆς αὐθεντείας αὐτοῦ ἔλαβεν ἡ αὐθεντία τῶν Βενετιῶν· τὸ δὲ ὁ τῆς ἀδελφῆς αὐτοῦ υἱὸς, Τοῦρκος ὤν, καὶ εἰς τὸν ἀμηρᾶν καὶ σταλεὶς παρ' ἐκείνου· ἀπὸ δὲ τοῦ ἡμίσους ἔαρος τοῦ αὐτοῦ δηλονότι ος' ἔτους καὶ ὅλου τοῦ θέρους διαβιβάσαντός μου κακῶς ἀπὸ τῆς συνήθους ἀσθενείας τοῦ ῥευματισμοῦ, ἀλλὰ δὴ καὶ τῶν κοσμικῶν φορεμάτων μου διαλυθέντων, ἐρασοφορέσαμεν τῇ α' τοῦ Αὐγούστου μηνὸς, καὶ ἀντὶ Γεώργιος Γρηγόριος, ἀντὶ δὲ Ἑλένη Εὐπραξία ὠνομάσθημεν, διδόντες πρῶτον τὴν εἰς Θεὸν τῆς πίστεως ὁμολογίαν ἡμῶν, ἐχουσανοῦτως· [444] Πιστεύω τὸν Υἱὸν τοῦ Θεοῦ μὴ κτίσμα εἶναι οὐδ' ὑπὸ χρόνον, κατὰ τὸν ἄφρονα Ἄρειον, ἀλλ' ὁμοούσιον καὶ συναΐδιον τῷ Θεῷ καὶ Πατρὶ Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, ποιητὴν χρόνων καὶ τῶν κτισμάτων τῶν πάντων, ὕστερον δὲ σαρκωθέντα δι' ἡμᾶς ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς ἀειπαρθένου. Πιστεύω τὸ Πνεῦμα ἅγιον μὴ κτίσμα εἶναι μηδὲ ἑτερούσιον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ὡς ὁ Μακεδόνιος ὁ κενὸς [445] τῆς αὐτοῦ χάριτος ἐβλασφήμει, ἀλλὰ Θεὸν ἀληθινὸν, ὁμοούσιον καὶ συναΐδιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ἐκ τοῦ Πατρὸς πρὸς Υἱὸν ἐκπορευτῶς, ὥσπερ ὁ Υἱὸς ἐξ αὐτοῦ γεννητῶς. Πιστεύω μὴ ἄλλον εἶναι τὸν Υἱὸν τοῦ Θεοῦ τὸν προαιώνιον, ἕτερον δὲ τὸν ἐκ τῆς Παρθένου γεννηθέντα Ἰησοῦν Χριστὸν, ὡς ὁ ἄφρων Νεστόριος ἐβλασφήμει, ἀλλὰ τὸν ἐξ αὐτῆς γεννηθέντα δύο μὲν εἶναι μετὰ τὴν ἕνωσιν φύσεις, ἕνα δὲ τῇ ὑποστάσει τῇ θείᾳ δηλονότι· διὸ καὶ τὴν αὐτὸν τεκοῦσαν κυρίως καὶ ἀληθῶς Θεοτόκον εἶναι, καὶ οὐ Χριστοτόκον κατ' ἐκεῖνον τὸν ἄφρονα. — Πιστεύω τὸν Υἱὸν τοῦ Θεοῦ μετὰ τὴν ἐνανθρώπησιν μὴ εἰς μίαν φύσιν τὰς δύο συνάψαι, κατὰ τοὺς ἄφρονας Διόσκορον καὶ Εὐτυχῆν, οἳ τῇ θεότητι τὰ πάθη προσῆπτον, ἀλλ' ἐν δύο φύσεσι καὶ μετὰ τὴν ἕνωσιν ἀσυγχύτως γνωριζόμενον, καὶ ἐπὶ μήτε προϋπάρχειν τὰς ψυχὰς τῶν σωμάτων μήτε τέλος εἶναι κολάσεως μήτε ἀποκατάστασιν δαιμόνων, κατὰ τὸν ἄφρονα Ὠριγένην. — Πιστεύω τὸν Υἱὸν τοῦ Θεοῦ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μετὰ τὴν ἐνανθρώπησιν οὐχ ἓν θέλημα ἔχειν φυσικὸν καὶ μίαν ἐνέργειαν, κατὰ τὸν Ῥώμης Ὀνώριον (1) καὶ Πύῤῥον τὸν ἄφρονα, ἀλλὰ δύο θελήσεις καὶ δύο ἐνεργείας, θεϊκὴν δηλαδὴ καὶ ἀνθρωπίνην ἐνέργειαν καὶ θέλησιν, καὶ μηδετέραν τῶν αὐτοῦ φύσεων ἀθέλητον εἶναι ἢ ἀνενέργητον. — [446] Πιστεύω τὰς εἰκονικὰς ἀνατυπώσεις, οὐ λατρευτικῶς, ἀλλὰ σχετικῶς ἀσπάζεσθαι· τὴν Ἐκκλησίαν τοῦ Θεοῦ καὶ τιμᾶν, οὐ τῇ ὕλῃ τὸ σέβας, ἀλλὰ τῷ πρωτοτύπῳ ἀπονέμουσαν· ἡ γὰρ τιμὴ τῆς εἰκόνος ἐπὶ τὸ πρωτότυπον διαβαίνει κατὰ τὸν μέγαν Βασίλειον. Πιστεύω μήτε ἀνενέργητον εἶναι τὴν θείαν φύσιν καὶ ἐνεργειῶν οὐσιωδῶν ἔρημον, μήτε ταυτὸν εἶναι οὐσίαν καὶ ἐνέργειαν ἐκείνης· μήτε κτιστὰς εἶναι ταύτας, κατὰ τοὺς ἄφρονας Βαρλαὰμ καὶ Ἀκίνδυνον, ἀλλὰ καὶ ἐνεργείας θείας οὐσιώδεις, καὶ ἑτέρας εἶναι ταύτας παρ' αὐτὴν τὴν οὐσίαν, καὶ ἀκτίστους εἶναι καὶ λεγομένας θεότητος. Ὁμολογῶ βεβαίως τὸ Πνεῦμα τὸ ἅγιον

(1) Honorium a monothelismi labe satis purgant theologi passim omnes. M.

Digitized by Google

οὐκ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορεύεσθαι ἅμα κατὰ τοὺς Ἰταλοὺς, ἀλλ' ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ Πατρὸς ἐνικῶς (1), ὥσπερ ἀμέλει καὶ αὐτὸς ὁ Υἱὸς ἐξ αὐτῆς τῆς ὑποστάσεως τοῦ Πατρὸς ἐνικῶς γεννᾶται· πέμπεσθαι δὲ παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα, οἷον αὐτὴ ἡ χάρις καὶ ἡ δωρεὰ αὐτοῦ δίδωσιν.

υξθ'.

Τὸ δὲ φθεινόπωρον τοῦ ος' ἔτους ἀπῆλθεν ἡ βασίλισσα [447] κυρὰ Ἑλένη ἡ Παλαιολογίνα, ἡ τοῦ δεσπότου Σερβίας γυνὴ, εἰς τὴν αὐθεντίαν τῆς Βενετίας, ἐγκαλοῦσα τοὺς τὸν βίον αὐτῆς κλέψαντας εἰς τοὺς Κορφούς. Καὶ τὸ ἔαρ τοῦ αὐτοῦ ἔτους ἐγένοντο σεισμοὶ πολλοὶ καὶ μεγάλοι εἴς τε τὴν ἁγίαν Μαῦραν καὶ τὴν Κεφαλωνίαν καὶ τὴν Ζάκυνθον, καὶ ἐχάλασαν πολλὰ τῶν αὐτῶν· τὸ δὲ τῆς Κεφαλωνίας κάστρον τελείως ἅπαν ἐχάλασε, καὶ πολλοὶ τῶν ἀνθρώπων τεθνήκασι. Τὰ δὲ θέρος τοῦ αὐτοῦ ἔτους ἀπῆλθεν ὁ τῶν Βενετικῶν κατέργων καπετάνιος, Νικολῶν Δεκανάλιας, καὶ ἠχμαλώτευσε τὴν μεγάλην Αἶνον, καὶ ἐπιστρέψας καὶ ἐλθὼν εἰς τὸν Μορέαν, ἔκτισε τὴν Βοστίτζαν τῷ τοῦ θέρους καιρῷ τοῦ αὐτοῦ ἔτους.

υο'.

